XVII. Quare plerique Medici eadem, [2]quæ mali gubernatores in se admittere mihi videntur. [3]Etenim illi, quum in tranquillitate gubernantes delinquunt, non fiunt manifesti: [4]quum vero de- 135 prehenderit ipsos ventus magnus & tempestas, palam jam conspicui sunt omnibus hominibus, [5]quæ ignorantia & culpa erroris sui navem perdiderunt. [6]Sic sane etiam mali & plurimi medici, [7]quum curant homines nihil grave patientes, [8]in quos si quis etiam maxime delinquat, [9]nihil grave faciat. [10]Sunt autem multi tales morbi, [11]& multo sæpius, quam graves, hominibus accidunt. [12]In talibus sane delin- 140 quentes, non fiunt manifesti idiotis hominibus. [13]Ubi vero obtigerit magnus & fortis & periculosus morbus, [14]tunc ipsorum delicta [15]& ars omnibus in conspicuo sunt. [16]Neque enim longe absunt singulorum pœnæ ac cruces, sed brevi adsunt.

XIIX. Quod

XIIX. Οὐκ ἔστι δ' οὐδὲν ἐλάσσους ἀπὸ κενώσιος ἀκαίρου κακοπάθειαι γίνονται τῷ ἀνθρώπῳ, [2] ἢ καὶ ἀπὸ πληρώσιος, [3] καταμαθεῖν καλῶς ἔχει, ἐπαναφέροντας ἐπὶ τοὺς ὑγιαίνοντας. [4] ἔστι γὰρ οἷσιν αὐτέων ξυμφέρει μονοσιτέειν. [5] καὶ τοῦτο διὰ τὸ ξυμφέρον οὕτως αὐτοὶ σφίσιν αὐτοῖσιν ἐτάξαντο. [6] ἄλλοισί τε ἀριστῆν, [7] διὰ τὴν αὐτὴν ἀνάγκην. [8] οὕτω γὰρ αὐτοῖς ξυμφέρει, [9] καὶ μὴ τούτοισιν, οἳ δι' ἡδονὴν [10] ἢ δι' ἄλλην τινὰ συγκυρίην ἐπιτηδεύουσιν ὁπότερον αὐτέων. [11] τοῖσι μὲν γὰρ πλείστοισι τῶν ἀνθρώπων, οὐδὲν διαφέρει πότερον ἂν ἐπιτηδεύσωσιν, [12] εἴτε μονοσιτέειν, [13] εἴτε ἀριστῆν, [14] τούτῳ τῷ ἔθει χρῆσθαι.

XIX. Εἰσὶ δέ τινες, οἳ οὐκ ἂν δύναιντο ἔξω τοῦ συμφέροντος ποιέοντες ῥηιδίως ἀπαλλάσσειν. [2] ἀλλὰ ξυμβαίνει αὐτέων ἑκατέροισι, [3] παρ' ἡμέρην μίην, [4] καὶ ταύτην οὐχ ὅλην, μεταβάλλουσιν, [5] ὑπερφυὴς κακοπαθείη. [6] οἱ μὲν γὰρ ἢν ἀριστήσωσι μὴ ξυμφέροντος αὐτέοισιν, [7] εὐθὺς βαρέες, καὶ νωθροὶ τὸ σῶμα, [8] καὶ τὴν γνώμην, [9] χάσμης τε [10] καὶ νυσταγμοῦ [12] καὶ δίψης πλήρεες. [13] ἢν δὲ ἐπιδειπνήσωσι, [14] καὶ φῦσα, [15] καὶ στρόφος, [16] καὶ ἡ κοιλίη καταρρήγνυται. [17] καὶ πολλοῖσιν ἀρχὴ νόσου αὕτη μεγάλης ἐγένετο, ἢν τὰ αὐτὰ σιτία, ἃ μεμαθήκει ἅπαξ ἀναλίσκειν, δὶς προσενέγκηται καὶ μηδὲν ἔτι πλέον. [18] ἢν δέ γε ἀριστᾶν μεμαθηκώς τις, καὶ οὕτως αὐτέῳ ξυμφέρον, μὴ ἀριστήσῃ, [19] ὅταν τάχιστα παρέλθῃ ἡ ὥρη, [20] εὐθὺς ἀδυναμίη δεινή, [21] τρόμος, [22] ἀψυχίη· [23] ἐπὶ τούτοισιν, ὀφθαλμοὶ χλωρότεροι· [24] οὖρον παχὺ καὶ θερμόν, [25] στόμα πικρόν, [26] καὶ τὰ

XIIX. Quod autem non minores afflictiones ab intempestiva vacuatione, [2] quam à repletione hominibus contingant, [3] probe discemus, si in sanis rem 'ex penderimus. [4] Sunt itaque aliqui ipsorum, quibus semel in die cibum capere conducit, [5] & hoc propter utilitatem sibi observant. [6] Alii etiam prandent, [7] propter eandem necessitatem: [8] sic enim ipsis conducit. [9] Sed & quidam non propter utilitatem, sed aut ob voluptatem, [10] aut ob alium aliquem casum, alterutrum faciunt. [11] Plurimorum enim hominum nihil interest, utrum tandem faciant, [12] sive semel tantum edant, [13] sive etiam prandeant, [14] hac consuetudine uti.

XIX. Sunt autem quidam, qui non possint extra utilitatem facientes facile degere, [2] sed contingit utrisque ipsorum, [3] per diem unum [4] atque eum non ociose permutantibus, [5] immensa afflictio. [6] Alteri enim si pransi fuerint, idque eis non conducat, [7] statim graves, & corpore segnes fiunt, [8] itemque mente pigri, [9] hiatuque [10] ac oscitatione [11] & dormitatione [12] & siti pleni. [13] Si vero etiam insuper cœnaverint, [14] & flatus, [15] & tormina, [16] & alvus effringitur, [17] & multis magni morbi principium hoc fuit, si eosdem cibos, quos semel insumere consueverunt, bis assumant, & nihil his amplius. [18] Alteri vero si prandere consueverunt, idque ipsis conducat, & non pransi fuerint, [19] mox ubi tempus præterierit, [20] statim impotentia vehemens, [21] tremor, [22] animi deliquium, [23] postea oculi pallidi, [24] urina crassa & calida, [25] os amarum, [26] & viscera pendere ipsis

τὰ σπλάγχνα οἱ δοκέει κρέμασθαι· [27] σκοτοδίνη, [28] δυσοργίη, [29] δυσθυμίη. [30] ταῦτα δὲ πάντα, ὅταν δειπνεῖν ἐπιχειρήσῃ. [31] ἀναλίσκειν δὲ οὐ δύναται ὁ ἀριστιζόμενος, ἃ πρότερον ἐδείπνει. [32] ταῦτα δὲ αὐτὰ μετὰ στρόφου τε καὶ ψόφου καταβαίνοντα [33] συγκλείει τὴν κοιλίην. [34] δυσκοιτέουσί τε [35] καὶ ἐνυπνιάζονται τεταραγμένα καὶ θορυβώδεα. [36] πολλοῖσι δὲ καὶ τουτέων αὕτη ἀρχὴ νούσου ἐγένετο. [37] σκέψασθαι δὲ χρὴ διὰ τίνας προφάσιας αὐτέοισι ταῦτα ξυνέβη.

XX. Τῷ μὲν οἶμαι μεμαθηκότι μονοσιτέειν, [2] ὅτι οὐκ ἀνέμεινε τὸν χρόνον τὸν ἱκανὸν [3] μέχρις αὐτέου ἡ κοιλίη, τῶν τῇ προτεραίῃ προσενηνεγμένων σιτίων ἀπολαύσῃ τελέως, [4] καὶ ἐπικρατήσῃ, [5] καὶ λαπαχθῇ τε [6] καὶ ἡσυχάσῃ· [7] ἀλλ' ἐπὶ ζέουσάν τε [8] καὶ ἐζυμωμένην [9] κοιλίην καινὰ ἐπεισηνέγκατο. [10] αἱ δὲ τοιαῦται κοιλίαι πολλῷ τε βραδύτερον πέσσουσι, [11] καὶ πλέονος δέονται ἀναπαύσιός τε καὶ ἡσυχίης. [12] ὁ δὲ μεμαθηκὼς ἀριστίζεσθαι, [13] ὅτι οὐκ ἐπειδὰν τάχιστα ἐδεήθη τροφῆς τὸ σῶμα [14] καὶ τὰ πρότερα κατανάλωτο, [15] καὶ οὐκ εἶχεν οὐδεμίαν ἀπόλαυσιν, [16] εὐθέως αὐτέῳ παρεγένετο καινὴ τροφή· [17] φθίνει δὲ καὶ συντήκεται ὑπὸ λιμοῦ. [18] πάντα γὰρ ἃ λέγω πάσχειν τὸν τοιοῦτον ἄνθρωπον, λιμῷ ἀνατίθημι.

XXI. Φημὶ δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους ἅπαντας, [2] οἵτινες ἂν ἄσιτοι δύο ἢ τρεῖς ἡμέρας γένωνται, [3] ταῦτα πείσεσθαι, οἷα περὶ τῶν ἀναρίστων γενομένων εἴρηκα. [4] τὰς δὲ τοιαύτας φύσιας ἔγωγέ φημι ταχέως τε καὶ ἰσχυρῶς " τῶν ἁμαρτημάτων ἀπολαυούσας, [5] ἀσθενεστέρας

videntur, [27] vertigo, [28] iracundia, [29] tristitia. [30] hæc autem omnia, ubi cœnare tentaverint. [31] deinde autem pransuri consumere non possunt, quæ prius cœnarunt. [32] atque hæc ipsa cum tormine ac strepitu descendentia, [33] alvum concludunt, [34] ipsique ægre dormiunt, [35] insomniaque conturbata ac tumultuosa habent, [36] plerisque vero etiam horum hoc morbi principium fuit. [37] Considerare porro oportet, ob quas causas hæc ipsis accide runt.

XX. Et sane puto his, qui cibum sumere consueverunt, [2] quod non expectaverunt tempus justum, [3] donec ipsorum venter pridie ingestos cibos perfecte consumpsisset, [4] & exsuperasset, [5] evacuatusque esset [6] ac quievisset, [7] sed in ferventem adhuc [8] & fermentatum [9] novos ingesserunt. [10] Ejusmodi autem ventres multo tardius concoquunt, [11] & majori opus habent cessatione ac quiete. [12] His vero, qui prandere assueti fuerunt, [13] quòd non ubi citissime alimento corpus indigebat, [14] & jam priora consumpta erant, [15] nec habebat aliquam amplius fruitionem, [16] statim ipsi novum alimentum suppeditatum est. [17] deficit autem & consumitur præ fame. [18] Nam omnia, quæ tales homines perpeti dixi, fami imputo.

XXI. Dico autem etiam alios omnes homines, [2] qui duos aut tres dies inediam pertulerint, [3] eadem passuros esse, quæ de impransis dixi. [4] Cæterum tales naturas, quæ cito & fortiter ejusmodi delictis offenduntur; [5] imbecilliores aliis esse censeo.

ρος εἶναι τῶν ἑτέρων. ⁶ἔγγιστα δὲ τοῦ ἀσθενεστάτου ἐστὶν ὁ ἀσθενής. ⁷ἔστι δὲ ἀσθενέστερος ὁ ἀσθενέων, ⁸καὶ μᾶλλον αὐτῷ προσήκει, ὅ,τι ἂν τοῦ καιροῦ ἀποτυγχάνῃ, πονέειν. ⁹χαλεπὸν δὲ, τοιαύτης ἀκριβείης ἐούσης περὶ τὴν τέχνην, ¹⁰τυγχάνειν αἰεὶ τοῦ ἀτρεκεστάτου. ¹¹πολλὰ δὲ εἴδεα κατ' ἰητρικὴν ἐς τοσαύτην ἀκριβείην ἥκει, περὶ ὧν εἰρήσεται. ¹²οὔ φημι δὴ διὰ τοῦτο δεῖν τὴν τέχνην ¹³ὡς οὐκ ἐοῦσαν, ¹⁴οὐδὲ καλῶς ζητεομένην ¹⁵τὴν ἀρχαίην ἀποβαλέσθαι, ¹⁶εἰ μὴ ἔχει περὶ πάντα ἀκριβείην· ¹⁷ἀλλὰ πολὺ μᾶλλον, ¹⁸διὰ τὸ ἐγγὺς εἶναι τοῦ ἀτρεκεστάτου, ¹⁹ὁμοῦ δύνασθαι ἥκειν λογισμῷ, ²⁰ἐκ πολλῆς ἀγνωσίης, θαυμάζειν τὰ ἐξευρημένα, ²¹ὡς καλῶς καὶ ὀρθῶς ἐξεύρηται, ²²καὶ οὐκ ἀπὸ τύχης.

XXII. Ἐπὶ δὲ τῶν τὸν καινὸν τρόπον τὴν τέχνην ἐξ ὑποθέσιος ζητεόντων λόγον ἐπανελθεῖν βούλομαι. ²εἰ γάρ ἐστι θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, τὸ λυμαινόμενον τὸν ἄνθρωπον, ³καὶ δεῖ τὸν ὀρθῶς ἰητρεύοντα βοηθέειν, τῷ μὲν θερμῷ, ἐπὶ τὸ ψυχρόν· ⁴τῷ δὲ ψυχρῷ, ἐπὶ τὸ θερμόν· ⁵τῷ δὲ ξηρῷ, ἐπὶ τὸ ὑγρόν· ⁶τῷ δ' ὑγρῷ, ἐπὶ τὸ ξηρόν· ⁷ἔστω μοι ἄνθρωπος, μὴ τῶν ἰσχυρῶν φύσει, ἀλλὰ τῶν ἀσθενεστέρων· ⁸οὗτος δὲ πυροὺς ἐσθιέτω, οὓς ἂν ἀπὸ τῆς ἅλω ἀνέλῃ, ὠμοὺς καὶ ἀργούς· ⁹καὶ κρέα ὠμά· ¹⁰καὶ πινέτω ὕδωρ. ¹¹ταύτῃ χρεώμενος τῇ διαίτῃ εὖ οἶδ' ὅτι πείσεται πολλὰ καὶ δεινά. ¹²καὶ γὰρ πόνους πονήσει· ¹³καὶ τὸ σῶμα ἀσθενὲς ἔσται· ¹⁴καὶ ἡ κοιλίη φθαρήσεται. ¹⁵καὶ ζῆν πουλὺν χρόνον οὐ δυνήσεται. ¹⁶τί δεῖ τι γὰρ

οὖν

censco. ⁶ proximus est autem imbecillis languenti: ⁷ verum imbecillior est languens, ⁸ & plus laborare contingit ipsum, ubi justum tempus non est assequutus. ⁹Quum itaque ejusmodi exacta certitudo circa artem existat, ¹⁰ difficile est semper, quod rectissimum est, assequi. ¹¹ Multæ autem species in Medicina ad tantam certitudinem perveniunt, de quibus dicetur. ¹²Non censeo itaque propter hoc artem, ¹³velut non existentem, ¹⁴neque probe investigatam, ¹⁵veterem oportere rejici, ¹⁶ quod non habeat circa omnia certitudinem exactam. ¹⁷ Verum multo magis, ¹⁸ propterea quod propinqua est recto, ¹⁹ simulque ratione possit ad ipsum pervenire, ²⁰ admirari oportere censeo ea, quæ ex multa ignorantia sunt eruta & inventa, ²¹quòd probe & recte adinventa sunt, ²² & non à fortuna aut casu.

XXII. Porro ad eos, qui novo modo artem ex scopis ac fundamentis suppositis quærunt, sermonem reducere volo. ² Si enim calidum est, aut frigidum, aut siccum, aut humidum, quod hominem lædit, ³ & oportet recte medentem auxiliari, calido quidem in frigidum permutato, ⁴ frigido autem in calidum, ⁵ sicco in humidum, ⁶ humido in siccum: ⁷ contingat mihi homo non fortis naturæ, sed ex debilioribus, ⁸ hic autem triticum edat, quod ex area sustulit crudum & non elaboratûm, ⁹ & carnes crudas, ¹⁰ & bibat aquam. ¹¹ Hoc victu utens, satis scio, quod multa & gravia perpetietur. ¹² Nam & doloribus vexabitur, ¹³ & corpus debile evadet, ¹⁴& venter corrumpetur, ¹⁵& multo tempore vivere non poterit. ¹⁶ Quod igitur auxilium præ-

 parare

τοιοῦ βοήθημα προσφέρειν ὧδε ἔχοντι; [17] θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν ἢ ὑγρόν; [18] ἁπλοῦν γὰρ ὅ, τι ἑκάτερον τι; [19] εἰ γὰρ τὸ λυμαινόμενον αὐτῶν ἐστι τούτων τὸ ἕτερον, [20] τῷ ὑπεναντίῳ προσήκει λύσαι, [21] ὡς ὁ ἐκείνων λόγος ἔχει. [22] τὸ μὲν γὰρ βεβαιότατόν τε καὶ προφανέστατον φάρμακον, ἀφελόντα τὰ διαιτήματα, οἷσιν ἐχρῆτο. [23] ἀντὶ μὲν τῶν πυρῶν, ἄρτον διδόναι· [24] ἀντὶ δὲ τῶν ὠμῶν κρεῶν ἑφθὰ, [25] πιεῖν δὲ ἐπὶ τούτοισιν οἶνον. [26] ταῦτα μεταβάλλοντα οὐχ οἷόν τε μὴ ὑγιέα γενέσθαι. [27] ἤν γε μὴ παντάπασιν ἢ διεφθαρμένος ὑπό χρόνου τε [28] καὶ τῆς διαίτης. [29] τί δὴ φήσομεν; [30] πότερον αὐτέω ὑπὸ ψυχροῦ κακοπαθέοντι θερμὰ ταῦτα προσενέγκαντες ὠφέλησαν, [31] ἢ τἀναντία; [32] οἶμαι γὰρ ἔγωγε πολλὴν ἀπορίην ἐρωτηθέντι παρασχεῖν.

XXIII. Ὁ γὰρ τὸν ἄρτον σκευάζων τῶν πυρῶν τὸ θερμὸν, ἢ τὸ ψυχρὸν, ἢ τὸ ξηρὸν, ἢ τὸ ὑγρὸν ἀφείλετο. [2] ὁ γὰρ καὶ πυρὶ [3] καὶ ὕδατι δέδοται [4] καὶ πολλοῖσιν ἄλλοισιν εἴργασται, [5] ὧν ἕκαστον ἰδίην δύναμιν καὶ φύσιν ἔχει. [6] καὶ τὰ μὲν τῶν ὑπαρχόντων ἀποβέβληκεν· [7] ἄλλοισι δὲ κέκρηται καὶ μέμικται. [8] οἶδα μὲν γὰρ καὶ τόδε δήπου, ὅτι διαφέρει ἐς τὸ σῶμα τοῦ ἀνθρώπου, [9] καθαρὸς ἄρτος [11] ἢ συγκομιστὸς, [10] ἢ ἀπτίστων πυρῶν, ἢ ἐπτισμένων, [11] ἢ πολλῷ ὕδατι πεφυρημένος, ἢ ἀφύρητος, [12] ἢ ἐξοπτὸς, ἢ ἄνωμος· [13] ἄλλα τε πρὸς τούτοισι μυρία. [14] ὡς δ᾽ αὔτως καὶ περὶ μάζης. [15] καὶ αἱ δυνάμιες δὲ μεγάλαι τε ἑκάστων· [16] καὶ οὐδὲν ἡ ἑτέρη τῇ ἑτέρῃ ἐοικυῖα. [17] ὅστις δὲ ταῦτα μὴ σκεπτόμενος, οὐκ οἶδε, πῶς ἄν τι τούτων δύναιτο

parare oportet sic habenti? [17] calidum, an frigidum, vel siccum, vel humidum? [18] simplex enim est, quodcunque ex istis. [19] Si enim id, quod ipsum lædit, aliquod ex his est, [20] contrario solvere oportet ac liberare, [21] quemadmodum ipsorum sermo testatur. [22] Atqui certissimum & manifestissimum medicamentum est, victum, quo utebatur, auferre, [23] & pro tritico panem dare, [24] pro crudis vero carnibus coctas, [25] insuperque vinum propinare. [26] His permutatis, impossibile est, non fieri sanum, [27] nisi penitus fuerit tempore [28] ac victu corruptus. [29] Quid itaque dicemus? [30] Num quod ipsi à frigido afflicto calida hæc oblata auxilium tulerunt, [31] aut contra? [32] Equidem opinor me multam hæsitationem interrogato præbiturum esse.

XXIII. Nam qui panem ex tritico paravit, calidum, aut frigidum, aut siccum, aut humidum abstulit: [2] panis enim & in ignem [3] & in aquam datur, [4] & multis aliis elaboratus est, [5] quorum singula propriam vim & naturam habent, [6] & aliqua quidem à natura in ipso existentia abjicit, [7] aliis autem temperatur ac permiscetur. [8] Sed & hoc scio, quod in corpus hominis refert, [9] panis purus, aut cui nihil furfurum decessit, [10] & ex tritico non decorticato, aut decorticato, [11] & multa aqua subactus, aut contra, [12] & superassatus aut crudior, [13] aliaque præterea infinita. [14] Similiter etiam de maza, [15] & singulorum adeo vires magnæ, [16] alteraque alteri nihil simile habet. [17] Quicunque autem hæc non considerans, non novit, quo modo ille affectiones in homine cognoscere possit?

[18] ab

δυνώαιτο τὸ καὶ τὸν ἄνθρωπον παθημάτων εἰδέναι; [18] ὑπὸ γὰρ ἑνὸς ἑκάστου τουτέων πάσχει τε καὶ ἑτεροιοῦται ἄνθρωπος, ἢ τοῖον, ἢ τοῖον, [19] καὶ διὰ τουτέων πᾶς ὁ βίος [20] καὶ ὑγιαίνοντι [21] καὶ ἐκ νούσου ἀνατρεφομένῳ [22] καὶ κάμνοντι.

XXIV. Οὐκ ἂν οὖν ἕτερα τουτέων χρησιμώτερα, [2] οὐδ᾽ ἀναγκαιότερα εἴη εἰδέναι δήπου. [3] ὡς δὲ, καλῶς καὶ λογισμῷ προσήκοντι ζητήσαντες, πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν εὗρον αὐτὰ, οἱ πρῶτοι εὑρόντες, [4] καὶ ᾠήθησαν ἀξίην τὴν τέχνην θεῷ προσθεῖναι, [5] ὡς καὶ νομίζεται. [6] οὐ γὰρ τὸ ξηρὸν οὐδὲ τὸ ὑγρὸν, οὐδὲ τὸ θερμὸν οὐδὲ τὸ ψυχρὸν, [7] οὐδ᾽ ἄλλο τουτέων οὐδὲν ἡγησάμενοι, οὔτε λυμαίνεσθαι, [8] οὔτε προσδεῖσθαι οὐδενὸς τουτέων τὸν ἄνθρωπον· [9] ἀλλὰ τὸ ἰσχυρὸν ἑκάστου, [10] καὶ τὸ κρέσσον τῆς φύσιος τῆς ἀνθρωπίνης, [11] οὗ μὴ ἐδύνατο κρατεῖν, [12] τοῦτο βλάπτειν ἡγήσαντο· [13] καὶ τοῦτο ἐζήτησαν ἀφελεῖν. [14] ἰσχυρότατον δέ ἐστι, τοῦ μὲν γλυκέος, τὸ γλυκύτατον· [15] τοῦ δὲ πικροῦ, τὸ πικρότατον· [16] τοῦ δὲ ὀξέος, τὸ ὀξύτατον· [17] ἑκάστου δὲ πάντων τῶν ἐόντων, ἡ ἀκμή. [18] ταῦτα γὰρ ἑώρων καὶ τῷ ἀνθρώπῳ ἐνεόντα, [19] καὶ λυμαινόμενα τὸν ἄνθρωπον. [20] ἔνι γὰρ ἀνθρώπῳ [21] καὶ πικρὸν, [22] καὶ ἁλμυρὸν, [23] καὶ γλυκὺ, [24] καὶ ὀξὺ, [25] καὶ στρυφνὸν, [26] καὶ πλαδαρὸν· [27] καὶ ἄλλα μυρία [28] παντοίας δυνάμιας ἔχοντα, [29] πλῆθός τε καὶ ἰσχύν. [30] ταῦτα μὲν μεμιγμένα καὶ κεκρημένα ἀλλήλοισιν, [31] οὔτε φανερά ἐστιν, [32] οὔτε λυπεῖ τὸν ἄνθρωπον.

XXV. Ὅταν δέ τι τουτέων ἀποκριθῇ [2] καὶ αὐτὸ ἐφ᾽ ἑωυτοῦ γένηται, [3] τότε καὶ φανερόν ἐστι, [4] καὶ λυπεῖ τὸν ἄν-

[18] ab unoquoque enim horum afficitur & alteratur homo, vel hoc, vel alio modo, [19] & ex his omnis vita [20] & sano, [21] & ex morbo convalescenti, [22] & ægroto.

XXIV. Nihil igitur utilius, [2] neque magis necessarium, quam hæc cognovisse; [3] quod & probe & convenienti ratiocinatione investigantes, juxta hominis naturam hæc primi inventores invenerunt. [4] Judicaveruntque artem dignam, quæ Deo adscriberetur, [5] quem admodum etiam est receptum. [6] Non enim siccum, neque humidum, neque calidum, neque frigidum, [7] neque aliud quicquam ex his putaverunt hominem lædere, [8] neque aliquo horum homini opus esse opinati sunt, [9] sed quod in unoquoque forte, [10] & humana natura potentius est, [11] quodque non possit superare, [12] hoc ipsum lædere duxerunt, [13] & hoc auferre quæsiverunt. [14] Fortissimum autem est inter dulcia, dulcissimum, [15] inter amara, amarissimum, [16] inter acida, acidissimum, [17] & in omnibus adeo rebus vigor ipse ac summum. [18] Hæc enim & in homine inesse viderunt, [19] & hominem lædere. [20] Inest enim in homine [21] & amarum, [22] & salsum, [23] & dulce, [24] & acidum, [25] & acerbum, [26] & fluidum, [27] & alia infinita, [28] omnigenas facultates habentia, [29] copiamque ac robur. [30] Atque hæc quidem mixta ac inter se temperata, [31] neque conspicua sunt, [32] neque hominem lædunt.

XXV. Ubi vero quid horum secretum fuerit, [2] atque ipsum in seipso fuerit, [3] tunc & conspicuum est, [4] & hominem lædit.

ἄνθρωπον. [5] τοῦτο δὲ τῶν βρωμάτων [6] ὅσα ἡμῖν ἀνεπιτήδειά ἐστι, [7] καὶ λυμαίνεται τὸν ἄνθρωπον ἐμπεσόντα, [8] τουτέων ἕκαστον, ἢ πικρόν τι καὶ ἄκρητόν ἐστιν [9] ἢ ἁλμυρόν. [10] ἢ ὀξύ· [11] ἢ ἄλλο τι ἄκρητόν τε καὶ ἰσχυρόν· [12] καὶ διὰ τοῦτο ταρασσόμεθα ὑπ' αὐτέων. [13] ὥσπερ καὶ ὑπὸ τῶν ἐκ τοῦ σώματος ἀποκρινομένων. [14] πάντα δὲ, ὅσα ἄνθρωπος ἐσθίει ἢ πίνει, [15] τὰ τοιαῦτα βρώματα ἥκιστα τουτέου χυμοῦ ἀκρήτου τε καὶ διαφέροντος, δῆλά ἐστι μετέχοντα. [16] οἷον ἄρτος τε καὶ μᾶζα, [17] καὶ τὰ ἑπόμενα τουτέοισιν, [18] οἷσιν εἴθισται ἄνθρωπος πλείστοισί τε [19] καὶ αἰεὶ χρέεσθαι.

XXVI. Ἔξω τῶν πρὸς ἡδονήν τε καὶ κόρον ἠρτυμένων τε καὶ ἐσκευασμένων. [2] καὶ ἀπὸ τουτέων πλείστων ἐσιόντων ἐς τὸν ἄνθρωπον ταραχή τε καὶ ἀπόκρισις τῶν ἀμφὶ τὸ σῶμα δυναμίων ἥκιστα γίνεται. [3] ἰσχύς τε [4] καὶ αὔξησις, [5] καὶ τροφὴ μάλιστα δι' οὐδὲν ἕτερον γίνεται, [6] ἢ ὅτι εὖ τε συγκέκρηται, [7] καὶ οὐδὲν ἔχει ἄκρητον, [8] οὐδὲ ἰσχυρόν. [9] ἀλλ' ὅλον ἕν τε γέγονε, [10] καὶ ἁπλόον, [11] καὶ μὴ ἰσχυρόν. [12] ἀπορέω δ' ἔγωγε, οἱ τὸν λόγον ἐκεῖνον λέγοντες [13] καὶ ἀπάγοντες ἐκ ταύτης τῆς ὁδοῦ ἐπὶ ὑπόθεσιν τὴν τέχνην, [14] τίνα ποτὲ τρόπον θεραπεύσουσι τοὺς ἀνθρώπους, ὥσπερ ὑποτίθενται. [15] οὐ γάρ ἐστιν αὐτέοισιν, [16] ὡς ἐγὼ οἶμαι, [17] ἐξευρημένον αὐτό τι ἐφ' ἑωυτοῦ θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, μηδενὶ ἄλλῳ εἴδει κοινωνέον. [18] ἀλλ' οἴομαι ἔγωγε ταὐτὰ πόματα καὶ βρώματα αὐτέοισιν ὑπάρχειν, οἷσι πάντες χρεόμεθα. [19] προστιθέασι δὲ τῷ μὲν εἶναι θερμῷ· τῷ δὲ, ψυχρῷ· τῷ δὲ ξηρῷ· τῷ δὲ, ὑγρῷ.

XXVII. Ἐπεὶ ἐκεῖνό γε ἄπορον

dit. [5] Quin & ex cibis [6] quicunque nobis incommodi sunt, [7] & ingesti hominem lædunt, [8] horum uuusquisque aut amarus est, & meracus ac intemperatus, [9] aut salsus, [10] aut acidus, [11] aut alius quis intemperatus & fortis: [12] & propterea turbamur ab ipsis, [13] quemadmodum etiam ab his, quæ ex corpore excernuntur. [14] Omnia autem quæ edit aut bibit homo, [15] talia edulia palam est minime hoc intemperato, & dissidente ac excedente succo participare; [16] velut sunt panis & maza, [17] & his similia, [18] quibus adsuetus est homo plurimis [19] & semper uti. (Sequitur.....

XXVI. Exceptis his quæ ad voluptatem ac delicias condiuntur ac præparantur) [2] & ab his plurimis in hominem ingestis turbatio ac secretio corporis facultatum minime contingit; [3] Verum robur [4] & augmentum, [5] ac alimentum præsertim, per nihil aliud contingit, [6] quam quod probe temperatum est, [7] & nihil habet intemperatum, [8] neque forte, [9] sed totum unum factum est, [10] & simplex, [11] & non forte. [12] Et valde sane dubito ego, quonam modo hi qui talem sermonem proferunt, [13] & artem ex hac via ad scopum abducunt, [14] curaturi sint homines, quemadmodum proponunt. [15] Non enim est ipsis, [16] velut ego opinor, [17] inventum quid, ipsum in seipso calidum, aut frigidum, aut siccum, aut humidum, quod nulla alia specie communicaret. [18] Verum arbitror eosdem potus ac cibos ipsis esse, quibus omnes utimur. [19] Apponunt autem alii quidem, quod sit calidus, alii frigidus, alii quod siccus, alii humidus.

XXVII. Quoniam illud sane dubium est, imperare ægroto cali-

dum

προσενέγκαι τῷ κάμνοντι, θερμόν τι προσενεγκεῖν. [2] εὐθὺς γὰρ ἐρωτήσει, τί ἐστιν; [3] ὥστε ληρεῖν ἀνάγκη, [4] ἢ ἐς τουτέων τι τῶν γινομένων καταφυγεῖν. [5] εἰ δὲ δὴ τυγχάνει τὸ μὲν θερμὸν ἐὸν στρυφνόν· [6] ἄλλο δὲ θερμὸν, πλαδαρόν· [7] ἄλλο δὲ θερμὸν, ἀραιὸν ἔχον· [8] ἔστι γὰρ καὶ ἄλλα τε θερμὰ, καὶ ἄλλας δυνάμιας ὑπεναντίας ἑωυτοῖσιν ἔχοντα· [9] δεήσει δέ τι αὐτέων προσενεγκεῖν, [10] ἢ τὸ θερμὸν καὶ στρυφνόν· [11] ἢ τὸ θερμὸν καὶ πλαδαρόν· [12] ἢ ἅμα τὸ ψυχρὸν καὶ στρυφνόν. [13] ἔστι γὰρ καὶ τοῦτο, [14] καὶ τὸ ψυχρόν τε καὶ πλαδαρόν. [15] ὡς μὲν γὰρ ἔγωγε οἶδα, [16] πᾶν τοὐναντίον ἀφ' ἑκατέρου αὐτέων ἀποβαίνει· [17] καὶ οὐ μόνον ἐν ἀνθρώπῳ, [18] ἀλλὰ καὶ ἐν σκύτεϊ, καὶ ἐν ξύλῳ, [19] καὶ ἐν ἄλλοισι πολλοῖσιν, [20] ἃ ἐστὶν ἀνθρώπου ἀναισθητότερα. [21] οὐ γὰρ τὸ θερμόν ἐστι τὸ τὴν μεγάλην δύναμιν ἔχον, [22] ἀλλὰ τὸ στρυφνὸν καὶ πλαδαρόν, [23] καὶ τἄλλα ὅσα μοι εἴρηται, [24] καὶ ἐν τῷ ἀνθρώπῳ, [25] καὶ ἔξω τοῦ ἀνθρώπου, [26] καὶ ἐσθιόμενα [27] καὶ πινόμενα, [28] καὶ ἔξωθεν ἐπιχριόμενά τε [29] καὶ πῶς πλασσόμενα. [30] ψυχρότητα δ' ἔγωγε καὶ θερμότητα πασέων ἥκιστα τῶν δυναμίων νομίζω δυναστεύειν ἐν τῷ σώματι, διὰ τάσδε τὰς προφάσιας.

XXIIX. Ὃν μὲν ἂν δήπου χρόνον, μεμιγμένα αὐτὰ αὐτέοισιν, ἅμα τὸ ψυχρὸν καὶ θερμὸν ᾖ, οὐ λυπεῖ. [2] κρῆσις γὰρ καὶ μετριότης, τῷ μὲν ψυχρῷ γίνεται ἀπὸ τοῦ θερμοῦ· [3] τῷ δὲ θερμῷ, ἀπὸ τοῦ ψυχροῦ. [4] ὅταν δὲ ἀποκριθείη χωρὶς ἑκάτερον, τότε λυπεῖ. [5] ἐν δὲ δὴ τουτέῳ τῷ καιρῷ, ὅταν τὸ ψυχρὸν ἐπιγένηται, [6] καὶ λυπήσῃ τὸν ἄνθρωπον διὰ

dum quid assumere. [2] statim enim interrogabit quid sit illud, [3] ut nugas producere necesse sit, [4] aut ad aliquid eorum quæ fiunt confugere. [5] Si autem est calidum quoddam acerbum existens, [6] aliud vero calidum fluidum, [7] aliud calidum tenue ([8] sunt enim & alia calida etiam alias vires subcontrarias sibiipsis habentia) [9] quod igitur ipsorum assumere oportebit? [10] calidum & acerbum, [11] an calidum & fluidum, [12] aut simul frigidum & acerbum? [13] Nam & hoc est, [14] itemque frigidum & fluidum. [15] Etenim quod ego scio, [16] totum contrarium ab utroque ipsorum evenit, [17] idque non solum in homine, [18] sed etiam in corio ac ligno, [19] & aliis multis rebus, [20] quæ magis stupidum sensum habent quam homo. [21] Non enim calidum est, quod magnam vim habet, [22] sed ipsum acerbum & fluidum, [23] & alia quæ á me relata sunt, [24] tum in homine, [25] tum extra hominem, [26] sive edantur, [27] sive bibantur, [28] sive forinsecus illinantur, [29] aut quomodocunque formata adhibeantur. [30] Frigiditatem autem & caliditatem ego omnium facultatum minime potentes esse in corpore existimo, ob has sane causas.

XXIIX. Quo equidem tempore ipsa inter se permixta simul frigidum ac calidum fuerint, non lædunt. [2] Temperamentum enim & moderatio contingit frigido à calido, [3] & vicissim calido à frigido. [4] Ubi vero seorsum utrumque secretum fuerit, tunc affligit. [5] In hoc itaque tempore, quum frigidum intus generatur, [6] & cito hominem

διὰ παχέος, [7] πρῶτον δὲ αὐτοῦ τούτου πάρεστι τὸ θερμὸν αὐτόθεν ἐκ τοῦ ἀνθρώπου, [8] οὐδεμιῆς βοηθείης [9] οὐδὲ παρασκευῆς δεόμενον. [10] καὶ ταῦτα καὶ ἐν ὑγιαίνουσι τοῖσιν ἀνθρώποισιν ἀπεργάζεται [11] καὶ ἐν κάμνουσιν.

XXIX. Τοῦτο μὲν, εἴ τις θέλει ὑγιαίνων χειμῶνος διαψῦξαι τὸ σῶμα, [2] ἢ λουσάμενος ψυχρῷ, [3] ἢ ἄλλῳ τῳ τρόπῳ, [4] ὅσῳ ἂν αὐτὸ ἐπιπλέον ποιήσῃ· [5] καὶ ἢν γε μὴ παντάπασι παγῇ τὸ σῶμα, [6] ὅταν εἵματα λάβῃ καὶ ἔλθῃ ἐς τὴν σκέπην, [7] μᾶλλον καὶ ἐπὶ πλέον θερμαίνεται τὸ σῶμα. [8] τοῦτο δὲ, εἰ ἐθέλοι ἐκθερμανθῆναι στερεῶς, [9] ἢ λουτρῷ θερμῷ, [10] ἢ πολλῷ πυρί· [11] ἐκ δὲ τουτέου, τὸ αὐτὸ εἷμα ἔχων ἐν τῷ αὐτέῳ χωρίῳ τὴν διατριβὴν ποιέεται· [12] ὥσπερ ὁ διεψυγμένος [13] πολὺ φανεῖται καὶ ψυχρότερος, καὶ ἄλλως φρικαλεώτερος, [14] ἢ ῥιπιζόμενός τις ὑπὸ πνίγεος καὶ παρασκευάζων αὐτὸς ἑωυτῷ ψῦχος, ἐκ τουτέου τοῦ τρόπου διαπαύσηται. [15] τῷ τοῦτο ποιέοντι δεκαπλάσιον πάρεστι τὸ καῦμα καὶ τὸ πνῖγος, ἢ τῷ μηδὲν τοιοῦτον ποιέοντι. [16] τόδε δὴ καὶ πουλὺ μέζω. [17] ὅσοι ἂν διὰ χιόνος ἢ ἄλλης ψύξιος βαδίσαντες, ῥιγώσωσι διαφερόντως πόδας, ἢ χεῖρας, ἢ κεφαλὴν, [18] οἷα πάσχουσιν ἐς τὴν νύκτα, [19] ὅταν περισταλέωσί τε καὶ ἐν ἀλέῃ γένωνται, [20] ὑπὸ καύματος καὶ κνησμοῦ, [21] καὶ ἔστιν οἷσι φλυκταῖναι ἀνίστανται ὡς ἀπὸ πυρὸς κατακεκαυμένοισι. [22] καὶ οὐ πρότερον τοῦτο πάσχουσι, πρὶν ἢ θερμανθῶσιν. [23] οὕτως ἑτοίμως ἑκάτερον αὐτέων ἐπὶ θάτερον παραγίνεται. [24] μυρία δ᾽ ἂν καὶ ἕτερα ἔχοιμι

minem affligit, [7] primum propter hoc ipſum adeſt calidum inde adeo ex homine ipſo, [8] nullo alio auxilio, [9] neque præparatione opus habens. [10] atque hoc & in ſanis hominibus [11] & in ægrotis operatur.

XXIX. Itaque ſi quis ſanus hyeme corpus perfrigerare velit, [2] aut frigida lotione, [3] aut alio quopiam modo, [4] quanto id amplius fecerit, [5] ſi modo non omnino corpus congeletur, [6] ubi veſtimenta acceperit, & ſub tegmen venerit, [7] magis & amplius corpore caleſcit. [8] Rurſus ſi quis fortiter calefieri velit, [9] aut calido lavacro, [10] aut multo igne, [11] inde vero eandem veſtem habens in eodem loco converſari, [12] in quo perfrigeratus, [13] multo apparebit frigidior, & longe horridior, [14] quam aliquis qui præ æſtu ventilationem admiſit & ſibiipſi frigus præparavit, atque ſic ex hoc modo recreatus eſt. [15] Nam qui hoc facit, decuplo majorem æſtum ac ardorem percipit, quam is qui nihil tale facit. [16] Verum ſunt adhuc teſtimonia multo majora. [17] Quicunque per nivem aut aliud frigus iter facientes, excellenter frigeſcunt aut pedibus, aut manibus aut capite, [18] ubi ſe continuerint in noctem, [19] quum cooperti fuerint & in tepore extiterint, [20] ab æſtu & pruritu vexantur, [21] quibuſdam etiam bullæ velut ambuſtis ab igne exſurgunt, [22] neque prius hoc patiuntur quam calefiant: [23] adeo prompte utrunque ipſorum ad alterum accedit. [24] poſſem & alia innumera recenſere. [25] Cæ-

ἔχοιμι εἰπεῖν. 25 τὰ δὲ κτ. τοὺς νοσέοντας, 26 ἆρ' οὐχ, οἷσιν ἂν ῥῖγος γένηται, τουτέοισιν ὀξύτατος ὁ πυρετὸς ἐκλάμπει; 27 καὶ οἷσιν οὐχ οὕτως ἰσχυρῶς, 28 ἀλλὰ καὶ παυόμενος δι' ὀλίγου, 29 καὶ ἄλλως τὰ πολλὰ ἀσινής, 30 καὶ οἷον ἂν χρόνον παρῇ διάθερμος, 31 καὶ διεξιὼν διὰ παντὸς 32 τελευτέων ἐς τοὺς πόδας μάλιστα, 33 οὗπερ τὸ ῥῖγος καὶ ἡ ψύξις νεηνικωτάτη, 34 καὶ ἐπὶ πλέον ἐχρόνισε. 35 πάλιν δὲ, ὅταν ἱδρώσῃ 36 καὶ ἀπαλλαγῇ ὁ πυρετὸς, 37 πολὺ μᾶλλον ἔψυξεν, ἢ εἰ μὴ ἔλαβε τὴν ἀρχήν. 38 ᾧ οὖν διὰ ταχέος οὕτω παραγίνεται τὸ ἐναντιώτατόν τε 39 καὶ ἀφαιρεόμενον τὴν δύναμιν ἀπὸ ταυτομάτου, 40 τί ἂν ἀπὸ τούτου μέγα ἢ δεινὸν γένοιτο; 41 ἢ τίνος δεῖ πολλῆς ἐπὶ τοῦτο βοηθείης;

XXX. Εἴποιεν ἄν τις· 2 ἀλλ' οἱ πυρεταίνοντες τοῖσι καύσοισί τε 3 καὶ περιπλευμονίῃσι, 4 καὶ ἄλλοισιν ἰσχυροῖσι νουσήμασιν, 5 οὐ ταχέως ἐκ τῆς θέρμης ἀπαλλάσσονται. 6 οὐδὲ πάρεστιν ἐνταῦθα τὸ θερμὸν ἐπὶ τὸ ψυχρόν. 7 ἐγὼ δὲ τοῦτό μοι μέγιστον τεκμήριον ἡγεῦμαι εἶναι, 8 ὅτι οὐ διὰ τὸ θερμὸν ἁπλῶς πυρεταίνουσιν οἱ ἄνθρωποι, 9 οὐδὲ τοῦτ' εἴη τὸ αἴτιον τῆς κακώσιος μοῦνον· 10 ἀλλ' ἔστι καὶ πικρὸν, καὶ θερμὸν τὸ αὐτό· 11 καὶ θερμὸν καὶ ὀξύ· 12 καὶ ἁλμυρὸν καὶ θερμόν· 13 καὶ ἄλλα μυρία· 14 καὶ πάλιν γε ψυχρὸν μετὰ δυναμίων ἑτέρων. 15 τὰ μὲν οὖν λυμαινόμενα ταῦτ' ἐστί. 16 συμπάρεστι δὲ καὶ τὸ θερμὸν, ῥώμης μετέχον. 17 ὡς ἂν τὸ ἡγεύμενον, καὶ παροξυνόμενον, καὶ αὐξανόμενον ἅμα κείνῳ. 18 δύναμιν δὲ οὐδεμίην πλείω τῆς προσηκούσης δηλαδή. 19 ταῦτ' ὧδε ἔχει.

XXXI. Ἐπεὶ

25 Cæterum circa ægrotos, 26 nonne quibus rigor contingit, his acutissima febris relucet? 27 sed non adeo fortiter, 28 verum pauco tempore quiescens, 29 & alias 'fere innoxia, 30 & quo tempore affuerit, percalida, 31 & per totum corpus penetrans, 32 desinens maxime in pedes, 33 ubi sane rigor & frigus validissimum 34 diutissime duravit. 35 Rursus cum sudor prodierit 36 & febris decesserit, 37 multo magis frigescit æger, quam si ne apprehendisset quidem ab initio. 38 Cui igitur brevi adeo contrarium accedit, 39 cuique vis adimitur sua sponte, 40 quidnam ab hoc magnum aut grave 'fiat? 41 aut quid opus est multo ad hoc auxilio?

XXX. Verum dixerit aliquis. 2 Qui ardenti febre febricitant, 3 itemque peripneumoniis, 4 & aliis fortibus morbis, 5 non cito ex calore liberantur, 6 neque adest hic frigidum adversus calidum. 7 Atqui ego hoc maximum signum esse puto, 8 quod non propter calidum simpliciter homines febricitent, 9 neque hoc sit simpliciter afflictionis causa: 10 sed est & amarum ac calidum idem, 11 '& calidum ac acidum, 12 & salsum ac calidum, 13 & alia infinita, 14 & rursus frigidum cum aliis facultatibus conjunctum. 15 hæc itaque sunt quæ lædunt, 16 si simul adest autem & calidum robore participans, 17 nimirum ducens & exacerbans & augens simul cum illis, 18 verum nullam potentiam, majorem quam convenit videlicet, habens. 19 Atque hæc quidem sic se habent.

XXXI. Si-

XXXI. Ἐπὶ τῶνδε δὲ σημειώσομαι, ἐπεὶ τοι μὲν ἐστι φανερώτατα, [2] ὧν πάντες ἔμπειροι πολλάκις ἤδη ἐσμέν τε καὶ γενόμεθα. [3] Τοῦτο μὲν, ὁκόσοισιν ἂν ἡμέων κόρυζα ἐξηθέη, [4] καὶ ῥεῦμα κινηθῇ διὰ τῶν ῥινέων, [5] τοῦτο ὡς πολὺ δριμύτερον τὸ πρότερον γενόμενόν τε καὶ ἰὸν [6] ἐκ τῶν ῥινέων καθ' ἑκάστην ἡμέρην, [7] καὶ οἰδέειν μὲν ποιέει τὴν ῥῖνα, [8] καὶ συγκαίει θερμήν τε καὶ διάπυρον ἐσχάτως, [9] ἢν δὲ τὴν χεῖρα προσφέρῃς, [10] καὶ πλείω χρόνον παρῇ, [11] καὶ ἐξελκοῦται τὸ χωρίον, ἄσαρκόν τε καὶ σκληρὸν ἐόν. [12] Παύεται δέ πως τόγε καῦμα ἐκ τῆς ῥινὸς, [13] οὐχ ὅταν τὸ ῥεῦμα γίνηται, [14] καὶ ἡ φλεγμονὴ ᾖ· [15] ἀλλ', ἐπειδὰν παχύτερόν τε καὶ ἧσσον δριμὺ, [16] πέπον τε καὶ μεμιγμένον μᾶλλον τῷ προτέρῳ γενόμενον, [17] τότ' ἤδη καὶ τὸ καῦμα πέπαυται. [18] Ἄλλοισι δὲ ὑπὸ ψύχεος φανερῶς αὐτοῦ μούνου γίνεται, μηδενὸς ἄλλου ξυμπαραγενομένου. [19] Πᾶσιν δὲ αὐτὴ ἡ ἀπαλλαγὴ, [20] ἐκ μὲν τοῦ ψύχεος, διαθερμανθῆναι· [21] ἐκ δὲ τοῦ καύματος, διαψυχθῆναι. [22] Καὶ ταῦτα ταχέως παραγίνεται, [23] καὶ πέψιος οὐδεμιῆς προσδεῖται. [24] Τὰ δ' ἄλλα πάντα [25] ὅσα διὰ χυμῶν δριμύτητας καὶ ἀκρησίας φημὶ ἔγωγε γίνεσθαι, [26] τὸν αὐτὸν τρόπον ἀποκαθίσταται [27] κρηθέντα καὶ πεφθέντα.

XXXII. Ὅσα τ' αὖ ἐπὶ τοὺς ὀφθαλμοὺς τρέπεται τῶν ῥευμάτων, [2] ὡς ἰσχυρὰς καὶ παντοίας δριμύτητας ἔχοντα· [3] ἑλκοῖ μὲν βλέφαρα, [4] κατεσθίει δὲ ἐνίων γνάθους τε καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖς, [5] ἐφ' ὅ, τι ἂν ἐπιῤῥυῇ, [6] ῥηγνυσί τε καὶ

XXXI. Signa porro primum quidem manifestissima producemus, [2] quorum omnes jam sæpe experientiam sumpsimus. [3] Itaque quibuscunque nostrum 'gravedo innascitur, [4] & fluxus per nares movetur, [5] hic utplurimum acrior est eo qui prius erat, [6] & quotidie ex naribus prodibat; [7] & tumescere facit nasum, [8] & exurit calentem & extreme ignitum: [9] si vero manum admoveas, [10] & diutius perseveraverit, [11] etiam exulceratur locus minime carnosus & durus existens. [12] Sedatur autem 'aliquo modo ardor in naribus, [13] non quum fluxus prodit, [14] & inflammatio consistit: [15] sed postquam fluxus crassior & minus acris, [16] concoctusque & magis permixtus priore fuerit, [17] tunc sane jam etiam ardor cessat. [18] Rursus autem aliis ex frigiditate ipsa sola manifeste gravedo fit, nullo alio accedente. [19] Omnibus autem liberatio hæc est, [20] ut ex frigiditate quidem affecti percalefiant, [21] ex ardore vero perfrigerentur, [22] atque 'hæc brevi accedunt, [23] & concoctione nulla opus habent. [24] Reliquæ autem omnes fluxiones, [25] quas propter humorum acrimonias & intemperantias ego fieri sentio, [26] restituuntur & curantur, [27] ubi temperatæ fuerint & concoctæ.

XXXII. Rursus quæcunque fluxiones ad oculos vertuntur, [2] ut fortes & omnigenas acrimonias habentes, [3] exulcerant quidem palpebras, [4] erodunt autem aliquorum genas, & sub oculis partes, [5] 'ad quascunque tandem influxerint, [6] rumpunt etiam & peredunt eam, quæ oculum ambit tunicam.

καὶ διαθέει [6] τὰ ἀμφὶ τὴν ὄψιν χιτώνια. [7] ὀδύναι δὲ [8] καὶ καῦμα [9] καὶ φλογμὸς ἔσχατος κατέχει μέχρι τινὸς, [10] μέχρις ἂν τὰ ῥεύματα πεφθῇ, [11] καὶ γένηται παχύτερα, [12] καὶ λῆμαι ἀπ' αὐτέων ἔῃ. 15 [13] τὸ δὲ πεφθῆναι γίνεται [14] ἐκ τοῦ μιχθῆναι, [15] κρηθῆναί τε ἀλλήλοισι, [16] καὶ συνεψηθῆναι.

XXXIII. Τὰ δ' ὅσα ἐς τὴν φάρυγγα, [2] ἀφ' ὧν βράγχοι γίνονται, [3] κυνάγχαι, [4] ἐρυσιπέλατα, [5] περιπνευμονίαι· [6] πάντα ταῦτα τὸ μὲν πρῶτον ἁλμυρά τε καὶ ὑγρὰ καὶ δριμέα ἀφίει· [7] καὶ ἐν τοῖσι τοιούτοισιν ἔρρωται τὰ νοσήματα. [8] ὅταν δὲ παχύτερα καὶ πεπαίτερα γίνηται, [9] καὶ πάσης δριμύτητος ἀπηλλαγμένα, [10] τότ' ἤδη καὶ οἱ πυρετοὶ λύονται, [11] καὶ τἄλλα τὰ λυπέοντα τὸν ἄνθρωπον. [12] δεῖ δὲ δή που ταῦτα 20 αἴτια ἑκάστου ἡγεῖσθαι· [13] ὧν παρεόντων μὲν, τοιοῦτον τρόπον ἀνάγκη γίνεσθαι· [14] μεταβαλλόντων δὲ ἐς ἄλλην κρῆσιν, παύεσθαι. [15] ὁκόσα οὖν ἀπὸ αὐτέης τῆς θέρμης εἰλικρινέος [16] ἢ ψύξιος γένηται, [17] καὶ μὴ μετέχῃ ἄλλης δυνάμιος μηδεμιῆς, [18] οὕτω παύοιτ' ἂν, ὅταν μεταβάλλῃ ἐκ τοῦ ψυχροῦ ἐς τὸ θερμόν· [19] καὶ ἐκ τοῦ θερμοῦ ἐς τὸ ψυχρόν. [20] μεταβάλλει δὲ, ὅν μοι προείρηται, τρόπον.

XXXIV. Ἔτι τοίνυν τἄλλα, ὅσα κακοπαθέει ἄνθρωπος, πάντα ἀπὸ δυναμίων γίνεται. [2] τοῦτο μὲν, [1] ὅταν πικρότης τις ἀποχυθῇ, [3] ἣν 25 δὴ χολὴν ξανθὴν καλέομεν, [4] οἷαι ἆσαι, [5] καὶ καῦμα, [6] καὶ ἀδυναμίαι κατέχουσιν; [7] ἀπαλλασσόμενοί τε τούτου ἐνίοτε, [8] καὶ καθαιρόμενοι, [9] ἢ αὐτόματοι, [10] ἢ ὑπὸ φαρμάκου, [11] ἢν ἐν καιρῷ τι

46 nicam. [7] dolores autem [8] & ardor, [9] & inflammatio extrema adſunt aliquandiu, [10] donec fluxiones fuerint concoctæ, [11] & craſſiores redditæ, [12] & lemæ ab ipſis extiterint. [13] Fit autem concoctio, [14] ex permixtione, [15] temperaturaque mutua, [16] & quaſi coctura.

XXXIII. Quinetiam fluxiones in fauces delabentes, [2] ex quibus raucedines fiunt, [3] anginæ, [4] erysipelata, [5] peri- 315 pneumoniæ; [6] omnes hæ primum ſalſæ quidem & humidæ acreſque deſcendunt, [7] & in talibus morbi firmantur. [8] Ubi vero craſſiores & maturiores factæ fuerint, [9] & ab omni acrimonia liberatæ, [10] tunc jam & febres, [11] & alia hominem lædentia ſolvuntur. [12] Oportet autem utique cauſas uniuſcujuſque ea putare, [13] quæ quum adſunt, talem modum fieri neceſſe eſt, [14] quum permutantur in aliud temperamentum, 320 ceſſare. [15] Quando igitur ab ipſa caliditate ſincera, [16] aut frigiditate fluxiones contigerint, [17] & nulla alia facultate participaverint, [18] ſic ſane ſedabuntur, ubi ex frigido in calidum permutatæ fuerint, [19] & ex calido in frigidum. [20] Permutantur autem eo, quem dixi, modo.

XXXIV. Amplius porro etiam alia quæcunque mala homo patitur, omnia à facultatum potentiis proficiſcuntur. [2] Itaque quum amaritudo quædam diffuſa fue- 325 rit, [3] quam bilem flavam appellare ſolemus, [4] quales ſtatim anxietates, [5] & æſtus, [6] & impotentiæ occupant? [7] Verum ubi liberati fuerimus ab illa, [8] & purgati, [9] aut ſponte, [10] aut per medicamentum, [11] ſi modo tempeſtive quid ipſorum

C fiat,

ἢ αὐτέων γένηται, [12] φανερῶς καὶ τῶν πόνων καὶ τῆς θέρμης ἀπαλλάσσονται. [13] ὅσον δ' ἂν χρόνον ταῦτα μετέωρα [14] ᾖ καὶ ἄπεπτα [15] καὶ ἄκρητα, [16] μηχανὴ οὐδεμίη, οὔτε τῶν πόνων παύσασθαι, οὔτε τῶν πυρετῶν. [17] ἢ, οἷσι μὲν ὀξύτητες προσίστανται δριμεῖαί τε καὶ ἰώδεες, [18] οἷαι λύσσαι, [19] καὶ δήξιες σπλάγχνων καὶ θώρηκος, [20] καὶ ἀπορίη; [21] οὐ παύεται τούτου πρότερον πρὶν ἀποκαθαρθῇ τε [22] καὶ καταστορεσθῇ, [23] καὶ μιχθῇ τοῖσιν ἄλλοισι.

XXXV. Πέσσεσθαι δὲ [2] καὶ μεταβάλλειν [3] καὶ λεπτύνεσθαι [4] καὶ παχύνεσθαι ἐς χυμῶν εἶδος, [5] διὰ πολλῶν εἰδέων καὶ παντοίων· [6] διὸ καὶ αἱ κρίσιες [7] καὶ οἱ ἀριθμοὶ τῶν χρόνων, [8] ἐν τοῖσι τοιούτοισι μέγα δύνανται. [9] πάντων δὴ τούτων ἥκιστα προσήκει θερμῷ ἢ ψυχρῷ πάσχειν. [10] οὔτε γὰρ ἂν τοῦτό γε σαπῇ, οὔτε παχυνθῇ. [11] τί δ' ἂν αὐτὸ φαίημεν εἶναι; [12] κρήσιές τε αὐτέων εἰσὶ, [13] πλείω πρὸς ἄλληλα ἔχουσαι δύναμιν. [14] ἐπεὶ ἄλλῳ γε οὐδενὶ τὸ θερμὸν μιχθὲν παύσεται τῆς θέρμης, ἢ τῷ ψυχρῷ· [15] οὐδέ γε πάλιν τὸ ψυχρὸν, ἢ τῷ θερμῷ. [16] τὰ δ' ἄλλα περὶ τὸν ἄνθρωπον, [17] ὅσῳ ἂν πλέοσι μίσγηται, [18] τοσούτῳ ἠπιώτερα καὶ βελτίονα. [19] πάντων δὲ ἄριστα διάκειται ἄνθρωπος, [20] ὅταν πέσσηται [21] καὶ ἐν ἡσυχίῃ ᾖ, [22] μηδεμίην δύναμιν ἰδίην ἀποδεικνύμενος. [23] περὶ μὲν οὖν τούτων ἱκανῶς μοι ἡγεῦμαι ἐπιδεδεῖχθαι.

XXXVI. Λέγουσι δέ τινες καὶ ἰητροὶ [2] καὶ σοφισταὶ, [3] ὡς οὐκ ἔνι δυνατὸν ἰητρικὴν εἰδέναι, [4] ὅστις μὴ

fiat, [12] manifeste & à doloribus & à calore liberamur. [13] Quanto autem tempore eadem elevata fuerit [14] & cruda [15] & meraca ac intemperata, [16] nulla arte neque dolores, neque febres sedare possis. [17] Et quos quidem acuta acrisque ac æruginosa bilis affligit, [18] quales mox rabies, [19] & morsus viscerum ac pectoris, [20] & desperatio? [21] Non sedantur autem hæc, priusquam eadem expurgetur [22] & prosternatur, [23] & aliis permisceatur.

XXXV. Concoqui autem, [2] & permutari, [3] attenuarique [4] ac crassescere in humorum speciem, [5] per multas & omnigenas species contingit. [6] Quapropter & judicationes, [7] & numeri temporum, [8] in talibus multum possunt. [9] Hæc vero omnia minime contingit calidum aut frigidum perpeti. [10] neque enim hoc putrescere, neque crassescere poterit. [11] Quid autem ipsum esse diceremus? [12] & temperamentum ipsorum est, [13] verumtamen inter ipsas mutuo vim habens; [14] quoniam nulli alii permixtum calidum, desinit esse calidum, quam frigido; [15] sic rursus non permutatur alio frigidum, quam calido. [16] Reliqua omnia in homine, [17] quanto pluribus misceantur, [18] tanto mitiora ac meliora fiunt. [19] At vero homo omnium optime dispositus est, [20] ubi concoquit [21] & in quiete est, [22] nullam peculiarem vim præ se ferens. [23] De his igitur videor mihi abunde demonstrationem fecisse.

XXXVI. Porro Medici quidam, [2] itemque Sophistæ dicunt, [3] quod impossibile est medicinam cognoscere, [4] eum qui non novit

μὴ οἶδεν, ὅ, τί ἐστιν ἄνθρωπος, [5] καὶ ὅπως ἐγένετο πρῶτον, [6] καὶ ὅπως συνεπάγη. [7] ἐγὼ δὲ τουτέων μὲν ὅσα τινὶ εἴρηται σοφιστῇ, ἢ ἰητρῷ, ἢ γέγραπται περὶ φύσιος, [8] ἧσσον νομίζω τῇ ἰητρικῇ τέχνῃ προσήκειν, [9] ἢ τῇ γραφικῇ. [10] νομίζω δὲ, ὅτι περὶ φύσιος γνῶναί τι σαφὲς, οὐδαμόθεν ἄλλοθεν εἶναι, ἢ ἐξ ἰητρικῆς. [11] τοῦτο δὲ οἷόν τε καταμαθεῖν, [12] ὅταν αὐτήν τις τὴν ἰητρικὴν ὀρθῶς πᾶσαν περιλάβῃ. [13] μέχρι δὲ τούτου πολλοῦ μοι δοκεῖ δεῖν. [14] λέγω δὲ τὴν ἱστορίην ταύτην εἰδέναι, [15] ἄνθρωπος τί ἐστι, [16] καὶ δι' οἵας αἰτίας γίνεται, [17] καὶ τἄλλα ἀκριβέως. [18] ἐπεί τοι γέ μοι δοκεῖ ἀναγκαῖον εἶναι παντὶ ἰητρῷ, περὶ φύσιος εἰδέναι, [19] καὶ πάνυ σπουδάσαι, ὡς εἴσεται, [20] εἴ περ τι μέλλει τῶν δεόντων ποιήσειν· [21] ὅ, τί ἐστιν ἄνθρωπος πρὸς τὰ ἐσθιόμενα καὶ πινόμενα· [22] καὶ ὅ, τι ἀφ' ἑκάστου ἑκάστῳ συμβήσεται. [23] καὶ μὴ ἁπλῶς οὕτω δοκέειν, ὅτι πονηρὸν βρῶμα τυρός. [24] πόνον γὰρ φέρει τῷ πληρωθέντι αὐτέου· [25] ἀλλὰ τίνα τε πόνον, [26] καὶ διὰ τί, [27] καὶ τίνι τῶν ἀνθρώπῳ ἐνεόντων ἀνεπιτήδειον. [28] ἔστι γὰρ καὶ ἄλλα πολλὰ βρώματα καὶ πόματα φύσει πονηρὰ, [29] καὶ διατίθησι τὸν ἄνθρωπον, οὐ τὸν αὐτὸν τρόπον.

XXXVII. Οὕτως οὖν μοι ἔστω ὁ λόγος, [2] οἷον, οἶνος ἄκρητος πολὺς ποθεὶς [3] διατίθησί πως τὸν ἄνθρωπον ἀσθενέα. [4] καὶ ἅπαντες ἂν ἰδόντες τοῦτο γνοίησαν, [5] ὅτι αὕτη ἡ δύναμις οἴνου, [6] καὶ αὐτὸς ἐστὶν αἴτιος. [7] καὶ οἷσί γε τῶν ἐν τῷ ἀνθρώπῳ τοῦτο μάλιστά γε δύναται, οἴδαμεν. [8] τοιαύτην δὴ βούλομαι ἀληθείην καὶ περὶ τῶν ἄλλων

vit quid sit homo, [5] & quomodo primum factus [6] & compactus sit? [7] Ego vero ea, quæ alicui sophistæ aut medico, de natura dicta sunt aut scripta, [8] minus censeo medicæ arti convenire, [9] quam pictoriæ. [10] Judico autem de natura aliquid manifestum ac evidens cognoscere, ex nulla parte aliunde contingere quam ex Medicina. [11] Atque hoc tunc condiscere possibile est, [12] ubi quis ipsam Medicinam totam recte comprehenderit. [13] Verum quatenus illi prodiderunt, multi mihi cognovisse videntur; [14] cognovisse autem dico, narrationem scilicet hanc: quid est [15] homo, [16] & ob quas causas nascitur, [17] & reliqua diligenter. [18] Atque mihi necessarium esse videtur, ut omnis Medicus de naturâ sciat, [19] & omni studio annitatur ut cognoscat, ([20] si modo aliquid eorum quæ fieri debent recte præstare velit,) [21] quid est homo ad ea, quæ comeduntur ac bibuntur, comparatus, [22] & quid cuique ab unoquoque continget ac accidet, [23] & non simpliciter sic existimare, quod malum edulium est caseus. [24] Dolorem enim affert repletio ex ipso. [25] Sed quem dolorem, [26] & propter quid, [27] & cui parti intra hominem existenti incommodum existit. [28] Nam & alia multa edulia ac pocula natura mala sunt, [29] & afficiunt hominem non eodem modo.

XXXVII. Proferatur autem mihi verbi causa aliquid, [2] velut vinum meracum multum potum [3] hominem aliquo modo debilem reddit, [4] & omnes qui viderint hoc fatentur & cognoscunt, [5] quod hæc est vis vini, [6] & quod ipsum est causa, [7] & in quas in homine partes maxime possit novimus. [8] Talem

λων φανῆναι. ⁹ τυρὸς γὰρ, ἐπειδὰν τουτέῳ σημείῳ ἐχρησάμην, ¹⁰ οὐ πάντας ἀνθρώπους λυμαίνεται, ¹¹ ἀλλ' εἰσὶν, οἵ τινες αὐτοῦ πληρεύμενοι οὐδ' ὁτιοῦν βλάπτονται· ¹² ἀλλὰ καὶ τοῖσιν ἰσχύουσιν ὧν ξυμφέρει θαυμασίως παρέχεται. ¹³ εἰσὶ δὲ οἱ χαλεπῶς ἀπαλλάσσουσι. ¹⁴ διαφέρουσι δὲ τουτέων αἱ φύσιες. ¹⁵ διαφέρουσι δὲ κατὰ τοῦτο, ὅπερ ἐν τῷ σώματι ἔνεστι πολέμιον τυρῷ, ¹⁶ ὑπὸ τοιουτέου ἐγείρεταί τε καὶ κινέεται. ¹⁷ εἰσὶν ὁ τοιοῦτος χυμὸς τυγχάνει πλείων ἐνεὼν, ¹⁸ καὶ μᾶλλον ἐνδυναστεύων ἐν τῷ σώματι, τουτέους μᾶλλον καὶ κακοπαθέειν εἰκός. ¹⁹ εἰ δὲ πάσῃ τῇ ἀνθρωπίνῃ φύσει ἦν κακὸν, ²⁰ πάντας ἂν ἐλυμαίνετο. ²¹ ταῦτα δὲ εἴ τις εἰδείη, οὐκ ἂν πάσχοι. ²² τὰ δ' ἐν τῇσιν ἀνακομιδῇσι, τῇσιν ἐκ τῶν νούσων, ²³ ἔτι δὲ καὶ ἐν τῇσι νούσοισι τῇσι μακρῇσι γίνονται ²⁴ πολλαὶ συμπαραφθαπέξιες, ²⁵ αἱ μὲν ἀπὸ ταὐτομάτου, ²⁶ αἱ δὲ καὶ ἀπὸ τῶν προσενεχθέντων τῶν τυχόντων.

XXXIIX. Οἶδα δὲ τοὺς ἰητροὺς τοὺς πολλοὺς, ὡς τοὺς ἰδιώτας, ² ἢν τύχωσι περὶ τὴν ἡμέρην ταύτην τι κεκαινουργηκότες, ³ ὡς λουσάμενοι, ⁴ ἢ περιπατήσαντες, ⁵ ἢ φαγόντες τι ἑτεροῖον, ⁶ (ταῦτα δὲ πάντα βελτίω, προσενηνεγμένα ἢ μὴ) ⁷ οὐδὲν ἧσσον τὴν αἰτίην τουτέων τινὶ ἀνατιθέντας· ⁸ τὸ μὲν αἴτιον ἀγνοεῦντας· ⁹ τὸ δὲ συμφορώτατον, ἢν οὕτως τύχωσιν, ἀφανίσαντας. ¹⁰ δεῖ δὲ οὔ· ¹¹ ἀλλ' εἰδέναι, τί λουτρὸν ἀκαίρως προσγινόμενον ἐργάσεται, ¹² ἢ τί κόπος. ¹³ οὐδέποτε γὰρ ἡ αὐτὴ κακοπαθίη τουτέων, ¹⁴ οὐδ' ἑτέρου, ¹⁵ οὐδέ γε ἀπὸ πληρώσιος,

itaque veritatem etiam de aliis ostendere volo. ⁹ Etenim caseus (quandoquidem hunc in exemplum adsumpsi) ¹⁰ non omnes homines lædit, ¹¹ sed sunt qui ex ipso repleti, ne tantillum quidem offenduntur, ¹² imo gracilibus mirabiliter etiam conferre proditur. ¹³ Sunt autem qui difficulter summoventes ipsum ab eo liberantur. ¹⁴ Horum vero naturæ differunt, ¹⁵ differuntque etiam juxta hoc, quod est in corpore caseo contrarium. ¹⁶ Nam à caseo excitatur & commovetur, ¹⁷ in his quibus ejusmodi humor multus in corpore existit, ¹⁸ & quo magis hic potens est, eo magis verisimile est ipsos male affligi. ¹⁹ Si vero toti humanæ naturæ malus esset, ²⁰ omnes utique læderet. ²¹ Hæc autem si quis novisset, non incurreret ea neque sane pateretur. ²² In refectionibus porro convalescentium ex morbis, ²³ insuperque in longis ægritudinibus, ²⁴ multæ conturbationes & prævaricationes fiunt, ²⁵ partim sua sponte, ²⁶ partim à quibuslibet temere admissis.

XXXIIX. Novi autem medicos multos veluti idiotas, ² qui ubi illi die aliqua novi quippiam fecissent, ³ velut si lavissent, ⁴ aut deambulassent, ⁵ aut quid alienum comedissent, ⁶ (atque hæc omnia melius esset adhibuisse quam non) ⁷ nihilominus tamen causam alicui ex his contribuebant, ⁸ veram quidem causam ignorantes, ⁹ & fortassis id, quod commodissimum erat, damnantes. ¹⁰ Quod ipsum certe facere non oportet, ¹¹ sed scire, quid balneum intempestive adhibitum operetur, ¹² quid item fatigatio & lassitudo. ¹³ Nunquam enim eadem afflictio ab his provenit, ¹⁴ neque ab alio; ¹⁵ neque etiam

ῥώσιος, [16] ὁ δὲ μὴ ἀπὸ βρώματος, [17] τοίου ἢ τοίου. [18] ὅς τις οὖν ταῦτα μὴ εἴσεται, [19] ὡς ἕκαστα ἔχει πρὸς τὸν ἄνθρωπον, [20] οὔτε γινώσκειν τὰ γινόμενα ἀπ' αὐτέων δυνήσεται, [21] οὔτε χρέεσθαι ὀρθῶς.

XXXIX. Δεῖν δέ μοι δοκέει καὶ ταῦτ' εἰδέναι, [2] ὅσα τῷ ἀνθρώπῳ παθήματα ἀπὸ δυναμίων ἔρχεται, [3] καὶ ὅσα ἀπὸ σχημάτων. [4] λέγω δή τι τοῦτο· [5] δύναμιν μὲν εἶναι, [6] τῶν χυμῶν εἰδέναι τὰς ἀκρότητας καὶ ἰσχύν. [7] σχήματα δὲ λέγω, ὅσα 25 ἔνεστιν ἐν τῷ ἀνθρώπῳ. [8] τὰ μὲν γὰρ κοῖλά τε [9] καὶ ἐξ εὐρέος ἐς στενὸν συνηγμένα· [10] τὰ δὲ, καὶ ἐκπεπταμένα· [11] τὰ δὲ, στερεά τε καὶ στρογγύλα· [12] τὰ δὲ, πλατέα καὶ ἐπικρεμάμενα· [13] τὰ δὲ, διατεταμένα· [14] τὰ δὲ, μακρά· [15] τὰ δὲ, πυκνά· [16] τὰ δὲ, μανά τε καὶ τεθηλότα· [17] τὰ δὲ, σπογγοειδέα καὶ ἀραιά. [18] τοῦτο μὲν ἑλκύσαι ἐφ' ἑωυτὸ, καὶ ἐπισπάσασθαι ὑγρότητα ἐκ τοῦ ἄλλου σώματος, [19] πότερον τὰ κοῖλά τε καὶ ἐκπεπταμένα, [20] ἢ τὰ στερεά τε καὶ στρογγύλα, [21] ἢ τὰ κοῖλά τε καὶ ἐς στενὸν ἐξ εὐρέος συνηγμένα, 30 δύναιτ' ἂν μάλιστα; [22] οἶμαι μὲν τὰ τοιαῦτα ἐς στενὸν συνηγμένα ἐκ κοίλου τε καὶ εὐρέος. [23] καταμανθάνειν δὲ δεῖ αὐτὰ ἔξωθεν ἐκ τῶν φανερῶν. [24] τοῦτο μὲν γὰρ τῷ στόματι κεχηνὼς, ὑγρὸν οὐδὲν ἀνασπάσεις. [25] προμυλλήνας δὲ καὶ συστείλας, πιέσας τε τὰ χείλεα, [26] ἔτι τε αὐλὸν προσθέμενος, [27] ῥηιδίως ἀνασπάσειας ἂν, ὅ, τι θέλεις. [28] τοῦτο δὲ, αἱ σικύαι προσβαλλόμεναι ἐξ εὐρέος ἐς στενώτερον ξυνηγμέναι πρὸς τοῦτο τετεχνέαται, [29] πρὸς τὸ ἕλκειν ἀπὸ τῆς σαρκὸς καὶ 35 ἐπισπᾶσθαι. [30] ἀλλά τε πολλὰ τοιουτό-

etiam ex repletione, [16] neque ex cibo [17] tali vel tali. [18] Quisquis igitur hæc non cognoscet, [19] quomodo singula se habeant ad hominem comparata, [20] is neque cognoscere, quæ ab ipsis fiunt, poterit, [21] neque recte uti.

XXXIX. Cæterum & hæc cognoscere oportere mihi videtur, [2] nimirum quæ affectiones homini ex facultatibus ac potentiis, [3] quæ item ex figuris adveniunt. [4] Quod autem dico tale est. [5] Nempe facultatem quidem esse, [6] humorum summas vires ac robur nosse; [7] Figuras autem dico, quæ in ipso homine insunt: [8] Aliæ enim cavæ sunt, [9] & ex amplitudine in arctum coactæ, [10] aliæ expassæ, [11] aliæ solidæ & rotundæ, [12] aliæ latæ & pensiles, [13] aliæ extentæ, [14] aliæ longæ, [15] aliæ densæ, [16] aliæ raræ & hiantes, [17] aliæ spongiformes ac molles. [18] Quæ igitur ex his trahere ad sese alliceréque humiditatem ex reliquo corpore maxime possunt? [19] Num cavæ & expassæ, [20] an solidæ & rotundæ, [21] aut cavæ & in arctum ex amplitudine coactæ? [22] Equidem puto tales esse, quæ ex cavitate & amplitudine in arctum sunt coactæ? [23] Id quod ex manifestis forinsecus condiscere oportet, [24] partim quidem quod ore hians nihil fane humoris attraxeris, [25] ubi vero labra foras produxeris, contraxerisque ac compresseris, [26] insuperque fistulam admoveris, [27] facile fane attraxeris quicquid volueris. [28] partim vero quod cucurbitæ, quæ corpori adponi solent, ex amplitudine in angustiam arctatæ ad hoc factæ sunt, [29] ad trahendum videlicet & alliciendum ex carne. [30] Sunt autem & alia multa ejuscemodi.

τοιουτότροπα. 31 ἔσω δὲ τοῦ ἀνθρώπου φύσις καὶ σχήματα τοιαῦτα· 32 κύστις τε, 33 καὶ κεφαλὴ, 34 καὶ ὑστέραι γυναιξί. 35 καὶ φανερῶς ταῦτα μάλιστα ἕλκει. 36 καὶ πλήρεά ἐστιν ἐπεισάκτου ὑγρότητος αἰεί. 55 37 τὰ δὲ κοῖλα καὶ ἐκπεπταμένα ἐπιρρυεῖσαν μὲν ἂν ὑγρότητα μάλιστα δέξαιτο πάντων 38 ἐπισπάσαιτο δ' ἂν οὐχ ὁμοίως. 39 τὰ δέ γε στερεὰ καὶ στρογγύλα οὔτ' ἂν ἐπισπάσαιτο, οὔτ' ἂν ἐπιρρυεῖσαν ἐδέξαιτο, 40 περιολισθάνοι τε γὰρ ἂν, καὶ οὐκ ἔχοι ἕδρην, ἐφ' ἧς μένοι.

40 XL. Τὰ δὲ σπογγοειδέα τε καὶ ἀραιὰ, 2 οἷον σπλὴν, 3 πνεύμων, 4 καὶ μαζοὶ προσκαθεζόμενα μάλιστα ἀναπίνει; 5 καὶ σκληρυνθέντα καὶ αὐξηθέντα, ὑγρότητος προσγενομένης. 6 ταῦτα, μάλιστα ὁ πνεύμων. 56 7 οὐ γὰρ ἂν, ὥσπερ ἐν κοιλίῃ ἐνὸν τὸ ὑγρὸν, 8 ἔξω τε περιέχει 9 αὐτὴ ἡ κοιλίη τὸ ὑγρὸν, 9 καὶ 57 ἐξαντλίζοιτ' ἂν καθ' ἑκάστην ἡμέρην. 10 ἀλλ' ὅταν πίῃ καὶ δέξηται αὐτὸς ἐς ἑωυτὸν τὸ ὑγρὸν, 11 τὰ κενὰ, καὶ ἀραιὰ, καὶ τὰ σμικρὰ πάντα. 12 καὶ ἀντὶ ἀραιοῦ τε καὶ μαλθακοῦ, σκληρός τε καὶ πυκνὸς ἐγένετο, 45 13 καὶ οὔτ' ἐκπέσσει, 14 οὔτ' ἀφίησι. 15 ταῦτα δὲ πάσχει διὰ τὴν φύσιν τοῦ σχήματος. 16 ὅσα δὲ φῦσάν τε καὶ ἀνειλήματα ἐνεργάζονται 58 ἐν τῷ σώματι, 17 προσήκει ἐν μὲν τοῖσι κοίλοισί τε καὶ εὐρυχωρέσι, 18 οἷον κοιλίῃ τε καὶ θώρηκι 19 ψόφον τε καὶ πάταγον ἐμποιέειν. 20 ὅτι γὰρ ἂν μὴ ἀποπληρώσῃ οὕτως ὥστε στῆναι, 21 ἀλλ' ἔχῃ μεταβολάς τε καὶ κινήσιας, 22 ἀνάγκη ὑπ' αὐτέων καὶ ψόφον καὶ καταφανέας κινήσιας γίνεσθαι. 23 ὅσα δὲ σαρκώδεά τε καὶ μαλθακὰ, 24 ἐν τοῖσι τοι-

cemodi. 31 Verum intra hominem natura & figura talia, sunt 32 vesica, 33 & caput, 34 & uterus in mulieribus; 35 atque hæc manifeste maxime trahunt, 36 & semper plena sunt attractæ humiditatis. 37 At vero cavæ & expassæ figuræ, influentem quidem humorem maxime omnium susceperint, 38 non autem similiter attraxerint. 39 Solidæ autem & rotundæ 405 neque attraxerint, neque susceperint: 40 dilabitur enim & non habet sedem in qua maneat.

XL. Spongiformes vero & molles, 2 velut lien, 3 pulmo, 4 & mammæ, ubi admotæ maxime fuerint & adhæserint, ebibunt; 5 duraque fiunt ac augescunt humore accedente, 6 maxime pulmo. 7 Non enim in ventriculo inest, 8 in quo humorem extrinsecus continet ipse ventriculus in quo est humor, 9 & quotidie exhauritur: 10 sed quum 410 biberit & susceperit ipse in seipsum humorem, 11 & vacua, & rara, ac parva penitus explentur, 12 & pro raro ac molli, durus ac densus evadit, 13 & neque concoquit, 14 neque dimittit. 15 Atque hæc patitur propter figuræ naturam. 16 Quæcunque autem flatum & revolutiones operantur in corpore, 17 ea in cavis ac amplis, 18 veluti ventre ac pectore, 19 strepitum ac sonitum facere solent. 20 Etenim quod non 415 sic repleant ut stent, 21 sed habent transmutationes & motus, 22 necesse est ut ab ipsis & strepitus & manifestæ commotiones fiant. 23 Quæcunque vero carnosa sunt & mollia, 24 in talibus torpores & exere-

scentia,

τετίοισι [24] νάρκαι τε καὶ ἀπληρώματα, [25] οἷα ἐν τοῖσιν ἀποσφαγεῖσι, γίνεται.

XLI. [1] Ὅταν δ' ἐξεύρῃ πλατέα τε καὶ ἀντικείμενα, [2] καί τι πρὸς αὐτὸ ἀντιπέσῃ, [3] καὶ φύσει τοῦτο τύχῃ, [4] μήτε ἰσχυρὸν ἐὸν, [5] ὥστε κρατῆσαι ἀντέχεσθαι τῆς βίης, [6] καὶ μηδὲν κακὸν παθεῖν· [7] μήτε μαλθακόν τε καὶ ἀραιὸν, [8] ὥστ' ἐκδέξασθαί τε καὶ ὑπεῖξαι, [9] ἁπαλόν τε καὶ τεθηλὸς, καὶ ἔναιμον καὶ πυκνόν· [10] οἷον ἧπαρ, [11] διὰ μὲν τὴν πυκνότητα καὶ πλατύτητα, ἀνθέστηκέ τε καὶ οὐχ ὑπείκει. [12] φῦσα δὲ ὑπερχομένη αὔξεταί τε καὶ ἰσχυροτέρη γίνεται, [13] καὶ ὁρμᾷ μάλιστα πρὸς τὸ ἀντιπταῖον. [14] Διὰ δὲ τὴν ἁπαλότητα καὶ τὴν ἐναιμότητα, [15] οὐ δύναται ἄνευ πόνων εἶναι. [16] καὶ διὰ ταύτας τὰς προφάσιας, ὀδύναι τε ὀξύταται καὶ πυκνόταται πρὸς τοῦτο χωρίον γίνονται, [17] ἐμπυήματά τε [18] καὶ φύματα πλεῖστα. [19] γίνεται δὲ καὶ ὑπὸ φρένας ἰσχυρῶς, ἧσσον δὲ πολλόν. [20] Διάτασις μὲν γὰρ φρενῶν πλατέη καὶ ἀντικειμένη. [21] φύσις δὲ νευρωδεστέρη τε καὶ ἰσχυροτέρη· [22] διὸ ἧσσον ἐπώδυνά ἐστι. [23] γίνονται δὲ καὶ περὶ ταύτας καὶ πόνοι [24] καὶ φύματα. [25] πολλὰ δὲ καὶ ἄλλα καὶ ἔσω καὶ ἔξω τοῦ σώματος εἴδεα σχημάτων, [26] ἃ μεγάλα ἀλλήλων διαφέρει [27] πρὸς τὰ παθήματα [28] καὶ νοσέοντι [29] καὶ ὑγιαίνοντι. [30] οἷον κεφαλαὶ σμικραὶ ἢ μεγάλαι· [31] τράχηλοι λεπτοὶ ἢ παχέες· [32] μακροὶ ἢ βραχέες· [33] κοιλίαι μακραὶ ἢ στρογγύλαι· [34] θώρηκος καὶ πλευρέων πλατύτητες ἢ στενότητες, [35] καὶ ἄλλα μυρία, [36] ἃ δεῖ πάντα εἰδέναι, ᾗ διαφέρει· [37] ὅπως τὰ

[illegible], [25] velut in trucidatis fiunt.

XLI. Cæterum quum inciderit flatus in latum ac renitens, [2] & aliquid ipsi restiterit, [3] idque natura fuerit [4] neque forte, [5] ut adversus violentiam durare possit, [6] & nihil mali pati: [7] neque molle & rarum, [8] ut excipere ac cedere queat: [9] verum tenerum & floridum & sanguineum ac densum, [10] velut hepar, [11] quod propter densitatem quidem ac latitudinem resistit ac non cedit, [12] flatus vero subiens augescit ac fortior evadit, [13] & adversum reluctans maxime impetum facit. [14] Propter teneritudinem autem & sanguineitatem, [15] absque doloribus esse non potest, [16] & propter has causas dolores acutissimi ac frequentissimi circa eum locum contingunt, [17] suppurationesque [18] ac tubercula plurima. [19] Fiunt etiam circa septum transversum fortiter, sed multo minus. [20] Distentio enim septi transversi lata est & renitens, [21] natura autem nervosior & robustior, [22] quapropter minus dolore affligitur. [23] fiunt tamen & dolores, [24] & tubercula circa ipsum. [25] Multæ vero etiam aliæ & extra & intra corpus figurarum species sunt, [26] quæ magnopere inter se differunt, [27] quod ad affectiones pertinet, [28] tum ægroto, [29] tum sano; [30] velut capita parva aut magna; [31] colla tenuia aut crassa, [32] longa aut brevia, [33] ventres longi aut rotundi, [34] pectoris & costarum latitudines aut angustiæ, [35] & alia infinita, [36] quæ omnia nosse oportet quatenus differant, [37] quo causas singu-

τὸ αὐτὸ ἑκάστων εἰδῶς, ὀρθῶς τηρέοις.

XLII. Περὶ δὲ δυναμίων χυμῶν, [2] καὶ ὅ τι ἕκαστος ποιέειν δύναται τὸν ἄνθρωπον, ἐσκέφθαι, [3] ὥσπερ καὶ πρότερον εἴρηται, τῆς τε ξυγγενείας ὡς ἔχουσι πρὸς ἀλλήλους. [4] λέγω δὲ τὸ τοιοῦτον· [5] εἰ γλυκὺς χυμὸς μεταβάλλοι ἐς ἄλλο εἶδος, [6] μὴ ἀπὸ ξυγκρήσιος, [7] ἀλλ᾽ αὐτὸς ἐξιστάμενος, [8] ποῖός τις πρῶτος γένοιτο, [9] πικρός· [10] ἢ ἁλμυρός· [11] ἢ στρυφνός· [12] ἢ ὀξύς· [14] ἄρα ὀξὺς χυμὸς ἀνεπιτήδειος προσφέρειν ἂν τῶν λοιπῶν μάλιστα εἴη. [15] εἴπερ ὁ γλυκύς γε πάντων ἐπιτηδειότατος. [16] οὕτως εἴ τις δύναιτο ζητέων ἔξωθεν ἐπιτυγχάνειν, [17] δύναιτ᾽ ἂν πάντων ἐκλέγεσθαι αἰεὶ τὸ βέλτιον. [18] βέλτιστον δέ ἐστι, τὸ προσωτάτω τοῦ ἀνεπιτηδείου ἀπέχον.

singulorum cognitas probe observes.

XLII. De potentiis autem humorum [2] quid singuli ipsorum in homine facere possint, perspectum habere oportet. [3] quemadmodum etiam prius dictum est, quomodo cognationes inter se habeant. [4] ~~Quod dico tale est~~; [5] ~~An~~ videlicet dulcis humor in aliam speciem mutetur, [6] non à contemperamento, [7] sed ipse desciscens & immutatus ab eo, [8] qualis primum fuerat; [9] amarus? [10] aut salsus? [11] aut acerbus? [12] aut acidus? [[13] Sit sane acidus.] [14] ~~Ergo~~ acidus humor reliquos præcellens, maxime incommodus fuerit; [15] si utique dulcis, omnium commodissimus existit. [16] ~~Id quod~~ si quis forinsecus quærens consequi possit, [17] is semper, quod melius est, ex omnibus eligere queat. [18] Optimum autem est, quod longissime ab incommodo abest.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΝΟΜΟΣ.

HIPPOCRATIS LEX.

Basil. græc. Foesius sect. 1. 2. 1. Basil. lat.

ΗΤΡΙΚΗ, τεχνέων μὲν πασέων ἐστὶν ἐπιφανεστάτη· [2] διὰ δὲ ἀμαθίην τῶν τε χρεωμένων αὐτῇ, [3] καὶ τῶν εἰκῇ τοὺς τοιούσδε κρινόντων, [4] πολύ τι πασέων ἤδη τῶν τεχνέων ἀπολείπεται. [5] ἡ δὲ τῶνδε ἁμαρτὰς τὰ μάλιστά μοι δοκέει ἔχειν αἰτίην τοιήνδε. [6] πρόστιμον γὰρ ἰητρικῆς μούνης ἐν τῇσι πόλεσιν οὐδὲν ὥρισται, πλὴν ἀδοξίης. [7] αὕτη δὲ οὐ τιτρώσκει τοὺς ἐξ αὐτέης συγκειμένους. [8] ὁμοιότατοι γάρ εἰσιν οἱ τοιοίδε τοῖσι παρεισαγομένοισι προσώποι-

MEDICINA omnium artium præclarissima est. [2] Verum propter ignorantiam eorum, qui eam exercent, [3] & ob vulgi ruditatem, quod tales pro Medicis judicat & habet, [4] jam eo res devenit, ut omnium artium longe vilissima censeatur. [5] At vero hoc peccatum ob hanc potissimum causam mihi committi videtur. [6] Soli namque Medicinæ nulla pœna in Rebuspublicis statuta est, præterquam ignominiæ. [7] verum hæc ipsa non afficit, neque contingit eos, qui ex composito personam ipsius induerunt. [8] Simillimi

ποισιν ἐν τῇσι τραγῳδίῃσιν. [9] ὡς γὰρ ἐκεῖνοι σχῆμα μὲν, καὶ στολὴν, καὶ πρόσωπον ὑποκριτοῦ ἔχουσι, οὐκ εἰσὶ δὲ ὑποκριταὶ, [10] οὕτω καὶ οἱ ἰητροὶ, [11] φήμῃ μὲν, πολλοί· [12] ἔργῳ δὲ, πάγχυ βαιοί.

II. Χρὴ γὰρ, ὅστις μέλλει ἰητρικῆς ξυνέσιν ἀτρεκέως ἁρμόζεσθαι, [2] τῶνδέ μιν ἐπήβολον γενέσθαι· [3] φύσιος· [4] διδασκαλίης· [5] τρόπου εὐφυέος· [6] παιδομαθίης· [7] φιλοπονίης· [8] χρόνου. [9] πρῶτον μὲν οὖν πάντων δεῖ φύσιος· [10] φύσιος γὰρ ἀντιπρησσούσης, κενεὰ πάντα. [11] φύσιος δὲ ἐς τὸ ἄριστον ὁδηγεούσης, διδασκαλίη τέχνης γίνεται. [12] ἣν μετὰ φρονήσιος δεῖ περιποιήσασθαι, [13] παιδομαθέα γενόμενον [14] ἐν τόπῳ, ὁκοῖος εὐφυὴς πρὸς μάθησιν ἔσται. [15] ἔτι δὲ φιλοπονίην προσενέγκασθαι [16] ἐς χρόνον πολλὸν, [17] ὅκως ἡ μάθησις ἐμφυσιωθεῖσα [18] δεξιῶς τε καὶ εὐαλδέως τοὺς καρποὺς ἐξενέγκηται. [19] ὁκοίη γὰρ τῶν ἐν τῇ γῇ φυομένων θεωρίη, τοιήδε καὶ τῆς ἰητρικῆς ἡ μάθησις. [20] ἡ μὲν γὰρ φύσις ἡμέων, ὁκοῖον ἡ χώρη· [21] τὰ δὲ δόγματα τῶν διδασκόντων, ὁκοῖον τὰ σπέρματα. [22] ἡ δὲ παιδομαθίη, τὸ καθ' ὥρην αὐτὰ πεσεῖν ἐς τὴν ἄρουραν. [23] ὁ δὲ τρόπος, ἐν ᾧ ἡ μάθησις, ὁκοῖον ἐκ τοῦ περιέχοντος ἠέρος τροφὴ γινομένη τοῖσι φυομένοισιν. [24] ἡ δὲ φιλοπονίη, ἐργασίη. [25] ὁ δὲ χρόνος ταῦτα ἐνισχύει πάντα, ὡς τραφῆναι τελέως.

III. Ταῦτα οὖν χρὴ ἐς τὴν ἰητρι-

limi enim hujusmodi Medici sunt personis, quæ in tragœdiis introducuntur. [9] Quemadmodum enim illi figuram quidem & habitum ac personam eorum quos referunt, habent, illi ipsi autem vere non sunt: [10] sic & Medici [11] fama quidem & nomine multi, [12] re autem & opere valde pauci.

II. Quisquis enim Medicinæ scientiam sibi vere comparare volet, [2] eum his ducibus voti sui compotem fieri oportet, [3] Natura, [4] doctrina, [5] loco studiis apto, [6] institutione a pueto, [7] industria, [8] & tempore. [9] Primum quidem igitur omnium Natura opus est. [10] Natura enim repugnante, irrita omnia fiunt. [11] Si vero natura ad optima viam demonstret, artis doctrina facile contingit: [12] quam sane cum prudentia sibi comparare oportet, [13] ita ut a puero institutio accedat, [14] atque id in loco a natura ad disciplinam apto. [15] Amplius autem & industriam adhibere oportet: [16] eamque ad multum omnino tempus, [17] quo disciplina ipsa insita, [18] feliciter & cum profectu fructus suos producat. [19] Qualis enim eorum, quæ terra producit, consideratio est, ejusmodi etiam disciplinæ medicinæ per omnia similiter existit. [20] Natura enim nostra, velut ager est: [21] dogmata præceptorum, velut semina sunt. [22] Institutioni a puero cum eo convenit, quod opportuno tempore semina in arvum cadere oportet. [23] Locus autem, in quo disciplina contingit, est velut ambiens aër, a quo è terra nascentibus nutrimentum accedit. [24] Industria autem, cultura est. [25] Tempus postremum hæc omnia corroborat, ut perfecte enutriantur.

III. His igitur ad artem me-

ἰητρικὴν τέχνην ὀνειρωμένους, [2] καὶ ἀτεχνίας αὐτέης γνῶσιν λαβόντας, [3] οὕτως ἀνὰ τὰς πόλιας φοιτεῦντας, [4] μὴ λόγῳ μοῦνον, [5] ἀλλὰ καὶ ἔργῳ ἰητροὺς νομίζεσθαι. [6] ἡ δὲ ἀπειρίη κακὸς θησαυρὸς, καὶ κακὸν κειμήλιον τοῖσιν ἔχουσιν αὐτὴν, [7] καὶ ὄναρ [8] καὶ ὕπαρ. [9] εὐθυμίης τε [10] καὶ εὐφροσύνης ἄμοιρος, δειλίης τε [12] καὶ θρασύτητος τιθήνη. [13] δειλίη μὲν γὰρ ἀδυναμίην σημαίνει, [14] θρασύτης δὲ ἀτεχνίην. [15] δύο γὰρ, ἐπιστήμη τε καὶ δόξα, [16] ὧν τὸ μὲν ἐπίστασθαι ποιέει, [17] τὸ δὲ, ἀγνοεῖν. [18] τὰ δὲ ἱερὰ ἐόντα πρήγματα ἱεροῖσιν ἀνθρώποισι δείκνυται· [19] βεβήλοισι δὲ, οὐ θέμις, [20] πρὶν ἢ τελεσθῶσιν ὀργίοισιν ἐπιστήμης.

dicam allatis; [2] & vera ipsius cognitione comparata, [3] tandem per urbes obambulando, [4] non sermone tantum, [5] sed & opere Medicos haberi convenit. [6] Imperitia vero malus thesaurus est, & infelices opes his, qui eam repositam habent, [7] & insomnium, aut potius somnium diurnum, & [8] maxime verum, [9] alacritatis fiduciæque [10] ac veræ exultationis expers, [11] timiditatisque [12] & audaciæ nutrix. [13] Timiditas equidem impotentiam, [14] audacia vero ignorantiam artis significat. [15] Duo enim sunt, Scientia & Opinio, [16] quarum altera quidem scire facit, [17] altera vero ignorare. [18] Cæterum res sacræ sacris hominibus demonstrantur: [19] profanis id fas non est, [20] priusquam scientiæ orgiis initientur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΟΡΚΟΣ.

HIPPOCRATIS IVSIVRANDVM.

Basil. græc. Foesius sect. 1.2.1. Basil. lat.

ΟΜΝΥΜΙ, [2] Ἀπόλλωνα [3] ἰητρὸν, [4] καὶ Ἀσκληπιὸν, [5] καὶ Ὑγείαν, [6] καὶ Πανάκειαν, [7] καὶ θεοὺς πάντας [8] καὶ πάσας ἵστορας ποιεύμενος, [9] ἐπιτελέα ποιήσειν, [10] κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν, ὅρκον τόνδε καὶ ξυγγραφὴν τήνδε. [11] ἡγήσασθαι μὲν τὸν διδάξαντά με τὴν τέχνην ταύτην, [12] ἴσα γενέτῃσιν ἐμοῖσιν, [13] καὶ βίου κοινώσασθαι. [14] καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσασθαι. [15] καὶ γένος τὸ ἐξ αὐτέου, ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄῤῥεσι. [16] καὶ διδάξειν τὴν τέχνην ταύτην,

IVRO [2] per Apollinem [3] Medicum, [4] & Æsculapium, [5] Hygeamque [6] ac Panaceam, [7] deosque omnes [8] itemque deas testes facio, [9] me hoc jusjurandum, & hanc contestationem conscriptam [10] pro viribus & judicio meo integre servaturum esse. [11] Præceptorem sane, qui me hanc edocuit artem, [12] parentum loco habiturum, [13] vitam communicaturum, [14] eaque quibus opus habuerit, impertiturum: [15] eos item, qui ex eo nati sunt, pro fratribus masculis judicaturum, [16] artemque hanc, si discere voluerint, absque mercede & pa-

cta

ταύτην, ἢν χρηΐζωσι μανθάνειν, ἄνευ μισθοῦ καὶ ξυγγραφῆς· 17 παραγγελίης τε 18 καὶ ἀκροήσιος, 19 καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος, 20 μετάδοσιν ποιήσασθαι 21 υἱοῖσί τε ἐμοῖσι, 22 καὶ τοῖσι τοῦ ἐμὲ διδάξαντος· 23 καὶ μαθηταῖσι 24 συγγεγραμμένοις τε, 25 καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ· 26 ἄλλῳ δὲ οὐδενί.

II. 2 Διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμήν. 3 ἐπὶ δηλήσει δὲ 4 καὶ ἀδικίῃ εἴρξειν. 5 Οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς θανάσιμον. 6 οὐδὲ ὑφηγήσομαι ξυμβουλίην τοιήνδε. 7 ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν 8 φθόριον δώσω. 9 ἁγνῶς δὲ 10 καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμόν, 11 καὶ τέχνην τὴν ἐμήν. 12 οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας. 13 ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε. 14 ἐς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, 15 ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων, 16 ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης 17 καὶ φθορίης τῆς τε ἄλλης 18 καὶ ἀφροδισίων ἔργων, 19 ἐπί τε γυναικείων σωμάτων 20 καὶ ἀνδρώων, 21 ἐλευθέρων τε 22 καὶ δούλων.

III. Ἃ δ' ἂν ἐν θεραπείῃ ἢ ἴδω, 2 ἢ ἀκούσω, 3 ἢ καὶ ἄνευ θεραπείης κατὰ βίον ἀνθρώπων, 4 ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, 5 σιγήσομαι, ἄρρητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα. 6 Ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι, 7 καὶ μὴ ξυγχέοντι, 8 εἴη ἐπαύρασθαι καὶ βίου 9 καὶ τέχ-

cto edocturum: 17 præceptionum, 18 ac auditionum, 19 reliquæque totius disciplinæ 20 participes facturum, 21 tum meos, 22 tum præceptoris mei filios, 23 imo & discipulos 24 qui mihi scripto caverint, 25 & Medico jurejurando addicti fuerint, 26 alii vero, præter hos, nulli.

II. Cæterum quod ad ægros attinet sanandos, 2 diætam ipsis constituam pro facultate & judicio meo commodam, 3 omneque detrimentum 4 & injuriam ab eis prohibebo. 5 Neque vero ullius preces apud me adeo validæ fuerint, ut cuipiam venenum sim propinaturus, 6 neque etiam ad hanc rem consilium dabo. 7 Similiter autem neque mulieri talum vulvæ subdititium, 8 ad corrumpendum conceptum vel fœtum, dabo. 9 Porro [caste] 10 & sancte vitam 11 & artem meam conservabo. 12 Nec vero calculo laborantes secabo, 13 sed viris chirurgiæ operariis ejus rei faciendæ locum dabo. 14 In quascunque autem domos ingrediar, 15 ob utilitatem ægrotantium intrabo: 16 ab omnique injuria voluntaria inferenda, 17 & corruptione, cum alia, 18 tum præsertim operum venereorum, abstinebo: 19 sive muliebria, 20 sive virilia, 21 liberorumve hominum 22 aut servorum corpora mihi contigerint curanda.

III. Quæcunque vero inter curandum videro 2 aut audiero, 3 imo etiam ad medicandum non adhibitus, in communi hominum vita cognovero, 4 ea, siquidem efferre non contulerit, 5 tacebo, & tanquam arcana apud me continebo. 6 Hoc igitur jusjurandum mihi integre servanti, 7 & non confundenti, 8 contingat & vita 9 & arte

τέχνης, [10] δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποις ἐς τὸν αἰεὶ χρόνον. [11] παραβαίνοντι δὲ καὶ ἐπιορκοῦντι [12] τἀναντία τουτέων

arte feliciter frui, [10] & apud omnes homines in perpetuum gloriam meam celebrari. [11] Transgredienti autem & pejeranti, [12] his contraria eveniant.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΙΗΤΡΟΥ.

HIPPOCRATIS DE MEDICO.

Basil. græc. Foesius sect. 1.20.19. Basil. lat.

60 pag. 12

Τὸ [1] μὲν γράμμα ἐστὶν ἰητροῦ προστασίη, [2] καὶ παράγγελμα, πῶς χρὴ κατασκευάζειν ἰητρεῖον. [3] ἰητροῦ μὲν εἶναι προστασίην, [4] ὁρῆν, ὡς εὔχρως τε, [5] καὶ εὔσαρκος ἔστω, [6] πρὸς τὴν ὑπάρχουσαν αὐτῷ φύσιν. [7] ἀξιοῦνται γὰρ ὑπὸ τῶν πολλῶν οἱ μὴ εὖ διακείμενοι τὸ σῶμα οὕτως, [8] οὐδ' ἂν ἑτέρων ἐπιμεληθῆναι καλῶς. [9] ἔπειτα τὰ περὶ αὐτὸν καθαρῶς ἔχειν, [10] ἐσθῆτι [χρῆσθαι] χρηστῇ, [11] καὶ χρίσμασιν εὐόδμοις, ὀδμὴν ἔχουσιν ἀνυπόπτως πρὸς ἅπαντα. [12] τοῦτο γὰρ ἡδέως ἔχειν ξυμβαίνει τοὺς νοσέοντας. [13] δεῖ δὲ τοῦτον σκοπέειν περὶ τὴν ψυχὴν σώφρονα, [14] μὴ μόνον τὸ σιγᾶν, [15] ἀλλὰ καὶ τὸν βίον πάνυ εὔτακτον. [16] μέγιστα γὰρ ἔχει πρὸς δόξαν ἀγαθά. [17] τὸ δὲ ἦθος εἶναι καλὸν καὶ ἀγαθόν. [18] τοιοῦτον δ' ὄντα πᾶσι καὶ σεμνὸν [19] καὶ φιλάνθρωπον. [20] τὸ γὰρ προπετὲς καὶ τὸ πρόχειρον καταφρονεῖται, [21] κἂν πάνυ χρήσιμον ᾖ. [22] σκοπεῖν δὲ ἐπὶ τῆς ἐξουσίης. [23] τά

Hic [1] liber Medici gubernatio est, [2] & præceptum quomodo officinam medicam instruere oportet. [3] Medici equidem gubernationem esse putamus, [4] ut videat quo bono colore, [5] & bona ac carnosa corporis habitudine præditus sit, [6] juxta existentem [7] in ipso naturam. [7] Vulgus enim existimat eos, qui non sic bene dispositum corpus habent, [8] neque aliis bene prospicere posse. [9] Deinde ut opinionem captet apud ipsum vulgus [10] vestitu decoro, [11] & unguentis odoratis, non suspectum odorem ad omnia habentibus. [12] Inde enim ægrotos jucunde affici contingit. [13] Postea animadvertere ipsum oportet, ut animum habeat modestum, [14] non solum quod ad taciturnitatem attinet, [15] sed etiam circa reliquam vitam probe compositum. [16] Maxime enim ad opinionem ac autoritatem comparandam conducit, [17] bonis ac honestis moribus præditum esse. [18] Nam quum talis fuerit, omnibus venerandus [19] ac humanus judicabitur. [20] Promptitudo enim temeraria, & facilitas contemnentur, [21] etiamsi valde commoda existant. [22] Scopum autem præfigere oportet

[23] τὰ γὰρ αὐτὰ παρὰ τοῖς αὐτοῖς, σπανίως ἔχουσιν, ἀγαπᾶται. [24] σχήματι δὲ, ἀπὸ μὲν προσώπου, σύννουν [25] μὴ πικρῶς. [26] αὐθάδης γὰρ δοκεῖ εἶναι καὶ μισάνθρωπος. [27] ὁ δὲ ἐς γέλωτα ἀνειμένος [28] καὶ λίην ἱλαρὸς, [29] φορτικὸς ὑπολαμβάνεται. [30] φυλακτέον δὲ τὸ τοιοῦτον οὐχ ἥκιστα. [31] δίκαιον δὲ πρὸς πᾶσαν ὁμιλίην εἶναι. [32] χρὴ γὰρ πολλὰ ἐπικουρέειν δικαιοσύνην. [33] πρὸς δὲ ἰητρὸν οὐ μικρὰ συναλλάγματα τοῖσι νοσέουσίν ἐστι. [34] καὶ γὰρ αὐτοὺς ὑποχειρίους ποιέουσι τοῖς ἰητροῖς [35] καὶ πᾶσαν ὥρην ἐντυγχάνουσι γυναιξὶν, παρθένοις, καὶ τοῖς ἀξίοις πλείστου κτήμασιν. [36] ἐγκρατέως οὖν δεῖ πρὸς ἅπαντα ἔχειν ταῦτα. [37] τὴν μὲν οὖν ψυχὴν καὶ τὸ σῶμα οὕτω διακεῖσθαι.

II. Τὰ δὲ ἐς τὴν ἰητρικὴν τέχνην παραγγέλματα, [2] δι' ὧν ἐστιν εἶναι τεχνικὸν, [3] ἀπ' ἀρχῆς σκεπτέον, [4] ἀφ' ὧν καὶ μανθάνειν ἄνθρωπος ἄρξαιτο. [5] τὰ τοίνυν ἐν ἰητρείῳ θεραπευόμενα σχεδὸν μανθανόντων ἐστίν. [6] δεῖ δὲ πρῶτον μὲν τόπον ἔχειν τῆς οἰκίης. [7] ἔσται δὲ τοῦτο, ἐὰν μήτε πνεῦμα ἐς αὐτὸν παραγινόμενον ἐνοχλῇ· [8] μήθ' ἥλιος ἢ αὐγὴ λυπέῃ. [9] φῶς δὲ τηλαυγὲς τοῖς μὲν θεραπεύουσι ἄλυπον· [10] οὐχ ὁμοίως δὲ τοῖς θεραπευομένοις ὑπάρχει. [11] πάντως μὲν οὖν τοιαύτην τὴν αὐγὴν μάλιστα φευκτέον, [12] δι' ἣν ξυμβαίνει τοὺς ὀφθαλμοὺς νοσέειν. [13] τὸ μὲν οὖν φῶς τοιοῦτον εἶναι παρήγγελται. [14] τοῦτο δὲ ὅπως μηδαμῶς ἐναντίας ἕξει τοῦ προσώπου τὰς αὐγάς. [15] προσενοχλεῖ γὰρ τὴν ὄψιν ἀσθενέως ἔχουσαν. [16] πᾶσα

tet ad authoritatem ~~potestatem [illegible] suarum~~. [23] Nam eadem ab eisdem ~~non abundantibus boni consuluntur.~~ [24] Figuram faciei babeat meditabundam ac subtristem, [25] non tamen amarulente. [26] Contumax enim esse videbitur & homines odio habens. [27] Qui vero in risum exolutus est, [28] ac nimium hilaris, [29] onerosus judicatur. [30] Hoc itaque vitandum est vel maxime. [31] Justum autem ad omnem conversationem esse convenit. [32] Justitia enim multum auxiliatur. [33] Non exigua autem commercia ægris cum Medico sunt. [34] Nam seipsos Medicis subditos faciunt, [35] & omni hora uxoribus, virginibus, & opibus maximi precii illi occurrunt. [36] Continenter igitur ad omnia hæc se habere oportet. [37] Animo itaque ac corpore sic dispositum esse convenit.

rara habita diliguntur.

II. Porro præcepta ad artem medicam, [2] per quæ artificiosus esse videbitur, [3] ab initio considerabimus, [4] ex quo primum homo discere incipit. [5] Quæ igitur in officina medica curantur, fere ad discentes pertinent. [6] Primum quidem locum domus habere oportet, [7] qui sane talis sit, ut neque ventus ad ipsum accedens molestus sit, [8] neque sol neque splendor infestet. [9] Lux enim splendida medentibus quidem non est molesta, [10] non similiter autem ægrotantibus. [11] Itaque talem splendorem penitus fugere oportet, [12] per quem oculos ægrotare contingit. [13] Tale igitur præceptum de luce observetur. [14] Deinde ut nequaquam faciem adversam splendori habeat. [15] Infestat enim visum debilem. [16] Omnis autem occasio sufficiens est ad debiles oculos

ἀλλὰ μὴ ἱκανὴ περίφασις ἀσθενέοντας ὀφθαλμοὺς ἐπιταράξαι. [17] τῷ μὲν οὖν φωτὶ τοῦτον τὸν τρόπον χρηστέον ἐστίν. [18] τοὺς δὲ δίφρους ὁμαλοὺς εἶναι τοῖς ὕψεσιν ὅτι μάλιστα, ὅπως καθ' αὐτοὺς ὦσιν.

III. Χαλκώμασι δὲ, πλὴν τῶν ὀργάνων, μηδενὶ χρήσθω. [2] καλλωπισμὸς γάρ τις εἶναί μοι δοκεῖ φορτικὸς, σκεύεσι τοιουτέοισι χρῆσθαι. [3] τὸ δ' ὕδωρ παρέχειν δεῖ πότιμον τοῖς θεραπευομένοις, καὶ καθαρόν. [4] τοῖς δὲ ἀπομάγμασι καθαροῖς καὶ μαλθακοῖς χρῆσθαι. [5] πρὸς μὲν τοὺς ὀφθαλμοὺς, ὀθονίοις. [6] πρὸς δὲ τὰ τραύματα, σπόγγοις. [7] αὐτόματα γὰρ ταῦτα βοηθεῖν δοκεῖ καλῶς. [8] τὰ δ' ὄργανα πάντα εὐήρη πρὸς τὴν χρείαν ὑπάρχειν δεῖ τοῦ μεγέθους, καὶ βάρους, καὶ λεπτότητι. [9] τὰ δὲ προσφερόμενα ἅπαντα μὲν χρὴ συνορᾷν, ὅπως συνοίσει. [10] μάλιστα δὲ πλεῖστον, εἰ ὁμιλεῖν μέλλει τοῦ νοσέοντι μέρους. [11] ταῦτα δέ ἐστιν ἐπιδέσματα, [12] καὶ φάρμακα. [13] καὶ τὰ περὶ τὸ ἕλκος ὀθόνια, [14] καὶ τὰ καταπλάσματα. [15] πλεῖστον γὰρ χρόνον ταῦτα περὶ τοὺς νοσέοντας ἐστὶ τόπους. [16] ἡ δὲ μετὰ ταῦτα, ἀφαίρεσις τούτων. [17] ἀνάψυξίς τε [18] καὶ περικάθαρσις. [19] καὶ ἡ τῶν ὑδάτων καταίντλησις, ὀλίγου πινός ἐστι χρόνου. [20] καὶ τί ποιῆσαι, ὅπου χρὴ μᾶλλόν τε καὶ ἧσσον ἐσκέφθαι δεῖ. [21] τούτων γὰρ ἀμφοτέρων ἡ χρῆσις εὔκαιρός τε, [22] καὶ μὴ γινομένων, μεγάλην ἔχει διαφορήν.

IV. Ἔστι δὲ οἰκείη ἐπίδεσις τῆς ἰητρικῆς, ἀφ' ἧς ὠφελεῦνται οἱ θεραπευόμενοι. [2] μέγιστα δὲ ὠφελεῖ δύο ταῦτα, οἷς ἐστι χρηστέον· [3] πιέσαι, ὅκου δεῖ, [4] καὶ ἀνειμένως ἐπιδῆσαι. [5] πρὸς δὲ τοὺς χρόνους τῆς ὥρης,

oculos conturbandos. [17] Luce itaque hoc modo utendum est. [18] Sellæ autem æquales altitudine sint, quantum ejus fieri potest, ut in ipsis ægri collocentur.

III. Æramento, exceptis instrumentis, nullo utatur. [2] Ornatus enim onerosus mihi esse videtur, talibus vasis uti. [3] Aqua exhibenda est ægris potabilis & pura. [4] Extersoriis utendum est puris ac mollibus, [5] ad oculos quidem, [6] linteis, ad vulnera vero, spongiis. [7] hæc enim per se probe auxiliari videntur. [8] Omnia autem rite fabrefacta ad usum esse oportet, magnitudine, gravitate, ac tenuitate. [9] Quæ vero offeruntur, omnia considerare oportet ut conferant, [10] maxime si ægrotæ parti adhibebuntur. [11] Talia autem sunt, ligamenta [12] & medicamenta, [13] & lintea circa vulnus, [14] & cataplasmata. [15] hæc enim longissimo tempore circa ægrotantes locos sunt. [16] At vero ablatio horum, [17] refrigeratioque [18] ac mundificatio [19] & aquarum affusio; pauco tempore absolvuntur. [20] Diligenter autem considerare, quid horum faciendum sit, oportet, & ubi magis aut minus ea adhibere, convenit. [21] Utrorumque enim usus opportunus, [22] itemque negligentia magnam differentiam habet.

IV. Est autem propria & genuina medicinæ deligatio, ex qua æger opem sentit. [2] Maxime autem prosunt duo hæc, quibus utendum est, [3] comprimere videlicet ubi oportet, [4] & remisse deligare. [5] Juxta horæ vero tempus, [6] quan-

ὥρης, ⁶ πότε δεῖ ἐκπιεστικῶς καὶ μὴ συναρμόζειν. ⁷ ὅκως μηδὲ ἀσθενεῖ λεληθότως ποτέρῳ τούτων ἐνισχῦσαι χρηστέον. ⁸ εὐρύθμους δὲ ἐπιδέσιας καὶ θεητρικὰς μηδὲν ὠφελεούσας ἀποδοκιμάζειν. ⁹ φορτικὸν γὰρ τὸ τοιοῦτον καὶ παντελῶς ἀλαζονικόν. ¹⁰ πολλάκις τὸ βλάβην οἴσον τῷ θεραπευομένῳ. ¹¹ ζητεῖται δὲ ὁ νοσέων, οὐ καλλωπισμόν, ἀλλὰ τὸ συμφέρον. ¹² ἐπὶ δὲ τῶν χειρουργιῶν, ¹³ ὅσαι διὰ τομῆς ἐστὶν ἢ καύσιος, ¹⁴ τὸ ταχέως ἢ βραδέως ὁμοίως ἐπαινεῖται. ¹⁵ χρῆσις γάρ ἐστιν ἀμφοτέρων. ¹⁶ ἐν οἷς μὲν γάρ ἐστι διὰ μιῆς τομῆς ἡ χειρουργία, χρὴ ποιέεσθαι ταχεῖαν τὴν διαίρεσιν. ¹⁷ ἐπεὶ γὰρ συμβαίνει τοὺς τεμνομένους πονέειν, ¹⁸ τὸ μὲν λυπέον ὡς ἐλάχιστον χρόνον δεῖ παρεῖναι. ¹⁹ τοῦτο δὲ ἔσται, ταχείης τῆς τομῆς γινομένης. ²⁰ ὅπου δὲ πολλὰς ἀναγκαῖον γενέσθαι τομάς, ²¹ βραδείῃ χρηστέον τῇ χειρουργίῃ. ²² ὁ μὲν γὰρ ταχὺς ξυνεχῆ ποιεῖ τὸν πόνον καὶ πολλόν. ²³ ὁ δὲ διαλείπων, ἀνάπαυσιν ἔχει τινὰ τούτων τοῖς θεραπευομένοις.

V. Τὸ δ' αὐτὸ ἐπὶ τῶν ὀργάνων λέγοιτ' ἄν. ² τοῖς δὲ μαχαιρίοις ὀξέσι δεῖ χρῆσθαι καὶ πλατέσιν, οὐκ ἐπὶ πάντων ὁμοίως παραγγελλόμενα. ³ μέρη γάρ τινά ἐστι τοῦ σώματος, ἃ ἐν τάχει μὲν ἔχει τὴν ῥύσιν τοῦ αἵματος, ⁴ καὶ κατασχεῖν ἐστιν οὐ ῥηΐδιον. ⁵ ταῦτα δέ ἐστιν, οἵ τε κιρσοί, καί τινες ἄλλαι φλέβες. ⁶ τὰς μὲν τομὰς χρὴ εἶναι τῶν τοιουτέων στενάς. ⁷ οὐ γὰρ οἷόν τε τὴν ῥύσιν γενέσθαι κατακρατῆ. ⁸ ξυμφέρει δέ ποτε ἀπὸ τῶν τοιουτέων αἵματος ἀφαίρεσιν ποιέεσθαι. ⁹ πρὸς δὲ τοὺς ἀκινδύνους τόπους, ¹⁰ καὶ περὶ οὓς μὴ λεπτόν ἐστι τὸ αἷμα, ¹¹ πλατυτέροις χρῆ-

⁶ quando integere oporteat & non, videndum est, ⁷ ut neque debili, neque fortiore alterutro horum utaris. ⁸ Concinnas autem [l] deligationes ad spectaculum comparatas, & nihil juvantes, reprobare oportet. ⁹ Onerosæ enim sunt & omnino petulantes, ¹⁰ sæpe vero etiam damnum dederunt. ¹¹ Quærit autem æger non ornatum, sed auxilium. ¹² Cæterum in chirurgiis ¹³ quæ per sectionem aut ustionem fiunt, ¹⁴ velocitas ac tarditas æqualem laudem merentur. ¹⁵ Est enim utriusque usus. ¹⁶ Nam in quibus per unicam sectionem chirurgia [l] absolvitur, velocem dissectionem facere oportet. ¹⁷ Quum enim contingat eos, qui secantur, dolere, ¹⁸ id quod dolorem affert, quam minimo tempore adesse convenit, ¹⁹ quod ipsum continget veloci sectione facta. ²⁰ Ubi vero multas sectiones fieri necesse est, ²¹ tarda chirurgia utendum est. ²² Velox enim continuum & multum dolorem inducit. ²³ Tardus vero & intermittens, requiem aliquam his, qui curantur, [l] exhibet.

V. Idem de instrumentis quoque dici potest. ² Gladiolis enim acutis ac latis uti, non in omnibus similiter præcipimus. ³ Nam partes quædam sunt corporis, quæ celerem sanguinis fluxum habent, ⁴ & non facile est eum sistere. ⁵ Tales autem sunt varices, & quædam aliæ venæ. ⁶ Itaque in talibus angustas sectiones facere oportet. ⁷ Neque enim possibile est, ut fluxus in his sistatur. ⁸ Conducit autem [l] aliquando à talibus sanguinis detractionem facere. ⁹ At vero ad locos non periculosos, ¹⁰ & circa quos non est tenuis sanguis, ¹¹ latioribus gladiolis

χεῖλος τοῖς μαχαιρίοισι. [12] τὸ γὰρ αἷμα πορεύοιτ' ἄν. ἄλλως δὲ, οὐδαμῶς. [13] πάνυ δ' ἔστιν αἰσχρὸν, μὴ ξυμβαίνειν ἀπὸ τῆς χειρουργίης ὅ,τι θέλῃ.

VI. Σικύας δὴ δύο τρόπους εἶναι χρησίμους· [2] ὅταν μὲν γὰρ ῥεῦμα ξυνεστηκὸς πόῤῥω τῆς ἐπιφαινομένης σαρκὸς, [3] τὸν μὲν κύκλον αὐτῆς εἶναι δεῖ βραχὺν· [4] αὐτὴν δὲ μὴ γαστρώδη. [5] προμήκη τὸ πρὸς τὴν χεῖρα μέρος, [6] μὴ βαρεῖαν. [7] τοιαύτην γὰρ οὖσαν ἕλκειν ἐς ἰθὺ ξυμβαίνει, [8] καὶ τοὺς ἀφεστῶτας ἰχῶρας καλῶς ἀνασπᾶσθαι πρὸς τὴν σάρκα. [9] τοῦ δὲ πόνου πλείονος κατεσκεδασμένου τῆς σαρκός. [10] τὰ μὲν ἄλλα παραπλησίην, [11] τὸν δὲ κύκλον μέγαν. [12] οὕτω γὰρ ἐκ πλείστων μερῶν εὑρήσεις ἄγουσαν ἐς ὃν δεῖ τὸ λυποῦν τόπον. [13] (οὐ γὰρ οἷόν) μέγαν εἶναι τὸν κύκλον, μὴ συναγομένης τῆς σαρκὸς ἐκ πλείονος τόπου. [14] βαρεῖα δ' οὖσα ῥέπει καὶ ἐς τοὺς ἄνω τόπους. [15] κάτω δὲ μᾶλλον τὴν ἀφαίρεσιν. καὶ πολλάκις ὑπολείπεσθαι τὰς νόσους. [16] τοῖσι μὲν οὖν ἐφεστῶσι ῥεύμασι καὶ μακρὰν ἀπέχουσιν ἀπὸ τοῦ ἄνω τόπου οἱ πλατεῖς κύκλοι πολλὰ ξυνεπισπῶνται παρὰ τῆς ἄλλης σαρκός. [17] ἐπιτεθέντων οὖν ξυμβαίνει τὴν ἐντεῦθεν ἑλκομένην νοτίδα τῷ ξυναγομένῳ κάτωθεν ἰχῶρι. [18] καὶ, τὰ μὲν ἐνοχλεῦντα ὑπολείπεσθαι· [19] τὰ δὲ οὐδὲν λυπέοντα ἀφαιρεῖσθαι. [20] μέγεθος δὲ σικύης τί χρήσιμον, στοχάζεσθαι χρὴ πρὸς τὰ μέρη τοῦ σώματος, οἷς ἂν δέῃ προσβάλλειν.

VII. [1] Ὅταν δὲ κατασχάσῃς, κάτωθεν δέχεσθαι. [2] τὸ γὰρ αἷμα φανερὸν εἶναι δεῖ τῶν κεχειρουργημένων

diolis utendum est: [12] sic enim sanguis prodierit, aliter nequaquam. [13] Valde autem est, non conringere à chirurgia, quod velis.

VI. Cucurbitarum porro duo modi commodi existunt. [2] Quando enim fluxus procul ab apparente carne compactus fuerit, [3] circulum ipsius brevem esse oportet, [4] ipsamque non ventrosam, [5] sed prolixam parte ad manum vergente, [6] non gravem. [7] Quæ enim talis est, in directum trahet, [8] & serosos humores separatos ac distantes probe ad carnem adtrahet. [9] Majore autem dolore per carnem disperso, [10] in reliquis quidem consimilem cucurbitam esse oportet, [11] sed circulum magnum. [12] Sic enim ex plurimis partibus id, quod dolorem facit, educere comperies ad locum convenientem. [13] Neque enim magnum esse circulum putant, si non ex pluribus locis caro comprehendatur ac contrahatur. [14] At si gravis sit, ad supernos locos repit, [15] inferne autem magis detractionem facit, ut sæpe morbi relinquantur. [16] Lati itaque circuli, una cum incumbentibus fluxionibus, & longe distantibus à supernis locis, multa simul adtrahunt de alia carne. [17] Contingit igitur humiditatem inde detractam, apponi collecto inferne sub cucurbita seroso humori, [18] & quæ quidem infestant, relinqui: [19] quæ vero nihil molestant, detrahi. [20] Magnitudinem porro cucurbitæ quæ commoda sit, juxta corporis partes quibus admovere oportuerit, conjectare oportet.

VII. Ubi vero scarificationem subter cucurbitam adhibere velis, [2] sanguinem scarificandorum loco-

μέσων τόπων. ³ ἄλλως δὲ οὐδὲ τὸν κύκλον τὸν ἑλκυσθέντα χρὴ καταχαράσσειν. ⁴ ἀτονωτέρη γάρ ἐστιν ἡ σὰρξ τοῦ πονήσαντος. ⁵ μαχαιρίοις δὲ τοῖς καμπύλοις ἐξ ἄκρου μὴ λίην στενοῖς. ⁶ ἐνίοτε γὰρ ἰχῶρες ἔρχονται γλίσχροι καὶ παχεῖς. ⁷ κίνδυνος οὖν ἐστιν ὑποστῆναι τῇσι τομῇσιν, ὅταν στεναὶ τμηθέωσιν. ⁸ τὰς δὲ ἐπὶ τῶν βραχιόνων φλέβας τῇσι καταλήψεσιν χρὴ φυλάσσειν. ⁹ ἡ γὰρ καλύπτουσα σὰρξ πολλοῖς οὐ καλῶς συνήρμοσται τῇ φλεβί. ¹⁰ τῆς γὰρ σαρκὸς ὀλισθηρῆς οὔσης, οὐ καθ' ἑαυτὰς ξυμβαίνει τὰς τομὰς ἀμφοτέρων γίνεσθαι. ¹¹ τὴν γὰρ φλέβα ἐκφυσᾶσθαι ξυμβαίνει καλυφθεῖσαν, ¹² καὶ τὴν ῥύσιν τοῦ αἵματος κωλύεσθαι. ¹³ πολλοῖσι δὲ καὶ πῦον διὰ τοῦτο ξυνίστασθαι. ¹⁴ δὴ δοκεῖ δύο βλάβας φέρειν ἡ τοιαύτη χειρουργίη ¹⁵ τῷ μὲν τμηθέντι, πόνον· ¹⁶ τῷ δὲ τέμνοντι, πολλὴν ἀδοξίην. ¹⁷ τὸ δ' αὐτὸ κατὰ πασῶν παρήγγελται γίνεσθαι. ¹⁸ τὰ μὲν οὖν κατ' ἰητρεῖον ἀναγκαῖα ὄργανα, ¹⁹ καὶ περὶ ἃ δεῖ τεχνικὸν εἶναι τὸν μανθάνοντα, ταῦτ' ἐστίν. ²⁰ ὀδοντάγρῃσι γὰρ ²¹ καὶ σταφυλάγρῃσι χρῆσθαι τὸν τυχόντα ἐστίν. ²² ἁπλῆ γὰρ ἡ χρῆσις αὐτῶν εἶναι δοκεῖ.

VIII. Περὶ δὲ φυμάτων καὶ ἑλκέων, ὁκόσα μειζόνων ἐστὶ νοσημάτων. ² τὰ μὲν φύματα τεχνικώτατον ὑπειλῆφθαι, καὶ δύνασθαι διαλύειν ³ καὶ τὰς συστάσιας αὐτῶν κωλύειν. ⁴ ἑπόμενον δὲ τούτων στέλλειν ἐς τὸν ἐπιφανῆ τόπον, ὡς ἐς βραχύτατον. ⁵ καὶ τὴν σύστασιν ὁμαλῶς διὰ παντὸς ποιεῖσθαι τῶν φύ-

locorum conspicuum esse oportet, ³ alias neque circulum adtractum scarificare ac pertundere oportet. ⁴ Debilior enim est caro loci dolore affecti. ⁵ Scalpris autem incurvis, in summo non valde angustis utendum est. ⁶ Aliquando enim serosi ac saniosi humores viscosi ac crassi veniunt: ⁷ periculum igitur est, ne in fissuris subsistent, ubi arctæ fuerint incussæ. ⁸ Porro venas in brachiis funiculorum apprehensionibus constringere oportet. ⁹ Caro enim contegens in multis non probe coaptata est venæ. ¹⁰ Ubi enim lubrica fuerit caro, non contingit sectiones utrorumque juxta seipsas fieri. ¹¹ Nam venam contectam insufflari contingit, ¹² & sanguinis fluxum impediri. ¹³ multis vero etiam propter hoc pus congregatur. ¹⁴ Quapropter duo nocumenta talis chirurgia inducit, ¹⁵ secto quidem dolorem. ¹⁶ secanti vero multam ignominiam. ¹⁷ Idem in omnibus venis fieri præceptum est. ¹⁸ Hæc quidem igitur necessaria sunt in officina medica instrumenta, ¹⁹ & circa quorum usum artificiosum esse oportet addiscentem. ²⁰ Volsellis autem tum dentium, ²¹ tum uvarum, quilibet uti potest. ²² simplex enim usus ipsorum esse videtur.

VIII. Cæterum de tuberculis & ulceribus quæ majorum morborum sunt, amplius videndum est. ² Tubercula equidem deprehendere & dissolvere posse, maxime artificiosum habetur, ³ itemque collectiones ipsorum impedire. ⁴ Consequens est, ea in conspicuum & quam brevissimum locum contrahere, ⁵ & compagem ipsam æqualem per to-

φύματος. 6 ἀνωμάλως γὰρ ἔχοντος αὐτοῦ, ῥαγῆναί τε καὶ δυσθεράπευτον τὸ ἕλκος κίνδυνός ἐστι γενέσθαι. 7 ἐξομαλίζειν τε χρὴ πέσσοντα πανομοίως· 8 καὶ μήτε διαιρεῖν πρότερον, 9 μήτε αὐτόματον ἐᾶν ῥαγῆναι. 10 τὰ δὲ ἐκπέψαι δυνάμενα ὁμαλῶς ἐν ἑτέροις εἴρηται.

IX. Τὰ δὲ ἕλκεα δοκεῖ πορείας ἔχειν τέσσαρας· 2 μίαν μὲν ἐς βάθος. 3 ταῦτα δ' ἐστὶ τὰ συριγγώδη, 4 καὶ ὅσα ὕπουλά ἐστι, 5 καὶ ἔντοθεν κεκοιλασμένα. 6 ἡ δ' ἑτέρη, ἐς ὕψος, 7 τὰ ὑπερσαρκέοντα. 8 τρίτη δέ ἐστιν ἐς πλάτος· 9 ταῦτα δέ ἐστι, τὰ καλεόμενα ἑρπυστικά. 10 τετάρτη δὲ ὁδός ἐστιν ἐς ὁμαλές. αὕτη δὲ μόνη κατὰ φύσιν εἶναι δοκέει κίνησις. 11 αὗται μὲν οὖν ξυμφοραὶ τοιαῦται σαρκός εἰσιν. 12 πᾶσαι δὲ κοιναὶ τοῦ ξυμφέροντος· 13 καὶ τὰ μὲν τούτων ἐν ἑτέροις σημεῖα δεδήλωται· 14 καὶ ἣ χρηστέον ἐστὶν ἐπιμελείῃ. 15 δι' ὧν δὲ τὸ ξυμφυόμενον διαλυθήσεται· 16 καὶ τὸ πληρούμενον, 17 ἢ κοῖλον γενόμενον, 18 ἢ τὴν ἐς πλάτος πορείην ποιεύμενον, 19 προσηκόντως περὶ τουτέων ἐν ἄλλοις εἴρηται σημεῖα.

X. Περὶ δὲ καταπλασμάτων ὧδε. 2 τῶν ἐπιτιθεμένων ὀθονίων ὅκου ἂν ἡ χρῆσις κατὰ τοῦ νοσούματος ἀκριβὴς εἶναι δοκέῃ, 3 καὶ τοῦ ἕλκεος ἁρμόζει τὸ ἐπιτιθέμενον ὀθόνιον. 4 τοῦ δὲ καταπλάσματος πρὸς τὸν κύκλῳ τόπον τοῦ ἕλκεος χρῶ. 5 χρῆσις γὰρ αὕτη καταπλάσματος ἔντεχνός τε 6 καὶ πλεῖστα ὠφελεῖν δυναμένη. 7 δοκεῖ γὰρ τοῦ μὲν ἕλκεος βοηθεῖν ἡ τῶν

tum tuberculum facere. 6 Ubi enim inæqualiter se habuerit, periculum est ut rumpatur, & ulcus ægre curabile reddatur. 7 exæquare itaque oportet, similiterque r' tum maturum facere, 8 & neque prius diducere, 9 neque sinere ut sponte rumpatur. 10 Quæ vero maturum facere æqualiter 'possint, in aliis libris relata sunt.

IX. At vero ulcera quatuor vias habere videntur. 2 Unam in profundum. 3 Hæc autem sunt fistulosa, 4 & quæ sanie plena sunt, 5 ac intus excavata. 6 Alteram in altum; 7 quæ videlicet carne superexcrescunt. 8 Tertia via est in latitudinem: 9 atque hæc sunt, quæ appellantur serpiginosa. 10 Quarta via est, quæ sola secundum naturam motus esse videtur. 11 Carnis itaque calamitates 'hæ sunt. 12 Omnes autem communem rationem habent ad hoc, quod ipsis conducit: 13 & signa quidem horum in aliis relata sunt, 14 itemque qua utendum sit curatione, 15 per quæ autem concretum dissolvatur, 16 similiterque id quod carne excrescente repletum, 17 aut cavum factum est, 18 aut quod in latitudinem iter fecit, 19 de his omnibus in aliis scriptis nostris abunde dictum est.

X. Amplius vero de Cataplasmatis 'sic res habet. 2 Linteorum quæ imponuntur ac induntur alicubi in morbo, usus exactus esse videtur, 3 & est sane ulceri conveniens linteolorum impositio. 4 Verum cataplasmate per ambitum ulceris utaris. 5 Nam hic usus cataplasmatis & artificiosus est, 6 & multum prodesse potest. 7 Videtur enim ulceri opitulari vis eorum, quæ circum-

τῶν περιτεθειμένων δύναμις. [8] τὸ δ' ὀθόνιον, φυλάσσειν· [9] τὰ δ' ἔξω μὲν τοῦ ἕλκεος, τὸ κατάπλασμα ὠφελέει. [10] τὴν μὲν οὖν χρῆσιν αὐτέων, εἶναι δεῖ τοιαύτην.

XI. Περὶ δὲ καιρῶν, ὁκότε τούτοις ἑκάστοις χρηστέον ἐστί, [2] καὶ τὰς δυνάμιας ὡς χρὴ τῶν γεγραμμένων καταμεμαθηκέναι. [3] παραλέλειπται δὲ τὰ τοιαῦτα. [4] ἐπεὶ πλεῖον προσήκει τῆς κατ' ἰητρικὴν ἐπιμελείας· [5] καὶ πόῤῥω τῶν τῆς τέχνης ἤδη προεληλυθότος ἐστίν. [6] ἐχόμενον δὲ τούτων ἐστὶ καὶ ἡ κατὰ στρατείην γινομένων τρωμάτων χειρουργίη [7] περὶ τὴν ἐξαίρεσιν τῶν βελέων. [8] ἐν τῇσι γὰρ κατὰ πόλιν διατριβῇσι βραχεῖά τις ἐστὶν τουτέων ἡ χρῆσις. [9] ὀλιγάκις γὰρ ἐν παντὶ τῷ χρόνῳ γίνονται πολιτικαὶ στρατεῖαι καὶ πολεμικαί. [10] ξυμβαίνει δὲ τὰ τοιαῦτα πλειστάκις καὶ ξυνεχέστατα περὶ τὰς ξενικὰς στρατιὰς γίνεσθαι. [11] τὸν μὲν οὖν μέλλοντα χειρουργεῖν, στρατεύεσθαι δεῖ καὶ παρηκολουθηκέναι στρατεύμασι ξενικοῖς. [12] οὕτω γὰρ ἂν εἴη γεγυμνασμένος πρὸς ταύτην τὴν χρείαν.

XII. Ὃ δὲ εἶναι δοκεῖ περὶ ταῦτα τεχνικώτερον, εἰρήσεται. [2] τῶν γὰρ ὅπλων ἐνόντων καὶ σημεῖα πεπορέσθαι, τέχνης ἐστὶ πλεῖστον μέρος καὶ τῆς πρὸς ταῦτα χειρουργίης. [3] τούτου γὰρ ὑπάρξαντος, οὐκ ἂν παραλείποιτο τρωματίας ἀγνοηθείς, [4] ὅταν χειρουργῆται μὴ προσηκόντως. [5] μόνος δ' ἂν ὁ τῶν σημείων ἔμπειρος εἰκότως ἐπιχειρέοι. [6] περὶ δὲ τουτέων ἁπάντων ἐν ἑτέροις γεγραμμένον ἐστίν.

cumponuntur. [8] Linteum autem conterendum est ac emollien-dum. [9] Verum partibus extra vulnus circumsitis cataplasma prodest. [10] Talem igitur ipsorum usum esse oportet.

XI. Porro de temporum occasionibus, quando singulis horum utendum est, [2] & quomodo præscriptorum vires condiscere oporteat, [3] in præsens relictum est. [4] Talia enim longe præstantissima in studio Medicinæ sunt, [5] & procul in arte jam progressi existunt. [6] His consequens est chirurgia vulnerum in militia acceptorum, [7] circa extractionem telorum. [8] Nam in urbanis conversationibus modicus horum usus existit. [9] Raro enim per omne tempus civiles ac hostiles expeditiones fiunt. [10] hujusmodi autem sæpe ac frequentissime circa exteroas militias fieri solent. [11] Qui igitur hac chirurgia uti volet, eum militare oportet, & externos exercitus sequi. [12] Sic enim exercitatus fieri poterit ad ejusmodi usum ac necessitatem.

XII. Quod vero circa hæc artificiosissimum esse mihi videtur, referetur. [2] Etenim signa exquirere ac invenire telorum in corpore existentium, maxima artis & chirurgiæ huc pertinentis pars existit. [3] Ubi enim hoc cognitum fuerit, non relinqui potest vulneratus ex ignorantia neglectus, [4] quum non convenienter tractetur. [5] Solus autem is, qui signorum expertus est, hanc chirurgiam rite aggredietur. [6] Verum de his omnibus in aliis scriptum habetur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΥΣΧΗΜΟΣΥΝΗΣ.

Οὐκ ἀλόγως οἱ προβαλλόμενοι τὴν σοφίην πρὸς πολλὰ εἶναι χρησίμην, 2 ταύτην δὴ τὴν ἐν τῷ βίῳ. 3 αἱ γὰρ πολλαὶ πρὸς περιεργίην φαίνονται γεγενημέναι. 4 λέγω δὲ αὐτὰς, αἳ μηδὲν χρέος τῶν πρὸς ἃ διαλέγονται. 5 ληφθείη δ' ἂν τουτέων μέρεα ἐς ἐκεῖνα, 6 ἢ ὅπου οὐκ ἀργίη, οὐ δὲ μὴν κακίη. 7 τὸ γὰρ σχολάζον καὶ ἄπρηκτον ζητέει ἐς κακίην καὶ ἐφέλκεται. 8 τὸ δ' ἐγρηγορὸς καὶ πρός τι τὴν διάνοιαν ἐντεταμένον, ἐφελκύσαιτό τι τῶν πρὸς καλλονὴν βίου τεινόντων ἑωυτοῦ 9 τουτέων τοὺς μηδὲν ἐς χρέος πιπτούσας διαλέξιας. 10 χαριεστέρη γὰρ καὶ πρὸς ἑτέρων μετά τι ἐς τέχνην πεποιημένη. 11 τέχνην δὲ πρὸς εὐσχημοσύνην καὶ δόξαν. 12 πᾶσαι γὰρ αἱ μὴ μετ' αἰσχροκερδείης καὶ ἀσχημοσύνης, 13 κἀκείνοισι μέθοδός τις ἐοῦσα τεχνικὴ ἐργάζεται. 14 ἀλλ' εἴγε μὴ πρὸς ἀπάτην, δημοσιταί. 15 νέοι τε γὰρ αὐτέοισιν ἐμπίπτουσιν. 16 ἀκμάζοντες δὲ δι' ἐντροπὴν, ἰδιώτας τίθενται βλέποντες. 17 πρεσβῦται δὲ, διὰ πικρίην, νομοθεσίην τίθενται 18 ἀναίρεσιν ἐκ τῶν πόλεων. 19 καὶ γὰρ ἀγορὴν ἐργαζόμενοι οὗτοι 20 μετὰ βαναυσίης ἀπατέοντες· 21 καὶ ἐν πόλεσιν ἀνακυκλέοντες οἱ αὐτοί.

11. Ἴδοι δέ τις καὶ ἐπ' ἐσθῆτος

HIPPOCRATIS DE DECENTI ORNATV.

Non sine ratione faciunt, qui sapientiam ad multa utilem esse prætendunt, 2 eam videlicet quæ inter homines existit. 3 Multæ enim ad superfluam curiositatem factæ apparent. 4 Dico autem eas, quæ de nulla re utili disserunt. 5 Assumi autem utique possunt etiam harum partes ad illas, 6 vel propterea quod neque otiositas est, neque malitia. 7 Ocium enim & ignavia malitiam quærunt, & ad eam distrahuntur: 8 vigilantia vero & mens ad aliquid intenta, trahunt ad se quid eorum quæ ad vitæ honestatem pertinent, 9 etiam ex disputationibus nihil utile tractantibus. 10 Gratiosior est enim sapientia, & ab aliis quibusdam in artem constituta; 11 artem videlicet ad parandum honestum ornatum ac opinionem. 12 Omnes enim non cum turpi lucro & turpitudine consistunt. 13 Et illis methodus quædam est artificialis quæ operatur, 14 quod si non innocenter fiat, raptores sunt. 15 Adolescentes enim in ipsos incidunt, 16 verum in vigore constituti, propter verecundiam, videntes ipsos idiotas ducunt. 17 Senes vero, propter amarulentiam, legislationem in ipsos constituunt, 18 ex civitatibus videlicet expulsionem. 19 Hi enim sunt, qui fora frequentant, 20 ruditate ac inscitia sua imponentes, 21 & in circulis civitatum versantes.

11. Cognoverit autem quis ex vesti-

τῶν, [2] καὶ τῇσιν ἄλλῃσι περιγραφῇσι. [3] κἢν γὰρ ἔωσιν ὑπερηφανέως κεκοσμημένοι, [4] πολὺ μᾶλλον φευκτέοι, [5] καὶ μισητέοι τοῖσι θεωρεῦσίν εἰσι. [6] τὴν δὲ ἐναντίην χρεώδεας σκεπτέον, [7] οἷς οὐ διδακτὴ κατασκευή, [8] οὐδὲ περιεργίη. [9] ἔκ τε γὰρ περιβολῆς, [10] καὶ τῆς ἐν ταύτῃ εὐσχημοσύνης, [11] καὶ ἀφελείης, [12] οὐ πρὸς περιεργίην πεφυκυίης, [13] ἀλλὰ μᾶλλον πρὸς εὐδοξίην, [14] τό τε σύννουν, [15] καὶ τὸ ἐν νῷ πρὸς ἑωυτὸν διηκριβῶσθαι, [16] πρός τε τὴν πορείην, [17] οἵτε ἑκάστῳ χρήματι τοιοῦτοι. [18] ἀδιάχυτοι. [19] ἀπερίεργοι. [20] πικροὶ πρὸς τὰς συναντήσιας. [21] εὔθετοι πρὸς τὰς ἀποκρίσιας. [22] χαλεποὶ πρὸς τὰς ἀντικαθιστάσιας. [23] πρὸς τὰς ὁμοιότητας εὔστοχοι καὶ ὁμιλητικοί. [24] εὔκρητοι πρὸς ἅπαντας. [25] πρὸς τὰς ἀναστάσιας σιγητικοί. [26] πρὸς τὰς ἀποσιγήσιας ἐνθυμηματικοὶ καὶ χρηματικοί. [27] πρὸς τὸν καιρὸν εὔθετοι καὶ λημματικοί. [28] πρὸς τὰς τροφάς, εὐχρηστοι καὶ αὐτάρκεες. [29] ὑπομενητικοὶ πρὸς καιρόν, [30] πρὸς ὑπομονήν. [31] πρὸς λόγους ἀνυστοί. [32] πᾶν τὸ ἀποδειχθὲν ἐκφέροντες. [33] εὐεπίῃ χρεώμενοι. [34] χάριτι διακείμενοι. [35] δόξῃ τῇ ἐκ τουτέων διισχυριζόμενοι. [36] ἐς ἀλήθειαν πρὸς τὸ ἀποδειχθὲν ἀποτελματιζόμενοι.

III. Ἡγεμονικώτατον μὲν οὖν τουτέων ἁπάντων τῶν προειρημένων ἡ φύσις. [2] ἢν γὰρ οἱ ἐν τέχνῃσιν ἐοῦσι προσῇ αὐτέοισι τοῦτο, [3] διὰ πάντων τουτέων προπορεύονται τῶν προειρημένων. [4] ἀδίδακτον γὰρ τὸ χρεῖος [5] ἔστι τῇ σοφίῃ [6] καὶ ἐν τῇ τέχνῃ προσθεμένῃ. [7] διδαχθῆναι εἰς τὸ ἀρχὴν λαβεῖν,

vestitu [2] & aliis lineamentis. [3] Quamvis enim fuerint splendide ornati, [4] multo magis fugiendi sunt, [5] & à conspicientibus odio habendi. [6] Qui vero contrario modo se gerunt, frugi homines judicandi sunt, [7] quibus non est excogitatus apparatus, [8] neque superflua curiositas. [9] Ex vestitu enim cognosces, [10] & decenti in ipso ornatu, [11] ac frugalitate, [12] non ad superfluitatem parato, [13] sed magis ad bonam opinionem, [14] & meditationem, [15] animumque intra se compositum, [16] & ad profectionem. [17] Imo quocunque vestitu ac ornatu, tales sunt [18] minime diffluentes, [19] non curiosi, [20] amarulenti ad occursus & obviam itiones, [21] appositi ad responsiones, [22] graves adversus resistentes, [23] ad sui similes solertes & familiares, ac affabiles, [24] temperati ad omnes, [25] ad seditiones taciturni, [26] ad tacendum animo obfirmato & continentes, [27] ad tempus appositi, [28] & ad occasionem arripiendam accommodati, [29] ad victum frugales & contenti, [30] patientes ad temporis expectationem, [31] ad sermones expediti, [32] omne demonstratum proferentes, [33] suaviloquentia utentes, [34] gratiis affecti, [35] & gloria horum omnium corroborati ac fortificati, [36] ad veritatem ac demonstrationem audentes ac confisi.

III. Principalissimum quidem igitur horum omnium prædictorum est Natura. [2] Nam si hæc affuerit his qui artibus animum applicant, [3] per omnia prædicta penetrare poterunt. [4] Incognita enim utilitas, [5] tum in sapientia, [6] tum in arte adhibita. [7] ad principium capiendum edoceri potest.

βῆναι. [8] ἡ δὲ φύσις καταῤῥεῖ καὶ κέχυται. [9] τῇ δὲ σοφίῃ, ἐς τὸ εἰδῆσαι τὰ ἀπ' αὐτῆς τῆς φύσιος ποιεύμενα. [10] καὶ γὰρ ἐν ἀμφοτέροισι λόγοισι πολλοὶ κρατηθέντες, [11] οὐδαμῇ σὺν ἀμφοτέροισιν ἐχρήσαντο τοῖσι πρήγμασιν ἐς δεῖξιν. [12] ἐπὴν γοῦν τις αὐτέων ἐξετάζῃ τι πρὸς ἀλήθειαν τῶν ἐν ῥήσει τιθεμένων, [13] οὐδαμῇ πρὸς φύσιν αὐτέοισι χωρήσει. [14] εὑρίσκονται γοῦν οὗτοι τὴν παραπλησίην ὁδὸν ἐκείνοισι πεπορευμένοι. [15] διόπερ ἀπογυμνούμενοι, τὴν πᾶσαν ἀμφιέννυνται κακίην καὶ ἀτιμίην. [16] καλὸν γὰρ ἐκ τοῦ διδαχθέντος ἔργου λόγος. [17] πᾶν γὰρ τὸ ποιηθὲν τεχνικῶς ἐκ λόγου ἀνενήνεκται. [18] τὸ δὲ ῥηθὲν τεχνικῶς, μὴ ποιηθὲν δὲ, μεθόδου ἀτέχνου δεικτικὸν ἐγένετο. [19] τὸ γὰρ οἴεσθαι μὲν, μὴ πρήσσειν δὲ, ἀμαθίης καὶ ἀτεχνίης σημεῖόν ἐστιν.

IV. [1] Οἴησις γὰρ [2] μάλιστα ἐν ἰητρικῇ [3] αἰτίην μὲν τοῖσι κεχρημένοισιν, [4] ὄλεθρον δὲ τοῖσι χρεομένοισιν ἐπιφέρει. [5] ἢν γὰρ ἑωυτοὺς ἐν λόγοισι πείσωσιν, οἴηθῶσιν εἰδέναι ἔργον τὸ ἐκ μαθήσιος, [6] καθάπερ χρυσὸς φαῦλος ἐν πυρὶ κριθεὶς, [7] τοιούτους αὐτοὺς ἀπέδειξε. [8] καίτοι γε τοιαύτη ἡ προῤῥησις ἀπαρηγόρητον ἐς σύνεσιν ὁμογνοέσιν. [9] ὡς ἐστιν ὀρθὸν, τὸ πέρας ἐδήλωσε γνῶσις. [10] ὁ δὲ χρόνος καὶ τὴν τέχνην [11] εὐοδίην κατέστησεν, [11] ἢ τοῖσιν ἐς τὴν παραπλησίην οἶμον ἐμπίπτουσιν τὰς ἀφορμὰς δήλας ἐποίησε. [12] διὸ δεῖ ἀναλαμβάνοντα τουτέων τῶν προειρημένων ἕκαστα, [13] μετάγειν τὴν σοφίην ἐς τὴν ἰητρικὴν, [14] καὶ τὴν ἰητρικὴν ἐς τὴν σοφίην.

V. Ἰη-

test. [8] Natura autem defluit & confunditur [9] cum ſapientia, ad cognoſcendum ea quę ab ipſa natura facta ſunt. [10] Etenim in utriſque ſermonibus multi convicti, [11] nullatenus utriſque rebus uſi ſunt ad demonſtrationem, [12] poſtquam igitur quiſpiam ipſorum expenderit ad veritatem ea quæ retulimus, [13] nullatenus naturæ bona ipſis procedent. [14] Comperiuntur itaque hi non conſimili cum illis via progreſſi, [15] quapropter denudati, omnem induunt malitiam ac ignominiam. [16] Honeſtus eſt enim ex opere, quod quis edoctus eſt, ſermo. [17] Quicquid enim artificioſe factum eſt, ex ratione prolatum eſt ac productum. [18] Quicquid autem artificioſe dictum eſt, non autem factum, methodi inartificialis demonſtrativum exiſtit. [19] Nam putare quidem, non autem facere, ignorantiæ & inartificialitatis ſignum eſt.

IV. Opinio enim [2] maxime in Medicina, [3] in crimen vertitur eam adhibentibus: [4] his vero qui ea in ſe uſi ſunt, perniciem affert. [5] Etenim ſi ſibi ipſis in ſermonibus perſuaſerint, & opus ex diſciplina ſe ſcire putaverint, [6] quemadmodum aurum adulterinum in igne judicatum, [7] tales ſeipſos eſſe demonſtrant. [8] quanquam talis prædictio nihil commovet ad prudentiam eos, qui ſunt ejuſdem generis. [9] quod autem rectus ſit finis, cognitio manifeſtum facit. [10] Tempus porro etiam artem facilem ac perviam facit, [11] aut in conſimilem viam incidentibus proceſſus manifeſtos facit. [12] Quapropter ſingula prædicta ſuſcipere oportet, [13] & ſapientiam transferre ad medicinam, [14] & medicinam ad ſapientiam.

V. Me-

V. Ἰητρὸς γὰρ φιλόσοφος ἰσόθεος. [2] Οὐ πολλὴ γὰρ διαφορὴ ἐπὶ τὰ ἕτερα. [3] Καὶ ἔνι τὰ πρὸς σοφίην ἐν ἰητρικῇ πάντα. [4] ἀφιλαργυρίη. [5] ἐντροπή. [6] ἐρυθρίησις. [7] καταστολή. [8] δόξα. [9] κρίσις. [10] ἡσυχίη. [11] ἀπάντησις. [12] καθαριότης. [13] γνωμολογίη. [14] εἴδησις τῶν πρὸς βίον χρηστῶν καὶ ἀναγκαίων καθαρσίων. [15] ἀπεμπόλησις. [16] ἀδεισιδαιμονίη. [17] ὑπεροχὴ θείη. [18] ἔχουσι γὰρ, ἃ ἔχουσι, πρὸς ἀκολασίην, [19] πρὸς βαναυσίην, [20] πρὸς ἀπληστίην, [21] πρὸς ἐπιθυμίην, [22] πρὸς ἀφαίρεσιν, [23] πρὸς ἀναιδείην ἐνδεῖν. [24] αὕτη γὰρ ἡ γνῶσις τῶν προσιόντων, [25] καὶ χρῆσις τῶν πρὸς φιλίην, [26] καὶ ὡς ὁκοίως τὰ πρὸς τέκνα, [27] πρὸς χρήματα. [28] ταύτῃ μὲν οὖν ἐπικοινωνὸς σοφίη τις.

VI. Ὅτι καὶ ταῦτα τὰ πλεῖστα ὁ ἰητρὸς ἔχει. [2] καὶ γὰρ μάλιστα ἡ περὶ θεῶν εἴδησις ἐν νόῳ αὐτῇ ἐμπλέκεται. [3] ἐν γὰρ τοῖσιν ἄλλοισι πάθεσι [4] καὶ ἐν συμπτώμασιν [5] εὑρίσκεται τὰ πολλὰ πρὸς θεῶν ἐντίμως κειμένη ἡ ἰητρική. [6] οἱ δὲ ἰητροὶ θεοῖσι παρακεχωρήκασιν. [7] οὐ γὰρ ἔνι περισσὸν ἐν αὐτέῃ τὸ δυναστεῦον. [8] καὶ γὰρ οὗτοι πολλὰ μὲν μεταχειρέονται, [9] πολλὰ δὲ καὶ κατορθοῦται αὐτέοισι δι' ἑωυτέων. [10] ἃ δὲ καὶ τὰ πλεονεκτέοντα νῦν ἡ ἰητρική, ἐντεῦθεν παρέξει. [11] τῆς γὰρ ὁδὸς τῆς ἐν σοφίῃ, ὧδε. [12] καὶ γὰρ αὐτέοισιν ἐκείνοισιν, οὕτω [13] δ' οὐκ εἴονται ὁμολογέουσιν ὧδε, [14] τὰ περὶ σώματα παραγενόμενα. [15] ἃ δὴ διὰ πάσης αὐτῆς πεπόρευται, [16] μετασχηματιζόμενα ἢ μεταποιεύμενα,

V. Medicus enim philosophus est deo æqualis. [2] Neque enim multa est inter ipsas differentia. [3] Nam omnia quæ ad sapientiam requiruntur, insunt in medicina: [4] argenti contemptus, [5] reverentia, [6] verecundia, [7] habitus submissus, [8] autoritas, [9] iudicium, [10] quies, [11] obviam itio, [12] mundicia, [13] doctrina, [14] cognitio ad vitam utilium ac necessariarum purificationum, [15] alienitas à mercimoniis, [16] alienitas à superstitione, [17] præminentia divina. [18] Habent enim quæcunque habent ad coërcendam intemperantiam, [19] inscitiam, [20] avaritiam, [21] concupiscentiam, [22] rapinasque [23] ac impudentiam. [24] Hæc enim est cognitio accedentium, [25] & usus eorum quæ ad amicitiam pertinent, [26] & quomodo ad liberos, [27] ac quascunque res se gerere oporteat. [28] Quatenus igitur cum hac societatem habet, sapientia quædam est.

VI. Nam & plurima ex his etiam medicus habet. [2] Etenim scientia de diis vel maxime animo ipsius implexa est. [3] Etenim in aliis affectionibus [4] & in symptomatis accidentibus, [5] Medicina erga deos valde reverenter se habere comperitur. [6] Medici vero deis concedunt. [7] Non enim est potentia in ipsa redundans. [8] Nam & hi multa quidem aggrediuntur, [9] multa vero etiam per seipsa ipsis superantur. [10] Quæ vero nunc possidet Medicina, hinc exhibebit. [11] Quæ enim via ipsius sit in sapientia, hactenus dictum est. [12] Nam & illis ipsis hoc modo se res habet. [13] Quæ vero putant, & confitentur ac profitentur, sic habent, [14] Quæ circa corpora adsunt & adveniunt, [15] quæ sane per omnem ipsam artem procedunt, [16] dum illa

να. [17] ἃ δὲ, μετὰ χειρουργίης ἰώμενα. [18] ἃ δὲ, βοηθεύμενα, θεραπευόμενα ἢ διαιτώμενα. [19] τὸ δὲ κεφαλαιωδέστατον ἔστω, ἐς τὴν τουτέων εἴδησιν.

VII. Ὄντων οὖν τουτέων τῶν προειρημένων ἁπάντων, [2] χρὴ τὸν ἰητρὸν ἔχειν τινὰ εὐτραπελίην παρακειμένην. [3] τὸ γὰρ αὐστηρὸν δυσπρόσιτον [4] καὶ τοῖσιν ὑγιαίνουσι [5] καὶ τοῖσι νοσέουσι. [6] τηρεῖν δὲ χρὴ ἑωυτὸν ὅτι μάλιστα [7] μὴ πολλὰ φαίνοντα τῶν τοῦ σώματος μερέων· [8] μηδὲ πολλὰ λεσχηνευόμενον τοῖσιν ἰδιώτῃσιν, [9] ἀλλὰ τ' ἀναγκαῖα. [10] νομίζειν γὰρ τοῦτο βίην εἶναι [11] ἐς προσκλησιν θεραπείης. [11] ποιέειν δὲ κάρτα μηδὲν περιέργως αὐτέων, [12] μηδὲ μετὰ φαντασίης. [13] ἐσκέφθω δὲ ταῦτα πάντα ὅκως ᾖ σοι προμεμελετημένα ἐς τὴν εὐπορίην, ὡς δεῖ· [14] εἰ δὲ μή, ἐπὶ τῆς χρείης ἀπορίη ἀεὶ δή. [15] μελετᾶν δὲ χρὴ ἐν ἰητρικῇ ταῦτα, [16] μετὰ πάσης καταστολῆς, [17] περὶ ψηλαφίης, [18] καὶ ἐγχρίσιος, [19] καὶ ἐγκαταντλήσιος, [20] πρὸς τὴν εὐρυθμίην τῶν χειρῶν. [21] περὶ πλαγγόνων. [22] περὶ σπληνῶν. [23] περὶ ἐπιδεσμῶν. [24] περὶ τῆς ἐν καιρῷ στάσιος, [25] περὶ φαρμάκων, [26] ἐς τρώματα, [27] καὶ ὀφθαλμικῶν. [28] καὶ τὰ γένεα πρὸς τὰ γένεα. [29] ἵν' ᾖ σοι προμεμελετημένα, [30] ὄργανά τε [31] καὶ μηχαναί, [32] καὶ σίδηρος ὀξύς. [33] ἡ γὰρ ἐν τουτέοισιν ἀπορίη, ἀμηχανίη καὶ βλάβη ἐστίν.

VIII. Ἔστω δέ σοι ἑτέρη παρέξοδος ἡ λιτοτέρη [2] πρὸς τὰς ἀποδημίας, [3] ἡ διὰ χειρῶν. [4] ἡ δ' εὐχερεστάτη, διὰ μεθόδου. [5] οὐ γὰρ οἷόν τε διέρχεσθαι πάντα τὸν ἰητρόν. [6] ἔστω

illa transformantur aut transmutantur. [17] Quæ item per chirurgiam sanant. [18] Et quæ auxiliis & medelis aut victu curantur, [19] Summa vero horum omnium tendat ad horum cognitionem.

VII. Quum igitur relata omnia tali modo se habeant, [2] convenit ut Medicus comitatem quandam sibi adjunctam habeat. [3] Austeritas enim [4] & sanis [5] & ægris difficilem accessum præbet. [6] Maxime vero adservare ipsum seipsum convenit, [7] ut ne multas corporis partes ostendat, [8] neque cum imperitis multa fabuletur, [9] sed necessaria [10] Hoc enim violentia esse consuevit ad curationis provocationem. [11] Facere autem nihil horum debet valde curiose, [12] neque ex imaginatione. [13] Hæc vero omnia considerato, quo tibi præparata sint ad abundantiam, prout opus fuerit. [14] Sin minus, instante necessitate semper penuria fuerit. [15] Procurare autem oportet hæc in medicina, [16] cum omni submissione, [17] defrictione, [18] & illitione, [19] & perfusione, [20] ad manuum concinnitatem: [21] de linamentis vulsis, [22] de spleniis, [23] deligamentis, [24] de his quæ pro temporis constitutione requiruntur, [25] de medicamentis [26] ad vulnera, [27] & ocularia, [28] & ex his ea, quæ ad singula genera pertinent: [29] quo tibi præparata sint, [30] & instrumenta, [31] & machinæ, [32] & consequenter ferrum. [33]. Nam in his penuria detrimentosa est, [34] & artem mancam facit.

VIII. Sit autem tibi alter apparatus [2] simpliciter ad peregrinationes instructus, [3] ad manus promptus. [4] Expeditissimus autem per methodi rationem. [5] Neque enim fieri potest, ut Medicus omnia percurrat,

[6] Fir-

[6] Ἴστω δέ σοι εὐμνημόνευτα, φαρμακά τε [7] καὶ δυνάμιες ἁπλαῖ, [8] καὶ ἀναγεγραμμέναι, [9] εἴπερ ἄρα ἐστίν. [10] ἐν νόῳ καὶ τὰ περὶ νούσων ἰήσιος, [11] καὶ οἱ τουτέων τρόποι, [12] ὁσαχῶς, [13] καὶ ὃν τρόπον περὶ ἑκάστων ἔχουσιν. [14] αὕτη γὰρ ἀρχὴ ἐν ἰητρικῇ, [15] καὶ μέσα, [16] καὶ τέλος. [17] προκατεσκευάσθω δέ σοι καὶ μαλαγμάτων γένεα, πρὸς τὰς ἑκάστων χρήσιας. [18] πόματα τέμνειν δυνάμενα ἐξ ἀναγραφῆς ἐσκευασμένα πρὸς τὰ γένεα. [19] προηνθισμένα δὲ καὶ τὰ πρὸς φαρμακείην [20] ἐς τὰς καθάρσιας εἰλημμένα, [21] ἀπὸ τόπων τῶν καθηκόντων, [22] ἐσκευασμένα, ὃς ἂν δεῖ τρόπον [23] πρὸς τὰ γένεα [24] καὶ τὰ μεγέθεα [25] ἐς παλαίωσιν μεμελετημένα. [26] τὰ δὲ πρόσφατα ὑπὸ τὸν καιρὸν, [27] καὶ τἄλλα κατὰ λόγον. [28] ἐπὴν δὲ ἴῃς πρὸς τὸν νοσέοντα, τουτέων σοι ἀπηρτισμένων, [29] ἵνα μὴ ἀπορῇς, [30] εὐθέτως ἔχων ἕκαστα πρὸς τὸ ποιησόμενον.

IX. Ἴσθι δὲ γινώσκων, ὃ χρὴ ποιέειν πρὶν ἐσελθεῖν. [2] πολλὰ γὰρ οὐ συλλογισμοῦ, ἀλλὰ βοηθείης δέονται τῶν πρηγμάτων. [3] προδιαγινώσκειν οὖν χρὴ τὸ ἐκβησόμενον ἐκ τῆς ἐμπειρίης. [4] ἔνδοξον γὰρ [5] καὶ εὐμαθές. [6] ἐν δὲ εἰσόδῳ μεμνῆσθαι καὶ καθέδρης, [7] καὶ καταστολῆς, [8] περιστολῆς, [9] ἀνακυριώσεως, [10] βραχυλογίης, [11] ἀταρακτοποιησίης, [12] προσεδρίης, [13] ἐπιμελείης, [14] ἀντιλέξιος πρὸς τὰ ἀπαντώμενα, [15] πρὸς τοὺς ὄχλους τοὺς ἐπιγινομένους, εὐσταθίης τῆς ἐν ἑωυτῷ, [16] πρὸς τοὺς θορύβους ἐπιπλήξιος, [17] πρὸς τὰς ὑπουργίας, ἑτοιμασίης. [18] ἐπὶ τουτέοισι μέμνη-

[6] Firma item memoria teneto medicamenta, [7] & simplices facultates, [8] & descriptas, [9] si modo tales extant. [10] Sint & in memoria tibi morborum curationes, [11] & harum modi, [12] quotupliciter, [13] & quomodo in singulis se habent. [14] Hoc enim principium est in Medicina, [15] & medium, [16] & finis. [17] Præparata quoque tibi sint malagmatum genera ad singulos usus. [18] Potiones quæ incidere possunt, ex descriptione præparatæ juxta genera. [19] In promptu sint & quæ ad medicationem pertinent, [20] ad purgationes; [21] sumpta de locis congruis, [22] & parata eo quo convenit modo; [23] juxta genera, [24] & magnitudines, [25] ad vetustatem ferendam curata. [26] Recentia vero juxta temporis occasionem, [27] & alia juxta rationem. [28] His autem tibi præparatis hoc commodi erit, [29] ut ubi ad ægrotum introieris, [30] animo incertus non sis, [31] quum apposite habeas singula ad id, quod faciendum est.

IX. Antea vero hoc cognitum habeas quod facere oportet, quam ad ægrum ingrediaris. [2] Pleraque enim non ratiocinatione, sed auxilio rerum opus habent. [3] Itaque eventum ex experientia prius discernere oportet. [4] Est enim hoc gloriosum, [5] & facile cognosci potest. [6] In ingressu vero meminisse convenit & sessionis, [7] & habitus submissi, [8] amictus compositi, [9] auctoritatis, [10] breviloquentiæ, [11] ut nihil cum perturbatione facias, [12] assessus, [13] diligentiæ, [14] responsionis ad ea quæ occurrunt, [15] & ad tumultus oborientes compescendos constantiæ apud teipsum, [16] increpationis ad turbas castigandas, [17] promptitudinis ad ministeria. [18] Et ad hæc me-

μέμνησο τῆς παρασκευῆς τῆς προτέρης. [19] εἰ δὲ μή, τὸ καθ' ἄλλα ἀδιάπλωτον. [20] ἐξ ὧν παραγγέλλεται ἐς ἑτοιμασίην.

X. Ἐσόδῳ χρέο πυκνῶς, [2] ἐπισκέπτεο ἐπιμελέστερον, [3] τοῖσιν ἀπατεομένοισιν [4] ἐπὶ τὰς μεταβολὰς ἀπαντῶν. [5] ῥᾷον γὰρ εἴσῃ· [6] ἅμα δὲ καὶ εὐμαρέστερος ἔσῃ. [7] ἄστατα γὰρ τὰ ἐν ὑγροῖσι. [8] διὸ καὶ εὐμετάπτωτα ὑπὸ φύσιος καὶ ὑπὸ τύχης. [9] ἀβλεπτηθέντα γὰρ τὰ κατὰ τὸν καιρὸν τῆς ὑπουργίης [10] ἔφθασαν ὁρμήσαντα καὶ ἀνελόντα. [11] οὐ γὰρ ἦν τὸ ἐπικουρῆσον. [12] πολλὰ γὰρ ἅμα τὰ ποιέοντά τι χαλεπόν. [13] τὸ γὰρ καθ' ἓν καὶ ἐπακολούθησιν εὐθετώτερον καὶ ἐμπειρότερον. [14] ἐπιτηρέειν δὲ δεῖ καὶ τὰς ἁμαρτίας τῶν καμνόντων, [15] δι' ὧν πολλοὶ πολλάκις διεψεύσαντο [16] ἐν τοῖσι προσφέρμασι τῶν προσφερομένων, [17] ἐπεὶ τὰ μισητὰ πόματα λαμβάνοντες, [18] ἢ φαρμακευόμενοι, [19] ἢ θεραπευόμενοι, [20] ἀνῃρέθησαν. [21] καὶ αὐτῶν μὲν οὐκ ἐς ὁμολογίην τρέπεται τὸ ποιηθέν· [22] τῷ δὲ ἰητρῷ τὴν αἰτίαν προσῆψαν.

XI. Ἐσκέφθαι δὲ χρὴ καὶ τὰ περὶ ἀνακλίσιων. [2] ἃ μὲν αὐτέων πρὸς τὴν ὥρην, [3] ἃ δὲ καὶ πρὸς τὰ γένεα. [4] οἱ μὲν γὰρ αὐτέων ἐς θρόνους, [5] οἱ δὲ ἐς καταγείους καὶ σκοτεινοὺς τόπους. [6] ἔπειτα ἀπὸ ψόφων [7] καὶ ὀσμέων, [8] μάλιστα δὲ ἀπὸ οἴνου· [9] χειροτέρη γὰρ αὕτη· [10] φυγεῖν δὲ καὶ μεταθεῖναι. [11] προσήκει ἅπαντα ταῦτα [12] ἡσύχως, [13] εὐσταλέως, [14] μεθ' ὑπουργίης, [15] τὰ πολλὰ τὸν νοσέοντα ὑποκρυπτόμενον, ὧδε χρή, [16] παρακελεύοντα ἱλαρῶς καὶ εὐδιεινῶς [17] σφέ-

memor sis primi apparatus. [19] Sin minus, reliqua citra errorem fiant, [20] quæ ad promptitudinem parandam præcipiuntur.

X. Ingressu utere frequenter, [2] visita diligentius, [3] his quæ à deceptis per errorem fiunt occurrens, [4] ut mutentur. [5] Facilius enim cognosces, [6] simulque expeditior eris [7] Instabilia enim sunt, quæ in humidis consistunt. [8] Quapropter etiam facile & à natura & à fortuna transmutantur. [9] Neglecta enim ea, quæ circa temporis occasionem administrare oportebat, [10] impetu suo progressa occupant ac perimunt. [11] Non enim est, quod opem ferat. [12] Multa enim sunt, quæ simul mali aliquid faciunt. [13] Nam quod singulatim juxta consequentiam fit, magis opportunum & frequentius est. [14] Observare autem oportet ægrotorum quoque peccata, [15] per quæ multi sæpe mentiti sunt, [16] in assumendis his quæ ingerenda exhibentur, [17] postquam exosas potiones non accipientes, [18] aut pharmacis datis, [19] aut alia curatione adhibita, [20] perempti sunt. [21] Et factum quidem hoc non ad ipsorum confessionem vertitur, [22] verum Medico culpa imputatur.

XI. Considerare vero oportet etiam decubitus, [2] quosdam ex ipsis juxta anni tempus, [3] quosdam juxta genera. [4] Quidam enim in altis sedibus, [5] quidam in subterraneis ac tenebrosis decumbunt. [6] Strepitus quoque [7] & odores, [8] maxime vini ([9] deterior enim hic est) [10] fugere ac transmutare oportet. [11] Et omnia hæc facere [12] placide, [13] expedite, [14] cum ministerio, [15] ita ut pleraque ægroto occultes, [16] & hilari ac sereno vultu ipsum consoleris: [17] quo

17 ὀφέτερον δὲ ἀποτρεπόμενον, 18 ἅμα μὲν ἐπιπλήξει μετὰ πικρίης καὶ ἐναντιώσιος, 19 ἅμα δὲ παραμυθέεσθαι μετ' ἐπιστροφῆς καὶ ὑποδέξιος, 20 μηδὲν ὑποδεικνύντα τῶν ἐσομένων, ἢ ἐνεστώτων αὐτέοισι. 21 πολλοὶ γὰρ δι' αἰτίην ταύτην ἐφ' ἑκάτερα ἀπηώθησαν, 22 διὰ τὴν προῤῥησιν τὴν προειρημένην τῶν ἐνεστώτων, ἢ ἐπεσομένων.

XII. Τῶν δὲ μανθανόντων ἔστω τις ὁ ἐφεστὼς, 2 ὅκως τοῖσι παραγγέλμασιν οὐ πικρῶς χρήσηται, 3 ποιήσῃ δὲ ὑπουργίην τὸ προσταχθέν· 4 ἐκλέγεσθαι δὲ ἀπ' αὐτέων ἤδη τοὺς ἐς τὰ τῆς τέχνης εἰλημμένους, 5 προσδοῦναί τι τῶν ἐς τὸ χρέος, 6 ἢ ἀσφαλέως προσενεγκεῖν· 7 ὅκως τε ἐν διαστήμασι μηδέν σε λανθάνῃ σοι· 8 ἐπιτροπὴν δὲ τοῖσιν ἰδιώτῃσι μηδέ ποτε διδοὺς περὶ μηδενός· 9 εἰ δὲ μὴ, τὸ κακῶς πρηχθὲν εἰς σὲ χωρήσει τοῦ ψόγου, 10 ἐὰν μή ποτ' ἀμφιβόλως ἔχῃ, 11 ἐξ ὧν τὸ μεθοδευθὲν χωρήσει, 12 καὶ οὐ σοὶ τὸν ψόγον περιάψει. 13 καὶ τὸ ἐνχθὲν δὲ, πρὸς τὸ γνῶσαι ἔσται· 14 πρόλεγε οὖν ταῦτα πάντα, ἐπὶ τῶν ποιευμένων, οἷς καὶ τὸ ἐπεγνῶσθαι πρόκειται· 15 ταῦτα οὖν ἐόντων, 16 τῶν πρὸς εὐδοξίην 17 καὶ εὐσχημοσύνην, 18 τῶν ἐν τῇ σοφίῃ 19 καὶ ἰητρικῇ, 20 καὶ ἐν τῇσιν ἄλλῃσι τέχνῃσι, 21 χρὴ τὸν ἰητρὸν διειληφότα τὰ μέρεα, περὶ ὧν εἰρήκαμεν, περιεννύμενον πάντοτε τὸ ἕτερον διατηρέειν φυλάσσειν, 22 καὶ παραδιδόναι ποιέεσθαι. 23 εὐκλέα γὰρ ἐόντα πᾶσιν ἀνθρώποισι, διαφυλάσσεται· 24 οἵ τε δι' αὐτέων ὁδεύσαντες, δοξαστοὶ, πρὸς γονέων καὶ τέκνων. 25 κἢν τινες αὐ-

17 quo à suis illum cupiditatibus avertas, 18 simul cum amarulentia & contraria instantia increpando, 19 simulque cum commonefactione ac dexteritate suscipiendo ac consulendo, 20 non tamen ut quicquam futurorum aut præsentium ipsis indices. 21 Plerique enim ob hanc causam, in utramlibet partem compulsi sunt, 22 propter relatam videlicet prædictionem præsentium aut futurorum.

XII. Sit autem ex discipulis aliquis præsens, 2 qui instet ut præceptis non amarulente utatur, 3 & quod mandatum est faciat 4 Deligito autem ex ipsis eos, qui jam in arte progressum fecerunt, 5 quo ea, quæ utilia sunt, addant, 6 aut secure offerant, 7 ut & in intervallis nihil te lateat. 8 At vero imperitis nunquam quicquam procurandum committes. 9 Sin minus, ejus quod male factum est, vituperium in te recidet, 10 si non ambigue res habeat. 11 ex quibus id, quod recta methodo tractatum est, procedet, 12 & vituperationem tibi non afferet: 13 sed & quod factum fuerit, ad genus referetur. 14 Proinde omnia hæc prædicito in his quæ fiunt, his quibus ea cognovisse propositum est. 15 His igitur ita habentibus, 16 ad bonam existimationem 17 ad decentem ornatum; 18 & in sapientia, 19 & in medicina, 20 & in aliis artibus; 21 oportet medicum distinctis partibus, de quibus diximus, semper utrisque amictum, ea conservare ac custodire, 22 & tradere ac facere. 23 Quum enim apud omnes homines inclyta sint, conservantur. 24 Et qui per ipsa procedunt, celebres sunt à parentibus & liberis. 25 Etsi quidam ipso-

αὐτέων μὴ πολλὰ γινώσκωσιν, [26] ὑπ' αὐτέων τῶν πρηγμάτων ἐς σύνεσιν ἥκωσιν).

ipsorum non multa cognitione prædıti sint, [26] ab ipsis tamen rebus ad intelligentiam deveniunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΑΡΑΓΓΕΛΙΑΙ.

HIPPOCRATIS PRÆCEPTIONES.

Basil. græc. Foesius sect. 1. 27. 25. Basil. lat.

93 pag 27 ΧΡΟΝΟΣ [1] ἐστὶν, ἐν ᾧ καιρός. [2] καὶ καιρὸς, ἐν ᾧ χρόνος οὐ πολύς. [3] ἄκεσις χρόνῳ· [4] ἔστι δὲ, ἡνίκα καὶ καιρῷ. [5] δεῖ γε μὴν ταῦτα εἰδότα, [6] μὴ λογισμῷ πρότερον πιθανῷ προσέχοντα ἰητρεύειν, [7] ἀλλὰ τριβῇ μετὰ λόγου. [8] ὁ γὰρ λογισμὸς μνήμη τίς ἐστι 10 [9] συνθετικὴ τῶν μετ' αἰσθήσεως ληφθέντων. [10] ἐφαντασιώθη γὰρ ἐναργέως· [11] ἡ τε αἴσθησις προπαθὴς καὶ ἀναπομπὸς ἐοῦσα ἐς διάνοιαν τῶν ὑποκειμένων. [12] ἡ δὲ παραδεξαμένη πολλάκις, [13] οἷς, [14] ὅτε [15] καὶ ὁμοίως, [16] ταῦτα τηρήσασα [17] καὶ ἐς ἑωυτὴν καταθεμένη, [18] ἐμνημόνευσε. [19] συγκατατίθεμαι μὲν οὖν καὶ τὸν λογισμὸν, [20] ἤνπερ ἐκ περιπτώσιος ποιῆται τὴν ἀρχὴν, [21] καὶ τὴν καταφορὴν ἐκ τῶν φαινομένων μεθοδεύῃ. [22] ἐκ γὰρ τῶν ἐναργέως 15 ἐπιτελεομένων ἢν τὴν ἀρχὴν ποιήσηται ὁ λογισμὸς, [23] ἐν διανοίης δυνάμει ὑπάρχων εὑρίσκεται, [24] παραδεχομένης αὐτῆς ἕκαστα παρ' ἄλλων.

II. Ὑποληπτέον οὖν, [1] τὴν φύσιν ὑπὸ τῶν πολλῶν καὶ παντοίων πρηγμάτων κινηθῆναί τε [2] καὶ διδαχθῆναι, [3] βίης ὑπεούσης. [4] ἡ δὲ διάνοια παρ' αὐτῆς λαβοῦσα ὡς προ-

TEMPUS est, in quo occasio est. [2] Occasio vero, in qua tempus non multum. [3] Medela tempore, [4] aliquando etiam occasione contingit. [5] Hæc sane nosse oportet, [6] & non ratiocinationi prius probabili intentum curam aggredi, [7] sed exercitationi cum ratione. [8] Ratiocinatio enim memoria quædam est, [9] quæ componit ea, quæ per sensum sunt percepta [10] Imaginatione enim concepta est evidenter. [11] Sensus autem perpessus jam delegator est eorum quæ subjacent ac obveniunt ad ipsam cogitationem. [12] Qui vero sensus sæpe mala perpessus est, & suscepit, [13] quibus, [14] quando, [15] qualiter læsus sit [16] observans, [17] & in seipsum reponens [18] recordatur. [19] Collaudo quidem igitur etiam ratiocinationem, [20] siquidem ex fortuita occasione initium faciat, [21] & delationem in morbum ex apparentibus persequatur. [22] Si enim ex his quæ palam perficiuntur, ratiocinatio initium fecerit, [23] in mentis potentia esse comperitur, [24] ita ut ipsa ab aliis singula assumat.

II. Proinde statuendum est, naturam à multis ac omnigenis rebus moveri, [2] ac doceri. [3] ita ut violentia quædam subsit. [4] Mens autem, ubi accepit, velut dixi, postea ad veritatem perducit.

προεῖπον, ὕστερον ἐς ἀλήθειαν ἤγαγε. [5] Εἰ δὲ μὴ ἐξ ἐναργέος ἐφόδου, [6] ἐκ δὲ πιθανῆς ἀναπλάσιος λόγου, [7] πολλάκις βαρείην καὶ ἀνιηρὴν ἐπήνεγκε διάθεσιν. [8] Οὗτοι δὲ ἀνοδίην χωρέουσι. [9] Τί γὰρ αὐτῶν κακὸν, ἢν τὰ ἐπιχειρήματα ἐκομίζοντο, οἱ τὰ τῆς ἰητρικῆς ἔργα κακῶς δημιουργέοντες; [10] νῦν δὲ τοῖσιν ἀναιτίοισιν ἐοῦσι τῶν καμνόντων [11] ὁκόσοισιν οὐχ ἱκανὴ ἐφαίνετο ἐοῦσα τῆς νούσου βίη, [12] εἰ μὴ ξυνέλθοι τῇ τοῦ ἰητροῦ ἀπειρίῃ; [13] περὶ μὲν οὖν τουτέων ἅλις ἔστω διειλεγμένα. [14] Τῶν δ' ὡς [ἐκ] λόγου μούνου ξυμπεραινομένων, μὴ εἴη ἐπαυρέσθαι. [15] Τῶν δ' ὡς ἔργου ἐνδείξιος. [16] Σφαλερὴ γὰρ καὶ εὔπταιστος ἡ μετ' ἀδολεσχίης ἰσχύρισις. [17] Διὸ καὶ καθόλου δεῖ ἔχεσθαι τῶν γινομένων, [18] καὶ περὶ ταῦτα μὴ ἐλαχίστως γίγνεσθαι, [19] ἢν μέλλῃ ἕξιν ῥηιδίην καὶ ἀναμάρτητον ἕξειν, [20] ἣν δὴ ἰητρικὴν προσαγορεύομεν. [21] Κάρτα γὰρ μεγάλην ὠφελείην προσποιήσει [22] τοῖσί γε νοσέουσι, [23] καὶ τοῖσι τουτέων δημιουργοῖσιν. [24] Μὴ ὀκνέειν δὲ παρ' ἰδιωτέων ἱστορέειν, [25] ἤν τι δοκέῃ ξυμφέρον, ἐς καιρὸν θεραπείης. [26] Οὕτω γὰρ δοκέω τὴν ξύμπασαν τέχνην ἀναδειχθῆναι, [27] διὰ τὸ ἐξ ἑκάστου τοῦ τέλεος τηρηθῆναι, [28] καὶ ἐς ταυτὸ ξυναλισθῆναι.

III. Προσέχειν οὖν δεῖ περιπτώσει τῇ [2] ὡς ἐπὶ τὸ πολύ. [3] καὶ μετ' ὠφελείης καὶ ἠρεμαιότητος μᾶλλον, [4] ἢ ἐπαγγελίης [5] καὶ ἀπολογίης τῆς μετὰ πρήξιος. [6] Χρήσιμος δὲ καὶ ποικίλος τῶν προσφερομένων τῷ νοσέοντι, καὶ ὁ προορισμός. [7] Ὅτι μόνον τι προσενεχθὲν ὠφελήσει, οὐ γὰρ ἰσχυρίσιος δεῖ. [8] Πάντα

cit. [5] Si vero non ex evidenti aggressione, [6] verum ex probabili rationis figmento, [7] sæpe gravem & molestam invehit affectionem. [8] Tales autem inviam viam arripiunt. [9] Quid enim tandem erat mali, si mercedem auferrent hi, qui medicinæ opera male administrant? [10] Nunc vero ægrotis, qui extra culpam sunt, [11] non sufficiens esse apparet violentia morbi, [12] nisi Medici quoque imperitia accedat. [13] Et de his quidem hæc dicta satis sint. [14] At his quæ ex sola ratione perficiuntur, frui non datur: [15] verum his quæ ex operis indicatione. [16] Fallax enim est & ad errorem proclivis affirmatio, quæ fit cum garrulitate. [17] Quapropter in universum his, quæ fiunt, inhærere oportet, [18] & circa hæc vel maxime versari, [19] si quis facilem ac minime delinquentem habitum, [20] quem sane Medicinam appellamus, sibi comparare volet. [21] Valde enim magnam utilitatem afferet, [22] tum ægrotantibus, [23] tum horum artificibus. [24] Non tamen cunctandum est & ab idiotis inquirere, [25] si quid conferre visum fuerit ad curationis occasionem. [26] Sic enim arbitror universam artem commonstratam esse, [27] eo quod ex unoquoque fine observatio facta est, [28] & consonantia in idem concurrerit.

III. Attendere igitur oportet fortuitæ occasioni, [2] quæ plerumque se offert, [3] atque hoc cum utilitate ac leni progressione potius, [4] quam cum promissione, [5] & excusatione ea quæ fit cum actione. [6] Vtilis est autem & varia prædestinatio eorum quæ ægroto offeruntur. [7] Non enim asseverare oportet, quod aliquid solum exhibitum proderit. [8] Omnes enim

τὰ γὰρ τοιαῦτα πάθεα διὰ πολλὰς περιστάσιας καὶ μεταβολὰς μονῇ τινι προσκαθίζει.

IV. Παραινέσιος δ' ἂν καὶ τοῦτο ἐπιδεηθείη τῆς θεωρίης. [2] εἰ γὰρ ἄρξαιο περὶ μισθαρίων ([3] ξυμβάλλεται γὰρ ἐς τὸ ξύμπαν) [4] τῷ μὲν ἀλγέοντι τοιαύτην διανόησιν ἐμποιήσεις, τὴν ὅτι οὐκ ἀπολιπὼν αὐτὸν πορεύσῃ, [5] μὴ ξυνθέμενος, [6] καὶ ὅτι ἀμελήσεις, [7] καὶ οὐχ ὑποθήσεις τινὰ τῷ παρεόντι. [8] ἐπιμελεῖσθαι δὲ δεῖ ἐν τάξει στάσιος μισθοῦ. [9] ἄχρηστον γὰρ ἡγεύμεθα ἐνθύμησιν ὀχλεομένου τὴν τοιαύτην, [10] πολὺ δὲ μᾶλλον, [11] ἐν ὀξεῖ νοσήματι. [11] νόσου γὰρ ταχύτης [12] καιρὸν μὴ διδοῦσα ἐς ἀναστροφὴν, [13] οὐκ ἐποτρύνει τὸν καλῶς ἰητρεύοντα ζητέειν τὸ λυσιτελὲς, [14] ἔχεσθαι δὲ δόξης μᾶλλον. [15] κρέσσον οὖν σωζομένοισιν ὀνειδίζειν, [16] ἢ ὀλεθρίως ἔχοντας προμύσσειν. [17] καίτοι ἔνιοι νοσέοντες ἀξιοῦσι τὸ ξενοπρεπὲς [18] καὶ τὸ εὔδηλον προκρίνοντες, [19] ἄξιοι μὲν ἀμελίης, [20] οὐ μέντοι γε κολάσιος, προκρίνοντες. [21] διὸ τελέοισιν ἀντιτάξῃ εἰκότως [22] μεταβολῆς ἐπὶ στέλλου πορευομένοισι. [23] τίς γὰρ, ὦ πρὸς Διὸς, ἠδελφισμένος ἰητρὸς [24] ἰητρεύει πίστει [25] ἢ ἀτεραμνίῃ. [26] ὥστ' ἐν ἀρχῇ ἀνακρίνοντας τὸ πάθος, [27] καὶ ὑποθέσθαι τινὰ ξυμφέροντα ἐς θεραπείην, [28] ἀποθεραπεύσαι τε τὸν νοσέοντα [29] καὶ μὴ παριδεῖν. [30] τῆς δ' ἐπικαρπίης, [31] μὴ ἄνευ τῆς ἐπισκευαζούσης πρὸς μάθησιν ἐπιθυμίης. [32] παρακελεύομαι δὲ μὴ λίην ἀπανθρωπίην ἐσάγειν, [33] ἀλλ' ἀποβλέπειν

enim affectiones, propter multas casuum circumstantias ac mutationes, mora quadam diutiore adhærent.

IV. Et hoc sane admonitione opus habuerit, ad diligentem considerationem faciendam. [2] Si enim à mercede inceperis ([3] conducit enim hoc universo negotio) [4] ægroto quidem hujusmodi cogitationem inducis, quod videlicet non, ipso relicto, abibis. [5] Si vero non pacisceris, [6] quod ipsum negliges, [7] & de quibusdam in rem præsentem non admonebis. [8] Curare igitur oportet de constituenda mercede. [9] Inutilem enim esse putamus ejusmodi ægroti ipsius cogitationem, [10] multo autem magis in morbo acuto. [11] Morbi autem celeritas [12] temporis occasionem non præbens ad reversionem, [13] non impellit bonum Medicum ad quærendum suam commoditatem, [14] sed ut magis existimationis suæ rationem habeat. [15] Itaque tunc melius est, ut servatis exprobret, [16] quam ut lethaliter affectos præconturbet. [17] Quanquam aliqui ægroti id expetunt, hospitii jus, [18] & facilem mali depulsionem producentes, [19] digni quidem qui negligantur, [20] non tamen qui affligantur. [21] Quapropter his te merito oppones, [22] cum bolidis jactu in maris turbati fluctibus iter facientibus. [23] Qui enim bonus Medicus est, [24] is per Iovem fide magis [25] quam duritia medetur. [26] Quare in principio totam affectionem indagare oportet, [27] & quædam suggerere conducentia ad curationem, [28] curareque ægrotum, [29] & non negligere. [30] At vero remunerationis exigendæ acerbitatem, [31] absq; præparante ad disciplinam cupiditate, [32] hortor ut ne valde inducas, [33] sed

&

τὴν ἐς τὰ περιεῦσαν καὶ οὐσίην.

V. Ὁτὲ δὲ καὶ προῖκα, [2] ἀναφέρων μνήμην εὐχαριστίης προτέρην, [3] ἢ παρεοῦσαν εὐδοκίην. [4] Ἢν δὲ καιρὸς εἴη χορηγίης [5] ξένῳ τε ἐόντι [6] καὶ ἀπορέοντι, [7] μάλιστα ἐπαρκέειν τοῖσι τοιουτέοισιν. [8] Ἢν γὰρ παρῇ φιλανθρωπίη, [9] πάρεστι καὶ φιλοτεχνίη. [10] Ἔνιοι γὰρ νοσέοντες, [11] ᾐσθημένοι τὸ περὶ ἑωυτοὺς πάθος μὴ ἐὸν ἐν ἀσφαλείῃ, [12] καὶ τῇ τοῦ ἰητροῦ ἐπιεικείῃ εὐδοκιμέουσι μεταλλάσσοντες ἐς ὑγείην. [13] Εὖ δ' ἔχει νοσεόντων μὲν ἐπιστατέειν, ἕνεκεν ὑγείης, [14] ὑγιαινόντων δὲ φροντίζειν, ἕνεκεν ἀνοσίης. [15] Φροντίζειν δὲ ὑγιαινόντων, ἕνεκεν εὐσχημοσύνης.

VI. Οἱ μὲν οὖν ἐόντες ἐν βυθῷ ἀτεχνίης, τῶν προλελεγμένων οὐκ ἂν αἰσθάνοιντο. [2] Καὶ γὰρ οὗτοι ἀμύητοι ἐόντες, [3] ἔλεγχοι καὶ ἐκ ποδὸς ὑψούμενοι, [4] τύχης γε μὴν δεόμενοι, [5] ὑπό τινων εὐπόρων [11] καὶ στενῶν ἔνδοσιν ἀναλαμβάνονται. [6] Ἑκάτεροι ἐπὶ τεύχεσιν εὐδοκιμέοντες [7] καὶ διαπίπτοντες ἐπὶ τὸ χεῖρον, [8] καταχλιδῶσι καταμεμεληκότες, [11] τὰ τῆς τέχνης ἀνυπεύθυνα. [9] Ἐφ' οἷς ἂν ἰητρὸς ἀγαθὸς ἀκμάζοι ὁμότεχνος καλεόμενος. [10] Ὁ δὲ τὰς ἀκέσιας ἀναμαρτήτως ῥηιδίως ἐπιτελέων, [11] οὐδὲν τουτέων παραβαίνει, [12] ἐπαυλὲ στάνῃ τῆς δυνάσθαι. [13] Οὐ γὰρ ἄπιστός ἐστιν ὡς ἐν ἀδικίῃ. [14] Οὗτοι γὰρ θεραπείην οὐ γίνονται σκοπέοντες [11] διάθεσιν φθινώδεα, [15] φυλασσόμενοι ἑτέρων ἰητρῶν ἐπισυναγωγήν, [16] αἰνεῦντες ἐν μισοπονηρίῃ βοηθήσιος. [17] Οἵ τε νοσέοντες ἀνιώμενοι, νήχονται ἐπὶ ἑκατέρῃ μοχθηρίῃ,

& ad opulentiam & facultates respicias.

V. Quandoque vero etiam gratis cures, [2] ita ut gratitudinis memoriam potiorem, [3] quam præsentem existimationem auferas. [4] Si vero occasio ferendæ opis se obtulerit, [5] & peregrino, [6] & egeno, [7] maxime talibus opituleris. [8] Si enim affuerit erga homines amor, [9] adest etiam amor erga artem. [10] Quidam enim ægrotantes, [11] ubi perceperunt affectionem circa se non esse in tuto, [12] per Medici probitatem ac mansuetudinem gloriantur sanitati restitutos se esse. [13] Laudabile est autem, ægrorum quidem curam gerere, gratia sanitatis: [14] sanorum vero curam suscipere, ea gratia ut sine morbis degant. [15] Sed & sanorum cura habenda est gratia boni ac decori ornatus.

VI. Qui igitur in profundo ignorantiæ artis versantur, prædicta minime perceperint. [2] Nam hi, quum sint non initiati, [3] miserabilesque ac subito exaltati, [4] fortunæ tamen indigi, [5] à divitibus quibusdam, ex angustiis remissionem acquirunt, [6] semperque ob opera gloriantes, [7] & in deterius dilabentes [8] deliciantur, artis operum sincesitatem negligentes, [9] ob quam bonus Medicus, qui ab artis conjunctione socius artis appellatur, in vigore esse possit. [10] Hic autem medelas citra delictum facile perficiens, [11] nihil horum transilierit, [12] non præ facultatis inopia. [13] Non enim infidus est, velut in injustitia. [14] Nam ad curationem hi non accedunt, ubi affectionem perniciosam esse vident, [15] vitantes aliorum medicorum superinductionem, [16] laudantes ægrotos propter pravi auxilii odium. [17] At ægrotantes afflicti

είη, [18] μὴ ἐγκεχειρικότες ἑωυτοὺς ἕως τέλεος τῇ ἐν τῇ τέχνῃ πλείονι θεραπείῃ. [19] ἄνεσις γὰρ νούσου τινὸς κειμένου παρέχει μεγάλην ἀλεωρήν. [20] διὸ δεόμενοι τὴν ὑγιηρὴν διάθεσιν, οὐκ ἐθέλουσι τὴν αὐτὴν χρῆσιν αἰεὶ προσδέχεσθαι, [21] ὁμοιοῦντες ἰητροῦ ποικιλίῃ. [22] πολυτελείης γὰρ ἀπορέουσιν οἱ νοσέοντες, [23] κακοτροπίῃ προσκυνεῦντες [24] καὶ ἀχαριστέοντες. [25] ξυντυχεῖν, δυνατοὶ δ' ἐόντες, εὐπορεῖν, διαστελλίζονται. [26] περὶ μισθαρίων ἀτρεκέως ἐθέλοντες ὑγιέες εἶναι [27] εἵνεκεν ἐργασίης τόκων, ἢ γεωργίης, ἀφροντιστέοντες περὶ αὐτέων λαμβάνειν. [28] περὶ δὲ σημασίης τοιαύτης ἅλις ἔστω. [29] ἄνεσις γὰρ καὶ ἐπίτασις νοσέοντος, ἐπινέμησιν ἰητρικὴν κέκληνται.

VII. Οὐκ ἀσχημονεῖ δὲ, οὐδ' ἢν τις ἰητρὸς στενοχωρέων τῷ παρεόντι ἐπί τινι νοσέοντι [2] καὶ ἐπισκοτεόμενος τῇ ἀπειρίῃ, [3] κελεύῃ καὶ ἑτέρους εἰσάγειν, [4] εἵνεκα τοῦ ἐκ κοινολογίης ἱστορῆσαι τὰ περὶ τὸν νοσέοντα, [5] καὶ συνεργοὺς γενέσθαι ἐς εὐπορίην βοηθήσιος. [6] ἐν γὰρ κακοπαθείῃ παρεδρίης ἐπιτείνοντος τοῦ πάθεος, [7] δι' ἀπορίην τὰ πλεῖστα ἐκκλίνουσι τῷ παρεόντι. [8] θαῤῥητέον οὖν ἐν καιρῷ τοιούτῳ. [9] οὐδέποτε γὰρ ἐγὼ τὸ τοιοῦτο ὁρίσομαι, ὅτι ἡ τέχνη κέκρικε. [10] καὶ περὶ τούτου μηδέποτε φιλονεικέειν, [11] προσκυρέοντας ἑωυτοῖσι καταγελαίνειν. [12] ὃ γὰρ ἂν μεθ' ὅρκου ἐρέω, [13] οὐδέποτε ἰητροῦ λογισμὸς φθονήσειεν ἂν ἑτέρῳ. [14] ἀκιδνὸς γὰρ ἂν φανείη. [15] ἀλ-

flicti natant in utraque improbitate,[18] eo quod potiori in arte curationi seipsos non commiserunt ad finem usque. [19] Remissio enim morbi alicujus magnum ægroto solatium præbet. [20] Quapropter sanam affectionem cupientes, eundem usum semper admittere non volunt,[21] Medici varietati se assimilantes. [22] Sumptuum equidem opulentia ægroti carent, [23] morum improbitate adorantes, [24] & ingrati evadentes.[25] Quum autem consequi possunt ut ditentur, [26] de mercede asseveranter affirmant, sani esse volentes, [27] quæstum nimirum ex usura, aut agricultura affore producentes, & postea de ipsis quæstum facere negligentes.[28] Et de hujusmodi quidem declaratione hæc sufficiant. [29] Remissio enim & intensio ægrotantis, medicam administrationem requirunt.

VII. Nec vero indecore se illegeret Medicus, qui in rei præsentis angustia circa ægrum aliquem, [2] & imperitia tenebras offundente, [3] alios quoque arcessere jusserit, [4] quo ex communi consideratione, res circa ægrum inquirantur ac cognoscantur, [5] & illico operatores fiant ad auxilii ferendi facultatem. [6] Nam in afflictionis assiduitate, augescente affectione, [7] ob consilii inopiam, plurima ad rem præsentem effugiunt. [8] In ejusmodi igitur temporis occasione confidendum est. [9] Nunquam enim ego tale quid decerno, quod ars ipsa judicat. [10] Et de hoc nunquam contendere oportet affirmando, [11] ac mutuis inter se conviciis decertando. [12] Hoc enim jurejurando affirmare possim, [13] quod Medici ratiocinatio nunquam alteri invidere poterit. [14] Imbecillis enim hoc modo appa-

[15] ἀλλὰ μᾶλλον οἱ ἀγχιστεύοντες ἀγοραίης ἐργασίης πελάζουσι τοῦτο ἀμαρτέως. [16] καίτοι γε οὐδὲ ψευδέως κεῖται ἀνενόητα. [17] πάσῃ γὰρ εὐπορίῃ ἀπορίη ἔνεστι.

VIII. Μετὰ τουτέων δὲ πάντων, μέγα ἂν τεκμήριον φανείη σὺν τῇ οὐσίῃ τῆς τέχνης, [2] εἴ τις καλῶς ἰητρεύων προσαγορεύσιος τοιαύτης μὴ ἀποστείη. [3] κελεύων τοὺς νοσέοντας, μηδὲν ὀχλέεσθαι κατὰ διάνοιαν, [4] ἐν τῷ σπεύδειν ἀφικέσθαι εἰς καιρὸν σωτηρίης. [5] ἡγεύμεθα γὰρ ἀρήγειν, [6] καὶ παρηγορεόμενός γε οὐ διαμαρτήσει. [7] αὐτοὶ μὲν γὰρ οἱ νοσέοντες διὰ τὴν ἀλγεινὴν διάθεσιν ἀπευδόντες, ἑωυτοὺς τὸ μεταλλάσσουσι τῆς ζωῆς. [8] ὁ δὲ ἐγκεχειρισμένος τὸν νοσέοντα, [9] ἐὰν ἀποδείξῃ τὰ τῆς τέχνης ἐξευρήματα, [10] σώζων οὐκ ἀλλοίην φύσιν, [11] ἀφαιρεῖ τὴν παρεοῦσαν ἐπικαρπίην, [12] ἢ τὴν παραυτίκα ἀπιστίην.

IX. Ἡ γὰρ τοῦ ἀνθρώπου εὐεξίη, [1] φύσις τίς ἐστι φύσει ἀπεργασμένη, κίνησιν οὐκ ἀλλοτρίην. [2] ἀλλὰ λίην τι εὐαρμοστεῦσα πνεύματι καὶ θερμασίῃ, καὶ χυμῶν κατεργασίῃ, [3] πάντη τε, [4] καὶ πάσῃ διαίτῃ, [5] καὶ τοῖσι ξύμπασι διηρμοσμένη. [6] ἢν μή τις ἐκ γενετῆς [7] ἢ ἀπ' ἀρχῆς, [8] ἐλλείμμα ἔῃ. [9] ἢν δὲ ἄρα γένηται, [10] ἐξιτήλως ἔχοντος, [11] πειρᾶσθαι ἐξομοιοῦν τῇ ὑποκειμένῃ. [12] παρὰ γὰρ φύσιν τὸ μινύθημα [13] καὶ διὰ χρόνου. [14] φευκτὴ δὲ καὶ τρῖψις ἐπικραπτίδων διὰ προσκύνησιν ἰκέσιον. [15] ὀδμή τε περίεργος. [16] διὰ γὰρ ἱκανὴν ἀξιωσίην, διαβολὴν κέκτησαι. [17] διὰ δὲ τὴν ὀλίγην, εὐσχημοσύνην. [18] ἐν γὰρ μέρει,

paruerit. [15] Sed hæc magis expedite faciunt hi, qui circa forensia negotia ac quæstus versantur. [16] Quanquam neque falso hoc cognitum fertur, [17] quod in omni copia, inopia inest.

VIII. At vero cum his omnibus magnum signum essentiæ artis apparuerit, [2] si quis recte medicans, ab ejusmodi compellatione non destiterit, [3] jubens ægrotos mente non turbari, [4] in eo quod ad salutis tempus pervenire gestiunt. [5] Hoc enim non inutile esse dicimus, [6] & hoc sane præcipiens non peccabit. [7] Ipsi enim ægroti propter dolorificam affectionem desperantes, seipsos vita exuunt. [8] Qui vero ægrum sibi commissum habet, [9] si artis inventa demonstraverit, [10] conservans non mutatus naturam, [11] præsentem auferet remunerationem, [12] aut contra, fidem suam statim amittet.

IX. Hominis enim bonus habitus natura quedam est, quæ motum non alienum ex natura acquisivit, [2] sed valde congrua est; & spiritu, & calore, & humorum concoctione [3] undiquaque, [4] & universa victus ratione; [5] & aliis omnibus composita ac constructa: [6] si non aliquis ex nativitate, [7] aut ab initio [8] defectus fuerit. [9] Si vero etiam quis fuerit, [10] is si exilis est; [11] conandum est ut subjectæ naturæ assimiletur. [12] præter naturam enim est id quod imminutum est, [13] etiam per tempus. [14] Porro fugienda est & frictio per lintea sudaria, propter parandam medendi autoritatem. [15] Itemque odor curiose ascitus. [16] Propter multam enim peregrinitatem, in calumniam incides: [17] propter modicam vero, decentem ornatum consequeris. [18] In parte enim,

do-

μέρη, πόνος ὀλίγος. 19 ἐν πᾶσι, ἱκανός. 20 εὐχαριστίην δὲ οὐ περιαιρέω. 21 ἀξίη γὰρ ἰητρικῆς προστασίης. 22 προσθέσιος δὲ δι' ὀργάνων, 23 καὶ σημαντικῶν ἐπιδείξιος, 24 καὶ τοῦ τοιουτοτρόπου μνήμην παρεῖναι. 25 ἢν δὲ καὶ εἵνεκα ὁμίλου θέλῃς ἀκρόασιν ποιήσασθαι, 26 οὐκ εὐκλεῶς ἐπιθυμέεις. 27 μὴ μέντοι γε μετὰ μαρτυρίης ποιητικῆς. 28 ἀδυναμίην γὰρ ἐμφαίνει φιλοπονίης. 29 ἀπαγορεύομαι γὰρ ἐς χρῆσιν ἑτέρην, φιλοπονίην μετὰ πόνου ἐσπορισμένην. 30 διὸ ἐν ἑωυτῇ μούνῃ, αἵρεσιν ἔχει ἐπίχαριν. 31 περιποίησιν γὰρ κηφῆνος μετὰ παραπομπῆς ἐπιμοχθίην.

X. Εὐκταίη δὲ καὶ διάθεσις, ἐκτὸς ἐοῦσα ὀψιμαθίης. 2 παρεόντων μὲν, οὐδὲν ἐπιτελέει· 3 ἀπεόντων δὲ, μνήμη ἀνεκτή. 4 γίνεται τοίνυν πάμμαχος ἀτυχίη, μετὰ λοιμώδεος νεαρῆς. 5 ἀφροντιστέουσα εὐπρεπίης, 6 ὁρισμοῖς τε 7 καὶ ἐπαγγελίῃ, 8 ὅρκοις τε παμμεγέθεσι θεῶν, εἵνεκεν ἰητροῦ προστατέοντος νούσου, 9 ἀναγνώσιος ξυνεχείης, 10 κατηχήσιός τε ἰδιωτέων φυγαλυσέων λόγοις ἐκ μεταφορῆς διαζηλούμενον, 11 οἳ πρὶν ἢ νούσῳ καλιαπορέων ξυνηθροισμένοι. 12 τῶν μὲν οὖν τοιουτέων ὅπου ἂν καὶ ἐπιστατήσαιμι, οὐκ ἂν ἐπιθεραπείης ξυλλόγου. 13 αἰτήσαιμι δ' ἂν θαρσαλέως βοήθειαν, 14 ἱερείης γὰρ εὐσχήμονος συνέσιος ἐν τουτέοισι διεσπαρμένη. 15 τουτέων οὖν δι' ἀνάγκην ἀξυνετέων ἐόντων 16 παρακελεύομαι χρησίμην εἶναι τὴν τριβὴν μεθ' ὑστέρησιν δογμάτων ἐσο-

dolor modicus: 19 in toto, multus. 20 Gratiam autem qua hominibus complaceas, non tollo. 21 Digna enim est Medico præsidio. 22 At vero appositionis per instrumenta, 23 & indicationis eorum quæ significant, 24 & ejusmodi rerum memoriam adesse oportet. 25 Si vero etiam vulgi gratia velis dissertationem ad audiendum te facere, 26 non valde gloriose id captes: 27 non tamen cum testimonio ac ostentatione poëtica. 28 Impotentiam enim industriæ laboris ostendit. 29 Aversor enim ad alium usum transferri industriam cum labore partam, 30 quæ propterea in seipsa sola gratiosæ sectæ electionem habet. 31 Consequeris enim instar fuci promtam cum comitatus deductione elationem.

X. Optanda est & ejusmodi dispositio quæ aliena sit ab eo quod quis grandis jam natu discat. 2 Hoc enim præsentium quidem nihil perficit, 3 absentium vero tolerabilis memoria existit. 4 Fit itaque omnia tentans infortunium, cum recenti pernicie, 5 quæ negligit decorum, 6 & in præfinitis terminis, 7 & in professione, 8 & in maximis juramentis deorum gratia factis: dum Medicus præest morbo, 9 cum assidua lectione, 10 instructioneque imperitorum fugitivorum, ita ut sermones translatitios imitetur, 11 qui etiam antea quam in morbo incertus animo esset, collecti fuerunt. 12 Talium igitur ubi etiam præfectus essem, non sane in collectitia curatione id facerem. 13 Verum confidenter auxilium peterem. 14 Cognitionis enim decoræ scientia in his dispersa est. 15 Quum igitur hi necessario sint inscii ac imprudentes, 16 hortor eos ut commodam habeant exercitationem, post dogma-

ἱστορέειν. [17] τίς γὰρ ἐπιθυμέει δογμάτων τῶν πολυσχιδέων ἀτρεκέως ἐθέλειν ἱστορέειν [18] μὴ τῇ χρήσει τριβῆς ἀτρεμεότητι;

XI. Διὸ παραινέω τοῖσι, [2] λέγουσι μὲν, προσέχειν [3] ποιέουσι δὲ, ἐγκύπτειν. [4] ξυνεσταλμένης διαίτης μὴ μακρὴν ἐξηγέειν, [5] τοῦ γὰρ κάμνοντος χρονίην ἐπιθυμίην ἀνίστησι: [6] καὶ ξυγχωρέειν ἐν χρονίῃ νούσῳ. [7] ἢν τις προσέχῃ τυφλῷ τὸ δέον, ὡς μέγας φόβος φυλακτέος. [8] καὶ χάριν, δι' ἧς ἑνότης: [9] ἠὴρ αἰφνιδίῃ ταραχῇ φυλακτέη. [10] ἀκμὴ ἡλικίης, πάντα ἔχει χαρίεντα· [11] ἀπόληξις δὲ, τἀναντίον.

XII. [1] Ἀσαφίη δὲ γλώττης γίνεται, [2] ἢ διὰ πάθος, [3] ἢ διὰ τὰ ὦτα. [4] πρὶν τε πρότερα ἐξαγγεῖλαι, ἕτερα ἐπιβαλεῖν· [5] ἢ πρὶν τὸ διανενοημένον εἰπεῖν, ἕτερα ἐπιδιανοεῖσθαι. [6] τὸ μὲν ἄνευ πάθεος ὁρατοῦ λεγομένου μάλιστα ξυμβαίνει φιλοτεχνέουσιν. [7] ἡλικίῃ, σμικροῦ ἐόντος τοῦ ὑποκειμένου, δύναμις ἐνίοτε πάμπολυς. [8] νούσου ἀταραξίη, μῆκος σημαίνει. [9] κρίσις δὲ, ἀπόλυσις νούσου. [10] μικρὴ αἰτίη [11] ἄκεσιν λύεται [11] ἢν μή τι περὶ τόπον κυρίην πάθῃ.

XIII. Διότι ξυμπάθησις ὑπὸ λύπης ἐοῦσα ὀχλέει, [2] ἐξ ἑτέρου συμπαθείης τινὲς ὀχλεῦνται. [3] καταύδησις λυπέει. [4] φιλοπονίης καρτερῆς ὕπο, παραίτησις, [5] ἁλυώδης τόπος ὀνησιφόρος.

gmatum cognitionis penuriam. [17] Quis enim multifidam dogmatum sectionem se vere cognoscere posse sperarit, [18] citra exercitationis constantiam?

XI. Quapropter hoc admoneo, [2] ut dicentibus quidem attendant, [3] facientibus autem incumbant, [4] & contractam victus rationem non diu praescribant. [5] Ægrotantis enim diuturnam concupiscentiā erigit [6] indulgentia quoq; in morbo diuturno. [7] Si quis caeco animum advertat, velut res magni timoris cavendus est; [8] & gratia desperanda, per quam unitas constat. [9] Aeris repentina turbatio vitanda est. [10] Vigor aetatis omnia habet gratiosa. [11] Decrepita vero aetas, vice versa.

XII. Obscuritas linguae non satis clarae fit, [2] aut propter affectionem, [3] aut propter aures, [4] ita ut priusquam priora enunciarit, alia adjiciat: [5] aut priusquam id, quod mente concepit, dicat, alia insuper cogitet, [6] & quae quidem citra affectionem visibilem appellatam, contingit linguae obscuritas, his maxime, qui artium studio tenentur, accidit. [7] Ætati etiam, quum parvum est aliquando subjectum, valde magna vis inest. [8] In morbo tranquillitas, longitudinem significat. [9] Judicatio vero est morbi exolutio. [10] Parva causa medelis exsolvitur, [11] nisi quid circa locum principalem affectum fuerit.

XIII. Quandoquidem affectio per consensum à tristitia inducta vexat, [2] quidam sane ex alterius consensu vexantur. [3] Vociferatio affligit. [4] Fortis laboris studium subterfugiendum est. [5] Maritimus locus ad sanitatem commodus est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙ.

Basil. græc. Foesius sect. VII. 341. 1242.

Ὁ ΒΙΟΣ [1] βραχὺς, [2] ἡ δὲ τέχνη μακρὴ, [3] ὁ δὲ καιρὸς ὀξὺς, [4] ἡ δὲ πεῖρα σφαλερὴ, [5] ἡ δὲ κρίσις χαλεπή. [6] δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, [7] ἀλλὰ καὶ τὸν νοσέοντα, [8] καὶ τοὺς παρεόντας, [9] καὶ τὰ ἔξωθεν.

II. [1] Ἐν τῇσι ταραχῇσι κοιλίης, [2] καὶ τοῖσιν ἐμέτοισι, [3] τοῖσιν αὐτομάτως γινομένοισιν, [4] ἢν μὲν, οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, [5] ξυμφέρει τε [6] καὶ εὐφόρως φέρουσιν· [7] ἢν δὲ μὴ, τοὐναντίον. [8] οὕτω δὲ καὶ ἡ κενεαγγείη, [9] ἢν μὲν, οἷα δεῖ γίγνεσθαι, γίγνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· ἢν δὲ μὴ, τοὐναντίον. [9] ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην, [10] καὶ ὥρην, [11] καὶ ἡλικίην, [12] καὶ νούσους [13] ἐν ᾗσι δεῖ, ἢ οὔ.

III. [1] Ἐν τοῖσι γυμναστικοῖσιν [2] αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. [3] οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν. [4] ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν, οὐδέ τι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, [5] λείπεται ἐπὶ τὸ χεῖρον. [6] τούτων οὖν εἵνεκα τὴν εὐεξίην λύειν ξυμφέρει [7] μὴ βραδέως· [8] ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λαμβάνῃ τὸ σῶμα. [9] μηδὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν· [10] σφαλερὸν γάρ· [11] ἀλλ' ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. [12] ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί. [13] καὶ πάλιν αἱ ἀναθρέψιες αἱ

HIPPOCRATIS APHORISMI.

Basil. lat.

VITA brevis, [2] ars longa, [3] tempus præceps, [4] experimentum periculosum, [5] judicium difficile. [6] Oportet autem non solum seipsum exhibere quæ decent facientem, [7] sed etiam ægrotum, [8] & præsentes, [9] & quæ externa sunt.

II. In perturbationibus [1] alvi, [2] & vomitibus, [3] sponte contingentibus, [4] siquidem qualia purgari oportet, purgentur, [5] confert, [6] & leviter ferunt: [7] sin minus, vice versa. [8] Sic & vasorum vacuatio, [9] si quidem talis fuit, qualis fieri debet, confert, & bene ferunt: sin minus, vice versa. [9] Inspicere itaque oportet regionem, [10] & tempus, [11] & ætatem, [12] & morbos, [13] in quibus convenit, aut non.

III. [1] In exercitantibus boni habitus [2] ad summum progressi periculosi sunt, si in extremo fuerint. [3] Non enim manere possunt in eodem neq; quiescere. [4] Quum vero non quiescant, non amplius in melius augescere possunt: [5] reliquum est igitur ut in deterius. [6] Ob has igitur causas bonam habitudinem [7] non tarde solvere confert, [8] quo corpus rursum renutritionis principium sumat. [9] Neque vero collapsiones [9] ad extremum ducere oportet, [10] periculosum enim est. [11] Sed qualis natura est ejus qui perferre debet, ad hoc ducere convenit. [12] Similiter autem & evacuationes ad extremum ducentes, periculosæ sunt: [13] & rursus renutri-

αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί.

IV. Αἱ λεπταὶ [2] καὶ ἀκριβέες δίαιται, [3] καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι, [4] καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται, [5] σφαλεραί. [6] καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται, χαλεπαί. [7] καὶ γὰρ αἱ πληρώσιες αἱ ἐς τὸ ἔσχατον 10 ἀφιγμέναι, χαλεπαί.

V. Ἐν τῇσι λεπτῇσι διαίτῃσιν ἁμαρτάνουσιν οἱ νοσέοντες· [2] διὸ μᾶλλον βλάπτονται. [3] πᾶν γὰρ τὸ ἁμάρτημα, ὃ ἂν γένηται, μέγα γίνεται, μᾶλλον, ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσι διαίτῃσι. [4] Διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ λεπταὶ καὶ καθεστηκυῖαι καὶ ἀκριβέες δίαιται, [5] ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. [6] Διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν μικρὸν ἁδροτέρων.

15 VI. [1] Ἐς δὲ τὰ ἔσχατα νοσήματα [2] αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην κράτισται.

VII. Ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, [2] αὐτίκα τοὺς ἐσχάτους πόνους ἔχει, [3] καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. [4] ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾷν, [5] τοσοῦτον ὑποκαταβαίνειν, [6] ὁκόσον ἂν ἡ νοῦσος [1] μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

IIX. Ὁκόταν δὲ ἀκμάζῃ τὸ νόσημα, [2] τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

IX. Συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ 20 πρὸς τὴν ἀκμὴν τῆς νούσου, [2] καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, [3] ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει καὶ ἀμβλυνεῖται.

X. Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ,

nutritiones in extremo exiſtentes, periculoſæ ſunt.

IV. Tenues [2] & exacti victus, [3] & in longis ſemper affectionibus, [4] & in acutis, ubi non expedit, [5] periculoſi ſunt: [6] & rurſus victus ad extremam [7] tenuitatem progreſſi, difficiles ſunt. [7] Et repletiones ad extremum progreſſæ, difficiles ſunt.

V. In tenui victu delinquentes ægrotantes, [2] magis læduntur. [3] Omne enim delictum, quod committi poterit, magis magnum committitur in 2 tenui quam in paulo pleniore victu. [4] Quapropter etiam in ſanis periculoſus eſt valde tenuis, & conſtitutus, ac exactus victus: [5] quoniam delicta gravius ferunt. [6] Ob hoc igitur tenuis & exactus victus peri- 25 culoſus eſt magis quam paulo pleniore.

3 VI. Ad extremos morbos, [2] exacte extremæ curationes optimæ ſunt.

VII. Ubi quidem peracutus eſt morbus, [2] ſtatim etiam extremos labores habet, [3] & extreme tenuiſſimo victu uti neceſſe eſt. [4] Ubi vero non, ſed pleniore victu uti licet, [5] in tantum ſubdeſcendendum eſt, [6] in quan- 4 tum morbus extremis mollior fuerit.

IIX. [1] Quum in vigore fuerit 30 morbus, [2] tunc tenuiſſimo victu uti neceſſe eſt.

IX. Simul autem conjectare oportet, an æger ex victu durare poſſit ad morbi vigorem: [2] & utrum ille prius deficiet, & ex victu durare non poſſit: [3] aut morbus prius deficiet ac obtundetur.

X. Quibus igitur ſtatim vigor

ἀκμὴ, ² αὐτίκα λεπτῶς διαιτῆν. ³ ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ⁴ ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου μικρὸν ἀφαιρετέον. ⁵ ἔμπροσθεν δὲ πιοτέρως διαιτᾶν, ⁶ ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

XI. Ἐν δὲ τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή· ² τὸ προστιθέναι γὰρ βλάβη· ³ καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή.

XII. Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι, ² καὶ αἱ ὧραι τοῦ ἔτεος, ³ καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ⁴ ἤν τε καθ' ἡμέρην, ⁵ ἤν τε παρ' ἡμέρην, ⁶ ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται. ⁷ ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, ⁸ οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται ἀρχομένου, βραχύνει· ⁹ ἢν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει· ¹⁰ καὶ οὖρα ¹¹ καὶ ὑποχωρήματα, ¹² καὶ ἱδρῶτες, ¹³ καὶ εὔκριτα, καὶ δύσκριτα ¹⁴ καὶ βραχέα, καὶ μακρὰ τὰ νοσήματα, ἐπιφαινόμενα δηλοῖ.

XIII. Γέροντες εὐφορώτατα νηστείην φέρουσι. ² δεύτερον, οἱ καθεστηκότες. ³ ἥκιστα, μειράκια. ⁴ πάντων δὲ μάλιστα, παιδία. ⁵ τουτέων δὲ αὐτέων, ἃ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

XIV. Τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν, ² πλείστης οὖν δεῖται τροφῆς. ³ εἰ δὲ μή, τὸ σῶμα ἀναλίσκεται. ⁴ γέρουσι δὲ ὀλίγον τὸ θερμόν· ⁵ διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται· ⁶ ὑπὸ πολλῶν γὰρ ἀποσβέννυται. ⁷ διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες· ⁸ ψυχρὸν γὰρ τὸ σῶμα.

XV. Αἱ κοιλίαι χειμῶνος ² καὶ ἦρος,

est, ² his statim tenuis victus exhibendus est. ³ Quibus vero vigor posterius, ⁴ his ad illud, & paulo ante illud tempus, subtrahendus est. ⁵ Antea vero mitius æger victu tractandus est, ⁶ quo durare possit.

XI. In exacerbationibus subtrahere victum oportet. ² Nam apponere noxa est ³ Et quibus per circuitus exacerbationes fiunt, in exacerbationibus subtrahere oportet.

XII. Exacerbationes & constitutiones indicabunt morbi, ² & tempora anni, ³ & circuituum inter se collata incrementa, ⁴ sive quotidie, ⁵ sive alternis diebus, ⁶ sive per amplius temporis intervallum fiant. ⁷ Sed ex apparentibus indicia fiunt, ⁸ velut in pleuriticis, si sputum statim appareat incipiente morbo, ipsum abbreviat: ⁹ si vero posterius appareat, producit: ¹⁰ & urinæ, ¹¹ & alvi egestiones, ¹² & sudores apparentes indicant ¹³ & ægre & facile judicandos, ¹⁴ & breves & longos morbos.

XIII. Senes facillime jejunium ferunt: ² deinde ætate consistentes. ³ Minime adolescentes, ⁴ omnium vero minime pueri, ⁵ & inter hos ipsos qui ipsi seipsis alacriores fuerint.

XIV. Qui crescunt, plurimum habent innatum calorem: ² plurimo igitur opus habent alimento: ³ sin minus, corpus consumitur. ⁴ Senibus autem modicus est calor: ⁵ quapropter paucis fomitibus opus habent, ⁶ à multis enim extinguuntur. ⁷ Ob hanc etiam causam febres senibus non similiter acutæ fiunt. ⁸ Frigidum est enim ipsorum corpus.

XV. Ventres hyeme ² & vere

³ na-

ἦρος [3] θερμότατα τὴν φύσιν, [4] καὶ ὕπνοι μακρότατοι. [5] Ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον. [6] Καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλεῖον ἔχει· [7] τροφῆς οὖν πλείονος δέεται. [8] Σημεῖον, αἱ ἡλικίαι [9] καὶ οἱ ἀθληταί.

XVI. Αἱ ὑγραὶ δίαιται πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι, [2] μάλιστα δὲ παιδίοισι [3] καὶ τοῖσιν ἄλλοισι τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι.

XVII. Καὶ οἷσιν ἅπαξ ἢ δὶς, [2] καὶ πλείω ἢ ἐλάσσω, [3] καὶ κατὰ μέρος. [4] Δοτέον δέ τι καὶ τῷ ἔθει, [5] καὶ τῇ ὥρῃ, [6] καὶ τῇ χώρῃ, [7] καὶ τῇ ἡλικίῃ.

XVIII. Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι· [2] χειμῶνος, ῥήϊστα· [3] ἦρος, δεύτερον.

XIX. Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι [2] μηδὲν διδόναι, [3] μηδ᾽ ἀναγκάζειν, [4] ἀλλ᾽ ἀφαιρέειν τῶν προσθεσίων [5] πρὸ τῶν κρισίων.

XX. Τὰ κρινόμενα [2] καὶ τὰ κεκριμένα ἀρτίως [3] μὴ κινέειν, [4] μηδὲ νεωτεροποιέειν, [5] μήτε φαρμακείῃσι, [6] μήτ᾽ ἄλλοισιν ἐρεθισμοῖσιν, [7] ἀλλ᾽ ἐᾶν.

XXI. Ἃ δεῖ ἄγειν, [2] ὅκου ἂν μάλιστα ῥέπῃ, [3] ταύτῃ ἄγειν, [4] διὰ τῶν ξυμφερόντων χωρίων.

XXII. Πέπονα φαρμακεύειν, [2] καὶ κινέειν, [3] μὴ ὠμὰ, [4] μηδὲ ἐν ἀρχῇσιν, [5] ἢν μὴ ὀργᾷ. [6] Τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ.

XXIII. Τὰ χωρέοντα [2] μὴ τῷ πλήθει τεκμαίρεσθαι, [3] ἀλλ᾽ ὡς ἂν χωρέῃ οἷα δεῖ [4] καὶ φέρῃ εὐφόρως. [5] Καὶ ὅκου δεῖ μέχρι λειποθυμίης ἄγειν, [6] καὶ τοῦτο ποιέειν, ἢν ἐξαρκέῃ ὁ νοσέων.

XXIV. Ἐν

[3] natura calidiſſimi ſunt, [4] & ſomni longiſſimi. [5] Quapropter in his temporibus alimenta plura exhibenda ſunt. [6] Nam innatum calorem ampliorem tunc habent: [7] alimento igitur ampliore opus habent. [8] Signum ſunt ætates, [9] & athletæ.

XVI. [1] Victus humidi omnibus febricitantibus conferunt: [2] maxime vero pueris, [3] & aliis ita ali adſuetis.

XVII. Et quibus ſemel aut bis, [2] & plus aut minus, [3] & ex parte exhibere oportet, conſiderandum eſt. [4] Dandum vero etiam aliquid eſt conſuetudini, [5] & tempori, [6] & regioni, [7] & ætati.

XVIII. Æſtate & autumno cibos difficillime ferunt, [2] hyeme facillime, [3] deinde vere.

XIX. [1] His qui in circuitibus exacerbantur, [2] nihil dare oportet, [3] neque cogere: [4] ſed auferre de appoſitionibus [5] ante judicationes.

XX. Quæ judicantur, [2] & judicata ſunt integre, [3] neque movere oportet, [4] neque novare, [5] neque medicamentis, [6] neque aliis irritamentis, [7] ſed ſinere.

XXI. Quæ ducere oportet, [2] quo maxime repunt, [3] eo ducere oportet, [4] per convenientes locos.

XXII. [1] Concocta medicamentis aggredi oportet, [2] & movere, [3] non cruda, [4] neque in principiis, [5] ſi non turgeant. [6] Plurima vero non turgent.

XXIII. Quæ prodeunt, [2] non multitudine æſtimare oportet, [3] ſed quamdiu prodeant qualia oportet, [4] & facile æger ferat. [5] Et ubi opus eſt, uſque ad animi deliquium ducere oportet: [6] & hoc facere, ſi ſufficiat æger.

XXIV. In

XXIV. Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, [2] καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι, [3] καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν.

XXV. Ἢν, οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσι. [2] τὰ δ' ἐναντία, δυσχερῶς.

XXIV. In acutis [1] affectionibus, raro [2] etiam in principiis medicamentis uti oportet: [3] atque hoc facere diligenti prius æstimatione facta.

XXV. Si qualia oportet purgari, purgentur, confert, & facile ferunt: [2] contraria vero, difficulter.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον. [2] ἢν δὲ ὕπνος ὠφελέῃ, [3] οὐ θανάσιμον.

II. Ὅκου [1] παραφροσύνην ὕπνος παύει, [2] ἀγαθόν.

III. Ὕπνος, [2] ἀγρυπνίη, [3] ἀμφότερα τοῦ μετρίου μᾶλλον γενόμενα, [4] κακόν.

IV. Οὐ πλησμονὴ, [2] οὐ λιμὸς, [3] οὐδ' ἄλλο οὐδὲν ἀγαθὸν, [4] ὅ, τι ἂν μᾶλλον τῆς φύσιος ᾖ.

V. Κόποι αὐτόματοι φράζουσι νούσους.

VI. Ὁκόσοι πονέοντές τι τοῦ σώματος, [2] τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, [3] τουτέοισιν ἡ γνώμη νοσέει.

VII. Τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα [2] νωθρῶς ἐπανατρέφειν δεῖ. [3] τὰ δὲ ἐν ὀλίγῳ, ὀλίγως.

VIII. Ἢν ἐκ νούσου τροφὴν λαμβάνων τις μὴ ἰσχύῃ, [2] σημαίνει ὅτι πλείονι τροφῇ τὸ σῶμα χρέεται. [3] ἢν δὲ, τροφὴν μὴ λαμβάνοντος, τοῦτο γίνηται, [4] χρὴ εἰδέναι, ὅτι κενώσιος δεῖται.

IX. Τὰ σώματα χρὴ, ὅκου ἄν τις βούληται καθαίρειν, [2] εὔροα ποιέειν.

X. Τὰ μὴ καθαρὰ τῶν σωμάτων, [2] ὁκόσον ἂν θρέψῃς, [3] μᾶλλον βλάψεις.

XI. Γεῖος

SECTIO SECVNDA.

In quo morbo somnus laborem facit, [2] mortale; [3] si vero somnus prosit, [4] non lethale.

II. Vbi somnus delirium sedat, [2] bonum est.

III. Somnus, [2] vigilia, [3] utraque modum excedentia, [4] malum.

IV. Non satietas, [2] non fames, [3] neque aliud quicquam bonum est, [4] quod naturæ modum excedat.

V. Lassitudines spontaneæ denunciant morbos.

VI. Quicunque aliqua corporis parte dolentes, [2] plerunque dolores non sentiunt, [3] his mens ægrotat.

VII. Quæ multo tempore attenuantur corpora, [2] lente reficere oportet. [3] Quæ vero brevi, brevi.

VIII. Si ex morbo cibum capiens quis non fiat validus, [2] significat quod corpus uberiore alimento utitur. [3] Si vero cibum non accipienti hoc contingat, [4] nosse oportet quod evacuatione opus habet.

IX. Corpora quæcunque quis purgare voluerit, [2] fluida facere oportet.

X. Non pura corpora [2] quanto plus nutries, [3] tanto magis lædes.

XI. Fa-

XI. Ῥᾷον πληροῦσθαι ποτοῦ, [2] ἢ σιτίου.

XII. Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, [2] ὑποστροφὰς ποιέειν εἴωθεν.

XIII. Ὁκόσοισι κρίσις γίνεται, [2] τουτέοισιν ἡ νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ. [3] ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπὶ τὸ πολύ.

XIV. Ἐν τῇσι τῆς κοιλίης ῥύσεσιν αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, [2] ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλῃ.

XV. Ὅκου φάρυγξ νοσέει, [2] ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται, [3] σκέπτεσθαι χρὴ τὰς ἐκκρίσιας. [4] ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσέει. [5] ἢν δὲ ὅμοιαι τοῖσιν ὑγιαίνουσι γίνωνται, ἀσφαλὲς τὸ σῶμα τρέφειν.

XVI. Ὅκου λιμὸς, [2] οὐ δεῖ πονέειν.

XVII. Ὅκου ἂν τροφὴ παρὰ φύσιν πλείων ἐσέλθῃ, [2] νοῦσον ποιέει. [3] τοῦτο δὲ δηλοῖ ἡ ἴησις.

XVIII. Τῶν τρεφόντων ἀθρόως καὶ ταχέως, [2] ταχεῖαι καὶ αἱ διαχωρήσιες γίνονται.

XIX. Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προδιαγορεύσιες, [2] οὔτε τοῦ θανάτου, [3] οὔτε τῆς ὑγιείης.

XX. Ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραί εἰσι, [2] τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται. [3] ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν αἱ κοιλίαι ξηραί εἰσι, [4] τουτέοισι πρεσβυτέροισι γινομένοισιν ὑγραίνονται.

XXI. Λιμὸν θώρηξις λύει.

XXII. Ἀπὸ πλησμονῆς ὁκόσα ἂν νοσήματα γένηται, [2] κένωσις ἰῆται. [3] καὶ ὁκόσα ἀπὸ κενώσιος, [4] πλησμονή. [5] καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

XXIII. Τὰ

XI. Facilius est repleri potu [2] quam cibo.

XII. Quæ relinquuntur in morbis post judicationem, [2] recidivas facere solent.

XIII. Quibuscunque judicatio fit, [2] his nox gravis ante exacerbationem. [3] Quæ vero sequitur, plerunque tolerabilior est.

XIV. In alvi fluxionibus mutationes egestionum prosunt, [2] si non ad pravas mutentur.

XV. Vbi fauces ægrotant, [2] aut tubercula in corpore nascuntur, [3] excretiones considerare oportet. [4] si enim biliosæ fuerint, corpus simul ægrotat. [5] si vero similes sanis fiant, tutum est corpus nutrire.

XVI. Vbi fames, [2] non oportet laborare.

XVII. Vbi cibus præter naturam copiosior ingressus fuerit, [2] morbum facit. [3] Ostendit autem sanatio.

XVIII. Eorum quæ acervatim & velociter nutriunt, [2] veloces etiam egestiones fiunt.

XIX. Acutorum morborum non omnino tutæ sunt prædictiones, [2] neque mortis, [3] neque sanitatis.

XX. Quibus dum juvenes sunt, ventres humidi sunt, [2] his senescentibus, resiccantur. [3] Quibus vero dum juvenes sunt, ventres sicci sunt, [4] his senescentibus humectantur.

XXI. Famem vini potus solvit.

XXII. Quicunque morbi ex repletione fiunt, [2] evacuatio sanat. [3] Et quicunque ex evacuatione, [4] repletio. [5] Et aliorum contrarietas.

 XXIII. Acuti

XXIII. Τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι.

XXIV. Τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος. [2] ἑτέρης ἑβδομάδος ἡ ὀγδόη ἀρχή. [3] θεωρητὴ δὲ ἡ ἑνδεκάτη· [4] αὕτη γάρ ἐστι τετάρτη τῆς ἑτέρης ἑβδομάδος. [5] θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. [6] αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης· [7] ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης.

XXV. Οἱ θερινοὶ τεταρταῖοι τὰ πολλὰ γίνονται βραχέες. [2] οἱ δὲ φθινοπωρινοὶ, μακροὶ, καὶ [3] μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες.

XXVI. Πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, [2] ἢ σπασμὸν ἐπὶ πυρετῷ.

XXVII. Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν, [2] οὐ δεῖ πιστεύειν, [3] οὐδὲ φοβέεσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως. [4] τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἐστὶν ἀβέβαια, [5] καὶ οὐ πάνυ τι διαμένειν [6] οὐδὲ χρονίζειν εἴωθε.

XXVIII. Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, [2] τὸ διαμένειν [3] καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, [4] ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, [5] μοχθηρόν. [6] τὸ μὲν γὰρ μῆκος νούσου σημαίνει, [7] τὸ δὲ ἀσθένειαν.

XXIX. Ἀρχομένων τῶν νούσων, [2] ἤν τι δοκέῃ κινέειν, [3] κίνει· [4] ἀκμαζουσῶν δὲ, [5] ἡσυχίην ἔχειν βέλτιόν ἐστιν.

XXX. Περὶ τὰς ἀρχὰς [2] καὶ τὰ τέλη [3] πάντα ἀσθενέστερα· [4] περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα.

XXXI. Τῷ ἐξ ἀῤῥωστίης εὐσιτέοντι [2] μηδὲν ἐπιδιδόναι τὸ σῶμα, [3] μοχθηρόν.

XXXII. Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, [2] κατ' ἀρχὰς μὲν εὐσιτέοντες, [3] καὶ μηδὲν ἐπιδιδόντες, [4] πρὸς τῷ τέλει πάλιν ἀσιτέου-

XXIII. Acuti morbi in quatuordecim diebus judicantur.

XXIV. Septimæ quarta index est. [2] Alterius hebdomadæ octava principium est. [3] Consideranda vero est undecima. [4] Hæc enim quarta est secundæ hebdomadæ. [5] Consideranda rursus decimaseptima. [6] Ipsa enim est quarta quidem à decimaquarta, [7] septima vero ab undecima.

XXV. Æstivæ quartanæ plerunque sunt breves. [2] Autumnales vero longæ, [3] & maxime quæ ad hyemem pertingunt.

XXVI. Febrem in convulsione fieri melius est, [2] quam convulsionem in febre.

XXVII. His quæ non secundum rationem levant, [2] non oportet credere, [3] neque valde timere ea quæ prava fiunt præter rationem. [4] Pleraque enim ex talibus inconstantia sunt, [5] & non valde permanere, [6] neque morari solent.

XXVIII. Febricitantium non omnino leviter, [2] permanere, [3] & nihil minui corpus, [4] aut etiam magis quam pro ratione colliquari, [5] malum est. [6] Illud enim morbi longitudinem, [7] hoc vero debilitatem significat.

XXIX. Incipientibus morbis [2] si quid movendum videtur, [3] move: [4] vigentibus vero, [5] quietem agere melius est.

XXX. Circa principia [2] & fines, [3] omnia debiliora sunt; [4] circa vigores vero, fortiora.

XXXI. Ex ægritudine bene cibum accipienti, [2] nihil augescere corpus, [3] malum est.

XXXII. Plerunque omnes male habentes, [2] ab initio cibum bene capientes, [3] & nihil augescentes, [4] ad finem rursus cibos fastidiunt.

πίνουσιν. [5] οἱ δὲ κατ᾽ ἀρχὰς μὲν ἀσιτέοντες ἰσχυρῶς, [6] ὕστερον δὲ σιτεόντες, [7] βέλτιον ἀπαλλάσσουσιν. 40

XXXIII. Ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, [2] καὶ εὖ ἔχειν πρὸς τὰς προσφοράς, [3] ἀγαθόν· [4] τὸ δὲ ἐναντίον, κακόν.

XXXIV. Ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν, [2] οἷσιν ἂν οἰκείη τῆς φύσιος, [3] καὶ τῆς ἕξιος, [4] καὶ τῆς ἡλικίης, [5] καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον, [6] ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων.

XXXV. Ἐν πάσῃσι τῇσι νούσοισι [2] τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον [3] πάχος ἔχειν, [4] βέλτιόν ἐστι. [5] τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκός, [6] μοχθηρόν. [7] ἐπισφαλὲς δὲ τὸ τοιοῦτον 45 καὶ πρὸς τὰς κάτω καθάρσιας.

XXXVI. Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, [2] ἐν τῇσι φαρμακείῃσι καθαιρόμενοι [3] ἐκλύονται ταχέως, [4] καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι.

XXXVII. Οἱ εὖ τὰ σώματα ἔχοντες [2] φαρμακεύεσθαι ἐργώδεες.

XXXVIII. Τὸ σμικρῷ χεῖρον καὶ πόμα [2] καὶ σιτίον, [3] ἥδιον δέ, [4] τῶν βελτιόνων μέν, [5] ἀηδεστέρων δέ, [6] μᾶλλον αἱρετέον.

XXXIX. Οἱ πρεσβῦται τῶν νέων τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον. [2] ὅσα δ᾽ ἂν αὐτέοισι χρόνια νοσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει.

XL. Βράγχοι [2] καὶ κόρυζαι [3] τοῖσι σφόδρα πρεσβύτῃσιν [4] οὐ πεπαίνονται.

XLI. Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς, [2] ἄνευ φανερῆς προφάσιος, [3] ἐξαπίνης τελευτῶσι.

XLII. Λύειν ἀποπληξίην, [2] ἰσχυρὴν μέν, [3] ἀδύνατον· [4] ἀσθενέα δέ, [5] οὐ ῥηΐδιον.

diunt. [5] At ab initio quidem valde cibum aversantes, [6] postea vero bene cibum capientes, [7] melius liberantur.

XXXIII. In omni morbo valere mente, [2] & bene se habere ad ea quæ exhibentur, [3] bonum: [4] contrarium vero, malum.

XXXIV. In morbis minus periclitantur, [2] quorum naturæ, [3] & ætati, [4] & habitui, [5] & tempori morbus magis affinis fuerit, [6] quam hi quibus non affinis in aliquo horum existit. 50

XXXV. In omni morbo [2] partes circa umbilicum & pectinem [3] crassitudinem habere, [4] melius est. [5] At vehemens tenuitas & eliquatio, [6] prava est. [7] Periculosa vero talis est etiam ad infernas purgationes.

XXXVI. Sana habentes corpora, [2] dum medicamentis purgantur, [3] cito exolvuntur. [4] Itemque qui pravo cibo utuntur.

XXXVII. Qui bene habent corpore, [2] eos operosum est medicamentis purgare. 55

XXXVIII. Paulo deterior & potus [2] & cibus, [3] verum jucundior, [4] melioribus quidem, [5] sed injucundioribus, [6] præferendus est.

XXXIX. Senes juvenibus plerunque minus ægrotant. [2] Quicunque vero ipsis fiunt morbi diuturni, utplurimum commoriuntur.

XL. Raucedines [2] & gravedines, [3] in valde senibus [4] non concoquuntur. 60

XLI. Qui exolvuntur sæpe & fortiter [2] absque manifesta causa, [3] derepente moriuntur.

XLII. Siderationem [2] fortem quidem solvere, [3] impossibile est, [4] debilem vero, [5] non facile.

XLIII. Τῶν

XLIII. Ex

XLIII. Τῶν ἀπαγχομένων [2] καὶ καταλυομένων, [3] μηδέπω δὲ τεθνηκότων, [4] οὐκ ἀναφέρουσιν, [5] οἷσιν ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα.

XLIV. Οἱ παχέες σφόδρα [2] κατὰ φύσιν, [3] ταχυθάνατοι γίγνονται [4] μᾶλλον τῶν ἰσχνῶν.

XLV. Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν [2] ἀπαλλαγὴν αἱ μεταβολαὶ, [3] μάλιστα τῆς ἡλικίης, [4] καὶ τῶν χωρέων, [5] καὶ τῶν βίων ποιέουσι.

XLVI. Δύο πόνων ἅμα γινομένων [2] μὴ κατὰ τὸν αὐτὸν τόπον, [3] ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.

XLVII. Περὶ τὰς γενέσιας τοῦ πύου [2] οἱ πόνοι [3] καὶ οἱ πυρετοὶ ξυμβαίνουσι μᾶλλον, [4] ἢ γενομένου.

XLVIII. Ἐν πάσῃ κινήσει τοῦ σώματος, [2] ὁκόταν ἄρχηται πονέειν, [3] τὸ διαναπαύειν εὐθὺς ἄκοπον.

XLIX. Οἱ εἰθισμένοι τοὺς συνήθεας πόνους φέρειν, [2] κἢν ἔωσιν ἀσθενέες [3] ἢ γέροντες, [4] τῶν ἀσυνήθων, [5] ἰσχυρῶν τε [6] καὶ νέων, [7] ῥᾷον φέρουσι.

L. Τὰ ἐκ πολλοῦ χρόνου συνήθεα, [2] κἢν ᾖ χείρω, [3] τῶν ἀσυνήθων ἧσσον ἐνοχλέειν εἴωθε. [4] δεῖ οὖν καὶ ἐς τὰ ἀσυνήθεα μεταβάλλειν.

LI. Τὸ κατὰ πολὺ [2] καὶ ἐξαπίνης [3] κενοῦν, [4] ἢ πληροῦν, [5] ἢ θερμαίνειν, [6] ἢ ψύχειν, [7] ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινέειν, [8] σφαλερόν. [9] καὶ γὰρ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον. [10] τὸ δὲ κατ' ὀλίγον, [11] ἀσφαλές· [12] καὶ ἄλλως, [13] καὶ ἢν τις ἐξ ἑτέρου ἐφ' ἕτερον μεταβαίνῃ.

LII. Πάντα κατὰ λόγον ποιέοντι, [2] καὶ μὴ γινομένων τῶν κατὰ λόγον, [3] μὴ μεταβαίνειν ἐφ' ἕτερον,

XLIII. Ex his qui strangulantur, [2] & submerguntur, [3] nondum autem mortui sunt, [4] non reconvalescunt, [5] quibus spuma circa os fuerit.

XLIV. Crassi admodum [2] secundum naturam, [3] magis cito moriuntur, [4] quam graciles.

XLV. Iuvenibus comitialium [2] liberationem faciunt mutationes, [3] maxime ætatis, [4] & regionum, [5] & victuum.

XLVI. Duobus [1] doloribus simul instantibus, [2] non secundum eumdem locum, [3] vehementior obscurat alterum.

XLVII. Circa generationem puris, [2] dolores [3] & febres magis contingunt, [4] quam facto jam ipso.

XLVIII. [1] In omni corporis motu, [2] quum inceperit dolere, [3] quiescere statim lassitudinem eximit.

XLIX. Adsueti consuetos labores ferre, [2] etiamsi fuerint debiles, [3] aut senes, [4] non adsuetis [5] fortibus [6] ac juvenibus [7] facilius ferunt.

L. Ex multo tempore consueta, [2] etiamsi deteriora fuerint, [3] inconsuetis minus molestare solent. [4] Oportet igitur etiam ad inconsueta transmutationem facere.

LI. [1] Multum [2] & repente [3] evacuare, [4] aut replere, [5] aut calefacere, [6] aut frigefacere, [7] aut omnino quomodocunque corpus movere, [8] periculosum est. [9] Et omnis multitudo naturæ contraria est. [10] Quod vero paulatim fit, [11] tutum est, [12] tum alias, [13] tum si ex altero ad alterum transitus fit.

LII. Omnia secundum rationem facienti, [2] si non secundum rationem fiant, [3] non transire opor-

ρον, 4 μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

LIII. Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσιν, 2 νέοι μὲν ἐόντες, 3 βέλτιον ἀπαλλάσσουσι 4 τῶν τὰς ξηρὰς ἐχόντων. 5 ἐς δὲ τὸ γῆρας, χεῖρον ἀπαλλάσσουσι, 6 ξηραίνονται γὰρ, ὡς ἐπὶ τὸ πολὺ, τοῖσιν ἀπογηράσκουσιν.

LIV. Μεγέθει δὲ σώματος 1 ἐννεάσαι μὲν, 2 ἐλευθέριον καὶ οὐκ ἀηδές. 3 ἐγγηράσαι δὲ, 4 δύσχρηστον, καὶ χεῖρον τῶν ἐλασσόνων.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Αἱ μεταβολαὶ τῶν ὡρέων, 1 μάλιστα τίκτουσι νοσήματα. 2 Ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ ἢ ψύξιος ἢ θάλψιος, 3 καὶ τ' ἄλλα κατὰ λόγον οὕτως.

II. Τῶν φυσίων, αἱ μὲν πρὸς θέρος, 2 αἱ δὲ πρὸς χειμῶνα, εὖ ἢ κακῶς πεφύκασι.

III. Τῶν νούσων ἄλλαι πρὸς ἄλλας 2 εὖ ἢ κακῶς πεφύκασι. 3 καὶ ἡλικίαι τινὲς πρὸς ὥρας, 4 καὶ χώρας, 5 καὶ διαίτας.

IV. Ἐν τῇσιν ὥρῃσιν, ὅταν τῆς αὐτῆς ἡμέρης, 2 ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος γίγνηται, 3 φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή.

V. Νότοι βαρυήκοοι, 2 ἀχλυώδεες, 3 καρηβαρικοὶ, 4 νωθροὶ, 5 διαλυτικοί. 6 ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀρρωστίῃσι πάσχουσιν. 7 ἢν δὲ βόρειον ᾖ, 8 βῆχες, 9 φάρυγγες, 10 κοιλίαι σκληραὶ, 11 δυσουρίαι φρικώδεες, 12 ὀδύναι πλευρέων, 13 στηθέων. 14 ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀρρωστίῃσι προσδέχεσθαι χρή.

VI. Ὁκό-

oportet ad aliud, 4 manente eo quod visum est ab initio.

LIII. Quicunque ventres humidos habent, 2 dum quidem juvenes sunt, 3 melius degunt 4 quam hi qui siccos habent. 5 Verum ad senectutem deterius degunt. 6 Resiccantur enim plerunque senescentibus.

LIV. In corporis magnitudine juventutem quidem degere, 2 liberale est & non indecorum. 3 Senectutem vero degere, 4 inutile, & deterius parvitate.

SECTIO TERTIA.

Mutationes temporum maxime pariunt morbos, 2 & in temporibus magnæ mutationes frigoris aut caloris, 3 & reliqua juxta rationem hoc modo.

II. Naturarum aliæ quidem ad æstatem, 2 aliæ vero ad hyemem, 3 bene aut male se habent.

III. Morborum alii ad alia tempora, 2 bene aut male se habent: 3 & ætates quædam ad tempora, 4 & regiones, 5 & victus.

IV. In temporibus quum eadem die, 2 modo calor, modo frigus fit, 3 autumnales morbos expectare oportet.

V. Austri auditum gravantes, 2 caliginosi, 3 caput gravantes, 4 torpidi, 5 dissolventes. 6 Quum hic prævaluerit, talia in morbis patiuntur. 7 Si vero Aquilo fuerit, 8 tusses, 9 fauces, 10 alvi duræ, 11 urinæ difficultates, 12 horrores, 13 dolores costarum, 14 pectoris. 15 Quum hic dominatur, talia in morbis expectare oportet.

VI. Quum

VI. [1] Ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, [2] ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι χρή.

VII. [1] Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίγνονται, [2] καὶ ἢν μὲν ἐπὶ πλέον ἢ τοιοῦτος ὁ ἐνιαυτὸς ἐὼν, οἵην τὴν κατάστασιν ἐποίησεν, [3] ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ νοσήματα τοιαῦτα δεῖ προσδέχεσθαι.

VIII. [1] Ἐν τοῖσι καθεστῶσι καιροῖσιν, [2] ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν, [3] εὐσταθέες καὶ εὐκρινέες αἱ νοῦσοι γίγνονται. [4] ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι [5] καὶ δύσκριτοι.

IX. [1] Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι, [2] καὶ θανατωδέσταται τὸ ἐπίπαν. [3] ἦρ δὲ ὑγιεινότατον, [4] καὶ ἥκιστα θανατῶδες.

X. Τὸ φθινόπωρον τοῖς φθίνουσι κακόν.

XI. Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, [2] ἀνάγκη τὸ θέρος πυρετοὺς ὀξέας, [3] καὶ ὀφθαλμίας, [4] καὶ δυσεντερίας γίνεσθαι, [5] μάλιστα δὲ τῇσι γυναιξὶ, [6] καὶ ἀνδράσι τοῖσιν ὑγροῖσι τὰς φύσιας.

XII. [1] Ἢν δὲ νότιος ὁ χειμὼν, καὶ ἔπομβρος, καὶ εὔδιος γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, [2] αἱ μὲν γυναῖκες, ᾗσιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσιν. [3] αἳ δ' ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίκτουσιν, [4] ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, [5] ἢ λεπτὰ καὶ νοσώδεα ζῇν ἐόντα. [6] τοῖσι δὲ ἄλλοισι βροτοῖσι δυσεντερίαι, [7] καὶ ὀφθαλμίαι ξηραὶ γίγνονται. [8] τοῖς δὲ πρεσβυτέροισι κατάῤῥοοι συντόμως ἀπολλύντες.

XIII. [1] Ἢν δὲ τὸ θέρος αὐχμηρὸν

VI. Quum æstas sit veri similis, [2] sudores in febribus multos exspectare oportet.

VII. In siccitatibus febres acutæ fiunt: [2] & siquidem annus amplius talis fuerit, qualem constitutionem fecerit, [3] plerunque tales etiam morbos expectare oportet.

VIII. In constantibus temporibus, [2] si tempestive tempestivas reddantur, [3] morbi constantes & judicatu facillimi fiunt. [4] In inconstantibus autem, inconstantes, [5] & qui difficulter judicantur.

IX. In autumno morbi acutissimi, [2] & omnino mortiferi. [3] Ver autem saluberrimum [4] & minime lethale.

X. Autumnus tabidis malus.

XI. De tempotibus, siquidem hyems sicca & aquilonaris fuerit, ver autem pluviosum & australe, [2] necesse est æstate febres acutas, & lippitudines, [4] & dysenterias fieri, [5] maxime mulieribus, [6] & viris natura humidioribus.

XII. Si vero hyems australis, & pluviosa, ac clemens fiat, ver autem siccum & aquilonare, [2] mulieres quidem quibus partus ad ver instat, ex omni occasione abortiunt. [3] quæ vero pariunt, impotentes ac morbosos pueros pariunt, [4] ita ut aut statim pereant, [5] aut tenues ac morbosi vivant. [6] Aliis autem dysenteriæ, [7] & lippitudines siccæ fiunt. [8] Senioribus vero defluxiones brevi perimentes.

XIII. Si vero æstas sicca fiat & aquilonaris, autumnus autem plu-

μηρὸν καὶ βόρειον γένηται, τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, [2] κεφαλαλγίαι ἐς τὸν χειμῶνα γίνονται, [3] καὶ βῆχες, [4] καὶ βράγχοι, [5] καὶ κόρυζαι· [6] ἐνίοισι δὲ καὶ φθίσιες.

XIV. Ἢν δὲ βόρειον ᾖ καὶ ἄνυδρον, [2] τοῖσι μὲν ὑγροῖσιν ἐοῦσι τὰς φύσιας, [3] καὶ τῇσι γυναιξὶ ξύμφορον· [4] τοῖσι δὲ λοιποῖσιν ὀφθαλμίαι ἔσονται ξηραί, [5] καὶ πυρετοὶ ὀξέες, [6] καὶ κόρυζαι· [7] ἐνίοισι δὲ καὶ μελαγχολίαι.

XV. Τῶν δὲ καταστασίων τοῦ ἐνιαυτοῦ, [2] τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσὶν ὑγιεινότεροι, [3] καὶ ἧσσον θανατώδεες.

XVI. Νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλὰ γίνεται, [2] πυρετοί τε μακροί, [3] καὶ κοιλίης ῥύσιες, [4] καὶ σηπεδόνες, [5] καὶ ἐπίληπτοι, [6] καὶ ἀπόπληκτοι, [7] καὶ κυνάγχαι. [8] ἐν δὲ τοῖσιν αὐχμοῖσι, [9] φθινώδεες, [10] ὀφθαλμίαι, [11] ἀρθρίτιδες, [12] στραγγουρίαι, [13] καὶ δυσεντερίαι.

XVII. Αἱ δὲ καθ' ἡμέρην καταστάσιες, [2] αἱ μὲν βόρειοι, τά τε σώματα ξυνιστῶσι, [3] καὶ εὔτονα, [4] καὶ εὐκίνητα, [5] καὶ εὔχροα, [6] καὶ εὐηκοώτερα ποιέουσι, [7] καὶ τὰς κοιλίας ξηραίνουσι, [8] καὶ τὰ ὄμματα δάκνουσι, [9] καὶ περὶ τὸν θώρηκα ἄλγημα, ἤν τι προϋπάρχῃ, μᾶλλον πονέουσιν. [10] αἱ δὲ νότιοι, [11] διαλύουσι τὰ σώματα [12] καὶ ὑγραίνουσι, [13] καὶ βαρυηκοΐας, [14] καὶ καρηβαρίας, [15] καὶ ἰλίγγους ἐν τοῖσιν ὀφθαλμοῖσιν, [16] καὶ τοῖσι σώμασι δυσκινησίην, [17] καὶ τὰς κοιλίας ὑγραίνουσι.

XVIII. Κατὰ δὲ τὰς ὥρας, [2] τοῦ μὲν ἦρος καὶ ἄκρου τοῦ θέρεος, [3] οἱ παῖδες, καὶ οἱ τουτέων ἐχόμενοι τῇσιν ἡλι-

pluviosus & australis, [2] capitis dolores ad hyemem fiunt, [3] & tusses, [4] & raucedines [5] ac gravedines: [6] quibusdam etiam tabes.

XIV. Si vero aquilonaris & aquarum exors autumnus fuerit, [2] his quidem qui humidas naturas habent, [3] & mulieribus commodus erit. [4] Reliquis vero fient lippitudines siccæ, [5] & febres acutæ, [6] & gravedines. [7] Quibusdam vero etiam atræ biles.

XV. Ex anni vero constitutionibus, [2] in summa siccitates pluviosis salubriores sunt, [3] & minus lethales.

XVI. Morbi in pluviosis quidem plerunque fiunt, [2] febres longæ, [3] & alvi fluxiones, [4] & putredines, [5] & comitiales, [6] & siderationes, [7] & anginæ. [8] In siccitatibus vero, [9] tabes, [10] lippitudines, [11] arthritides, [12] urinæ stillicidia, [13] & dysenteriæ.

XVII. Quotidianæ vero constitutiones, [2] aquilonares quidem corpora compingunt, [3] & robusta, [4] & ad motum idonea, [5] & bene colorata, [6] & melius audientia faciunt, [7] & ventres resiccant, [8] & oculos mordent, [9] & si circa thoracem aliquis dolor prius est, magis affligunt. [10] Australes autem corpora [11] dissolvunt, [12] & humectant, [13] & gravem auditum, [14] ac capitis gravitatem, [15] & vertigines in oculis, [16] & corporibus ægrum motum, [17] & ventres humectant.

XVIII. Secundum tempora, [2] vere quidem & prima æstate, [3] pueri, & qui his ætate cohærent,

ἡλικίῃσιν, [3] ἄριστά τε διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα. [4] Τοῦ δὲ θέρεος καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος οἱ γέροντες. [5] Τὸ δὲ λοιπὸν τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσιν.

XIX. Νουσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνεται, [2] μᾶλλον δ' ἔνια κατ' ἐνίας αὐτέων καὶ γίνεται [3] καὶ παροξύνεται.

XX. Τοῦ μὲν γὰρ ἦρος τὰ μανικὰ, [3] καὶ τὰ μελαγχολικὰ, [4] καὶ τὰ ἐπιληπτικὰ, [5] καὶ αἵματος ῥύσιες, [6] καὶ κυνάγχαι, [7] καὶ κόρυζαι, [8] καὶ βράγχοι, [9] καὶ βῆχες, [10] καὶ λέπραι, [11] καὶ λειχῆνες, [12] καὶ ἀλφοὶ, [13] καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται, [14] καὶ φύματα, [15] καὶ ἀρθριτικά.

XXI. Τοῦ δὲ θέρεος [2] ἔνιά τε τουτέων, [3] καὶ πυρετοὶ ξυνεχέες, [4] καὶ καῦσοι, [5] καὶ τριταῖοι πυρετοὶ, [6] καὶ τεταρταῖοι, καὶ ἔμετοι, [8] καὶ διάρροιαι, [9] καὶ ὀφθαλμίαι, [10] καὶ ὤτων πόνοι, [11] καὶ στομάτων ἑλκώσιες, [12] καὶ σηπεδόνες αἰδοίων, [13] καὶ ἵδρωα.

XXII. Τοῦ δὲ φθινοπώρου [2] καὶ τῶν θερινῶν τὰ πολλὰ, [3] καὶ πυρετοὶ τεταρταῖοι, [4] καὶ πλάνητες, [5] καὶ σπλῆνες, [6] καὶ ὕδρωπες, [7] καὶ φθίσιες, [8] καὶ στραγγουρίαι, [9] καὶ λειεντερίαι, [10] καὶ δυσεντερίαι, [11] καὶ ἰσχιάδες, [12] καὶ κυνάγχαι, [13] καὶ ἄσθματα, [14] καὶ εἰλεοὶ, [15] καὶ ἐπιληψίαι, [16] καὶ τὰ μανικὰ, [17] καὶ τὰ μελαγχολικά.

XXIII. Τοῦ δὲ χειμῶνος πλευρίτιδες, [3] περιπλευμονίαι, [4] λήθαργοι, [5] κόρυζαι, [6] βράγχοι, [7] βῆχες, [7] πόνοι στηθέων, [9] πλευρέων, [10] καὶ ὀσφύος, [11] καὶ κεφαλαλγίαι, [12] ἴλιγγοι, [13] ἀποπληξίαι.

XXIV. Ἐν δὲ τῇσιν ἡλικίῃσι τοιάδε ξυμβαίνει. [2] τοῖσι μὲν σμικροῖσι

rent, [3] optime degunt, & maxime sani sunt [4] Æstate vero & autumno aliquandiu, senes. [5] Reliquo autumno & hyeme, mediam ætatem habentes.

XIX. Morbi omnes quidem in omnibus temporibus fiunt: [2] quidam tamen magis in quibusdam ipsorum & fiunt, [3] exacerbantur.

XX. Vere etenim [2] insaniæ, [3] & atræ biles, [4] & comitiales, [5] & sanguinis fluxiones, [5] & anginæ, [7] & gravedines, [8] & raucedines, [9] & tusses, [10] & lepræ, [11] & impetigines, [12] & vitiligines, [13] & pustulæ ulcerosæ plurimæ, [14] & tubercula, [15] & morbus articularis.

XXI. Æstate vero [2] & quidam ex his, [3] & febres continuæ, [4] & ardentes, [5] & tertianæ plurimæ, & quartanæ, [6] & vomitus, [8] & alvi profluvia [9] & lippitudines, [10] & aurium dolores, [11] & oris exulcerationes, [12] & pudendorum putredines, [13] & papulæ sudorosæ.

XXII. Autumno autem [2] & ex æstivis multi, [3] & febres quartanæ, [4] & erroneæ, [5] & splenes, [6] & hydropes, [7] & tabes, [8] & urinæ stillicidia, [9] & intestinorum levitates, [10] & dysenteriæ, [11] & coxendices, [12] & anginæ, [13] & anhelationes, [14] & volvuli, [15] & comitiales, [16] & insaniæ, [17] & atræ biles.

XXIII. Hyeme vero [2] pleuritides, [3] peripneumoniæ, [4] [lethargi,] [5] gravedines, [6] raucedines, [7] tusses, [8] dolores pectorum, [9] laterum [10] ac lumborum, [11] capitis dolores, [12] vertigines, [13] siderationes.

XXIV. In ætatibus autem talia contingunt: [2] Parvis ac recens natis

προσιοῦσι καὶ νεογνοῖσι παιδίοισιν, ἄφθαι, [3] ἔμετοι, [4] βῆχες, [5] ἀγρυπνίαι, [6] φόβοι, [7] ὀμφαλοῦ φλεγμοναὶ, [8] ὤτων ὑγρότητες.

XXV. Πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν, [2] οὔλων ὀδαξυσμοὶ, [3] πυρετοὶ, [4] σπασμοὶ, [5] διάρροιαι, [6] καὶ μάλιστα, ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, [7] καὶ τοῖσι παχυτάτοισι τῶν παιδίων, [8] καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσι.

XXVI. Πρεσβυτέροισι δὲ γενομένοισι, [2] παρίσθμια, [3] σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, [4] ἄσθματα, [5] λιθιάσιες, [6] ἕλμινθες στρογγύλαι, [7] ἀσκαρίδες, [8] ἀκροχορδόνες, [9] σατυριασμοὶ, [10] στραγγουρίαι, [11] χοιράδες, [12] καὶ τἄλλα φύματα, [13] μάλιστα δὲ τὰ προειρημένα.

XXVII. Τοῖσι δὲ ἔτι πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσάγουσι, [2] τουτέων τε τὰ πολλὰ, [3] καὶ πυρετοὶ χρόνιοι μᾶλλον, [4] καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες.

XXVIII. Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, [2] τὰ μὲν, ἐν τεσσαράκοντα ἡμέρῃσι, [3] τὰ δὲ, ἐν ἑπτὰ μησί· [4] τὰ δὲ, ἐν ἑπτὰ ἔτεσι· [5] τὰ δὲ, πρὸς τὴν ἥβην προσάγουσιν. [6] ὅσα δ' ἂν διαμείνῃ τοῖσι παιδίοισι, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, [7] ἢ τῇσι θηλείῃσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, [8] χρονίζειν εἴωθεν.

XXIX. Τοῖσι δὲ νεηνίσκοισιν, [2] αἵματος πτύσιες, [3] φθίσιες, [4] πυρετοὶ ὀξέες, [5] ἐπιληψίαι, [6] καὶ τἄλλα νοσήματα, [7] μάλιστα δὲ τὰ προειρημένα.

XXX. Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην, [2] ἄσθματα, [3] πλευρίτιδες, [4] περιπλευμονίαι,

natis pueris fervida oris ulcera, [3] vomitus, [4] tusses, [5] vigiliæ, [6] timores, [7] umbilici inflammationes, [8] aurium humiditates.

XXV. Ad dentitionem vero accedentibus, [2] gingivarum pruritus, [3] febres, [4] convulsiones, [5] alvi profluvia, [6] & maxime ubi dentes caninos producunt, [7] tum crassissimis pueris, [8] tum his qui duros ventres habent.

XXVI. Senioribus autem evadentibus, [2] verticuli [3] in occipitio intro luxationes, [4] anhelationes, [5] calculorum generationes, [6] lumbrici rotundi, [7] ascaridæ, [8] verrucæ, [9] tumores glandularum circa aures oblongi, [10] satyriasmi appellati, [11] strumæ, [12] & alia tubercula, [13] maxime vero prædicta.

XXVII. Adhuc vero senioribus, & ad pubertatem accedentibus, [2] pleraque ex his, [3] & febres diuturnæ magis, [4] & ex naribus sanguinis fluxiones.

XXVIII. Plurimæ vero affectiones pueris judicantur, [2] partim in quadraginta diebus, [3] partim in septem mensibus, [4] partim in septem annis, [5] partim ad pubertatem accedentibus. [6] Quæ vero permanserint pueris affectiones, & non exolutæ fuerint circa pubertatem, [7] aut fœmellis circa mensium eruptiones, [8] diuturnæ fieri solent.

XXIX. Juvenibus autem [2] sanguinis spuitiones, [3] tabes, [4] febres acutæ, [5] comitiales, [6] & alii morbi, [7] maxime vero prædicti.

XXX. His vero qui hanc ætatem excesserunt, [2] anhelationes, [3] pleuritides, [4] peripneumoniæ,

νίαι, 5 λήθαργοι, 6 φρενίτιδες, 7 καῦσοι, 8 διάῤῥοιαι χρόνιαι, 9 χολέραι, 10 δυσεντερίαι, 11 λειεντερίαι, 12 αἱμοῤῥοΐδες.

XXXI. Τοῖσι δὲ πρεσβύτῃσι, 2 δύσπνοιαι, 3 κατάῤῥοι βηχώδεες, 4 στραγγουρίαι, 5 δυσουρίαι, 6 ἄρθρων πόνοι, 7 νεφρίτιδες, 8 ἴλιγγοι, 9 ἀποπληξίαι, 10 καχεξίαι, 11 ξυσμοὶ τοῦ σώματος ὅλου, 12 ἀγρυπνίαι, 13 κοιλίης 14 καὶ ὀφθαλμῶν 15 καὶ ῥινῶν ὑγρότητες, 16 ἀμβλυωπίαι, 17 γλαυκώσιες, 18 βαρυηκοΐαι.

ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

Τὰς 1 κυούσας φαρμακεύειν, 2 ἢν ὀργᾷ, 3 τετράμηνα καὶ ἄχρι ἑπτὰ μηνῶν· 4 ἧσσον δὲ ταύτας. 5 τὰ δὲ νήπια καὶ πρεσβύτερα, 6 εὐλαβέεσθαι χρή.

II. Ἐν τῇσι φαρμακείῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος, 2 ὁκοῖα καὶ αὐτόματα ἰόντα χρήσιμα· 3 τὰ δὲ ἐναντίως ἰόντα παύειν.

III. Ἢν μὲν, οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· 2 τὰ δὲ ἐναντία, δυσχερῶς.

IV. Φαρμακεύειν θέρεος μὲν, μᾶλλον τὰς ἄνω· 2 χειμῶνος δὲ τὰς κάτω.

V. Ὑπὸ κύνα, 2 καὶ πρὸ κυνὸς, 3 ἐργώδεες αἱ φαρμακεῖαι.

VI. Τοὺς ἰσχνοὺς 2 καὶ τοὺς εὐημέας 3 ἄνω φαρμακεύειν, 4 ὑποστελλομένους χειμῶνα.

VII. Τοὺς δὲ δυσημέας, 2 καὶ μέσως εὐσάρκους, 3 κάτω, 4 ὑποστελλομένους θέρος.

VIII. Τοὺς δὲ φθινώδεας, 2 ὑποστελλομένους τὰς ἄνω φαρμακείας.

IX. Τοὺς

niæ, 5 lethargi, 6 phrenitides, 7 febres ardentes, 8 alvi profluvia diuturna, 9 bilis sursum ac deorsum effusiones, 10 dysenteriæ, 11 intestinorum lævitates, 12 hæmorrhoides.

XXXI. Senibus autem 2 spirandi difficultates, 3 & defluxiones cum tussi, 4 urinæ stillicidia, 5 urinæ difficultates, 6 articulorum dolores, 7 nephritides, 8 vertigines, 9 siderationes, 10 mali habitus, 11 pruritus totius corporis, 12 vigiliæ, 13 alvi, 14 oculorum, 15 & narium humiditates, 16 visus hebetudines; 17 glaucedines, 18 auditus gravitates.

SECTIO QVARTA.

Prægnantes medicamentis purgare oportet, 2 si turget humor, 3 quarto mense, & usque ad septimum: 4 minus vero has. 5 Iuniores autem & seniores fœtus 6 vereri oportet.

II. In medicamentorum usu, talia ex corpore ducere oportet, 2 qualia etiam sponte prodeuntia commoda sunt. 3 Contrario autem modo prodeuntia, sedare.

III. Si qualia oportet purgari, purgentur, confert, & facile ferunt. 2 Contraria vero difficulter.

IV. Medicamentis purgare oportet æstate quidem, superiores magis: 2 hyeme vero inferiores.

V. Sub canem, 2 & ante canem, 3 operosæ sunt medicamentorum purgationes.

VI. Graciles, 2 & facile vomentes, 3 sursum purgare oportet, 4 vitantes hyemem.

VII. Difficulter vomentes, 2 & moderate carnosos, 3 deorsum; 4 vitantes æstatem.

VIII. Tabescentes autem, 2 vitantes superiores.

IX. Atra-

IX. Τοὺς δὲ μελαγχολικοὺς ἁδροτέρως τοὺς κάτω. [2] τῷ αὐτῷ λογισμῷ τἀναντία προστιθείς.

X. Φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν, [2] ἢν ὀργᾷ, [3] αὐθημερόν· [4] χρονίζειν γὰρ ἐν τοῖσι τοιούτοισι, κακόν.

XI. Ὁκόσοισι στρόφοι, [2] καὶ περὶ τὸν ὀμφαλὸν πόνοι, [3] καὶ ὀσφύος ἄλγημα, [4] μὴ λυόμενον, μήτε ὑπὸ φαρμακείης, [5] μήτ' ἄλλως, [6] ἐς ὕδρωπα ξηρὸν ἱδρύεται.

XII. Ὁκόσοισι κοιλίαι λειεντεριώδεες, [2] χειμῶνος φαρμακεύειν ἄνω, [3] κακόν.

XIII. Πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι, [2] πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα ἐν πλείονι τροφῇ [3] καὶ ἀναπαύσει.

XIV. Ἐπὴν πίῃ τις ἐλλέβορον, [2] πρὸς μὲν τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν. [3] πρὸς δὲ τοὺς ὕπνους καὶ μὴ κινήσιας, ἧσσον. [4] δηλοῖ δὲ καὶ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει.

XV. Ἐπὴν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, [2] κίνει τὸ σῶμα. [3] ἐπὴν δὲ παύσασθαι, [4] ὕπνον ποίει, [5] καὶ μὴ κίνει.

XVI. Ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι· [2] σπασμὸν γὰρ ἐμποιεῖ.

XVII. Ἀπυρέτῳ ἐόντι, [2] ἀποσιτίη, [3] καὶ καρδιωγμὸς, [4] καὶ σκοτόδινος, [5] καὶ στόμα ἐκπικρούμενον, [6] ἄνω φαρμακείης δεῖσθαι σημαίνει.

XIIX. Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, [2] ὁκόσα καθάρσιος δέεται, [3] ἄνω φαρμακείης δεῖσθαι, σημαίνει· [4] ὁκόσα δὲ κάτω, κάτω.

XIX. Ὁκό-

IX. Atrabiliarios vero plenius inferiores. [2] Eadem ratione contraria apponentes.

X. Purgare oportet in valde acutis, [2] si humor turget, [3] eadem die. [4] Morari enim in talibus malum est.

XI. Quibus tormina, [2] & circa umbilicum dolores, [3] & lumborum dolor, [4] qui neque à medicamento, [5] neque alias solvitur, [6] in hydropem siccum firmatur.

XII. Quibus alvi intestinorum levitate affecti, [2] eos hyeme sursum purgare; [3] malum est.

XIII. Ad veratrum, his qui non facile sursum purgantur, [2] ante potionem corpora humectare oportet ampliore cibo, [3] ac quiete.

XIV. Vbi biberit quis veratrum, [2] ad motus quidem corporum magis ducere oportet, [3] ad somnos autem, & quietem minus. [4] Declarat autem navigatio, quod motus corpora turbat.

XV. Vbi volueris magis ducere veratrum, [2] corpus moveto: [3] ubi vero sistere, [4] somnum facito, [5] & nō moveto.

XVI. Veratrum periculosum est sanas carnes habentibus. [2] Convulsionem enim inducit.

XVII. Sine febre existenti [2] cibi fastidium, [3] & oris ventriculi morsus, [4] & vertigo, [5] & os amarescens, [6] medicamento sursum purgante opus habere significat.

XIIX. Dolores supra septum transversum, [2] qui purgatione opus habent, [3] sursum versus purgatione indigere significant: [4] qui vero infra, deorsum.

 XIX. Qui

XIX. Ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, [2] οὐ παύονται [3] πρὶν ἢ διψήσωσι.

XX. [1] Ἀπυρέτοισιν ἐοῦσιν [2] ἢν γένηται στρόφος, [3] καὶ γουνάτων βάρος, [4] καὶ ὀσφύος ἄλγημα, [5] κάτω φαρμακείης δεῖσθαι σημαίνει.

XXI. [1] Ὑποχωρήματα μέλανα [2] ὁκοῖον αἷμα μέλαν, [3] ἀπ' αὐτομάτου ἰόντα, [4] καὶ ξὺν πυρετῷ, [5] καὶ ἄνευ πυρετοῦ, [6] κάκιστα. [7] καὶ ὁκόσῳ ἂν τὰ χρώματα πονηρότερα ᾖ, μᾶλλον κάκιον· [8] ξὺν φαρμάκῳ δὲ, ἄμεινον. [9] καὶ ὁκόσῳ ἂν χρώματα πλείω, οὐ πονηρόν.

XXII. Νοσημάτων ὁκόσων ἀρχομένων, [2] ἢν χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ἐπέλθῃ, [3] θανάσιμον.

XXIII. Ὁκόσοισιν ἐκ νοσημάτων ὀξέων, [2] ἢ ἐκ πολυχρονίων, [3] ἢ ἐκ τρωμάτων, [4] ἢ ἄλλως πως λεπτυνομένοις, [5] χολὴ μέλαινα, [6] ἢ ὁκοῖον αἷμα μέλαν ἐπέλθῃ, [7] τῇ ὑστεραίῃ ἀποθνήσκουσι.

XXIV. Δυσεντερίη, [2] ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, [3] θανάσιμον.

XXV. Αἷμα ἄνω μὲν, [2] ὁκοῖον ἂν ᾖ, [3] κακόν· [4] κάτω δὲ, ἀγαθὸν μέλαν ὑποχωρέον.

XXVI. [1] Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ [2] οἷον σάρκες ὑποχωρήσωσι, [3] θανάσιμον.

XXVII. [1] Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, [2] ἐν τῇσιν ἀναλήψεσι, [3] τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

XXVIII. [1] Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, [2] κωφώσιος ἐπιγενομένης, παύεται· [3] καὶ ὁκόσοισι κώφωσις, [4] χολωδέων ἐπιγενομένων, παύεται.

XXIX. Ὁκό-

XIX. Qui in medicamentorum potionibus, dum purgantur non sitiunt, [2] non cessant [3] prius quam sitierint.

XX. Non febrientibus [2] si fiat tormen, [3] & genuum gravitas, [4] & lumborum dolor, [5] deorsum medicamento purgante opus habere significat.

XXI. Egestiones alvi nigræ, [2] velut sanguis niger, [3] sua sponte prodeuntes, [4] & cum febre, [5] & sine febre, [6] pessimæ sunt. [7] & quanto plures fuerint pejores colores, tanto magis malum est. [8] Cum medicamento vero, melius: [9] & quanto plures fuerint colores, non malum est.

XXII. Quibuscunque morbis incipientibus, [2] si atra bilis, aut sursum aut deorsum prodierit, [3] lethale est.

XXIII. Quibuscunque ex morbis acutis, [2] aut ex diuturnis, [3] aut ex vulneribus, [4] aut alias attenuatis, [5] atra bilis, [6] sive qualis sanguis niger, [7] postridie moriuntur.

XXIV. Dysenteria, [2] si ab atra bile inceperit, [3] lethalis est.

XXV. Sanguis sursum quidem [2] qualiscunque fuerit, [3] malus est: [4] deorsum vero bona sunt nigra subeuntia.

XXVI. Si a dysenteria occupato, [2] veluti carnes subierint, [3] lethale est.

XXVII. Quibus in febribus sanguinis multitudo erumpit undecunque, [2] his in refectionibus [3] alvi humectantur.

XXVIII. Quibus biliosæ sunt egestiones, [2] surditate oboriente cessant. [3] Et quibus surditas, [4] biliosis egestionibus contingentibus cessat.

XXIX. Qui-

XXIX. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι [2] ῥίγεα γίνεται, δύσκριτα.

XXX. Ὁκόσοισι παροξυσμοὶ γίνονται, [2] ἣν ἂν ὥρην ἀφῇ ὁ πυρετὸς, [3] ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, [4] δύσκριτα.

XXXI. Τοῖσι κοπιώδεσιν ἐν τοῖσι πυρετοῖσιν, [2] ἐς ἄρθρα, καὶ παρὰ [3] τὰς γνάθους μάλιστα, [4] αἱ ἀποστάσιες γίγνονται.

XXXII. Ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων τι πονέσῃ, [2] ἐνταῦθα ἀποστάσιες γίγνονται.

XXXIII. Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, [2] ἐνταῦθα στηρίζει ἡ νοῦσος.

XXXIV. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, [2] οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, [3] πνὶξ ἐξαίφνης ἐπιγίγνηται, [4] θανάσιμον.

XXXV. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, [2] καὶ μόλις καταπίνειν δύνηται, [3] οἰδήματος μὴ ἐόντος, [4] θανάσιμον.

XXXVI. Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, [2] ἀγαθοὶ τριταῖοι, [3] καὶ πεμπταῖοι, [4] καὶ ἑβδομαῖοι, [5] καὶ ἐναταῖοι, [6] καὶ ἑνδεκαταῖοι, [7] καὶ τεσσαρεσκαιδεκαταῖοι, [8] καὶ ἑπτακαιδεκαταῖοι, [9] καὶ μιῇ καὶ εἰκοστῇ, [10] καὶ ἑβδόμῃ καὶ εἰκοστῇ, [11] καὶ τριακοστῇ πρώτῃ, [12] καὶ τριακοστῇ τετάρτῃ. [13] οὗτοι γὰρ οἱ ἱδρῶτες νούσους κρίνουσιν. [14] οἱ δὲ μὴ οὕτως γινόμενοι, [15] πόνον σημαίνουσι, [16] καὶ μῆκος νούσου, [17] καὶ ὑποτροπιασμούς.

XXXVII. Οἱ ψυχροὶ ἱδρῶτες, [2] ξὺν μὲν ὀξεῖ πυρετῷ γινόμενοι, [3] θάνατον· [4] ξὺν πρηϋτέρῳ δὲ, [5] μῆκος νούσου σημαίνουσι.

XIII. Καὶ ὅκου ἔνι τοῦ σώματος

XXIX. Quibus in febribus sexta die [2] rigores fiunt, difficulter iudicant.

XXX. Quibus [1] exacerbationes fiunt, [2] quacunque tandem hora febris dimiserit, [3] si postridie eadem qua antea hora corripuerit, [4] difficulter iudicant.

XXXI. Delassatis in febribus, [2] ad articulos, [3] & circa maxillas maxime, [4] abscessus fiunt.

XXXII. Quibuscunque resurgentibus ex morbis, si quid doluerit, [2] isthic abscessus fiunt.

XXXIII. Sed & si ante morbum quid doluerit, [2] isthic morbus incumbit.

XXXIV. [1] Si à febre occupato, [2] tumore non existente in faucibus, [3] suffocatio derepente contingat, [4] lethale est.

XXXV. Si à febre occupato collum repente obversum fuerit, [2] & vix deglutire poterit, [3] tumore non existente, [4] lethale est.

XXXVI. Sudores febricitanti si inceperint, [2] boni sunt tertia die, [3] & quinta, [4] & septima, [5] & nona, [6] & undecima, [7] & decimaquarta, [8] & decimaseptima; [9] & vigesima prima, [10] & vigesima septima, [11] & trigesima prima, [12] & trigesima quarta. [13] Hi enim sudores morbos iudicant. [14] Qui vero non sic fiunt, [15] dolorem significant, [16] & longitudinem morbi, [17] & recidivas.

XXXVII. Frigidi sudores [2] cum acuta quidem febre, [3] mortem significant: [4] cum mitiore vero, [5] morbi longitudinem.

XIII. Et ubi in corpore

τὸ ἱδρὼς, ² ἐνταῦθα φράζει τὴν νοῦσον.

XIL. "Καὶ ὅκου ἐνὶ τοῦ σώματος θερμὸν ² ἢ ψυχρὸν, ³ ἐνταῦθα ἡ νοῦσος.

XL. "Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, ² καὶ ἢν τὸ σῶμα καταψύχηται, ³ ἢ αὖθις θερμαίνηται, ⁴ ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, ⁵ μῆκος νούσου σημαίνει.

XLI. "Ἱδρὼς πολὺς ἐξ ὕπνου ² ἄνευ φανερῆς αἰτίης γενόμενος, ³ τὸ σῶμα σημαίνει ὅτι πλείονι τροφῇ χρέεται. ⁴ Ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίνηται, ⁵ σημαίνει ὅτι κενώσιος δέεται.

XLII. Ἱδρὼς πολὺς, ² ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων, ³ ὁ μὲν ψυχρὸς μέζω, ⁴ ὁ δὲ θερμὸς ἐλάσσω νοῦσον σημαίνει.

XLIII. "Οἱ πυρετοὶ, ² ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, ³ μᾶλλον ἐπικίνδυνοι. ⁴ ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

XLIV. Ὁκόσοισι πυρετοὶ μακροὶ, ² τουτέοισι φύματα, ³ ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται.

XLV. Ὁκόσοισι φύματα ² ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν γίνονται, ³ οὗτοι σιτίοισι πλείοσι χρέονται.

XLVI. "Ἢν ῥῖγος ἐπιπίπτῃ πυρετῷ μὴ διαλείποντι, ² ἤδη ἀσθενεῖ ἐόντι, ³ θανάσιμον.

XLVII. "Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσι πελιδναὶ, ² καὶ αἱματώδεες, ³ καὶ δυσώδεες, ⁴ καὶ χολώδεες, ⁵ πᾶσαι κακαί. ⁶ ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαί. ⁷ καὶ κατὰ τὰς διαχωρήσιας, ⁸ καὶ κατὰ τὰ οὖρα. ⁹ ἢν δὲ μή τι τῶν ξυμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, ¹⁰ κακόν.

sudor est, ² illic morbum esse declarat.

XIL. Et ubi ¹ in corpore ² caliditas aut frigiditas, ³ isthic morbus est.

XL. Et ubi in toto corpore mutationes, ² & si corpus perfrigeretur, ³ aut rursus calefiat, ⁴ aut color alius ex alio fiat, ⁵ longitudinem morbi significat.

XLI. Sudor multus ex somno, ² citra manifestam causam oboriens, ³ corpus multo alimento uti significat. ⁴ Si vero cibum non capienti hoc fiat, ⁵ significat quod evacuatione opus habet.

XLII. Sudor ¹ multus, ² frigidus aut calidus semper fluens: ³ frigidus majorem, ⁴ calidus minorem morbum significat.

XLIII. Febres ² quæcunque non intermittentes, per tertiam fortiores fiunt, ³ magis periculosæ sunt. ⁴ Quocunque vero modo intermiserint, quod sine periculo sint, significant.

XLIV. Quibus febres longæ, ² his tubercula, ³ aut ad articulos, dolores fiunt.

XLV. Quibus ¹ tubercula ² aut ad articulos dolores, ex febribus longis fiunt, ³ hi pluribus cibis utuntur.

XLVI. Si rigor incidat febre non intermittente, ² ægroto jam debili, ³ lethale est.

XLVII. Exscreationes in febribus non intermittentibus lividæ, ² & cruentæ, ³ & graveolentes, ⁴ & biliosæ, ⁵ omnes malæ sunt. ⁶ At probe secedentes, bonæ, ⁷ & per alvi egestiones, ⁸ & per urinas. ⁹ Si vero non aliquid ex ¹ conducentibus excernatur per hos locos, ¹⁰ malum est.

XLVIII. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, [2] ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, [3] τὰ δὲ ἔνδον καίηται, [4] καὶ δίψαν ἔχῃ, [5] θανάσιμον.

IL. Ἐν μὴ διαλείποντι πυρετῷ, [2] ἢν χεῖλος, [3] ἢ ὀφρὺς, [4] ἢ ὀφθαλμὸς, [5] ἢ ῥὶς διαστραφῇ, [6] ἢν μὴ βλέπῃ, [7] ἢν μὴ ἀκούῃ, [8] ἤδη ἀσθενέος ἐόντος τοῦ κάμνοντος, [9] ὅ,τι ἂν τουτέων γένηται, [10] ἐγγὺς ὁ θάνατος.

L. Ὅκου ἂν ἐν πυρετῷ μὴ διαλείποντι δύσπνοια γένηται καὶ παραφροσύνη, [2] θανάσιμον.

LI. Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, [2] μῆκος νούσου σημαίνει.

LII. Ὁκόσοι ἐν τοῖσι πυρετοῖσιν, [2] ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωστίῃσι [3] κατὰ προαίρεσιν δακρύουσιν, [4] οὐδὲν ἄτοπον. [5] ὁκόσοι δὲ μὴ κατὰ προαίρεσιν, [6] ἀτοπώτερον.

LIII. Ὁκόσοισι δὲ ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περιγλίσχρα γίνεται, [2] ἰσχυρότεροι γίγνονται οἱ πυρετοί.

LIV. Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ, [2] βραχέα ἐρεθίζουσαι, [3] ἐν πυρετοῖσι καυσώδεσιν, [4] οὐ πάνυ τι διψώδεές εἰσιν.

LV. Οἱ ἐπὶ βουβῶσι πυρετοὶ, [2] πάντες κακοὶ, [3] πλὴν τῶν ἐφημέρων.

LVI. Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, [2] μὴ ἐκλείποντος τοῦ πυρετοῦ, [3] κακόν. [4] μηκύνει γὰρ ἡ νοῦσος, [5] καὶ ὑγρασίην πλείω σημαίνει.

LVII. Ὑπὸ σπασμοῦ [2] ἢ τετάνου ἐνοχλουμένῳ [3] πυρετὸς ἐπιγενόμενος λύει τὸ νόσημα.

LIIX. Ὑπὸ καύσου ἐχομένῳ, [2] ἐπιγενομένου ῥίγεος, [3] λύσις.

LIX. Τερ-

XLVIII. In non intermittentibus febribus, [2] si externæ quidem partes frigidæ fuerint, [3] internæ vero ardeant, [4] ac sitim habeant, [5] lethale est.

IL. In febre non intermittente, [2] si labium, [3] aut palpebra, [4] aut oculus, [5] aut nasus distorqueatur; [6] aut non videat, [7] aut non audiat, [8] æger jam debilis existens, [9] quicquid horum fiat, [10] propinqua mors est.

L. Vbi in febre non intermittente, difficultas spirandi, & delirium fit, [2] lethale est.

LI. In febribus abscessus, [2] qui non solvuntur ad primas judicationes; [2] longitudinem morbi significant.

LII. Quicunque in febribus, [2] aut aliis ægritudinibus, [3] voluntate lachrymantur, [4] nihil absurdi est. [5] Qui vero non ex voluntate, [6] absurdum.

LIII. Quibus circa dentes in febribus viscosa adhærent, [2] his fortiores febres fiunt.

LIV. Quibus plerumque tusses siccæ, [2] parum irritantes, [3] in febribus ardentibus, [4] hi non ita valde siticulosi sunt.

LV. Ex glandularum tumoribus [2] febres omnes malæ sunt, [3] exceptis diariis.

LVI. Febricitanti sudor oboriens [2] febre non remittente, [3] malum. [4] Moram enim trahit, morbus, [5] & multam humiditatem significat.

LVII. A convulsione, [2] aut distentione nervorum vexato, [3] febris accedens morbum solvit.

LIIX. A febre ardente occupato, [2] rigore accedente, [3] solutio fit.

LIX. ¹Τριταῖος ἀκριβὴς 41 κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον.

LX. ¹Ὁκόσοισιν ἂν ἐν τοῖσι 42 πυρετοῖσι τὰ ὦτα κωφωθῇ, ² αἷ-
15 μα ἐκ ῥινῶν ῥυὲν, ³ ἢ κοιλίη ἐκταραχθεῖσα, ⁴ λύει τὸ νόσημα.

LXI. ¹Πυρέσσοντα ἢν μὴ ἐν 43 περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ² ὑποτροπιάζειν εἴωθεν.

LXII. ¹Ὁκόσοισιν ἐν τοῖσι 44 πυρετοῖσιν ἴκτεροι ἐπιγίγνονται ² πρὸ τῶν ἑπτὰ ἡμερῶν, ³ κακόν· [⁴ ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γένωνται]

LXIII. Ὁκόσοισιν ἐν τοῖσι πυ- 45 ρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνεται, ² καθ' ἡμέρην οἱ πυρετοὶ λύονται.

LXIV. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τῇ ἑβδόμῃ, ² ἢ τῇ ἐννάτῃ, ³ ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι
20 ἐπιγίνονται, ⁴ ἀγαθόν· ⁵ ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ· ⁶ ἢν δὲ μὴ, οὐκ ἀγαθόν.

LXV. Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην ² καῦμα ἰσχυρὸν, ³ καὶ καρδιωγμὸς, ⁴ κακόν.

LXVI. Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσιν, ² οἱ σπασμοὶ, ³ καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, ⁴ κακόν.

LXVII. Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι ² ἢ σπασμοὶ, ³ κακόν.

LXIIX. ¹Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, ² κακόν. ³ σπασμὸν γὰρ σημαίνει.

LXIX. Ὁκόσοισιν οὖρα παχέα, 46 ² θρομβώδεα, ³ ὀλίγα, ⁴ οὐκ ἀπυ-
25 ρέτοισι, ⁵ πλῆθος ἐπελθὸν ἐκ τούτων λεπτὸν, ⁶ ὠφελεῖ. ⁷ μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, ⁸ οἷσιν ἐξ ἀρχῆς, ⁹ ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

LXX. Ὁκόσοισι δ' ἐν τοῖσι πυρετοῖσι ¹ τὰ οὖρα ἀναταραγμένα, ² οἷον 47 ὑποζυ-

LIX. Tertiana exacta in septem circuitibus ad summum judicatur.

LX. Quibus in febribus aures obsurduerunt, ² his sanguis è naribus effusus, ³ aut alvus exturbata, ⁴ morbum solvit.

LXI. ¹Febrientem si non in 95 diebus imparibus febris dimiserit, ² recidivare solet.

LXII. Quibus in febribus morbus regius fit, ² ante septimum diem, ³ malum: [⁴ nisi conversi humores ad ventrem fuerint.]

LXIII. Quibus in febribus quotidie rigores fiunt, ² quotidie febres solvuntur.

LXIV. Quibus in febribus morbus regius septima, ² aut nona, ³ aut decimaquarta accedit; ⁴ bonum, ⁵ si non præcordium dextrum durum fiat: ⁶ sin mi- 100 nus, non bonum.

LXV. In febribus circa ventrem ² æstus vehemens, ³ & cordis [sive oris ventriculi] morsus, ⁴ malum.

LXVI. In febribus acutis ² convulsiones, ³ & circa viscera dolores fortes, ⁴ malum.

LXVII. In febribus, ex somnis timores, ² aut convulsiones, ³ malum.

LXIIX. In febribus spiritus offendens, ² malum. ³ Convulsionem enim significat.

LXIX. ¹Quibus urinæ crassæ, 105 ² grumosæ, ³ paucæ, ⁴ non sine febribus, ⁵ ubi copia ex his successit tenuis, ⁶ prodest. ⁷ Tales autem maxime prodeunt his, ⁸ quibus ab initio, ⁹ aut brevi subsidentiam habent.

LXX. Quibus in febribus urinæ conturbatæ, ² velut jumen-

tor-

ὑποξυγίαν, ³ τουτέοισι κεφαλαλγίαι ἢ παρέσιν, ⁴ ἢ παρέσονται.

LXXI. Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, ² τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον τῇ τεταρτῇ ἐρυθρὸν, ³ καὶ τ' ἄλλα κατὰ λόγον. 48

30 LXXII. Ὁκόσοισιν οὖρα διαφανέα λευκὰ, ² πονηρά. ³ μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται. 49

LXXIII. Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορίζοντα, ² ὀσφύος ἀλγήματος ἐπιγινομένου, ³ αἱ κοιλίαι τουτέοισι καθυγραίνονται. ⁴ ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ⁵ ἢ οὔρου πλῆθος ἐπέλθῃ. ⁶ ἐν πυρετοῖσι δὲ ταῦτα. 50

LXXIV. Ὁκόσοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ² ῥύεται τῆς ἀποστάσιος οὖρον πολὺ, καὶ παχὺ, καὶ λευκὸν γιγνόμενον, ³ οἷον ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίγνεσθαι. ⁴ ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, ⁵ καὶ πάνυ ταχὺ λύεται. 51

35 LXXV. Ἢν αἷμα ² ἢ πῦον οὐρέῃ, ³ τῶν νεφρῶν, ⁴ ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

LXXVI. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι ² σαρκία σμικρὰ, ³ ἢ ὥσπερ τρίχες ξυνεξέρχονται, ⁴ τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται. 52

LXXVII. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι ² πιτυρώδεα ξυνεξουρεῖται, ³ τουτέοισιν ἡ κύστις ψωριᾷ. 53

LXXIIX. Ὁκόσοι ἀπὸ ταυτομάτου αἷμα οὐρέουσι, ² τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει.

LXXIX. Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, ² τουτέοισιν ἡ κύστις λιθιᾷ.

40 LXXX. Ἢν αἷμα οὐρέῃ ² καὶ θρόμβους, ³ καὶ στραγγουρίην ἔχῃ, ⁴ καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον,

ti, ³ his capitis dolores aut adsunt, ⁴ aut aderunt.

LXXI. Quibus septima die morbi iudicantur, ² his nubeculam habet urina, quarta die rubram; ³ & alia secundum rationem. 110

LXXII. Quibus urinæ pellucidæ albæ, ² malæ. ³ Maxime autem in phrenticis comparent.

LXXIII. Quibus præcordia elevata, permurmurantia, ² lumborum dolore accedente, ³ his alvi humectantur, ⁴ si non flatus erumpant, ⁵ aut urinæ copia prodeat. ⁶ In febribus autem hæc.

LXXIV. Quibus spes est abscessum fore ad articulos, ² eos liberat ab abscessu urina multa, & crassa, & alba prodiens, ³ qualis in febribus laboriosis quarta die quibusdam fieri incipit. ⁴ Si vero etiam ex naribus sanguis eruperit, ⁵ brevi admodum solvitur. 115

LXXV. Si quis sanguinem ² aut pus mingat, ³ renum ⁴ aut vesicæ ulcerationem significat.

LXXVI. Quibus in urina crassa existente, ² carunculæ parvæ, ³ aut veluti pili simul exeunt, ⁴ his de renibus excernuntur. 120

LXXVII. Quibus in urina crassa existente, ² furfuracea quædam simul minguntur, ³ his vesica scabie affecta est.

LXXIIX. Qui sponte sanguinem mingunt, ² his in renibus venæ ruptionem significat.

LXXIX. Quibus in urina, arenosa subsidunt, ² his vesica calculo laborat.

LXXX. Si quis sanguinem mingat, ² & grumos, ³ & urinæ stillicidium habeat, ⁴ & dolor in- 125 cidat

γάστριον καὶ ἐς τὸ περίνεον, [5] τὰ περὶ τὴν κύστιν πονεῖ.

LXXXI. Ἢν αἷμα [2] καὶ πῦον οὐρέῃ, [3] καὶ λεπίδας, [4] καὶ ὀσμὴ βαρέη ᾖ, [5] τῆς κύστιος ἕλκωσιν σημαίνει.

LXXXII. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, [2] τουτέοισι, διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

LXXXIII. Οὔρησις νύκτωρ πολλὴ γιγνομένη, [2] σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

Σπασμὸς ἐξ ἐλλεβόρου, [2] θανάσιμον.

II. Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος, [2] θανάσιμον.

III. Αἵματος πολλοῦ ῥυέντος σπασμὸς [2] ἢ λυγμὸς ἐπιγενόμενος, [3] κακόν.

IV. Ἐπὶ ὑπερκαθάρσει σπασμὸς [2] ἢ λυγμὸς ἐπιγενόμενος, [3] κακόν.

V. Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, [2] σπασθεὶς [3] ἀποθνήσκει, [4] ἢν μὴ πυρετὸς ἐπιλάβῃ, [5] ἢ ἐς τὴν ὥρην ἐλθὼν, καθ' ἣν αἱ κραιπάλαι λύονται, [6] φθέγξηται.

VI. Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, [2] ἐν τέσσαρσιν ἡμέρῃσιν ἀπόλλυνται. [3] ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

VII. Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίγνεται, [2] μετάστασιν ἴσχει. [3] ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίγνεται, [4] τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

IIX. Ὁκόσοι πλευριτικοὶ γενόμενοι οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, [2] τουτέοισιν ἐς ἐμπύημα μεθίσταται.

IX. Φθί-

cidat in imum ventrem, & ani ac scroti intercapedinem, [5] partes circa vesicam affectæ sunt.

LXXXI. Si quis sanguinem [2] & pus mingat, [3] & squamas, [4] & odor gravis sit, [5] vesicæ exulcerationem significat.

LXXXII. Quibus in urinaria fistula tuberculum nascitur, [2] his suppuratione facta, & eruptione, solutio fit.

LXXXIII. Mictio noctu multa contingens, [2] modicam alvi egestionem significat.

SECTIO QVINTA.

Convulsio ex veratro [2] lethalis est.

II. Ex vulnere convulsio [2] lethalis est.

III. Sanguine multo effuso convulsio [2] aut singultus accedens, [3] malum.

IV. Ex superflua purgatione, convulsio [2] aut singultus accedens, [3] malum.

V. Si quis ebrius derepente voce privetur, [2] convulsus [3] moritur, [4] si non febris corripuerit, [5] aut ubi ad horam qua crapulæ solvuntur pervenit, [6] loquatur.

VI. Quicunque à distentione antrorsum ac retrorsum corripiuntur, [2] in quatuor diebus pereunt. [3] Si vero has effugerint, [4] sani fiunt.

VII. Quibuscunque morbi comitiales ante pubertatem fiunt, [2] transmutationem habent. [3] Quibuscunque vero viginti quinque annos natis fiunt, [4] his plerunque commoriuntur.

IIX. Quicunque pleuritici facti, in quatuordecim diebus non repurgantur, [2] his ad suppurationem transitio fit.

IX. Ta-

IX. [1] Φθίσις γίνεται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι πέντε καὶ τριήκοντα ἐτέων.

X. [1] Ὁκόσοισι κυνάγχην διαφεύγουσιν ἐς τὸν πλεύμονα τρέπεται, [2] ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν. [3] ἢν δὲ ταύτας διαφύγωσιν, [4] ἔμπυοι γίγνονται.

XI. [1] Τοῖσιν ὑπὸ τῆς φθίσιος ἐνοχλουμένοισιν, [2] ἢν τὸ πτύσμα, ὅ τι ἂν ἀποβήσσωσι, [3] βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, [4] καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, [5] θανατῶδες.

XII. [1] Ὁκόσοισιν ἂν φθισιῶσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσιν, [2] οὗτοι, διαρροίης ἐπιγενομένης, ἀποθνήσκουσιν.

XIII. [1] Ὁκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, [2] τουτέοισιν ἐκ τοῦ πλεύμονος ἡ τοιαύτη ἀναγωγὴ γίγνεται.

XIV. [1] Ὑπὸ φθίσιος ἐχομένῳ διάρροια ἐπιγενομένη, [2] θανατῶδες.

XV. [1] Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίγνονται, [2] ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν, [3] ἀφ' ἧς ἂν ἡ ῥῆξις γένηται, [4] παύονται. [5] ἢν δὲ μή, ἐς φθίσιν μεθίστανται.

XVI. [1] Τὸ θερμὸν βλάπτει ταῦτα τοῖσι πλεονάκις χρεομένοισι· [2] σαρκῶν ἐκθήλυνσιν, [3] νεύρων ἀκράτειαν, [4] γνώμης νάρκωσιν, [5] αἱμοῤῥαγίας, [6] λειποθυμίας· [7] ταῦτα, οἷσι θάνατος.

XVII. [1] Τὸ δὲ ψυχρόν, [2] σπασμούς, [3] τετάνους, [4] μελασμούς, [5] καὶ ῥίγεα πυρετώδεα.

XIIX. [1] Τὸ ψυχρὸν πολέμιον [2] ὀστέοισιν, [3] ὀδοῦσι, [4] νεύροισι, [5] ἐγκεφάλῳ, [6] νωτιαίῳ μυελῷ· [7] τὸ δὲ θερμόν, ὠφέλιμον. XIX. Ὀ-

IX. Tabes maxime fit ætatibus, ab anno decimo octavo, usque ad trigesimum quintum.

X. Quicunque anginam effugiunt, his ad pulmonem vertitur, [2] & in septem diebus moriuntur. [3] Si vero has effugerint, [4] suppurati fiunt.

XI. Qui tabe infestantur, [2] si sputum quodcunque tussiendo rejecerint, [3] grave olet, dum prunis injicitur, [4] & capilli de capite defluunt, [5] lethale est.

XII. Quibuscunque tabe laborantibus capilli de capite defluxerint, [2] hi alvi profluvio accedente moriuntur.

XIII. Quicunque sanguinem spumosum spuunt, [2] his ex pulmone eductio fit.

XIV. A tabe occupato alvi profluvium accedens, [2] lethale est.

XV. Quicunque ex pleuritide [1] suppurati fiunt, [2] si in quadraginta diebus repurgati fuerant, [3] ab ea die qua ruptio facta fuerit, [4] liberantur. [5] Si vero non, ad tabem transeunt.

XVI. Calida, frequenter ea utentibus, has noxas inducit, [2] carnium effœminationem, [3] nervorum impotentiam, [4] mentis torporem, [5] sanguinis eruptiones, [6] animi deliquia. [7] Hæc quibus mors.

XVII. Frigida vero [2] convulsiones, [3] antrorsum ac retrorsum distentiones, [4] nigrores, [5] & rigores febriles.

XIIX Frigida inimica [2] ossibus, [3] dentibus, [4] nervis, [5] cerebro, [6] spinali medullæ. [7] Calida vero, grata.

XIX. Quæ-

XIX. [1] Ὁκόσα κατέψυκται, [2] ἐκθερμαίνειν, [3] πλὴν ὁκόσα αἱμοῤῥαγέει [4] ἢ μέλλει.

XX. [1] Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, [2] δέρμα περισκληρύνει, [3] ὀδύνην ἀνεκπύητον ποιέει, [4] μελαίνει, [5] ῥίγεα πυρετώδεα, [6] σπασμοὺς, [7] καὶ τετάνους.

XXI. [1] Ἔστι δὲ ὅκου ἐπὶ τετάνου [2] ἄνευ ἕλκεος [3] νέῳ εὐσάρκῳ, [4] θέρεος μέσου, [5] ψυχροῦ πολλοῦ κατάχυσις [6] ἐπανάκλησιν θέρμης ποιέεται. [7] θέρμη δὲ ταῦτα ῥύεται.

XXII. [1] Τὸ θερμὸν ἐκπυητικὸν, [2] οὐκ ἐπὶ παντὶ ἕλκει, [3] μέγιστον σημεῖον ἐς ἀσφαλείην. [4] δέρμα μαλθάσσει, [5] ἰσχναίνει, [6] ἀνώδυνον, [7] ῥιγέων, [8] σπασμῶν, [9] τετάνων παρηγορικόν. [10] καὶ δὲ ἐν τῇ κεφαλῇ καρηβαρίην λύει. [11] πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι. [12] μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι. [13] τουτέων δὲ μάλιστα, τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι. [14] καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει [15] ἢ ἑλκοῦται. [16] καὶ ἕρπησιν ἐσθιομένοισιν, [17] ἕδρῃ, [18] αἰδοίῳ, [19] ὑστέρῃ, [20] κύστει. [21] τουτέοισι τὸ μὲν θερμὸν φίλον καὶ κρῖνον. [22] τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

XXIII. [1] Ἐν τουτέοισι δεῖ τῷ ψυχρῷ χρέεσθαι, [2] ὁκόθεν αἱμοῤῥαγέει ἢ μέλλει, [3] μὴ ἐπ' αὐτὰ, [4] ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιῤῥέει. [5] καὶ ὁκόσαι φλεγμοναὶ, [6] ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα νεαρῷ αἵματι, ἐπὶ ταῦτα. [7] ἐπεὶ τά γε παλαιὰ μελαίνει. [8] καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον. [9] ἐπεὶ τό γε ἑλκούμενον βλάπτει.

XXIV. Τὰ ψυχρὰ, [2] οἷον χιὼν, [3] κρύσταλλος, [4] τῷ στήθει πολέμια, [5] βη-

XIX. Quæcunque perfrigerata sunt, [2] excalefacere oportet, [3] præterquam à quibus sanguis erumpit, [4] aut erupturus est.

XX. Vlceribus frigida mordax, [2] cutem obdurat, [3] dolorem non suppurantem facit, [4] nigrefacit, [5] rigores febriles inducit, [6] convulsiones, [7] distentiones.

XXI. Quandoque vero in distentione [2] sine ulcere, [3] juveni carnoso, [4] æstate media, [5] frigidæ multæ affusio, [6] caloris revocationem facit. [7] Calor autem hæc solvit.

XXII. Calida suppuratoria est, [2] non in omni ulcere, [3] maximum signum ad securitatem, [4] cutem mollit, [5] attenuat, [6] dolores eximit, [7] rigores, [8] convulsiones, [9] distentiones mitigat, [10] capitis gravitatem solvit. [11] Plurimum autem confert ad ossium fracturas, [12] maxime denudatas. [13] Ex his autem maxime his qui in capite ulcera habent, [14] & his quæ à frigiditate moriuntur, [15] aut ulcerantur, [16] & herpetibus exedentibus, [17] sedi, [18] pudendo, [19] utero, [20] vesicæ. [21] His calida grata est & judicans, [22] Frigida vero inimica & occidens.

XXIII. In his frigida uti oportet, [2] unde sanguis erumpit, aut erupturus est: [3] non super ipsas partes, [4] sed circa ipsas unde fluit. [5] Et quæcunque inflammationes, [6] aut flammei ardores, ad ruborem & subcruentum colorem ex novo sanguine tendunt, ad eas ipsas: [7] nam veteres nigrefacit: [8] & ad sacrum ignem non exulceratum, [9] nam exulceratum lædit.

XXIV. Frigida, [2] velut nix, [3] glacies, [4] pectori inimica sunt,

[5] tusses

⁵ βηχέων κινητικὸν, ⁶ αἱμοῤῥοϊκὸν, ⁷ καταῤῥοϊκόν.

XXV. Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα ἄτερ ἕλκεος, ² καὶ ποδαγρικὰ, ³ καὶ σπάσματα, ⁴ τουτέων τὰ πλεῖστα ψυχρὸν πολλὸν καταχεόμενον ⁵ ῥηΐζει τε ⁶ ἰσχναίνει, ⁷ καὶ ὀδύνην λύει. ⁸ νάρκη γὰρ μετρίη, ὀδύνης λυτική.

XXVI. ¹ Ὕδωρ τὸ ταχέως θερμαινόμενον, ² καὶ ταχέως ψυχόμενον, ³ κουφότατον.

XXVII. ¹ Ὁκόσοισι δὲ πιεῖν ὀρέξιες νύκτωρ τοῖσι πάνυ διψῶσιν, ² ἢν ἐπικοιμηθῶσιν, ³ ἀγαθόν.

XXIIX. Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη. ² πολλαχῇ δὲ καὶ ἐς ἄλλα χρησίμη ἂν ἦν, ³ εἰ μὴ καρηβαρίας ἐνεποίει.

XXIX. Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν· ² ἧσσον δὲ ταύτας. ³ τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβεῖσθαι χρή.

XXX. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθῆναι, ² θανατῶδες.

XXXI. Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει. ² καὶ μᾶλλον, εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

XXXII. Γυναικὶ αἷμα ἐμεούσῃ, ² τῶν καταμηνίων ῥαγέντων, ³ λύσις γίνεται.

XXXIII. Γυναικὶ τῶν καταμηνίων ἐκλειπόντων, ² αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι, ³ ἀγαθόν.

XXXIV. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἡ κοιλίη πολλὰ ῥυῇ, ² κίνδυνος ἐκτρῶσαι.

XXXV. Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ, ² ἢ δυστοκούσῃ, ³ πταρμὸς ἐπιγενόμενος, ⁴ ἀγαθόν.

XXXVI. Γυναικὶ τὰ καταμήνια ἄχροα,

⁵ tusses moverit, ⁶ & sanguinis eruptiones, ⁷ ac defluxiones inducunt.

XXV. Tumores in articulis, & dolores absque ulcere, ² & podagricas affectiones, ³ & convulsiones. ⁴ Horum plurima frigida multa affusa ⁵ levat, ⁶ & attenuat, ⁷ & dolorem solvit. ⁸ Torpor enim moderatus dolorem solvit.

XXVI. Aqua, quæ cito calescit, ² & cito perfrigeratur, ³ levissima est.

XXVII. Quibus bibendi appetentiæ noctu valde sitientibus, ² si obdormierint, ³ bonum est.

XXIIX. ¹ Menses ducit aromatum suffitus. ² Multis autem modis etiam ad alia commodus esset, ³ si non capitis gravitatem induceret.

XXIX. Prægnantes medicamentis purgare oportet, si turget humor, quarto mense, & usque ad septimum. ² Minus vero has. ³ Iuniores vero & seniores fœtus vereri oportet.

XXX. Mulierem uterum gerentem ab aliquo acuto morbo ¹ corripi, ² lethale est.

XXXI. Mulier uterum gerens secta vena abortit, ² & magis si major fuerit fœtus.

XXXII. Mulieri sanguinem vomenti, ² mensibus erumpentibus ³ solutio fit.

XXXIII. Mulieri mensibus deficientibus, ² sanguinem ex naribus fluere, ³ bonum est.

XXXIV. Mulieri uterum gestanti si alvus multum fluxerit, ² periculum est ut abortiat.

XXXV. ¹ Mulieri quæ ab uteri strangulationibus vexatur, ² aut difficulter parit, ³ sternutatio accedens, ⁴ bonum.

XXXVI. Mulieri menses decolores,

ἄχροα, ² καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γιγνόμενα, ³ καθάρσιος δεῖσθαι σημαίνει.

XXXVII. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ² ἢν οἱ μαζοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ³ ἐκτιτρώσκει.

XIIL. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ὁ ἕτερος μαζὸς ἰσχνὸς γένηται ² δίδυμα ἐχούσῃ, ³ θάτερον ἐκτιτρώσκει. ⁴ καὶ, ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν· ⁵ ἢν δὲ ὁ ἀριστερὸς, τὸ θῆλυ.

XIL. Ἢν γυνὴ μὴ κυΐσκῃ, ² μηδὲ τετοκυῖα, ³ γάλα ἔχῃ, ⁴ ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε.

XL. Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα ξυστρέφεται, ² μανίην σημαίνει.

XLI. Γυναῖκα ἢν θέλῃς εἰδέναι ² εἰ κύει, ³ ἐπὴν καθεύδειν μέλλῃ, ⁴ ἀδείπνῳ ἐούσῃ, ⁵ μελίκρητον διδόναι πιεῖν. ⁶ κἢν μὲν στρόφος αὐτὴν ἔχῃ περὶ τὴν γαστέρα, ⁷ κύει· ⁸ ἢν δὲ μὴ, οὐ κύει.

XLII. Γυνὴ ἔγκυος, εἰ μὲν ἄρρεν κύει, ² εὔχρους ἐστίν· ³ ἢν δὲ θῆλυ, δύσχροος.

XLIII. Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, ² θανατῶδες.

XLIV. Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ² ἐκτιτρώσκουσι, πρὶν ἢ παχυνθῆναι.

XLV. Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ² ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ³ ἄτερ προφάσιος φανερῆς, ⁴ ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσιν, ⁵ καὶ οὐ δύνανται κρατέειν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ⁶ ἀλλ' ἀπορρήγνυνται.

XLVI. Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν γαστρὶ, ² ταύτῃσι τὸ ἐπίπλοον τὸ

lores, ² & non eodem tempore semper prodeuntes, ³ purgatione opus esse significant.

XXXVII. Mulieri uterum gestanti, ² si mammæ repente graciles fiant, ³ abortit.

XIIL. Mulieri uterum gestanti, si altera mamma gracilis fiat, ² gemellos gestans ³ alterum abortit. ⁴ Et si quidem dextera gracilis fiat, masculum: ⁵ si vero sinistra, fœmellam.

XIL. Si mulier quæ neque prægnans est, ² neque peperit, ³ lac habet; ⁴ menses ipsius defecerunt.

XL. Mulieribus quibuscunque ad mammas sanguis colligitur, ² insaniam significat.

XLI. Mulierem si velis cognoscere, ² an prægnans sit, ³ ubi dormire volet, [⁴ incœnatæ] ⁵ aquam mulsam bibendam dato. ⁶ Et siquidem tormen habuerit circa ventrem, ⁷ prægnans est: ⁸ si vero non, prægnans non est.

XLII. Mulier prægnans siquidem masculum gestat, ² bene colorata est: ³ si vero fœmellam, male colorata.

XLIII. Si mulieri prægnanti ignis sacer in utero fiat, ² lethale est.

XLIV. Quæcunque præter naturam tenues existentes, uterum gestant, ² abortiunt priusquam crassescant.

XLV. Quæcunque vero moderate corpus habentes, ² abortiunt bimestres & trimestres, ³ sine causa manifesta, ⁴ his uteri acetabula muco plena sunt, ⁵ & non possunt fœtum continere præ gravitate, ⁶ sed abrumpitur.

XLVI. Quæcunque præter naturam crassæ existentes, non concipiunt in utero, ² his omentum

τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει, ³ καὶ, πρὶν ἢ λεπτυνθῆναι, οὐ κύουσιν.

XLVII. ¹Ἢν ὑστέρη ἐν τοῖσιν ἰσχίοισιν ἐγκειμένη ² διαπυήσῃ, ³ ἀνάγκη ἐμμοτὸν γενέσθαι.

XLIIX. ¹Ἔμβρυα, τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, ² τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

XLIX. ¹Ἐς ὑστερέων ἐκπτώσιας ² πταρμικὸν προσθεὶς, ³ ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

L. ¹Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, ² σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

LI. ¹Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, ² τουτέων τὸ στόμα τῶν ὑστερέων ξυμμέμυκεν.

LII. ¹Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πολὺ ἐκ τῶν μαζῶν ῥυῇ, ² ἀσθενὲς τὸ ἔμβρυον σημαίνει. ³ ἢν δὲ στερεοὶ οἱ μαζοὶ ἔωσιν, ⁴ ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

LIII. ¹Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ² τουτέῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίγνονται. ³ ἢν δὲ πάλιν σκληροὶ γένωνται, ⁴ ὀδύνη ἔσται, ἢ ἐν τοῖσι τιτθοῖσιν, ⁵ ἢ ἐν τοῖσιν ἰσχίοισιν, ⁶ ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ⁷ ἢ ἐν τοῖσι γούνασι, ⁸ καὶ οὐ διαφθείρουσιν.

LIV. ¹Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ² τουτέῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμεμυκέναι.

LV. ¹Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, ² καὶ ἰσχυρῶς ἰσχναίνονται, ³ ἄνευ προφάσιος φανερῆς, ⁴ τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως, ⁵ ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

LVI. ¹Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς ² καὶ λειποθυμίη ἢν ἐπιγένηται, ³ κακόν.

LVII. Κα-

tum osculum uteri comprimit, ³ & priusquam attenuentur, non concipiunt.

XLVII. Si uterus in coxam incumbens, ² suppuratus fuerit, ³ necesse est curationem ex medicamentis, per linamenta ipsi adhibere.

XLIIX. Fœtus masculi quidem dextris, ² fœminæ vero in sinistris magis.

XLIX. Vt secundæ excidant, ² sternutatorio indito, ³ nares & os apprehendito.

L. Mulieri menses si cohibere voles, ² cucurbitam quam maximam ad mammas appone.

LI. Quæcunque uterum gestant, ² his osculum uterorum clausum est.

LII. Mulieri uterum gestanti si multum lac ex mammis fluat, ² debilem fœtum significat. ³ Si vero solidæ fuerint mammæ, ⁴ saniorem fœtum significant.

LIII. Quæ corrupturæ sunt fœtus, ² his mammæ graciles fiunt. ³ Si vero rursus duræ fiant, ⁴ dolor erit aut in mammis, ⁵ aut in coxis, ⁶ aut in oculis, ⁷ aut in genibus, ⁸ & non corrumpunt.

LIV. Quibus os uterorum durum est, ² his necesse est osculum uterorum clausum esse.

LV. Quæcunque in utero habentes, à febribus corripiuntur, ² & fortiter attenuantur ³ sine manifesta occasione, ⁴ difficulter pariunt & periculose: ⁵ aut abortum facientes periclitantur.

LVI. In fluxu muliebri, convulsio ² & animi deliquium si accedat, ³ malum est.

LVII. Men-

LVII. Καταμηνίων γινομένων πλεόνων, [2] νοῦσοι ξυμβαίνουσι· [3] καὶ μὴ γινομένων, [4] ἀπὸ τῆς ὑστέρης γίνονται νοῦσοι.

LIIX. [1] Ἐπὶ ἀρχῷ φλεγμαίνοντι, [2] καὶ ἐπὶ ὑστέρῃ φλεγμαινούσῃ, [3] καὶ ἐπὶ νεφροῖσιν ἐμπυέουσιν, [4] στραγγουρίη ἐπιγίνεται. [5] ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι, λὺγξ ἐπιγίνεται.

LIX. Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, [2] βούλῃ δὲ εἰδέναι εἰ λήψεται, [3] περικαλύψας ἱματίοισι, θυμία κάτω. [4] καὶ ἢν μὲν προϊέναι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, [5] γίνωσκε, ὅτι αὐτὴ οὐ δι᾽ ἑωυτὴν ἄγονός ἐστιν.

LX. [1] Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πορεύωνται, [2] ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

LXI. [1] Ἢν γυναικὶ καθάρσιες μὴ πορεύωνται, [2] μήτε φρίκης, [3] μήτε πυρετοῦ ἐπιγινομένου, [4] ἄσαι δὲ αὐτῇ προσπίπτωσι, [5] λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

LXII. [1] Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν, [2] οὐ κυΐσκουσι. [3] καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, [4] οὐ κυΐσκουσι· [5] ἀποσβέννυται γὰρ αὐτῇσιν ὁ γόνος. [6] καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαέας. [7] ἐνδείῃ γὰρ τῆς τροφῆς, φθείρεται τὸ σπέρμα. [8] ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι σύμμετρον, [9] αἱ τοιαῦται ἐπίτεκνοι γίνονται.

LXIII. Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀρρένων. [2] ἢ γὰρ διὰ ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται, [3] ὥστε τὸ μὴ παραπέμπειν τὸ σπέρμα. [4] ἢ διὰ τὴν πυκνότητα [5] τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω. [6] ἢ διὰ τὴν ψυχρότητα [7] οὐκ ἐκπυρεῦται, [8] ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον

LVII. Mensibus pluribus prodeuntibus [2] morbi fiunt, [3] & non prodeuntibus, [4] ab utero morbi contingunt.

LIIX. Ex intestino recto, [2] & utero inflammato, [3] & ex renibus suppuratis [4] urinæ stillicidium accedit. [5] Verum ex hepate inflammato, singultus accedit.

LIX. Si mulier in ventre non concipit, [2] velis autem scire an conceptura sit, [3] vestimentis circumtectam ex infernis suffito. [4] Et si quidem odor per corpus tibi procedere videatur ad nares & ad os, [5] scito quod ipsa non propter seipsam infœcunda est.

LX. Si mulieri uterum gestanti purgationes prodeunt, [2] impossibile est fœtum sanum esse.

LXI. Si mulieri purgationes non prodeunt, [2] neque horrore, [3] neque febre accedente: [4] verum cibi fastidia ipsi accidunt, [5] hanc in ventre habere existimato.

LXII. Quæcunque frigidos ac densos uteros habent, [2] non concipiunt: [3] & quæcunque humidos habent uteros, [4] non concipiunt. [5] Extinguitur enim in ipsis genitura. [6] Et quæcunque siccos magis & adustos. [7] Præ inopia enim alimenti corrumpitur semen. [8] Quæcunque vero ex utrisque temperamentum habent moderatum, [9] tales fœcundæ fiunt.

LXIII. Similiter autem in masculis. [2] Aut enim propter corporis raritatem, spiritus extra fertur, [3] ut semen non deducat: [4] aut propter densitatem, [5] humor non procedit foras: [6] aut propter frigiditatem [7] non concalescit, [8] ut ad hunc locum

τὸν τόπον τοῦτον. ⁹ἢ διὰ τὴν θερμασίην, τὸ αὐτὸ τοῦτο γίνεται.

LXIV. Γάλα διδόναι κεφαλαλγέουσι, ² κακόν. ³ κακὸν δὲ καὶ πυρεταίνουσι, ⁴ καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, ⁵ καὶ τοῖσι διψώδεσι. ⁶ κακὸν δὲ ¹¹ καὶ οἷσι χολώδεες αἱ ὑποχωρήσιες ⁷ ἐν ὀξέσι πυρετοῖσιν ἐοῦσι· ⁸ καὶ οἷσιν αἵματος πολλοῦ διαχώρησις γέγονεν. ⁹ ἁρμόζει δὲ τοῖσι φθινώδεσι ¹⁰ μὴ λίην πολλῷ πυρέσσουσι. ¹¹ διδόναι δὲ καὶ ἐν πυρετοῖσι μακροῖσι ¹² καὶ βληχροῖσι, ¹³ μηδενὸς τῶν προειρημένων σημείων παρεόντος· ¹⁴ παρὰ λόγον δὲ ἐκτετηκόσι.

LXV. Ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνονται, ² οὐ μάλα σπῶνται, ³ οὐδὲ μαίνονται. ⁴ τούτων δὲ ἀφανισθέντων ἐξαίφνης, ⁵ τοῖσι μὲν ὄπισθεν, ⁶ σπασμοὶ ⁷ καὶ τέτανοι· ⁸ τοῖσι δὲ ἔμπροσθεν, ⁹ μανίαι· ¹⁰ ἢ ὀδύναι πλευροῦ ὀξεῖαι, ¹¹ ἢ ἐμπύησις, ¹² ἢ δυσεντερίη, ¹⁴ ἢν ἐρυθρὰ μᾶλλον ᾖ τὰ οἰδήματα.

LXVI. Ἢν, τρωμάτων ἰσχυρῶν ἐόντων καὶ πονηρῶν, οἴδημα μὴ φαίνηται, μέγα κακόν.

LXVII. Τὰ χαῦνα, χρηστά· ² τὰ δὲ ἔνωμα, κακά.

LXIIX. Τῷ τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ, ² ἡ ἐν μετώπῳ ὀρθίη φλὲψ τμηθεῖσα ὠφελέει.

LXIX. Ῥίγεα ἄρχεται, ² γυναιξὶ μὲν, ἐξ ὀσφύος μᾶλλον, ³ καὶ διὰ νώτου ἐς κεφαλήν· ⁴ ἀνδράσι δὲ, μᾶλλον ὄπισθεν, ἢ ἔμπροσθεν τοῦ σώματος, ⁵ οἷον ἀπό τε πηχέων καὶ μηρῶν. ⁶ ἀτὰρ καὶ τὸ δέρμα ἀραιὸν ἔχουσι, ⁷ δηλοῖ δὲ τοῦτο ἡ θρίξ.

LXX. Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι, ² ὑπὸ σπασμοῦ οὐ πάνυ

locum congregetur: ⁹ aut propter caliditatem, hoc idem contingit.

LXIV. Lac dare caput dolentibus, ² malum. ³ Malum etiam febricitantibus, ⁴ & quibus præcordia elevata permurmurantia, ⁵ & siticulosis. ⁶ Malum & quibus biliosæ alvi egestiones ⁷ in febribus acutis sunt, ⁸ & quibus sanguinis multi egestio facta est. ⁹ Convenit autem exhibere tabescentibus, ¹⁰ non valde multum febrientibus, ¹¹ & in febribus longis, ¹² debilibus, ¹³ nullo ex prædictis signis præsente; ¹⁴ sed præter rationem consumptis.

LXV. Quibus tumores in ulceribus apparent, ² non valde convelluntur, ³ neque insaniunt. ⁴ His autem derepente dissipatis, ⁵ retrorsum quidem ⁶ convulsiones ⁷ & distentiones fiunt: ⁸ antorsum vero, ⁹ insaniæ, ¹⁰ lateris dolores acuti, ¹¹ aut suppuratio, ¹² aut dysenteria, ¹³ si rubicundi magis fuerint tumores.

LXVI. Si in vulneribus fortibus ac pravis tumor non appareat, ² magnum malum.

LXVII. Tumores laxi, boni; ² crudi, mali.

LXIIX. Dolenti posteriorem capitis partem, ² vena recta in fronte secta prodest.

LXIX. Rigores incipiunt, ² mulieribus quidem ex lumbis magis, ³ & per dorsum ad caput. ⁴ Verum & viris magis posteriore corporis parte quam anteriore, ⁵ velut ex cubitis ac femoribus. ⁶ Sed & cutis rara est. ⁷ Indicat autem pilus.

LXX. Qui à quartanis corripiuntur, ² non ita valde à con-

πάνυ τι ἁλίσκονται. ἢν δ' ἁλίσκωνται πρότερον, εἶτα ἐπιληφθῶσι τεταρταίῳ, παύονται.

LXXI. Ὁκόσοισι δέρματα περιτέταται καρφαλέα καὶ σκληρὰ, ἄνευ ἱδρώτων τελευτῶσιν. ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, ξὺν ἱδρῶτι τελευτῶσιν.

LXXII. Οἱ ἰκτερώδεες οὐ πάνυ τι πνευματώδεες εἰσιν.

ΤΜΗΜΑ ΕΚΤΟΝ.

Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη, μὴ γινομένη πρότερον, σημεῖον ἀγαθόν.

II. Οἷσι ῥῖνες ὑγρότεραι φύσει, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον· οἷσι δὲ τἀναντία, ὑγιεινότερον.

III. Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν αἱ ἀποσιτίαι, κακόν· καὶ σὺν πυρετῷ, κάκιον.

IV. Τὰ περιμάδαρα ἕλκεα, κακοήθεα.

V. Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισι μέρεσιν, ἢν μέγα διαφέρωσι, καταμαθητέον.

VI. Τὰ νεφριτικὰ καὶ ὁκόσα κατὰ τὴν κύστιν ἀλγήματα, ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσι.

VII. Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα, κουφότερα· τὰ δὲ μὴ μετέωρα, ἰσχυρότερα.

IIX. Τοῖσιν ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι οὐ ῥηϊδίως ὑγιάζεται.

IX. Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα.

X. Κεφαλὴν πονέοντι, καὶ περιωδυ-

vitionibus corripiuntur. Si vero prius corripiantur, & quartana insuper accedat, cessant.

LXXI. Quibus cutis circumtenditur arida ac dura, hi sine sudore moriuntur. Quibus vero laxa ac rara, cum sudore moriuntur.

LXXII. Morbo regio laborantes, non ita valde flatuosi sunt.

SECTIO SEXTA.

In diuturnis intestinorum lævitatibus, ructus acidus accedens, qui prius non erat, signum bonum.

II. Quibus nares natura humidiores, & genitura humidior, morbosius sani sunt: quibus vero vice versa, salubrius.

III. In longis intestinorum lævitatibus, cibi fastidium, malum: & cum febre, peius.

IV. Vlcera circumglabra, maligna sunt.

V. Dolores in lateribus, & in pectoribus, & in aliis partibus, an multum differant, considerandum est.

VI. Renum affectiones, & quæ circa vesicam consistunt, operose sanantur in senibus.

VII. Dolores circa ventrem orientes, sublimes quidem leves sunt, non sublimes autem, fortiores.

IIX. Hydropicis facta ulcera in corpore, non facile sanantur.

IX. Latæ pustulæ non valde pruriginosæ sunt.

X. Caput dolenti & circum-dolenti,

παρακεφαλὴν, [2] πύον, [3] ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν [5] κατὰ τὰς ῥῖνας, [6] ἢ κατὰ τὸ στόμα, [7] ἢ κατὰ τὰ ὦτα, [8] λύει τὸ νόσημα.

XI. [1] Τοῖσι μελαγχολικοῖσι, [2] καὶ τοῖσι νεφριτικοῖσιν [3] αἱμοῤῥοΐδες ἐπιγενόμεναι, [4] ἀγαθόν.

XII. [1] Αἱμοῤῥοΐδας ἰηθέντι χρονίας, [2] ἢν μὴ μία φυλαχθῇ, [3] κίνδυνος ὕδρωπα ἐπιγενέσθαι, [4] ἢ φθίσιν.

XIII. Ὑπὸ λυγμοῦ ἐχομένῳ [2] πταρμοὶ ἐπιγενόμενοι, [3] λύουσι τὸν λυγμόν.

XIV. [1] Ὑπὸ ὕδρωπος ἐχομένῳ, [2] κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, [3] λύσις.

XV. [1] Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, [2] ἀπὸ ταυτομάτου ἔμετος ἐπιγενόμενος, [3] λύει τὴν διάῤῥοιαν.

XVI. [1] Ὑπὸ πλευρίτιδος, [2] ἢ ὑπὸ περιπνευμονίης ἐχομένῳ [3] διάῤῥοια ἐπιγενομένη, [4] κακόν.

XVII. [1] Ὀφθαλμιῶντι ὑπὸ διαῤῥοίης ληφθῆναι, [2] ἀγαθόν.

XIIX. [1] Κύστιν διακοπέντι, [2] ἢ ἐγκέφαλον, [3] ἢ καρδίην, [4] ἢ φρένας, [5] ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, [6] ἢ κοιλίην, [7] ἢ ἧπαρ, [8] θανατῶδες.

XIX. [1] Ἐπὴν διακοπῇ ὀστέον, [2] ἢ χόνδρος, [3] ἢ νεῦρον, [4] ἢ γνάθου τὸ λεπτὸν, [5] ἢ ἀκροποσθίη, [6] οὔτε αὔξεται, [7] οὔτε ξυμφύεται.

XX. [1] Ἢν ἐς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, [2] ἀνάγκη ἐκπυηθῆναι.

XXI. Τοῖσι μαινομένοισι, [2] κιρσῶν [3] ἢ αἱμοῤῥοΐδων ἐπιγενομένων, [4] μανίης λύσις.

XXII. Ὁκόσα ῥήγματα ἐκ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, [2] φλεβοτομίη λύει.

III. [1] Ἢν

dolenti, [2] pus, [3] aut aqua, [4] aut sanguis fluens [5] per nares, [6] aut os, [7] aut aures, [8] solvit morbum.

XI. Atrabilariis, [2] & phreniticis, [3] hæmorrhoides accedentes, [4] bonum.

XII. Hæmorrhoidas sananti diuturnas, [2] si non una servata fuerit, [3] periculum est hydropem [4] aut tabem accedere.

XIII. A singultu detento, [2] sternutationes accedentes [3] solvunt singultum.

XIV. Ab hydrope detento, [2] ubi aqua in venis ad ventrem confluxit, [3] solutio fit.

XV. A profluvio alvi longo correpto, [2] vomitus sponte accedens, [3] solvit alvi profluvium.

XVI. A pleuritide [2] aut peripneumonia occupato, [3] alvi profluvium accedens, [4] malum.

XVII. Lippientem alvi profluvio corripi, [2] bonum.

XIIX. Vesicam dissectam habenti, [2] aut cerebrum, [3] aut cor, [4] aut septum transversum, [5] aut tenue aliquod intestinum, [6] aut ventriculum, [7] aut hepar, [8] lethale est.

XIX. Ubi dissectum fuerit os, [2] aut cartilago, [3] aut nervus, [4] aut genæ pars tenuis, [5] aut præputium, [6] neque augescit, [7] neque coalescit.

XX. Si in ventrem sanguis effusus fuerit præter naturam, [2] necesse est suppurari.

XXI. In insanientibus, [2] varicibus [3] aut hæmorrhoidibus accedentibus, [4] insaniæ solutio fit.

XXII. Quicunque dolores ex dorso ad cubitos descendunt, [2] venæ sectio solvit.

XXIII. [1] Ἢν φόβος [2] ἢ δυσθυμίη [3] πολὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον. 19

XXIV. [1] Ἐντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, [2] οὐ ξυμφύεται. 20

XXV. [1] Ἐρυσίπελας ἔξωθεν μὲν εἴσω τρέπεσθαι, οὐκ ἀγαθόν· [2] ἔσωθεν δὲ ἔξω, ἀγαθόν. 21

XXVI. [1] Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γένωνται, [2] παρακοπὴ λύει. 22

XXVII. [1] Ὁκόσοι ἔμπυοι [2] ἢ ὑδρωπικοὶ [3] καίονται [4] ἢ τέμνονται, [5] ἐκρυέντος τοῦ πύου ἢ τοῦ ὕδατος ἀθρόου, [6] πάντως ἀπόλλυνται. 23

XXIIX. [1] Εὐνοῦχοι οὐ ποδαγριῶσιν, [2] οὐδὲ φαλακροὶ γίγνονται. 24

XXIX. [1] Γυνὴ οὐ ποδαγριᾷ, [2] ἢν μὴ τὰ καταμήνια αὐτῇ ἐκλίπῃ. 25

XXX. Παῖς οὐ ποδαγριᾷ [2] πρὸ τοῦ ἀφροδισιασμοῦ.

XXXI. Ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, [2] ἢ λουτρὸν, [3] ἢ πυρίη, [4] ἢ φλεβοτομίη, [5] ἢ φαρμακοποσίη λύει.

XXXII. [1] Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς. 26

XXXIII. Οἱ ὀξυρεγμιώδεες [2] οὐ πάνυ τι πλευριτικοὶ γίγνονται.

XXXIV. [1] Ὁκόσοι φαλακροὶ, [2] τουτέοισι κιρσοὶ μεγάλοι οὐ γίγνονται. [3] ὁκόσοισι δ' ἂν φαλακροῖσιν ἐοῦσι κιρσοὶ ἐπιγένωνται, [4] πάλιν οὗτοι γίγνονται δασέες. 27 35

XXXV. [1] Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη, κακόν. 28

XXXVI. [1] Δυσουρίην φλεβοτομίη λύει· [2] τάμνειν δὲ τὰς εἴσω. 29

XXXVII. [1] Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐν τῷ τραχήλῳ, [2] ἀγαθόν· [3] ἔξω γὰρ τρέπεται τὸ νόσημα. 30

IIXL. [1] Ὁκό-

XXIII. Si timor [2] & tristitia [3] multo tempore perseveret, [4] atrabilarium hoc signum est.

XXIV. Si ex intestinis tenuibus [1] aliquod dissectum fuerit, [2] non coalescit. 30

XXV. Ignem sacrum ab externis intro converti, non bonum : [2] ab internis vero extra, bonum.

XXVI. Quibus in febribus ardentibus tremores facti fuerint, mentis emotio solvit.

XXVII. Quicunque suppurati [2] aut hydropici, [3] secantur [4] aut uruntur, [5] hi pure aut aqua acervata effluente, [6] omnino moriuntur.

XXIIX. Eunuchi non [1] laborant podagra, [2] neque calvi fiunt. 35

XXIX. Mulier non laborat podagra, [2] si non menses ipsi defecerint.

XXX. Puer non laborat podagra, [2] ante veneris usum.

XXXI. Oculorum dolores meri potus, [2] aut balneum, [3] aut fomentum, [4] aut venæ sectio, [5] aut medicamenti potio solvit.

XXXII. Balbi ab alvi profluvio longo maxime corripiuntur.

XXXIII. Acidum ructum [1] habentes, [2] non ita valde pleuritici fiunt. 40

XXXIV. Quicunque calvi sunt, [2] his varices magni non fiunt. [3] Quibuscunque vero calvis varices accedunt, [4] hi rursus hirsuti fiunt.

XXXV. Hydropicis tussis accedens, [2] malum.

XXXVI. Vrinæ difficultatem solvit venæ sectio. [2] Secare vero oportet internas.

XXXVII. Ab angina detento tumorem fieri foris in collo, [2] bonum est. [[3] foras enim morbus vertitur.] 45

IIXL. Qui-

IIXL. Ὁκόσοισι κρυπτοὶ καρκίνοι γίγνονται, ² μὴ θεραπεύειν βέλτιον. ³ θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως. ⁴ μὴ θεραπευόμενοι δὲ πολὺν χρόνον διατελέουσι.

IXL. Σπασμὸς γίγνεται, ² ἢ ὑπὸ πληρώσιος, ³ ἢ κενώσιος. ⁴ οὕτω δὲ καὶ λυγμός.

XL. Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίγνονται ἄτερ φλεγμονῆς, ² τουτέοισιν πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον.

XLI. Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι ² μὴ διασημαίνει, ³ τουτέοισι διὰ παχύτητα τοῦ πύου, ἢ τοῦ τόπου, οὐκ ἀποσημαίνει.

XLII. Ἐν τοῖσιν ἰκτεριώδεσι τὸ ἧπαρ σκληρὸν γενέσθαι, ² πονηρόν.

XLIII. Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, ² τουτέοισιν, ἐπιγενομένης μακρῆς τῆς δυσεντερίης, ³ ὕδρωψ ἐπιγίνεται, ⁴ ἢ λειεντερίη, ⁵ καὶ ἀπόλλυνται.

XLIV. Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεὸς ἐπιγίνεται, ² ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ³ ἢν μὴ πυρετοῦ ἐπιγενομένου ἅλις τὸ οὖρον ῥυῇ.

XLV. Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχουσιν, ² ἀνάγκη ὀστέον ἀφίστασθαι, ³ καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι.

XLVI. Ὁκόσοι ὗβοι ² ἐξ ἄσθματος ἢ βηχὸς γίγνονται ³ πρὸ τῆς ἥβης, ⁴ ἀπόλλυνται.

XLVII. Ὁκόσοισι φλεβοτομίη ² ἢ φαρμακείη ξυμφέρει, ³ τουτέοισι προσήκει τοῦ ἦρος φλεβοτομεῖν ⁴ ἢ φαρμακεύειν.

XLIIX. Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ² ἀγαθόν.

XLIX. Ὁκόσοι ποδαγρικὰ νοσήματα γίγνονται, ² ταῦτα ἀπο-

φλεγμή-

IIXL. Quibuscunque occulti cancri fiunt, ² eos non curare melius est. ³ Si enim curantur, citius moriuntur. ⁴ Si vero non curentur, multum tempus perdurant.

IXL. Convulsio fit ² aut à repletione, ³ aut ab evacuatione. ⁴ Sic autem & singultus.

XL. Quibuscunque circa præcordium dolores fiunt, absque inflammatione, ² his febris accedens dolorem solvit.

XLI. Quibuscunque suppurarum quid in corpore existens, ² significationem de se non præbet, ³ his propter puris aut loci crassitudinem sui significationem non exhibet.

XLII. Morbo regio laborantibus hepar durum fieri, ² malum est.

XLIII. Quicunque splenici à dysenteria corripiuntur, ² his longa accedente dysenteria, ³ aut hydrops accedit, ⁴ aut intestinorum lævitas, ⁵ & pereunt.

XLIV. Quibuscunque ex urinæ stillicidio volvulus accedit, ² hi in septem diebus pereunt, ³ si non febre accedente urina satis fluxerit.

XLV. Vlcera quæcunque annua fiunt, aut diutiore tempore durant, ² necesse est os abscedere, ³ & cicatrices cavas fieri.

XLVI. Quicunque gibbosi ² ex anhelatione aut tussi fiunt ³ ante pubertatem, ⁴ pereunt.

XLVII. Quibuscunque venæ sectio, ² aut medicamentum conducit, ³ his vere venam secare, ⁴ aut medicamentum purgans exhibere convenit.

XLIIX. Splenicis dysenteria accedens, ² bonum.

XLIX. Quicunque podagrici morbi fiunt, ² hi sedata inflamma-

φλεγμήναντα [3] ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίστανται.

L. [1] Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, [2] τουτέοισιν ἀνάγκη πυρετὸν [3] καὶ χολῆς ἔμετον ἐπιγίγνεσθαι.

LI. [1] Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίγνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ, [2] καὶ παραχρῆμα ἄφωνοι κεῖνται, [3] καὶ ῥέγχουσιν, [4] ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, [5] ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

LII. Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. [2] ἢν γάρ τι ὑποφαίνηται, [1] ξυμβαλλομένων τῶν βλεφάρων, τοῦ λευκοῦ, [3] μὴ ἐκ διαῤῥοίης ἐόντι, [4] ἢ ἐκ φαρμακοποσίης, [5] φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα.

LIII. [1] Αἱ παραφροσύναι, [2] αἱ μὲν μετὰ γέλωτος γινόμεναι, [3] ἀσφαλέστεραι· [4] αἱ δὲ μετὰ σπουδῆς, [5] ἐπισφαλέστεραι.

LIV. [1] Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ, [2] αἱ κλαυθμώδεες ἀναπνοαὶ, [3] κακαί.

LV. Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πολύ.

LVI. [1] Τοῖσι μελαγχολικοῖσι νοσήμασιν [2] ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες, [3] ἢ ἀπόπληξιν τοῦ σώματος, [4] ἢ σπασμὸν, [5] ἢ μανίην, [6] ἢ τύφλωσιν σημαίνουσι.

LVII. [1] Ἀπόπληκτοι δὲ μάλιστα γίγνονται, [2] ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα.

LIIX. [1] Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

LIX. [1] Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης [2] ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίγνονται.

LX. [1] Ὁκό-

matione, [3] in quadraginta diebus decedunt.

L. Quibus cerebrum dissectum fuerit, [2] his necesse est febrem, [3] & bilis vomitum accedere.

LI. Quibuscunque sanis derepente dolores fiunt in capite, [2] & statim voce intercepta jacent, [3] ac stertunt; [4] in septem diebus pereunt, [5] si non febris apprehendat.

LII. Considerare vero oportet etiam sub oculis apparitiones in somnis. [2] Si enim albæ partis quid subapparuerit, non commissis palpebris, [3] si id non ex alvi profluvio, [4] aut medicamenti potione fuerit, [5] malum signum, & valde lethale est.

LIII. Desipientiæ [2] cum risu quidem oborientes, [3] securiores sunt: [4] cum studio vero serio, [5] periculosiores.

LIV. In acutis affectionibus, [2] quæ cum febre fiunt luctuosæ respirationes, [3] malum.

LV. Podagricæ affectiones vere & autumno utplurimum moventur.

LVI. Atrabilariis morbis [2] periculosi humorum à loco ad locum decubitus, [3] aut siderationem corporis, [4] aut convulsionem, [5] aut insaniam, [6] aut cæcitatem significant.

LVII. Siderationes vero maxime fiunt, [2] ætate à quadragesimo anno usque ad sexagesimum.

LIIX. Si omentum exciderit, [2] necesse est putrefieri.

LIX. Quibuscunque à coxendicum morbo vexatis, [2] coxa excidit, & rursus incidit, [3] his muci accedunt.

LX. Quis

LX. Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλεομένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, [2] τουτέοισι τήκεται τὸ σκέλος, [3] καὶ χωλοῦνται, [4] ἢν μὴ καυθῶσιν.

ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ.

Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων, [2] κακόν.

II. Ἐπὶ ὀστέῳ νοσέοντι σὰρξ πελιδνή, [2] κακόν.

III. Ἐπὶ ἐμέτῳ λὺγξ [2] καὶ ὀφθαλμοὶ ἐρυθροί, [3] κακόν.

IV. Ἐπὶ ἱδρῶτι φρίκη, [2] οὐ χρηστόν.

V. Ἐπὶ μανίῃ δυσεντερίη, [2] ἢ ὕδρωψ, [3] ἢ ἔκστασις, [4] ἀγαθόν.

VI. Ἐπὶ νούσῳ πολυχρονίῃ, ἀποσιτίη [2] καὶ χολώδεες ὑποχωρήσιες, [3] κακόν.

VII. Ἐκ πολυποσίης ῥῖγος [2] καὶ παραφροσύνη, [3] κακόν.

IIX. Ἐπὶ φύματος ἔσω ῥήξιος ἔκλυσις, [2] καὶ ἔμετος, [3] καὶ λειποψυχίη γίγνεται.

IX. Ἐπὶ αἵματος ῥύσει παραφροσύνη [2] ἢ καὶ σπασμός, [3] κακόν.

X. Ἐπὶ εἰλεῷ ἔμετος, [2] ἢ λὺγξ, [3] ἢ σπασμός, [4] ἢ παραφροσύνη, [5] κακόν.

XI. Ἐπὶ πλευρίτιδι περιπνευμονίη, [2] κακόν.

XII. Ἐπὶ περιπνευμονίῃ φρενῖτις, [2] κακόν.

XIII. Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμός, [2] ἢ τέτανος, [3] κακόν.

XIV. Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις, [2] ἢ παραφροσύνη, [3] κακόν.

XV. Ἐπὶ αἵματος πτύσει πύου πτύσις, [2] κακόν.

XVI. Ἐπὶ πύου πτύσει φθίσις [2] καὶ ῥύσις, [3] κακόν. [4] ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσιν.

XVII. Ἐπὶ

LX. Quibuscunque a coxendicum morbo diuturno vexatis, coxa excidit, [2] his crus tabescit, [3] & claudicant, [4] si non usti fuerint.

SECTIO SEPTIMA.

In acutis morbis frigiditas extremarum partium, [2] malum.

II. Ex osse ægrotante, caro livida, [2] malum.

III. Ex vomitu singultus, [2] & oculi rubicundi, [3] malum.

IV. Ex sudore horror, [2] non bonum.

V. Ex insania, dysenteria, [2] aut hydrops, [3] aut mentis emotio, [4] bonum.

VI. In morbo diuturno cibi fastidium, [2] & meracæ alvi egestiones, [3] malum.

VII. Ex multo potu rigor, [2] & delirium, [3] malum.

IIX. Ex tuberculi intus ruptione, exolutio, [2] vomitus, [3] & animæ deliquium fit.

IX. Ex sanguinis fluxu delirium, [2] aut etiam convulsio, [3] malum.

X. Ex volvulo vomitus, [2] aut singultus, [3] aut convulsio, [4] aut delirium, [5] malum.

XI. Ex pleuritide peripneumonia, [2] malum.

XII. Ex peripneumonia phrenitis, [2] malum.

XIII. Ex ardoribus vehementibus convulsio, [2] aut distentio, [3] malum.

XIV. Ex plaga in caput, stupor, [2] aut delirium, [3] malum.

XV. Ex sanguinis sputo, puris sputum, [2] malum.

XVI. Ex puris sputo, tabes, [2] & fluxus, [3] malum. [4] Postquam vero sputum supprimitur, moriuntur.

XVII. Ex

XVII. Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος λύγξ, ² κακόν.

XIIX. Ἐπὶ ἀγρυπνίῃ σπασμὸς, ² ἢ παραφροσύνη, ³ κακόν.

XIX. Ἐπὶ ὀστέου ψιλώσει ἐρυσίπελας, ² κακόν.

XX. Ἐπὶ ἐρυσιπέλατι, σηπεδὼν, ² ἢ ἐκπύησις, ³ κακόν.

XXI. Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν αἱμοῤῥαγίη, ² κακόν.

XXII. Ἐπὶ ὀδύνῃ πολυχρονίῃ, τῶν περὶ τὴν κοιλίην ἐκπύησις, ² κακόν.

XXIII. Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει δυσεντερίη, ² κακόν.

XXIV. Ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη, ² ἢν κενεὸν λάβῃ.

XXV. Ἐκ φαρμακοποσίης σπασμὸς, ² θανατῶδες.

XXVI. Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην, ἀκρωτηρίων ψύξις, ² κακόν.

XXVII. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ τεινεσμὸς ἐπιγενόμενος ² ἐκτρῶσαι ποιεῖ.

XXIIX. Ὅ,τι ἂν ὀστέον, ² ἢ χόνδρος, ³ ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, ⁴ οὔτε αὔξεται, ⁵ οὔτε ξυμφύεται.

XXIX. Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρὴ, ² λύει τὴν νοῦσον.

XXX. Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, ² τουτέοισιν ἀπὸ τῆς κεφαλῆς φλέγμα καταῤῥεῖ.

XXXI. Ὁκόσοισι πυρέσσουσιν ² ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, ³ μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσιν.

XXXII. Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ² ἄνωθεν δὲ λεπταὶ, ³ ὀξεῖην ἀῤῥωστίην σημαίνει.

XXXIII. Ὁκό-

XVII. Ex hepatis inflammatione singultus, ² malum.

XIIX. Ex vigilia convulsio, ² aut delirium, ³ malum.

XIX. Ex ossis denudatione ignis sacer, [² malum.]

XX. Ex igne sacro putrefactio, ² aut suppuratio, [³ malum.]

XXI. Ex forti pulsu in ulceribus, sanguinis eruptio, ² malum.

XXII. Ex dolore diuturno partium circa ventrem suppuratio, ² malum.

XXIII. Ex meraca alvi egestione dysenteria, ² malum.

XXIV. Ex ossis dissectione delirium, ² si ad vacuum usque processerit.

XXV. Ex medicamenti potione convulsio, ² lethale.

XXVI. Ex dolore forti partium circa ventrem, frigiditas extremarum partium, ² malum.

XXVII. Mulieri uterum gerenti, tenesmus accedens ² abortire facit.

XXIIX. Quodcunque os præfectum fuerit, [² aut cartilago,] ³ aut nervus in corpore, ⁴ neque augescit, ⁵ neque coalescit.

XXIX. Si à pituita alba detento, vehemens alvi profluvium accedat, ² solvit morbum.

XXX. Quibuscunque spumosæ alvi egestiones sunt in alvi profluviis, ² his de capite pituita defluit.

XXXI. Quibuscunque febricitantibus, ² in urinis subsidentiæ crassiores farinæ partes referentes fiunt, ³ longum morbum significant.

XXXII. Quibus vero biliosæ subsidentiæ, ² superne tenues, ³ acutum morbum significant.

XXXIII. Qui-

XXXIII. Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, [2] τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματί ἐστιν.

XXXIV. Ὁκόσοισι δὲ ἐπὶ τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, [2] νεφριτικὰ σημαίνουσι, [3] καὶ μακρὴν ἀῤῥωστίην ἔσεσθαι.

XXXV. Ὁκόσοισι δὲ λιπαρὴ ἡ ἐπίστασις καὶ ἀθρόη, [2] τουτέοισι νεφριτικὰ [3] καὶ ὀξέα σημαίνει.

XXXVI. Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι, τὰ προειρημένα ξυμβαίνει σημεῖα, [2] πόνοι τε περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίνονται, [3] ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίνωνται, [4] ἀπόστημα προσδέχου ἐσόμενον ἔξω. [5] ἢν δὲ μᾶλλον οἱ πόνοι περὶ τοὺς ἔσω τόπους γίνωνται, [6] καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον ἔσω.

XXXVII. Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, [2] σωτήριον· [3] ἢν δὲ ξὺν πυρετῷ, κακόν. [4] θεραπεύειν δὲ τοῖσι ψυκτικοῖσι καὶ τοῖσι στυπτικοῖσι.

IIXL. Κατάῤῥοι ἐς τὴν ἄνω κοιλίην ἐκπυΐσκονται ἐν ἡμέρῃσιν εἴκοσιν.

IXL. Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, [2] καὶ στραγγουρίην ἔχῃ, [3] καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ περίναιον [4] καὶ τὸ ὑπογάστριον καὶ τὸν κτένα, [5] τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

XL. Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται, [2] ἢ ἀπόπληκτόν τι τοῦ σώματος, [3] μελαγχολικὸν τὸ τοιοῦτο γίνεται.

XLI. Ἢν ὑπερκαθαιρομένων τῶν πρεσβυτέρων λυγμὸς ἐπιγένηται, [2] οὐκ ἀγαθόν.

XLII. Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, [2] ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς, [3] λύσις τοῦ πυρετοῦ γίνεται.

XLIII. Γυνὴ

XXXIII. Quibuscunque disparatæ urinæ sunt, [2] his vehemens turbatio in corpore est.

XXXIV. Quibus in urinis bullæ superstant, [2] renum affectiones significant, [3] & morbum fore longum.

XXXV. Quibus pingue est id quod superstat, & acervatum, [2] his renum affectiones, [3] easque acutas significat.

XXXVI. Quibus vero jam nephriticis ex renibus affectis prædicta signa accidunt, [2] doloresque circa musculos spinales fiunt, [3] siquidem circa externos locos fiant, [4] etiam abscessus extrinsecus futuros expecta. [5] Si vero dolores magis circa internos locos fiant, [6] etiam abscessus magis intus fore expecta.

XXXVII. Quicunque sanguinem vomunt, sine febre quidem, [2] salutare est: [3] verum cum febre, malum. [4] Perfrigerantibus autem & adstringentibus curare oportet.

IIXL. Defluxiones in ventrem supernum, in viginti diebus suppurantur.

IXL. Si quis sanguinem mingat, & grumos, [2] & urinæ stillicidium habeat, [3] & dolor incidat in ani ac scroti intercapedinem, [4] & imum ventrem ac pectinem, [5] partes circa vesicam ægrotare significat.

XL. Si lingua derepente impotens fiat, [2] aut aliqua corporis pars siderata, [3] atrabiliarium tale existit.

XLI. Si senioribus nimium purgatis singultus accedat, [2] non bonum est.

XLII. Si febris non à bile habeat, [2] aqua multa calida in caput affusa, febris solutio fit.

XLIII. Γυνὴ ἀμφιδέξιος οὐ γίνεται.

XLIV. Ὁκόσοι ἔμπυοι καίονται, 2 ἢ τέμνονται, 3 ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, 4 περιγίνονται· 5 ἢν δὲ ὕφαιμον καὶ βορβορῶδες καὶ δυσῶδες, 6 ἀπόλλυνται.

XLV. Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, 2 ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, 3 περιγίνονται. 4 ἐν χιτῶνι γὰρ τὸ πῦον τουτέοισίν ἐστιν. 5 ἢν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται.

XLVI. Ὀδύνας ὀφθαλμῶν, 2 ἄκρητον ποτίσας 3 καὶ λούσας πολλῷ θερμῷ, 4 φλεβοτόμει.

XLVII. Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, 2 ἀνέλπιστός ἐστιν.

XLIIX. Στραγγουρίην καὶ δυσουρίην θώρηξις 2 καὶ φλεβοτομίη λύει. 3 τάμνειν δὲ τὰς εἴσω.

XLIX. Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ στήθει ἐπιγινόμενον, 2 ἀγαθόν. 3 ἔξω γὰρ τρέπεται τὸ νόσημα.

L. Ὁκόσοισιν ἂν σφακελισθῇ ὁ ἐγκέφαλος, 2 ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται· 3 ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίγνονται.

LI. Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς, 2 διαθερμαινομένου τοῦ ἐγκεφάλου, 3 ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. 4 ὑπερχεῖται γὰρ ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω. 5 ψοφεῖ δὲ, ὅτι διὰ στενοῦ ἡ διέξοδος αὐτῷ ἐστιν.

LII. Ὁκόσοισιν ἧπαρ περιωδυνέει, 2 τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὴν ὀδύνην.

LIII. Ὁκόσοισι ξυμφέρει αἷμα ἀφαιρεῖσθαι ἀπὸ τῶν φλεβῶν, 2 τουτέους χρὴ ἦρος φλεβοτομεῖσθαι.

LIV. Ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα ἀποκλείεται,

20 XLIII. Mulier ambidextra non est.

21 XLV. 1 Quicunque suppurati uruntur, [2 aut secantur,] 3 siquidem pus purum fluat & album, 4 evadunt. 5 Si vero subcruentum, & cœnosum, ac graveolens, 6 pereunt.

22 XLV. Quicunque hepar suppuratum uruntur, 2 siquidem pus purum fluat, & album, 3 superstites evadunt. 4 In tunica enim pus his inest. 5 Si vero velut amurca fluat, pereunt.

XLVI. In doloribus oculorum, 2 ubi merum bibendum dedisti, 3 & multa calida lavisti, 4 venam secato.

XLVII. Hydropicum si tussis vexet, 2 desperatus est.

XLIIV. Vrinæ stillicidium, & urinæ difficultatem, 1 vini potus 2 & venæ sectio solvit. 3 Secare vero oportet internas.

XLIX. Ab angina detento, tumor & rubor in pectore accedens, 2 bonum. 3 Foras enim vertitur morbus.

23 L. Quibuscunque corruptum fuerit cerebrum, 2 in tribus diebus pereunt. 3 Si vero has effugiunt, sani fiunt.

24 LI. Sternutatio fit ex capite, 2 percalescente cerebro, 3 aut vacuo quod est in capite perhumescente. 4 Aer enim qui intus est, foras erumpit. 5 Strepitum vero edit, quia transitus est ipsi per angustum.

25 LII. Quibuscunque hepar circumcirca dolet, 2 his febris accedens solvit dolorem.

26 LIII. Quibuscunque sanguinem de venis auferre conducit, 2 his vere venam secare convenit.

LIV. Quibus inter ventrem & septum transversum pituita conclusa

ἀποκλείεται, ² καὶ ὀδύνην παρέχει, ³ οὐκ ἔχον διέξοδον ἐς οὐδετέρην τῶν κοιλιῶν, ⁴ τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τραπέντος τοῦ φλέγματος, ⁵ λύσις γίνεται τῆς νούσου.

LV. ¹ Ὁκόσοισιν ἂν τὸ ἧπαρ ὕδατος πλησθὲν ἐς τὸν ἐπίπλοον ῥαγῇ, ² τουτέοισιν ἡ κοιλίη ὕδατος ἐμπιπλᾶται, ³ καὶ ἀποθνήσκουσιν.

LVI. ¹ Ἀλύκην, ² χάσμην, ³ φρίκην, ⁴ οἶνος ἴσος ἴσῳ πινόμενος, λύει.

LVII. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα γίνεται, ² τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύεται ὁ πόνος.

LIIX. ¹ Ὁκόσοισι δ' ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος, ² ἀνάγκη ἀφώνους γίνεσθαι παραχρῆμα.

¹ Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιστραφῇ, καὶ καταπίνειν μὴ δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον.

LIX. Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι, δεῖ λιμὸν ἐμποιέειν. ² λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

LX. Ὁκου ἂν ἐν ὅλῳ τῷ σώματι μεταβολαί, ² καὶ τὸ σῶμα καταψύχηται, καὶ πάλιν θερμαίνηται, ³ ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλῃ, ⁴ μῆκος νούσου σημαίνει.

LXI. ¹ Ἱδρὼς πουλύς, ² θερμὸς ἢ ψυχρός, ³ ῥέων αἰεί, ⁴ σημαίνει ἐξάγειν πλησμονὴν ὑγροῦ. ⁵ ἐπάγειν οὖν χρή, ⁶ τῷ μὲν ἰσχυρῷ, ἄνωθεν ⁷ τῷ δὲ ἀσθενεῖ, κάτωθεν.

LXII. ¹ Οἱ πυρετοὶ οἱ μὴ διαλείποντες, ² ἢν ἰσχυρότεροι διὰ τρίτης γίνωνται, ³ ἐπικίνδυνοι. ⁴ ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει, ὅτι ἀκίνδυνοι.

LXIII. Ὁκόσοισι πυρετοὶ μα-

clusa est, ² & dolorem exhibet, ³ non habens exitum ad neutrum ventrem, ⁴ his per venas ad vesicam conversa pituita, ⁵ morbi solutio fit.

LV. Quibus hepar aqua repletum, ad omentum eruperit, ² his venter aqua impletur, ³ & moriuntur.

LVI. Anxietatem, ² oscitationem, ³ horrorem, ⁴ vinum æquali mensura aquæ ammixta potum solvit.

LVII. Quibus in urinaria fistula tubercula fiunt, ² his suppuratione facta & eruptione, solvitur dolor.

LIIX. Quibus cerebrum concussum fuerit ex aliqua causa, ² eos statim voce privari necesse est.

Si febre detento collum intorqueatur, & deglutire non possit, nullo tumore existente in collo, lethale.

LIX. Corporibus humidas carnes habentibus, famem inducere oportet. ² fames enim corpora siccat.

LX. Vbi in toto corpore mutationes, ² & corpus perfrigeratur, & rursus calescit, ³ aut color alius ex alio mutatur, ⁴ longitudinem morbi significat.

LXI. Sudor multus, ² calidus aut frigidus, ³ semper fluens, ⁴ humorem ⁵ abducere oportere significat, ⁶ forti quidem superne, ⁷ debili vero, inferne.

LXII. Febres non intermittentes ² si per tertiam fortiores fiant, ³ periculosæ sunt. ⁴ Quocunque vero modo intermiserint, sine periculo esse significat.

LXIII. Quibus febres longæ sunt,

μακροὶ, [2] τουτέοισιν ἢ φύματα, [3] ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται.

LXIV. Ὁκόσοισι φύματα μακρὰ, [2] ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν γίγνονται, [3] οὗτοι σιτίοισι πλείοσι χρέονται.

LXV. Ἤν τις τῷ πυρέσσοντι τροφὴν διδῷ, [2] τῷ μὲν ὑγιαίνοντι, ἰσχύς· [3] τῷ δὲ κάμνοντι, νόσος.

LXVI. Τὰ διὰ τῆς κύστιος διαχωρέοντα ὁρᾷν δεῖ, [2] εἰ οἷα τοῖς ὑγιαίνουσιν ὑποχωρέεται. [3] τὰ ἥκιστα οὖν ὅμοια τουτέοισι, ταῦτα νοσωδέστερα. [4] τὰ δ' ὅμοια τοῖς ὑγιαίνουσιν, ἥκιστα νοσερά.

LXVII. Καὶ οἷσι τὰ ὑποχωρήματα, [2] ἢν ἐάσῃς στῆναι καὶ μὴ κινήσῃς, [3] ὑφίσταται οἷον ξύσματα· [4] καὶ ἢν ὀλίγα ᾖ, ὀλίγη ἡ νοῦσος γίγνεται· [5] ἢν δὲ πολλὰ, πολλή. [6] τουτέοισι ξυμφέρει ὑποκαθῆραι τὴν κοιλίην. [7] ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς τὰ ῥοφήματα, [8] ὁκόσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψεις.

LXIIX. Ὁκόσοισιν ἂν κάτω ὠμὰ διαχωρέῃ, [2] ἀπὸ χολῆς μελαίνης ἐστίν· [3] ἢν πλείονα, πλείονος· [4] ἢν ἐλάσσω, ἐλάσσονος.

LXIX. Αἱ ἀποχρέμψιες, αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσι, πελιδναὶ, καὶ αἱματώδεες, καὶ χολώδεες, καὶ δυσώδεες, [2] πᾶσαι κακαί. [3] ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαί, [4] καὶ κατὰ τὴν κοιλίην, καὶ κύστιν, καὶ ὅκου ἄν τι ἀποχωρέον στῇ μὴ κεκαθαρμένον, [5] κακόν.

LXX. Τὰ σώματα χρὴ, ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν. [2] καὶ ἢν μὲν ἄνω βούλῃ εὔροα ποιέειν, στῆσαι τὴν κοιλίην· [3] ἢν δὲ κάτω, ὑγρῆναι.

LXXI. Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, [2] κακόν.

LXXII. Ἐν

sunt, [2] his aut tubercula, [3] aut ad articulos dolores fiunt.

LXIV. Quibus tubercula diutiua, [2] aut ad articulos dolores ex febribus fiunt, [3] hi cibis pluribus utuntur.

LXV. Si quis febricitanti cibum det, [2] sano quidem robur, [3] ægroto vero morbus est.

LXVI. Quæ per vesicam prodeunt, inspicere oportet, [2] an qualia sanis prodeunt. [3] Quæ igitur minime similia his sunt, ea morbosiora sunt. [4] Quæ vero similia sanis, ea minime morbosa.

LXVII. Et quibus alvi egestiones, [2] si stare permiseris, & non moveris, [3] subsistunt veluti ramenta, [4] si paucæ fuerint, modicus morbus est: [5] si multæ, multus. [6] His confert subpurgare alvum. [7] Si vero non purgata alvo sorbitiones dederis, [8] quanto plures dederis, magis lædes.

LXIIX. Quibuscunque cruda deorsum secedunt, [2] ex atra bile sunt. [3] si plura, copiosiore: [4] si pauciora, pauciore.

LXIX. Exscreationes in febribus non intermittentibus lividæ & cruentæ & graveolentes & biliosæ, [2] omnes malæ sunt. [3] At probe secedentes, bonæ, [4] & per alvum, & per vesicam & ubi sane quid secedens constiterit non purgatum, [5] malum.

LXX. Corpora quæcunque quis purgare voluerit, fluida facere oportet. [2] Et si quidem sursum, sistere alvum. [3] Si vero deorsum, humectare.

LXXI. Somnus, vigilia, utraque modum excedentia, [2] morbus.

LXXII. In

LXXII. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ² ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δ' ἔσω καίηται, ³ καὶ δίψαν ἔχῃ, ⁴ θανάσιμον.

LXXIII. Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥίς, ἢ ὀφθαλμὸς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενὴς ἐών· ὅ, τι ἂν τουτέων γένηται, θανάσιμον.

LXXIV. Ἐπὶ λευκῷ φλέγματι ὕδρωψ ἐπιγίνεται.

LXXV. Ἐπὶ διαῤῥοίῃ δυσεντερίη.

LXXVI. Ἐπὶ δυσεντερίῃ λειεντερίη.

LXXII. Ἐπὶ σφακελισμῷ ἀπόστασις ὀστέου.

LXXIIX. Ἐπὶ αἵματος ἐμέτῳ φθόη, καὶ τοῦ πύου κάθαρσις ἄνω. ² ἐπὶ φθόῃ ῥεῦμα ἐκ τῆς κεφαλῆς. ³ ἐπὶ τῷ ῥεύματι διάῤῥοια. ⁴ ἐπὶ διαῤῥοίῃ σχέσις τῆς ἄνω καθάρσιος. ⁵ ἐπὶ τῇ σχέσει θάνατος.

LXXIX. Ὁκοῖα καὶ ἐν τοῖσι κατὰ τὴν κύστιν, ² καὶ ἐν τοῖσι κατὰ τὴν κοιλίην ὑποχωρήμασι, ³ καὶ ἐν τοῖσι κατὰ τὰς σάρκας σκεπτέον, ⁴ καὶ ἢν τῃ ἄλλῃ τῆς φύσιος ἐκβαίνῃ τὸ σῶμα· ⁵ ἢν ὀλίγον, ὀλίγη ἡ νοῦσος γίνεται· ⁶ ἢν δὲ πολύ, πολλή· ⁷ ἢν πάνυ πολύ, θανάσιμον τὸ τοιοῦτον.

LXXII. In non intermittentibus febribus, ² si externæ quidem partes frigidæ fuerint, internæ vero ardeant, ³ & sitis habeat; ⁴ lethale est.

LXXIII. In febre non intermittente, si labium, aut nasus, aut oculus, aut supercilium distorqueatur: aut non videat, aut non audiat æger jam debilis existens: quicquid horum fiat, propinqua mors est.

LXXIV. Ex pituita alba, hydrops accedit.

LXXV. Ab alvi profluvio, dysenteria.

LXXVI. A dysenteria, intestinorum lævitas accedit.

LXXVII. Ex corruptione, abscessus ossis.

LXXIIX. Ex sanguinis vomitu, tabes, & puris purgatio sursum. ² Ex tabe, fluxus ex capite. ³ Ex fluxu, alvi profluvium. ⁴ Ex alvi profluvio, suppressio purgationis sursum versus. ⁵ Ex suppressione, mors.

LXXIX. Qualia etiam sint in vesicæ ² ac alvi egestionibus, inspicere oportet, ³ & in his quæ per carnes excernuntur, ⁴ & sicubi alibi à natura recedat corpus, ⁵ si parum, parvus est morbus: ⁶ si multum, multus: ⁷ si vero valde multus sit recessus, letbale hoc est.

ΑΦΟΡΙΣΜΟΙ

παρεμβεβλημένοι.

ΤΜΗΜΑ ΟΓΔΟΟΝ.

Ὁκόσοι ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα φρενιτικοὶ γίνονται, ² οὐ πάνυ τι ὑγιάζονται. ³ ἧσσον γὰρ κινδυνεύουσιν, οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης ἡ νοῦσος ᾖ.

II. Ὁκό-

APHORISMI

interjecti.

SECTIO OCTAVA.

Quicunque supra quadraginta annos phrenitici fiunt, ² non ita valde sani fiunt. ³ Minus enim periclitantur, quorum naturæ, & ætati, morbus affinis fuerit.

II Qui-

II. Ὁκόσοισιν ἐν τῇσιν ἀῤ- 42 ῥωστίῃσιν οἱ ὀφθαλμοὶ κατὰ προαίρεσιν δακρύουσιν, ἀγαθόν· [2] ὁκόσοισι δὲ ἄνευ προαιρέσιος, κακόν.

III. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν ἐὸν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, [2] πονηρόν.

20 IV. Ἱδρῶτες ἐν τῇσι κρισίμοισιν ἡμέρῃσι γινόμενοι σφοδροὶ καὶ ταχέες, ἐπικίνδυνοι· [2] καὶ οἱ ὠθεύμενοι ἐκ τοῦ μετώπου, ὥσπερ σταλαγμοὶ, καὶ ψυχροὶ σφόδρα καὶ πολλοί. [3] ἀνάγκη γὰρ τὸν τοιοῦτον ἱδρῶτα πορεύεσθαι μετὰ βίης, καὶ πόνου ὑπερβολῆς, καὶ ἐκθλίψιος πολυχρονίου.

V. Ἐπὶ χρονίῳ νοσήματι κοιλίης καταφορὴ, κακόν.

VI. Ὁκόσα φάρμακα οὐκ 43 ἰῆται, σίδηρος ἰῆται. [2] ὅσα σίδηρος οὐκ ἰῆται, πῦρ ἰῆται. [3] ὅσα 44 25 δὲ πῦρ οὐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα.

VII. Φθίσιες μάλιστα γίγνονται ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι τριήκοντα καὶ πέντε.

IIX. Τὰ δὲ κατὰ φύσιν γιγνόμενα κατὰ φθίσιν, πάντα μὲν ἰσχυρὰ, τὰ δὲ καὶ θανατώδεα· [2] δεύτερον δὲ, ἐὰν μὲν ἐν τῇ ὥρῃ νοσέῃ, αὐτὴ ἡ ὥρη ξυμμαχέει τῇ νούσῳ, [3] οἷον καύσῳ θέρος, [4] ὑδρωπικῷ χειμών. [5] ὑπερπίπτει γὰρ τὸ φυσικόν· [6] φοβερώτερον δὲ σπλήν.

IX. Γλῶσσα μέλαινα καὶ αἱματώδης, εἴ τι τῶν τοιούτων σημείων ἄπεστι, μὴ σφόδρα κακόν· [2] δηλοῖ γὰρ νοῦσον σμικροτέρην.

X. Ταῦτα μὲν οὖν ἐν τοῖσι πυρετοῖσιν ὀξέσι σημειοῦσθαι χρὴ, [2] ὁπότε μέλλει ἀποθνήσκειν, [3] καὶ ὁπότε σωθήσεται.

XI. Ὀρ-

II. Quibuscunque in ægritudinibus oculi ex voluntate lachrymantur, bonum. [2] Quibus vero citra voluntatem, malum.

III. Quibus in febribus quartanis sanguis ex naribus fluxerit, [2] malum est.

IV. Sudores in diebus judicatoriis oborientes, vehementes & veloces periculosi sunt, [2] qui 10 expelluntur ex fronte velut guttæ, & aquæ salientes, & frigidi valde ac multi. [3] Necesse est enim talem sudorem prodire cum violentia, & doloris excessu, ac expressione diuturna.

V. Ex morbo diuturno, etiam alvi defluxus, malum.

VI. Quæcunque non sanant medicamenta, ea ferrum sanat. [2] Quæ ferrum non sanat, ea ignis sanat. [3] Quæ ignis non sanat, ea incurabilia putare oportet.

VII. Tabes iis maxime ætatibus fiunt quæ à decimo octavo sunt usque ad tricesimum quintum.

IIX. Quæ secundum naturam ad tabem vergunt, omnia quidem vehementia, quædam vero etiam lethalia. [2] Secundum autem erat, si eo tempore ægrotet, quo tempus ipsum morbo opem fert, [3] quemadmodum febri ardenti æstas, [4] hydropico hyems. [5] id enim quod est à natura, victoriam obtinet, [6] at spleni plus affert timoris.

IX. Lingua nigra atque cruenta, cum quid horum signorum abest, non admodum malum [2] morbum enim minorem significat.

X. Hæc igitur in febribus acutis obsérvare oportet, uti noscamus [2] quando quis moriturus sit, [3] & quando evasurus.

XI. Te-

XI. Ὄρχις δεξιὸς ψυχρὸς καὶ ἀνασπώμενος,[2] θανατῶδες.

XII. Ὄνυχες μέλανες καὶ οἱ δάκτυλοι τῶν χειρῶν καὶ ποδῶν ψυχροὶ, ξυνεσταλμένοι ἢ καθειμένοι, ἐγγὺς τὸν θάνατον δηλοῦσιν.

XIII. Τὰ χείλη πελιδνὰ, ἢ καὶ ἀπολελυμένα, καὶ ἐξεστραμμένα, καὶ ψυχρὰ, θανατώδεα.

XIV. Τὰ ὦτα ψυχρὰ, διαφανέα, ξυνεσταλμένα, θανατώδεά ἐστι.

XV. Καὶ σκοτοδινιῶν, καὶ ἀποστρεφόμενος, καὶ ὕπνῳ καὶ καύματι πολλῷ κατεχόμενος, ἀνέλπιστος.

XVI. Καὶ λυσσᾶν ὑπείκων, καὶ ἀγνοέων, καὶ μηδὲ ἀκούων, μηδὲ ξυνιεὶς, θανατώδης.

XVII. Μέλλουσιν ἀποθνήσκειν ταῦτα σαφέστερα γίγνεται, καὶ αἱ κοιλίαι ἐπαίρονται, καὶ φυσῶνται.

XIIX. Ὅρος δὲ τοῦ θανάτου, ἐὰν τὸ τῆς ψυχῆς θερμὸν ἐπανέλθη ὑπὲρ τοῦ ὀμφαλοῦ εἰς τὸν ἄνω τῶν φρενῶν τόπον, καὶ συγκαυθῇ τὸ ὑγρὸν ἅπαν.[2] ἐπειδὰν ὁ πλεύμων καὶ ἡ καρδία τὴν ἰκμάδα ἀποβάλωσι τοῦ θερμοῦ ἀθροοῦντος ἐν τοῖσι θανατώδεσι τόποις, ἀποπνέει ἀθρόον τὸ πνεῦμα τοῦ θερμοῦ, ὅθεν περ ξυνέστη τὸ ὅλον ἐς τὸ ὅλον.[3] πάλιν τὸ μὲν διὰ τῶν σαρκῶν, τὸ δὲ διὰ τῶν ἐν κεφαλῇ ἀναπνοῶν, ὅθεν τὸ ζῆν καλοῦμεν, ἀπολείπουσα ἡ ψυχὴ τὸ τοῦ σώματος σκῆνος, καὶ τὸ ψυχρὸν, καὶ τὸ θνητὸν εἴδωλον, ἅμα καὶ χολῇ καὶ αἵματι καὶ φλέγματι καὶ σαρκὶ παρέδωκεν.

XI. Testis dexter frigidus convulsusque,[2] mortiferum est.

XII. Vngues nigri, & digiti manuum ac pedum frigidi, contracti vel remissi, mortem proximam esse significant.

XIII. Labra livida, aut etiam resoluta, & inversa, & frigida, mortifera.

XIV. Aures frigidæ, pellucidæ, contractæ, lethales sunt.

XV. Et tenebricosa vertigine laborans, & lucem aversans, & somno ac ardore multo detentus, desperatus est.

XVI. Et qui paulatim rabie agitari incipit, & non agnoscit, neque audit, neque intelligit, exitio proximus est.

XVII. Morituris signa hæc multo fiunt manifesta, & venter attollitur, atque inflatur.

XIIX. Terminus vero mortis est, cum animæ calor supra umbilicum ad locum septo transverso superiorem ascendit, & omnis humor exuritur.[2] Cum autem pulmo & cor calore in mortiferis locis coacervato humorem amiserint, caloris spiritus confertim exhalat, cujus ope totum cum toto compactum erat.[3] Præterea partim per carnes, partim per capitis spiracula, unde vivere dicimus, relinquens anima corporis domicilium, frigidum & mortale simulacrum, una cum bile, sanguine, pituita, & carne, deditione reddit.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΑΡΧΩΝ ἢ ΣΑΡΚΩΝ.

HIPPOCRATIS DE PRINCIPIIS aut CARNIBUS.

Basil. græc. Foesius sect. III. 29. 248. Basil. lat.

117 39 40 Ἐγὼ τὰ μέχρι τοῦ λόγου τούτου κοινῇσι γνώμῃσι χρέομαι, 2 ἑτέρων τε τῶν ἔμπροσθεν, 3 ἀτὰρ καὶ ἐμεωυτοῦ. 4 ἀναγκαίως γὰρ ἔχει, κοινὴν ἀρχὴν ὑποθέσθαι τῇσι γνώμῃσι, βουλόμενον ξυνθεῖναι τὸν λόγον τόνδε περὶ τῆς τέχνης τῆς ἰητρικῆς. 5 περὶ δὲ τῶν μετεώρων οὐδὲν δέομαι λέγειν, 6 ἢν μὴ τοσοῦτον ἐς ἄνθρωπον ἀποδείξω, 7 καὶ τὰ ἄλλα ζῶα, ὁκόσα ἔφυ καὶ ἐγένετο. 8 καὶ ὅ, τι ψυχή ἐστιν· 45 9 καὶ ὅ, τι τὸ ὑγιαίνειν· 10 καὶ ὅ, τι τὸ κάμνειν· 11 καὶ ὅ, τι τὸ ἐν ἀνθρώπῳ κακὸν καὶ ἀγαθόν· 12 καὶ ὅθεν ἀποθνήσκει. 13 νῦν δὲ ἀποφαίνομαι αὐτὸς ἐμεωυτοῦ γνώμας.

14 Δοκέει δέ μοι, ὃ καλέομεν θερμὸν, ἀθάνατόν τε εἶναι, 15 καὶ νοέειν πάντα, καὶ ὁρῆν, καὶ ἀκούειν, 16 καὶ εἰδέναι πάντα, καὶ τὰ ὄντα, καὶ τὰ ἐσόμενα. 17 τοῦτο οὖν τὸ πλεῖστον, ὅτε ἐταράχθη πάντα, ἐξεχώρησεν ἐς τὴν ἀνωτάτω περιφορήν. 18 καὶ ὀνομῆναί μοι αὐτὸ δοκέουσιν οἱ παλαιοὶ αἰθέρα. 19 ἡ δευτέρη μοίρη, ἣ κάτωθεν αὐτῆς, καλέεται μὲν γῆ, ψυχρὸν καὶ ξηρὸν, καὶ πουλὺ κινοῦν· 20 καὶ ἐν τούτῳ ἔνι δὴ πουλὺ τοῦ θερμοῦ. 21 ἡ δὲ τρίτη μοίρη, ἡ καὶ τοῦ ἠέρος, μέσον χωρίον εἴληφε, θερμόν τι καὶ ὑγρὸν ἐόν. 22 ἡ δὲ τετάρτη, ἡ τοῦ ἐγγυτάτω πρὸς τῇ γῇ, ὑγρότατόν τε καὶ παχύτατον.

Ego ad hunc usque sermonem communibus sententiis utor, 2 tum aliorum qui me præcesserunt, 3 tum etiam meis. 4 Necesse enim est commune principium sententiis supponere eum qui velit hanc de arte medica tractationem componere. 5 Verum de rebus sublimibus in aëre ac cœlo, neque opus habeo dicere, 6 nisi quod quantum ad hominem 7 & reliqua animantia, quæ sunt, & nata sunt, pertinet, demonstrabo, 8 & quod anima sunt, 9 & quod sanitas, 10 & quod morbus, 11 & quod in homine malum ac bonum, 12 & unde moritur. 13 Nunc autem ipse meas sententias profero.

14 Et videtur sane mihi id quod calidum vocamus, immortale esse, 15 & cuncta intelligere, & videre, & audire, 16 & scire omnia, tum præsentia, tum futura. 17 Hujus igitur plurima pars, quum turbata essent omnia, in supernam circumferentiam secessit. 18 Et videntur mihi ipsum veteres Æthera nominasse. 19 Altera pars inferna, appellatur Terra, frigidum quid & siccum, & multis motionibus obnoxium, 20 & in hac sane multum calidi inest. 21 Tertia pars Aëris, medium locum occupavit, calidum quid ac humidum existens. 22 Quarta vero pars terræ proximum locum cepit, humidissimum quid ac crassissimum.

II. Κυ- II. Hæc

II. Κυκλευμένων δὲ τούτων ὅτε συνεταράχθη, [2] ἀπεκλείσθη τοῦ θερμοῦ πολὺ ἐν τῇ γῇ ἄλλοθι· [3] τὰ μὲν μεγάλα, τὰ δὲ ἐλάσσω, τὰ δὲ καὶ πάνυ σμικρά, τὰ δὲ πλῆθος πολλά. [4] καὶ τῷ χρόνῳ ὑπὸ τοῦ θερμοῦ ξηραινομένης τῆς γῆς, [5] ταῦτα καταληφθέντα περὶ αὐτὰ σηπεδόνας ποιέει, οἷον περὶ χιτῶνας. [6] καὶ πολλῷ χρόνῳ θερμαινόμενον, ὁκόσον μὲν ἐτύγχανεν ἐκ τῆς γαίης σηπεδόνος λιπαρὸν ἐὸν, καὶ ὀλίγιστον τοῦ ὑγροῦ ἔχον, τάχιστα ἐξεκαύθη, καὶ ἐγένετο ὀστέα. [7] ὁκόσα δὲ ἐτύγχανε κολλωδέστερα ἐόντα, καὶ τοῦ ψυχροῦ μετέχοντα, ταῦτα δὴ θερμαινόμενα ἰδέην ἀλλοιοτέρην ἔλαβε τῶν ἄλλων, [8] καὶ ἐγένετο νεῦρα στερεά. [9] οὐκ ἠδύνατο γὰρ ἐκκαυθῆναι, οὐδὲ ξηρὰ γενέσθαι· οὐ γὰρ ἦν τὸ λιπαρόν. [10] οὐδὲ μὴν ὑγρὰ γενέσθαι. [11] οὐδὲ γὰρ ἐνῆν τοῦ ψυχροῦ αὐτῷ. [12] αἱ δὲ φλέβες τοῦ ψυχροῦ εἶχον πολύ, [13] καὶ τούτου τοῦ ψυχροῦ τὸ μὲν πέριξ, ὅσον κολλωδέστατον ἦν, ὑπὸ τοῦ θερμοῦ ἐξοπτηθὲν μῆνιγξ ἐγένετο· [14] τὸ δὲ ψυχρὸν ἐὸν κρατηθὲν ὑπὸ τοῦ θερμοῦ διελύθη καὶ ἐγένετο ὑγρὸν διὰ τοῦτο.

III. Κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ φάρυγξ, καὶ ὁ στόμαχος, καὶ ἡ γαστὴρ, καὶ τὰ ἔντερα ἐς τὴν ἀρχὴν, κοῖλα ἐγένετο. [2] τοῦ γὰρ ψυχροῦ αἰεὶ θερμαινομένου, τὸ μὲν πέριξ ἐξωπτήθη, ὅσον αὐτοῦ κολλῶδες ἦν, [3] καὶ ἐγένετο χιτὼν ὁ περὶ αὐτὸν μῆνιγξ. [4] τὸ δὲ ἐντὸς τοῦ ψυχροῦ, [5] οὐ γὰρ ἐνῆν ἐν αὐτῷ οὔτε λιπαρὸν, οὔτε κολλῶδες πολὺ, [4] διετάκη καὶ ἐγένετο ὑγρόν. [6] κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ κύστις [7] πολὺ ψυχρὸν ἀπεκλείσθη ἐν τῇ· τὸ πέριξ αὐτοῦ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, διελύθη καὶ ἐγένετο ὑγρόν.

II. Hæc itaque quum turbata essent, & in orbem circumvolverentur, [2] multa calidi pars in terra conclusa est, [3] alibi major, alibi minor; alibi valde pauca, alibi copia multa: [4] & temporis progressu terra à calido arefacta, [5] hæc conclusa in ipsa putredines faciunt veluti tuniculas, [6] & quantum quidem ex putredine terræ pingue fuit, & minimum humoris habuit, id ipsum per multum tempus calescens, celerrime exustum est, & in ossa mutatum. [7] Quæ vero glutinosiora fuerunt, & frigiditate participarunt, ea calefacta exuri non potuerunt, [8] neque vero liquida fieri, [9] propterea speciem aliениorem ab aliis acceperunt, [10] & nervi solidi facti sunt. [11] Neque enim multum frigiditatis ipsis inerat. [12] Verum venæ frigiditatis multum habebant, [13] atq; ejus frigidi quantum circumcirca glutinosissimum erat, à calido exassatum, membrana evasit. [14] frigidum vero quod erat, à calido superatum, dissolutum est, & ob id liquidum factum.

III. Juxta eandem autem rationem etiam fauces, & stomachus sive gula, & venter, & intestina in podicem usque, cava facta sunt. [2] Quum enim frigidum semper calescat, quantum ejus circumcirca glutinosum erat, exassatum est, [3] & membrana tunica facta est. [4] Quod vero intra frigidum erat, colliquatum est, & factum est liquidum. [5] Non enim erat in ipso neque pingue, neque glutinosum multum. [6] Juxta eandem rationem etiam vesica. [7] Multum frigidum quod ipsam circumcirca conclusit, à calido calfactum, dissolutum est, & evasit liquidum.

ὑγρόν. [8] οὐ γὰρ ἐνῆν ἐν αὐτῷ οὔτε τοῦ λιπαροῦ, οὔτε τοῦ κολλώδεος. [9] ὅσον δὲ περιῆν, χιτὼν ἐγένετο. [10] ὑπὲρ καὶ περὶ τῶν ἄλλων, ὅσα κοῖλα, τὸν αὐτὸν ἔχει τρόπον. [11] ὅκου μὲν ἦν τοῦ κολλώδεος πλέον ἢ τοῦ λιπαροῦ, χιτὼν [ἢ] μῆνιγξ ἐγένετο. [12] ὅκου δὲ τοῦ λιπαροῦ πλέον ἢ τοῦ κολλώδεος, ὀστέα ἐγένετο.

IV. Ωὐτὸς δὲ λόγος καὶ τῶν ὀστέων, [2] ὅκου μὲν μὴ ἐνῆν τοῦ κολλώδεος, τοῦ δὲ λιπαροῦ καὶ τοῦ ψυχροῦ, ἐξεκαύθη θᾶσσον διὰ τὸ λιπαρόν. [3] καὶ ταῦτα τῶν ὀστέων καὶ σκληρότατα καὶ στριφνότατα. [4] ὅκου δὲ λιπαρὸν καὶ κολλῶδες παραπλήσια, ταῦτα δὲ τῶν ὀστέων σηραγγώδεα. [5] περὶ μὲν τούτων οὕτως. [6] τὸ μὲν ψυχρὸν, πήγνυσι· [7] τὸ δὲ θερμὸν, διαχεῖ. [8] ἐν δὲ τῷ πολλῷ καὶ ξηραίνει χρόνῳ. [9] ὅκου δὲ τοῦ λιπαροῦ ξυνῇ τι, τυπέεσι θᾶσσον ἐκκαίει καὶ ξηραίνει. [10] ὅκου δὲ ἂν τὸ κολλῶδες ξυνῇ τῷ ψυχρῷ ἄτερ τοῦ λιπαροῦ, οὐκ ἐθέλει ἐκκαίεσθαι, ἀλλὰ τῷ χρόνῳ θερμαινόμενον πήγνυται. [11] ὁ δὲ ἐγκέφαλος ἐστὶ μητρόπολις τοῦ ψυχροῦ καὶ τοῦ κολλώδεος. [12] τὸ δὲ θερμὸν τοῦ λιπαροῦ μητρόπολις. [13] θερμαινόμενον γὰρ τὸ πρῶτον πάντων διαχεόμενον, λιπαρὸν γίνεται. [14] καὶ διὰ τοῦτο ἐγκέφαλος, ὅτι ὀλίγιστον ἔχει τοῦ λιπαροῦ, τοῦ δὲ κολλώδεος πλεῖστον, οὐ δύναται ἐκκαυθῆναι ὑπὸ τοῦ θερμοῦ. [15] ἀλλ' ἐν τῷ χρόνῳ χιτῶνα, μήνιγγα παχείην ἔλαβεν. [16] περὶ δὲ τὴν μήνιγγα ὀστέα, ὁκόσον τὸ θερμὸν ἐκράτησεν, καὶ ἐν ὅσοισι τοῦ λιπαροῦ ἐνῆν.

V. Καὶ ὁ μυελὸς [2] καλεόμενος νωτιαῖος [3] καθήκει ἀπὸ τοῦ ἐγκεφάλου, [4] καὶ οὐκ ἔστιν ἐν αὐτῷ τοῦ λιπαροῦ, οὔτε τοῦ κολλώδεος πολλὸν, [5] ὥσπερ καὶ τῷ

dum, [8] quum neque pingue, neq; glutinosum in ipso esset: [9] quod vero supererat, tunica evasit. [10] Sed & de aliis quæ cava sunt eodem modo res se habet. [11] Vbi enim plus glutinosi quam pinguis erat, membrana tunica facta est. [12] Vbi vero pinguis plus quam glutinosi, ossa facta sunt.

IV. Eadem ratio & ossium est. [2] Vbi quidem non inerat glutinosi, verum pinguis & frigidi, citius exusta sunt propter pinguitudinem, [3] atque hæc ossa durissima & rigidissima existunt. [4] Vbi vero pingue & glutinosum similia sunt, hæc ossa antrosa sunt. [5] Et de his quidem sic habet. [6] Frigidum quidem congelat. [7] Calidum autem diffundit. [8] in multo vero tempore etiam exsiccat. [9] Vbi autem pinguitudinis aliquid affuerit, citius exurit, & siccat. [10] Vbi vero glutinosum affuerit frigido, citra pinguitudinem, exuri non vult, sed tempore calescens congelatur. [11] Cæterum cerebrum sedes & metropolis est frigidi ac glutinosi. [12] Calidum vero pinguis sedes & metropolis est. [13] Quod enim calescit, primum omnium, quum diffunditur, pingue fit. [14] Et propterea cerebrum, quia minimum pinguitudinis habet, plurimum vero glutinositatis, à calido exuri non potest, [15] sed tempore tunicam, membranam crassam accepit, [16] circum membranam vero ossa, quantum calidum superavit, & in quibus pinguitudo erat.

V. Sed & medulla [2] spinalis appellata, [3] à cerebro descendit, [4] & non est in ipsa, neque pinguis, neque glutinosi multum, [5] quemadmodum & cerebro:

τὸν ἐγκέφαλον. [6] διὰ τοῦτο οὐκ ἂν δικαίως καὶ οὗτος εἴη μυελὸς ὀνομαζόμενος. [7] οὐ γὰρ ὁμοίως τῷ ἄλλῳ μυελῷ ὡς ἐν τοῖσιν ἄλλοισιν ὀστέοισιν ἔνι. [8] μοῦνος γὰρ μήνιγγας ἔχει, ὁ δὲ ἄλλος οὐκ ἔχει. [9] τεκμήρια δὲ τούτων σαφέα, [10] εἴ τις ἐθέλοι ὀπτᾶν νευρώδεά τε καὶ κολλώδεα, καὶ τὰ ἄλλα. [11] καὶ τὰ μὲν ἄλλα, ταχὺ ὀπτᾶται· [12] τὰ δὲ νευρώδεά τε καὶ κολλώδεα, οὐκ ἐθέλει ὀπτᾶσθαι· [13] ἐλάχιστον γὰρ ἔχει τοῦ λιπαροῦ. [14] τὸ δὲ πιότατον καὶ λιπαρὸν τάχιστα ὀπτᾶται. [15] τὰ δὲ σπλάγχνα ὧδέ μοι δοκεῖ ξυστῆναι. [16] περὶ μὲν οὖν τῶν φλεβῶν εἴρηταί μοι πρότερον.

VI. Ἡ δὲ καρδίη πολὺ τοῦ κολλώδεος καὶ τοῦ ψυχροῦ ἔχει. [2] καὶ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον κρέας ἐγένετο σκληρὸν καὶ γλίσχρον· [3] καὶ μῆνιγξ περὶ αὐτήν. [4] καὶ ἐκοιλώθη, [5] [ἀλλ'] οὐχ ὥσπερ φλέβες. [6] καὶ ἔστιν ἐπὶ τῆς κεφαλῆς τῆς φλεβὸς τῆς κοιλοτάτης. [7] δύο γάρ εἰσι κοῖλαι φλέβες ἀπὸ τῆς καρδίης. [8] τῇ μὲν οὔνομα ἀρτηρίη· [9] τῇ δὲ κοίλη φλέψ. [10] πρὸς ᾗ ἡ καρδίη ἐστί. [11] καὶ πλεῖστον ἔχει τοῦ θερμοῦ ἡ ἀρτηρίη ἢ ἡ κοίλη φλέψ· [12] καὶ ταμιεύει τὸ πνεῦμα. [13] πρὸς δὲ ταύτῃσι τῇσι φλεψὶν ἄλλαι κατὰ τὸ σῶμα. [14] ἡ δὲ κοιλοτάτη φλέψ, πρὸς ᾗ ἡ καρδίη, [15] διὰ τῆς κοιλίης ἁπάσης διήκει, [16] καὶ διὰ τῶν φρενῶν, [17] καὶ σχίζεται ἐς ἑκάτερον τῶν νεφρῶν. [18] καὶ ἐπὶ τῇ ὀσφύϊ σχίζεται, [19] καὶ ἀΐσσει ἐπί τε τὰ ἄλλα, [20] καὶ ἐς ἑκάτερον σκέλος. [21] ἀτὰρ καὶ ἄνωθεν τῆς καρδίης πρὸς τῷ αὐχένι, τὰ μὲν ἐπὶ δεξιά, τὰ δ' ἐπ' ἀριστερά. [22] καὶ τότε ἐπὶ τὴν κεφαλὴν ἄγει, [23] καὶ ἐν τοῖς κροτάφοισι σχίζεται ἑκατέρῃ. [24] ἔστι δὲ καὶ ἀριθμῷ εἰπεῖν τὰς φλέβας τὰς μεγίστας. [25] ἔστι δὲ λόγῳ, ἀπὸ τῆς κοίλης φλεβὸς καὶ ἀπὸ τῆς ἀρτηρίης ἄλλαι φλέβες

bro; [6] & propterea neque nomen medullæ juste possidet. [7] Non enim est alii medullæ similis, quæ in aliis ossibus inest. [8] Sola enim membranas habet, quas alia medulla non habet. [9] Signa porro horum manifesta sunt. [10] Si quis enim nervosa & glutinosa, itemq; alia assare velit, [11] alia quidem cito assantur: [12] verum nervosa & glutinosa assari non volunt, [13] minimum enim pinguitudinis habent. [14] Pinguissimum autem & unguinosum celerrime assatur. [15] At vero viscera sic mihi constituta esse videntur: [16] nam de venis prius à me dictum est.

VI. Cor multum glutinosi ac frigidi habet, [2] & à calido calfactum, caro evasit dura & viscosa, [3] & membrana circum ipsum, [4] & cavum factum est, [5] non quemadmodum venæ: [6] situm est in capite venæ cavissimæ. [7] Duæ enim sunt cavæ venæ à corde, [8] alteri nomen est arteria, [9] alteri vena cava, [10] juxta quam cor situm habet. [11] Et plus habet calidi arteria, quam vena cava, [12] & spiritum condit ac conservat. [13] Verum præter has duas venas, etiam aliæ in corpore sunt. [14] Cavissima autem vena, ad quam cor situm est, [15] per ventrem omnem transit, [16] & per septum transversum, [17] & in utrumque renem finditur, [18] & in lumbis finditur, [19] & exilit tum in alias partes, [20] tum in crus utrumque. [21] Sed & supra cor ad cervicem, partim in dextram, partim in sinistram: [22] & tunc in caput ascendit, [23] & in temporibus finditur utrinque. [24] Possunt autem & numero maximæ venæ dici. [25] Verum in summa, à vena cava, & ab arteria,

βες ἐσχισμέναι εἰσὶ κατὰ πᾶν τὸ σῶμα. [26] κοιλόταται γὰρ αἱ πρὸς τῇ καρδίῃ, καὶ τῷ αὐχένι καὶ τῇ κεφαλῇ, καὶ κάτωθεν τῆς καρδίης μέχρι τῶν ἰσχίων.

VII. Καὶ τὸ θερμὸν πλεῖστον [1] ἐν τῇσι φλεψὶ καὶ τῇ καρδίῃ. [2] καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἕλκει, θερμὴ ἐοῦσα, μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. [3] ῥηΐδιον δὲ τοῦτο καταμαθεῖν, [4] ὅτι θερμόν ἐστι τὸ πνεῦμα. [5] ἡ καρδίη καὶ αἱ κοῖλαι φλέβες κινέονται αἰεί. [6] ἔστι δὲ καὶ ἄλλως γνῶναι. [7] πῦρ εἴ τις θέλει καίειν ἐν οἰκήματι, ὁκόταν ἄνεμος μὴ ἐσπνέῃ, φλὸξ κινέεται, τοτὲ μὲν μᾶλλον, τοτὲ δὲ ἧσσον. [8] καὶ λύχνος καιόμενος τὸν αὐτὸν τρόπον κινέεται, τοτὲ μὲν μᾶλλον, τοτὲ δὲ ἧσσον, ἀνέμου οὐδενὸς κινέοντος, [9] ὃν πνοα καὶ ἡμεῖς οἷοί τε ἐσμὲν γινώσκειν πνέοντα. [10] καὶ τροφή ἐστι τῷ θερμῷ τὸ ψυχρόν.

IIX. [1] Τὸ δὲ παιδίον ἐν τῇ γαστρὶ συνέχον τὰ χείλεα [2] μύζει ἐκ τῶν μητρέων τῆς μητρὸς, [3] καὶ ἕλκει τήν τε τροφὴν, [4] καὶ τὸ πνεῦμα [5] τῇ καρδίῃ εἴσω· [6] τοῦτο γὰρ θερμότατόν ἐστιν ἐν τῷ παιδίῳ· [7] ὅταν περ ἡ μήτηρ ἀναπνέῃ. [8] τοῦτο δὲ καὶ τῷ ἄλλῳ σώματι τὴν κίνησιν παρέχει τὸ θερμὸν, [9] καὶ τοῖς ἄλλοις πᾶσιν. [10] εἰ δέ τις ἐρωτῴη, πῶς τοῦτο οἶδέ τις, ὅτι ἐν τῇ μήτρῃ τὸ παιδίον ἕλκει καὶ μύζει, [11] τάδε αὐτῷ ἐστιν ἀποκρίνασθαι. [11] κόπρον ἔχοντα ἐν τοῖσιν ἐντέροισι γίνεται, [12] καὶ ἀποπατέει, ἐπειδὰν γένηται, τάχιστα καὶ οἱ ἄνθρωποι καὶ τὰ πρόβατα. [13] καίτοι οὐκ ἂν εἶχε κόπρον, εἰ μὴ ἐν τῇσι μήτρῃσιν ἔμυζεν. [14] οὐδ᾽ ἂν θηλάζειν τὸν μαστὸν ἠπίστατο [15] γενόμενον αὐτίκα, εἰ μὴ καὶ ἐν τῇ μήτρῃ ἔμυζε. [15] καὶ περὶ μὲν τῆς κινήσιος

ria, aliæ venæ per totum corpus fissæ sunt: [26] cavissimæ autem sunt prope cor, & cervicem ac caput, & infra cor usque ad coxendices.

VII. Et calidum plurimum in venis ac corde inest. [2] & propterea spiritum cor trahit, [3] utpote quod omnium intra hominem membrorum calidissimum existat. [4] Proclive est autem condiscere, quod spiritus calidus est. [5] Cor & venæ cavæ semper moventur. [6] Potest etiam aliter cognosci. [7] Si quis ignem in domo accendere velit, quum ventus non inspirat, flamma movetur, aliquando magis, aliquando minus. [8] Sed & lucerna accensa & ardens, eodem modo movetur, modo magis, modo minus, vento nullo movente, [9] quem sane nos spirantem cognoscere possimus, [10] & alimentum calido frigidum existit.

IIX. Cæterum [1] puer in utero comprimens labra [2] ex utero matris sugit, [3] & tum alimentum, [4] tum spiritum, [5] cordi intro trahit, [7] ubi sane mater respirarit. [6] Est enim hoc calidissimum in puero, [8] & hoc calidum etiam reliquo corpori, [9] & aliis omnibus partibus motum præbet. [10] Si vero quis interroget, quomodo hoc quis sciat, quod puer in utero trahit & sugit; illi sic respondendum est. [11] Pueri nascuntur stercus in intestinis habentes: [12] & ubi nati fuerint, celerrime ventrem tum homines tum pecora exonerant. [13] Atqui non haberent stercus, nisi in utero suxissent. [14] Imo neque mammam statim ut natum est sugere nosset, si non in utero suxisset. [15] Et

de

νήστιος τῆς καρδίης καὶ τῶν φλεβῶν ἔχουσι.

IX. Ὁ δὲ πνεύμων παρὰ τῇ καρδίῃ ἐγένετο ὧδε. [2] τοῦ ὑγροῦ ὁκόσον ἦν κολλωδέστατον ἡ καρδίη θερμαίνουσα ταχὺ ἐξήρηνε, ὅκως τὸν ἀφρὸν, [3] καὶ ἐποίησεν σηραγγώδεα, [4] καὶ φλέβια πολλὰ ἐν αὐτῷ. [5] διὰ δὲ τοῦτο ἐποίησε τὰ φλέβια. [6] ὁκόσον ἐν τῷ κολλώδει ἐνῆν ψυχρὸν τοῦτο μὲν ὑπὸ τοῦ θερμοῦ ἐτάκη, καὶ ἐγένετο ὑγρόν. [7] τὸ δὲ ἀπὸ τοῦ κολλώδεος, αὐτὸς ὁ χιτών, [8] τὸ δὲ ἧπαρ ὧδε ξυνέστη. [9] ξὺν τῷ θερμῷ πολλὸν τοῦ ὑγροῦ ἀποκλεισθὲν ἄνευ τοῦ κολλώδεος καὶ τοῦ λιπαροῦ ἐκράτησε τὸ ψυχρὸν τοῦ θερμοῦ καὶ ἐπάγη. [10] τεκμήριον δέ μοι τόδε. [11] ὁκόταν σφάξῃ τις ἱερεῖον, τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν ἐστι τὸ αἷμα· [12] ἐπειδὰν δὲ ψυχθῇ, ἐπάγη. [13] ἢν δέ τις αὐτὸ ταράσσῃ, [15] οὐ πήγνυται. [16] αἱ γὰρ ἶνες εἰσὶ ψυχραὶ καὶ κολλώδεες. [17] ὁ δὲ σπλὴν ξυνέστη ὧδε. [18] ξὺν τῷ θερμῷ καὶ κολλώδει καὶ τοῦ θερμοῦ πλεῖστον, τοῦ δὲ ψυχροῦ ἐλάχιστον· [19] τοσοῦτον μόνον, ὁκόσον πῆξαι τὸ κολλῶδες αὐτό. [20] διὸ εἰσὶν αἱ ἶνες αἱ ἐνεοῦσαι ἐν τῷ σπληνί. [21] καὶ διὰ τὰς ἶνας ταύτας μαλακός ἐστιν ὁ σπλὴν καὶ ἰνώδης.

X. Οἱ δὲ νεφροὶ ξυνέστησαν ὧδε. [2] ὀλίγον τοῦ κολλώδεος, τοῦ θερμοῦ ὀλίγον, τοῦ ψυχροῦ πλεῖστον, καὶ ἐπάγη ὑπὸ τούτου, [3] καὶ ἐγένετο σκληρότατον τὸ σπλάγχνον, [4] καὶ ἥκιστα ἐρυθρὸν, [5] ὅτι οὐ πολὺ τοῦ θερμοῦ ξυνέστη. [6] ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν σαρκῶν. [6] τὸ μὲν ψυχρὸν ἔστησε καὶ ξυνέπηξε καὶ ἐποίησε σάρκα· [7] τὸ δὲ κολλῶδες, τὰ τρώγλας ἐγένετο. [8] ἐν δὲ τῇσι τρώ-

de motu cordis ac venarum sic habet.

IX. Porro pulmo juxta cor ita natus est. [2] Cor ex humido quod glutinosissimum erat calefaciens cito exsiccavit, [3] veluti spumam, fecitque antrosum, [4] & venulas multas in ipso. [5] Venulas autem in ideo fecit. [6] Quantum enim in glutinoso inerat frigidi, id ipsum quidem à calido colliquatum est, & liquidum evasit. [7] Ab ipso vero glutinoso tunica facta est. [8] At vero jecur sic compactum est. [9] Quum una cum calido multum humidi conclusum esset, citra glutinosum ac pingue, frigidum superavit calidum, & congelatum est. [10] Hujus signum hoc est: [11] Quando quis victimam mactat, donec calidus fuerit, liquidus est sanguis: [12] postquam autem perfrigeratus est, congelatur. [13] Si vero quis ipsum conquassat, [14] & fibras eximat, [15] non congelatur, [16] fibræ enim frigidæ sunt & glutinosæ. [17] Splen autem hoc modo constitutus est. [18] Cum calido & glutinoso conclusum fuit, calidum quidem plurimum, frigidi autem minimum, [19] tantum solummodo quantum ad glutinosi compactionem satis erat. [20] Sunt autem id fibræ in splene existentes, [21] & propter has fibras, mollis est splen, & fibrosus.

X. Renes porro sic producti sunt. [2] Parum glutinosi, parum calidi, multum frigidi conclusum fuit, & ab hoc congelatum est, [3] & durissimum viscus evasit [4] & minime rubrum, [5] quia non multum calidi simul constitit. [5] Eadem de carnibus ratio est. [6] Frigidum quidem constituit & compegit ac fecit carnem, [7] glutinosum autem in foramina transiit. [8] In foraminibus autem

περιάλλησι ταύτῃσι τὸ ὑγρόν, [9] ὥσπερ καὶ ἐν τῇσι φλεψὶ τῇσι μεγάλῃσιν. [10] τὸ δὲ θερμὸν ἐν παντὶ τῷ σώματι· [11] πλεῖστον δὲ καὶ τοῦ ὑγροῦ ἐν τῷ σώματι, [12] καὶ τοῦ ψυχροῦ πολὺ ἐν τῷ ὑγρῷ. [13] τοσοῦτο δέ ἐστι τοῦ ψυχροῦ, ὁκόσον δύναται πῆξαι τὸ ὑγρόν· [14] ἀλλὰ νενίκηται, ὥστε διαχεῖσθαι ὑπὸ τοῦ θερμοῦ. [15] ἡ δὲ ἀπόδειξις τοῦ ὑγροῦ ὅτι θερμόν ἐστιν. [16] εἴ τις ἐθέλοι τάμνειν τοῦ ἀνθρώπου τοῦ σώματος, ὅκου ἐθέλοι, ῥεύσεται τὸ αἷμα θερμόν, [17] καὶ ἕως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν ἐστιν· [18] ἐπειδὰν δὲ ψυχθῇ, ὑπό τε τοῦ ἐνεόντος ψυχροῦ καὶ τοῦ ἐκτός, ἐγένετο δέρμα καὶ ὑμένα· [19] καὶ εἴ τις ἀφελὼν τοῦτο τὸ δέρμα, ἐάσειεν ὀλίγον χρόνον, ὄψεται ἄλλο δέρμα γενόμενον. [20] εἰ δέ τις τοῦτο αἰεὶ ἀφαιρέοι, ἄλλο δέρμα γίνοιτ' ἂν πρὸς τοῦ ψυχροῦ. [21] τούτου δὲ εἵνεκα πλείω ἔλεξα τοὺς ἀποδείξω, [22] ὅτι τὸ ἔσχατον τοῦ σώματος πρὸς τὸν ἠέρα ἀναγκαίως ἔχει δέρμα γίνεσθαι ὑπὸ τοῦ ψυχροῦ, καὶ τῶν πνευμάτων προσβαλλόντων.

XI. Τὰ δὲ ἄρθρα ὧδε ἐγένετο. [2] ἐπεὶ τὰ ὀστέα ξυνίστατο, ὁκόσα μὲν αὐτέων λιπαρὰ ἦν, τάχιστα ἐξεκαύθη, ὥσπερ καὶ πρόσθεν λέλεκται ἐν τῷ προτέρῳ λόγῳ. [3] ὁκόσον δὲ αὐτέων κολλῶδες ἦν, τοῦτο δὴ οὐκ ἠδύνατο ἐκκαυθῆναι, ἀλλὰ μεταξὺ ἀποκλεισθὲν τοῦ καιομένου καὶ ξηραινομένου ὑπὸ τοῦ θερμοῦ, νεῦρα καὶ σίαλον ἐγένετο. [4] ὁκόσον δὲ τοῦ κολλώδεος ὑγρότατον ἦν, τοῦτο θερμαινόμενον, παχύτερον ἐγένετο, ὑγρὸν ἐόν, καὶ ἀπὸ τούτου σίαλον ἐγένετο. [5] οἱ δὲ ὄνυχες ἀπὸ τούτου ἐγένοντο τοῦ κολλώδεος. [6] ἀπὸ γὰρ τῶν ὀστέων καὶ τῶν ἄρθρων αἰεὶ τὸ ὑγρότατον

his humidum est, [9] velut in venis magnis. [10] Calidum autem in toto corpore est, [11] plurimum vero & humidi in corpore est, [12] & frigidi multum in humido: [13] tantum autem est frigidi, quantum congelare humidum ac liquidum potest, [14] sed superatur à calido, quare etiam ab ipso diffunditur. [15] Quod vero humidum calidum est hac demonstratione confirmatur. [16] Si quis corpus hominis secet, ubicunque velit, sanguis calidus fluet, [17] & quamdiu sane calidus fuerit, liquidus erit: [18] postquam vero refrigeratus est, tum ab intrinseco frigido, tum extrinseco, pellicula fit & membrana: [19] & si quis hac pellicula detracta, modico tempore sinat, aliam pelliculam factam videbit: [20] si vero quis hanc semper adimat, alia rursus pellicula à frigido generatur. [21] Cæterum ea gratia plura dixi, ut ostenderem, [22] quod extremum corporis ad aërem conversum, necessario pelliculam induit, præ frigido & ventis impetentibus.

XI. At vero articuli sic generati sunt. [2] Quum ossa facta essent, quæcunque quidem ex ipsis pinguia erant, celerrime exusta sunt, quemadmodum etiam prius dictum est superiore sermone: [3] Quantum autem ex ipsis glutinosum erat, idipsum exuri non poterat, sed medio inter ustum & siccatum loco contentum, à calido in nervos, salivam ac mucum transivit. [4] quantum autem ex glutinoso liquidissimum erat, hoc calfactum crassius redditum est, utpote liquidum existens; & ex hoc saliva facta est. [5] Verum ex illo glutinoso ungues producti sunt. [6] Etenim ab ossibus

τῶν αὐτέων ἀπιὸν κολλῶδες γίνεται, ἀπὸ τοῦ θερμοῦ ξηραινόμενον, καὶ ἐξωθούμενον θύραζε ἐς ὄνυχας.

XII. Οἱ δὲ ὀδόντες ὕστερον γίνονται, διὰ τόδε. [2] Ἀπὸ τῶν ὀστέων τῶν ἐν τῇ κεφαλῇ καὶ τῇσι γνάθοισιν ἡ αὔξησις γίνεται τοῦ κολλώδεος, [3] καὶ τοῦ λιπαροῦ τὸ ἐνεὸν, ὑπὸ τοῦ θερμοῦ ξηραινόμενον ἐκκαίεται, καὶ γίνονται ὀδόντες σκληρότεροι τῶν ἄλλων ὀστέων, [4] ὅτι ἐνὶ οὐκ ἔνι τοῦ ψυχροῦ. [5] Καὶ οἱ μὲν πρῶτοι ὀδόντες φύονται ἀπὸ τῆς διαίτης ἐν τῇ μήτρῃ, [6] καὶ ἐπὴν γένηται, ἀπὸ τοῦ γάλακτος θηλάζοντι τῷ παιδίῳ. [7] ἐπειδὰν δὲ οὗτοι ἐκπέσωσιν, ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν. [8] ἐκπίπτουσι δὲ, ἐπειδὰν ἐπὶ τὰ ἑπτὰ ἔτεα τῆς πρώτης τροφῆς. [9] ἔστι δὲ καὶ οἷς πρότερον, [10] ἢν ἀπὸ νοσερῆς τροφῆς φύσωσιν. [11] τοῖς δὲ πλείστοισιν, ἐπειδὰν ἑπτὰ ἔτεα γένηται. [12] οἱ δὲ μετὰ φύοντες συγκαταγηράσκουσιν, [13] ἢν μὴ ὑπὸ νούσου διαφθαρῶσι. [14] Διὰ δὲ τοῦτο φύονται οἱ ὀδόντες ὕστερον τῶν ἄλλων. [15] ἐν τῇ γνάθῳ φλέβες εἰσὶ, [16] καὶ ἐν τῇ κάτω κοιλίῃ μούνοισι τῶν ὀστέων, αὗται τὴν τροφὴν παρέχουσι τοῖς ὀστέοις. [17] τὰ δὲ ὀστέα τοιαύτην αὔξησιν ὁποῖά περ ἐστιν. [18] καὶ τὰ ἄλλα δὲ πάντα, τοιαύτην ἀποδιδῶσιν αὔξησιν, ὁποῖα αὐτά ἐστιν. [19] Καὶ γὰρ αἱ φλέβες αἱ ἐκ τῆς νηδύος καὶ τῶν ἐντέρων, [20] ἐς ἃ ξυλλέγεται τὰ σιτία καὶ τὰ ποτὰ, [21] ἐπειδὰν θερμανθῇ ταῦτα, ἕλκουσι τὸ λεπτότατον καὶ τὸ ὑγρότατον· [22] τὸ δὲ παχύτατον αὐτοῦ καταλείπεται, [23] καὶ γίνεται κόπρος ἐν τοῖσιν ἐντέροισι τοῖσι κάτω.

XIII. Τὸ δὲ λεπτότατον αἱ φλέβες ἕλκουσιν ἐκ τῆς νηδύος καὶ τῶν ἐντέρων τῶν ἄνωθεν, [2] [μᾶλλον] τῆς νήστιος, θερ-

bus & articulis semper liquidissimum ipsorum discedens, & glutinosum redditur, & à calido siccatum ac arefactum, foras in ungues delegatur.

XII. Dentes autem posterius generantur ex hac caussa. [2] Ex ossibus capitis ac maxillarum incrementum fit glutinosi, [3] & quod ex pingui inest, à calido siccatum exuritur, & fiunt dentes reliquis ossibus duriores: [4] quia nihil frigidi inest. [5] Et primi quidem dentes nascuntur à victu in utero, [6] & postquam natus fuerit, puero lactenti à lacte. [7] Vbi vero hi exciderint, à cibis & potibus. [8] Excidunt autem, ubi ad annos primi alimenti pervenerint. [9] Quibusdam etiam prius; [10] si à morbido alimento nati fuerint. [11] Plurimis vero quum septem annos impleverunt, [12] Qui vero postea enascuntur, simul consenescunt, [13] nisi præ morbo perforentur. [14] Cæterum dentes propterea posterius aliis nascuntur. [15] In maxilla venæ sunt, [16] & hæ huic ossi soli inter omnia ossa, ex inferno ventre alimentum præbent. [17] Ossa vero tale augmentum dant, qualia existunt: [18] sed & alia omnia tale augmentum reddunt, qualia ipsa existunt. [19] Etenim venæ ex ventre ac intestinis, [20] in quæ cibi ac potus colliguntur, [21] postquam hi fuerint calfacti, tenuissimum ac liquidissimum trahunt, [22] crassissimum autem & fex isthic relinquitur, [23] computrescitque & fit stercus in inferioribus intestinis.

XIII. Tenuissimum vero trahunt venæ ex ventre ac intestinis, [2] quæ supra jejunum intestinum existunt, atque hoc cal-

factis

θερμαινομένων τῶν σιτίων. ἐπὴν δὲ ἐς τὸ κάτω ἔντερον, ξυνεστράφη, καὶ κόπρος ἐγένετο. [4] ἡ δὲ τροφὴ ἐπὴν ἀφίκηται, ἕκαστον τοιαύτην ἀποδοκεῖ τὴν ἰδέην ἑκάστῳ, ὁκοῖόν περ ἦν. [5] ἀρδόμενα γὰρ ὑπὸ τῆς τροφῆς αὔξεται ἕκαστα. [6] τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ κολλῶδες, καὶ τὸ λιπαρὸν, καὶ τὸ γλυκὺ, καὶ τὸ πικρὸν, καὶ τὰ ὀστέα, καὶ τὰ ἄλλα ξύμπαντα. ὁκόσα ἐν τῷ ἀνθρώπῳ ἐστί. [7] διὰ τοῦτο ὕστερον οἱ ὀδόντες φύονται. [8] εἴρηται δὲ μοι καὶ πρότερον, ὅτι μοῦναι τῶν ὀστέων αἱ γνάθοι φλέβας ἔχουσιν αὐταὶ ἐν ἑωυτῇσι. [9] καὶ διὰ τοῦτο τροφὴ ἕλκεται πλέον ἐς ταῦτα ἢ ἐς τὰ ἄλλα ὀστέα. [10] καὶ πλείονα τὴν τροφὴν ἔχοντα, καὶ ἀθροωτέρην τὴν ἐπιῤῥοὴν, ἀποτελεῖ αὔξησιν αὐτὰ ἀφ' ἑωυτέων τοιαύτην, οἷά περ ἐστὶν αὐτά. [11] ἕως ἄν περ καὶ ἄνθρωπος ὅλος αὐξάνηται. [12] αὐξάνεται δὲ, ἐπὴν γένηται ἐπίδηλος. [13] ἐπίδηλος δὲ μάλιστα γίνεται ἀπὸ ἑπταέτεος, μέχρι τεσσαρεσκαιδεκαέτεος. [14] καὶ ἐν τουτέῳ τῷ χρόνῳ οἵ τε μέγιστοι τῶν ὀδόντων φύονται, καὶ ἄλλοι πάντες, ἐπὴν ἐκπέσωσιν, οἱ ἐγένοντο ἀπὸ τῆς τροφῆς τῆς ἐν τῇ μήτρῃ.

XIV. Αὔξεται δὲ καὶ ἐς τὴν τρίτην ἑβδομάδα, [2] ἐν ᾗ νεηνίσκος γίνεται, μέχρι τεσσάρων καὶ πέντε ἑβδομάδων. [3] καὶ ἐν τῇ τετάρτῃ δὲ ἑβδομάδι ὀδόντες φύονται δύο τοῖσι πολλοῖσι τῶν ἀνθρώπων [4] οἵ τοι καλέονται σωφρονιστῆρες.

XV. Αἱ δὲ τρίχες φύονται ὧδε. [2] ὀστέα ἐστὶ καὶ ἐγκέφαλος, ἀφ' ὧν ἡ τοιαύτη αὔξησις, [3] ὅτι τοῦ πέριξ κολλώδεος, [4] ὅπως περ τοῖσι νεύροισι, [5] καὶ τοῦ λιπαροῦ οὐκ ἔνε-

σιν

factis jam cibis. [3] Vbi autem jejunum intestinum transierint, & in inferiora intestina collecti fuerint, stercus fiunt. [4] At vero alimentum ubi accesserit, unumquodque talem speciem unicuique reddit, qualia sane erant. [5] Singula enim ab alimento irrigata augmentum capiunt, [6] calidum, & frigidum, & glutinosum & pingue, & dulce, & amarum, & ossa, & alia universa quæ in homine insunt. [7] Et ob id dentes posterius nascuntur. [8] Dictum autem à me prius est, quod solæ ex ossibus maxillæ, ipsæ in seipsis venas habent, [9] & ob id alimentum amplius in ipsas quam in alia ossa trahitur. [10] & quia uberius alimentum, & densiorem influxum habent, augmentum ipsæ à seipsis tale pariunt, quales sane ipsæ existunt, [11] atque hoc donec homo integer augescat. [12] Augescit autem ubi conspicuus evadit, [13] conspicuus vero fit maxime à septennio, usque ad decimum quartum annum. [14] & in hoc tempore, tum maximi ex dentibus, tum alii omnes nascuntur, postquam exciderint hi qui ab alimento in utero nati sunt.

XIV. Augescit autem & in tertium annorum septenarium, [2] in quo adolescens fit, usque ad quartum & quintum septenarium. [3] Quin & in quarto septenario dentes enascuntur, [4] plerisque hominibus duo, [4] qui sapientiæ dentes appellantur.

XV. Porro capilli sic nascuntur. [2] Ossa sunt & cerebrum à quibus tale augmentum venit, [3] utpote glutinoso circumcirca existente, [4] quemadmodum & nervis, [5] & pinguitudinis nihil inest.

ἔνι. [6] εἰ γὰρ ἐνῆν τοῦ λιπαροῦ, ἐξεκεκαύκει ἂν ὑπὸ τοῦ θερμοῦ. [7] τάχα δὲ θαυμάσειεν ἄν τις, ὅτι καὶ ἐν τῇσι μασχάλῃσι καὶ ἐν τῷ ἐπισείῳ τρίχες πολλαὶ καὶ ἐν τῷ σώματι παντί ἐστιν. [8] οὗτος οὗτος λόγος περὶ πάντων. [9] ὅπου τύχοι τοῦ σώματος τὸ κολλῶδες ἐὸν, ἐν τούτῳ καὶ τρίχες γίνονται ὑπὸ τοῦ θερμοῦ.

XVI. Ἀκούει δὲ διὰ τόδε. [2] τὰ τρήματα τῶν ὤτων προσήκει πρὸς ὀστέον σκληρόν τε καὶ ξηρὸν ὅμοιον λίθῳ. [3] τοῦτο δὲ πέφυκε πρὸς ὀστέον κοίλωσις σηραγγώδης. [4] οἱ δὲ ψόφοι ἀπερείδονται πρὸς σκληρόν. [5] τὸ δὲ ὀστέον τὸ κοῖλον ἐπηχεῖ διὰ τοῦ σκληροῦ. [6] τὸ δέρμα τὸ πρὸς τῇ ἀκοῇ πρὸς τῷ ὀστέῳ τῷ σκληρῷ λεπτόν ἐστιν ὥσπερ ἀράχνιον, καὶ ξηρότατον τοῦ ἄλλου δέρματος. [7] τεκμήρια δὲ πολλὰ, ὅτι ξηρότατον ἠχεῖ μάλιστα. [8] ὅταν δὲ μέγιστον ἠχήσῃ, μάλιστα ἀκούομεν. [9] καὶ εἰσί τινες, οἳ ἔλεξαν, φύσιν ξυγγράφοντες, [10] ὅτι ὁ ἐγκέφαλός ἐστιν ὁ ἠχέων. [11] τοῦτο δὲ οὐκ ἂν γένοιτο. [12] αὐτός τε γὰρ ὁ ἐγκέφαλος ὑγρός ἐστι, [13] καὶ μῆνιγξ περὶ αὐτόν ἐστιν ὑγρὴ καὶ παχείη, [14] καὶ περὶ τὴν μήνιγγα ὀστέα. [15] οὐδὲν οὖν τῶν ὑγρῶν ἠχεῖ, ἀλλὰ τὰ ξηρά. [16] τὰ δὲ ἠχέοντα, ἀκοὴν ποιέει.

XVII. [1] Ὀσφραίνεται δὲ ὁ ἐγκέφαλος ὑγρὸς ἐὼν, [2] τὴν ὀδμὴν τῶν ξηρῶν ἕλκων [3] σὺν τῷ ἠέρι [4] διὰ τῶν βρογχίων ξηρῶν ἐόντων. [5] προήκει γὰρ ὁ ἐγκέφαλος τῆς ῥινὸς ἐς τὰ κοῖλα, [6] καὶ ταύτῃ αὐτῷ οὐκ ἔστιν ἐπίπροσθεν ὀστέον, [7] ἀλλὰ χονδρίον μαλθακὸν ὥσπερ σπόγγος, [8] οὔτε κρέας οὔτε ὀστέον. [9] καὶ ὅπου μὲν ξηρὰ ᾖ τὰ κοῖλα τῆς ῥινὸς, ἀπομεμάθηκε τῶν ξηρῶν ὀσφραίνεσθαι αὐτὸς ἑωυτοῦ ἀκριβέστερος

inest. [6] Si enim pinguitudo affuisset, ex calido sane exusta esset. [7] Fortassis autem mirabitur quis, quod etiam sub alis & in pube pili multi, & quibusdam in toto corpore existunt. [8] Verum 160
hic sermo de eo est, [9] quod ubicunque in corpore glutinosum est, ibi pili à calore fiunt.

XVI. Auditus autem inde contingit. [2] Foramina aurium ad os durum & siccum lapidi simile pertingunt. [3] Jam vero ad ipsum os est cavitas antrosa. [4] Strepitus autem ad durum firmantur, [5] os autem cavum resonat per durum. [6] Pellicula vero in aure juxta os durum tenuis est, velut aranci tela, & omnium pelliculārum siccissima. [7] Quod autem 165
id quod siccissimum est maxime resonat, multa signa sunt. [8] Quum igitur plurimum resonuit, maxime audimus. [9] Et sunt quidam, qui de natura scribentes prodiderunt, [10] quod cerebrum est quod sonum edit. [11] Hoc autem fieri non potest. [12] Ipsum enim cerebrum humidum est, [13] & membrana sive tunica circum ipsum humida est & crassa, [14] itemque circum tunicam ossa. [15] Nullum igitur humidum resonat, sed sicca: [16] resonantia au- 170
tem auditum faciunt.

XVII. Olfacit porro cerebrum humidum existens, [2] aridorum odorem una [3] cum aëre, [4] per corpuscula cartilaginosa ipsum trahens. [5] Cerebrum in cavitatem nasi pertingit, [6] atque hac parte non est ante ipsum os aliquod, [7] sed cartilago mollis velut spongia: [8] neque caro, neque ossiculum. [9] Et ubi quidem cavitas nasi sicca fuerit, ipsum sc- ipso

ἐστιν. [10] ὕδατος γὰρ οὐκ ὀδμᾶται. [11] ὑγρότερον γάρ ἐστι τοῦ ἐγκεφάλου, [12] ἐὰν μὴ σαπῇ. [13] σηπόμενον γὰρ τὸ ὕδωρ παχύτερον γίνεται, καὶ τὰ ἄλλα πάντα. [14] ὁκόταν δὲ ὑγρανθέωσιν αἱ ῥῖνες, οὐ δύνανται ὀσφραίνεσθαι. [15] οὐ γὰρ τὸν ἠέρα ἕλκει αὐτὸς πρὸς ἑωυτόν. [16] ταὐτῃ δὲ καὶ ὅταν ἀποτήκῃ ὁ ἐγκέφαλος, πλεῖστον αὐτὸς ἀφ' ἑωυτοῦ ἐς τὴν ὑπερῴην, καὶ τὴν φάρυγγα, καὶ τὸν πλεύμονα, καὶ ἐς τὴν ἄλλην κοιλίην, [17] γινώσκουσιν οἱ ἄνθρωποι, καὶ φασὶ καταῤῥεῖν ἐκ τῆς κεφαλῆς. [18] καταῤῥεῖ δὲ καὶ ἐς τὸ ἄλλο σῶμα, [19] καὶ ἔστι τρόπος τοῦ θερμοῦ.

XIIX. Ὁρῇ δὲ διὰ τοῦτο. [2] ἀπὸ τοῦ ἐγκεφάλου τῆς μήνιγγος φλὲψ καθήκει ἐς τὸν ὀφθαλμὸν διὰ τοῦ ὀστέου ἑκάτερον. [3] διὰ τουτέων τῶν φλεβῶν ἀπὸ τοῦ ἐγκεφάλου διηθέεται τὸ λεπτότατον τοῦ κολλωδεστάτου. [4] καὶ διὰ τοῦτο αὐτὸ περὶ αὐτὸν δέρμα ποιέει τοιοῦτον, [5] οἷόν περ περὶ αὐτό ἐστι τὸ διαφανὲς τοῦ ὀφθαλμοῦ, τὸ πρὸς τὸν ἠέρα, [6] πρὸς ὃ προσβάλλει τὰ πνεύματα, [7] κατὰ τὸν αὐτὸν λόγον, ὥσπερ περὶ τῶν ἄλλων δερμάτων ἔλεξα. [8] πολλὰ δὲ ταῦτ' ἐστὶ τὰ δέρματα, ὅ περὶ τοῦ ὁρέοντος διαφανέος, ὁκοῖόν περ αὐτό ἐστι. [9] τούτῳ γὰρ τῷ διαφανεῖ ἀνταυγεῖ τὸ φῶς καὶ τὰ λαμπρὰ πάντα. [10] τουτέῳ οὖν ὁρῇ τῷ ἀνταυγέοντι. [11] ὅ, τι δὲ μὴ λαμπρόν ἐστι, μηδὲ ἀνταυγεῖ, τουτέῳ οὐχ ὁρῇ. [12] τὸ δὲ ἄλλο τὸ περὶ τοὺς ὀφθαλμοὺς λευκόν, κρέας ἐστίν. [13] ἡ δὲ κόρη καλεομένη τοῦ ὀφθαλμοῦ μέλαν φαίνεται διὰ τοῦτο, [14] ὅτι ἐν βάθει ἐστίν, [15] καὶ χιτῶνες περὶ αὐτό εἰσι μέλανες. [16] χιτῶνα δὲ καλέομεν, τὸ οἷον ὥσπερ δέρμα.

ipso exactius arida olfacit. [10] Aquam enim non olfacit. [11] Humidior est enim quam cerebrum, [12] nisi sit putrefacta. [13] Putrefacta enim aqua crassior fit, & alia omnia. [14] Quum vero nares humectæ fuerint, olfacere non possunt. [15] Non enim aerem attrahit cerebrum ipsum ad seipsum. [16] Similiter etiam ubi cerebrum ipsum de seipso plurimum liquefecerit, in palatum, & fauces, & pulmonem ac reliquum ventrem: [17] cognoscunt autem hoc homines, & ex capite destillare dicunt: [18] destillat autem & in reliquum corpus. [19] Et est modus ejus calidus.

XIIX. At vero visus propterea contingit. [2] A cerebri membrana vena in utrunque oculum per os descendit: [3] per has duas venulas, quod est glutinosissimi tenuissimum de cerebro percolatur, [4] & propterea ipsam circum ipsum oculum tunicam talem facit, [5] quale est ipsum oculi pellucidum, quod ad aerem vergit, [6] ad quod venti ac flatus irruunt, [7] eadem plane ratione quemadmodum de aliis membranis ac tunicis dixi. [8] Sunt autem multæ hæ tunicæ præ oculis pellucidæ, quales ipsi existunt. [9] Huic enim pellucido lumen & omnia splendida relucent, [10] per hoc igitur relucens videt: [11] quod vero non splendidum est, neque relucet, per hoc non videt. [12] Verum reliquum quod circum oculos est album, caro est. [13] Quæ vero pupilla oculi appellatur, nigra apparet, [14] ob id quod in profundo est; [15] & tunicæ circum ipsam nigræ sunt. [16] Tunicam autem appellamus id, quod velut

δέρμα. 17 ἔστι δὲ οὐ μέλαν ὄψει, ἀλλὰ λευκὸν διαφανές. 18 ἔστι δὲ ὑγρὸν κολλῶδες. 19 πολλάκις γὰρ ὑπώπτευμεν ἐπὶ συῤῥαγέντος ὀφθαλμοῦ ἐξιὸν ὑγρὸν κολλῶδες. 20 καὶ μὲν ἢν ἔτι θερμὸν, ὑγρόν ἐστιν· 21 ἐπειδὰν δὲ ψυχθῇ, ἐγένετο ξηρὸν, ὥσπερ λιβανωτὸς διαφανής. 22 καὶ τῶν ἀνθρώπων καὶ τῶν θηρίων ὅμοιόν ἐστι. 23 τὸν δὲ ὀφθαλμὸν ἀνιᾷ πᾶν ὅ, τι ἂν ἐμπέσῃ, 24 καὶ τὰ πνεύματα προσβάλλοντα, 25 καὶ τὰ ἄλλα, ὅσα λαμπρότερα ἢ κατ' αὐτόν ἐστι. 26 καὶ ἤν τις ἐξερέοιτο, διὰ τόδε, ὅτι ὁμόχροιά ἐστιν [ἔνυγρος,] 27 ὥσπερ τὸ στόμα, καὶ ἡ γλῶσσα, καὶ ἡ ἄλλη κοιλίη, ἔνυγρά ἐστιν.

XIX. Διαλέγεται δὲ διὰ τὸ πνεῦμα ἕλκειν εἴσω πᾶν τὸ σῶμα. 2 τὸ πλεῖστον δὲ ἐς τὰ κοῖλα αὐτὸ ἑωυτῷ. 3 αὐτὸ δὲ θύραζε ὠθεόμενον διὰ τὸ κενὸν, ψόφον ποιέει. 4 ἡ κεφαλὴ γὰρ ἐπηχέει. 5 ἡ δὲ γλῶσσα ἀρθροῖ προσβάλλουσα, 6 ἐν [τῷ] τῷ λάρυγγι ἀποφράσσουσα, 7 καὶ προσβάλλουσα πρὸς τὴν ὑπερῴην καὶ πρὸς τοὺς ὀδόντας, 8 ποιέει σαφηνίζειν. 9 ἢν δὲ μὴ ἡ γλῶσσα ἀρθροῖ προσβάλλουσα ἑκάστοτε, οὐκ ἂν σαφέως διαλέγοιτο, 10 ἀλλ' ἢ ἕκαστα φύσει τὰ μονόφωνα. 11 τεκμήριον δέ ἐστι τουτέῳ 12 οἱ κωφοὶ, οἱ ἐκ γενεῆς. οὐ γὰρ ἐπίστανται διαλέγεσθαι, 13 ἀλλὰ τὰ μονόφωνα μοῦνον φωνέουσιν. 14 οὐδ' εἴ τις τὸ πνεῦμα ἐκπνεύσας πειρῷτο διαλέγεσθαι. 15 δῆλον δὲ τόδε. 16 οἱ ἄνθρωποι, ὁκόταν βούλωνται μέγα φωνῆσαι, 17 ἑλκύσαντες τὸ πνεῦμα τὸ ἔξω, 18 ὠθέουσι θύραζε, καὶ φθέγγονται μέγα, 19 ὡς ἂν ἀντέχῃ τὸ πνεῦμα· 20 ἔπειτα δὲ, καταμαραίνεται τὸ φθέγμα. 21 καὶ οἱ κιθαρῳδοὶ, ὁκόταν

velut pellicula inest. 17 Est autem non nigra si quis inspiciat, sed alba ac pellucida. 18 Humidum vero oculi, glutinosum existit. 19 Sæpe enim vidimus in oculo rupto exire humorem glutinosum: 20 & siquidem adhuc calidus fuerit, liquidus est: 21 postquam vero perfrigeratus est, siccus evadit, velut thus transparens. 22 Atque hoc & in hominibus & in brutis similiter habet. 23 Cæterum oculum molestia afficit omne quod inciderit, 24 & venti irruentes, 25 & alia quæ splendidiora sunt, quam ipse est. 25 Et si quis interroget, respondere licet, propterea quod consimilis coloris existunt. 27 Quemadmodum os, & lingua, & reliquus venter, humida sunt.

XIX. Sermonis porro facultas inde est. Totum corpus spiritum intro trahit, 2 plurimum vero in cavitates sibi ipsi accumulat. 3 Is autem qui per inane foras currit, strepitum facit, 4 caput enim resonat, 5 lingua vero articulat, occurrens 6 in faucibus, obturansque 7 ac pellens ad palatum & dentes, 8 clarè item ejus facit. 9 Si autem lingua semper occurrens non articularet, non posset homo clare disserere, 10 sed singula à natura unam vocem haberent. 11 Hujus signum est: 12 Muti ex nativitate disserere non possunt, 13 sed unam tantum vocem sonant, 14 etiam si quis spiritum efflans sermonem proferre conetur. 15 Manifestum autem hoc est. 16 Homines ubi voluerint magnam vocem edere, 17 attrahentes spiritum externum, 18 eum foras propellunt, & magnam vocem edunt, 19 prout spiritus durat, 20 postea vero vox contabescit. 21 Sed & citharœdi, quum

ὁκόταν δέῃ αὐτοὺς μακροφωνέειν, ἐπ' ἄκρον ἑλκύσαντες τὸ πνεῦμα ἔσω, [22] πολὺ ἐκτείνουσι τὴν ἐκφώνησιν, [23] καὶ φωνοῦσι, καὶ φθέγγονται μέγα, ὡς ἂν ἐνηχῶσι τοῦ πνεύματος. [24] ἐπὴν δὲ τὸ πνεῦμα ἐπιλείπῃ, καταπαύονται. [25] τελέουσι δῆλον, ὅτι τὸ πνεῦμά ἐστι τὸ φθεγγόμενον. [26] εἶδον δὲ ἤδη οἳ σφάξαντες ἑωυτοὺς, ἀπέταμον τὸν λάρυγγα πάντῃ ἀπέπαισαν. [27] οὗτοι ζῶσι μὲν, φθέγγονται δὲ οὐδὲν, εἰ μή τις ξυλλάβῃ τὸν λάρυγγα. [28] οὗτοι δὲ φθέγγονται. [29] δῆλον δὲ καὶ τοῦτο, ὅτι τὸ πνεῦμα οὐ δύναται διατετμημένου τοῦ λάρυγγος ἕλκειν ἔσω ἐς τὰ κοῖλα, ἀλλὰ κατὰ τὸ διατετμημένον ἐκπνέει. [30] οὕτως ἔχει περὶ φωνῆς ἴσως καὶ διαλέξιος.

quum ipsos vocem intendere oportuerit, spiritum quamplurimum intro trahentes [22] pronunciationem extendunt, [23] & vociferantur ac vocem magnam edunt, prout spiritus durarit: [24] ubi vero spiritus defecerit, desinunt. [25] Ex quibus manifestum est quod spiritus est, qui vocem edit. [26] Vidi autem jam quosdam qui sibi ipsis manu illata guttur penitus persecuerant, [27] atque hi vivunt quidem, verum nullam vocem edunt, nisi quis guttur constringat, [28] hi autem sermonē proferunt. [29] Manifestum vero & hoc est, quod præsecto gutture spiritum attrahere intro in cavitates non possunt, sed per præsectam partem exhalat. [30] Sic sane res de voce ac sermone se habet.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΓΟΝΗΣ.

HIPPOCRATIS DE GENITURA.

Basil. græc. Foesius sect. III, II, 231. Basil. lat.

139 pag 27 30

ΝΟΜΟΣ [1] μὲν πάντα κρατύνει. [2] ἡ δὲ γονὴ τοῦ ἀνδρὸς ἔρχεται ἀπὸ παντὸς τοῦ ὑγροῦ, τοῦ ἐν τῷ σώματι ἐόντος, [3] τὸ ἰσχυρότατον ἀποκριθέν. [4] τοῦτο δὲ ἱστόριον τόδε, ὅτι ἀποκρίνεται τὸ ἰσχυρότατον, [5] ὅτι ἐπὴν λαγνεύσωμεν, σμικρὸν οὕτω μεθέντες, ἀσθενέες γινόμεθα. [6] ἔχει δὲ οὕτω. [7] φλέβες καὶ νεῦρα ἀπὸ παντὸς τοῦ σώματος τείνουσιν ἐς τὸ αἰδοῖον, [8] οἷσιν ὑποτριβομένοισι καὶ θερμαινομένοισι καὶ πληρευμένοισιν, [9] ὥσπερ κνησμὸς ἐμπίπτει, [10] καὶ τῷ σώματι παντὶ ἡδονὴ καὶ θέρμη ἐκ τούτου προσ-

Lex quidem omnia corroborat. [2] Verum genitura viri provenit ab omni humido, quod in corpore existit, [3] ita ut id quod robustissimum est secernatur. [4] Argumentum autem ejus, quod robustissimum secernitur, hoc est: [5] quod à veneris usu paucula adeo re emissa, imbecilles reddimur. [6] Habet autem res hoc modo. [7] Venæ & nervi ab omni corpore in pudendum vergunt, [8] quibus dum aliquantulum teruntur, & calescunt ac implentur, [9] velut pruritus incidit, [10] & ex hoc toti corpori voluptas ac caliditas ac-

γίνεται. 11 τριβομένου δὲ τοῦ αἰδοίου, καὶ τοῦ ἀνθρώπου κινευμένου 12 τὸ ὑγρὸν θερμαίνεται ἐν τῷ σώματι, καὶ διαχέεται, καὶ κλονέεται ὑπὸ τῆς κινήσιος, καὶ ἀφρέει, 13 καθάπερ καὶ τ' ἄλλα ὑγρὰ ξύμπαντα κλονεόμενα ἀφρέει.

II. Οὕτω δὲ καὶ ἀπὸ τοῦ ἀνθρώπου ἀποκρίνεται ἀπὸ τοῦ ὑγροῦ ἀφρέοντος τὸ ἰσχυρότατον καὶ τὸ πιότατον, 2 καὶ ἔρχεται ἐς τὸν νωτιαῖον μυελόν. 3 τείνουσι γὰρ [ὁδοὶ] ἐς τοῦτον ἐκ παντὸς τοῦ σώματος, 4 καὶ διαχέει ἐκ τοῦ ἐγκεφάλου ἐς τὴν ὀσφῦν, καὶ ἐς πᾶν τὸ σῶμα καὶ ἐς τὸν μυελόν. 5 καὶ ἐξ αὐτοῦ τείνουσιν ὁδοί, ὥστε καὶ ἐπιέναι τὸ ὑγρὸν ἐς αὐτὸν καὶ ἀποχωρέειν. 6 ἐπὴν δὲ ἔλθῃ ἐς τοῦτον τὸν μυελὸν ἡ γονή, χωρέει παρὰ τοὺς νεφρούς. 7 ταύτῃ γὰρ ἡ ὁδός ἐστι διὰ φλεβῶν. 8 κὴν οἱ νεφροὶ ἑλκωθῶσιν, ἔστιν ὅτε καὶ αἷμα ξυμφέρεται. 9 παρὰ δὲ τῶν νεφρῶν ἔρχεται διὰ τῶν ὀρχίων μεσσάτων ἐς τὸ αἰδοῖον. 10 καὶ χωρέει οὐχ ὅπη τὸ οὖρον, 11 ἀλλά οἱ ἄλλη ὁδός ἐστιν αὐτῆς ἐχομένη. 12 καὶ οἱ ἐξονειρώσσοντες διὰ τοῦτο ἐξονειρώσσουσιν. 13 ἐπὴν τὸ ὑγρὸν ἐν τῷ σώματι διακεχυμένον ᾖ καὶ διάθερμον, 14 εἴτε ὑπὸ ταλαιπωρίης, 15 εἴτε ὑπὸ ἄλλου τινός, ἀφρέει, 16 καὶ ἀποκρινόμενον ἀπ' αὐτοῦ, ὁρῶσι φαντασίην οἷον λαγνείη. 17 ἔχει γὰρ τὸ ὑγρὸν τοῦτο ὥσπερ λαγνεύοντι. 18 ἀλλ' ἐμοὶ περὶ ἐξονειρωσσόντων, 19 καὶ παντὸς τοῦ νοσήματος, τί ἐστι, 20 καὶ ὁκόσα ἐργάζεται, 21 καὶ διότι πρὸ λαγνείης, 22 ταῦτα μὲν ἐς τοῦτο μοι εἰρέαται.

III. Οἱ δὲ εὐνοῦχοι διὰ ταῦτα οὐ λαγνεύουσιν, ὅτι σφέων ἡ δίοδος ἀμαλδύνεται τῆς γονῆς. 2 Ἔστι

accidit. 11 Quum vero pudendum teritur, & homo movetur, humidum in corpore calescit, ac diffunditur, & à motu conquassatur, ac spumescit: 12 quemadmodum etiam alii humores omnes conquassati spumescunt.

II. Sic autem in homine ab humido spumescente id, quod robustissimum est ac pinguissimum secernitur, 2 & ad medullam spinalem venit. 3 Tendunt enim in hanc ex omni corpore viæ, 4 & diffundunt ex cerebro in lumbos, ac in totum corpus, & in medullam: 5 & ex ipsa medulla procedunt viæ, ut & ad ipsam humidum perferatur, & ex ipsa secedat. 6 Postquam autem ad hanc medullam genitura pervenerit, procedit ad renes, 7 hac enim via tendit per venas: 8 & si renes fuerint exulcerati, aliquando etiam sanguis simul defertur: 9 à renibus autem transit per medios testes in pudendum. 10 Procedit autem non qua urina, 11 verum alia ipsi via est illi contigua. 12 Et sane qui somnia venerea habent, propterea per somnum genituram effundunt, 13 quum humidum in corpore diffusum & calfactum fuerit, 14 & sive ex labore, 15 sive alia quapiam re spumuerit, 16 dum ab ipso secernitur, coitus imaginem repræsentat. 17 Habet enim humiditas hæc similiter ut in coeuntibus. 18 Sed non est mihi de his qui per somnum semen emittunt, 19 & de toto morbo, quid est, 20 & quæ operatur, 21 & quare coitus locum expleat, sermo: 22 atque hæc quidem de hoc dicta sufficiunt.

III. Cæterum eunuchi propterea non coeunt, quia genituræ transitus ipsis sublatus est. 2 Est

[2] ἔστι γὰρ δι' αὐτῶν τῶν ὀρχίων ἡ ὁδὸς, [3] καὶ νεῦρα τείνει λεπτὰ καὶ πυκνὰ ἐς τὸ αἰδοῖον ἐκ τῶν [1] ὀρχίων, [4] οἷσιν ἀείρεται καὶ χαλᾶται. [5] καὶ ταῦτα ἐν τῇ τομῇ ἀποτέμνεται, [6] διότι καὶ οὐχ ὑπάρχουσιν οἱ εὐνοῦχοι χρηστοί. [7] τῶν δὲ τοιῶνδε ἐκτριβέντων, ἡ ὁδὸς τῆς γονῆς ἐμπέφρακται. [8] πωροῦνται γὰρ οἱ ὄρχιες, [9] καὶ τὰ νεῦρα σκληρὰ καὶ νωθρὰ γινόμενα ὑπὸ τοῦ πώρου, οὐ δύναται τείνειν καὶ χαλᾶν. [10] ὁκόσοι δὲ παρ' οὖς τετμημένοι εἰσὶν, οὗτοι λαγνεύουσι μὲν, καὶ ἀφιᾶσιν, [11] ὀλίγον δὲ, καὶ ἀσθενὲς, [1] καὶ ἄγονον. [12] χωρέει γὰρ τὸ πλεῖστον τοῦ γόνου ἀπὸ τῆς κεφαλῆς παρὰ τὰ οὔατα ἐς τὸν νωτιαῖον μυελόν, [13] αὕτη δὲ ἡ δίοδος ὑπὸ τῆς τομῆς, οὐλῆς γενομένης, στερεὴ γέγονεν.

IV. Τοῖσι δὲ παιδίοισι λεπτὰ τὰ φλέβια ἐόντα καὶ πληρεύμενα κωλύει τὴν γονὴν ἰέναι, [2] καὶ ὁ κνησμὸς οὐχ ὁμοίως παραγίνεται. [3] διὰ ταῦτα οὐδὲ κλονέεται ἐν τῷ σώματι τὸ ὑγρὸν ἐς ἀπόκρισιν τῆς γονῆς. [4] καὶ τῇσι παρθένοισι, μέχρις ἂν νέαι ἔωσιν, οὐ χωρέει τὰ καταμήνια, δι' αἴτιον τὸ αὐτό. [5] ἐπὴν δὲ αὔξωνται καὶ παρθένος καὶ παῖς, αἱ φλέβες αἱ ἐς τὸ αἰδοῖον τείνουσαι τοῦ παιδὸς, καὶ τῆς παρθένου, καὶ ἐπὶ τὰς μήτρας, [6] εὔροοι γίγνονται ὑπὸ τῆς αὔξης, καὶ στομοῦνται, καὶ ὁδὸς καὶ δίοδος διὰ στενῶν γίνεται, [7] καὶ τὸ ὑγρὸν κλόνησιν τότε ἴσχει. [8] εὐρυχωρίη γὰρ οἱ τότε γίνεται, ἔνθα κλονήσεται. [9] καὶ τῷ παιδὶ [ἡ γονὴ] χωρέει, [1] ἐπὴν ἁδρὸς ἔῃ, διὰ τόδε, [10] καὶ τῇ παρθένῳ τὰ καταμήνια. [11] ταῦτα δέ μοι οὕτως ἀποπέφανται.

V. Τὴν

[2] Est enim per ipsos testes via ejus, [3] & nervi tenues ac crebri ex testibus in pudendum tendunt, [4] quibus & elevatur, & demittitur: [5] atque hi nervi in exsectione dum castrantur, rescinduntur. [6] quapropter non sunt utiles eunuchi. [7] Nam nervis ipsorum extritis, genituræ via obturata est. [8] Callus enim obducitur testibus, [9] & nervi duri ac torpentes [1] à callo facti, pudendum neque tendere, neque laxare possunt. [10] Quibuscunque vero juxta aures venæ sectæ sunt, hi coeunt quidem, & genituram emittunt, [11] verum modicam & debilem ac infœcundam. [12] Nam plurima genituræ pars à capite juxta aures in spinalem medullam procedit. [13] Ipse autem transitus, cicatrice sectioni inducta, consolidatus est.

IV. At vero pueris venulæ tenues, & repletæ existentes, genituræ [1] transitum impediunt, [2] & pruritus ipsis non similiter accedit, [3] & propterea neque conquassatur in corpore humidum ad genituræ secretionem. [4] Quin & virginibus quousque juvenculæ fuerint, menses non procedunt, propter eandem caussam. [5] Postquam autem adoleverint & virgo & puer, venæ in pudendum pueri tendentes, itemque virginis uterum, [6] amplæ fiunt præ augmento, & oscula ipsarum [1] aperiuntur, & via ac transitus per angustias contingit, [7] & humidum tunc etiam agitationem habet. [8] Nam spatiositas ipsi tunc ab agitatione ac conquassatione contingit: [9] & puero sane procedit genitura ubi plene puber fuerit ob hanc caussam, [10] itemque virgini menses. [11] atque hæc mihi sic demonstrata sunt.

V. Por-

v. Τὴν δὲ γονὴν φημὶ ἀποκρίνεσθαι ἀπὸ παντὸς τοῦ σώματος, [2] καὶ ἀπὸ τῶν στερεῶν, [3] καὶ ἀπὸ τῶν μαλθακῶν, [4] καὶ ἀπὸ τοῦ ὑγροῦ παντὸς τοῦ ἐν τῷ σώματι. [5] εἰσὶ δὲ τέσσαρες ἰδέαι τοῦ ὑγροῦ αἷμα, χολὴ, ὕδωρ, καὶ φλέγμα. [6] τοσαύτας γὰρ ἰδέας ἔχει ξυμφυέας ὁ ἄνθρωπος ἐν ἑωυτῷ, [7] καὶ ἀπὸ τουτέων αἱ νοῦσοι γίγνονται, [8] ἢ αἱ ἐκ νούσων διακρίσιες. [9] καὶ ταῦτα μὲν εἴρηταί μοι περὶ γονῆς, [10] ὁκόθεν γίνεται, [11] καὶ ὅκως, [12] καὶ διότι, [13] καὶ οἷσιν οὐ γίνεται ἡ γονὴ, [14] καὶ διότι οὐ γίνεται, [15] καὶ περὶ καταμηνίων παρθένων. [16] τῇσι δὲ γυναιξὶν ἐν τῇ μίξει τριβομένου τοῦ αἰδοίου, καὶ τῶν μητρέων κινουμένων, ὥσπερ κνησμὸν ἐμπίπτειν ἐς αὐτὰς, καὶ τῷ ἄλλῳ σώματι ἡδονὴν καὶ θέρμην παρέχειν.

VI. Μεθίει δὲ καὶ ἡ γυνὴ ἀπὸ τοῦ σώματος. [2] ὁτὲ μὲν ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι ἰκμαλέαι γίγνονται· [3] ὁτὲ δὲ καὶ ἔξω, ἢν χάσκωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ. [4] καὶ ἥδεται ἐπὴν ἄρξηται μίσγεσθαι διὰ παντὸς τοῦ χρόνου, μέχρις ἂν αὐτὴν μεθῇ ὁ ἀνήρ. [5] κἢν μὲν ὀργᾷ ἡ γυνὴ μίσγεσθαι, πρόσθεν τοῦ ἀνδρὸς ἀφίει [6] καὶ τὸ λοιπὸν οὐκ ἔτι ὁμοίως ἥδεται ἡ γυνή. [7] ἢν δὲ μὴ ὀργᾷ, ξυντελέει τῷ ἀνδρὶ ἡδομένη. [8] καὶ ἔχει οὕτως, ὥσπερ εἴ τις ἐπὶ ὕδωρ ζέον ἕτερον ψυχρὸν ὕδωρ ἐπιχέει, παύεται τὸ ζέον. [9] οὕτω καὶ ἡ γονὴ πεσοῦσα τοῦ ἀνδρὸς ἐς τὰς μήτρας σβέννυσι τὴν θέρμην καὶ τὴν ἡδονὴν τῆς γυναικός. [10] ἐξαΐσσει δὲ ἡ ἡδονὴ καὶ ἡ θέρμη ἅμα τῇ γονῇ πιπτούσῃ ἐς τὰς μήτρας, ἔπειτα λήγει. [11] ὥσπερ εἴ τις ἐπὶ φλόγα οἶνον ἐπιχέει, ξυμβαίνει πρῶτα μὲν ἐξαΐσσειν τὴν φλόγα καὶ αὐ-

v. Porro genituram dico à toto corpore secerni, [2] & à solidis, [3] & à mollibus partibus, [4] & ab humido omni in toto corpore. [5] Sunt autem humidi species quatuor, Sanguis, bilis, aqua, & pituita. [6] Tot enim species congenitas homo in seipso habet, [7] & ab his morbi fiunt, [8] aut etiam ex morbis discretiones. [9] Et hæc quidem dicta sunt à me de genitura, [10] unde fiat, [11] & quomodo, [12] & quare, [13] & quibus genitura non est, [14] & quare non est, [15] & de mensibus virginum, [16] & quod mulieribus in coitu, dum confricatur ac teritur pudendum, & uteri moventur, velut pruritus in ipsos incidat, & quod reliquo corpori voluptas ac caliditas accedat.

VI. Emittit autem & mulier à corpore genituram, [2] aliquando in ipsum uterum, qui sane inde humidus evadit: [3] aliquando foras, si uterus magis, quam opportunum est, hiarit. [4] Et delectatur mulier ubi coire cœperit per omne tempus, donec vir semen emiserit. [5] Et si quidem appetit viro commisceri, prius quam vir emittit, [6] & de cætero non similiter delectatur. [7] Si vero non appetit, simul cum viro delectari desinit. [8] & habet res hoc modo, quemadmodum si quis in ferventem aquam, alteram frigidam infundat, illa fervere cessat. [9] Sic genitura viri in uterum illapsa, caliditatem & voluptatem mulieris extinguit. [10] Exilit autem voluptas & caliditas simul cum genitura in uteros illabente, deinde desinit. [11] quemadmodum si quis in flammam vinum infundat, primum quidem contingit flammam exilire, & per modicum tempus augeri,

αὔξεται δι' ὀλίγου, πρὸς τὴν ἐπίχυσιν τοῦ οἴνου, ἔπειτα λήγει. [12] ὡσαύτως δὲ τῇ γυναικὶ ἡ θέρμη ἐξαΐσσει πρὸς τὴν γονὴν τοῦ ἀνδρὸς, ἔπειτα λήγει. [13] ἧσσον δὲ πολλῷ ἥδεται ἡ γυνὴ τοῦ ἀνδρὸς ἐν τῇ μίξει. [14] πλείονα δὲ χρόνον ὁ ἀνήρ. [15] διότι δὲ μᾶλλον ὁ ἀνὴρ ἥδεται, ἀποκρίνεται αὐτῷ ἐξαπίνης ἀπὸ τοῦ ὑγροῦ ἀπὸ ταραχῆς ἰσχυροτέρης, ἢ τῇ γυναικί.

VII. Ἔχει δὲ τόδε οὕτως τῇσι γυναιξίν. [2] ἢν μὲν μίσγωνται ἀνδράσι, μᾶλλον ὑγιαίνουσιν· [3] ἢν δὲ μὴ, ἧσσον. [4] ἅμα μὲν γὰρ αἱ μῆτραι ἰκμαλέαι γίγνονται ἐν τῇ μίξει· [5] ὅτε ξηραὶ ἔωσι μᾶλλον τοῦ καιροῦ, ξυστρέφονται ἰσχυρῶς. [6] ξυστρεφόμεναι δὲ ἰσχυρῶς, πόνον τῷ σώματι παρέχουσιν· [7] ἅμα δὲ ἡ μίξις τὸ αἷμα θερμαίνουσα καὶ ὑγραίνουσα, ποιέει ὁδὸν ῥηιτέρην τοῖσι καταμηνίοισι. [8] τῶν δὲ καταμηνίων μὴ χωρεόντων, τὰ σώματα τῶν γυναικῶν ἐπίνοσα γίγνονται. [9] διότι δὲ ἐπίνοσα γίγνονται, εἰρήσεταί μοι ἐν τῇσι γυναικείῃσι νούσοισι. [10] καὶ ταῦτα μέν μοι εἴρηται ἐς τοσοῦτον. [11] ἐπὴν δὲ μιχθῇ ἡ γυνὴ, ἢν μὲν δὴ μὴ μέλλῃ λήψεσθαι πρὸς ἑωυτὴν, πρὸς τὸ ἔθος χωρέει ἔξω ἡ γονὴ ἀπ' ἀμφοτέρων, [12] ὁκόταν ἡ γυνὴ ἐθελήσῃ. [13] ἢν δὲ μέλλῃ λήψεσθαι, οὐ χωρέει ἔξω, ἀλλ' ἐμμένει ἐν τῇσι μήτρῃσιν ἡ γονή. [14] αἱ γὰρ μῆτραι δεξάμεναι καὶ μύσασαι, ἔχουσιν ἐν ἑωυτῇσιν, ἅτε ξυμπιεσθέντος τοῦ στόματος ὑπὸ τῆς ἰκμάδος, [15] καὶ μίσγεται ὁμοῦ, τό, τε ἀπὸ τοῦ ἀνδρὸς ἐλθὸν, καὶ τὸ ἀπὸ τῆς γυναικός. [16] καὶ ἢν ἡ γυνὴ τόκων ἔμπειρος ἔῃ, καὶ ἐννοήσῃ, ὁκόταν ἡ γονὴ μὴ ἐξέλθῃ, ἀλλ' ἐμμένῃ, εἴσεται

geri, ad vini infusionem, deinde desinere. [12] Ita etiam mulieri caliditas exilit ad genituram viri: deinde desinit. [13] Cæterum multo minus delectatur fœmina quam vir in coitu, [14] & vir etiam tempore longiore. [15] Propterea autem quod vir magis delectatur, secernitur ipsi de repente ab humido, fortiori turbatione ac agitatione quam mulieri.

VII. Habet autem & hæc res hoc modo. Mulieres [2] si cum viris coeant, magis sanæ sunt: [3] si non, minus. [4] Nam & uteri simul humidi fiunt in commixtione: [5] qui enim sicci sunt magis quam convenit, fortiter contrahuntur, [6] ubi vero fortiter contrahuntur, dolorem corpori afferunt: [7] & simul coitus sanguinem calefaciens ac humectans, viam faciliorem mensibus facit. [8] Mensibus autem non procedentibus, corpora fœminarum morbosa fiunt. [9] Quapropter autem morbosa fiant, in muliebribus morbis refertur. [10] Et de his quidem hactenus. [11] Postquam autem coivit mulier, si quidem conceptura non est intra seipsam, pro more foras procedet genitura ab utrisque, [12] ubi fœmina volet. [13] Si vero conceptura est, non procedit foras, sed manet in utero genitura. [14] Nam uteri susceptam & conclusam in sese continent, osculo nimirum ipsorum præ humiditate contracto & concluso, [15] simulque permiscentur, tum quæ à viro venit, tum quæ à muliere emissa est. [16] Quod si fœmina partus perita sit, & cognoverit quando genitura non exciderit, sed intus manserit, sciet qua die intra seipsam concepit,

ὁκοίῃ ἡμέρῃ ἔλαβεν ἐς ἑωυτήν. [17] Ἔχει δὲ οὕτως καὶ τόδε. [18] ὁτὲ μὲν ἰσχυρότερόν ἐστι τὸ μεθιέμενον ἀπὸ τῆς γυναικὸς, ὁτὲ δὲ ἀσθενέστερον. [19] καὶ τὸ ἀπὸ τοῦ ἀνδρὸς, ὡσαύτως. [20] καὶ ἔστι καὶ ἐν τῷ ἀνδρὶ τὸ θῆλυ σπέρμα καὶ τὸ ἄρσεν, [21] καὶ ἐν τῇ γυναικὶ ὁμοίως. [22] ἰσχυρότερον δέ ἐστι τὸ ἄρσεν τοῦ θήλεος. [23] ἀνάγκη οὖν ὑπὸ ἰσχυροτέρου σπέρματος γίνεσθαι. [24] ἔχει δὲ καὶ τόδε οὕτω. [25] ἢν μὲν ἀπ' ἀμφοτέρων τὸ σπέρμα ἰσχυρότερον ἔλθῃ, ἄρσεν γίνεται τὸ παιδίον· [26] ἢν δὲ ἀσθενὲς, θῆλυ. [27] ὁκότερον δ' ἂν κρατήσῃ κατὰ πλῆθος, ἐκεῖνο καὶ γίνεται. [28] ἢν γὰρ πολλῷ πλέον τὸ ἀσθενὲς σπέρμα ᾖ τοῦ ἰσχυροτέρου, κρατεῖται τὸ ἰσχυρὸν, καὶ μιχθὲν τῷ ἀσθενεῖ, ἐς θῆλυ περιηνέχθη. [29] ἢν δὲ πλέον ᾖ τὸ ἰσχυρὸν τοῦ ἀσθενέος, κρατηθῇ τε τὸ ἀσθενὲς, ἐς ἄρσεν περιηνέχθη. [30] ὥσπερ εἴ τις κηρὸν καὶ στέαρ μίξας ὁμοῦ, πλέον ποιήσας τὸ στέαρ, τήξειεν παρὰ πῦρ· μέχρις μὲν ὑγρὸν ᾖ, οὐ διάδηλον γίνεται τὸ κρατέον· ἐπὴν δὲ παγῇ, τότε ἐμφανὲς γίνεται, ὅτι κρατέει τὸ στέαρ τοῦ κηροῦ κατὰ πλῆθος. [31] οὕτως ἔχει καὶ τοῦ ἄρσενος καὶ τοῦ θήλεος ἡ γονή. [32] ξυμβάλλεσθαι πάρεστιν, ὅτι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρί ἐστι γόνος καὶ θῆλυς καὶ ἄρσην, τοῖσιν ἐμφανέσι γινομένοισι. [33] πολλαὶ γὰρ γυναῖκες ἤδη ἐθηλυτόκησαν παρὰ τοῖσιν ἀνδράσιν ἑωυτῶν· [34] ἐς ἑτέρους δὲ ἀνδρῶν ἐλθοῦσαι, ἐκουροτόκησαν. [35] καὶ οἱ ἄνδρες οἱ αὐτοὶ ἐκεῖνοι, παρ' οἷσιν ἐθηλυτόκεον αἱ γυναῖκες, [36] ἑτέρων γυναικῶν ἐς μίξιν ἀφικόμενοι, ἄρσενα γόνον ἐποίησαν. [37] καὶ οἷσιν ἄρσεν γόνος ἐγίνετο, ἐς ἑτέρας γυναῖκας μιχθέν-

cepit. [17] Habet autem & hoc sic. [18] Quandoque quidem fortius est semen à muliere emissum, aliquando vero debilius. [19] Similiter etiam quod vir emisit. [20] Et est tum in viro fœmineum itemque masculum semen, [21] tum itidem in muliere. [22] Fortior autem masculus fœmina est. [23] necesse igitur est ipsum à fortiore semine generari, [24] habetque res hoc modo. [25] Si ab utrisque semen fortius prodierit, masculus erit partus; [26] si vero debile, fœmina nascetur. [27] Vtrum autem multitudine ac copia prævaluerit, juxta illud ipsum partus nascetur. [28] Si enim multo plus fuerit debilis seminis quam fortioris, superatur forte, & debili permixtum, in fœminam transit. [29] Si vero plus fuerit fortis seminis quam debilis, superatur debile, & in marem transit. [30] Quemadmodum si quis ceram & adipem misceat, & de adipe tamen plus conjiciat; eaque ad ignem liquefaciat, quandiu quidem liquida fuerint, non apparet utrum tandem horum superet: ubi vero congelata fuerint, tunc jam conspicuum est, quod adeps ceram copia exuperat. [31] Sic habet etiam masculi ac fœminæ genitura. [32] Quod vero & in fœmina, & in viro, genitura fœminea sit ac mascula, ex factis manifestis conjectare licet. [33] Multæ enim mulieres jam fœminas pepererunt ex propriis viris, [34] verum ad alios viros transgressæ, masculos genuerunt. [35] Et viri illi ipsi apud quos mulieres fœminas pepererunt, [36] ad aliarum mulierum mixturam progressi, masculos genuerunt. [37] & quibus masculus sexus gignebatur, aliis fœminis permixti fœ-

χθέντες, θῆλυν γόνον ἐποίησαν. [38] οὗτος ὁ λόγος ἐρέει, καὶ τὸν ἄνδρα καὶ τὴν γυναῖκα ἔχειν καὶ θῆλυν γόνον, καὶ ἄρσενα. [39] παρὰ μὲν τοῖσιν ἐθηλυτόκεον, ἐκράτεε τὸ ἰσχυρότερον, πλέονος γενομένου τοῦ ἀσθενέος, καὶ ἐγίνετο θήλεα. [40] παρὰ δὲ τοῖσιν ἐκουροτόκεον, ἐκράτεε τὸ ἀσθενέστερον, καὶ ἐγίνετο ἄρσενα. [41] χωρέει δὲ οὐκ αἰεὶ τοῦτο ἀπὸ τοῦ αὐτοῦ ἀνδρὸς ἰσχυρὸν, ἀλλ' οὐδὲ ἀσθενὴς ἐς αἰεὶ, ἀλλ' ἄλλοτε ἀλλοίη. [42] καὶ τῆς γυναικὸς οὕτως ἔχει. [43] ὡς μὴ θωυμάζειν τὰς αὐτὰς γυναῖκας καὶ τοὺς αὐτοὺς ἄνδρας γόνον καὶ ἄρσενα καὶ θῆλυν ποιέειν. [44] ἔχει δὲ καὶ τοῖσι κτήνεσιν οὕτως, τὰ περὶ γονῆς θήλεος καὶ ἄρσενος. [45] καὶ ἐν αὐτῇ σφῇ τῇ γονῇ ἐξέρχεται καὶ τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς, ἀπὸ παντὸς τοῦ σώματος, [46] καὶ ἀπὸ τῶν ἀσθενέων, ἀσθενὴς· καὶ ἀπὸ τῶν ἰσχυρῶν, ἰσχυρή. [47] καὶ τῷ τέκνῳ οὕτως ἐστὶν ἀνάγκη ἀποδίδοσθαι.

IIX. Καὶ ὁκόθεν ἀπὸ τοῦ σώματος τοῦ ἀνδρὸς πλέον ἔλθῃ ἐς τὴν γονὴν ἢ τῆς γυναικὸς, τὸ τέκνον κεῖνο μᾶλλον ἔοικε τῷ πατρί. [2] ὁκόθεν δὲ πλέον ἔλθῃ ἀπὸ τῆς γυναικὸς τοῦ σώματος, κεῖνο μᾶλλον ἔοικε τῇ μητρί. [3] ἔστι δὲ οὐκ ἀνυστὸν πάντα τῇ μητρὶ ἐοικέναι, τῷ δὲ πατρὶ μηδέν. [4] ἢ τὸ ἐναντίον τούτων, [5] μηδὲ ἑτέρῳ ἐοικέναι μηδέν. [6] ἀλλ' ἀμφοτέροισιν ἀνάγκη τι ἐστὶν ἐοικέναι τινὶ, [7] εἴπερ ἀπ' ἀμφοτέρων τῶν σωμάτων τὸ σπέρμα χωρέει ἐς τὸ τέκνον. [8] ὁκότερος δ' ἂν πλέον ξυμβάλληται ἐς τὸ ἐοικέναι καὶ ἀπὸ πλεόνων χωρίων τοῦ σώματος, κείνῳ τὰ πλείονα ἔοικε. [9] καὶ ἔστιν ὅτε θυγάτηρ γενομένη τὰ πλείονα ἔοικε μᾶλλον τῷ πατρὶ,

fœmineam sobolem genuerunt. [38] Atque hæc sane ratio declarat, tum virum, tum fœminam, & fœmineam & masculam genituram habere. [39] Nam apud quos viros, fœminas pariebant, superabatur fortius semen à copia debilioris, & gignebantur fœmellæ. [40] Apud quos vero masculos pariebant, superabatur debilius, & gignebantur mares. [41] Procedit autem non semper ab eodem viro genitura fortis, sed neque semper debilis, sed alias alia: [42] atque sic etiam in muliere res habet: [43] ut minime mirandum sit, easdem fœminas, eosdemque viros, sobolem masculam & fœmineam producere. [44] Habet autem & in brutis genituræ fœmineæ ac masculæ ratio eodem modo. [45] Et in ipsa genitura egreditur & fœmineum, & masculinum, ab omni corpore, [46] & à debilibus debilis, & à fortibus fortis: [47] & necesse est sic in partum distribui.

IIX. Et ex quacunque corporis viri parte plus prodierit in genituram, quam mulieris, partus ille magis similis erit patri. [2] Vndecunque vero à corpore mulieris plus venerit, magis assimilabitur matri. [3] Est autem impossibile, partum per omnia matri similem esse, & patri nihil, [4] aut vice versa, [5] neque alteri quicquam similem esse: [6] sed utrisque necesse est in aliquo similem esse, [7] siquidem ab utrisque corporibus semen in partum procedit. [8] Vter autem tandem plus contulerit ad similitudinem, & à pluribus corporis regionibus, illi magis similis est. [9] Contingitque aliquando ut filia nata, majori ex parte magis similis sit

patri

τρὶ, ἢ τῇ μητρί. ¹⁰ ὁ κοῦρος γενόμενος ἐστὶν ὅτε μᾶλλον ἔοικε τῇ μητρὶ, ἢ τῷ πατρί. ¹¹ καὶ ταῦτά μοι καὶ τοσαῦτά ἐστιν ἱστόρια τοῦ πρότερον λόγου, ¹² ὅτι ἔνεστι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ καὶ κουρογονίη καὶ θηλυγονίη. ¹³ γίνεται δὲ καὶ τόδε. ¹⁴ ἔστιν ὅτε τὰ τέκνα λεπτὰ καὶ ἀσθενέα γίνεται, ἐκ πατρὸς καὶ μητρὸς, παχέων τε καὶ ἰσχυρῶν ἐόντων. ¹⁵ ἢν μὲν, πολλῶν ἤδη γενομένων τῶν παιδίων, τοιοῦτον γένηται, ¹⁶ δῆλον, ὅτι ἐν τῇσι μήτρῃσιν ἐνόσησε τὸ ἔμβρυον, ¹⁷ καὶ ἀπὸ τῆς μήτρης ἢ τῆς αὔξης αὐτοῦ ἔξω ἀπεχώρησε, ¹⁸ τῶν μητρέων χασκουσέων μᾶλλον: ¹⁹ καὶ διὰ τοῦτο ἀσθενὲς ἐγένετο. ²⁰ νοσέει δὲ τῶν ζώων ἕκαστον, κατὰ τὴν ἰσχὺν ἑωυτοῦ. ²¹ ἢν δὲ πάντα τὰ γενόμενα παιδία ἀσθενέα ᾖ, αἱ μῆτραι αἴτιαί εἰσι, ²² στενότεραι ἐοῦσαι τοῦ καιροῦ. ²³ ἢν γὰρ μὴ ἔχῃ εὐρυχωρίην, ἔνθα τὸ ἔμβρυον τραφήσεται, ²⁴ ἀνάγκη ἐστὶν αὐτὸ λεπτὸν γίνεσθαι, ἅτε οὐκ ἔχον τῇ αὔξῃ εὐρυχωρίην. ²⁵ ἢν δὲ ἔχῃ εὐρυχωρίην, ²⁶ καὶ μὴ νοσήσῃ, ²⁷ ἐπιεικές ἐστι, μεγάλων τοκέων μέγα τέκνον γίνεσθαι. ²⁸ ἔχει δὲ οὕτως, ²⁹ ὥσπερ εἴ τις σίκυον ἤδη ἀπηνθηκότα, ἐόντα δὲ νεογνὸν, καὶ προσεόντα τῷ σικυηλάτῳ, θείη ἐς ἄγγος στενὸν, ἴσος ἔσται τῷ ἄγγεϊ τῷ κοίλῳ καὶ ὅμοιος. ³⁰ ἢν δέ τις ἐς ἄγγος θείη μέγα, ὅ, τι καὶ ἐπιεικές ἐστι σίκυον χαδεῖν, ἀλλὰ μὴ πολλῷ κάρτα μέζον τῆς φύσιος τοῦ σικύου, ἴσος ἔσται ὁ σίκυος τῷ ἄγγεϊ τῷ κοίλῳ καὶ ὅμοιος. ³¹ ἐρίζει γὰρ ἐν τῇ αὔξῃ τῷ κοίλῳ τοῦ ἄγγεος. ³² σχεδὸν δὲ καὶ πάντα τὰ φυό-

patri quam matri, ¹⁰ & filius natus aliquando magis similis est matri quam patri. ¹¹ Atque hæc tam multa à me relata declarant superiorem sermonem, ¹² quod & in muliere, & in viro, tum mascula, tum fœminea genitura existat. ¹³ Contingit autem & hoc. ¹⁴ Quandoque partus tenues & debiles generantur, ex patre & matre crassis ac robustis. ¹⁵ Et siquidem (multis jam generatis pueris) tale quid contingat, ¹⁶ manifestum est quod fœtus in utero ægrotavit, ¹⁷ & ab utero quid de suo ipsius incremento foras prodiit, ¹⁸ utero nimirum amplius hiante: ¹⁹ & propterea debilis factus est. ²⁰ Vnumquodque autem animal juxta proprium robur ægrotat. ²¹ Si vero omnes pueri nati debiles fuerint, uteri ipsi in caussa sunt, ²² angustiores quam oportet existentes. ²³ Si enim non habuerint spaciositatem, in qua fœtus nutriri possit, ²⁴ necesse est ipsum tenuem fieri, utpote qui non habeat satis amplum locum ad incrementum capiendum. ²⁵ Si vero habeat satis amplum locum, ²⁶ & non ægrotet, ²⁷ verisimile est ex magnis parentibus magnam sobolem generari. ²⁸ Habet autem res hoc modo. ²⁹ Quemadmodum si quis cucumerem qui jam defloruit, sit autem adhuc tenellus, & in cucumerario adhuc adhæreat, ponat ac immittat in vas angustum, æqualis ac similis evadet cavitati ipsius vasis. ³⁰ Si vero quis eundem in vas amplum indet, quod verisimile sit cucumeris capax esse, sed non valde multo majus quam pro cucumeris natura, æqualis itidem, ac similis erit cucumis vasis amplicavitati. ³¹ Nam in augescendo cum vasis cavitate contendit. ³² & ferme

φυόμενα οὕτως ἔχει, ὅκως ἄν τις ἀναγκάζῃ αὐτά. [33] οὕτω δὴ ἔχει καὶ τὸ παιδίον· [34] ἢν μὲν εὐρυχωρίη οἱ ἔῃ ἐν τῇ αὔξῃ, μεῖζον γίνεται· ἢν δὲ στενοχωρίη, ἔλασσον. [35] τὸ δὲ πηρωθὲν ἐν τῇσι μήτρῃσι παιδίον, [36] φημὶ αὐτὸ ἢ φλασθὲν πηρωθῆναι τῆς μητρὸς πληγείσης κατὰ τὸ ἔμβρυον, [37] ἢ πεσούσης, [38] ἢ ἄλλως τινὸς βιαίου παθήματος προσγενομένου τῇ μητρί. [39] ἢν δὲ φλασθῇ, ταύτῃ πηροῦται τὸ παιδίον.

IX. Ἢν δὲ μᾶλλον φλασθῇ τὸ ἔμβρυον, τοῦ ὑμένος ῥαγέντος τοῦ περιέχοντος αὐτὸ, φθείρεται τὸ ἔμβρυον. [2] ἢ ἑτέρῳ τρόπῳ τοιῷδε πηροῦται τὰ παιδία. [3] ἐπὴν ἐν τῇσι μήτρῃσι κατὰ τὸ χωρίον, καθ' ὅ, τι καὶ ἐπηρώθη, στενὸν ἔῃ, [4] ἀνάγκη, ἐν στενῷ κινευμένου τοῦ σώματος, πηροῦσθαι κατ' ἐκεῖνο τὸ χωρίον. [5] ὥσπερ καὶ τῶν δένδρων ὅσα ἐν τῇ γῇ ἐόντα μὴ ἔχῃ εὐρυχωρίην, ἀλλ' ὑπὸ λίθου ἢ ὑπό τινος ἄλλου ἀποληφθῇ, ἀνατέλλοντα σκολιὰ γίνεται, ἢ τῇ μὲν παχὺ, τῇ δὲ λεπτόν· [6] οὕτω δὴ ἔχει καὶ τῷ παιδίῳ γίνεται, ἢν ἐν τῇσι μήτρῃσι κατά τι τοῦ σώματος στενότερον ἔῃ τὸ ἕτερον τοῦ ἑτέρου. [7] ὅτι καὶ, ἐκ πεπηρωμένων ἀνθρώπων, ὑγιέα τίκτονται τὰ παιδία, ὡς ἐπὶ τὸ πλεῖστον ξυμβαίνει. [8] ἔχει γὰρ τὸν ἀριθμὸν πάντα τὸ πεπηρωμένον τῷ ὑγιεῖ. [9] ἐπὴν δέ τι οἱ νόσημα προσπέσῃ, [10] καὶ τοῦ ὑγροῦ αὐτῶν, [11] ἀφ' οὗ τὸ σπέρμα γίνεται, [12] τέσσαρες ἰδέαι ἐοῦσαι, ὁκόσαι ἐν φύσει ὑπῆρξαν, [13] τὴν γονὴν οὐχ ὅλην παρέχουσιν· [14] ἀσθενέστερον δὲ τὸ κατὰ τὸ πεπηρωμένον. [15] οὐ θαῦμά δέ μοι δοκεῖ καὶ πηρωθῆναι, καθάπερ

ἐπο-

me omnia nascentia sic habent, quo modo quis ipsa cogat. [33] Sic sane & in pueto se res habet. [34] Si enim spatiositas ipsi contigerit in augescendo, major evadet: si vero augustia, minor. [35] At vero mutilum in utero puerum, [36] sentio aut contusum ex matris uterum gestantis plaga, [37] aut ejusdem lapsu, [38] aut alio quopiam violento affectu matri accidente, mutilatum esse. [39] Qua vero parte mater plagas acceperit, ea puer mutilatur.

IX. Si vero amplius contundatur fœtus, ita ut pellicula ipsum continens rumpatur, perditur fœtus. [2] Quin & alia hujuscemodi caussa pueri mutilantur. [3] Quum in utero juxta locum, in quo mutilatus est fœtus, augustia fuerit, [4] necesse est corpus quod in angustia movetur mutilari, juxta illum locum. [5] Quemadmodum etiam arbores quæcunque in terra sunt, & non habent satis amplum locum, verum à lapide, aut aliqua alia re impediuntur, quum emergunt, obliquæ ac tortuosæ sunt, aut hac parte crassæ, altera tenues: [6] sic accidit etiam circa puerum, si in utero juxta aliquam corporis partem, angustior altera uteri pars altera fuerit. [7] Cæterum quod ex mutilatis hominibus sani & integri gignantur pueri, ut plurimum contingere solet. [8] Habet enim mutilatum, numero omnia quæ sanum. [9] Vbi vero morbus aliquis ipsis, [10] & humido ipsorum acciderit, [11] à quo semen provenit ([12] quatuor sane quum species sint humidi, quæ naturaliter in corpore existunt) [13] genituram non totam exhibent, [14] debiliorem autem, juxta mutilatam partem. [15] Quare nihil

miri

ὁ τοκεύς. 16 ταῦτα δέ μοι ἐς τοῦτο εἰρέαται. 17 ἀναβήσομαι δὲ αὖθις ὀπίσω ἐς τὸν λόγον, ὃν ἔλεγον.

miri mihi videtur, si etiam mutilentur, quemadmodum parens. 16 Et hæc mihi de hoc dicta sufficiant. 17 Redibo autem rursus retro ad sermonem quem dicere reliqui.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΙΟΣ ΠΑΙΔΙΟΥ.

Basil. græc. Foesius sect.

Ἢν ἡ γονὴ μείνῃ ἀπ' ἀμφοῖν ἐν τῇσι μήτρῃσι τῆς γυναικός, 2 πρῶτον μὲν μίσγεται ὁμοῦ, 3 ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμιζούσης, 4 καὶ ἀθροίζεται καὶ παχύνεται θερμαινομένη. 5 ἔπειτα πνεῦμα ἴσχει, 6 ἅτε ἐν θερμῷ ἐοῦσα, 7 ἔπειτα τῆς μητρὸς πνεούσης. 8 ἔπειτα δὲ τοῦ πνεύματος ὅταν πλησθῇ, 9 ὁδὸν οἱ αὐτὸ ἑωυτῷ ἔξω ποιέει, 10 καὶ κατὰ μέσον τῆς γονῆς τὸ πνεῦμα ἔξεισιν. 11 ὅταν δὲ ὁδὸς γένηται τῷ πνεύματι ἔξω θερμῷ ἐόντι, αὖθις ἕτερον ψυχρὸν ἐσπνέει ἀπὸ τῆς μητρός. 12 καὶ τοῦτο ποιέει διὰ παντὸς τοῦ χρόνου. 13 θερμαίνεται μὲν γάρ, ἅτε ἐν τῷ θερμῷ ἐοῦσα. 14 ψυχρὸν δὲ ἴσχει ἀπὸ τῆς μητρὸς πνεούσης. 15 πάντα δέ, ὁκόσα θερμαίνεται, πνεῦμα ἴσχει. 16 τὸ δὲ πνεῦμα ῥήγνυσι καὶ ποιέει οἱ ὁδὸν αὐτὸ ἑωυτῷ, καὶ χωρέει ἔξω. 17 αὐτὸ δὲ τὸ θερμαινόμενον ἕλκει ἐς ἑωυτὸ αὖθις ἕτερον πνεῦμα ψυχρὸν 18 διὰ τῆς ῥαγῆς, ἀφ' οὗ τρέφεται. 19 τοῦτο δὲ γίνεται καὶ ἐπὶ τῶν ξύλων, καὶ ἐπὶ τῶν φύλλων, 20 καὶ βρωτῶν καὶ ποτῶν, ὁκόσα θερμαίνεται ἰσχυρῶς. 21 συννοῆσαι δὲ πάρεστι ξύλα καιόμενα. 22 ἅπαντα μὲν

HIPPOCRATIS DE NATVRA PVERI.

III. 15. 235. Basil. lat.

Si genitura ab utrisque permanserit in utero mulieris, 2 primum quidem simul miscetur, 3 utpote muliere non quiescente, 4 coacervatur ac crassa per calorem evadit. 5 Deinde spiritum concipit, 6 nempe in calido existens, 7 & postea matre spirante. 8 Deinde ubi spiritu repleta fuerit, 9 viam hic ipse sibi ipsi foras facit, 10 & per mediam genituram spiritus erumpit. 11 Quum autem spiritui calido via foras facta est, rursus alius frigidus à matre inspirat, 12 atque hoc facit per omne tempus. 13 Calescit enim utpote in calido existens, 14 & frigidum spiritum concipit à matre spirante. 15 Omnia autem quæ calescunt, spiritum habent. 16 Spiritus autem erumpit & sibi ipsi viam facit, ac foras procedit. 17 Id autem quod calescit, rursus in seipsum alium spiritum frigidum trahit, 18 per fissuram unde nutritur. 19 Atque hoc contingit etiam in lignis, & in foliis, 20 cibisque ac potibus si fortiter calefiant. 21 Ejus rei notionem ligna ardentia exhibent; 22 omnia enim ligna hoc

ται μὲν γὰρ ξύλα ποιέει τοῦτο. [23] μάλιστα δὲ τὰ ὑπόχλωρα. [24] μεθίησι γὰρ κατὰ τὴν τομὴν πνεῦμα. [25] τὸ δὲ πνεῦμα, ὁκόταν ἔξω χωρέῃ, ἀλλ' εἰλίσσεται περὶ τὴν τομήν. [26] καὶ τοῦτο γινόμενον ὁρῶμεν αἰεί.

II. Δῆλος οὖν ὁ ἐκλογισμός ἐστι τοῦ πνεύματος, ὅτι ἐν τῷ ξύλῳ ἐὸν θερμὸν, ἀνέλκει ἕτερον ψυχρὸν, [2] ἀφ' οὗ τρέφεται, καὶ ὑπὸ ἑωυτοῦ ἀφίησιν. [3] εἰ μὲν γὰρ μὴ ἀντέσπα, οὐκ ἂν τὸ πνεῦμα εἰλίσσετο ἔξω ἰόν. [4] πᾶν γὰρ τὸ θερμὸν τῷ ψυχρῷ τρέφεται τῷ μετρίῳ. [5] καὶ ὁκόταν διαθερμανθῇ τὸ ὑγρὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν, πνεῦμα γενόμενον, χωρέει ἔξω. [6] καὶ τῇδε ἐξιὸν ἔξω τὸ θερμὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν ἀνέλκει ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται. [7] ποιέει δὲ τοῦτο καὶ φύλλα χλωρά. [8] ὅταν γὰρ καίηται, πνεῦμα ἴσχει. [9] ἔπειτα ῥήγνυσι τὸ πνεῦμα καὶ ὁδὸν ποιέεται, καὶ χωρέει ἔξω εἰλισσόμενον. [10] χωρέον δὲ ψόφον παρέχει, [11] ᾗ τὴν ἐσπνοὴν ποιέεται. [12] καὶ χέδροπα, καὶ σῖτος, καὶ ἀκρόδρυα θερμαινόμενα πνεῦμα ἴσχει, καὶ ἔξω ἐξέρχεται ῥαγὴν ποιησάμενα. [13] καὶ ἢν νοτερὰ ἔῃ, πλέον τὸ πνεῦμα ἀφίησι, καὶ τὴν ῥαγὴν μέζω ποιέεται. [14] καὶ τί δεῖ μακρηγορέειν; [15] πάντα γὰρ, ὁκόσα θερμαίνεται, πνεῦμα ἀφίησι, καὶ ἕτερον ψυχρὸν κατὰ τοῦτο ἀνέλκει, ἀφ' οὗ τρέφεται.

III. Καὶ αὗταί μοι ἀνάγκαι προειρημέναι εἰσὶν, [2] ὅτι ἡ γονὴ θερμαινομένη ἐν τῇσι μήτρῃσι, πνεῦμα ἴσχει καὶ ἀφίησι. [3] ἅμα δὲ καὶ ἀπὸ τῆς μητρὸς πνεούσης πνοὴν ἴσχει καὶ ἡ γονή. [4] ὁκόταν γὰρ ἡ μήτηρ ψυχρὸν ἑλκύσῃ ἐς ἑωυτὴν ἀπὸ τοῦ ἠέρος, ἐπαυρίσκεται καὶ ἡ γονή.

faciunt, [23] maxime vero subviridia. [24] Emittunt enim spiritum juxta sectionem. [25] spiritus autem, quum foras procedit, circum cæsuram volutatur, [26] id quod semper fieri videmus.

II. Manifesta igitur est ratiocinatio de spiritu, quod calidus existens in ligno, attrahit alterum frigidum [2] à quo nutritur, & à seipso dimittit. ([3] Nam si non alterum pro eo quem à se dimittit attraheret, non volutaretur spiritus foras prodiens. [4] Omne enim calidum frigido moderato nutritur.) [5] Et ubi percalfactum fuerit humidum quod est in ligno, in spiritum mutatum foras procedit: [6] & qua parte foras exit, ea ipsa calidus qui inest adhuc in ligno, alterum frigidum spiritum ejus loco attrahit, à quo nutritur. [7] Idem faciunt & folia viridia. [8] Quum enim incenduntur spiritum concipiunt, [9] deinde erumpit spiritus & viam facit, forasque prodit & circumvolutatur: [10] procedens autem strepitum facit, [11] qua parte inspirationem præbet. [12] Quin & legumina & frumenta, & arborei fructus nucum generis calefacta spiritum habent, qui fissura facta foras prodit: [13] & si humida fuerint, ampliorem spiritum emittunt, & rimam majorem faciunt. [14] Et quid multis verbis opus est? [15] Omnia quæcunque calefiunt, spiritum emittunt, & alium frigidum vicissim ejus loco attrahunt, à quo nutrimentum sumunt.

III. Atque hæ necessitates ejus gratia à me productæ sunt, [2] ut cognoscatur quod genitura in utero calfacta spiritum habet, & emittit. [3] Simul autem & à matre spirante, genitura spiritum habet. [4] Quum enim mater frigidum

γονῇ. 5 θερμὴ δέ ἐστιν, ἅτε δὴ ἐν θερμῷ ἐοῦσα· 6 καὶ τότε δὴ πνεῦμα ἴσχει καὶ ἀφίησι, 7 καὶ ἡ γονὴ ὑμενοῦται φυσωμένη. 8 περιτέταται γὰρ ἀμφ' αὐτὴν τὸ ἔξωθεν, 9 ξυνεχὲς γενόμενον, ἅτε γλίσχρον ἐόν. 10 ὥσπερ ἐπ' ἄρτῳ ὀπτωμένῳ λεπτὸν ἐξίσταται ἐπιπολῆς ὑμενοειδές. 11 θερμαινόμενος γὰρ καὶ φυσώμενος αἴρεται. 12 ᾗ δ' ἂν φυσᾶται, κείνῃ τὸ ὑμενῶδες γίνεται.

IV. Τῇ δὲ γονῇ θερμαινομένῃ καὶ φυσωμένῃ πάσῃ, ὑμὴν ἔξωθεν περιγίνεται. 2 κατὰ δὲ τὸ μέσον τῆς γονῆς τοῦ πνεύματος δίοδος καὶ ἔξω καὶ ἔσω γίνεται διὰ τοῦ ὑμένος. 3 καὶ ταύτῃ τοῦ ὑμένος ἀπέχει τὸ λεπτόν. 4 καὶ τῆς γονῆς ἐν αὐτοῖσιν ὀλίγιστόν ἐστιν. 5 αὕτη δὲ ἡ ἄλλη γονὴ στρογγύλη ἐστὶν ἐν ὑμένι. 6 καὶ μὴν ἐξ ἡμέρας μείνασαν ἐν τῇ γαστρὶ γονὴν καὶ ἔξω πεσοῦσαν αὐτὸς εἶδον· 7 καὶ ὁκοίη μοι ἐφαίνετο ἐν τῇ γνώμῃ τότε, ἀπ' ἐκείνων τὰ λοιπὰ τεκμήρια ποιεῦμαι. 8 ὡς δὲ εἶδον τὴν γονὴν ἑκταίην ἐοῦσαν, ἐγὼ διηγήσομαι. 9 γυναικὸς οἰκείης μουσοεργὸς ἦν πολύτιμος, 10 παρ' ἄνδρας φοιτέουσα, 11 ἣν οὐκ ἔδει λαβεῖν ἐν γαστρί, 12 ὅκως μὴ ἀτιμοτέρη εἴη. 13 ἀκηκόει δὲ ἡ μουσοεργὸς, ὁκοῖα αἱ γυναῖκες λέγουσι πρὸς ἀλλήλας· 14 ἐπὴν γυνὴ μέλλῃ λήψεσθαι ἐν γαστρί, οὐκ ἐξέρχεται ἡ γονή, ἀλλ' ἔνδον μένει. 15 ταῦτα ἀκούσασα, ξυνῆκε, 16 καὶ τοῦτο ἐφύλασσεν αἰεί. 17 καί ποτε, ὡς ᾔσθετο οὐκ ἐξιοῦσαν τὴν γονήν, καὶ ἔφρασε τῇ δεσποίνῃ, καὶ ὁ λόγος ἦλθεν ὡς

dum attraxerit ex aere in seipsam, fruitur eo etiam genitura. 5 Calida autem est, utpote in calido existens, 6 & tunc sane spiritum habet, ac emittit, 7 atque ipsa genitura inflata pelliculam acquirit. 8 Circumtenditur enim quod forinsecus circum ipsam est, 9 continuumque evadit, utpote viscosum existens. 10 Quemadmodum in pane dum torretur, tenue quiddam pelliculę specie in superficiem abscedit ac extat. 11 Calescens enim panis & inflatus elevatur: 12 qua parte vero inflatur, isthic pelliculæ species excitatur & consistit.

IV. Genituræ autem calfactæ ac inflatæ ex toto, pellicula forinsecus circumdatur. 2 Verum juxta medium genituræ, spiritui transitus extra ac intro fit per pelliculam, 3 & hac parte tenuitas pelliculæ à genitura distat, 4 & paucissimum quid de genitura inest. 5 Ipsa autem reliqua genitura rotunda est in pellicula. 6 Atqui genituram quæ sex diebus in utero mansit, & foras prolapsa est, ipse vidi, 7 & qualis tum animo meo obversabatur, ex illis ipsis reliquorum conjecturam facio. 8 Vt vero ego viderim genituram sex dierum existentem, enarrabo. 9 Mulieris nobis familiaris famula cantrix magnæ existimationis 10 ex virorum consuetudine erat, 11 quam in ventre concipere non conveniebat, 12 ut ne minoris existimationis redderetur. 13 Audierat autem cantrix ipsa, qualia mulieres inter se dicunt, 14 quod quando mulier conceptura est in ventre, genitura non egreditur, sed intus manet. 15 Auditis autem his atque intellectis, 16 hoc semper observavit, 17 & quum quanduque sentiret

ὡς ἐμέ. [18] καὶ ἐγὼ ἀκούσας ἐκέλευσα αὐτὴν πρὸς τὴν γῆν πηδῆσαι, [19] καὶ ἑπτάκις ἤδη ἐπεπήδητο, [20] ἡ γονὴ κατεῤῥύη ἐπὶ τὴν γῆν, [21] καὶ ψόφος ἐγένετο. [22] κἀκείνη δ' ἰδοῦσα, ἐθεῆτο καὶ ἐθαύμασεν. [23] ὁκοῖον δὲ ἦν, ἐγὼ ἐρέω. [24] οἷον εἴ τις ᾠοῦ ὠμοῦ τὸ ἔξω λεπύριον περιέλοιεν, [25] ἐν δὲ τῷ ἔνδον ὑμένι τὸ ἔνδον ὑγρὸν διαφαίνοιτο. [26] τρόπος μέν τις ἦν τοιοῦτος. [27] ὡς εἰπεῖν, ἦν δὲ καὶ ἐρυθρὸν καὶ στρογγύλον. [28] ἐν δὲ τῷ ὑμένι ἐφαίνοντο ἐνεοῦσαι ἶνες λευκαὶ καὶ παχεῖαι, εἱλημέναι ξὺν ἰχῶρι παχεῖ καὶ ἐρυθρῷ, [29] καὶ ἀμφὶ τὸν ὑμένα ἔξωθεν αἱμάλωπες. [30] κατὰ δὲ μέσον τοῦ ὑμένος, ἀπεῖχέ τι λεπτόν, [31] ὅ τι μοι ἐδόκεεν εἶναι ὀμφαλός. [32] καὶ διὰ κείνου τὴν πνοὴν καὶ εἴσω καὶ ἔξω ποιέεσθαι τὸ πρῶτον. [33] καὶ ὁ ὑμὴν ἐξ ἐκείνου ἐτέτατο ἅπας ὁ περιέχων τὴν γονήν. [34] τοιαύτην μὲν ἐγὼ εἶδον ἑκταίην ἐοῦσαν τὴν γονήν. [35] ἐρέω δὲ καὶ ἄλλην διάγνωσιν ὀλίγον ἐπὶ τούτῳ ὕστερον, ἐκφανέα παντὶ τῷ βουλομένῳ εἰδέναι τούτου πέρι, καὶ ἰσόριον παντὶ τῷ ἐμῷ λόγῳ, ὅτι ἐστὶν ἀληθής, ὡς εἰπεῖν ἀνθρώπῳ περὶ τοιούτου πρήγματος.

V. Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται, ὅτι ἡ γονὴ ἐν ὑμένι ἐστί, [1] καὶ πνοὴν ἔχει καὶ εἴσω καὶ ἔξω. [2] αὔξεται δὲ καὶ ὑπὸ τῆς μητρὸς τοῦ αἵματος, κατιόντος ἐπὶ τὰς μήτρας. [3] τὰ γὰρ καταμήνια οὐ χωρέει, ὁκόταν γυνὴ λάβῃ πρὸς ἑωυτὴν, [4] ἢν μέλλῃ τὸ παιδίον ὑγιαίνειν· [5] εἰ μὴ ἔστιν ἧσιν ἐπισημαίνει τοῦ πρώτου μηνὸς ὁκόσον ὀλίγον. [6] ἀλλὰ κατιὸν τὸ αἷμα ἀπὸ παντὸς τοῦ σώματος τῆς γυναικὸς, κυκλόσε περι-

tiret genituram non exeuntem, dominæ exposuit, & sermo statim ad me pervenit. [18] Ego vero quum audissem, jussi ipsam ad terram saltare, [19] & postquam septies jam exiliisset, [20] genitura in terram profluxit, [21] & strepitus factus est, [22] atque illa conspecta ipsa admirata est. [23] Qualis autem erat ego referam: [24] velut si quis ovo crudo externam testam circumcirca adimat, [25] in interna vero pellicula inclusus liquor pellucescat. [26] Modus quidem talis erat; [27] & ut abunde dicam, ruber erat liquor & rotundus. [28] In pellicula vero fibræ quædam albæ ac crassæ inesse videbantur, cum cruore crasso & rubro obvolutæ: [29] circum autem pelliculam foris cruenta vestigia instar sugillatorum, [30] juxta medium vero tenue quid eminebat, [31] quod mihi umbilicus esse videbatur, [32] & per illum sane spirationem extra & intro primum facere apparebat: [33] quin & pellicula genituram ambiens ac complectens, tota ex illo tendebatur. [34] Talem sane ego genituram sex dierum existentem vidi. [35] Referam autem & aliam dinotionem, omni cupienti de hoc scire, quæ mihi paulo post hanc manifeste apparuit, & testimonio esse potest omni meo sermoni, quod verus est, quantum homini de hujusmodi re dicere datur.

V. Atque hæc mihi de hoc dicta sunt, quod genitura in pellicula est, & spiritum habet intro & foras, [2] & augescit à matre, sanguine in uterum descendente. [3] Menses enim non prodeunt, ubi mulier conceperit intra seipsam, [4] si puer sanus fuerit, & permanere debet, [5] nisi in quibusdam primo mense modicam sui indicationem faciant. [6] Verum sanguis

περιέχεται περὶ τὸν ὑμένα ἔξω. 7 ἅμα δὲ τῇ πνοῇ ἑλκομένη εἴσω τοῦ αἵματος διὰ τοῦ ὑμένος, 8 κατὰ τὸ τετρημένον, καὶ ἀπέχον, 9 ξυμπήγνυται καὶ αὔξει τὸ μέλλον ζῶον ἔσεσθαι. 10 ὁκόταν δὲ χρόνος ἐγγένηται, αὖθις ἕτεροι ὑμένες εἴσω τοῦ πρώτου ὑμένος λεπτοὶ καὶ πολλοὶ περιτείνονται, τρόπῳ τοιούτῳ, εἶναι καὶ ὁ πρῶτος ὑμὴν ἐγένετο. 11 τετραμμένοι δέ εἰσι καὶ οὗτοι ἀπὸ τοῦ ὀμφαλοῦ, 12 καὶ ἐς ἀλλήλους διαδέσμους ἔχουσιν. 13 ὁκόταν δὲ ἤδη τοῦτο γένηται, κατιόντος τοῦ αἵματος ἀπὸ τῆς μητρὸς, καὶ πηγνυμένου, σὰρξ γίνεται. 14 κατὰ δὲ μέσον τῆς σαρκὸς ὁ ὀμφαλὸς ἀπέχει, 15 δι' οὗ πνέει, 16 καὶ τὴν αὔξησιν ἴσχει.

VI. Ἡ δὲ γυνὴ, ὁκόταν ἐν γαστρὶ ἔχῃ, ὑπὸ τῶν καταμηνίων μὴ χωρεόντων, διὰ τόδε οὐ πονέεται, 2 ὅτι τὸ αἷμα οὐ ταράσσεται, 3 ἀθρόον βύζην ἀπιὸν κατὰ μῆνα ἕκαστον· 4 ἀλλὰ χωρέει ἡσυχῇ καὶ κατ' ὀλίγον ἄνευ πόνου καθ' ἡμέρην ἐς τὰς μήτρας, 5 καὶ τὸ ἔνδον ἐν τῇσι μήτρῃσιν ἐὸν αὔξεται. 6 καθ' ἡμέρην δὲ ἑκάστην τούτου εἵνεκα χωρέει, 7 ἀλλ' οὐκ ἐς ἅπαξ κατὰ μῆνα· 8 ὅτι ἐν τῇσι μήτρῃσιν ἡ γονὴ ἐνεοῦσα, ἕλκει ἀπὸ τοῦ σώματος αἰεὶ, 9 ὅκως αὖ καὶ δυνάμιος ἔχῃ. 10 οὕτω καὶ ἡ πνοή. 11 καὶ τὸ μὲν πρῶτον σμικρὴ ἡ πνοὴ γίνεται, 12 καὶ τὸ αἷμα ὀλίγον χωρέει ἀπὸ τῆς μητρός. 13 ὁκόταν δὲ ἡ πνοὴ ἐπὶ πλεῖον γένηται, μᾶλλον ἕλκει τὸ αἷμα, καὶ ἐπὶ πλεῖον κατέρχεται ἐπὶ τὰς μήτρας. 14 τῇσι δὲ ἐν γαστρὶ μὴ ἐχούσῃσι, ὁκόταν τὰ καταμήνια μὴ χωρέῃ, διὰ τόδε ὁ πόνος γίνεται. 15 πρῶτα μὲν ταράσσεται τὸ αἷμα ἐν τῷ σώματι κατὰ μῆνα ἕκαστον, ὑπὸ ἀνάγκης τοιῆσδε·

guis à toto corpore mulieris descendens, 6 in orbem forinsecus pelliculam circunstat, 7 simulque cum spiritu sanguis intra per pelliculam trahitur, 8 qua parte perforata est, & genitura distat, 9 congelaturque & futuro animali augmentum præbet. 10 Quum autem tempus accesserit, rursus aliæ pelliculæ intra primam pelliculam tenues & multæ circumtenduntur, eo modo quo prima pellicula facta fuit. 11 Sunt autem & hæ ab umbilico extentæ, 12 & inter se mutua ligamenta habent. 13 Quum vero jam hoc factum est, ex descendente à matre sanguine & congelato, caro fit. 14 Juxta mediam autem carnem umbilicus distat, 15 per quem spirat, 16 & alimentum ac incrementum capit.

VI. At vero mulier quum uterum gerit, à mensibus non prodeuntibus propterea non dolet, 2 quod sanguis non conturbatur, 3 acervatim abire solitus singulis mensibus, 4 sed procedit sensim & modice citra dolorem, quotidie in uterum ipsum, 5 & quod inest intus in utero augescit. 6 Singulis autem diebus ea gratia procedit, 7 & non semel per mensem, 8 quod genitura in utero existens semper à corpore trahit, 9 prout vires tum ipsa 10 tum spiratio habet. 11 Et primum quidem modica spiratio fit, 12 & sanguis modicus à matre procedit. 13 Quum vero spiratio amplior redditur, magis sanguinem trahit, & uberior is in uterum descendit. 14 Atqui uterum non gestantibus ubi menses non prodierint, propterea dolor oboritur. 15 Primum quidem sanguis in corpore singulis mensibus turbatur ab hujusmodi necessitate,

ποιῆσαι. 16 ὅτι μὴν μηνὸς διαφέρει πολὺ, 17 καὶ κατὰ ψῦξιν καὶ κατὰ θερμασίην. 18 καὶ τούτου αἰσθάνεται τῆς γυναικὸς τὸ σῶμα. 19 ὑγρότερον γάρ ἐστιν ἢ τὸ τοῦ ἀνδρός. 20 καὶ ταραχθέντος τοῦ αἵματος, καὶ πληρώσαντος τὰς φλέβας, ἀπέρχεται ἀπ' αὐτοῦ. 21 καί πως τοῦτο ἐν τῇ ἀρχῇ τῇ φύσει ὑπῆρξεν.

VII. Ὥστε ἢν μὲν ἀποκενῶται τοῦ αἵματος ἡ γυνὴ, λαμβάνει ἐν γαστρί· 2 ἢν δὲ πλήρης ἔῃ, οὔ. 3 κενέων γὰρ τῶν μητρέων καὶ τῶν φλεβῶν γενομένων τοῦ αἵματος, λαμβάνουσι πρὸς σφᾶς αἱ γυναῖκες τοὺς παῖδας. 4 μετὰ γὰρ τὴν καταμηνίων τὴν κάθαρσιν, αἱ γυναῖκες λαμβάνουσιν ἐν γαστρί. 5 αἴτιον δὲ τὸ εἰρημένον. 6 ὁκόταν δὲ ταραχθὲν τὸ αἷμα καὶ ἀποκριθὲν, μὴ χωρέῃ ἔξω, ἀλλ' ἐς τὰς μήτρας, 7 αἱ δὲ μῆτραι μὴ χαλάσωσι, 8 θερμαινόμεναι δὴ ὑπὸ τοῦ αἵματος χρονιώτερον μένοντος αἱ μῆτραι θέρμην τῷ ἄλλῳ σώματι παρέχουσιν. 9 ἔστι δ' ὅτε καὶ διαδιδοῦσι τοῦ αἵματος ἐς τὰς φλέβας τοῦ σώματος, 10 ὥστε καὶ αἱ φλέβες πληρεύμεναι πονέονται, 11 καὶ οἰδήματα παρέχουσιν. 12 ἔστι δ' ὅτε καὶ κίνδυνος ἐκ τοῦ τοιούτου χωλωθῆναι. 13 ἔστι δ' ὅτε καὶ πρὸς τὴν κύστιν προσίστανται, καὶ πιέζουσι καὶ κλείουσι τὴν κύστιν, καὶ στραγγουρίην παρέχουσι. 14 ἔστι δ' ὅτε καὶ πλήρεες αἵματος ἐοῦσαι αἱ μῆτραι προσπίπτουσιν ἢ πρὸς τὰ ἰσχία, ἢ πρὸς τὴν ὀσφὺν, καὶ πόνον παρέχουσιν. 15 ἔστι δὲ ὁκόταν ἐγχρονίσῃ τὸ αἷμα μῆνας πέντε ἢ ἓξ ἐν τῇσι μήτρῃσι σαπὲν, πῦον γίνεται, 16 καὶ ἐνίῃσι κατὰ τὸ αἰδοῖον ἐξέρχεται τὸ πῦον. 17 ἔστι δὲ ᾗσι καὶ κατὰ τὸν βουβῶνα ὡς φῦμα γίνεται, κἀκεῖ πῦον

γίνε-

fitate, 16 quod mensis à mense multum differt, 17 & secundum frigiditatem & caliditatem: 18 atque hoc percipit mulieris corpus. 19 humidius enim est quam virile. 20 Vbi autem turbatus est sanguis, & venas implevit, ab ipso descendit, 21 qualis ab initio naturæ fuit.

VII. Quare siquidem evacuatur à sanguine mulier, in ventre concipit: 2 si vero repleta fuerit, non. 3 Nam vacuis uteris & venis à sanguine factis, mulieres in se fœtus concipiunt. 4 Etenim post menstrui sanguinis purgationem mulieres in ventre concipiunt. 5 Causa jam dicta est. 6 Quando autem conturbatus & secretus sanguis foras non procedit, 7 sed in uteros, 7 uteri autem non hiaverint, 8 tunc sane à sanguine diutius immorante uteri calescentes, reliquo corpori calorem transmittunt, 9 quandoque etiam sanguinem in venas corporis distribuunt, 10 ut & venæ repletæ doleant; 11 & tumores laxos producant. 12 Quandoque etiam periculum est ne claudicatio ex hoc inducatur. 13 Aliquando & vesicam obsident, premuntque ac claudunt vesicam, & urinæ stillicidium inducunt. 14 Aliquando pleni quoque sanguinis existentes uteri procidunt, aut ad coxendices, aut lumbos, & dolorem exhibent. 15 Aliquando ubi sanguis quinque aut sex menses in uteris moram traxit, putrefactus pus fit, 16 & quibusdam pus per pudendum exit. 17 Sunt etiam quibus circa inguen velut tuberculum fit, illicque suppuratum

exit.

σημαίνομεν, ἐξῆλθε. [18] καὶ ἄλλα πολλὰ κακὰ τῇσι γυναιξὶ τοιαῦτα γίνεται, ὁκόταν μὴ ἀποκαθαίρωνται τὰ καταμήνια. [19] ἀλλὰ τί δεῖ λέγειν αὐτὰ ἐνθάδε; 15 [20] εἰρήσεται γὰρ ἐν τοῖσι γυναικείοισι νουσήμασιν. [21] ἀλλ', ὅθεν ἀπέλιπον, περανέω τὸν λόγον.

IIX. Ὁκόταν δ' ἤδη ᾖ σάρξ, [2] τότε οἱ ὑμένες, αὐξομένου τοῦ ἐν τῇσι μήτρῃσιν ἐόντος αἵματος, αὔξονται, καὶ αὐτοὶ καὶ κολποῦνται, καὶ μάλιστα οἱ ἔξωθεν. [3] καὶ τὸ αἷμα κατελθὸν τὸ ἀπὸ τῆς μητρὸς, ὅ, τι ἂν ἡ σὰρξ πνέουσα ἑλκύσῃ, καὶ ἡ αὔξη ἐγγίνεται. [4] καὶ ἢν μὴ χρηστὸν ᾖ, 21 ἐς τοὺς κόλπους τῶν ὑμένων ἀποκρίνεται. [5] καὶ, ὁκόταν κολπωθῶσι καὶ τὸ αἷμα δέξωνται, [6] τότε ἤδη καλέονται χορίον. [7] ταῦτα δὲ μοι ἐς τοσοῦτο εἴρηται. [8] ἡ δὲ σὰρξ αὐξομένη ὑπὸ τοῦ πνεύματος διαρθροῦται, [9] καὶ ἔρχεται ἐν ταύτῃ ἕκαστον τὸ ὅμοιον ὡς τὸ ὅμοιον. [10] τὸ πυκνὸν ὡς τὸ πυκνόν. [11] τὸ ἀραιὸν ὡς τὸ ἀραιόν. [12] τὸ ὑγρὸν ὡς τὸ ὑγρόν. [13] καὶ ἕκαστον ἔρχεται ἐς χώρην ἰδίην, [14] κατὰ τὸ ξυγγενὲς, ἀφ' οὗ καὶ ἐγένετο. [15] καὶ ὅσα ἀπὸ πυκνῶν ἐγένετο, πυκνά ἐστι. [16] καὶ ὅσα ἀπὸ ὑγρῶν, ὑγρά. [17] καὶ τ' ἄλλα κατὰ τὸν αὐτὸν λόγον γίνεται ἐν τῇ αὔξησει.

5 IX. Καὶ τὰ ὀστέα σκληρύνεται ὑπὸ τῆς θέρμης πηγνύμενα. [2] καὶ δὴ καὶ διοζοῦται ὡς δένδρον, [3] καὶ διαρθροῦται ἔτι ἄμεινον, καὶ τὰ ἔσω τοῦ σώματος, καὶ τὰ ἔξω. [4] καὶ ἥ τε κεφαλὴ γίνεται ἀφεστηκυῖα ἀπὸ τῶν ὤμων, [5] καὶ οἱ βραχίονες καὶ οἱ πήχεες ἀπὸ τῶν πλευρέων. [6] καὶ τὰ σκέλεα διΐσταται ἀπ' ἀλλήλων. [7] καὶ τὰ νεῦρα ἐμπεφύκασιν ἀμφὶ τὰς 22 φύσιας τῶν ἄρθρων. [8] καὶ τὸ στόμα 23 διανοίγεται.

exit. [18] Sed & alia multa hujuscemodi mala mulieribus fiunt, ubi lunares purgationes non 105 procedunt. [19] Sed quid opus est ea hic recensere? [20] Referentur enim in muliebribus morbis. [21] Verum jam reperito eo quod reliqui, sermonem absolvam.

LIX. Quum autem generatur caro, [2] tunc pelliculæ, augescente in utero sanguine, etiam ipsæ augentur ac sinuantur, & præsertim externæ. [3] Et sanguis a matre descendens, quem sane caro spirans attraxerit, in incrementum cedit, [4] & si utilis 110 non sit, in sinus pellicularum secernitur: [5] & ubi sinuatæ factæ fuerint, ac sanguinem susceperint, [6] tunc jam secunda appellatur. [7] Et tantum de hoc mihi dictum sit. [8] Cæterum caro augescens à spiritu articulatur, [9] & abit in hac unumquodque simile ad simile, [10] densum ad densum, [11] rarum ad rarum; [12] humidum ad humidum, [13] & unumquodque in propriam regionem abit, [14] juxta cognationem, ad id à quo genitum est, [15] & quæcunque a densis 115 genita sunt, densa sunt: [16] & quæcunque ab humidis, humida; [17] & reliqua juxta eandem rationem fiunt in incremento.

IX. Et ossa durescunt à calore conglutinata. [2] Et sane ramificantur velut arbor, [3] & tum interna, tum externa corporis, adhuc melius articulantur: [4] ipsumque caput distantiam acquirit ab humeris, [5] & brachia ac cubiti à lateribus: [6] & crura inter se disparantur: [7] & nervi exilunt circum naturas articulorum: [8] & os per se didu- 120 citur,

μυκτήρ. [9] καὶ ἡ ῥὶς, καὶ τὰ ὦτα ἀφίστανται ἐν τῇσι σαρξὶ, καὶ τιτρῶνται. [10] καὶ οἱ ὀφθαλμοὶ ἐμπίπλανται ὑγροῦ καθαροῦ. [11] καὶ τὸ αἰδοῖον δῆλον γίνεται, ὁκότερόν ἐστι. [12] καὶ τὰ σπλάγχνα διαρθροῦται. [13] καὶ δὴ καὶ τοῖσιν ἄνω τὴν πνοιὴν ποιέεται, τότε στόματι καὶ τῇ ῥινί. [14] καὶ ἥ τε κοιλίη φυσᾶται. [15] καὶ τὰ ἔντερα κοῖλα φυσώμενα κατὰ τὸ ἄνωθεν ἐπιλαμβάνει τὴν διὰ τοῦ ὀμφαλοῦ πνοιὴν [16] καὶ ἀμαλδύνει. [17] καὶ ἔς τὸν κύσαρον ὁδὸς γίνεται ἀπὸ τῆς κοιλίης καὶ τῶν ἐντέρων ἔξω, [18] καὶ ἐς τὴν κύστιν ὁδὸς ἔξω. [19] τούτων δὲ διαρθροῦται ἀπὸ τῆς πνοιῆς ἕκαστα. [20] φυσώμενα γὰρ διΐσταται ξύμπαντα κατὰ συγγένειαν. [21] καὶ γὰρ, εἰ ἐθέλοις αὐλίσκον προσδῆσαι τῇ κύστει, καὶ διὰ τοῦ αὐλίσκου ἐμβαλεῖν ἐς τὴν κύστιν γῆν τε καὶ ψάμμον, καὶ μολίβδου κνήσματα λεπτὰ, καὶ ὕδωρ ἐπιχέας φυσᾷν διὰ τοῦ αὐλίσκου, [22] πρῶτον μὲν ἐκεῖνα ἀναμεμίξεται τῷ ὕδατι. [23] ἔπειτα δὲ, χρόνῳ φυσώμενα ἐλεύσεται ὅ, τε μόλιβδος ὡς τὸν μόλιβδον, καὶ ἡ ψάμμος ὡς τὴν ψάμμον, καὶ ἡ γῆ ὡς τὴν γῆν. [24] καὶ ἤν τις αὐτὰ ἀναξηρανθῆναι ἐάσῃ, [25] καὶ περιῤῥήξας τὴν κύστιν σκέψηται, [26] εὑρήσει αὐτῶν τὸ ὅμοιον ὡς τὸ ὅμοιον ἐληλυθός. [27] οὕτω δὴ καὶ ἡ γονὴ καὶ σὰρξ διαρθροῦται, [28] καὶ ἔρχεται ἕκαστον ἐν ἑωυτῇ τὸ ὅμοιον ὡς τὸ ὅμοιον. [29] ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

X. Καὶ γέγονεν ἤδη παιδίον, [2] καὶ ἐς τοῦτο ἀφικνέεται, τὸ μὲν θῆλυ τὴν πρώτην πῆξιν ἐν τεσσαράκοντα ἡμέρῃσι καὶ δύο τὸ μακρότατον. [3] τὸ δὲ ἄρσεν, ἐν τριήκοντα ἡμέρῃσι τὸ μακρότατον. [4] ὡς γὰρ ἐπὶ πολὺ

citur; [9] & nasus, & aures eminent in carne, ac perforantur: [10] & oculi implentur humore puro, [11] & pudendum conspicuum fit utrum tandem sit: [12] & viscera coarticulantur: [13] & jam etiam supernis partibus spirationem facit, tum ore, tum naribus: [14] & venter inflatur, [15] & intestina inflata superne, per umbilicum spiritum assumunt, [16] ac disperdunt: [17] & in podicem via fit à ventre ac intestinis foras, [18] & in vesicam via foras. [19] Atque hæc omnia à spiritu coarticulantur. [20] Nam inflata disparantur omnia, juxta cognationem. [21] Etenim si velis fistulam vesicæ alligare, & per fistulam immittere in vesicam, terram & arenam, & plumbi tenuia ramenta, insuperque infusa aqua in fistulam inflare, [22] primum quidem illa aquæ permiscentur, [23] deinde vero temporis progressu inflata secedent, & abibit plumbum ad plumbum, arena ad arenam, terra ad terram. [24] Et si quis ipsa arefieri permittat, [25] & diffracta vesica contempletur, [26] inveniet simile ad simile progressum esse. [27] Sic sane etiam genitura & caro coarticulatur, [28] & unumquodque in ipsa simile ad simile abit. [29] Atque hæc mihi de hoc dicta sunt.

X. Et factus jam est puer, [2] & ad hoc pervenit fœmella quidem in quadraginta & duobus diebus ut longissime, primam coagmentationem ac coarticulationem accipiens: [3] masculus vero ut longissime, in triginta diebus. [4] Vtplurimum enim hoc tempore, aut paulo breviore, aut paulo longiore, articulatio ipsis contingit.

πολὺ ξυμβαίνει ἐν τούτῳ τῷ χρόνῳ, ἢ ὀλίγῳ μέσον, ἢ ὀλίγῳ πλέονος τοῦτο διαρθροῦται. [5] καὶ γὰρ 27 ἡ κάθαρσις γίνεται τῇσι γυναιξὶ μετὰ τὸν τόκον ὡς ἐπὶ τὸ πολὺ, [6] ἐπὶ μὲν τῇ κούρῃ, ἐν ἡμέρῃσι τεσσαράκοντα καὶ 25 δύο· [7] οὕτως ἡ χρονιωτάτη καὶ τελέη. [8] ἀκίνδυνος δ' ἂν εἴη, καὶ ἐν εἴκοσι καὶ πέντε ἡμέρῃσιν ἐκκαθαίροιτο. [9] ἐπὶ δὲ τῷ κούρῳ ἡ κάθαρσις γίνεται ἡμέρῃσι τριήκοντα. [10] οὕτως ἡ χρονιωτάτη καὶ τελέη. [11] ἀκίνδυνος δ' ἂν εἴη καὶ ἐν εἴκοσιν ἡμέρῃσιν ἐκκαθαίροιτο. [12] τοῦ δὲ ὑστέρου χρόνου ἐλαχίστη χωρέει ἡ κάθαρσις. [13] ἐπὶ δὲ τῇσι νεωτέρῃσιν ἐλάσσων ἐν ἡμέρῃσι καθαίρονται. [14] ἐπὶ δὲ τῇσι πρεσβυτέρῃσι, πλέοσι.

XI. Μάλιστα δὲ πονέουσιν αἱ γυναῖκες ἐν τῷ τόκῳ, [2] καὶ ἐν τοῖσι 30 λοχείοισιν αἱ ἀπειρότοκοι, [3] καὶ αἱ ἐλάσσω τετοκυῖαι τῶν πλέω τετοκυιῶν μᾶλλον πονέονται. [4] αἱ δὲ καθάρσιες αἱ ἐκ τοῦ τόκου τῇσι γυναιξὶ τούτου εἵνεκα γίνονται, [5] ὅτι ἐν τῷ πρώτῳ χρόνῳ μέχρι τεσσαράκοντα ἡμερέων καὶ δύο ἐπὶ τῇ κούρῃ, [6] ἐπὶ δὲ τῷ κούρῳ μέχρι τριήκοντα ἡμερέων ἐλάχιστον αἷμα κατέρχεται ἐπὶ τὴν αὔξησιν τοῦ παιδίου. [7] τὸ δὲ ἀπὸ τούτου πλεῖον, μέχρι ἂν τέκῃ. [8] δεῖ δὴ τὴν κάθαρσιν ἀποδιδόναι ἐν τοῖσι λοχείοισι, [9] καὶ ἐξιέναι ἔξω, κατὰ τὸν λόγον τῶν ἡμερέων.

35 XII. Ἀρχὴ δὲ γίνεται τοιαύτη τῇ γυναικί. [2] ἐν τῇ ὠδῖνι τὸ αἷμα ταράσσεται τῇ γυναικὶ [3] καὶ θερμαίνεται πάνυ ὑπὸ τῆς κινήσιος τοῦ παιδίου ἀθρόως ἐούσης. [4] ταραχθὲν δὲ, πρῶτον μὲν ἔρχεται ἔξω. [5] ἔπειτα τὸ παιδίον. [6] μετὰ δὲ τὸ παιδίον, ἰχὼρ πυκνὸς αἱματώδης. [7] καὶ ὑφήγησις ἐγένετο τούτου, ὥσπερ ὕδατι

git. [5] Nam & purgatio fit à partu utplurimum, [6] in fœmellis quidem, diebus quadraginta & duobus (? atque hæc tardissima est, & perfecta. [8] Vacaverit autem periculo, etiamsi in vigintiquinque diebus purgetur.) [9] In masculo vero purgatio fit diebus triginta: [10] atque hæc tardissima est, & perfecta. [11] Citra tamen periculum fuerit, etiamsi in viginti diebus mulier purgetur. [12] Postremo autem tempore purgatio quam paucissima procedit, [13] & in junioribus paucioribus diebus purgatur, [14] in senioribus vero pluribus.

XI. Cæterum maxime laborant ac dolent in partu, [2] & partus purgationibus mulieres primiparæ, [3] & quæ rarius pariunt magis dolent, quam quæ sæpius. [4] Atqui purgationes à partu mulieribus ea gratia fiunt, [5] quod primo tempore usque ad dies quadraginta duos in fœmella, [6] in masculo vero ad dies triginta paucissimus sanguis in augmentum pueri descendit: [7] ab hoc autem tempore copiosior, donec pariat. [8] Oportet itaque purgationem reddi in toto puerperii tempore: [9] & foras exire, ac respondere pro dierum ratione ac proportione.

XII. Principium autem hujusmodi purgationis tale mulieri fit. [2] Dum ex partu laborat, conturbatur sanguis mulieri, [3] & à forti pueri motu vehementer calescit. [4] Conturbatus autem, primus quidem foras prodit: [5] deinde puer: [6] post puerum vero, mucus crassus sanguinolentus: [7] & deductio contingit huic, quemadmodum aquæ

ὥσπερ ἀπὸ τραπέζης. [8] Ἔπειτα μετ' ἐκεῖνον ἀεὶ πάσας τὰς ἡμέρας χωρεῖ ἡ κάθαρσις, [9] ἄχρι τοῦ εἰρημένου χρόνου, [10] πλῆθος ἀττικὴ κοτύλη ὅλη καὶ ἡμίσεα τὸ πρῶτον, ἢ ὀλίγῳ πλεῖον, ἢ ὀλίγῳ ἔλασσον, 40 [11] κατὰ λόγον τούτου μέχρις ἂν λήξῃ. [12] Χωρέει δὲ αἷμα οἷον ἀπὸ ἱερείου, ἢν [13] ὑγιηρὴ ἡ γυνὴ, καὶ ἢν μέλλῃ ὑγιαίνειν, [14] καὶ ταχὺ πήγνυται. [15] Ἢν δὲ μὴ ὑγιηρὴ ᾖ ἡ γυνὴ, μηδὲ μέλλῃ ὑγιαίνειν, χωρεῖ ἡ κάθαρσις ἐλάττων, [16] καὶ εἶδος πονηροτέρη, [17] καὶ οὐ ταχὺ πήγνυται. [18] Ὧδε δὲ τοῦτο ἔχει. [19] Ἢν τι ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νόσημα ἔχῃ μὴ ξυγγενὲς, [20] ἐν τῇ λοχείῃ καθάρσει ἀπόλλυται. [21] Ἢν δὲ μὴ ἀποκαθαρθῇ ῥηϊδίως ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν ἐν γαστρὶ ἔχουσα, ὑγιηρὴ ἐοῦσα, ἢ οὔ, [22] κινηθῇ δὲ αὐτῇ ἡ κάθαρσις, 45 εἴτε ὑπὸ φαρμάκων, εἴτε αὐτόματος ἐξαίφνης, [23] κατὰ λόγον τῶν ἡμερέων χωρήσει, ὧν μὴ χωρέει ἐς ἅπαξ.

XIII. Ἢν γὰρ μὴ ἀποκαθαρθῇ τὸ λόχιον ἡ γυνὴ, νοῦσος αὐτῇ μεγάλη ἔσται, [2] καὶ κινδυνεύσει ἀποθανεῖν, [3] ἢν μὴ μελεδανθῇ ταχὺ, [4] καὶ ἤν τις αὐτῇ κάθαρσιν ἐπάγῃ τὴν καθαρτικήν. [5] Ταῦτα δὲ εἰρήκειν ὧδε διὰ τοῦτο, [6] ὅκως ἀποφήνω, ὅτι τοῦ παιδίου γίνεται ἡ διάκρισις τῶν μελέων ἡ μακροτάτη, [7] ἐπὶ μὲν τῇ κούρῃ ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν, [8] ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα ἡμέρῃσιν. 55 [9] Τεκμήριον ἡ κάθαρσις τῆς λοχείης, [10] ὅτι ἐπὶ μὲν τῇ κούρῃ γίνεται ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν, [11] ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα ἡμέρῃσιν ἡ χρονιωτάτη. [12] Μέλλω δὲ τὸ δεύτερον τῷ ὀνόματι ...

aquæ effusæ in mensa. [8] Postea post illum per omnes dies purgatio procedit [9] usque ad prædictum tempus, [10] copia Atticæ heminæ unius & dimidiæ primum, aut paulo plus minusve, [11] pro ejus temporis ratione, donec desinat. [12] Procedit autem sanguis velut à victima, [13] si sana est, & sana futura est mulier, [14] & statim congelatur. [15] Si vero mulier sana non est, neque sana futura est, purgatio paucior procedit, [16] & specie deterior, [17] & non cito congelatur. [18] Id vero hoc modo habet. [19] Si mulier uterum gestans morbum habuerit non cognatum, [20] in puerperii purgatione perit. [21] Si vero non purgetur in prioribus diebus uterum gerens, statim sana existens, aut etiam non, [22] commoveatur autem ipsi purgatio sive à pharmacis, sive sua sponte derepente, [23] juxta dierum rationem procedet, quibus non una vice procedit.

XIII. Si enim non purgetur mulier à purgationibus partus, morbus magnus ipsam corripiet, [2] & periculum vitæ incurret, [3] nisi cito curetur, [4] & quis convenientem ipsi purgationem inducat. [5] Hæc propterea produxi, ut ostenderem [6] quod in pueris membrorum discretio longissima contingit, [7] in fœmella in quadraginta duobus diebus, [8] in masculo in triginta. [9] Argumento est purgatio à partu, [10] quæ in fœmella fit in quadraginta duobus diebus, [11] in masculo in triginta, ut tardissime contingat. [12] Repetam autem iterum eandem rem iisdem verbis, majoris lucis ac declarationis

...τεκμήριον ἐρέω. [13] φημὶ γὰρ ἀνταποδίδοσθαι, [14] ὅτι ἐν τῇσι μήτρῃσιν ἐούσῃ τῇ γονῇ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐπὶ τὰς μήτρας θήλειαν γονὴν ἐχούσης ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν, [15] ἐν γὰρ ταύτῃσι διαρθροῦται τὰ μέλεα τοῦ παιδίου. [16] ἀπὸ δὲ τούτου τοῦ χρόνου ἐπὶ πλεῖον ἔρχεται τὸ αἷμα. [17] καὶ ἐπὶ τοῦ κούρου πάλιν κατὰ λόγον τῶν τριήκοντα ἡμερέων. [18] ὅτι δὲ ἕτερον τεκμήριον ἐρέω τοιόνδε, ὅτι ταῦτά ἐστιν ἀληθέα.

XIV. Τῇσι πρώτῃσι τῶν ἡμερέων, ὁκόταν ἡ γονὴ ἐς τὰς μήτρας πέσῃ, [2] ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐς τὰς μήτρας, [3] ἔπειτα δὲ ἐπὶ πλεῖον. [4] εἰ γὰρ ἀθρόον καὶ πολλὸν ἔλθοι ἐς αὐτὰς, [5] οὐκ ἂν δύναιτο ἡ γονὴ πνοὴν ἔχειν, ἀλλ' ἀποπνιγείη ἂν ὑπὸ τοῦ αἵματος ἐλθόντος πολλοῦ. [6] ἀνταποδίδοται δὲ ἐν τῇ καθάρσει τοὐναντίον. [7] χωρέει γὰρ ἡ κάθαρσις τῶν λοχείων ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων πλείστη, [8] ἔπειτα ἐπ' ἐλάσσον, ἕως λήξῃ. [9] πολλαὶ δὲ γυναῖκες ἤδη διέφθειραν κοῦρον ὀλίγῳ πρόσθεν τριήκοντα ἡμερέων, [10] καὶ ἄναρθρον ἐφαίνετο. [11] ὁκόσα δὲ ὕστερον ἢ ἅμα τῇσι τριήκοντα ἡμέρῃσι, [12] διηρθρωμένα ἐφαίνετο ἐόντα. [13] καὶ ἐπὶ τῆς κούρης κατὰ λόγον τῶν τεσσαράκοντα καὶ δυοῖν ἡμερέων. [14] ὁκόταν γὰρ διαφθαρῇ, φαίνεται ἡ διάρθρωσις τῶν μελέων. [15] ἤν τε πρόσθεν φθαρῇ τὸ παιδίον, ἤν τε ὕστερον, ὧδε φαίνεται. [16] καὶ κατὰ λόγον καὶ ἀνάγκην ἡ διάρθρωσις τοῦτον, [17] ἐπὶ μὲν τῇ κούρῃ ἐν τεσσαράκοντα καὶ δύο ἡμέρῃσιν, [18] ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα. [19] μαρτυρέουσι γάρ μοι ἐξαμβλώσιες τῶν παιδίων, [20] καὶ τῶν λοχείων αἱ καθάρσιες. [21] αἴτιον δέ ἐστιν,

gratia. [13] Dico enim talionem rependi, [14] quod genituræ in utero existenti paucissimus sanguis à matre in uterum venit, si fœmineam genituram habeat, in quadraginta duobus diebus, [15] in his enim coarticulantur puerorum membra: [16] ab hoc vero tempore copiosior sanguis venit. [17] Et in masculo rursus juxta rationem dierum triginta. [18] Quod vero hæc vera sint, etiam alterum testimonium [1] adest, hoc modo habens.

XIV. Primis diebus ubi genitura in uteros illapsa est, [2] paucissimus sanguis à muliere in uteros venit, [3] deinde copiosior. [4] Si enim acervatim & multus semel veniret, [5] genitura spirationem habere non posset, sed sanguine multo accedente suffocaretur. [6] Rependitur autem in purgatione vice versa, [7] purgatio enim puerperii in primis diebus plurima procedit, [8] deinde paucior, [1] donec desinat. [9] Mulieres autem mulieres puerum masculum jam perdiderunt paulo ante trigesimum diem, [10] & inarticulatus apparuit. [11] Qui vero posterius perditi sunt, aut simul cum trigesimo die, [12] omnes articulati apparuerunt. [13] In fœmella itidem juxta rationem quadraginta duorum dierum habet. [14] Nam ubi his absolutis perditur, articulatio membrorum apparet. [15] Sive autem prius sive posterius perdetur puer, juxta hanc rationem apparet. [16] Nam & secundum rationem & necessitatem, articulatio contingit [17] in fœmella, in diebus quadraginta duobus, [18] in masculo, in triginta. [19] Testimonium enim præbent abortus puerorum, [20] & à partu purgationes. [21] Quod autem

ἐστιν, ὅτι τὸ θῆλυ πήγνυται ὕστερον, καὶ διαρθροῦται, 22 ὅτι ἡ γονὴ ἀσθενεστέρη ἐστὶ, καὶ ὑγροτέρη τῆς θηλείης, ἢ τοῦ ἄρσενος. 23 καὶ ἀνάγκη ἐστὶ κατὰ τοῦτον τὸν λόγον, ὕστερον πήγνυσθαι τὸ θῆλυ, ἢ τὸ ἄρσεν. 24 καὶ ἡ κάθαρσις χρονιωτέρη τετύχηκεν ἐπὶ τῇ θηλείῃ ἢ τῷ ἄρσενι γίνεται. 25 ἀναβήσομαι δὲ αὖθις ὀπίσω, ὅθεν ἀπέλιπον.

XV. Ὁκόταν δὲ διαρθρωθῇ τὸ παιδίον, 2 τὰ εἴδεα τῶν μελέων αὐξομένων αὐτοῦ, 3 τότε ὀστέα ἐπισκληρότερα γίνεται, 4 καὶ κοιλαίνεται. 5 καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος γίνεται. 6 κοῖλα δὲ ἐόντα ἕλκει ἐς ἑωυτὰ ἀπὸ τῶν σαρκῶν, 7 τοῦ αἵματος τὸ πιότατον, καὶ χρόνῳ διοζοῦται αὖθις τὰ ἄκρα τῶν ὀστέων. 8 ὥσπερ δενδρέου τὰ ἀκρότατα ὕστατα ὀζοῦται. 9 οὕτω καὶ τοῦ παιδίου διΐσταται ἀπ' ἀλλήλων οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν. 10 ἐπὶ δὲ αὐτῶν τῶν ἀκρέων οἱ ὄνυχες φύονται.

XVI. Τελευτῶσι γὰρ αἱ φλέβες αἱ τοῦ ἀνθρώπου πᾶσαι, ἐς τοὺς δακτύλους τῶν ποδῶν καὶ τῶν χειρῶν. 2 καὶ παχύταται μὲν εἰσιν αἱ ἐν τῷ σώματι φλέβες, αἱ ἐν τῇ κεφαλῇ. 3 ἔπειτα δὲ ἐν τοῖσι σκέλεσι καὶ τοῖσι βραχίοσι καὶ τοῖσι πήχεσιν. 4 ἐν δὲ τοῖσι ποσὶ καὶ τῇσι χερσὶ λεπτόταται καὶ πυκνόταται καὶ πλεῖσται φλέβες εἰσί. 5 καὶ νεῦρα λεπτότατα καὶ πυκνότατα καὶ πλεῖστα. 6 καὶ ὀστέα ἐλάχιστα τῷ μεγάθει. 7 τῶν δὲ χειρῶν καὶ τῶν ποδῶν ἐν τοῖσι δακτύλοισι ταῦτα μάλιστά ἐστιν. 8 ἐκ δὲ τῶν δακτύλων, ἅτε πυκνὰ ἐχόντων ὀστέα καὶ σμικρὰ, 9 καὶ φλέβας καὶ νεῦρα οὕτως. 10 οἱ δὲ ὄνυχες φύονται ἐξ αὐτῶν λεπτοὶ καὶ πυκνοί. 11 καὶ ἀπολαμβάνουσι τῶν φλε-

tem fœmella posterius conformatur ac coarticulatur, caussa hæc est: 22 quod genitura fœminea debilior est ac humidior quam mascula, 23 & juxta hanc rationem necesse est posterius conformari fœmellam quam masculum, 24 atque ea gratia etiam purgatio diuturnior est in fœmella quam masculo. 25 Redibo autem rursus retro unde digressus sum.

XV. Postquam jam articulatus fuerit puer, 2 speciebus membrorum ipsius augescentibus, 3 tunc & ossa duriora fiunt, 4 & cavantur, 5 atque hæc a spiritu fiunt. 6 Cava autem existentia trahunt ad sese a carnibus quod in sanguine est pinguissimum: 7 & progressu temporis ramificantur rursus extremitates ossium. 8 Quemadmodum arboris extremitates postremum ramos spargunt, 9 sic & in puero digiti manuum ac pedum inter se disparantur. 10 In ipsis autem extremitatibus ungues enascuntur.

XVI. Desinunt autem venæ hominis omnes in digitos manuum ac pedum. 2 Et crassissimæ quidem sunt venæ totius corporis, venæ capitis, 3 deinde crurum, & brachiorum ac cubitorum. 4 In pedibus autem & manibus tenuissimæ ac densissimæ & plurimæ venæ sunt. 5 Nervi item tenuissimi ac densissimi & plurimi, 6 & ossa magnitudine minima, 7 atque hæc maxime in digitis manuum ac pedum existunt. 8 Verum ex digitis, utpote ossa densa ac parva habentibus, 9 venas itidem ac nervos, 10 sic etiam ungues tenues ac densi nascuntur, 11 & intercipiunt ac con-

φλεβῶν τὰ ἄκρεα, [12] ὥστε μηκέτι αὔξεσθαι αὐτάς, [13] μηδὲ ἑτέρην ἐπ' ἑτέρης. [14] ὥστε μὴ θαυμάζειν, ὅτι οἱ ὄνυχες ἐξωτάτω τοῦ σώματος πυκνότατοί εἰσιν. [15] ἐκ γὰρ τῶν πυκνοτάτων εἰσίν. [16] ἅμα δὲ τῇσιν ὄνυξι καὶ αἱ τρίχες ἐν τῇ κεφαλῇ ῥιζοῦνται.

XVII. Ἔχει δὲ ὧδε τὰ ἀμφὶ τῶν τριχῶν τῆς φύσιος. [2] φύονται μὲν γὰρ μέγισται καὶ πλεῖσται, [3] ὅκου τοῦ σώματος ἡ ἐπιδερμὶς ἀραιοτάτη ἐστί, [4] καὶ ὅκου ἡ θρὶξ μετρίην ἰκμάδα ἐς τὴν τροφὴν ἔχει. [5] καὶ ὅκου ἡ ἐπιδερμὶς ὕστερον ἀραιὴ γίνεται, ἐκεῖ καὶ ὕστερον αἱ τρίχες φύονται, [6] ἐπί τε τοῦ γενείου, καὶ ἤν που ἄλλοθι. [7] ἅμα γὰρ τοῦ γόνου γενομένου ἥ τε σὰρξ ἀραιὴ γίνεται, καὶ ἡ ἐπιδερμὶς, [8] καὶ τὰ φλέβια στομοῦται μᾶλλον, ἢ ἐν τῷ πρὶν χρόνῳ. [9] παιδὸς γὰρ ἐόντος, καὶ τῶν φλεβίων λεπτῶν ἐόντων, [10] οὐκ ἐξχωρέει δι' αὐτῶν ὁ γόνος. [11] καὶ τῇσι παρθένοισι περὶ τῶν καταμηνίων ὡυτὸς λόγος. [12] ἅμα δὲ ὁδὸς γεγένηται, καὶ τοῖσι καταμηνίοισι καὶ τῇ γονῇ, τῇσι παρθένοισι. [13] καὶ τριχοῦται ἡ ἥβη τοῦ παιδὸς καὶ τῆς παρθένου, [14] ἀραιῆς τῆς ἐπιδερμίδος γενομένης, [15] καὶ ἅμα ἡ θρὶξ ἰκμάδα μετρίην ἐς τὴν τροφὴν ἔχει, [16] καὶ οὐκ ἐλάσσονα. [17] οὕτω δὲ καὶ ἡ περὶ τὸ γένειον τοῦ ἀνδρὸς ἔχει. [18] ἀραιὴ γὰρ γίνεται ἡ ἐπιδερμὶς, χωρεούσης ἐς αὐτὴν τῆς ἰκμάδος ἀπὸ τῆς κεφαλῆς. [19] ἅμα μὲν γὰρ καὶ ἐν τῇ λαγνείῃ, [20] ἅμα δὲ καὶ ἐν τῷ μεταξὺ χρόνῳ, [21] ἡ θρὶξ μετρίην ἔχει τὴν ἰκμάδα ἐς τὴν τροφήν. [22] τότε δὲ μάλιστα, ὁκόταν ὁ γόνος ἐξηγῆται τῷ ὀχετῷ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐν τῇ λαγνείῃ ἐπὶ τὸ γένειον, [23] καὶ ἀπέχοντι ἀπὸ τῶν στηθέων.

XIIX. Ση-

concludunt [12] venarum extremitates, [13] ut ne amplius augescant, [13] neque altera alteri præmineat: [14] ut nihil miri sit ungues in extrema corporis parte densissimos esse, [15] ex densissimis enim constant. [16] Simul autem cum unguibus etiam capilli in capite radicantur.

XVII. Cæterum pilorum natura hoc modo se habet. [2] Oriuntur equidem maximi ac plurimi: [3] qua corporis parte cuticula rarissima est, [4] & ubi pilus moderatum humorem in alimentum habet: [5] & ubi cuticula posterius rara fit, ibi etiam pili posterius nascuntur, [6] veluti in mento, & pube, & sicubi alias pili nascuntur. [7] Simul enim ut genitura prodit, etiam caro rarescit, & cuticula, [8] & venæ aperiuntur magis quam priori tempore. [9] Nam dum adhuc puer est & venæ tenues existunt, [10] non procedit per ipsas genitura, ([11] eadem ratio de mensibus virginum est.) [12] Simul autem ut via fit & geniturae, & menstruis virginibus, [13] etiam pilos emittit pubes, tum pueri, tum virginis, [14] rara nimirum cuticula reddita, [15] simulque pilus moderatam humiditatem in alimentum habet, [16] & non pauciorem. [17] Sic vero & in mento viri contingit. [18] Rara enim fit cuticula, procedente in ipsam de capite humiditate. [19] Simul enim & in coitu, [20] simulque interjecto tempore, [21] pilus moderatam humiditatem in alimentum habet, [22] & tunc maxime, quum tempus contingit humiditati de capite descendenti in coitu, [23] ad mentum à pectore distans.

XIIX. Σημεῖον δὲ, ὅτι ἐν τοῖσιν ἀραιοτάτοισι τῆς ἐπιδερμίδος φύονται αἱ τρίχες· [2] εἴ τις ἐθέλοι ἐπικαῦσαι τὴν ἐπιδερμίδα, καὶ φλυκταίνας μόνον ποιῆσαι καὶ ὑγιῆσαι, [3] πυκνὴ γενομένη ἡ ἐπιδερμὶς κατὰ τὴν οὐλὴν τὰς τρίχας οὐκ ἐκφύσειε. [4] ὁκόσοι δὲ εὐνοῦχοι παῖδες ἐόντες γίνονται, [5] διὰ τοῦτο οὔτε ἡβῶσιν, [6] οὔτε γενειῶσι, [7] λεῖοί τε γίνονται ὅλοι· [8] ὅτι ἡ ὁδὸς τῇ γονῇ οὐκ ἐπιγενομένη οὐκ ἀραιοῖ τὴν ἐπιδερμίδα ἐπὶ τοῦ ξύμπαντος δέρματος. [9] ἀπολέληπται γὰρ ἡ ὁδὸς τῆς γονῆς, ὥσπερ μοι εἴρηται ὀλίγῳ πρότερον. [10] αἱ δὲ γυναῖκες λεῖαι γίνονται τό τε γένειον καὶ τὸ σῶμα, ὅτι ἐν τῇ λαγνείῃ σφέων τὸ ὑγρὸν οὐχ ὁμοίως κλονεόμενον, ὡς τὸ τοῦ ἀνδρὸς, τὴν ἐπιδερμίδα οὐ ποιέει ἀραιήν. [11] ὁκόσοι δὲ φαλακροὶ γίνονται, [12] οὗτοι δὴ φλεγματώδεές εἰσι· [13] καὶ ἐν τῇ κεφαλῇ αὐτέων ἅμα τῇ λαγνείῃ κλονεόμενον καὶ θερμαινόμενον τὸ φλέγμα, [14] προσπίπτον πρὸς τὴν ἐπιδερμίδα καίει τῶν τριχῶν τὰς ῥίζας, [15] καὶ ἐκρέουσιν αἱ τρίχες.

XIX. Οἱ δὲ εὐνοῦχοι διὰ τοῦτο οὐ γίνονται φαλακροὶ, [2] ὅτι σφέων οὐ γίνεται κίνησις ἰσχυρή· [3] οὐδὲ θερμαινόμενον τὸ φλέγμα ἐν τῇ λαγνείῃ καίει τῶν τριχῶν τὰς ῥίζας. [4] αἱ δὲ πολιαὶ διὰ τοῦτο γίνονται, [5] ὅτι ἐν πολλῷ χρόνῳ διικνεομένου τοῦ ὑγροῦ ἐν τῷ ἀνθρώπῳ, [6] ἀποκρίνεται τὸ λευκότατον, καὶ πίπτει πρὸς τὴν ἐπιδερμίδα. [7] καὶ ἡ θρὶξ λευκοτέρην ἰκμάδα ἕλκουσα ἢ ἐν τῷ πρὶν χρόνῳ, λευκοτέρη γίνεται. [8] καὶ ἡ ἐπιδερμὶς, καὶ μᾶλλον, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης γίνεται. [9] καὶ ὁκόσοι ἐκ γενετῆς πολιὸν

XIIX. Signum autem ejus quod in rarissimis cuticulæ partibus pili enascuntur : [2] si quis velit inurere cutem, & pustulam tantum facere, eamque sanare, [3] cutis densa reddita per cicatricem pilos non producet. [4] Quicunque vero eunuchi, dum pueri sunt, fiunt, [5] propterea neque in pube, [6] neque in mento pilos producunt, [7] levesque toti existunt, [8] quod via genituræ non facta, cuticulam non rarefacit per totam superficiem. [9] Intercepta est enim ac conclusa genituræ via ; quemadmodum paulo ante à me relatum est. [10] At vero mulieres leves fiunt, & mento, & corpore, quod in coitu ipsarum humiditas non similiter agitata velut viri, cuticulam raram non facit. [11] Quicunque autem calvi fiunt, [12] hi sane pituitosi sunt : [13] & pituita in capite ipsorum simul cum coitu agitata & calfacta, [14] ad cuticulam allabens pilorum radices exurit, [15] & defluunt pili.

XIX. Verum eunuchi propterea calvi non fiunt, [2] quod vehementem motum non faciant, [3] neque pituita in coitu calfacta pilorum radices exurit. [4] Cæterum cani ob id fiunt, [5] quod longo tempore pertranseunte in homine humiditate, [6] albissimum ejus secernitur, & ad cuticulam allabitur, [7] & pilus albidiorem humiditatem trahens, albidior fit quam priori tempore, [8] itemque ipsa cuticula, præsertim ubi cani sunt, albidior alia evadit. [9] Et quicunque ex nativitate canum quid in capite habent,

λαιόν τι ἔχουσιν ἐν τῇ κεφαλῇ, [10] κάκεισιν ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης ἐστίν. [11] ἐκεῖ γὰρ τὸ λευκότατον ὑγρόν ἐστιν. [12] ἔχει δὲ καὶ τόδε ὧδε. [13] ὁκοίην ἂν ἡ σὰρξ ἰκμάδα ἕλκῃ, ἤν τε λευκὴν, ἤν τε πυῤῥὴν, ἤν τε μέλαιναν, τοιαύτη τὴν χροιὴν καὶ ἡ θρὶξ γίνεται. [14] τοῦτο δέ μοι ἐς τοῦτο εἴρηται. [15] ἐλεύσομαι δὲ αὖθις ἐς τὸ ἀπολειπὲς τοῦ λόγου.

XX. Ὅταν δὲ δὴ τὰ ἄκρα τοῦ σώματος τοῦ παιδίου ὀζωθῇ ἔξω, [2] καὶ οἱ ὄνυχες καὶ αἱ τρίχες ἐῤῥιζώθησαν, [3] τότε δὴ καὶ κινέεται. [4] καὶ ὁ χρόνος ἐς τοῦτο γίνεται, τῷ μὲν ἄρσενι, τρεῖς μῆνες· [5] τῇ δὲ θηλείῃ, τέσσαρες. [6] ὧδε γὰρ ὡς ἐπὶ τὸ πολὺ ξυμβαίνει. [7] ἔστι δ' ἃ καὶ πρόσθεν τῶν παιδίων τούτου τοῦ χρόνου κινέεται. [8] κινέεται δὲ πρότερον τὸ ἄρσεν, ὅτι ἐστὶν ἰσχυρότερον τοῦ θήλεος. [9] καὶ πρότερον πήγνυται τὸ ἄρσεν. [10] ἀπὸ γὰρ ἰσχυροτέρης καὶ παχυτέρης γονῆς γίνεται. [11] ὁκόταν δὲ κινηθῇ τὸ ἔμβρυον, τότε δὴ ἐπισημαίνει καὶ τὸ γάλα τῇ μητρί. [12] οἱ γὰρ μαζοὶ αἴρονται, καὶ αἱ θηλαὶ ὀργῶσι. [13] τὸ δὲ γάλα οὐ χωρέει. [14] τῇσι μὲν πυκνοσάρκοισι τῶν γυναικῶν ὕστερον τὸ γάλα ἐπισημαίνει καὶ ἔρχεται. [15] τῇσι δὲ ἀραιοσάρκοισι πρόσθεν.

XXI. Δι' ἀνάγκην δὲ τοιήνδε γίνεται τὸ γάλα. [2] ὁκόταν αἱ μῆτραι, ὀγκηραὶ ἐοῦσαι ὑπὸ τοῦ παιδίου, πιέζωσι τὴν κοιλίην τῆς γυναικός· [3] τῆς δ', ὁκόταν πλήρεος ἐούσης ὁ πιεσμὸς γένηται, [4] ἀποπηδᾷ τὸ πιότατον ἀπό τε τῶν βρωτῶν καὶ τῶν ποτῶν ἔξω, ἐς τὸ ἐπίπλοον, καὶ τὴν σάρκα. [5] ὥσπερ εἰ δέρμα εἴ τις ἀλείψειεν ἐλαίῳ πολλῷ, καὶ ἐάσῃ ἀναπιεῖν, καὶ, ἐπὴν ἀνα-

bent, [10] etiam illis cuticula summa, ubi cani sunt, reliqua albidior existit. [11] Illic enim albissima est humiditas. [12] Habet autem res hoc modo. [13] Qualemcunque humiditatem caro attraxerit, sive albam, sive fulvam, seu nigram, tali colore etiam pilus inficitur. [14] Atque hæc de hoc dicta sunt. [15] Redibo autem rursus ad sermonem reliquum.

XX. Quum itaque extremitates corporis pueri foras ramos sparserint, [2] & ungues ac pili radices egerint, [3] tunc jam etiam movetur, [4] & tempus ad hoc fit, masculo quidem menses tres, [5] fœmellæ vero quatuor. [6] Sic enim utplurimum contingit. [7] Sunt autem aliqui pueri qui ante hoc tempus moventur. [8] Movetur autem primum masculus, quia fortior est quam fœmella: [9] & primum quoque conformatur masculus. [10] nam à fortiore & crassiore genitura fit. [11] Quum autem movetur fœtus, tunc sane lac indicationem sui, matri præbet. [12] Mammæ enim attolluntur; & papillæ gliscunt ac turgent, [13] lac vero non prodit. [14] Et in mulieribus densam carnem habentibus, lac posterius significationem de se præbet, ac prodit: [15] in raram vero carnem habentibus, prius.

XXI. Lac autem ob hujusmodi necessitatem fit. [2] Quum uteri tumidi præ puero sunt, ventrem mulieris comprimunt: [3] ejus autem pleni ubi compressio contigerit, pinguissimum de cibis ac potibus foras prosilit, in omentum ac carnem: [5] Quemadmodum si quis corium illinat multo oleo, & imbibere permittat, & ubi imbi-

ἀναπίνῃ, πιέζῃ τὸ δέρμα, διαπηδέει ἐκ πιεζομένου τοῦ δέρματος ἔξω τὸ ἔλαιον. [6] οὕτω δὴ καὶ τῆς κοιλίης τὸ πῖαρ ἐν αὐτῇ ἐχούσης ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν πιεζομένης ὑπὸ τῶν μητρέων [7] διαπηδέει τὸ πῖαρ ἐς τὸ ἐπίπλοον καὶ ἐς τὴν σάρκα. [8] καὶ ἢν ἀραιόσαρκος ἔῃ ἡ γυνὴ, θᾶσσον αἰσθάνεται τῆς διαπηδήσιος· ἢν δὲ μὴ, ὕστερον. [9] καὶ τὰ ἐν γαστρὶ ἔχοντα κτήνεα, ἢν μή τι νοσέῃ, ἀπὸ τοῦ αὐτοῦ ποτοῦ καὶ σίτου πιότερα γίνεται διὰ τοῦτο. [10] ὁμοίως δὲ καὶ ἡ γυνή. [11] ἀπὸ γὰρ τοῦ πίονος διαθερμαινομένου καὶ λευκοῦ ἐόντος [12] τὸ γλυκαινόμενον ἀπὸ τῆς θέρμης τῆς ἀπὸ τῶν μητρέων, [13] ἀποθλιβόμενον ἔρχεται ἐς τοὺς μαζούς· [14] καὶ ἐς τὰς μήτρας δὲ ὀλίγον ἔρχεται διὰ τῶν αὐτέων φλεβῶν. [15] τείνουσι γὰρ ἐς τοὺς μαζοὺς καὶ ἐς τὰς μήτρας φλέβια ταυτά τε καὶ παραπλήσια ἄλλα. [16] καὶ, ὁκόταν ἀφίκηται ἐς τὰς μήτρας, ἰδέην ἴσχει τοῦ γάλακτος, [17] καὶ ἐπαύρεται. [18] τὸ δὲ παιδίον ἀπ' αὐτοῦ ἐπαυρίσκεται ὀλίγον. [19] οἱ δὲ μαζοὶ δεχόμενοι τὸ γάλα, αἴρονται πιμπλάμενοι.

XXII. Καὶ, ὁκόταν τέκῃ, [2] ἀρχῆς κινήσιος ὑπογινομένης, [3] χωρέει τὸ γάλα ἐς τοὺς μαζοὺς τούτους, [4] ἢν θηλάζῃ. [5] ἔχει γὰρ οὕτω. [6] θηλαζομένοιν τοῖν μαζοῖν, εὐρυώτερα γίνεται τὰ φλέβια ἐς τοὺς μαζούς. [7] εὐρυώτερα δὲ γινόμενα, ἀπὸ τῆς κοιλίης ἑλκύσαντα τὸ πῖαρ, τοῖν μαζοῖν διαδιδόασι. [8] καὶ γὰρ καὶ ὁ ἀνὴρ, ἢν λαγνεύῃ πολλὰ, εὐρυώτερα γινόμενα τὰ φλέβια, μᾶλλον ἐπάγει τὴν λαγνείην. [9] ἔχει δὲ καὶ τόδε ὧδε. [10] ἡ τροφὴ καὶ ἡ αὔξησις τῶν παιδίων γίνεται, [11] ὁκόταν ἐν τῇσι μήτρῃσιν ἔῃ τὰ ἀπὸ τῆς μητρός. [12] καὶ, ὅκως αὖ ἡ

bit, corium ipsum premat, oleum utique exilierit foras ex corio compresso: [6] sic etiam si venter pinguitudinem in se habeat à cibis ac potibus, comprimaturque ab uteris, [7] pinguitudo prosilit in omentum ac carnem. [8] Et si raræ carnis mulier fuerit, citius percipit ejus persultationem: si non, posterius. [9] Quin & pecora prægnantia si non ægrotent, ab eodem potu ac cibo pinguiora propterea fiunt. [10] Similiter autem & mulier. [11] Et à pinguitudine calfacta ac alba existente, [12] quod edulcatum est à caliditate, quæ ab uteris accessit, [13] expressum venit iu mammas, [14] & in uteros quoque parum venit, per easdem venas. [15] Tenduut enim & in mammas & in uteros venulæ hæ, & consimiles aliæ. [16] Et ubi pervenerit in uteros de lacte, [18] puer ipso paululum fruitur, [19] mammæ vero suscepto lacte impletæ attolluntur.

XXII. Et ubi peperit mulier [2] principio motus facto, [3] lac in mammas ipsas procedit, [4] si lactaverit. [5] Sic enim res habet. [6] Dum mammæ lactant ac exuguntur, venulæ in mammas ampliores fiunt: [7] ampliores autem factæ, à ventre pinguitudinem trahentes, in mammas distribuunt. [8] Nam & vir si multum coeat, veuæ ampliores redditæ, venerem magis inducunt. [9] Habet autem & hoc eo modo. [19] Alimentum & augmentum puerorum fit, [11] ubi ea quæ à matre veniunt, in uteros processerint, [12] & prout mater habet juxta sanitatem aut de-

ὡς ἂν ἡ μήτηρ ἔχῃ ὑγιείης ἢ ἀσθενείης, ὧδε καὶ τὸ παιδίον ἔχει.

XXIII. Ὥσπερ καὶ τὰ ἐν τῇ γῇ φυόμενα τρέφεται ἀπὸ τῆς γῆς· [2] καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ, οὕτω καὶ τὰ φυόμενα ἔχει ἐν τῇ γῇ. [3] τὸ γὰρ σπέρμα, ὁκόταν καταβληθῇ ἐς τὴν γῆν, ἰκμάδος πίμπλαται ἀπ' αὐτῆς. [4] ἔχει γὰρ ἐν αὐτῇ ἡ γῆ ἰκμάδα παντοίην, ὥστε τρέφειν τὰ φυόμενα. [5] ἰκμάδος δὲ πλησθὲν τὸ σπέρμα φυσᾶται καὶ οἰδεῖ, [6] καὶ ἀναγκάζεται ὑπὸ τῆς ἰκμάδος ξυστρέφεσθαι ἡ δύναμις, ἥ ἐστι κουφοτάτη ἐν τῷ σπέρματι. [7] ξυστραφεῖσα δὲ ἡ δύναμις ὑπὸ τοῦ πνεύματος, [8] καὶ τῆς ἰκμάδος φύλλα γινομένης, [9] ῥήγνυσι τὸ σπέρμα, [10] καὶ ἀνατέλλει πρῶτον ἔξω τὰ φύλλα. [11] ἀναλείπεται δέ, ὁκόταν μηκέτι δύνηται τρέφεσθαι τὰ φύλλα ὑπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ σπέρματι ἐνεούσης, [12] ῥήγνυταί τε ἐς τὸ κάτω τό, τε σπέρμα καὶ τὰ φύλλα. [13] καὶ βιώμενον ὑπὸ τῶν φύλλων, μεθίησι τῆς δυνάμιος ἐς τὸ κάτω, ἢ ἐν αὐτῷ ὑπολείπεται διὰ τὴν βαρύτητα· [14] καὶ γίνονται αἱ ῥίζαι ἐκ τῶν φύλλων διατεταμέναι. [15] ὁκόταν δὲ κάτω βεβαίως ῥιζωθῇ τὸ φυτὸν, καὶ τὴν τροφὴν ἀπὸ τῆς γῆς ποιέηται, [16] τότε ἤδη ἠφάνισται πᾶν τὸ σπέρμα, καὶ ἀνήλωται ἐς τὸ φυτὸν, [17] πλὴν τοῦ λεπυρίου, ὅτι στερεώτατόν ἐστιν. [18] αὖθις δὲ τὸ λεπύριον σαπὲν ἐν τῇ γῇ ἄδηλον γίνεται. [19] χρόνῳ δὲ καὶ ὄζεταί τινα τῶν φύλλων. [20] ἐκ σπέρματος γοῦν, ἅτε ἀφ' ὑγροῦ γινόμενον, [21] τέως μὲν ἁπαλόν ἐστι καὶ ὑδαρές, ἐς αὔξησιν ὁρμημένον καὶ ἐς τὸ κάτω τε καὶ ἐς τὸ ἄνω, οὐ δύναται τὸν καρπὸν ἐκβάλλειν, [22] οὐ γάρ ἐστιν αὐτῷ δύναμις ἰσχυρὴ

debilitatem, sic & puer habet.

XXIII. Quemadmodum etiam quæ in terra crescunt, à terra nutriuntur, [2] & prout terra habuerit, sic etiam nascentia in terra habent. [3] Etenim semen ubi dejectum fuerit in terram, humiditate quadam ab ipsa impletur. [4] Habet enim in se terra omnigenum humorem, ut nascentia nutrire possit. [5] Impletum autem humore semen, inflatur & intumescit: [6] & vis quæ in semine levissima est, ab humore condensari cogitur: [7] condensata autem à spiritu vis, [8] & humore folia producente, [9] semen rumpit, [10] & primum folia foras emergunt. [11] Vbi vero emerserint, quum non amplius ab humore in semine existente folia nutriri possint, [12] rumpitur inferne semen, itemque folia: [13] & semen à foliis coactum, vim suam ad inferna demittit, quæ videlicet in ipso restat propter gravitatem, [14] & fiunt radices ex foliis distentæ. [15] Postquam autem planta jam firmiter radices inferne egerit, & alimentum à terra sumit, [16] tunc sane totum evanescit, & in plantam consumitur, [17] præter corticem, qui solidissimus existit. [18] Rursus autem cortex in terra putrefactus progressu temporis evanidus fit, [19] & quædam folia ramos producunt. [20] Ex semine itaque tanquam ex humido nata planta, [21] donec quidem tenera & aquosa fuerit, in augmentum superne ac inferne procedens, fructum excludere non potest. [22] Non enim vim habet fortem ac pinguem, ex qua semen condensari

ἐγχυμὴ καὶ πίειρα, ἐξ ἧς τὸ σπέρμα ξυστραφήσεται. [23] ὁκόταν δὲ στερεωθῇ μᾶλλον καὶ ῥιζωθῇ τὸ πεφυκὸς ὑπὸ χρόνου, [24] τότε ἤδη καὶ φλέβας ἴσχει εὐρείας, καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω. [25] καὶ τότε δὴ ἐκ τῆς γῆς ἕλκει, οὐκ ἔτι ὑδαρὲς, ἀλλὰ παχύτερον καὶ πιότερον καὶ πλεῖον. [26] τὸ δὴ θερμαινόμενον ὑπὸ τοῦ ἡλίου, ἐκζέει ἐς τὰ ἄκρα, καὶ γίνεται καρπὸς, [27] κατὰ τὰ ξυγγενέα, ἐξ οἵου καὶ ἐγένετο. [28] καὶ πολὺς ἐξ ὀλίγου διὰ τόδε γίνεται, [29] ὅτι ἕλκει ἕκαστον τῶν φυομένων ἐκ τῆς γῆς δύναμιν πλείονα, ἢ ἐξ οὗ ἐγένετο. [30] καὶ ἐκζέει οὐ κατὰ ἓν, ἀλλὰ κατὰ πολλά. [31] ὁκόταν δὲ ὁ καρπὸς ἐκζέσῃ, τρέφεται ὑπὸ τοῦ φυομένου. [32] ἕλκον γὰρ τὸ φυόμενον ἀπὸ τῆς γῆς, τῷ καρπῷ ἐκδίδωσιν. [33] ὁ δὲ ἥλιος πέσσει καὶ στερεοῖ τὸν καρπὸν, τὸ ὑδαρέστερον πρὸς ἑωυτὸν ἕλκων ἀπ' αὐτοῦ. [34] καὶ ταῦτα μὲν εἴρηταί μοι περὶ τῶν ἐκ σπέρματος φυομένων, ἀπὸ τῆς γῆς καὶ τοῦ ὕδατος.

XXIV. Τὰ δὲ ἐκ φυτευτηρίων, ἀπὸ δενδρέων δένδρεα γίνεται, τρόπῳ τοιῷδε. [2] τρῶμα ἴσχει ὁ κλάδος ἐν τῷ κατωτάτω πρὸς τὴν γῆν, ᾗ ἀπὸ τοῦ δένδρου ἐκλάσθη, ὅθεν αἱ ῥίζαι ἀφίενται. [3] τρόπῳ δὲ τοιούτῳ μεθίενται. [4] ὁκόταν τὸ φυτὸν, τὸ ἐν τῇ γῇ ἐὸν, ἰκμάδα λάβῃ ἀπὸ τῆς γῆς, οἰδέει, [5] καὶ πνεῦμα ἴσχει. [6] τὸ δὲ ὑπὲρ τῆς γῆς, οὐδέπω. [7] τὸ δὲ πνεῦμα καὶ ἡ ἰκμὰς ξυστρέψασαι ἐν τῷ κάτω τοῦ φυτοῦ τὴν δύναμιν, ὅσηπερ ἦν βαρυτάτη, [8] ἔρρηξεν ἐς τὸ κάτω, καὶ γίνονται ἐξ αὐτοῦ ῥίζαι ἁπαλαί. [9] ὁκόταν δὲ ἐς τὸ κάτω λάβηται, τότε δὴ ἕλκει ἐκ τῆς ῥίζης ἰκμάδα, καὶ διαδίδωσι τῷ ὑπὲρ γῆς ἐόντι. [10] καὶ τότε δὴ αὖθις

densari queat. [23] Vbi vero solidior facta est, & progressu temporis radices egerit, [24] tunc jam & venas habet amplas, tum ad supernam, tum ad infernam partem: [25] & tunc sane non amplius aquosum ex terra trahit alimentum, sed crassius & pinguius ac copiosius, [26] quod calfactum à sole effervescit in extremitates, [27] & fit fructus juxta cognationem, ex quali etiam generatus est. [28] Multus autem ex modico propterea fit, [29] quod singula ex terra nascentia majorem vim ex terra, quam ex eo unde generata sunt, trahunt, [30] & effervescunt non secundum unum, sed secundum multa. [31] Quum autem fructus prodierit, à planta sua nutritur. [32] Planta enim à terra trahens, fructui transmittit. [33] Sol autem fructum coquit, & solidum facit, quod aquosius in ipso est, ad sese trahens. [34] Atque hæc mihi dicta sunt de his, quæ ex semine nascuntur à terra & aqua.

XXIV. Cæterum ex plantariis ab arboribus arbores fiunt, hoc modo. [2] Ramus vulnus habet, qua parte arbore defractus est, in infima ad terram parte, unde radices prodeunt. [3] Pangitur autem, & in terram demittitur, hoc modo. [4] Quum planta quæ in terra existit, humorem acceperit à terra, tumescit [5] & spiritum habet: [6] quæ vero pars supra terram eminet, nondum. [7] Spiritus autem & humor condensans in inferna plantæ parte vim, quantum ejus gravissimum est, [8] in infernam partem erumpit, & ex ipso radices teneræ fiunt. [9] Postquam autem in infernam partem receptus fuerit, tunc jam ex radice humorem trahit, & parti supra terram eminenti transmittit: [10] & tunc sane rursus

αὖθις τὸ ἄνω οἰδέει, καὶ πνεῦμα ἔχει. [11] καὶ ὅση δύναμις ἐν τῷ φυτῷ κούφη ἔνεστι, ξυναθροισθεῖσα φύλλα γινομένη βλαστάνει, [12] καὶ ἐς τὸ ἄνω ἤδη τινὰ αὔξησιν ποιέεται, καὶ ἐς τὸ κάτω.

XXV. Οὕτως ἐς τὸ ἐναντίον ξυμβαίνει ἤδη τῷ ἐκ τοῦ σπέρματος γινομένῳ, [2] καὶ τῷ ἐκ τοῦ φυτευτηρίου περὶ τοῦ βλαστοῦ. [3] πρότερον γὰρ ἐκ τοῦ σπέρματος τὸ φύλλον ἀναπέμπεται· ἔπειτα αἱ ῥίζαι ἐς τὸ κάτω 30 ἀφίενται. [4] τὸ δὲ δένδρον ῥιζοῦται πρῶτον, ἔπειτα φυλλοῦται. [5] διὰ τόδε, ὅτι ἐν μὲν τῷ σπέρματι αὐτῷ ἰκμάδος πλῆθος ἔνεστι, [6] καὶ ἐν τῇ γῇ παντὶ ἐόντι τροφὴ ἔνεστι πρώτη τῷ φύλλῳ ἀρκέουσα, ὅθεν τὸ φύλλον τρέφεται, μέχρις ἂν ῥιζωθῇ. [7] ἐν δὲ τῷ κλάδῳ οὐ γίνεται. [8] οὐ γὰρ γίνεται ἐξ ἑτέρου, ὅθεν τὸ φύλλον τὸ πρῶτον τροφὴν ἔχει· [9] ἀλλ' αὐτὸς ὁ κλάδος ἐστὶν, ὥσπερ καὶ τὸ δένδρον ἔχει. [10] καὶ τοῦτο ὑπὲρ γῆς ἐστι πουλὺ, ὥστε οὐκ ἂν δύναιτο ὑπὲρ γῆς ἐὸν ἰκμάδος πληρωθῆναι, 35 εἰ μὴ ἐκ τοῦ κάτω μεγάλη τις δύναμις ἐλθοῦσα τῷ ἄνω ἐκδιδῴη τῆς ἰκμάδος. [11] καὶ πρῶτον τὸ φυτευτήριον ἀνάγκη ἐστὶν ἑωυτῷ τροφὴν ποιήσασθαι ἀπὸ τῆς γῆς τῇσι ῥίζῃσιν· ἔπειτα οὕτως ἀπὸ τῆς γῆς ἕλκειν ἄνω ἀποδιδόναι, καὶ φύλλα ὁρμῆσαι ἐς βλαστόν τε καὶ αὔξησιν.

XXVI. Ὅταν δὲ αὔξηται τὸ φυτὸν, ὀζοῦται ὑπ' ἀνάγκης τοιῆσδε, ἣν ἐρέω. [2] ὁκόταν ἰκμὰς αὐτῷ πλείων προσγένηται ἐκ τῆς γῆς ἑλκομένης ὑπὸ τοῦ πλήθεος, ῥηγνύσιν, ᾗ ἂν πλείστη ᾖ, καὶ ταύτῃ ὀζοῦται 40 τὰ φυτά. [3] αὔξεται δὲ καὶ ἐς τὸ εὖρος, καὶ ἐς τὸ ἄνω, καὶ ἐς τὸ κάτω, διὰ τάδε·

fus superna pars intumescit, ac 305 spirirum habet: [11] & quantum ex vi in planta leve inest, idipsum congregatum germinat, ac folia producit, [12] & jam in supernam partem augmentum facit, itemque in infernam.

XXV. Sic itaque contrarium contingit circa germinationem, in his quæ ex semine, [2] & in his quæ ex plantariis proveniunt. [3] Ex semine enim prius folium emergit, deinde radices in infernam partem demittuntur. [4] Verum arbor primum radices agit, 310 deinde folia acquirit, [5] propterea quod in semine ipso humoris copia inest: [6] & in terra quum totum insit, alimentum inest primum folio sufficiens, unde folium nntritur donec radicetur. [7] Verum in ramo non sic fit. [8] Non enim gignitur ex altero, unde folium primum alimentum habeat, [9] sed ipse ramus est, & velut arbor habet, [10] & mulra ejus pars supra rerram eminet. Quare quum supra terram existar, humore impleri non po- 315 test, nisi ex inferna parte magna quædam vis procedens, in supernam humorem distribuat. [11] Et plantarium primo necesse est sibi ipsi alimentum sufficere à terra in radices, deinde ubi sic à terra attraxit, sursum distribuere, & folia ad germen & augmentum concitare.

XXVI. Quum antem augmentum cepit planta, à tali necessitare ramos spargit, quam referam. [2] Quum plus humoris ipsi accesserit ex terra attracti, erum- 320 pit præ multitudine, qua parte quam plurimus fuerit, & hac parte planta ramos emittit. [3] Augetur autem & in amplirudinem, & in supernam, & in infernam partem

τόδε, [4] ὅτι τὸ κάτω τῆς γῆς τοῦ μὲν χειμῶνος θερμόν ἐστι· τοῦ δὲ θέρεος ψυχρόν. [5] τοῦτο δὲ διὰ τόδε ἐστὶν ὅτι ἡ γῆ ἰκμαλέη ἐστὶν ἐν χειμῶνι ὑπὸ τοῦ ὕδατος τοῦ ἐκ τοῦ οὐρανοῦ πίπτοντος, [6] καὶ πιέζεται ἐφ' ἑωυτῆ, ἅτε βαρυτέρης ἐούσης τῆς ἰκμάδος. [7] πυκνοτέρη δέ ἐστιν ὑπὸ τούτου, καὶ οὐκ ἔχει διαπνοὴν οὐδεμίην. [8] οὐ γὰρ ἔτι ἔνεστιν αὐτῇ τὸ ἀραιὸν μέγα. [9] καὶ διὰ τοῦτο τὸ κάτω τῆς γῆς τοῦ χειμῶνος θερμόν ἐστι. 45 [10] καὶ γὰρ ἡ κόπρος ἡ νενασμένη μᾶλλον ἐνθερμοτέρη ἐστὶν, ἢ ἡ ἀραιὴ ἐοῦσα· [11] καὶ ἄλλως, τὰ μὲν ἰκμαλέα καὶ πεπιεσμένα ὑπὸ σφῶν αὐτῶν ἐνθερμαίνεται, καὶ ἐν τάχει κάρτα ὑπὸ τῆς θερμασίης ξυγκαιόμενα σήπεται. [12] οὐ γὰρ διέξεισι τὸ πνεῦμα δι' αὐτῶν, ἅτε πυκνῶν ἐόντων. [13] ἢν δὲ ξηρὰ ἔῃ καὶ ἀραιῶς κείμενα, πολλῷ ἧσσον θερμαίνεται καὶ σήπεται. [14] οὕτω δὲ καὶ πυροὶ καὶ κριθαὶ, νοτεραὶ ἐοῦσαι καὶ βεβρεγμέναι, ἐνθερμότεραί εἰσιν, ἢ εἰ 46 ξηραὶ εἶεν, καὶ ἀραιῶς κείμεναι.

XXVII. Καὶ ἱμάτια σπειδεδεμένα καὶ κατεσφιγμένα ἰσχυρῶς δεσμοῖς, [2] κατακαίεται ὑπὸ σφέων αὐτῶν, ὡς ἐγὼ ἤδη εἶδον, [3] ὥσπερ ὑπὸ πυρὸς ἐκκαιόμενα. [4] καὶ τἄλλα, εἴ τις θέλοι ἐνθυμηθῆναι, πάντα ὅσα πεπίεσται, ὑπὸ σφῶν 48 αὐτῶν θερμότερα εὑρήσει, ἢ τὰ ἀραιῶς κείμενα. [5] οὐ γὰρ ἔχει διαπνέειν ψυχρὸν ὑπὸ τῶν ἀνέμων. [6] οὕτω δὲ καὶ τῆς γῆς τὸ κάτω πλείης ἐούσης, καὶ αὐτῆς ὑφ' ἑωυτῆς πεπιεσμένης, ἅτε βαρείης καὶ πυκνῆς ἐούσης, ὑπὸ τῆς ἰκμάδος θερμαίνεται ἐν χειμῶνι. [7] οὐ γάρ ἐστιν αὐτῆς διαπνοὴ οὐδεμία τοῦ θερμοῦ. 49 [8] ἀλλ', ὁκόταν πέσῃ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ ἐς αὐτὴν,

[9] ὅταν

tem propterea, [4] quod inferna terræ pars hyeme quidem calida est, æstate autem frigida. [5] Atque hoc propterea contingit, quod terra humida est in hyeme, præ aqua de cœlo delabente, [6] & comprimitur in seipsam, utpote humore graviore existente: [7] densior autem ab hoc ipso est, & nullam transpirationem habet; [8] Non enim amplius magna raritas ipsi inest: [9] & propter hoc inferna terræ pars hyeme calida est. 45 [10] Nam & fimum densius accumulatum, intus calidius est, quam quod rarum existit: [11] & alias humecta ac compressa, à seipsis concalescunt, & brevi à calore valde exusta putrescunt. [12] neque enim permeat spiritus per ipsa, nimirum quum densa existunt. [13] Si vero sicca fuerint, ac rare posita, multo minus calescunt ac putrescunt. [14] Atque sic sane frumentum ac hordeum humidum ac madefactum, intus calidius est, quam si siccum sit, & 46 rare positum.

XXVII. Et vestes pelliceæ colligatæ ac fortiter compactæ, 47 [2] à seipsis comburuntur, velut ego vidi, [3] quemadmodum ab igne exustæ. [4] Sed & alia, si quis velit considerare, omnia quæ comprimuntur à seipsis, calidiora 48 reperiet, quam quæ rare posita sunt. [5] Non enim habent unde frigiditatem inspirent à ventis. [6] Sic etiam inferna terræ pars quum plena sit, & ipsa à seipsa comprimatur, nimirum gravis ac densa existens, ab humiditate in hyeme calescit, 49 [7] nullam enim caliditatis perspirationem habet. [8] Sed ubi de cœlo aqua cadit in ipsam,

[9] quum

⁹ ὅτε οὖν ἀποπνέῃ ἐν τῇ γῇ ἀπ᾽ αὐτοῦ, ¹⁰ οὐ διέξεισι περαιτέρω, ἅτε πυκνῆς ἐούσης τῆς γῆς· ¹¹ ἀλλ᾽ ἡ πνοὴ ὀπίσω ἐς τὸ ὕδωρ ἔρχεται. ¹² καὶ διὰ τοῦτο αἱ πηγαὶ καὶ ἡ θάλασσα θερμότεραί εἰσι τοῦ χειμῶνος, καὶ μείζους, ἢ τοῦ θέρεος. ¹³ ὅτι ἀποπνέοντος τοῦ πνεύματος, ὀπίσω ἔρχεται ἐς τὸ ὕδωρ, ¹⁴ ἅτε τῆς γῆς πυκνοτέρης ἐούσης, καὶ οὐ διιείσης δι᾽ αὐτῆς τὸ 20 πνεῦμα. ¹⁵ καὶ τὸ ὕδωρ πολὺ ἐόν, ἢν αὖ τύχῃ, τοῦτο δὴ ῥήγνυσι χωρέον, καὶ ὁδὸν ἑαυτῷ ποιέεται εὐρυτέρην, ἢ εἰ ὀλίγον εἴη.

XXIIX. Τὸ γὰρ ὕδωρ ἐν τῇ γῇ οὐχ ἕστηκεν, ἀλλ᾽ αἰεὶ χωρέει ἐς τὸ κατάντες. ² εἰ δὲ διΐει τοῦ χειμῶνος ἀπὸ τοῦ ὕδατος τὸ πνεῦμα ἡ γῆ δι᾽ ἑωυτῆς, ἔλασσον τὸ ὕδωρ ἐχώρεεν ἐξ αὐτῆς, ³ καὶ αἱ πηγαὶ οὐκ ἂν ἦσαν τοῦ χειμῶνος μεγάλαι. ⁴ πάντα δὲ ταῦτα εἴρηταί μοι, ὅτι τῆς γῆς τὰ κάτω θερμότερον φαίνεται ἐὸν τοῦ χειμῶνος, ἢ τοῦ θέρεος. ⁵ νῦν δὲ θέλω εἰπεῖν, ὅτι τοῦ θέρεος τὰ κάτω 25 τῆς γῆς ψυχρότερον φαίνεται ἐὸν ἢ τοῦ χειμῶνος.

XXIX. Ἡ γῆ τοῦ θέρεος ἀραιή ἐστι καὶ κούφη, ² ἅτε τοῦ ἡλίου σφοδρότερον προσβάλλοντος, καὶ ἕλκοντος ἀπ᾽ αὐτῆς πρὸς ἑωυτὸν τῆς ἰκμάδος. ³ ἔχει δὲ ὕδωρ ἡ γῆ ἐν αὐτῇ αἰεὶ πλέον ἢ ἔλασσον. ⁴ τὰ δὲ πνεύματα ἡμῖν ἐστι πάντα ἀφ᾽ ὕδατος. ⁵ τοῦτο δὲ πάρα ἐπιδείξω ξυμβάλλεσθαι, ὅτι οὕτως ἔχει. ⁶ ἀπὸ γὰρ τῶν ποταμῶν πάντων πνεύματα χωρέει ἑκάστοτε, καὶ τῶν νεφέων. ⁷ τὰ δὲ νέφεα ἐστὶν ὕδωρ ξυνεχὲς ἐν ἀέρι. 30 ⁸ καὶ τότε δὴ ἡ γῆ ἀραιή ἐστι καὶ κούφη τοῦ θέρεος, ⁹ καὶ ὕδωρ ἐν αὐτῇ ἔχουσα, ¹⁰ καὶ τὸ ὕδωρ ῥέει ἐς τὸ κατάντες, ¹¹ χωρέοντος δὲ τοῦ ὕδατος αἰεὶ ἀπο-

⁹ quum spiritus prodierit ab ipsa in terra, ¹⁰ non ulterius penetrat, utpote terra densa existente, ¹¹ sed spiritus retro ad aquam 340 abit: ¹² & propterea fontes ac marinæ aquæ, hyeme calidiores sunt, & auctiores quam æstate, ¹³ quia spiritus dum exhalat, retro abit ad aquam, ¹⁴ quum terra densior existat, & per se spiritum non transmittat. ¹⁵ Et aqua multa existens quæ contigerit, ea perrumpens procedit, & viam sibi ipsi ampliorem facit quam si modica existat.

XXIIX. Aqua enim in terra non consistit, sed semper in declive procedit. ² Si autem spiritum 345 ab aqua prodeuntem terra per se hyeme transmittat, paucior aqua ex ipsa procederet, ³ & fontes hyeme magni non essent. ⁴ Atque hæc omnia in hoc dicta à me sunt, quod terræ inferna pars calidior esse apparet hyeme, quam æstate. ⁵ Nunc autem dicere volo, quod æstate frigidior quam hyeme, inferna terræ pars esse videtur.

XXIX. Terra æstate rara est & levis, ² nimirum sole vehementius irruente, & ab ipsa humiditates ad sese trahente. ³ Habet 350 autem terra in se semper aquam plus aut minus. ⁴ Spiritus autem omnes nobis sunt ab aqua. ⁵ Id quod sic se habere, unde conjectare possis, demonstrabo. ⁶ Etenim ab omnibus fluminibus ac nebulis spiritus semper procedunt. ⁷ Est autem nebula aqua in aere cohærens & continua. ⁸ Et tunc sane terra rara est ac levis æstate, ⁹ & aquam in se habet, ¹⁰ & aqua in declive fluit, ¹¹ procedente autem 355 aqua, semper inde alius ex alio spi-

ἀποπνέει αὐτόθεν ἕτερον ἐξ ἑτέρου πνεῦμα. [12] τὸ δὲ ἀποπνέον διὰ τῆς γῆς ἔρχεται κούφης καὶ ἀραιῆς ἐούσης, [13] καὶ ψῦχος τῇ γῇ ποιέει, [14] καὶ αὐτὸ τὸ ὕδωρ ξυμψύχεται. [15] ἔχει δὲ οὕτως, ὥσπερ εἴ τις ἐν ἀσκῷ ὕδωρ ἐνεὸν ἀποπιέσειεν ἰσχυρῶς, [16] καὶ διάτρησιν τοῦ ὕδατος ποιήσειε νύγματι βελόνης, ἢ μικρῷ μέζονι, [17] καὶ τὸν ἀσκὸν κρεμάσας αἰωροίη, [18] οὐδὲν διὰ τοῦ τετρημένου πνεῦμα χωρήσει, ἀλλ' ὕδωρ. [19] οὐ γὰρ ἔχει εὐρυχωρίην, ᾗ ἀποπνεύσεται. [20] οὕτω δὴ ἔχει καὶ τοῦ χειμῶνος τοῦ ὕδατος ἐν τῇ γῇ. [21] ἢν δὲ τοῦ ὕδατος ἐν τῷ ἀσκῷ τὴν εὐρυχωρίην ποιήσῃς, καὶ κρεμάσας αἰωρῇς τὸν ἀσκὸν, πνεῦμα διαχωρήσει διὰ τοῦ τετρημένου. [22] εὐρυχωρίη γάρ ἐστι τοῦ πνεύματος ἀπὸ τοῦ ὕδατος κινουμένου διαχωρέειν διὰ τοῦ ἀσκοῦ. [23] καὶ διὰ τοῦ τετρημένου τὸ πνεῦμα διὰ τοῦτο διέξεισιν. [24] οὕτω δὴ ἔχει καὶ τοῦ θέρεος ἐν τῇ γῇ τοῦ ὕδατος. [25] εὐρυχωρίη γάρ ἐστιν αὐτοῦ, ἅτε τῆς γῆς ἀραιῆς ἐούσης, [26] καὶ τοῦ ἡλίου ἕλκοντος ἀπ' αὐτῆς τὴν ἰκμάδα πρὸς ἑωυτόν. [27] καὶ διέξεισι τὸ πνεῦμα, ἅτε ψυχρὸν ἐὸν, ἀπὸ τοῦ ὕδατος δι' αὐτῆς ἀραιῆς ἐούσης καὶ κούφης. [28] διὰ τοῦτο ψυχρὸν ἐὸν αὐτῆς τὸ κάτω τοῦ θέρεος. [29] καὶ τὸ ὕδωρ μᾶλλον τοῦ πνεύματος, [30] τοῦ ἐν τῇ γῇ ψυχροῦ ἐόντος, [31] καὶ αὐτὸ ἀφίησιν ἐς ἑωυτὸ τὸ πνεῦμα, καὶ ἐς τὴν γῆν.

XXX. Καὶ ἅμα τὸ ἀντλεόμενον ἐν τῷ φρέατι, αἰεὶ διακινέει τὸ πνεῦμα, ὥσπερ ῥιπὶς, καὶ ποιέει αὐτοῦ ψῦχος παρέχειν τοῦ ὕδατος. [2] τὸ δὲ μὴ ἀντλεόμενον τοῦ ὕδατος τοῦ θέρεος, ἀλλ' ἑστηκὸς, πυκνὸν ἐὸν, οὐχ ὁμοίως δέχεται τὸ πνεῦμα

ἐς

spiritus exhalat. [12] Qui vero exhalat, per terram abit levem ac raram existentem, [13] & frigiditatem terræ inducit, [14] & ipsa aqua simul perfrigeratur. [15] Habet autem sic, quemadmodum si quis aquam in utre existentem fortiter comprimat, [16] & per puncturam acus, vel paulo majorem, perspirationem aquæ faciat, [17] & ipsum utrem in sublimi suspendat, [18] nullus spiritus per foramen procedet, sed aqua. [19] non enim habet spatiositatem per quam aqua spiritum emittat. [20] Sic sane se habet etiam hyeme aqua in terra. [21] Si autem aquæ in utre locum satis amplum feceris, & utrem in sublimi suspenderis, spiritus per foramen procedet. [22] Locum enim spiritus habet ab aqua mota, procedendi per utrem, [23] & propterea per foramen spiritus transit. [24] Sic sane se habet etiam æstate aqua in terra. [25] Satis amplum enim locum habet, nimirum terra rara existente, [26] & sole ab ipsa humorem ad se trahente, [27] & pertransit spiritus, utpote qui frigidus existit, ab aqua per ipsam raram existentem ac levem. [28] Ob hoc itaque inferna ipsius pars æstate frigida existit, [29] & aqua ipsa adhuc magis quam spiritus, [30] qui in terra frigidus existit, [31] & ipsa in seipsam, & in terram, spiritum emittit.

XXX. Sed & aqua quæ hauritur in puteo, spiritum semper movet, velut flabellum, atque hoc ipsum aquæ frigiditatem inducit. [2] Quæ vero non hauritur æstate, sed stans densa existit, non similiter spiritum in se à terra suscipit, neque in terram à seipsa dis-

tri-

ἐς ἑωυτὸ ἀπὸ τῆς γῆς, ὅσον ἐς τὴν αὐγὴν ἀπ' ἑωυτοῦ ἀποδίδωσι. [3] καὶ ἅμα ἀπὸ τοῦ ἡλίου καὶ τοῦ ἠέρος οὐ σκιδναμένου ἐν τῷ φρέατι, ἀλλὰ στασίμου ἐόντος, θερμαίνεται πρῶτον αὐτοῦ τὸ ἐπιπολῆς. [4] ἔπειτα τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου ἐς τὸ κάτω διαδίδωσι τὴν θερμασίην. [5] καὶ διὰ τοῦτο τὸ μὴ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος θερμότερόν ἐστι τοῦ ἀντλεομένου.

XXXI. Αἵ τε πηγαὶ αἱ βαθεῖαι (40) μάλιστα τοῦ θέρεος αἰεὶ ψυχραί εἰσι. [2] καὶ ἀρυσθὲν τὸ ὕδωρ τοῦ χειμῶνος, τῆς γῆς θερμῆς ἐούσης, ἐκ τοιαύτης τὸ μὲν παραυτίκα θερμόν ἐστιν. [3] ὅταν δὲ χρόνος διέλθῃ, ψυχρόν ἐστιν, [4] ὑπὸ τοῦ ἠέρος δηλονότι γενόμενον, ψυχροῦ ἐόντος. [5] ἐξαεροῦται γὰρ ὑπὸ τοῦ ἀνέμου, καὶ τὸ πνεῦμα δι' αὐτοῦ διηλθε. [6] καὶ ὥσπερ τὸ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, ὁκόταν ἀρυσθῇ, ψυχρὸν αὐτίκα ἐστί. [7] θερμὸν δὲ γίνεται διὰ τόδε. [8] ὅτι, τῆς γῆς ἀραιῆς ἐούσης, τὸ πνεῦμα ἐὸν ἐν αὐτῇ, ψύχεται. [9] ὅταν δὲ (35) ἀρυσθέντι χρόνος ἐγγένηται, στάσιμον γίνεται, καὶ θερμὸν ὁρᾶται. [10] θερμαίνεται γὰρ ὑπὸ τοῦ ἠέρος, θερμοῦ ἐόντος. [11] ὥσπερ καὶ τὸ μὴ ἀντλεόμενον ὕδωρ ἐν τῷ φρέατι τοῦ θέρεος διὰ τοῦτο θερμὸν γίνεται. [12] ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. [13] ἀναλήψομαι δὲ αὖθις, ὅτι τοῦ θέρεος τὰ κάτω τῆς γῆς ψυχρά ἐστι, τοῦ δὲ χειμῶνος, θερμά. τὰ δὲ ἄνω τῆς γῆς, τἀναντία τούτων.

XXXII. Καὶ δεῖ τῷ δένδρῳ μὴ δύο θερμὰ ὁμοῦ προσγίνεσθαι, [2] μηδὲ δύο ψυχρὰ ὁμοῦ, [3] ἢν μέλλῃ ὑγιαίνειν. [4] ἀλλ', ἢν μὲν ἐκ τοῦ ἄνωθεν προσ-37 γίνηται θερμὸν, ἐκ τοῦ κάτωθεν δεῖ ψυχρὸν αὐτῷ προσγίνεσθαι. [5] καὶ[54] πάν-

tribuit. [3] & simul à sole, & aere in puteo non disperso, sed stante ac firmato, primum superficies ipsius calefit, [4] deinde alia ejus pars ad aliam deorsum caliditatem distribuit. [5] & propterea aqua quæ æstate non hauritur, calidior est ea quæ hauritur.

XXXI. Quin & fontes valde profundi æstate semper frigidi existunt: [2] & aqua hausta hyeme, terra calida existente, ex tali fonte, statim quidem calida est, [3] ubi vero tempus progressum fuerit, frigida est, [4] ab aere videlicet frigido existente talis facta. [5] Perflatur enim à vento, & spiritus per ipsam pertransit. [6] Quemadmodum etiam aqua quæ æstate hauritur, ubi hausta fuerit, statim frigida est, [7] calida autem fit propterea, [8] quod terra rara existente, & spiritu in ipsa existente, perfrigeratur. [9] Vbi autem haustæ tempus accesserit, stabilis fit, & calida conspicitur. [10] Calefit enim ab aere calido existente, [11] quemadmodum & aqua quæ non hauritur in puteo æstate, ob hoc ipsum calida redditur. [12] Atque hæc à me de hoc dicta sunt. [13] Repetam autem rursus quod æstate inferna terræ pars frigida est, hyeme vero calida: superna autem vice versa.

XXXII. Et oportet arbori non duo calida simul accedere, [2] neque duo frigida simul, [3] si sana esse debet. [4] Verum siquidem ex superna caliditas accesserit, ex inferna frigiditatem ipsi accedere oportet: [5] & vice versa, si ex superna parte accedat frigiditas, ex inferna

πάλιν, ἢν ἐκ τοῦ ἄνωθεν ἀποσβῆται ψυχρὸν, ἐκ τοῦ κάτωθεν δεῖ θερμὸν αὐτῷ ἀποσβῆναι. [6] εἴ τι ῥίζαι ὅ, τι ἂν ἑλκύσωσι, τῷ δενδρέῳ ἀποδιδόασι, καὶ τὸ δένδρεον τῇσι ῥίζῃσι. [7] καὶ γίνεται οὕτω ταμιείη καὶ ψυχροῦ καὶ θερμοῦ. [8] ὥσπερ τῷ ἀνθρώπῳ ἐσιόντων ἐς τὴν κοιλίην σιτίων, ὅσα 5 προσόμενα θερμαίνει, δεῖ ψύξιν ἀποδίδοσθαι ἀπὸ τοῦ ποτοῦ· [9] οὕτω καὶ τῷ δενδρέῳ δεῖ ἀνταποδίδοσθαι ἐκ τοῦ κάτω πρὸς τὸ ἄνω, καὶ ἀνάπαλιν. [10] καὶ αὔξεται τὸ δένδρεον, καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω διὰ τόδε, [11] ὅτι ἡ τροφή ἐστι καὶ ἐκ τοῦ κάτωθεν καὶ ἐκ τοῦ ἄνωθεν.

XXXIII. Καὶ ἕως μὲν ἂν ἁπαλὸν ᾖ σφόδρα, οὐ καρποφορεῖ. [2] οὐ γάρ ἐστιν αὐτῷ πίειρα δύναμις, οὐδὲ παχείη, ἥτις ἐς καρπὸν ξυμβάλλεσθαι οἵη τέ ἐστιν. [3] ὁκόταν δὲ χρόνος ἐγγένηται, τότε ἤδη ἐν αὐτῷ αἱ φλέβες εὐρεῖαι γινόμεναι, 10 ποιεῦνται ἐν αὐτῷ ἐκ τῆς γῆς πίειραν καὶ παχείην τὴν ῥύσιν. [4] ὁ δὲ ἥλιος διαχέων αὐτὴν, ποιεῖ ἐκζέειν, ἅτε κούφην ἐοῦσαν, ἐς τὰ ἄκρα, καὶ καρποῦσθαι. [5] καὶ τὴν μὲν λεπτὴν ἰκμάδα ἀπὸ τοῦ καρποῦ ἀποφέρει. [6] τὴν δὲ παχείην πέσσων ὁ ἥλιος καὶ θερμαίνων γλυκαίνει. [7] τὰ δὲ οὐ καρποφορέοντα τῶν δενδρέων οὐκ ἔχει πῖαρ ἐν αὐτοῖσιν, ὅσον ἐς τὸν καρπὸν ἐκδαπανᾶσθαι. [8] τὸ δὲ πᾶν δένδρεον, ὁκόταν ὑπὸ χρόνου στερεωθῇ, καὶ λάβηται ἐν τῶν κάτω τῇσι ῥίζῃσιν, ἤδη βε- 15 βαίως πέπαυται αὐξόμενον παντελῶς.

XXXIV. Ὁκόσοισι δὲ ἐς δένδρεα ἀφ᾽ ἑτέρων δενδρέων ὀφθαλμοὶ ἐντέθηνται, [2] καὶ δένδρεα γενόμενα ἐν τοῖσι δενδρέοισι ζῇ, [3] καὶ καρποφορεῖ καρπὸν οὐχ ὅμοιον οἷσιν ἐγκείμενά ἐστιν. [4] τρόπῳ τοιῷδε τοῦτο γίνεται.

ferna caliditatem ipsi contingere oportet. [6] Et radices ubi attraxerint, arbori transmittunt, & arbor vicissim radici- 30 bus. [7] atque sic & frigidi & calidi conservatio contingit. [8] Quemadmodum homini ingestis cibis in ventrem, qui dum concoquuntur calfaciunt, perfrigerationem à potu facere oportet: [9] sic & arbori contrarium rependi oportet, ex inferna parte ad supernam, & vicissim: [10] & augescit arbor & in supernam, & in infernam partem, propterea [11] quod alimentum ex inferna & superna ipsi accedit.

XXXIII. Et quamdiu quidem 35 vehementer tenera fuerit arbor, fructum non producit. [2] Non enim est in ipsa pinguis vis, neque crassa, quæ ad fructum conferre possit. [3] Progressu autem temporis venæ in ipsa dilatatæ, pinguem ac crassam influxionem ex terra in ipsam faciunt, [4] sol autem ipsam diffundens, ebullire facit utpote levem existentem, in extremitates, & fructum producere. [5] & tenuem quidem humiditatem à fructu sol aufert, [6] crassam autem 40 concoquens & calfaciens edulcat. [7] At vero arbores non fructiferæ, in se pinguitudinem tantam non habent, quantum ejus in fructum est expendendum. [8] Omnis autem arbor quum per tempus solida facta fuerit, & ex inferna parte radices firmarit, jam penitus constanter augescere desinit.

XXXIV. Quicunque vero in arbores, ab aliis arboribus oculos indiderunt, [2] & arbores in arboribus enatæ vivunt, [3] & fructificant 45 non similem fructum arboribus, quibus insitæ. [4] Id ipsum tali modo

νηται. [5] ξυμβαίνει τοῦ ὀφθαλμοῦ, πρῶτον μὲν βλαστάνειν. [6] τροφὴν γὰρ εἶχε, πρῶτον μὲν ἀπὸ τοῦ δένδρεος, ἀφ' οὗ ἀπηνέχθη· ἔπειτα ἐν ᾧ ἐνετέθη. [7] ὁκόταν δὲ βλαστήσῃ, οὕτως μεθίησιν ἐς τὸ δένδρεον ῥίζας ἀπ' αὐτοῦ λεπτάς. [8] καὶ πρῶτον ἀπαυρίσκεται ἀπὸ τῆς ἰκμάδος, τῆς ἐν τῷ δενδρέῳ ἐνεούσης, ἐν ᾧ ἔμπεφυται. [9] ἔπειτα, χρόνου ἐγγενομένου, ἀφίησι ῥίζας ἐς τὴν γῆν, διὰ τοῦ ἐν ᾧ ἐνετέθη. [10] καὶ ἐπαυρίσκεται ἀπὸ τῆς γῆς ἕλκων τὴν ἰκμάδα. καὶ τροφὴ αὐτῷ ἐκεῖθέν ἐστιν. [11] ὥστε μὴ θαυμάζειν ἐπερόκαρπα εἶναι τὰ ἔνθετα τῶν δενδρέων, [12] ζῇ γὰρ ἀπὸ τῆς γῆς. [13] ταῦτά μοι εἴρηται περὶ τῶν δενδρέων καὶ τῶν καρπῶν διὰ τόδε, ὅτι οὐχ οἷόν τε ἦν μοι τὸν λόγον ἡμιτελέα καταλιπεῖν. [14] ἀναβήσομαι δὲ αὖθις ὀπίσω, οὗ εἵνεκέ μοι λόγοι τάδε ἀμφὶ τῶνδε εἴρηνται.

XXXV. Φημὶ γὰρ, τὰ ἐν τῇ γῇ φυόμενα πάντα ζῆν ἀπὸ τῆς γῆς τῆς ἰκμάδος. [2] καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ ἰκμάδος ἐν ἑωυτῇ, οὕτω καὶ τὰ φυόμενα ἔχειν. [3] οὕτω καὶ τὸ παιδίον ζῇ ἀπὸ τῆς μητρὸς, ἐν τῇσι μήτρῃσιν. [4] καὶ ὅκως ἂν ἡ μήτηρ ὑγιείης ἔχῃ, οὕτω καὶ τὸ παιδίον ἔχει. [5] ἢν δέ τις βούληται ἐννοεῖν τὰ ῥηθέντα ἀμφὶ τούτων ἐξ ἀρχῆς ἐς τέλος, [6] εὑρήσει τὴν φύσιν πᾶσαν παραπλησίην ἐοῦσαν, τῶν τε ἐκ γῆς φυομένων, καὶ τῶν ἐξ ἀνθρώπων. [7] καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται. [8] τὸ δὲ παιδίον ἐν τῇσι μήτρῃσιν ἐὸν, [9] τὰς χεῖρας ἔχει πρὸς τοῖσι γούνασι, [10] καὶ τὴν κεφαλὴν πλησίον τοῖν ποδοῖν. [11] καὶ οὐκ ἔστιν ἀτρεκέως κρῖναι, οὐδ' ἂν ἴδῃς, ἐν τῇσι μήτρῃσι τὸ παιδίον πότερον τὴν κεφαλὴν ἄνω ἔχει ἢ κάτω. [12] ἐκ δὲ τοῦ

do contingit. [5] Oculus primum quidem germinat. [6] Alimentum enim habet primum ab arbore, ex qua ablatus est, deinde ab ea in quam insitus est. [7] Vbi autem germinaverit, sic in arborem radices tenues à se demittit, [8] & primùm humore fruitur in arbore, in quam insitus est, existente: [9] deinde tempore accedente, demittit radices in terram, per eam in quam insitus est, [10] & fruitur humore, quem a terra trahit, & alimentum inde ipsi contingit: [11] ut non mirum sit, insitas arbores, alios fructus producere. [12] à terra enim vivunt. [13] Hæc mihi de arboribus & fructibus dicta sunt ea gratia, quod indignum mihi factum videbatur, & ne poteram quidem hanc tractationem semiperfectam relinquere. [14] Redibo nunc rursus retro ad illum sermonem, cujus gratia à me hæc deinsis relata sunt.

XXXV. Censeo enim terræ nascentia omnia vivere ex terræ humore, [2] & qualem terra humorem in seipsa habet, talem etiam nascentia ex ipsa habere. [3] Sic etiam puer vivit de matre in utero, [4] & quali mater sanitate prædita est, talem etiam puer habet. [5] Quòd si quis considerare velit ea quæ de his dicta sunt, ab initio usque in finem, [6] inveniet naturam omnem consimilem esse, & ex terra nascentium, & hominum. [7] Et hæc mihi de hac dicta sunt. [8] Cæterum puer in uteris existens, [9] manus apud genas habet, [10] caput autem prope pedes: [11] & non datur probe ac certo cognoscere, etiamsi puerum in utero videas, utrum caput sursum habeat, an deorsum. [12] Verum ex umbilico pel-

τοῦ ὀμφαλοῦ τεταμένοι εἰσὶν οἱ ὑμένες, ἀντέχοντες αὐτό. [13] νῦν δὲ ἐρέω τὴν διάγνωσιν, [14] ἣν ἔφην ἀποφανέειν ὀλίγῳ πρότερον, [15] ὡς ἀνυστὸν ἀνθρωπίνῃ γνώμῃ, [16] ἐμφανέα ἐοῦσαν, παντὶ τῷ θέλοντι εἰδέναι περὶ τούτου, [17] ὅτι ἡ γονὴ ἐν ὑμέσιν ἐστί, [18] ὅτι καὶ κατὰ μέσον αὐτῆς ὁ ὀμφαλός ἐστι, [19] καὶ ἐκεῖνον πρῶτον τὴν πνοιὴν ἕλκει ἐς ἑωυτὴν, καὶ μεθίησιν ἔξω, [20] καὶ ἐκ τοῦ ὀμφαλοῦ ὑμένες εἰσί, [21] καὶ τὴν ἄλλην φύσιν τοῦ παιδίου, ἣν εἴρηκα, ὧδε ἔχουσαν εὑρήσεις πᾶσαν, μέχρις ἐς τέλος, [22] ὅκως μοι ἐν τοῖσι λόγοισιν ἀποπέφανται, [23] εἰ βούλεταί τις τοῖσιν ἱστορίοισιν, ἑκάστοισι μέλλω λέγειν, χρῆσθαι.

XXXVI. Εἰ γάρ τις ἐθέλει ὠὰ εἴκοσιν ἢ καὶ πλείονα, ὅκως ἐκλεπίσηται, ὑποθεῖναι ἀλεκτορίσιν, εἴτε δυσὶν εἴτε καὶ πλείοσι, [2] καὶ ἑκάστης ἡμέρης ἀπὸ τῆς δευτέρης ἀρξάμενος μέχρι τῆς ὑστάτης, ἧ ἐκλέψει τὸ ὠὸν, ὑφαιρέων καὶ καταγνύων, σκοπῶν, [3] εὑρήσει ἔχοντα πάντα κατὰ τὸν ἐμὸν λόγον, [4] ὡς χρὴ ὄρνιθος φύσιν ξυμβάλλειν ἀνθρώπου φύσει. [5] ὅτι γὰρ ὑμένες εἰσὶν ἐκ τοῦ ὀμφαλοῦ τεταμένοι, καὶ τἄλλα ὁπόσα εἴρηται περὶ τοῦ παιδίου, οὕτως ἔχοντα ἐν τῷ ὠῷ τῷ ὀρνιθείῳ εὑρήσεις ἐξ ἀρχῆς ἐς τέλος. [6] καίτοι, ἤν τις μηδέπω εἶδε, θαυμάσει ἐν ὀρνιθείῳ ὠῷ ἐνεόντα ὀμφαλόν. [7] ἔχει δὲ ὧδε ταῦτα, καὶ ταῦτα δέ μοι ὧδε εἴρηται.

XXXVII. [1] Ὁκόταν δὲ τῇ γυναικὶ ὁ τόκος παραγένηται, [2] ξυμβαίνει τότε τοῦ παιδίου κινεομένου, [3] καὶ ἀσκαρίζοντος χερσί τε καὶ ποσὶ, [4] ῥῆξαί τινα τῶν ὑμένων τῶν ἔνδον. [5] ῥαγέντος δὲ ἑνὸς, καὶ οἱ ἄλλοι ἀκιδνο-

pelliculæ tentæ sunt ipsum continentes. [13] Nunc autem referam dignotionem, [14] quam paulo ante me demonstraturum dixi, [15] quantum humanæ menti possibile est [16] manifestam illam, omni qui de hoc cognosse velit, [17] quod genitura in pellicula est, [18] & quod juxta medium ipsius umbilicus est, [19] & per illum sane primo spiritum in seipsam trahit, & foras emittit, [20] & quod ex umbilico pelliculæ tentæ sunt. [21] Sed & aliam pueri naturam, quam dixi, sic totam habere usque in finem reperiet, [22] quomodo videlicet à me in his sermonibus declaratum est, [23] si quis testimoniis, & ocularibus inspectionibus à me producendis uti velit.

XXXVI. Etenim si quis ova viginti aut plura, quo pulli ex ipsis excludantur, gallinis duabus aut pluribus subjicere velit, [2] & singulis diebus à secunda exordiendo, usque ad ultimam qua excludetur pullus ex ovo, subtrahere, confringere, ac videre, [3] inveniet omnia se habere juxta meum sermonem, [4] quomodo volucris naturam, ad humanam conferre oportet. [5] Quod enim pelliculæ ex umbilico tentæ sunt, & reliqua quæ de puero dicta sunt, sic se habere in ovo volucris reperies, ab initio in finem. [6] Atqui si quis nondum vidit, mirabitur in volucris ovo umbilicum inesse. [7] Atque hæc sic habent, & sic à me relata sunt.

XXXVII. Quando verò mulieri partus appropinquat, [2] tunc puero se movente, [3] & manibus ac pedibus calcitrante, [4] pelliculam quandam internam rumpi contingit: [5] rupta autem una, etiam aliæ debiliorem vim habent, & rum-

ἀσθενεστέρην δύναμιν ἔχουσι, καὶ ῥήγνυνται. [6] πρῶτον μὲν, αἱ ἐκείνῃ ἐχόμεναι· ἔπειτα ὁ ὕστατος. [7] ὁκόταν δὲ ῥαγῶσιν οἱ ὑμένες, [8] τότε λύεται ἀπὸ τοῦ δεσμοῦ τὸ ἔμβρυον· [9] καὶ χωρέει ἔξω κλονηθέν. [10] οὐ γὰρ ἔτι ἰσχυρόν ἐστι, τῶν ὑμένων πεσόντων. [11] οὐδὲ αἱ μῆτραι δύνανται ἔτι τὸ παιδίον ἴσχειν, τῶν ὑμένων, ὡς ἔφην, πεσόντων, καὶ τούτων ἀπεῤῥηγμένων. [12] προσλαμβάνονται γὰρ οἱ ὑμένες καὶ τῶν μητρέων, ὁκόταν ἀμφὶ τὸ παιδίον εἱλίσσωνται, οὐ πολλῇ δυνάμει. [13] ὁκόταν δὲ χωρέῃ τὸ παιδίον, [14] βιᾶται καὶ εὐρύνει τὰς μήτρας ἐν τῇ διεξόδῳ, [15] ἅτε ἁπαλὰς ἐούσας. [16] χωρέει δὲ ἐπὶ κεφαλὴν, [17] ἢν κατὰ φύσιν ἴῃ. [18] βαρύτερα γάρ ἐστιν αὐτοῦ τὰ ἄνω ἐκ τοῦ ὀμφαλοῦ σταθμεόμενα. [19] ἐν δὲ τῇσι μήτρῃσιν ἐὸν, ἐγκρατὲς μᾶλλον γίνεται ἐς τὴν τῶν ὑμένων καταῤῥῆξιν, ἅμα δεκάτῳ μηνὶ, ὅτε ὁ τόκος τῇ μητρὶ προσγένηται.

XXXIIX. Ἢν δὲ βίαιον πάθημα πάθῃ τὸ παιδίον, [2] καὶ πρόσθεν τοῦ ὡρισμένου χρόνου ῥαγέντων τῶν ὑμένων ἐξέρχεται· [3] καὶ ἢν ἡ τροφὴ πρόσθεν λήξῃ ἀπὸ τῆς μητρὸς τοῦ παιδίου, [4] καὶ οὕτω πρόσθεν ὁ τόκος τῇ μητρὶ προσγίνεται, [5] θᾶσσον δὲ δέκα μηνῶν ἐξέρχεται. [6] ἀλλ' ὅσαι δὴ ἔδοξαν πλείονα χρόνον δέκα μηνῶν ἔχειν· [7] ἤδη γὰρ τοῦτο πολλάκις ἤκουσα· [8] ἐκεῖναι διελήφθησαν τρόπῳ τοιῷδε, ὃν μέλλω ἐρέειν. [9] ὁκόταν αἱ μῆτραι πνεῦμα λάβωσιν ἐς ἑωυτὰς ἀπὸ τῆς κοιλίης φύσαν παρεχούσης ἐξαρθῶσι· [10] γίνεται γὰρ καὶ τοῦτο· [11] δοκέουσι δὴ αἱ γυναῖκες πρὸς σφᾶς ἔχειν τότε. [12] καὶ ἢν καταμήνια μὴ χωρέοντα ξυστραφῇ ἐν τῇσι μήτρῃσι, [13] καὶ ἢν χρο-

rumpuntur [6] primum quidem illi contiguæ & cohærentes, postea, extrema. [7] Quum autem ruptæ fuerint pelliculæ, [8] tunc fœtus à vinculo exolvitur, [9] & agitatus foras procedit. [10] Neque enim amplius robur habet pelliculis amissis, [11] neque uteri amplius puerum continere possunt, pelliculis velut dixi amissis, & ab ipsis abruptis. [12] Cohærent enim pelliculæ etiam uteris, ubi circum puerum obvolvuntur, non adeo vi valida ac multa. [13] Quando autem procedit puer, [14] violat & dilatat uteros in exitu, [15] utpote teneros existentes. [16] Procedit autem in caput, [17] si secundum naturam prodierit. [18] Gravissimæ enim sunt ipsi supernæ partes, si ex umbilico perpendantur. [19] Quum autem in uteris est, magis continens existit usque ad pelliculum rupturam simul cum decimo mense, quando partus matri propinquat, & adest.

XXXIIX. Si vero violentam affectionem perpetiatur puer, [2] etiam ante præfinitum tempus ruptis pelliculis procedit. [3] Quin & si alimentum à matre prius puero defecerit, [4] etiam sic partus matri prius advenit, [5] & ante decimum mensem puer prodit. [6] Cæterum quæ longius quam decem mensium tempus uterum gestare sibi visæ sunt ([7] nam hoc jam sæpe audivi) [8] illæ ipsæ hoc modo quem dicturus sum deceptæ sunt. [9] Quum uteri spiritum acceperint in seipsos, à ventre flatum exhibente, elevantur ac intumescunt. ([10] contingit enim hoc) [11] videntur sane sibi mulieres tunc concepisse. [12] Præterea si menses non procedentes, congregati fuerint in utero, [13] & diutius

χρονιώτερον, αἰεὶ διαφυσῶσιν ἐς τὰς μήτρας· [14] ἐστὶ μὲν ὅτε ξὺν τῷ ἀπὸ τῆς κοιλίης πνεύματι· [15] ἐστὶ δ' ὅτε καὶ θερμαινόμεναι· [16] καὶ δὴ καὶ τότε ἐν γαστρὶ δοκέουσιν ἔχειν αἱ γυναῖκες, ἅτε τῶν καταμηνίων μὴ χωρεόντων, καὶ τῶν μητρέων ἠρμένων.

XXXIX. Εἶτα ἔστιν, ὅτε τὰ καταμήνια ἐρράγη αὐτόματα, [2] ἢ ἑτέρων ἐπικατελθόντων ἀπὸ τοῦ σώματος ἐς τὰς μήτρας καὶ κατεπειγόντων τὰ πρότερα, [3] καὶ ἡ φῦσα ἐξῆλθε, [4] καὶ πολλῇσιν ἤδη εὐθὺς μετὰ τὴν τῶν καταμηνίων κάθαρσιν αἱ μῆτραι ἔχανον, [5] καὶ κατὰ τὸ αἰδοῖον ἐστράφησαν, [6] καὶ τηνικαῦτα μιχθεῖσαι ἀνδράσιν, ἔλαβον πρὸς σφᾶς τὸν γόνον, αὐθήμερον ἢ ὀλίγῃσιν ἡμέρῃσιν. [7] λογίζονται δὲ αἱ ἄπειροι τῶν λόγων καὶ τῶν πρηγμάτων, [8] πρὸς ἐκεῖνον τὸν χρόνον ἐν γαστρὶ ἔχειν, [9] ὅτε τὰ καταμήνια οὐκ ἐχώρεεν αὐτῇσι, [10] καὶ αἱ μῆτραι ἠρμέναι ἐτύγχανον.

XL. Ὅτι δὲ οὐκ ἔστι χρονιώτερον δέκα μηνῶν ἐν γαστρὶ ἔχειν, ἐγὼ φράσω. [2] ἡ τροφὴ καὶ ἡ αὔξησις ἡ ἀπὸ τῆς μητρὸς κατιοῦσα, [3] οὐκ ἔτι ἀπαρκέουσα τῷ παιδίῳ ἐστὶν, ἐπήν οἱ δέκα μῆνες παρέλθωσι καὶ τὸ ἔμβρυον αὐξηθῇ. [4] ἕλκει γὰρ ἀπὸ τοῦ αἵματος ἐς ἑωυτὸ τὸ γλυκύτατον, [5] ἅμα δὲ καὶ ἀπὸ τοῦ γάλακτος ἐπαυρίσκεται ὀλίγον. [6] ὁκόταν δὲ αὐτῷ σπανιώτερα ταῦτα γένηται, καὶ ἁδρὸν ἔῃ τὸ παιδίον, ποθέον πλείονα τῆς ὑπαρχούσης τροφῆς, [8] ἀσκαρίζει, καὶ τοὺς ὑμένας ῥηγνύει, ἀρχὴν ἀποκυήσιος παρέχει τῇ μητρί. [9] καὶ μᾶλλον τοῦτο πάσχουσιν αἱ τῶν γυναικῶν πρωτοτόκοι. [10] ἐπιλείπει γὰρ τοῖσι παιδίοισιν ἡ τροφὴ ἐς τὸ ἀρκέσαι,

ἄχρις

tius manserint, semper perflutnt in uteros, [14] aliquando una cum flatu à ventre, [15] aliquando etiam calescentes: [16] & sane tunc quoque in utero habere mulieres sibi videntur, nimirum mensibus non prodeuntibus, & uteris elevatis.

XXXIX. Deinde aliquando menses sua sponte erumpunt, [2] aut aliis supervenientibus à corpore in uteros, & priores protrudentibus, [3] & flatus egreditur: [4] & multis jam statim post mensium purgationem uteri hiant, [5] & ad pudendum vertuntur, [6] & tunc viris permixtæ, ad se genituram concipiunt, eadem die aut omnino in paucis. [7] Existimant autem inexpertæ harum rerum ac rationum, [8] etiam illo tempore se in utero habuisse, [9] quando menses non prodibant ipsis, [10] & uteri erant elevati ac tumentes.

XL. Quod autem non diutius quam decem mensibus contingat uterum gestare, ego demonstrabo. [2] Alimentum & augmentum quod à matre descendit, [3] non amplius sufficiens est puero, ubi decem menses præterierint, & fœtus auctus fuerit. [4] Trahit enim quod dulcissimum est in sanguine ad sese, [5] simulque etiam lacte modice fruitur. [6] Quum autem hæc ipsi rariora ac pauciora sint, & puer plenus ac maturus existat, [7] copiosius alimentum desiderans [8] calcitrat, ac pelliculas rumpens, initium partus matri inducit. [9] & hoc perpetiuntur magis mulieres primiparæ: [10] deficit enim pueris alimentum, ut ad decimum usque mensem sufficere

non

ἄχρις αὐτὸ τῆς θήλης μένουσιν. 11 ἐπιλείπει δὲ διὰ τρόπον τοιόνδε. 12 εἰσὶ τῶν γυναικῶν τινες, αἳ μὲν δοκέουσι τὰ καταμήνια καθαίρεσθαι, 13 αἳ δὲ ἐλάσσονα. 14 ἔστι δὲ καὶ ἀεὶ γίνεται ἐν φύσει καὶ ἐν γενεῇ, 15 μητρῷον σφίσιν ἐστίν. 16 αἳ δὲ τὰ καταμήνια ὀλίγα μεθιεῖσαι, αὗται καὶ τοῖς παιδίοισι τὸν χρόνον τὸν ὕστατον, ὅταν ἤδη ἁδρὸν ἔῃ, τὴν τροφὴν σπανιωτέρην παρέχουσαι, ποιέουσιν ἀσκαρίζειν, 17 καὶ ἐντεῦθεν τῆς θήλης μᾶλλον ἐξελθεῖν ἐπείγεται. 18 ὀλίγον γὰρ ἀπὸ τῶν νέων μητέρων χωρέει τὸ αἷμα. 19 ὡς δὲ καὶ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει, καὶ ἀγαλάκτους εἶναι ταύτας τὰς γυναῖκας, τὰς ὀλίγα τὰ καταμήνια μεθιείσας, 20 ξηρότεραι γὰρ καὶ πυκνοσαρκότεραί εἰσιν.

XLI. Τούτῳ δὲ τῷ λόγῳ, ὅτι ἐπιλειπούσης τῆς τροφῆς ἐξέρχεται τὸ ἔμβρυον, 2 ἢν μή τι αὐτῷ βίαιον πάθημα προσπέσῃ, καὶ ἰσόρροπον τόδε ἐστί. 3 τὸ ὄρνεον γίνεται ἐκ τῶν ὠῶν τῷ χλωρῷ τρόπῳ τοιῷδε. 4 ἐπικαθεζομένης τῆς μητρὸς θερμαίνεται τὸ ὠόν, 5 καὶ τὸ ἐν τῷ ὠῷ ἐνεὸν ἀπὸ τῆς μητρὸς κινέεται. 6 θερμαινόμενον δὲ πνεῦμα ἴσχει τὸ ἐν τῷ ὠῷ ἐνεόν, 7 καὶ ἀντισπᾷ ἕτερον ψυχρὸν ἀπὸ τοῦ ἠέρος διὰ τοῦ ὠοῦ. 8 τὸ γὰρ ὠὸν ἀραιόν ἐστιν οὕτως, ὥστε πνεῦμα ἑλκόμενον ἀρκέουσαν διιέναι τῷ ἔνδον ἐόντι. 9 καὶ αὔξεται τὸ ὄρνεον ἐν τῷ ὠῷ, 10 καὶ διαρθροῦται τρόπῳ τῷ αὐτῷ τι καὶ παραπλησίῳ, ὥσπερ καὶ τὸ παιδίον, 11 ὥς μοι ἤδη καὶ πρότερον εἴρηται. 12 γίνεται δὲ ἐκ τοῦ χλωροῦ τοῦ ὠοῦ τὸ ὄρνεον. 13 τροφὴν δὲ καὶ αὔξησιν παρέχει τὸ λευκὸν τὸ ἐν τῷ ὠῷ. 14 τοῦτο ἤδη πᾶσιν ἐμφανὲς ἐγένετο, ὁκόσοι προσέσχον τὸν νόον, 15 ὁκόταν

δὲ

non possit. 11 deficit autem per hunc modum. 12 Sunt quædam mulieres quibus sufficientes menses purgantur, 13 quædam quibus pauciores: 14 hoc ipsum si semper fiat, in natura, & genere, 15 maternum ipsis existit. 16 Quæ vero menses paucos demittunt, hæ etiam pueris postremo tempore, ubi jam maturi fuerint, alimentum rarius exhibentes, ipsos calcitrare faciunt, 17 ut & ante decimum prodire festinent. 18 Modicus enim sanguis à juvenculis ac novellis matribus procedit: 19 ut plurimum vero contingit tales mulieres etiam sine lacte esse, quæ paucos menses demittunt. 20 Sicciores enim sunt, & densiorem carnem habent.

XLI. Huic autem rationi, quod videlicet deficiente alimento prodit puer, 2 etiamsi non aliqua violenta affectio ipsi accidat, etiam hoc testimonio esse potest. 3 Volucris ex ovi luteo nascitur, hoc modo. 4 Incubante matre ovum calescit, 5 & quod in ovo inest, à matre movetur: 6 calefcens autem id, quod in ovo inest, spiritum habet, 7 & alterum frigidum ab aëre per ovum attrahit. 8 Ovum enim adeo rarum est, ut spiritum, qui attrahitur, sufficientem ei, quod intus est, transmittat: 9 & augescit volucris in ovo, 10 & coarticulatur modo eodem ac consimili velut puer, 11 quemadmodum jam antea à me relatum est. 12 Nascitur autem ex luteo ovi volucris, 13 alimentum vero & augmentum habet ex albo, quod in ovo est. 14 atque hoc jam omnibus manifestum factum est, qui animum adverterunt. 15 Ubi autem deficit alimentum pullo ex

ovo,

ἢ ἐπιλείπῃ ἡ τροφὴ τῷ νεοσσῷ ἐν τῷ ᾠῷ, [16] οὐκ ἔχον ἀρκέουσαν ἀφ' ἧς ζήσεται, [17] κινέεται ἰσχυρῶς ἐν τῷ ᾠῷ, ζητέον τροφὴν πλείονα, [18] καὶ οἱ ὑμένες περιῤῥήγνυνται. [19] καὶ ὁκόταν ἡ ὄρνις αἴσθηται τὸν νεοσσὸν κινηθέντα ἰσχυρῶς, [20] κολάψασα ἐξέλεψεν. [21] καὶ ταῦτα ξυμβαίνει γίνεσθαι ἐν εἴκοσιν ἡμέρῃσι. [22] καὶ ἐμφανές ἐστιν, ὅτι ὧδε ἔχει. [23] ὁκόταν γὰρ κολάψῃ τὸ ὄρνεον, ἐπὶ τοῖσι λεπυρίοισι τοῦ ᾠοῦ, ὑγρὸν ἔνεστιν οὐδέν, [24] ὅ,τι καὶ ἄξιον λόγου. [25] ἐξανήλωται γὰρ ἐς τὸν νεοσσόν. [26] οὕτω δὲ καὶ τὸ παιδίον, ὁκόταν αὐξηθῇ, οὐκ ἔτι δύναται ἡ μήτηρ τροφὴν παρέχειν ἀρκέουσαν. [27] ζητέον οὖν πλείω τροφὴν τῆς παρεούσης τὸ ἔμβρυον, ἀσκαρίζον ῥήγνυσι τοὺς ὑμένας, καὶ λυθὲν τοῦ δεσμοῦ χωρέει ὁμοῦ ἔξω. [28] καὶ ταῦτα γίνεται ἐν δέκα μησὶ τὸ μακρότατον.

XLII. Καὶ κατὰ τοῦτον τὸν λόγον, καὶ τοῖσι κτήνεσι καὶ τοῖσι θηρίοισιν ὁ τόκος παραγίνεται, [2] ἐν χρόνῳ, ᾧ ἕκαστον τίκτει, οὐ μακρότερον. [3] ἑκάστῳ γὰρ τῶν ζώων ἀνάγκη ἐστὶ χρόνον εἶναι, ἐν ᾧ ἡ τροφὴ σπανιωτέρη ἔσται τῷ ἐμβρύῳ, καὶ ἐπιλείψει, καὶ ὁ τόκος παρέσται. [4] καὶ τὰ μὲν ἐλάσσω τροφὴν ἐν τοῖσιν ἐμβρύοισιν ἔχοντα, θᾶσσον τίκτει. τὰ δὲ πλείω, ὕστερον. [5] καὶ ταῦτα μέν ἐς τοῦτο μοι εἴρηται. [6] τὸ δὲ παιδίον, ὅταν περιῤῥαγῶσιν οἱ ὑμένες, [7] ἢν μὲν δὴ ἐπικρατήσῃ ἡ ἐπὶ τὴν κεφαλὴν ῥοπή, [8] ῥηιδίως τίκτει ἡ γυνή. [9] ἢν δὲ πλάγιον ἢ ἐπὶ πόδας χωρήσῃ, [10] γίνεται γὰρ οὕτω πολλάκις, [11] ἢν οὕτως ἡ ῥοπὴ τύχῃ γενομένη [12] ἢ ὑπὸ εὐρυχωρίης τῶν μητρέων, [13] ἢ καὶ ἢν ἡ μήτηρ ἐν τῇ ὠδῖνι μὴ ἡσυχάσῃ τὸ πρῶτον, [14] κἢν οὕτω χωρέῃ, χαλεπῶς τίκτει ἡ γυνή. [15] πολλαὶ δὲ ἤδη

ovo, [16] non habens id sufficiens unde vivat, [17] fortiter movetur in ovo uberius alimentum quærens, [18] & pelliculæ circum dirumpuntur, [19] & ubi mater sentit pullum vehementer motum, [20] putamen exscalpens ipsum excludit. [21] atque hæc fieri solent in viginti diebus, [22] & manifestum est quod ita se habent. [23] Ubi enim exclusa est volucris, nullus humor in ovi testis inest, [24] qui sane memorabilis existat, [25] expensus est enim in pullum. [26] Sic etiam ubi auctus fuerit puer, mater non amplius sufficiens alimentum ipsi exhibere potest. [27] Uberius itaque præsente alimentum puer quærens, calcitrando pelliculas dirumpit, & à vinculo exolutus simul foras prodit. [28] atque hæc, ut longissimæ in decem mensibus fiunt.

XLII. Et secundum hanc rationem etiam pecoribus ac feris partus advenit, [2] in tempore quo singula pariunt, non tardius. [3] Etenim unicuique animali necesse est tempus esse, in quo alimentum fœtui rarius erit, & deficiet, & partus adest. [4] Et quæ quidem paucius alimentum pueris præbent, citius pariunt; quæ vero uberius, posterius. [5] Atque hæc mihi de hoc dicta sunt. [6] Porro diruptis pelliculis, [7] si pueri momentum in caput inclinatum prædominabitur, [8] mulier facile parit. [9] Si autem obliquus, aut in pedes procedet [10] contingit enim hoc sæpe, [11] si momentum huc inclinarit, [12] sive præ uterorum spaciositate, [13] sive si mater in labore ex partu primum non quievit: [14] & si sic procedet, mulier difficulter pariet. [15] Multæ

ἤδη ἢ αὐταὶ ὤλοντο, 16 ἢ τὰ παιδία, 17 ἢ ἅμα αἱ μητέρες, καὶ τὰ ἐν αὐτῇσιν.

XLIII. Ἐκ δὲ τῶν τικτουσῶν μάλιστα πονέουσιν αἱ πρωτοτόκοι, 2 διὰ τὴν ἀπειρίην τοῦ πόνου. 3 καὶ πονέουσι μὲν πᾶν τὸ σῶμα, 4 μάλιστα δὲ τὴν ὀσφύν τε καὶ τὰ ἰσχία. 5 διίσταται γὰρ σφέων τὰ ἰσχία. 6 αἱ δὲ μᾶλλον ἔμπειροι τόκων, ἧσσον πονέουσι τῶν πρωτοτόκων. 7 αἱ δὲ πολυτόκοι πάνυ ἧσσον πονέουσι. 8 ἢν δὲ ἐπὶ κεφαλὴν ἴῃ τὸ ἔμβρυον, ἡ κεφαλὴ πρώτη ἔξω χωρέει 9 ἔπειτα τ' ἄλλα μέλεα ἑπόμενα. 10 ὕστατος δὲ ὁ ὀμφαλός. 11 ἐκ δὲ τοῦ ὀμφαλοῦ τὸ χορίον τεταμένον ἐστί. 12 μετὰ δὲ ταῦτα, ὕδρωψ ἔρχεται αἱματώδης, 13 ἀπό τε τῆς κεφαλῆς, καὶ τοῦ ἄλλου σώματος, ἀποκριθεὶς ὑπὸ βίης τε καὶ πόνου καὶ θέρμης. 14 καὶ ὁδὸν ἀφηγήσατο ἐν τῇ τῶν λοχίων καθάρσει. 15 μετὰ δὲ τὴν ἔξοδον τοῦ ἰχῶρος ἡ κάθαρσις γίνεται χρόνον τὸν πρόσθεν εἰρημένον. 16 καὶ οἵ τε μαζοὶ καὶ τ' ἄλλα μέλεα, ὅσα περ ὑγρότερά ἐστι, καταρρήγνυνται τῶν γυναικῶν, 17 ἥκιστα μὲν ἐν τῷ πρώτῳ τόκῳ. 18 ἔπειτα δὲ ὡς ἂν πλεόνων γενομένων τόκων, ἔτι μᾶλλον καταρρήγνυνται διακενουμένων τῶν φλεβῶν ὑπὸ τῆς καθάρσιος τῶν λοχίων. 19 ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

XLIV. Δίδυμα δὲ γίνεται ἀφ' ἑνὸς λαγνεύματος, οὕτως. 2 ἔχουσιν αἱ μῆτραι κόλπους συχνοὺς καὶ γαμψούς· τοὺς μὲν τηλοτέρω, τοὺς δὲ πλησιαιτέρω τῶν αἰδοίων. 3 καὶ τὰ πολύγονα τῶν ζώων πλείους ἔχει κόλπους τῶν ὀλίγα κυεόντων. 4 ὁμοίως δὲ καὶ τὰ πρόβατα, θηρία

tæ autem vel ipsæ perierunt; 16 vel puer, 17 aut simul matres una cum fœtibus.

XLIII. Cæterum ex parientibus ac puerperis maxime laborant primiparæ, 2 propter inexperientiam dolorum, 3 & dolent quidem totum corpus, 4 maxime vero lumbos ac coxendices. 5 Nam coxendices ipsarum disparantur. 6 Verum expertæ jam partus, minus primiparis dolent. 7 Quæ vero multoties pepererunt, multo minus dolent. 8 Si porro in caput processerit puer, caput primum foras prodit, 9 deinde alia membra consequuntur, 10 postremus autem umbilicus. 11 Ex umbilico autem secunda tenta est. 12 Post hæc aquositas & mucus sanguinolentus 13 tum à capite, tum à reliquo corpore secretus; præ violentia & dolore ac calore: 14 atque hic viam struit purgationi à partu consequenti. 15 Post exitum autem ejus muci cruenti, purgatio fit per tempus antea relatum. 16 Et tum mammæ, tum reliqua membra, quæ humidiora sunt, mulieribus rumpuntur, 17 minime quidem in primo partu: 18 postea vero prout plures pariunt, ita amplius rumpuntur, evacuatis venis præ partus purgatione. 19 Atque hæc à me de hoc dicta sunt.

XLIV. Gemelli autem fiunt ab uno coitu, hoc modo. 2 Uteri sinus frequentes & curvos habent, alios remotiores, alios propinquiores pudendo. 3 Et animalia quæ multa gignunt, plures sinus habent, quam ea quæ pauca 4 Similiter autem habent & pecora, & feræ,

τε καὶ ὄρνεα. [5] ὅταν δὲ ἡ γονὴ τύχῃ σχισθεῖσα ἐς δύο κόλπους ἀφικομένη, [6] καὶ αἱ μῆτραι δέξωνται τὴν γονὴν, [7] οἱ κόλποι τε μὴ ἕτερος πρὸς τὸν ἕτερον χαλάσῃ, [8] ἡ χωρισθεῖσα ἐν ἑκατέρῳ κόλπῳ ὑμενοῦται καὶ ζωοῦται τῷ αὐτῷ τρόπῳ, ὥσπερ καὶ τὸ ἕν, [9] οὗ εἵνεκεν εἴρηται. [10] ὅτι δὲ ἀφ' ἑνὸς λαγνεύματος δίδυμα γίνεται, ἱστόριον τόδε. [11] ἔστι κύων καὶ ὗς καὶ ἄλλα ζῷα, ὅσα ἀφ' ἑνὸς λαγνεύματος τίκτει καὶ δύο καὶ πλείονα, [12] καὶ ἕκαστον τῶν ζῴων ἐν τῇσι μήτρῃσιν, ἐν κόλπῳ τε καὶ ὑμένι ἐστί. [13] καὶ ταῦτα αὐτοὶ ὁρέομεν γινόμενα. [14] καὶ ταῦτα τίκτει τῇ αὐτῇ ἡμέρῃ πάντα ὡς ἐπὶ τὸ πλεῖστον. [15] οὕτω δὲ καὶ τῇ γυναικὶ ἀπὸ μιῆς μίξιος γινόμενα τὰ παιδία, [16] ἑκάτερον ἐν κόλπῳ τε καὶ χορίῳ ἐστί, [17] καὶ τίκτει τῇ αὐτῇ ἡμέρῃ ἀμφότερα, [18] καὶ πρότερον θάτερον χωρεῖ ἔξω, [19] καὶ ἐς τὸ χορίον αὐτοῦ.

ferae, & volucres. [5] Ubi itaque contigerit genituram findi, & in duos sinus pervenire, [6] & uteri genituram susceperint, [7] & sinus alter ad alterum non hiaverit, nec dimiserit, [8] segregata genitura in utroque sinu pelliculas induit, & vivificatur eodem modo quo unus foetus. [9] quapropter vero id fiat, diximus. [10] Quod vero ab uno coitu gemelli gignantur, [l] hoc testimonio constat. [11] Est canis, & sus, & alia animalia, quae ab uno coitu pariunt & duo, & plura, [12] & unumquodque animal in utero in sinu ac pellicula existat: [13] atque haec ipsi fieri videmus, [14] & haec omnia eadem die utplurimum pariunt. [15] Sic autem & mulieri ab uno coitu gemelli facti, [16] uterque in sinu & pellicula est, [17] & eadem die utrunque parit, [18] & alter prius foras procedit, [19] & pellicula ipsius sive [l] secunda.

XLV. Ὅτι δὲ θῆλυ καὶ ἄρσεν δίδυμα γίνεται, αἴτιόν φημι. [2] ἐν δὲ τῇ γυναικὶ, καὶ ἐν τῷ ἀνδρὶ, καὶ ἐν παντὶ ζῴῳ, ἑκάστου γονῆς ἔνι καὶ ἀσθενεστέρη καὶ ἰσχυροτέρη. [3] καὶ οὐκ ἐς ἅπαξ χωρεῖ ἡ γονὴ, [4] ἀλλὰ καὶ ἐς δὶς καὶ τρὶς ἀποσπερμαίνεται. [5] καὶ οὐκ ἀνυστὸν αἰεὶ ὁμοίως εἶναι πᾶν ἰσχυρὸν, [6] τό, τε πρόσθεν ἐξιὸν, καὶ τὸ ὕστερον. [7] ἐς ὁκότερον οὖν τῶν κόλπων τύχῃ γονὴ παχυτέρη καὶ ἰσχυροτέρη ἐσελθοῦσα, [8] κεῖθι ἄρσεν γίνεται. [9] ἐς ὁκότερον δ' αὖ ὑγροτέρη καὶ ἀσθενεστέρη, [10] κεῖθι θῆλυ γίνεται. [11] ἢν δ' ἐς ἄμφω ἰσχυρὴ ἐσέλθῃ, ἄμφω ἄρσενα γίνεται. [12] ἢν δὲ ἀσθενὴς ἐς ἄμφω, ἄμφω θήλεα γίνεται. [13] οὗτος ὁ λόγος, ὧδε εἰρημένος ἅπας, τέλος ἔχει.

XLV. Quod autem gemelli, foemella & masculus generantur, hoc caussae esse sentio. [2] In muliere & in viro, & in omni animali, in singulis & debilior, & fortior genitura inest, [3] & non semel ac simul genitura procedit, [4] sed & bis & ter ebullit ac ejaculatur: [5] & non est possibile omnem esse fortem, [6] tum quae prius exivit, tum quae posterius. [7] In utrum autem sinum, crassiorem ac fortiorem genituram [l] ingredi contigerit; [8] illic masculus gignitur: [9] in utrum vero rursus humidiorem ac debiliorem, [10] illic foemella generatur. [11] Si vero in utrunque fortis ingredietur, ambo masculi fient: [12] sin debilis, ambo foemellae. [13] Atque hic sermo sic relatus totus finem habet.

ΙΠΠΟ- HI-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΠΤΑΜΗΝΟΥ νόθον.

Basil. græc.

541 ΠΕΡΙ δὲ ἑπταμήνων ὁ λόγος ὑπό τοῦ φησι γίνεσθαι. [2] ἐγὼ μὲν οὐ περιτέτευχά πω τῷδε τῷ πρήγματι ὀφθαλμοῖσιν ἀκοῇ δὲ μοῦνον. [3] ὅκως δή μοι φαίνεται, δηλώσω. [4] πολλαὶ φύσιός εἰσι παρατροπαί, καὶ διαφοραὶ ἐν ζώοισί τε καὶ ἐν φυτοῖσι, καὶ ἐν τῷ ἀι-
25 δίῳ αἰῶνι. [5] καὶ ἤδη που τὸ θῆλυ καὶ ἄῤῥεν ἐρυθμώθη καὶ πολύχειρα, [6] καὶ πολυόφθαλμα, [7] καὶ πολύωτα, [8] καὶ ῥυθμοὺς παλιμπηγέας ἔχοντα στόματα, [9] θαυμαστὴν παρατροπὴν φύσιος. [10] πάντα γὰρ καὶ ἴδια ἐπὶ καιροῖς κρίνων καὶ σύγκρισις. [11] κατὰ γὰρ τὴν ἀρχαίην γένεσιν ὁκότε ἐκτίσθη πάντα ζῶα ἐρυθμοῦτο. [12] καὶ νῦν γνῶθι διὰ τούτους κατὰ νόμους ῥυθμοῦσθαι. [13] ἐμοὶ γοῦν δοκεῖ, ὡς κατ᾽ ἄνθρωπον ὀργανιζομένων περὶ τὰ ἑπτάμηνα τοῖσιν εἴδεσιν γίγνεσθαι, [14] καθάπερ κατὰ τὸ περιέχον, καὶ κατὰ
30 τὴν γῆν περισκοπέοντας καρποὺς ῥυθμοῦσθαι, [15] ὅκως περ ἐν αἰγύπτῳ πάντα περίσκοπα γίνεται. [16] πολλὰ δὲ καὶ διὰ παντὸς ὥρη διὰ τὸ πολυφιλίην τῆς γῆς, [17] καὶ τῆς θέρμης τῆς περὶ ὀκωχώσιος, [18] ὡσαύτως οὖν καὶ περὶ τὰ σώματα φιλέει γίνε-

HIPPOCRATIS DE SEPTIMESTRI liber spurius.

Calvus.

De septimestribus quidam sic dicit, [2] quod negotium oculis nondum vidi, sed tantum audivi. [3] Quo autem modo mihi fieri posse videatur, declarabo. [4] Multæ naturæ mutationes, conversiones, & excessus in animalibus, & arbustis, cæterisque satis, sponteve nascentibus ævo perpetuo longoque fiunt. [5] Nam alicubi jam femina, & mas multis manibus, [6] oculis, [7] auribusque conformati natique sunt, [8] variisque aliis formis, concreta ora & ossa alii habentes, [9] mirandam naturæ prævaricationem, mutationem & excessum. [10] cuncta enim temporibus labentibus & discreta & confusa & peculiaria perficiuntur. [11] Nam secundum priscam generationem, cum omnia animantia condita & creata sunt, sic conformata fuerunt, [12] scitoque etiam nunc eodem modo, & per eadem secundum leges, cuncta conformari nascique posse. [13] Mihi vero (quemadmodum homini circa septimestria definienti datur) hæc stata specie, [14] pro cœli, terræque benignitate, quemadmodum fructus, oriri videntur. [15] Quod videre est in Ægypto, ubi omnia perfecta nascuntur, & perficiuntur, [16] multa etiam & per annum totum, omnique tempore terræ benignitate, [17] calorisque circum aggeratione, Nilive inundatione scaturiunt. [18] Simili mo-

γένεται τὰ ἑπτάμηνα. 19 καὶ ὅταν ἡ ἔχουσα ἐς κύησιν δὲ ἥκῃ ἐς ὑποδέχεσθαι τὴν ὑπὸ τοῦ ἄρσενος, καὶ τὸ ἄρσεν ὡρμημένον ᾖ κοιλίης αὐτῆς τὸ καταβάλλεσθαι φύσιν ῥυθμόν. 20 τὸ δὲ δὴ σκῆνος ξυγκρίνεσθαι καὶ τελειούμενον γίνεται. 21 ξυμφορὴ γὰρ ἀνάγκη 35 κρατερὴ μὲν καλέεται τελεωθῆναι ὥστε τὸ τελειούμενον κατὰ τὸν ῥυθμόν 22 ἄλλως τὸ οὐκ ἀνυστόν. οὔτε γὰρ πως τὸν ῥυθμὸν ὑπερβάλλοντα δεῖ εἶναι οὔτε τοῦτο πάλιν ἐλλιπέα. 23 ἀλλ' εἰπὲ μέσον ῥυθμὸν ἐν πρήγματι μεγάλῳ. 24 ἐς μὲν οὖν μέλλει ἐς ἀνθρώπους ῥυθμὸς ἀφικνέεσθαι, πρῆον λεῖον παρεῖναι, διὰ καὶ ἀνθρώπων ἐπιτήδεια, καὶ προηβῶσι καὶ προγηρῶσί τινες ὅκως καὶ προσγηράσαντες κατὰ νόμον, οἷα ῥυθμὸς καταλύεται. 25 καὶ ἐς τὰ ἐπιτήδεια ὀστέων τε καὶ ἰνέων, καὶ 40 φλεβῶν, καὶ νεύρων, καὶ σπλάγχνων, καὶ νηδύος, καὶ τῶν λοιπῶν, καὶ ἐς συντελέειν. 26 ἀλλὰ ἴσως ἐρέουσί τινες διὰ τί ὀκτάμηνα οὐ ζῇ, οὐ μὴν οὐδὲ τρίμηνα. 27 φλαῦρα ἐόντες καὶ νήπιοι. 28 αὐτίκα γὰρ τὸν αἰῶνα ἤδη μεμοίρηται καὶ φιλέει κατὰ τὰ ὅμοια ῥυθμοῦσθαι καὶ ξυγκρίνεσθαι, 29 ὅκως τὰ καὶ τῶν ἐς γῆν σπειρομένων ἢ φυτευομένων, τὰ μὲν πλείοσιν ἡμέρῃσι, τὰ δὲ ἐν ἐλαχίστῃσιν, ὡς κατὰ χρόνον. 30 χρόνος γὰρ ἕπεται κατὰ ἡλίου περίοδον, καὶ σελήνης ὁριζομένης. 31 οὐδὲ μὲν γὰρ τὰ ἑνδεκά- 45 μηνα καὶ δωδεκάμηνα κατὰ τὸν τοῦτον λόγον. 32 ἐς ὃ ἂν ἄδηλα παιδία· 33 οὐδὲν ὑπὲρ τὸ ἰχνευμένον

do & circa animantia, septimestriaque, perfecta, vitaliaque illic omnia nascuntur. 19 Quamobrem si quæ conceptura est, uti sibi successionem pariat, bene habeat, virque ad eam rem demittendam promtus, præstoque sit, 20 corpus sive corporis alveus creatur, & perficitur. 21 Collatio enim & concordia, validaque necessitas, & vis cogit, uti perficiatur, & adolescat suo satori non dissimile, 22 Nam si major, minorve, & dissimilis forma, & figura sit, illi unde orta est, perfecta non haberetur. 23 Quare dicito, statuitove, medium quid esse in magno negotio, conformationem, rhysmumve. 24 Si ergo conformatio aliqua ad homines perventura est, leni & miti modo perveniat necesse est, perque hominum commoda, si minus, quidam præpubescunt, & præsenescunt, quemadmodum, qui præsanescunt, & si rite, & secundum legem fiat. Conformatioque contabescit, 25 & ad ossium commoda, fibrarum, venarum, nervorum, viscerum, intestinorum, uteri, cæterorumque perfectionem convertitur 26 Sed forsitan aliqui petent, cur octimestria, & trimestria non vivant? 27 quoniam fluxi parvulique sunt, 28 quædam enim sic ævum, & ætatem nacta sunt, & per similia conformari, & discerni consueverunt, 29 quemadmodum, quæ in terra seruntur, & plantantur. quædam enim pluribus, quædam paucioribus diebus nascuntur, secundum tempus. 30 tempus autem solis, & lunæ circuitu perficitur, & sequitur, 31 nec etiam undecimestres, nec duodecimestres, secundum eandem rationem horum vivent, 32 donec pueruli sunt, 33 nihil enim præter sua vestigia, & na-

μον γίγνεται καὶ ἐμμυθιζόμενον. [34] ἀλλὰ ἑκάστῳ ῥυθμὸς ὁ κρείσσων κατὰ νόμον. [35] πάντα γὰρ ἡ μηχάνησις ἐπί τε τοὺς ὀφθαλμοὺς, ἢ τὰ ὦτα, ἢ τὴν ῥῖνα, ἢ τὸ στόμα ἐν τοῖσι ῥυθμοῖς ξυνεχομένη, ἢ κατὰ τὰς ἄλλας ξυγκρίσιας. [36] ὅκως πρὶν νῦν ἀείδρητες ἐόντες κατὰ πάντας γιγνώσκων προλήμψει; [37] ταῦτα οὖν πρότερον ἐννοεύμενον.

& naturam fit, aut adolescit, aut etiamsi quid fabulentur. [34] Sed cujusque conformatio, forma, figurave, & similitudo, sive rhysmos secundum naturalem legem perficitur, & rite finitur. [35] Nam naturalis machinatio cuncta in oculos, vel aures, vel nares, vel os transfert, quæ conformationibus his continetur, vel per alias concretiones, syncrisiesve absumit. [36] Quare nunc periti cum sint, conceptus omnes noscent, quæ prius excogitavi.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΠΤΑΜΗΝΟΥ γνήσιον.

HIPPOCRATIS DE SEPTIMESTRI liber genuinus.

Basil. græc. Foesius sect. III, 15. 235. Basil. lat.

183 pag 44

Οἱ δὲ ἑπτάμηνοι γίνονται [2] ἐν τῇσιν ἑκατὸν ἡμέρῃσι καὶ ὀγδοήκοντα καὶ δύο καὶ προσέτι μορίῳ. [3] ἢν γὰρ τοῦ πρώτου λογίσῃ μηνὸς πεντεκαίδεκα ἡμέρας· [4] τῶν δὲ πέντε μηνῶν ἑκατὸν καὶ τεσσαράκοντα καὶ ἑπτὰ καὶ ἥμισυ ἡμέρας· [5] ἐν γὰρ ἑξήκοντα, μιῆς δεούσης ἡμέρης, ἐγγύτατα δύο μῆνες ἐκτελεῦνται. [6] ἐς τὸν ἕβδομον μῆνα, καὶ πλεῖον ἢ εἴκοσι. [7] ἥμισυ τοῦ ἐνιαυτοῦ καὶ τοῦ ἡμέρης τοῦ μέρεος τῷ μέρει ποσῷ γινομένου, προσγίνονται ἡμέραι. [8] ὁκόταν [οὖν] ἐς τὴν ἀρχὴν τῆς τελειώσεως ἔλθῃ ταύτην, [9] ἀδρυνομένου τοῦ ἐμβρύου καὶ τὴν ἰσχὺν πολὺ ἐπιδιδόντος, ἐν τῇ τελειώσει μᾶλλον ἢ ἐν τοῖς ἄλλοις χρόνοις [10] οἱ ὑμένες, ἐν οἷς κατὰ τὴν ἀρχὴν ἐτράφη, [11] ὥσπερ τῶν σταχύων, ὁπότ' ἐξεχάλασαν πρόσθεν

I 2 25

Septimestres autem nascuntur [2] diebus centum & octoginta duobus ac dimidio, & insuper accedente diei particula. [3] Si enim primi mensis dies quindecim supputaveris,[4] deinde quinque mensium, dies centum quadraginta septem ac ' dimidium : [5] in undesexaginta enim diebus quam proxime duo menses perficiuntur.[6] his igitur sic habentibus, ad septimum mensem supersunt dies, plus quam viginti. [7] Et est tota summa dimidii anni, una cum aliquantula diei parte ad partem accedente.[8] Quum itaque ad hoc perfectionis principium partus pervenerit, [9] maturescente fœtu, & robore multum augescente, in ' perfectione magis quam aliis temporibus,[10] pelliculæ in quibus ab initio nutritus fuit ([11] quemadmodum

II 32 pag 61 5 10

ὅθεν ἀναγκαζόμενοι ἢ τελέως ἐξαδρυνθῆναι τὸν καρπόν. [12] τὰ μὲν ἰσχυρότατα καὶ ἁδρότατα τῶν ἐμβρύων βιησάμενα καὶ διαρρήξαντα τοὺς ὑμένας, ἠνάγκασε τὸν τόκον γενέσθαι. [13] καὶ τὰ μὲν πλεῖστα τούτων ἀπόλλυται. [14] μικρὰ γὰρ ἐόντα τῇ μεταβολῇ μείζονι χρέονται τῶν ἄλλων. [15] καὶ τὴν τεσσαρακονθήμερον κακοπαθείην ἀναγκάζονται κακοπαθεῖν, ἐξελθόντα ἐκ τῆς μήτρης. [16] ἣ καὶ τῶν δεκαμήνων πολλὰ ἀποκτείνει. [17] ἔστι δὲ, ἃ τούτων τῶν ἑπταμήνων περιγίνονται, [ἀλλ'] ἐκ πολλῶν ὀλίγα. [18] ὅτι ὁ λόγος καὶ ὁ χρόνος, ἐς ὃν ἐτράφη ἐν τῇ μήτρῃ, κατέστησεν, [19] ὥστε μετέχειν πάντων, ὧν περ καὶ τὰ τελεώτατα μετέχει, [20] καὶ μάλιστα περιγινόμενα· [21] καὶ ἐξήλλαξε τῆς μητρὸς πρόσθεν κυούσης, [22] ὥστε ἐν τῷ ὀγδόῳ μηνὶ νενοσηλμένα. [23] τούτοις γὰρ τοῖς πόνοις ἢν ἐπιγένωνται, [24] ὥστ' ἐς τὸ ἐμφανὲς ἐλθεῖν τὸ παιδίον, [25] ἀδύνατον περιγενέσθαι, [26] διὰ τὰ πάθεα τὰ προειρημένα, [27] ἅ ἐγώ φημι τοὺς ὀκταμήνους ἀποκτείνειν· [28] πολλοὺς δὲ καὶ τῶν δεκαμήνων. [29] τὰ δὲ πολλὰ τῶν ἐμβρύων τῶν ἐν αὐτῇ τῇ ἡλικίῃ τῶν ἑπταμήνων, [30] ὅταν οἱ ὑμένες χαλῶσι, μετεχώρησαν ἐς τὸ ὑπεῖξαν, [31] καὶ ἐν τούτῳ τὴν τροφὴν ποιέεται. [32] τὰς μὲν τεσσαράκοντα ἡμέρας τὰς πρώτας πονεῦντα, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧσσον, [33] διὰ τὴν μεταβολὴν, ἣν ἐκ τῶν χωρίων τῶν θρεψάντων μεταβάλλεται, [34] καὶ ἀντὶ τοῦ ὀμφαλοῦ εἵλκυσε, καὶ μετεχώρησε, [35] καὶ διὰ τῆς μητρὸς τοὺς πόνους. [36] οἱ γὰρ ὑμένες τεινόμενοι [37] καὶ ὁ ὀμφαλὸς σπασθεὶς ὀδύνας ποιέει τῇ μήτρῃ, [38] καὶ τὸ ἔμβρυον ἐκ τοῦ ἀρ-

modum ſpicarum membranæ laxantur, ad id coactæ anteaquam fructus perfecte matureſcat.) [12] & fortiſſimi ac pleniſſimi fœtus violantes ac dirumpentes pelliculas, partum fieri cogunt, [13] & plurimi ex his pereunt. [14] Quum enim parvi ſint, tranſmutatione majore quam alii utuntur, [15] & quadraginta dierum afflictionem perferre coguntur, ex utero egreſſi, [16] id quod etiam ex decimeſtribus multos peremit. [17] Sunt autem ex his ſeptimeſtribus qui etiam ſuperſtites manent, ex multis pauci. [18] Propterea quod ratio & tempus in quod enutriti ſunt in utero, conſtitit, [19] ut omnium participes ſint, quorum etiam perfectiſſimi participes exiſtunt, [20] maxime qui ſuperſtites manent, [21] & proceſſerunt de matre prius pariente, [22] utpote in octavo menſe ægrotaturi. [23] Si enim in his laboribus ſuccedant, [24] ut in conſpicuum prodeat puer, [25] impoſſibile eſt ſuperſtitem eſſe, [26] ob prædictas affectiones, [27] quas ego octimeſtres perimere dico, [28] imo etiam multos decimeſtres. [29] Cæterum multi fœtus ſeptimeſtris ætatis, [30] quum pelliculæ laxantur, ſecedunt in id quod cedit, [31] & hic alimentum ſumunt, [32] primos quidem quadraginta dies laborantes, alii plus, alii minus; [33] propter permutationem autem ex locis & pelliculis quæ ipſos aluerunt, tranſmutantur, [34] & pro umbilico trahunt & tranſumunt [35] etiam per matrem labores. [36] Pelliculæ enim dum tenduntur, [37] & umbilicus convulſus, dolores matri faciunt. [38] Et fœtus ex antiquo vinculo exſolutus, gravior

πελαγεῦς συνδέσμους ἐκλυθὲν βαρύτερον γίνεται. 39 πολλαὶ δὲ τῶν γυναικῶν καὶ ἐπιπυρεταίνουσι τουτέων γινομένων· 40 αἱ δὲ καὶ ἀπόλλυνται σὺν τοῖς ἐμβρύοις. 41 χρῶνται δὲ πᾶσαι ἐν ὀλίγῳ περὶ τουτέων.

II. Φασὶ δὲ τοὺς ὀγδόους τῶν μηνῶν καὶ χαλεπωτάτως φέρειν τὰς γαστέρας, 2 ὀρθῶς λέγουσαι. 3 ἔστι δὲ ὄγδοος μὴν, οὐ μόνον ὁ χρόνος οὗτος, 4 ἀλλ' εἰς καὶ ἡμέρας προστιθεῖ ἀπὸ τοῦ ἑβδόμου μηνὸς, καὶ τοῦ ἐνάτου, καὶ τοῦ ἐνιαυτοῦ. 5 ἀλλὰ τὰς ἡμέρας οὐχ ὁμοίως οὔτε λέγουσιν, οὔτε γινώσκουσιν αἱ γυναῖκες. 6 πλανῶνται γὰρ διὰ τὸ μήτε κατὰ ταὐτὸ γίνεσθαι, 7 ἀλλ' ὁτὲ μὲν ἀπὸ τοῦ ἑβδόμου μηνὸς πλείονας ἡμέρας προσγίνεσθαι ἐς τὰς τεσσαράκοντα, 8 ὁτὲ δὲ ἀπὸ τοῦ ἐνάτου. 9 ἀνάγκη γὰρ αὐτὸ γίνεσθαι, 10 ὅκως ἂν τύχῃ ἡ γυνὴ ἐν γαστρὶ λαβοῦσα 11 τοῦ μηνός τε 12 καὶ τοῦ χρόνου. 13 ὁ δὲ μὴν ὁ ὄγδοος ἀναμφισβήτητός ἐστι. 14 καὶ τοῦτον γὰρ γίνεται, ὥστε δυσκρίτως ἔχειν. 15 κατ' ἐμὲ, καὶ τὸ μέρος ἐν τοῖς δώδεκα μησὶ, μηνός ἐστιν, 16 ὥστε τοῦτον οὐ μνημόνευτον εἶναι. 17 χρὴ δὲ οὐκ ἀπιστεῖν τῇσι γυναιξὶ περὶ τῶν τόκων. 18 λέγουσι γὰρ ταῦτα, καὶ αἰεὶ λέγουσι, ἅπερ εἰδέουσιν. 19 οὐ γὰρ ἂν πεισθείησαν οὔτ' ἔργῳ, οὔτε λόγῳ, 20 ἀλλ' ὅ,τι γινώσκουσιν ἐν τοῖσι σώμασιν αὐτέων γενόμενον. 21 τοῖς δὲ βουλομένοις ἄλλο λέγειν, ἔξεστιν. 22 αἱ δὲ κρίνουσαι 23 καὶ τὰ νικητήρια διδοῦσαι περὶ αὐτοῦ τοῦ λόγου, 24 αἰεὶ φάσκουσι καὶ φήσουσι τίκτειν 25 καὶ ἑπτάμηνα, 26 καὶ ὀκτάμηνα, 27 καὶ ἐννεάμηνα, 28 καὶ δεκάμηνα, 29 καὶ ἑνδεκάμηνα, 30 καὶ τουτέων τὰ ὀκτάμηνα οὐ περιγίνεσθαι.

Φή-

vior redditur. 39 Multæ vero mulieres etiam febricitant his contingentibus, 40 quædam etiam pereunt una cum foetibus, 41 verum omnes in brevi ex hoc contaminantur ac inquinantur.

II. Aiunt autem & octonos menses difficillime uteros ferre, 2 recte id dicentes. 3 Est autem octavus mensis non solum hoc tempus, 4 sed & dies accedunt à septimo mense, & à nono, & ab ipso anno. 5 Verum dies non similiter, neque dicunt, neque cognoscunt mulieres. 6 Decipiuntur enim ex eo quod non eodem modo fiunt, 7 sed aliquando à septimo mense plures dies accedunt ad quadraginta, 8 aliquando à nono. 9 Tunc enim fieri necesse est, 10 prout contigerit mulierem in ventre concipere, 11 tum mense, 12 tum tempore. 13 Mensis autem octavus minime dubius est, 14 secundum hunc enim contingit, ut judicatio difficilis existat. 15 Et mea sententia pars etiam in undecimo mense, mensis est, 16 ut hic satis memorabilis existat. 17 Porro mulieribus de partubus fidem derogare non oportet, 18 dicunt enim omnia, & semper dicunt, & semper proferunt. 19 Neque enim aut opere, aut sermone persuasæ sunt, 20 sed ex eo quod cognoverunt in corporibus suis contigisse. 21 Licet autem & volentibus aliud dicere. 22 Quæ vero judicio præditæ sunt, 23 & victoriam de hac sententia pronunciant, 24 semper dicunt ac testantur, 25 nasci septimestres, 26 & octimestres, 27 & novimestres, 28 & decimestres, & 29 & undecimestres: 30 & ex his octimestres non superstites manere.

III. Φάσκουσι δὲ καὶ τὰς ἡμισείας πλείστας ἐν τῇ πρώτῃ τεσσαρακονθημέρῳ γίνεσθαι· ² καὶ τἄλλα τὰ καταγεγραμμένα ἐν τῇσι τεσσαρακονθημέροισι καὶ ἐν τοῖσι μησὶν ἑκάστοισιν. ³ ὅταν δὲ τῷ ἑβδόμῳ μηνὶ περιρραγέωσιν οἱ ὑμένες, ⁴ καὶ τὸ ἔμβρυον μεταχωρήσῃ, ⁵ ὑπέλαβον οἱ πόνοι οἱ περὶ τὸν μῆνα τὸν ὄγδοον ξυναλεγόμενοι, καὶ περὶ τὴν ἕκτην τεσσαρακονθήμερον. ⁶ τούτου δὲ τοῦ χρόνου παρελθόντος, ὁπόσοις μέλλει εὖ εἶναι, ⁷ αἱ φλεγμοναὶ ἐλύθησαν καὶ τοῦ ἐμβρύου καὶ τῆς μητρὸς, ⁸ ὥστε γαστὴρ μαλαχθῇ, ⁹ καὶ ὁ ὄγκος ὑποκαταβῇ ἀπὸ τῶν ὑποχονδρίων καὶ τῶν κενεώνων ἐς τὰ κάτω χωρία, ¹⁰ ἐς εὐστροφίην καὶ τὴν ἐπὶ τοὺς τόκους τροπήν. ¹¹ καὶ τὴν ἑβδόμην τεσσαρακονθήμερον ἐνταῦθά ἐστι τὸ πλεῖστον τοῦ χρόνου τὰ ἔμβρυα. ¹² τὰ γὰρ χωρία αὐτοῖς μαλθακά, ¹³ καὶ αἱ μετακινήσιες αὐτοῖς εὐπετέστεραι γίνονται καὶ πυκνότεραι· ¹⁴ καὶ διὰ ταῦτα καθεστᾶσι πρὸς τοὺς τόκους εὐλυτώτεραι. ¹⁵ καὶ πάσης τῆς τεσσαρακονθημέρου ταύτης αἱ γυναῖκες φέρουσι τὰς τελευταίας ἡμέρας εὐπετέστερον τὰς γαστέρας, ¹⁶ ἐς ὃ ἂν ὁρμήσῃ τὸ ἔμβρυον στρέφεσθαι. ¹⁷ μετὰ δὲ ταῦτα αἵ τε ὠδῖνές εἰσι, καὶ οἱ πόνοι ἐπίκεινται, ¹⁸ ἐς ὃ ἂν ἐλευθερωθῇ τοῦ παιδίου καὶ τοῦ ὑστέρου.

IV. Ὁπόσαι δὲ τῶν γυναικῶν ἔτεκον πολλὰ παιδία, ² καί τι αὐτέων ἐγένετο χωλὸν, ³ ἢ τυφλὸν, ⁴ ἢ ἄλλο τι κακὸν ἔχον, ⁵ φάσκουσιν ἐπὶ τῶν τοιουτέων τὸ παιδίον τὸν ὄγδοον μῆνα χαλεπώτερον διαγαγεῖν, ⁶ ἢ ἐφ' ὧν ἔτεκον οὐδὲν κακὸν ἐχόντων. ⁷ τὸ γὰρ ἔμβρυον τὸ πηρωθὲν ἐν τῷ ὀγδόῳ μηνὶ ⁸ ἰσχυρῶς ἐνόσησεν,

III. Dicunt autem & abortus plurimos in primis quadraginta diebus fieri, ² sed & reliqua conscripta his accidere, in quadragenariis, ac in singulis mensibus fieri dicunt. ³ Quum autem septimo mense pelliculæ dirumpantur, ⁴ & fœtus secesserit, ⁵ labores qui circa octavum mensem & sextum quadragenarium, in partu fieri traduntur, corripiunt. ⁶ Hoc autem tempore præterito, quibus bene futurum est, ⁷ inflammationes tum fœtus, tum matris exolvuntur, ⁸ ut venter molliatur, ⁹ & tumor à præcordiis & laterum mollitudine descendat ad locos inferiores, ¹⁰ ad facilem partus tempore progressionem. ¹¹ & septimo sane quadragenario plurimo tempore fœtus isthic existunt. ¹² Nam loci ipsis molles sunt, ¹³ & transmotiones ipsis faciliores ac frequentiores fiunt, ¹⁴ & propterea ad partum magis solubiles consistunt, ¹⁵ & mulieres per hos ultimos dies ex toto quadragenario facilius uteros ferunt, ¹⁶ donec contigerit fœtum verti. ¹⁷ Postea vero dolores partus ac labores incumbunt, ¹⁸ donec à puero & à secunda mulier liberetur.

IV. Quæcunque vero mulieres multos pueros pepererunt, ² & quidam ex ipsis claudus natus est, ³ aut cæcus, ⁴ aut aliud quoddam malum habens, ⁵ ajunt in hoc puero octavum mensem ipsis difficilius transegisse, ⁶ quam in his quos pepererunt nihil mali habentes. ⁷ Fœtus enim mancus in octavo mense ⁸ fortiter

σεν, ⁹ ὥστε καὶ ἀπόστασιν ἐπιγενέσθαι τῆς νούσου. ¹⁰ ὡς καὶ τοῖς ἀνδράσιν αἱ ἰσχυραὶ νοῦσοι ἐποίησαν. ¹¹ ὅσα δ' αὖ τῶν ἐμβρύων ἐν ἄλλῳ χρόνῳ ἰσχυρῶς νοσήσῃ, ¹² ἀπόλλυται πρόσθεν ἢ αὐτέων ἀπόστασιν γενέσθαι. ¹³ ὅτι δ' αὖ τῶν ὀκταμήνων ἐμβρύων μὴ πάνυ σφόδρα νοσήσῃ, ¹⁴ ἀλλὰ καθ' ἕν τι ἐκ τῆς μεθόδου κακοπαθήσῃ, ¹⁵ τὰς μὲν τεσσαράκοντα ἡμέρας διετέλεσεν ἐν ἀσθενείῃ τὰ πλεῖστα ἐν τῇ μήτρῃ, ¹⁶ διὰ τὰς ἀνάγκας τὰς προειρημένας. ¹⁷ γίγνονται δὲ ὑγιαίνοντα. ¹⁸ ὅ τι δ' ἂν γένηται ἐν τεσσαράκοντα ἡμέραις ταύταις, ¹⁹ ἀδύνατον περιγενέσθαι. ²⁰ νοσέοντι γὰρ αὐτέῳ ἔτι ἐν τῇ μήτρῃ ἐπιγένονται αἱ μεταβολαὶ καὶ αἱ κακοπάθειαι μετὰ τὸν τόκον.

v. ¹ Ὅ,τι δ' ἂν ἀπονοσήσῃ ἐν τῇ μήτρῃ ἐς τὸν ἔνατον μῆνα ἔλθῃ, ² καὶ ἐν τούτῳ τῷ μηνὶ γένηται, ³ περιγίνεται. ⁴ περιγίνεται μὲν οὐκ ἔλασσον ἢ ἑπτάμηνα. ⁵ ὀλίγα δὲ καὶ τούτων ἐκτρέφεται. ⁶ οὔτε γὰρ τὴν παχύτητα ἴσχει, ἣν τὰ τελεώτατα ἔχουσιν, ⁷ οὔτε πόνοι οἱ ἐν τῇ μήτρῃ οὐ πάλαι πεπονημένοι εἰσὶν αὐτέοις, ⁸ ὥστε λεπτὸν γενέσθαι. ⁹ σώζεται δ' ἂν μάλιστα, εἰ τῶν ἐννέα μηνῶν γένοιτο ἐν ἐξόδῳ. ¹⁰ ἰσχυρότερον δ' ἂν γένοιτο, ¹¹ καὶ πλεῖστον ἀπέχει τῶν νούσων, τῶν τοῖς ὀκταμήνοις γινομένων. ¹² καὶ γὰρ τὰ ἐν ἑπτὰ τεσσαρακοντάσι τικτόμενα, ¹³ τὰ δεκάμηνα καλεόμενα, ¹⁴ διὰ τοῦτο μάλιστα ἐκτρέφεται, ὅτι ἰσχυρότατά ἐστι, ¹⁵ καὶ πλεῖστον ἀπέχει τῶν γινομένων παιδίων τοῦ χρόνου, ἐν ᾧ κακοπαθῆσι τὰς τεσσαράκοντα ἡμέρας τὰς νοσομένας περὶ τὸν μῆνα τὸν ὄγδοον. ¹⁶ ση-

φηνίζει

ter ægrotavit, ⁹ ut etiam morbus abscessum fecerit, ¹⁰ quemadmodum etiam viris fortes morbi faciunt. ¹¹ Qui vero fœtus in alio tempore fortiter ægrotant, ¹² pereunt prius quam ipsis abscessus ejusmodi fiat. ¹³ Quicunque autem octimestres fœtus non valde ægrotant, ¹⁴ sed juxta unam aliquam partem, ex secessu afflictionem pertulerunt, ¹⁵ quadraginta quidem dies in imbecillitate transigunt, utplurimum in utero, ¹⁶ propter prædictas necessitates: ¹⁷ sani autem fiunt. ¹⁸ Quicunque autem natus fuerit in his quadraginta diebus, ¹⁹ eum impossibile est superstitem manere. ²⁰ ægrotanti enim adhuc ipsi in utero transmutationes & afflictiones postpartum accedunt.

v. ¹. Quicunque vero ægrotans in utero ad nonum mensem pervenerit, ² & in hoc mense natus fuerit, ³ superstes erit. ⁴ Et supervivunt quidem non minus hi quam septimestres, ⁵ verum pauci etiam ex his educantur. ⁶ Neque enim crassitudinem habent, quam perfectissimi habent, ⁷ & labores in utero non diu ante toleraverunt, ⁸ ut tenues evaserint. ⁹ Servabitur autem vel maxime talis puer, si novem mensium fuerit in exitu: ¹⁰ fortior autem evadet etiam is, ¹¹ ut qui plurimum abest à morbis, qui octimestribus accidere solent. ¹² Qui enim in septem quadragenariis nascuntur, ¹³ decimestres appellati, ¹⁴ ob id maxime educantur, quod fortissimi sunt, ¹⁵ & plurimum à vulgarium puerorum tempore absunt, in quo affliguntur quadraginta ægrotantes diebus, circa octavum mensem. ¹⁶ Declarant autem

φησίζει δὲ αὐτὰ τῶν νουσημάτων καὶ παθημάτων τῶν τοῖς ὀκταμήνοις γινομένων καὶ τὰ ἐννεάμηνα λεπτὰ τικτόμενα. [17] κατὰ τὸ πλῆθος γὰρ τοῦ χρόνου ἐγγίνεται καὶ τὸ μέγεθος τοῦ σώματος. [18] ἐκ νούσων [γὰρ καὶ] κακοπαθείης ἀφιγμένα οὐχ ὥσπερ τὰ ἑπτάμηνα τίκτεται σεσαρκωμένα, [19] καὶ τὸ πάχος ἔχοντα εὐτραφέως, [20] ὡς ὅσα διατετελεκότα τὸν χρόνον ἐν τῇ μήτρῃ διεφέρετο.

VI. Ταῖς δὲ γυναιξὶν αἱ συλλήψιες τῶν ἐμβρύων, [2] καὶ οἱ τρωσμοί τε [3] καὶ οἱ τόκοι ἐν τούτῳ τῷ χρόνῳ κρίνονται, [4] ἐν ᾧπερ αἵ τε νοῦσοι, [5] καὶ αἱ ὑγίειαι, [6] καὶ οἱ θάνατοι τοῖς ξύμπασιν ἀνθρώποισιν. [7] ταῦτα δὲ πάντα, τὰ μὲν κατὰ ἡμέρας, [8] τὰ δὲ κατὰ μῆνας ἐπισημαίνει· [9] τὰ δὲ κατὰ τεσσαρακοντάδας ἡμερῶν, [10] τὰ δὲ κατ' ἐνιαυτόν. [11] ἐν πᾶσι γὰρ τοῖσι χρόνοισι τουτέοισιν ἔνεστι πρὸς ἕκαστον [12] πολλὰ μὲν ξυμφέροντα, [13] πολλὰ δὲ πολέμια. [14] ἐκ μὲν οὖν τῶν ξυμφερόντων, αἵ τε ὑγίειαι γίνονται, καὶ αἱ αὐξήσιες· [15] ἐκ δὲ τῶν ἐναντίων, αἵ τε νοῦσοι, καὶ οἱ θάνατοι. [16] αἱ μὲν οὖν ἡμέραι ἐπισημόταταί εἰσιν ἐν τοῖς πλείστοις, αἵ τε πρῶται καὶ ἑβδομαῖαι [17] πολλαὶ μὲν περὶ νούσων, [18] πολλαὶ δὲ καὶ τοῖς ἐμβρύοις. [19] τρωσμοί τε γὰρ γίνονται κατὰ οἱ πλεῖστοι ταύτῃσι ταῖς ἡμέραις. [20] ὀνομάζεται δὲ τὰ τοιαῦτα ἐκρύσιες, ἀλλ' οὐ τρωσμοί. [21] αἱ δὲ ἄλλαι ἡμέραι, ὅσαι ἐντὸς τῶν τεσσαράκοντα, [22] ἐπίσημοι μὲν ἧσσον, [23] πολλαὶ δὲ κρίνουσιν.

VII. Ἐν δὲ τοῖς μησὶ ταὐτά τε καὶ ἐν τῇ ἡμέρῃ γενόμενα ἔνεστι κατὰ λόγον. [2] καὶ καλεύμενα γυναιξὶ ταῖς ὑγιαινούσῃσι φαίνονται καθ' ἕκαστον τῶν μηνῶν, [3] ὡς ἔχοντος τοῦ μηνὸς ἰδίην δύναμιν ἐν τοῖς σώμασιν, [4] ἐξ ὧν δὴ

tem de morbis & afflictionibus octimestrium, etiam novimestres tenues nascentes. [17] Juxta multitudinem enim temporis, etiam magnitudo corporis contingit, [18] ex morborum afflictione progressis: & non velut septimestres carnosi gignuntur, [19] & crassitudinem probe coaltam habentes, [20] ut qui tempus quo in utero gestabantur, sine morbis transegerunt.

VI. Verum enim vero conceptus, [2] & abortus, [3] & partus mulieribus in eo tempore, [4] in quo etiam morbi, [5] & sanitas, [6] & mors omnibus hominibus, fiunt. [7] Hæc vero omnia partim secundum dies, [8] partim secundum menses, [9] partim secundum dierum quadragenarios, [10] partim secundum annum, significationem sui præbent. [11] In omnibus enim his temporibus insunt ad unumquemque, [12] & utilia multa, [13] & hostilia multa. [14] Ex utilibus igitur, sanitas & augmentum contingit: [15] ex contrariis, morbi & mors. [16] Dies quidem igitur maxime insignes in plurimis sunt, primi & septimi, [17] multum potentes in morbis, [18] & multum in fœtibus. [19] Nam plurimi abortus in his diebus fiunt, [20] nominantur autem tales effluxus, non abortus. [21] Verum alii dies intra quadragesimum [22] insignes quidem minus sunt, [23] multi vero judicant.

VII. Cæterum in mensibus, eadem quæ in diebus fiunt, juxta rationem insunt. [2] Menses enim mulieribus sanis singulis mensibus apparent, [3] tanquam peculiarem in corporibus vim mensis habeat. [4] Unde sane septimi

δὴ δὲ οἱ ἕβδομοι μῆνες ταῖς ἐν γαστρὶ ἐχούσῃσι τὰ ἔμβρυα ἐς τὴν ἀρχὴν καθιστᾶσι τῆς τελειώσεως. ⁵ τοῖσι δὲ παιδίοισιν ἐπὴν ἑπτὰ μῆνας τελειώσωσιν ἐοῦσι ⁶ καὶ ἄλλα διαφέροντα γίνονται ἐν τοῖς σώμασι· ⁷ καὶ οἱ ὀδόντες φαίνεσθαι ἄρχονται ἐν τουτέῳ τῷ χρόνῳ.

IIX. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν κρισίμων, ² ἣν ἄρα ἴσως καὶ τοῖς δέ τις συντιθέοιτο. ³ ὁκοῖαι [δὲ] ἐλέχθη, ἱστορίας τε [καὶ χρείας] ἕνεκα εἰρήσθω. ⁴ σκοπεῖν δὲ χρὴ τὸν μέλλοντα ἰητρὸν ὀρθῶς στοχάζεσθαι τῆς τῶν καμνόντων σωτηρίας, ⁵ θεωρέοντα μὲν ἁπάσας πάσας, ⁶ τῶν δὲ ἀρτίων τὴν τεσσαρεσκαιδεκάτην, ⁷ καὶ τὴν ὀγδόην εἰκοστήν, ⁸ καὶ τὴν τεσσαρακοστὴν καὶ δευτέρην. ⁹ οὗτος γὰρ ὁ ὅρος τίθεται τῆς τῆς ἁρμονίης λόγῳ πρός τινων, ¹⁰ καὶ ὁ ἀρτιφυής τε καὶ τέλειος ἀριθμός. ¹¹ δι᾽ ἣν δὲ αἰτίην, μακρότερον ἂν εἴη ἐπὶ τοῦ παρόντος διεξελθεῖν. ¹² θεωρέειν δὲ χρὴ οὕτως. τριάσι τε, καὶ τετράσι. ¹³ ταῖς μὲν τριάσι ξυνημμένας ἁπάσας. ¹⁴ ταῖς δὲ τετράσι δύο μὲν παρὰ δύο ἀσυνημμένας, ¹⁵ δύο δὲ παρὰ δύο συνεζευγμένας. ¹⁶ αἱ δὲ τεσσαρακοντάδες πρῶτον μὲν κρίνουσιν ἐπὶ τῶν ἐμβρύων. ¹⁷ ὅ, τι δ᾽ ἂν ὑπερβάλλῃ τὰς τεσσαράκοντα ἡμέρας τὰς πρώτας, ἐκφεύγει τὰς τρωσμοὺς ἐπὶ παντὸς γινομένους. ¹⁸ πλέονες δὲ γίνονται ἐν τῇ πρώτῃ τεσσαρακοντάδι τρωσμοὶ ἢ ἐν ταῖς ἄλλαις ἁπάσαις. ¹⁹ τοῦ δὲ χρόνου παρελθόντος ἰσχυρότερά ἐστι τὰ ἔμβρυα, ²⁰ καὶ διακρίνεται καθ᾽ ἕκαστα τῶν μελέων τὸ σῶμα. ²¹ καὶ τῶν μὲν ἀρσένων διάδηλα γίνεται πάντα· ²² τὰ δὲ θήλεα ἐς τοῦτον τὸν χρόνον σάρκες φαίνονται ²³ ἀποφύσιας μούνας ἔχουσαι. ²⁴ πλέονα γὰρ

ptimi menses his quæ uterum gestant, fœtus in principium perfectionis constituunt. ⁵ Pueris vero, ubi septem menses à nativitate impleverunt, ⁶ tum alia utilia in corporibus fiunt, ⁷ tum dentes in eo tempore apparere incipiunt.

IIX. Eadem ratio est etiam in decretoriis diebus, ² siquidem fortassis una cum his quos recensui conjungere quis velit, ³ historiæ ac cognitionis gratia referentur. ⁴ Etenim Medicum qui ægrotorum salutem recte conjectare volet, animadvertere quidem oportet ⁵ & contemplari omnes dies, ⁶ ex paribus vero decimumquartum, ⁷ & vigesimum octavum, ⁸ & quadragesimum secundum. ⁹ Hic enim terminus ponitur à quibusdam pro harmoniæ ratione, ¹⁰ & integer ac perfectus numerus: ¹¹ verum ob quam caussam, longius fuerit in præsenti exequi. ¹² Contemplari autem sic oportet per ternarios ac quaternarios, ¹³ ternariis quidem omnibus copulatis, ¹⁴ quaternarios autem duobus disjunctis, ¹⁵ duobus connexis. ¹⁶ At vero quadragenarii primum in fœtibus judicant. ¹⁷ Quisquis enim primos quadraginta dies transmiserit, abortus effugit ex omni causa contingentes: ¹⁸ plures autem fiunt in primo quadragenario abortus, quam in aliis omnibus. ¹⁹ Hoc autem tempore præterito, fœtus fortiores sunt, ²⁰ & ipsorum corporis per singula membra discretio fit: ²¹ & masculorum quidem partes omnes valde conspicuæ fiunt: ²² fœmellæ vero in hoc tempus, carnes apparent exortus ²³ ac processus solum habentes. ²⁴ Similia enim longius tempus in simili

γὰρ χρόνον πολὺ ὅμοια ἐν τῷ ὁμοίῳ ἐστι, [25] καὶ κρίνεται βραδύτερον, [26] διὰ τὴν συνήθειάν τε καὶ φιλότητα. [27] καίτοι τά γε ἄλλα, ὅταν χωρισθῶσι τῆς μητρὸς, [28] αἱ θυγατέρες τῶν κούρων θᾶσσον ἡβῶσι, [29] καὶ φρονέουσι, [30] καὶ γηράσκουσι, [31] διὰ τὴν ἀσθένειάν τε τῶν σωμάτων, [32] καὶ τὴν δίαιταν.

IX. Ἄλλη δὲ τεσσαρακοντὰς, [2] ἐν ᾗ περὶ τὸν ὄγδοον μῆνα τὰ ἔμβρυα ἐν τῇ μήτρῃ νοσεῖ, περὶ ὧν ὁ λόγος λέγεται ὁ δὲ σύμπας. [3] τρίτη δὲ, [4] ἐν ᾗ τὰ παιδία, ὅταν γένηται καὶ κακοπαθήσωσι, [5] ἢν διαφύγῃ τὰς τεσσαράκοντα ἡμέρας, [6] ἐφάνη ἰσχύοντα δῆτα μᾶλλον, καὶ φρονέοντα. [7] καὶ γὰρ τὰς αὐγὰς ὁρᾷ σαφέστερον, [8] καὶ τὸν ψόφον ἀκούει, [9] πρόσθεν μὴ δυνάμενα, [10] ὡς ἐπίδοσιν ἔχοντος τοῦ χρόνου τούτου κατὰ τὰ ἄλλα, [11] καὶ κατὰ τὴν φρόνησιν τὴν διὰ τοῦ σώματος. [12] τὸ μὲν γὰρ ἴδιον φρόνημα δῆλόν ἐστιν ἐνὸν ἐν τῷ σώματι, ἔν γε τῇ πρώτῃ ἡμέρῃ. [13] ἔν τε γὰρ τοῖς ὕπνοισιν ἐξ ἐσιν εὐθέως, ἐπὴν γένωνται, γελῶντα φαίνεται τὰ παιδία καὶ κλαίοντα. [14] ἐγρηγορότα δὲ, αὐτόματα ὅτε γελᾷ, ὅτε κλαίει, πρόσθεν ἢ τεσσαράκοντα ἡμέραι γένοιντο. [15] οὐδὲ γελᾷ ψαυόμενά τε καὶ ἐρεθιζόμενα πρόσθεν ἢ αὐτὸς ὁ χρόνος οὗτος γένηται. [16] ἀμβλύνονται γὰρ αἱ δυνάμιες ἐν ταῖς μύξῃσι.

X. Κεῖται ἀθάνατος διὰ τῆς μοίρης ἔλαχεν. [2] ὥστε παράδειγμα τοῖς πᾶσιν εἶναι, [3] ὅτι πάντα φύσιν ἔχει ἐκ τῶν αὐτέων ἐόντα, μεταβολὰς ἔχειν διὰ χρόνων τῶν ἱκνευμένων. [4] σαφηνίζεται δὲ ἐν ἑκάστοισι ἄλλο τι τῶν γινομένων καὶ ἀπογινομένων. [5] ἐν δὲ τῷ ἐνιαυτῷ τελευμένῳ [6] πολλαὶ μὲν νοῦσοι γίνονται, [7] πολλαὶ δὲ ὑγιεῖαι, [8] κατὰ λόγον τῶν χρόνων περὶ

simili sunt, [25] & tardius discernuntur, [26] propter consuetudinem & amicitiam: [27] quanquam alias quum à matre segregatæ fuerint, [28] filiæ citius quam filii pubescant, [29] & sapiant, [30] ac senescant, [31] propter corporum imbecillitatem, [32] & victus rationem.

IX. Alter quadragenarius est, [2] in quo circa octavum mensem fœtus in utero ægrotant, de quibus hic totus sermo institutus est. [3] Tertius est, [4] in quo ubi nascantur pueri etiam male afflicti, [5] si effugerint quadraginta dies; [6] apparent magis robusti ac sapientes. [7] Nam & splendores clarius vident, [8] & strepitum audiunt, [9] quod prius non potuerunt, [10] tanquam incrementum habeat hoc tempus, cum juxta alia, [11] tum juxta sapientiam ex corpore elucescentem. [12] Peculiarem quidem sapientiam in corpore inesse manifestum est, in prima sane die. [13] Nam in somnis, statim ubi nati sunt pueri, ridere & plorare videntur. [14] Vigilantes quoque sua sponte statim rident ac plorant, prius quam quadraginta dies transeant. [15] Non rident autem, etiamsi titillentur ac irritentur, priusquam hoc ipsum tempus transeat. [16] hebetantur enim vires in muccis.

X. Quanquam mors etiam per fatum sit sorte designata [2] ut hoc exemplo omnibus sit, [3] quod omnia existentia quæ naturam ex iisdem habent, transmutationes per tempora venientia habeant. [4] Declaratur autem in singulis, quum alia nascantur, alia corrumpantur. [5] Porro anno finiente [6] multi quidem morbi fiunt, [7] multæ etiam sanitates, [8] juxta temporis rationem ad menses,

περὶ τοὺς μῆνας τι καὶ τὰς ἡμέρας ἑκάστας. [9] Ταῖς ἑβδόμαις καὶ τ' 44 ἄλλα πολλὰ γίνεται διαφέροντα τοῖς σώμασι, [10] τοῖσι δὲ παιδίοισιν οἱ ὀδόντες ἐκπίπτουσι, καὶ ἕτεροι φύονται. [11] τὰ γὰρ ἐπὶ σώμασι τάδε γράψω.

ses, & ad singulos dies. [9] Septe- 44 nariis autem annorum, cum alia multa insignia corporibus fiunt, [10] tum dentes pueris excidunt, & alii nascuntur. [11] Quæ enim in corporibus fiunt, ea scribam.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΟΚΤΑΜΗΝΟΥ.

HIPPOCRATIS DE OCTIMESTRI PARTV.

Basil. græc. Foesius sect. III. 39. 258. Basil. lat.

197 pag 46 ΠΕΡΙ δὲ τῶν ὀκταμήνων γινομένων φημὶ, [2] διὰ τὰς ἐφεξῆς κακοπαθείας γινομένας ἀδυνάτους εἶναι περιφέρειν τὰ παιδία· [3] καὶ διὰ τοῦτο μὴ περιγίνεσθαι τὰ ὀκτάμηνα. [4] συμβαίνει γὰρ αὐτοῖς ἐφεξῆς κακοπαθεῖν, [5] τήν τε ἐν 45 τῇ μήτρῃ γινομένην κακοπάθειαν, [6] καὶ τὴν ὅταν ὁ τόκος γένηται. [7] καὶ διὰ τοῦτο τῶν ὀκταμήνων οὐδ' ἓν περιγίνεται. [8] ἐπεὶ καὶ τὰ δεκάμηνα καλεόμενα λέγω ἐν ἑπτὰ τεσσαρακονθημέροις ἡμέρῃσι, μᾶλλον τίκτεσθαι, [9] καὶ μάλιστα περιστρέφεσθαι. [10] καὶ γὰρ τελειότατόν ἐστιν ἐν ταῖς πρώταις τεσσαράκοντα ἡμέραις. [11] ἐπὴν δὲ γένηται πλείω, ἀπόλλυται. [12] ἀναγκάζεται γὰρ πολλὰ μεταλαμβάνοντα ἐν ὀλίγῳ χρόνῳ πολλὰ νοσεῖν, [13] ἐξ ὧν οἱ θάνατοι γίνονται.

47 II. Ἄρχεται δὲ πονέειν τὸ παιδίον πρὸ τοῦ τόκου γινόμενον, [2] καὶ κινδυνεύειν ἀπολέσθαι, ὅταν ἐν τῇ μήτρῃ στρέφηται. [3] φύεται γὰρ πάντα ἄνω τὴν κεφαλὴν ἔχοντα. [4] τίκτεται δὲ πολλὰ ἐπὶ κεφαλὴν, [5] καὶ ἀσφαλέστερον ἀπαλλάσσει [6] τῶν ἐπὶ πόδας

DE octimestri partu sic 1 sentio. [2] Impossibile esse 37 ut duas consequenter succedentes afflictiones pueri ferre possint, [3] & propterea octimestris non superstites manere. [4] Contingit enim ipsos consequenter affligi, [5] tum ea quæ in utero fit afflictione, [6] tum ea quæ in partu accedit, [7] & ob id nullus octimestris vitalis est. [8] Insuper & decimestres appellatos, in septem quadragenariis dierum magis in lucem edi sentio, [9] & maxime contingere ut educentur. [10] Nam perfectissimus est fœtus in primis quadraginta diebus: [11] ubi vero plures accesserint, perit. [12] Coguntur enim multa in pauco tempore assumentes ac perferentes, multum ægrotare, [13] ex quibus mors consequitur.

II. Incipit autem laborare 2 puer ante partum, [2] & interitus periculum subit, quum in utero vertitur. [3] Producuntur enim omnes sursum habentes caput. [4] Pariuntur autem multi 3 in caput, [5] & securius discedunt ac liberantur his [6] qui in pedes

πόδας τικτόμενα. 7 τὰ γὰρ συγκαμπτόμενα τοῦ σώματος οὔ που κωλύει ἐπὶ κεφαλὴν ἰόντος τοῦ παιδίου. 8 ἀλλὰ μᾶλλον, ὅταν ἐπὶ πόδας ὁρμήσῃ, τὰ ἐμφράγματα γίνονται. 9 αἱ γὰρ στροφαὶ ἐν τῇ γαστρὶ, 10 καὶ ἄλλος κίνδυνος. 11 καὶ οἱ ὀμφαλοὶ πολλάκις δὴ τῶν παιδίων ἐφάνησαν περὶ τοὺς τραχήλους. 12 ἢν γὰρ κατὰ τὸ μέρος, ὁπότερον ἂν τύχῃ, ὁ ὀμφαλὸς τῇ μήτρῃ παρατεταμένος, μᾶλλον ταύτῃ τὸ παιδίον τῆς κεφαλῆς τὴν περιαγωγὴν τοῦ ὀμφαλοῦ στρεφόμενον, ποιήσεται ἢ περὶ τὸν αὐχένα. 13 ἢν δὲ κατὰ τὸν ὦμον τὴν περιβολὴν τοῦ ὀμφαλοῦ ἀντιτείνῃ. 14 τούτου δὲ γινομένου, καὶ τὴν μητέρα ἀνάγκη πονῆσαι μᾶλλον, 15 καὶ τὸ παιδίον ἢ ἀπολέσθαι, 16 ἢ χαλεπώτερον ἐξελθεῖν. 17 ὥστε ἤδη καὶ πολλὰ ἔνδοθεν τὴν ἀρχὴν τῆς νούσου τῶν παιδίων ἦλθεν ἔχοντα. 18 ἐξ ὧν τὰ μὲν ἀπώλετο· 19 τὰ δὲ νοσήσαντα περιεγένετο.

III. Ὁκόσα δ' ἂν εὐπορήσῃ, 2 καὶ ἀσφαλέως, 3 καὶ ἐς τὸ ἐμφανὲς ἐξίῃ, 4 ἀνεθέντα ἐξαίφνης ἐκ τῆς ἀνάγκης τῆς ἐν τῇ γαστρὶ, 5 παχύτερα καὶ μείζω παραυτίκα ἢ κατὰ λόγον ἐγένετο, 6 οὐκ αὐξήματος, 7 ἀλλ' οἰδήματός τινος γινομένου, 8 ἐξ ὧν δὴ πολλὰ ἀπώλετο. 9 ἢν γὰρ μὴ στηρίζῃ τὸ οἴδημα θᾶσσον ἢ τριταῖον, ἢ ὀλίγῳ πολυχρονιώτερον, νοῦσοι γίνονται ἀπ' αὐτοῦ. 10 ὥστε τροφαὶ καὶ ἀναπνοαὶ σφαλεραὶ μεταλλασσόμεναι. 11 ἢν τι γὰρ νοσηρὸν ἐπάγωνται, 12 κατὰ τὸ στόμα καὶ κατὰ τὰς ῥῖνας ἐπάγονται. 13 καὶ ἀντὶ τοῦ τοσαῦτα εἶναι τὰ ἐσιόντα, ὅσα ἐξαρκέει, 14 καὶ μὴ περιγίνεσθαι, πολλῷ πλέω εἰσέρχεται. 15 ὥστε ἀναγκάζεσθαι ὑπὸ τοῦ πλήθεος τῶν ἐσιόντων, 16 καὶ ὑπὸ τῆς διαθέσιος, ἣν

pedes pariuntur. 7 Flexibiles enim corporis partes non impedimento ſunt, puero in caput exeunte. 8 Verum quum in pedes prodierit, obturamenta contingunt: 9 Verſiones ſcilicet in utero, 10 & alia pericula, 11 & umbilici puerorum jam ſæpe circa colla apparuerunt. 12 Si enim juxta partem quamcunque umbilicus fuerit in utero porrectus, magis hac parte puer umbilici circumactionem, dum vertitur, faciet, quam circa cervicem. 13 Si vero juxta humerum, umbilici circumactionem retrahit. 14 hoc autem ubi fit, etiam matrem magis laborare neceſſe eſt, 15 & puerum aut perire, 16 aut difficilius exire. 17 Quare multi jam pueri principium morbi intus nacti prodiere, 18 & conſequenter alii perierunt, 19 alii morbidi supervixerunt.

III. Quicunque vero probe 2 ac tuto prodierint, 3 & in conſpicuum exierint, 4 derepente ex neceſſitate in ventre liberati, 5 & craſſiores ac majores quam pro ratione ſtatim exiſtunt, 6 his non ex augmento, 7 ſed laxo tumore id contingit, 8 & multi ſani ex his pereunt. 9 Si enim tumor non reſidat citius quam tertio die, aut paulo ſerius, morbi ex ipſo fiunt. 10 Quare etiam alimenta ac reſpirationes periculoſe mutantur. 11 Si quid enim morbidum inducunt, 12 per os & per nares inducunt: 13 & pro eo quod tanta ingerantur edulia quanta ſufficiunt, 14 & ea etiam non ſuperentur, multo plura ingeruntur: 15 ut neceſſe ſit & cogantur præ ingeſtorum copia, 16 & præ ipſa adeo affectione, qua pueri corpus

ἐν διαφέρει) τὸ σῶμα τοῦ παιδίου, 17 ὥστε ἤδη τὰ μὲν κατὰ τὸ στόμα τε καὶ τὰς ῥῖνας πάλιν ἐξιέναι, 18 τὰ δὲ κατὰ τὸ 20 ἔντερον καὶ τὴν κύστιν κάτω παρεξαυθῆναι, 19 πρόσθεν οὐδενὸς τουτέων οὕτως γινομένων. 20 καὶ αὐτὸ πνευματοῦταί τε 21 καὶ χυμῶν 22 οὕτω συγγενέων· 23 οἷς δ᾽ ἀνάγκη ἐν τῇσι μήτρῃσι γίνεσθαι συνήθειάν τε ἔχοντα καὶ εὐμένειαν· 24 πᾶσι ξείνοις χρῆται, 25 ὠμοτέροισι καὶ ξηροτέροισι, 26 καὶ ἧσσον ἐξηνθρωπισμένοισιν, 27 ἐξ ὧν ἀνάγκη πόνους γίνεσθαι πολλούς· 28 πολλοὺς δὲ καὶ θανάτους. 29 ἐπεὶ καὶ τοῖς ἀνδράσι πολλάκις αἱ μεταλλαγαὶ τῶν χωρέων τε καὶ τῶν διαιτημάτων, νούσους ποιέουσιν. 30 ὁ δ᾽ 25 αὐτὸς λόγος ἐστὶ καὶ περὶ τῶν ἐσθημάτων. 31 ἀντὶ γὰρ τοῦ σαρκὶ καὶ χυμοῖς ἠμφιέσθαι χλιεροῖς τε καὶ ὑγροῖς καὶ συγγενέσιν, 32 τοιαῦτα ἠμφίενται τὰ παιδία, οἷά περ οἱ ἄνδρες.

IV. Ὁ δὲ ὀμφαλὸς, 2 δι᾽ οὗ αἱ εἴσοδοί εἰσι τοῖσι παιδίοισι, 3 μοῦνον τοῦ σώματος τῇ μήτρῃ προσέρχεται. 4 διὰ τουτέων καὶ κοινωνεῖ τῶν ἐσιόντων. 5 τὰ δ᾽ ἄλλα ξυμμεμύκε 6 καὶ οὐκ ἀνεστομωμένα ἐστὶ πρόσθεν, 7 ἢ ἐν ἐξόδῳ ᾖ τὸ παιδίον ἐκ τῆς γαστρός. 8 ὁκόταν δὲ ἐν ἐξόδῳ ᾖ, 9 τὰ μὲν ἄλλα ἀνεστόμωται, 10 ὁ δὲ ὀμφαλὸς λεπτύνε-30 ταί τε καὶ ξυμμεμύκε, 11 καὶ ἀποξηραίνεται. 12 ὥσπερ δὲ τοῖς ἐκ τῆς γῆς φυομένοις οἱ καρποὶ ἁδρυνόμενοι ἀποκρίνονται καὶ ἀποπίπτουσι κατὰ τὴν διάφυσιν· 13 οὕτω καὶ τοῖσι παιδίοισι ἁδρυνομένοις τε καὶ τελέοις γινομένοις ὁ μὲν ὀμφαλὸς ξυμμέμυκε, 14 τὰ δ᾽ ἄλλα ἀνεστομώθη, 15 ὥστε ἐσδέχεσθαί τε τὰ ἐσιόντα, 16 καὶ ἐξόδους ἔχειν κατὰ φύσιν, 17 ἥπερ ἀνάγκη τοὺς ζῶντας χρῆσθαι. 18 ἕκα-

pus afflictum sit, 17 alia quidem 10 per os & nares rursus exire, 18 alia vero per intestinum ac vesicam inferne transire, 19 antea nullo horum ita contingente. 20 Sed & pro flatibus ac spiritibus, 11 21 & humoribus 22 ita cognatis, 23 cum quibus necesse est in utero consuetudinem ac benevolentiam habuisse, 24 omnibus peregrinis utitur, 25 crudioribus ac ficcioribus, 26 & minus mansuetis, 27 ut necesse sit dolores oboriri multos, 28 plerisque etiam mortes: 29 quandoquidem etiam viris transmutationes locorum ac victus, morbos faciunt. 30 Eadem ratio est & de vestibus. 31 12 Pro eo enim quod carne & humoribus induti fuerunt, iisque tepidis ac liquidis & cognatis, 32 tales vestes pueri induunt quales ipsi viri.

IV. At vero umbilicus 2 per quem alimenti ac spiritus ingressus pueris contingunt, 3 solus ex 13 omni corpore utero adhæret, 4 & per hunc introitus ac ingressus ingredientium particeps fit, 5 reliquæ partes connivent, 6 & non prius apertæ sunt, 7 quam ubi in exitu fuerit puer ex ventre. 8 Quum autem in exitu fuerit, 9 reliquæ omnes aperiuntur, 10 verum umbilicus attenuatur, & connivet 11 ac resiccatur. 12 Quemadmodum autem in his quæ ex terra nascuntur, fructus pleni ac maturi secernuntur ac deci-14 dunt, juxta discriminationem qua parte inhærent: 13 sic etiam pueris maturis ac perfectis, umbilicus quidem connivet ac clauditur, 14 reliqua vero aperiuntur, 15 ut & ingredientia suscipiant, 16 & exitus habeant secundum naturam, 17 quibus necesse est viventes uti. 18 Singula

M enim

στα

σεαι γὰρ χωρίζεσθαι ῥέπονται, 19 καὶ τὰς συλλοχίας. 20 κράτιστα δὲ τὰ τῷ ἡλίῳ ξυντροφώτατα.

V. Οἱ δὲ δεκάμηνοι τῶν τόκων καὶ ἑνδεκάμηνοι ἐκ τῶν ἑπτὰ τεσσαρακονθημέρων τὸν αὐτὸν τρόπον γίνονται, 2 ὡς καὶ ἐκ τοῦ ἡμίσεος τοῦ ἐνιαυτοῦ οἱ ἑπτάμηνοι. 3 ταῖς γὰρ πλείσταις τῶν γυναικῶν ἀναγκαῖόν ἐστιν ἐν γαστρὶ λαμβάνειν μετὰ τὰ καθάρσια, ὅταν ᾖ ἡ λύσις. 4 δεῖ τοίνυν τῇ γυναικὶ χρόνον διδόναι τοῦ μηνὸς, ἐν ᾧ αὐτῇ ἡ κάθαρσις ἔσται. 5 καὶ ὁ χρόνος οὗτος ἧσιν ἐλάχιστος γίνεται, τρεῖς ἡμέραι· 6 ταῖς δὲ πλείσταις καὶ πολὺ πλείονες. 7 ἔστι δὲ καὶ ἄλλα πολλὰ κωλύματα 8 καὶ τοῖς ἀνδράσιν, ἐξ ὧν βραδύνεται ἡ σύλληψις. 9 χρὴ δὲ ἐν τοῖς μάλιστα καὶ τόδε λογίζεσθαι· 10 ὅτι ἡ νουμηνίη, ἡμέρη μία ἐοῦσα, ἐγγύτατα τριηκοστημόριόν ἐστι τοῦ μηνός· 11 αἱ δὲ δύο ἡμέραι, σχεδὸν πεντεκαιδεκατημόριον τοῦ μηνός· 12 αἱ δὲ τρεῖς ἡμέραι, δεκατημόριον τοῦ μηνός· 13 τὰ δ' ἄλλα κατὰ λόγον τούτων. 14 καὶ οὐχ οἷόν τε ἐν τοῖς ἐλάσσοσί τε μορίοις μᾶλλον γίνεσθαι, 15 οὔτε τὴν λύσιν τῶν καταμηνίων, 16 οὔτε τὴν σύλληψιν τῶν ἐμβρύων.

VI. Ἐκ τούτων οὖν ἁπάντων ἀναγκαῖόν ἐστι ταῖς πλείσταις τῶν γυναικῶν, 2 περὶ διχομηνίην ἐν γαστρὶ λαβούσαις, καὶ πορρωτέρω, 3 ὥστε πολλάκις δοκεῖν ἐπιλαμβάνειν τοῦ ἑνδεκάτου μηνὸς, τὰς ὀγδοήκοντα καὶ διηκοσίας. 4 τοῦτο γάρ ἐστιν ἑπτὰ τεσσαρακοντάδες. 5 ὅτι γὰρ ἢν ἔξω τῆς διχομηνίης ξυλλαμβάνῃ ἡ γυνὴ, 6 τοῦτο πᾶν ἀναγκαῖόν ἐστι τοῦ ἑνδεκάτου μηνὸς ἐπιλαμβάνειν, 7 ἵνα περ ἐς τελευταίην περίοδον καταστῇ.

ΙΠΠΟ-

enim separantur, 19 juxta modum quo agmina congregantur repentia: 20 optima autem sunt, quæ maxime soli connutrita sunt.

v. Cæterum decimestres & undecimestres partus, ex septem quadragenariis eodem modo fiunt, 2 velut ex dimidio anno septimestres. 3 Plurimis enim mulieribus necessarium est in ventre concipere, post menstrua purgamenta, ubi ab his exsolutæ fuerint. 4 Oportet igitur mulieri tempus dare mensis, in quo ipsa purgatio continget: 5 & hoc tempus quibus brevissimum fit, tres sunt dies. 6 plerisque autem multo plures. 7 Sunt autem & alia multa impedimenta, 8 etiam in viris, ex quibus conceptus retardatur. 9 Oportet autem vel maxime hoc considerare, 10 quod novilunium, quod dies unus existit, exactissime trigesima mensis pars est: 11 duo autem dies, ferme quindecima mensis pars sunt. 12 Tres vero dies, pars mensis decima sunt, 13 & reliqua juxta horum rationem. 14 & non est possibile in paucioribus partibus fieri, 15 neque menstruorum solutionem, 16 neque fœtuum conceptionem.

vi. Ex his igitur omnibus necessarium est plerasque mulieres 2 circa plenilunium, & ultra in ventre concipere, 3 ut ducenti & octoginta dies, sæpe undecimum mensem apprehendere videantur, 4 tot enim dies septem quadragenarios constituunt. 5 Nam quum ultra plenilunium mulier concipit, 6 necesse est eum conceptum undecimum mensem attingere ac apprehendere, 7 quoad ultimum circuitum perveniat.

HIPPO-

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΔΙΑΙΤΗΣ τὸ πρῶτον.

HIPPOCRATIS DE DIÆTA liber primus.

Basil. græc. Foesius sect. IV. 6. 340. Basil. lat.

390 pag. 81 Εἰ μέν μοί τις ἐδόκει τῶν πρότερον ξυγγραψάντων περὶ διαίτης ἀνθρωπίνης τῆς πρὸς ὑγιείην [2] ὀρθῶς ἐγνωκὼς ξυγγεγραφέναι πάντα διὰ παντὸς, [3] ὁκόσα δυνατὸν ἀνθρωπίνῃ γνώμῃ περιληφθῆναι, [4] ἱκανῶς ἄν μοι εἶχε, ἄλλων ἐκπονησάντων γνῶναι ὀρθῶς ἔχοντα, καὶ τούτοισι χρέεσθαι, [5] καθότι ἕκαστον αὐτῶν ἐδόκει χρήσιμον εἶναι. [6] νῦν δὲ πολλοὶ μὲν ἤδη ξυνέγραψαν, [7] οὐδεὶς δὲ ἔγνω ὀρθῶς, καθότι ἦν αὐτοῖς ξυγγραπτέον. [8] ἄλλοι δὲ ἄλλο ἐπέτυχον· [9] τὸ δὲ ὅλον, οὐδείς πω τῶν πρότερον. [10] μεμφθῆναι μὲν οὖν οὐδενὶ αὐτῶν ἄξιόν ἐστιν, εἰ μὴ ἐδυνήθησαν ἐξευρεῖν· [11] ἐπαινέσαι δὲ μᾶλλον πάντας, ὅτι ἐπεχείρησαν ζητῆσαι. [12] ἐλέγχειν μὲν οὖν τὰ μὴ ὀρθῶς εἰρημένα, οὐ παρεσκεύασμαι· [13] προσομολογεῖν δὲ τοῖς καλῶς ἐγνωσμένοισι διανενόημαι. [14] ὁκόσα μὲν οὖν ὀρθῶς ὑπὸ τῶν πρότερον εἴρηται, οὐχ οἷόν τε ἄλλως πως ἐμὲ ξυγγράψαντα ὀρθῶς συγγράψαι. [15] ὁκόσα δὲ μὴ ὀρθῶς εἰρήκασιν, ἐλέγχων μὲν ταῦτα διότι οὐχ οὕτως ἔχει, οὐδὲν περανέω· [16] ἐξηγεύμενος δὲ καθότι αὐτῶν μοι δοκέει ἕκαστον ὀρθῶς ἔχειν, δηλώσαι βούλομαι. [17] διὰ τοῦτο δὲ τὸν λόγον τοῦτον προτίθεμαι, [18] ὅτι πολλοὶ τῶν ἀνθρώπων, ὁκόταν τινὸς προτέρου ἀκούσωσι περί τινος ἐξηγευμένου,

[1] Si quis mihi ex prioribus qui de diæta humana ad sanitatem conferente scripserunt, [2] recte cognovisse ac omnia per totum, [3] quantum humanæ menti possibile est, conscripsisse videretur: [4] satis esset mihi aliorum laboribus, quos nossem, recte habere, uti, [5] prout singula utilia esse viderentur. [6] Nunc vero multi quidem jam scripserunt, [7] nullus autem recte novit, quidnam fuerit ipsis scribendum. [8] Et alii quidem aliud assequuti sunt; [9] verum totum nullus adhuc ex prioribus. [10] Immerito autem ullus aliquis ipsorum reprehendatur, propterea quod invenire non potuerint. [11] Imo laudandi potius omnes, quod investigare conati sunt. [12] Itaque redarguere ea, quæ non recte dicta sunt, minime institui: [13] verum his quæ sufficienter cognita sunt, testimonium præbere animus est. [14] Quæcunque quidem igitur recte a prioribus dicta sunt, ut non sit possibile me aliter conscribere, recte conscribam. [15] Quæcunque vero non recte dixerunt, siquidem redarguam hæc quod non sic se habent, nihil perfecero: [16] verum exponendo qua de caussa singula ipsorum recte mihi habere videntur, declarare volo. [17] Propterea vero hunc sermonem præpono, [18] quæ multi homines ubi audierint aliquem

372 pag. 124

γενομένου, [19] οὐκ ἀποδέχον") τὸν ὕστερον περὶ τούτων διαλεγόμενον, [20] οὐ γινώσκοντες, ὅτι τῆς αὐτῆς διανοίας ἐστὶ γνῶναι τὰ ὀρθῶς εἰρημένα, [καὶ μὴ ὀρθῶς εἰρημένα δηλῶσαι.] [21] ἐγὼ γοῦν, ὥσπερ εἶπον, 35 τοῖσι μὲν ὀρθῶς εἰρημένοισι προσομολογήσω· [22] τὰ δὲ μὴ ὀρθῶς εἰρημένα ἐγνωσμένα δηλώσω, ὁκοῖά ἐστιν. [23] ὁκόσα δὲ μηδὲ ἐπεχείρησε μηδεὶς τῶν πρότερον δηλῶσαι, ἐγὼ ἐπιδείξω καὶ ταῦτα ὁκοῖά ἐστι.

1. Φημὶ δὲ δεῖν τὸν μέλλοντα ὀρθῶς ξυγγράφειν περὶ διαίτης ἀνθρωπίνης, [2] πρῶτον μὲν παντὸς φύσιν ἀνθρώπου γνῶναι καὶ διαγνῶναι. [3] γνῶναι μὲν, ἀπὸ τίνων ξυνέστηκεν ἐξ ἀρχῆς· [4] διαγνῶναι δὲ," ὑπὸ τίνων μερέων κεκράτη"). [5] εἰ μὴ γὰρ τὴν ἐξ ἀρχῆς ξύστασιν ἐπι-40 γνώσεται), [6] καὶ " τὸ 'ἐπικρατέον ἐν τῷ σώματι, [7] οὐχ οἷός τ' ἂν εἴη τὰ ξυμφέροντα τῷ ἀνθρώπῳ προσενεγκεῖν. [8] ταῦτα μὲν οὖν χρὴ γινώσκειν τὸν ξυγγράφοντα. [9] μετὰ δὲ ταῦτα, σίτων καὶ ποτῶν ἁπάντων, [10] οἷσι διαιτώμεθα, δύναμιν ἥντινα ἕκαστα ἔχει, [11] καὶ τὴν κατὰ φύσιν, [12] καὶ τὴν δι' ἀνάγκην, [13] καὶ τέχνην ἀνθρωπίνην. [14] δεῖ γὰρ ἐπίστασθαι τῶν τε ἰσχυρῶν φύσει ὡς χρὴ τὴν δύναμιν ἀφαιρέεσθαι. [15] τοῖσι δὲ ἀσθενέσιν, ὅκως χρὴ ἰσχὺν προστιθέναι διὰ τέχνης, [16] ὅκου ἂν 45 ὁ καιρὸς ἑκάστων παραγένηται). [17] γνόντι δὲ τὰ εἰρημένα οὐκ αὐτάρκης ἡ θεραπείη τοῦ ἀνθρώπου. [18] διότι οὐ δύναται ἐσθίων ἄνθρωπος ὑγιαίνειν, ἢν μὴ καὶ πονέῃ.

11. Ὑπεναντίας μὲν γὰρ ἀλλήλοισιν ἔχει τὰς δυνάμιας, σῖτα καὶ πόνοι. [2] " ξυμφέρονται 6 δέ πως ἄλληλα ἀλλήλοισι πρὸς ὑγιείην.

prius de re aliqua exposuisse, [19] eum qui de his posterius differit non recipiunt, [20] non cognoscentes quod ejusdem intelligentiæ est, ea quæ recte dicta sunt posse judicare, [& non recte dicta declarare.] [21] Ego igitur velut dixi, recte quidem dictis testimonium præbebo, [22] quæ vero non recte dicta sunt ac cogni- 20 ta, qualia sint declarabo. [23] Quæ autem nullus ex prioribus explanare tentavit, ea etiam ipsa qualia sint demonstrabo.

1. Porro eum qui de victu humano scripturus est, censeo [2] primum quidem totius hominis naturam nosse ac dijudicare oportere. [3] Nosse quidem ex quibus ab initio constitutus est, [4] dijudicare vero quæ in ipso partes dominium obtineant. [5] Si enim constitutionem ab initio non cognoscet, [6] & id quod in cor- 25 pore dominatur, [7] non poterit ea quæ homini conducunt offerre: [8] hæc igitur scriptorem cognoscere oportet. [9] Deinde vero ciborum ac potuum omnium, [10] ex quibus victum habemus, facultatem, quam tandem singula habent [11] & secundum naturam, [12] & secundum necessitatem [13] ac artem humanam. [14] Oportet enim scire quomodo fortium natura vim detrahere oporteat, [15] & quomodo debilibus robur per artem addere opor- 30 teat, [16] prout singulorum occasio se obtulerit. [17] Et si relata jam etiam cognoverit, nondum sufficiens est hominis curatio, [18] propterea quod homo edens sanus esse non potest, nisi etiam laboret.

11. Contrarias enim inter se vires habent cibi & labores: [2] Verum inter se mixti conferunt

ὑγιείην. [3] πόνοι μὲν γὰρ πεφύκασιν ἀναλῶσαι τὰ ὑπάρχοντα· [4] σιτία δὲ καὶ ποτὰ ἐκπληρῶσαι τὰ κενωθέντα. [5] δεῖ δὲ, ὡς ἔοικε, τῶν πόνων διαγινώσκειν τὴν δύναμιν, [6] καὶ τῶν κατὰ φύσιν, [7] καὶ τῶν διὰ βίης γινομένων. [8] καὶ τίνες αὐτῶν ἐς αὔξησιν παρασκευάζουσι σάρκας, [9] καὶ τίνες ἐς ἔλλειψιν. [10] καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὰς ξυμμετρίας τά τε μέτρα τῶν πόνων πρὸς τὸ πλῆθος τῶν σιτίων, [11] καὶ τὴν φύσιν τοῦ ἀνθρώπου, [12] καὶ τὰς ἡλικίας τῶν σωμάτων, [13] καὶ πρὸς τὰς ὥρας τοῦ ἐνιαυτοῦ, [14] καὶ πρὸς τὰς μεταβολὰς τῶν πνευμάτων, [15] καὶ πρὸς τὰς θέσιας τῶν χωρίων ἐν ᾗσι διαιτέονται, [16] πρός τε τὴν κατάστασιν τοῦ ἐνιαυτοῦ. [17] ἄστρων τε ἐπιτολὰς καὶ δύσιας γινώσκειν δεῖ, [18] ὅκως ἐπίσηται τὰς μεταβολὰς καὶ ὑπερβολὰς φυλάσσειν καὶ σίτων καὶ ποτῶν, [19] καὶ πνευμάτων, [20] καὶ τοῦ ὅλου κόσμου, [21] ἐξ ὧνπερ αἱ νοῦσοι τοῖσιν ἀνθρώποισι φύονται.

III. Ταῦτα δὲ πάντα διαγνόντι, οὔκω αὔταρκες τὸ εὕρημά ἐστιν. [2] εἰ μὲν γὰρ ἦν εὑρετὸν ἐπὶ τούτοις, πρὸς ἑκάστην φύσιν, σίτου μέτρον, [3] καὶ πόνων ἀριθμὸς, [4] μὴ ἔχων ὑπερβολὴν, μήτε ἐπὶ τὸ πλέον, μήτε ἐπὶ τὸ ἔλασσον, [5] εὕρητο ἂν ὑγείη τοῖσιν ἀνθρώποισιν ἀκριβῶς. [6] νῦν δὲ τὰ μὲν προειρημένα πάντα εὕρηται, ὁκοῖά ἐστι. [7] τοῦτο δὲ ἀδύνατον εὑρεῖν. [8] εἰ μὲν οὖν παρείη τις καὶ ὁρῴη, [9] γινώσκοι ἂν τὸν ἄνθρωπον, ἐκδύνοντά τε καὶ ἐν τοῖσι γυμνασίοισι γυμναζόμενον, [10] ὥστε φυλάσσειν ὑγιαίνοντα, τὰ μὲν ἀφαιρέων, τοῖσι δὲ προστιθείς. [11] μὴ παρεόντι δὲ, ἀδύνατον ὑποτίθεσθαι ἐς ἀκριβείην σῖτα καὶ πόνους. [12] ἐπεὶ, ὁκόσον γε δυνατὸν εὑρεῖν, ἐμοὶ ἤδη εἴρηται. [13] ἀλλὰ γὰρ

ad sanitatem. [3] Labores enim ea quæ insunt consumere solent, [4] cibi autem & potus ea quæ evacuata sunt explent. [5] Oportet autem, velut par est, laborum vim pernoscere, [6] tum naturalium, [7] tum eorum qui per vim fiunt, [8] & qui ex ipsis carnes in augmentum præparant, [9] & qui in defectum: [10] & non solum hæc, sed etiam mensuram ac proportionem laborum ad multitudinem ciborum, [11] & hominis naturam, [12] & corporum staturas ac ætates, [13] & ad tempora anni, [14] & ad mutationes ventorum, [15] & ad situs regionum in quibus degunt, [16] & ad anni constitutionem ac statum. [17] Sed & astrorum ortus & occasus cognoscere oportet, [18] quo mutationes & excessus ciborum ac potuum, [19] & ventorum, [20] & totius mundi, [21] ex quibus sane morbi hominibus oriuntur, observare sciat.

III. Quum autem hæc omnia cognoverit; [2] nondum sufficiens inventum est. [3] Siquidem enim supra hæc inventa fuerit ciborum mensura, [4] & laborum ad unamquamque naturam numerus, [5] ita ut excessus neque supra, neque infra modum fiat, [6] inventa sane exacte fuerit hominibus sanitas. [7] Nunc vero prædicta quidem omnia inventa sunt, qualia sint, [8] hoc vero invenire impossibile est. [9] Siquidem igitur præsens quis sit, & inspiciat, [10] cognoverit utique hominem exuentem se & in gymnasiis exercitantem, [11] ut custodire sanum possit, alia detrahendo, alia opponendo. [12] Verum non præsenti impossibile est cibos ac labores exacte præscribere. [13] Nam quantum possibile

[13] εἰ καὶ πάνυ σμικρὸν ἐνδεέστερον θάτερον γίνοιτο ἄν, [14] ἐν πολλῷ χρόνῳ ἀνάγκη κρατηθῆναι τὸ σῶμα ὑπὸ τῆς ὑπερβολῆς, [15] καὶ ἐς νοῦσον ἀφικέσθαι. [16] τοῖσι μὲν οὖν ἄλλοισι μέχρι τούτου ἐπικεχείρηται ζητηθῆναι· [17] εἴρηται δὲ οὐδὲ ταῦτα. [18] ἐμοὶ δὲ ταῦτα ἐξεύρηται, πρὸ τοῦ κάμνειν τὸν ἄνθρωπον [19] ἀπὸ τῆς ὑπερβολῆς, ἐφ' ὁκότερον ἂν γίνηται, προδιάγνωσις. [20] οὐ γὰρ εὐθέως αἱ νοῦσοι τοῖσιν ἀνθρώποισι προσγίνονται, [21] ἀλλὰ κατὰ μικρὸν ξυλλεγόμεναι, [22] ἀθρόως ἐκφαίνονται. [23] πρὶν οὖν κρατέεσθαι ἐν τῷ ἀνθρώπῳ τὸ ὑγιὲς ὑπὸ τοῦ νοσεροῦ, [24] ἃ πάσχουσιν ἐξεύρηταί μοι, [25] καὶ ὅκως χρὴ ταῦτα καθιστάναι ἐς τὴν ὑγείην. [26] τούτου δὲ προσγενομένου πρὸς τοῖσι γεγραμμένοισι, τελέεται τὸ ἐπιχείρημα τῶν διανοημάτων.

IV. Ξυνίσταται μὲν οὖν τὰ ζῶα, τά τε ἄλλα πάντα, καὶ ὁ ἄνθρωπος, ἀπὸ δυοῖν· [2] διαφόροιν μὲν τὴν δύναμιν· [3] συμφόροιν δὲ τὴν χρῆσιν· [4] πυρὸς λέγω καὶ ὕδατος. [5] ταῦτα δὲ ξυναμφότερα αὐτάρκεά ἐστι, [6] τοῖσί τε ἄλλοισι πᾶσι, [7] καὶ ἀλλήλοισιν, [8] ἑκάτερον δὲ χωρὶς, οὔτε αὐτὸ ἑωυτῷ, οὔτε ἄλλῳ οὐδενί. [9] τὴν μὲν οὖν δύναμιν αὐτῶν ἑκάτερον ἔχει τοιήνδε. [10] τὸ μὲν γὰρ πῦρ δύναται πάντα διὰ παντὸς κινῆσαι· [11] τὸ δὲ ὕδωρ, πάντα διὰ παντὸς θρέψαι. [12] ἐν μέρει δὲ ἑκάτερον κρατεῖ καὶ κρατεῖται, [13] ἐς τε τὸ μήκιστον καὶ τὸ ἐλάχιστον, ὡς ἀνυστόν. [14] οὐδέτερον γὰρ κρατῆσαι παντελῶς δύναται, διὰ τάδε. [15] τὸ μὲν πῦρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ ὕδατος

est invenire à me jam relatum est. [14] Atenim etiamsi valde parum defectuosiora quam alia fiant, [15] in multo tempore necesse est corpus ab excessu superari, [16] & ad morbum pervenire. [17] Alii itaque hucusque inquirere conati sunt, [18] & neque hæc dixerunt ac prodiderunt. [19] A me vero hæc inventa sunt priusquam homo ægrotet, [20] ut ab excessu in utram tandem partem factus fuerit, præ, notio contingat. [21] Non enim derepente morbi hominibus accedunt, [22] sed paulatim collecti, [23] acervatim apparent. [24] Priusquam igitur in homine sanitas à morbo superatur, [25] quæ perpetiuntur homines à me inventum est; [26] & quomodo hæc in sanitatem restituere oportet. [27] Hoc autem ubi accesserit ad ea quæ scripta sunt, ratiocinationum hujus doctrinæ conatus perficitur.

IV. Constituuntur quidem igitur tum animantia alia omnia, tum homo ipse ex duobus [2] differentibus quidem facultate, [3] concordibus vero & commodis usu, [4] igne inquam, & aqua. [5] Hæc autem ambo simul sufficientia sunt, [6] tum aliis omnibus, [7] tum mutuo sibi ipsis: [8] utrumvis vero seorsum, neque sibi ipsi, neque ulli alteri sufficiens est. [9] Vim igitur ac facultatem utrumque ipsorum talem habet. [10] Ignis enim omnia per omnia movere potest. [11] Aqua vero omnia per omnia nutrire. [12] Particulatim vero utrumque superat & superatur, [13] ad summum ac minimum, quantum ejus fieri potest. [14] Neutrum enim superare penitus potest, ob hanc sane causam. [15] Igni quidem ubi ad extremitatem aquæ pervene-

τος, ἐπιλείπει ἡ τροφή. 16 ἀποτρέπεται οὖν ὅθεν μέλλει τρέφεσθαι. 17 τὸ δὲ ὕδωρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ πυρὸς, ἐπιλείπει ἡ κίνησις. 18 ἵσταται οὖν ἐν τούτῳ. 19 ὁκόταν δὲ στῇ, οὐκ ἔτι ἐγκρατές ἐστιν, ἀλλὰ ἤδη τῷ ἐμπίπτοντι πυρὶ ἐς τὴν τροφὴν καταναλίσκεται. 20 οὐδέτερον δὲ διὰ ταῦτα δύναται κρατῆσαι παντελῶς. 21 εἰ δέ ποτε κρατηθείη καὶ ὁκότερον, οὐδὲν ἂν εἴη τῶν νῦν ἐόντων ὥσπερ ἔχει νῦν. 22 οὕτω δὲ ἐχόντων αἰεὶ, ἔσται τὰ αὐτὰ, καὶ οὐδέτερα, καὶ οὐδὲ ἅμα ἐπιλείψει. 23 τὸ μὲν οὖν πῦρ καὶ τὸ ὕδωρ, ὥσπερ εἴρηταί μοι, αὐτάρκεά ἐστι πᾶσι διὰ παντὸς ἐς τὸ μέγιστον, καὶ τοὐλάχιστον ὡσαύτως.

v. Τούτων δὲ προσκέεται ἑκατέρῳ τάδε. 2 τῷ μὲν πυρὶ τὸ θερμὸν καὶ τὸ ξηρόν. 3 τῷ δὲ ὕδατι τὸ ψυχρὸν καὶ τὸ ὑγρόν. 4 ἔχει δὲ ἀπ' ἀλλήλων, 5 τὸ μὲν πῦρ ἀπὸ τοῦ ὕδατος τὸ ὑγρόν. 6 ἔνι γὰρ ἀπὸ τοῦ ὕδατος ὑγρότης. 7 τὸ δὲ ὕδωρ ἀπὸ τοῦ πυρὸς τὸ ξηρόν. 8 ἔνι γὰρ ἐν ὕδατι ἀπὸ τοῦ πυρὸς ξηρόν. 9 οὕτω δὲ τούτων ἐχόντων, ἐς πολλὰς καὶ παντοδαπὰς ἰδέας ἀποκρίνονται ἀπ' ἀλλήλων, καὶ σπερμάτων, καὶ ζώων, 10 οὐδὲν ὁμοίων ἀλλήλοισιν, οὔτε τὴν ὄψιν, οὔτε τὴν δύναμιν. 11 ἅτε γὰρ οὔποτε κατὰ τὸ αὐτὸ ἱσταμένων, ἀλλ' αἰεὶ ἀλλοιουμένων, 12 ἀνόμοια ἐξ ἀνάγκης γίνεται, καὶ τὰ ἀπὸ τούτων ἀποκρινόμενα. 13 ἀπόλλυται μὲν [γὰρ] οὐδὲν ἁπάντων χρημάτων, 14 οὐδὲ γίνεται, ὅ, τι μὴ καὶ πρόσθεν ἦν. 15 ξυμμισγόμενα δὲ καὶ διακρινόμενα ἀλλοιοῦται. 16 νομίζεται δὲ παρὰ τῶν ἀνθρώπων, 17 τὸ μὲν ἐξ ᾅδου ἐς φῶς αὐξηθὲν, γενέσθαι. 18 τὸ δ' ἐκ

rit; deficit alimentum: 16 avertitur igitur eo unde nutriri potest. 17 Aquæ vero ubi ad extremitatem ignis pervenit, deficit motus. 18 Sistitur itaque in hac: 19 quum vero steterit, non amplius potens est, sed ab illabente igne in alimentum consumitur: 20 & propterea neutrum penitus superare potest. 21 Si vero etiam alterutrum superetur, nihil sane ex his quæ nunc sunt, fuerit velut nunc habet. 22 Quum autem sic semper se habeant, erunt & eadem & neutra, & neque simul deficient. 23 Ignis igitur & aqua (velut à me dictum est) sufficientia sunt omnibus per omnia ad summum ac minimum similiter.

v. Cæterum utrique horum hæc adsunt. 2 Igni quidem caliditas & siccitas, 3 aquæ vero frigiditas & humiditas. 4 Habent autem inter se mutuo, 5 ignis ab aqua humiditatem: 6 inest enim ab aqua humiditas, 7 aqua vero ab igne siccitatem: 8 inest enim in aqua ab igne siccitas. 9 Quum autem hæc sic habeant, multas & omnigenas formas ac species, tum seminum, tum animalium, inter se secernunt, 10 quæ nihil inter se simile habent, neque visu, neque facultate. 11 Etenim quum nunquam simul in eodem consistant, sed semper alterentur, 12 necessarium est etiam ea quæ ab ipsis secernuntur ac producuntur, dissimilia fieri. 13 Equidem nullum omnino corpus perit, 14 neque fit quod prius non erat: 15 verum permixta & discreta alterantur. 16 Homines autem putant 17 hoc quidem ex orco in lucem auctum generari, 18 illud vero ex luce in orcum imminutum perire ac corrumpi.

οὐκ ἐκ τοῦ φάεος ἐς ἅδην μειωθὲν, ἀπόλλυται. [19] Ὀφθαλμοῖσι δὲ δεῖ πιστεύειν μᾶλλον, ἢ γνώμῃσιν. [20] ἐγὼ δὲ τάδε γνώμῃ ἐξηγέομαι. [21] ζῶα γὰρ κἀκεῖνα, [22] καὶ τάδε· [23] καὶ οὔτε τὸ ζῶον ἀποθανεῖν οἷόν τε μὴ μετὰ πάντων· [24] καὶ γὰρ ἀποθανεῖται; [25] οὔτε τὸ μὴ ὂν γενέσθαι, [26] μὴ ὄντος ὅθεν παραγενήσεται. [27] ἀλλ' αὔξεται πάντα καὶ μειοῦται ἐς τὸ μήκιστον καὶ ἐς τὸ ἐλάχιστον τῶν γε δυνατῶν.

VI. Ὅ, τι δ' ἂν διαλέγωμαι [τὸ] γενέσθαι, καὶ τὸ ἀπολέσθαι, [2] τῶν πολλῶν εἵνεκεν ἑρμηνεύω. [3] ταῦτα δὲ καὶ ξυμμίσγεσθαι καὶ διακρίνεσθαι δηλῶ. [4] ἔχει δὲ ὧδε. [5] γενέσθαι καὶ ἀπολέσθαι, τωὐτό. [6] ξυμμιγῆναι καὶ διακριθῆναι, τωὐτό. [7] γενέσθαι, ξυμμιγῆναι, τωὐτό. [8] ἀπολέσθαι, μειωθῆναι, διακριθῆναι, τωὐτό. [9] ἕκαστον πρὸς πάντα, καὶ πάντα πρὸς ἕκαστον, τωὐτό. [10] ὁ νόμος γὰρ τῇ φύσει περὶ τούτων ἐναντίος. [11] χωρεῖ δὲ πάντα καὶ θεῖα καὶ ἀνθρώπινα ἄνω καὶ κάτω ἀμειβόμενα. [12] ἡμέρη καὶ εὐφρόνη ἐπὶ τὸ μήκιστον καὶ ἐλάχιστον. [13] ὡς καὶ τῇ σελήνῃ, τὸ μήκιστον καὶ τὸ ἐλάχιστον. [14] πυρὸς ἔφοδος καὶ ὕδατος. [15] ἥλιος ἐπὶ τὸ μακρότατον καὶ βραχύτατον. [16] πάλιν ταῦτα, καὶ οὐ ταῦτα. [17] φάος Ζηνὶ, σκότος ἅδῃ. [18] φάος ἅδῃ, σκότος Ζηνί. [19] φοιτᾷ καὶ μετακινεῖται, κεῖνα ὧδε, καὶ τάδε κεῖσε, πᾶσαν ὥρην. [20] διαπρησσόμενα κεῖνά τε τὰ τῶνδε, τὰ δὲ ταῦτα, κείνων. [21] καὶ θ' ἃ μὲν πρήσσουσιν, οὐκ οἴδασιν· [22] ἃ δὲ πρήσσουσι, δοκέουσιν εἰδέναι· [23] καὶ θ' ἃ μὲν ὁρῶσιν, οὐ γινώσκουσιν. [24] ἀλλ' ὅμως αὐτοῖσι πάντα γίνεται δι' ἀνάγκην θείην, [25] καὶ ἃ βούλονται, καὶ

rumpi. [19] Oculis autem magis credere oportet quam opinionibus. [20] Ego vero hæc ex sententia exponam. [21] Animalia enim sunt & illa [22] & hæc: [23] & neque animal mori possibile est non cum omnibus: ([24] unde enim moriatur?) [25] neque quod non est generari, [26] quum non sit unde generetur. [27] Sed augentur omnia ac minuuntur, ad summum & ad minimum, quantum ejus fieri potest.

VI. Quid vero dicam generari & perire, [2] vulgi gratia interpretabor. [3] Hæc autem commisceri & discerni significare declaro. [4] Habet autem res hoc modo. [5] Generari & perire sive corrumpi, idem est. [6] Idem est commisceri & secerni. [7] Generari idem est quod commisceri. [8] Perire corrumpique ac minui idem est quod secerni: [9] unumquodque ad omnia, & omnia ad unumquodque idem sunt. [10] Consuetudo enim in his naturæ contraria est. [11] Seorsum autem omnia & divina & humana sursum ac deorsum vicissitudinem habent ac transeunt: [12] dies & nox ad summum ac minimum: [13] sic & luna ad summum ac minimum. [14] Ignis accessus est & aquæ. [15] Sol ad longissimum ac brevissimum. [16] Rursus hæc, & non hæc. [17] Lux jovi, tenebræ orco. [18] Lux orco, tenebræ jovi. [19] Accedunt & transmutantur illa huc, hæc illuc. Omni tempore [20] transigunt illa res horum, hæc autem illorum: [21] & quæ quidem faciunt, non sciunt, [22] quæ vero faciunt, scire sibi videntur: [23] & quæ quidem vident, non cognoscunt. [24] Attamen omnia ipsis fiunt per divinam necessitatem, [25] & quæ vo-

καὶ μὴ βούλονται. [26] φοιτεόντων δ' ἐκείνων ὧδε, κἀκεῖνα δὲ κεῖσε, συμμισγομένων πρὸς ἄλληλα, τὴν πεπρωμένην μοίρην ἕκαστον ἐκπληροῖ, καὶ ἐπὶ τὸ μέζον, καὶ ἐπὶ τὸ μεῖον.

VII. [1] Φθορὴ δὲ πᾶσιν ὑπ' [a] ἀλλήλων, τῷ μέζονι ἀπὸ τοῦ μείονος, καὶ τῷ μείονι ἀπὸ τοῦ μέζονος. [2] αὔξεται δὲ καὶ τὸ μέζον ἀπὸ τοῦ ἐλάσσονος. [3] τὰ δ' ἄλλα πάντα καὶ ψυχὴ ἀνθρώπου. [4] καὶ σῶμα, ὁκοῖον ἡ ψυχὴ, διακοσμέεται. [5] ἐσέρπει δὲ ἐς ἄνθρωπον, μέρεα μερέων, ὅλα ὅλων, ἔχοντα [b] σύγκρησιν πυρὸς καὶ ὕδατος, [6] τὰ μὲν ληψόμενα, τὰ δὲ δώσοντα. [7] καὶ τὰ μὲν λαμβάνοντα, πλεῖον ποιεῖ· τὰ δὲ διδόντα, μεῖον. [8] πρίουσιν ἄνθρωποι ξύλον· ὁ μὲν ἕλκει, ὁ δὲ ὠθεῖ, τὸ δ' αὐτὸ τοῦτο ποιέουσι· μεῖον δὲ ποιέοντες, [c] πλεῖον ποιέουσι. [9] [d] τὸ δ' αὐτὸ καὶ φύσις ἀνθρώπων. [10] τὸ μὲν ὠθεῖ, τὸ δὲ ἕλκει· [11] τὸ μὲν δίδωσι, τὸ δὲ λαμβάνει. [12] καὶ τῷ μὲν δίδωσι, τοῦ δὲ λαμβάνει. [13] καὶ τῷ μὲν δίδωσι τοσούτῳ πλεῖον, [e] ὅσῳ δὲ λαμβάνει τοσούτῳ μεῖον. [14] χώρην δὲ ἕκαστον φυλάσσει τὴν ἑωυτοῦ. [15] [f] καὶ τὰ μὲν ἐπὶ τὸ μεῖον ἰόντα, διακρίνεται ἐς τὴν ἐλάσσονα χώρην· [16] τὰ δὲ ἐπὶ τὸ μέζον πορευόμενα, συμμισγόμενα ἐξαλλάσσει ἐς τὴν μέζω τάξιν. [17] τὰ δὲ ξεῖνα, μὴ ὁμότροπα, ὠθέεται ἐκ χώρης ἀλλοτρίης. [18] [g] ἑκάστη δὲ ψυχὴ, μέζω καὶ ἐλάσσω ἔχουσα, περιφοιτᾷ τὰ μόρια τὰ ἑωυτῆς, [19] οὔτε προσθέσιος οὔτε ἀφαιρέσιος δεομένη τῶν μερέων, [20] κατὰ δὲ αὔξησιν καὶ μείωσιν τῶν ὑπαρχόντων δεομένη. [21] [h] χώρην δὲ ἕκαστα διαπρήσσεται, ἐς ἥν τινα ἐσέλθῃ καὶ δέξηται τὰ [i] προσπίπτοντα. [22] οὐ γὰρ δύναται ὁμοια-

volunt, & quæ non volunt. [26] Accedentibus autem illis huc, his vero illuc, & inter se permixtis, unumquodque destinatum fatum explet, & ad majus, & ad minus.

VII. [1] Corruptio autem omnibus [a] mutuo inter se est, majori à minore, & minori à majore. [2] Et augescit majus à minore. [3] Reliqua autem omnia, & hominis anima, [4] & corpus velut anima, ornantur ac gubernantur. [5] Irrepunt autem in hominem partes partium, tota totorum temperaturam habentia, ignis videlicet & aquæ, [6] partim acceptura, partim datura: [7] & quæ quidem accipiunt, plus faciunt, quæ vero dant, minus. [8] Secant homines lignum per ferram, [b] alter trahit, alter protrudit. Idem autem hoc faciunt: & minus facientes, plus laborant ac faciunt. [9] Sic & hominis natura, [10] aliud protrudit, aliud trahit, [11] aliud dat, aliud accipit, [12] & alii dat, ab alio accipit, [13] & alii quidem tanto plus dat, ab alio vero nihil minus accipit. [14] Locum autem unumquodque suum servat, [15] & quæ quidem ad minus eunt, ad minorem locum secernuntur. [16] quæ vero ad majus vadunt, permixta in majorem [c] ordinem mutantur. [17] Peregrina vero non eosdem mores habentia, ex aliena regione protruduntur. [18] Semper autem anima & majora & minora habens, suas ipsius partes circumambulat, [19] non appositione, neque detractione partium indigens, [20] verum augmento & decremento earum quæ jam sunt opus habens. [21] Locum vero unicuique perficit, ad quem pervenient, & allabentia suscipiat. [22] Non enim potest id quod non [d] similes mores ha-

δύναται τὸ μὴ ὁμότροπον ἐν τοῖσιν ἀσυμφόροισι χωρίοισιν ἐμμένειν. [23] πλανᾶται μὲν γὰρ ἀγνοεόμενα· [24] ξυμμισγόμενα δὲ ἀλλήλοισι, συγγινώσκεται. [25] προσίζει γὰρ τὸ σύμφορον τῷ συμφόρῳ· [26] τὸ δὲ ἀσύμφορον, πολεμεῖ καὶ μάχεται καὶ διαλλάσσει ἀπ' ἀλλήλων.

IIX. Διὰ τοῦτο ἀνθρώπου ψυχὴ ἐν ἀνθρώπῳ αὔξεται· [2] ἐν ἄλλῳ δὲ οὐδενί. [3] καὶ τῶν ἄλλων ζώων τῶν μεγάλων ὡσαύτως. [4] ὁκόσα δὲ ἄλλως, ἀπ' ἀλλήλων ὑπὸ βίης ἀποκρίνεται. [5] περὶ μὲν οὖν τῶν ἄλλων ζώων, ἐάσω· [6] περὶ δὲ ἀνθρώπου, δηλώσω. [7] ἐσέρπει δὲ ἐς ἄνθρωπον ψυχὴ, [8] πυρὸς καὶ ὕδατος ξύγκρησιν ἔχουσα, [9] μοῖραν σώματος ἀνθρώπου. [10] ταῦτα δὲ τὰ θήλεα καὶ ἄρσενα, καὶ πολλὰ καὶ παντοῖα τρέφεται. [11] τρέφεται δὲ καὶ αὔξεται διαίτῃ τῇ περὶ τὸν ἄνθρωπον. [12] ἀνάγκη δὲ τὰ μέρεα ἔχειν πάντα τὰ ἐσιόντα. [13] οὗ τινος γὰρ μὴ ἐνείη μοῖρα ἐξ ἀρχῆς, οὐκ ἂν αὐξηθείη, οὔτε πολλῆς ἐπιούσης τροφῆς οὔτε ὀλίγης· [14] οὐ γὰρ ἔχει τὸ προσαυξόμενον. [15] ἔχον δὲ πάντα αὔξεται ἐν χώρῃ τῇ ἑωυτοῦ ἕκαστον. [16] τροφῆς ἐπιούσης, ἀπὸ ὕδατος ξηροῦ, καὶ πυρὸς ὑγροῦ, τὰ μὲν ἔσω βιάζεται, τὰ δὲ ἔξω.

IX. Ὥσπερ οἱ τέκτονες τὸ ξύλον πρίουσι, καὶ ὁ μὲν ἕλκει, ὁ δὲ ὠθεῖ, τὸ αὐτὸ ποιέοντες· κάτω δὲ πιέζων, τὸν ἄνω ἕλκει· οὐ γὰρ ἂν παραδέχοιτο κάτω ἰέναι. [2] ἢν δὲ βιάζωνται, παντὸς ἁμαρτήσονται. [3] τοιοῦτον τροφὴ ἀνθρώπου· τὸ μὲν ἕλκει, τὸ δὲ ὠθεῖ. [4] ἔσω δὲ βιαζόμενον, ἔξω

habet, in discordibus locis permanere. [23] Oberrant enim velut ignota, [24] permixta vero inter se cognoscuntur. [25] Concors enim concordi adhæret ac assidet, [26] discordia autem rebellant, & pugnant, atque inter se diffident.

IIX. Quapropter anima hominis, in homine augetur, [2] in alio vero nullo, [3] & aliorum magnorum animalium similiter. [4] Quæcunque vero aliter ab aliis per vim secernuntur, [5] de aliis quidem animalibus praetermittam, [6] de homine vero declarabo. [7] Irrepit in hominem anima, [8] ignis & aquæ temperamentum habens, [9] partem corporis humani. [10] Fœmellæ autem & masculi, & multi & omnigeni nutriuntur. [11] Nutriuntur autem & augescunt per diætam qua homo utitur. [12] Necesse est autem omnia quæ ingrediuntur, partes habere. [13] Cujuscunque enim pars non inerit à principio, augeri non poterit, neque multo, neque modico alimento ingrediente. [14] Non enim habet quod augescere faciat. [15] Id vero quod omnia habet, augescit, unumquodque in suo loco. [16] Alimento autem ingrediente ab aqua & igne, sicco & humido, alia quidem intro coguntur, alia vero foras protruduntur.

IX. Quemadmodum fabri lignarii lignum serra dissecant, & alter quidem trahit, alter protrudit, idem sane facientes: & qui deorsum premit, superiorem trahit, neque enim alias admitteret deorsum ire. [2] Si vero violenter cogant, toto opere aberrabunt. [3] Similiter & circa hominis alimentum se res habet: aliud trahit, aliud protrudit; [4] intro autem

ἔξω ἕρπει. 5 ἢν δὲ βιῆται παρὰ καιρὸν, πάντως ἀποδέξεται. 40 6 χρόνον δὲ τοσοῦτον ἕκαστα τὴν αὐτὴν ἔχει τάξιν, 7 ἄχρι μηκέτι δέχηται ἡ χώρη, 8 μηδὲ τροφὴν ἱκανὴν ἔχῃ ἐς τὸ μήκιστον τῶν ὑδάτων. 9 ἔπειτ' ἀμείβεται ἐς τὴν ἔξω χώρην, θήλεα καὶ ἄρσενα, 10 τὸν αὐτὸν τρόπον ὑπὸ βίης καὶ ἀνάγκης διωκόμενα. 11 ὁκότερα δ' ἂν ἐμπλήσῃ τὴν πεπρωμένην μοίρην, ταῦτα διακρίνεται πρῶτα, καὶ ἅμα ξυμμίσγεται. 12 ἕκαστον μὲν γὰρ διακρίνεται· 13 πάντα δὲ ταῦτα ξυμμίσγεται. 14 χώρην δὲ ἀμείψαντα, καὶ τυχόντα ἁρμονίης ὀρθῶς ἐχούσης 45 ξυμφωνίας τρεῖς, 15 ξυλλήβδην διεξιόντα διὰ πασέων, ζῇ καὶ αὔξεται τοῖσιν αὐτοῖσιν, οἷσι καὶ πρόσθεν. 16 ἢν δὲ μὴ τύχῃ τῆς ἁρμονίης, μηδὲ ξύμφωνα βαρέα τοῖσιν ὀξέσι γένηται, ἡ πρώτη συμφωνίη διαφθείρεται. 17 ἢν ἡ δευτέρη γένεσις ᾖ, τὸ διὰ παντὸς, ἑνὸς ἀπογενομένου, πᾶς ὁ τόνος μάταιος. 18 ἐγὼ δ' ἂν προσημαίνειν· 19 ἀλλ' ἀμείβει ἐκ τοῦ μείζονος ἐς τὸ μεῖον, πρὸ μοίρης. 20 διότι οὐ γινώσκουσιν, ὅ, τι ποιέουσιν.

X. Ἀρσένων μὲν οὖν καὶ θηλέων διότι ἑκάτερα γίνεται, προϊόντι τῷ 84 λόγῳ δηλώσω. 2 τούτων δ' ὁκότερον ἂν τύχῃ τῆς ἁρμονίης, ὑγρὸν ἐὸν, κινέεται ὑπὸ τοῦ πυρὸς, 3 κινεόμενον δὲ ζωπυρέεται, 4 καὶ προσάγεται τὴν τροφὴν ἀπὸ τῶν ἐσιόντων ἐς τὴν γυναῖκα σιτίων, καὶ πνεύματος, 5 τὰ μὲν πρῶτα πάντῃ ὁμοίως, ἕως ἀραιόν ἐστιν, 6 ὑπὸ δὲ τῆς κινήσιος καὶ τοῦ πυρὸς ξηραίνεται καὶ στερεοῦται, 7 στερεούμενον δὲ πυκνοῦ-

rem coactum, foras repit. 5 Si vero importune & violenter cogatur, omni successu privabitur. 6 Singula autem tanto tempore eundem ordinem habent, 7 donec locus non amplius suscipiat, 28 8 neque alimentum aquarum ac ignis sufficiens ad summum habeat. 9 Postea ad externam re- 140 29 gionem transeunt & foemellæ & masculi, 10 eodem modo præ violentia & necessitate impulsi. 11 Quæcunque autem destinatum fatum expleverint, ea primum secernuntur ac simul commiscentur. 12 Singula enim secernuntur, 13 omnia autem hæc commiscentur. 14 Postquam vero regionem permutaverint; & nacti fuerint harmoniam recte 30 habentem symphonias tres 15 comprehensim penetrantes per omnia, vivunt & augescunt iisdem 145 quibus etiam antea. 31 16 Si vero harmoniam non assequuti fuerint, neque gravia acutis consona fiant, 17 prima symphonia 32 perit. 18 Et si etiam secunda generetur, propterea quod unus per omnia corruptus est; omnis tonus vanus est. 19 Non enim concentum habuerit, sed transitio fit ex majore ad minus, ante destinatum fatum: 20 quod qui faciunt, non sciunt quid faciant.

X. Cur autem utrique tum masculus, tum foemina fiant, in sermonis progressu declarabo. 2 Uter 150 autem ipsorum harmoniam assequetur humidus existens, movetur ab igne, 3 motus autem vivificatur, 4 & alimentum attrahet ingredientibus in mulierem cibis ac spiritu, 5 primum quidem undiquaque similiter, donec recen- 33 ter rarus est: 6 à motu autem & igne siccatur ac consolidatur: 7 consolidatus autem & firmatus

πυκνοῦται περιέξ. [8] καὶ τὸ πῦρ ἐγκλειόμενον, οὐκέτι τὴν τροφὴν ἱκανὴν ἔχει ἐπάγεσθαι· [9] οὐδὲ τὸ πνεῦμα ἐξωθεῖ, διὰ τὴν πυκνότητα τοῦ περιέχοντος. [10] ἀναλίσκει οὖν τὸ ὑπάρχον ὑγρὸν εἴσω. [11] τὰ μὲν οὖν στερεὰ τῆς φύσιος ἐν τῷ ξυνεστηκότι καὶ ξηρῷ, οὐκ ἀναλίσκεται τῷ πυρὶ ἐς τὴν τροφήν· [12] ἀλλ' ἐγκρατέα γίνεται, καὶ ξυνίσταται, τοῦ ὑγροῦ ἐκλείποντος, [13] ἃ ὀστέα καὶ νεῦρα ἐπονομάζεται. [14] τὸ δὲ πῦρ ἐκ τοῦ συμμισγομένου κινευμένου τοῦ ὑγροῦ, διακοσμέεται τὸ σῶμα κατὰ φύσιν, διὰ τοιήνδε ἀνάγκην, [15] διὰ μὲν τὸ στερεὸν καὶ ξηρὸν, οὐ δύναται τὰς διεξόδους χρονίας ποιέεσθαι, διότι οὐκ ἔχει τροφήν. [16] διὰ δὲ τῶν ὑγρῶν καὶ μαλακῶν δύναται. [17] ταῦτα γάρ ἐστιν αὐτῷ τροφή. [18] ἔνι δὲ καὶ ἐν τούτοισι ξηρότης οὐκ ἀναλισκομένη ὑπὸ τοῦ πυρός. [19] ταῦτα δὲ ξυνίσταται πρὸς ἄλληλα.

XI. Τὸ μὲν οὖν ἐσωτάτω καταφραχθὲν πῦρ, καὶ πλεῖστόν ἐστι, καὶ μεγίστην τὴν διέξοδον ἐποιήσατο. [2] πλεῖστον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἔνι· [3] ὅπερ κοιλίη καλέεται. [4] καὶ ἐξέπεσεν ἐντεῦθεν, ἐπεὶ οὐκ εἶχε τροφὴν ἔξω, καὶ ἐποιήσατο. [5] πλεῖστον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἔνι· [6] καὶ τροφῆς ἐπαγωγὴν καὶ διάπεψιν. [7] τὸ δὲ ἀποκλεισθὲν ἐς ἄλλο σῶμα περιόδους ἐποιήσατο τρισσάς. [8] ὅπερ ἦν ὑγρότατον τοῦ πυρὸς, ἐν τούτοισι τοῖσι χωρίοισιν, [9] αἵ τινες φλέβες καλέονται κοῖλαι. [10] ἐς δὲ τὰ μέσα τούτων, τὸ ὑπολειπόμενον τοῦ ὕδατος ξυνιστάμενον πήγνυται. [11] ὅπερ καλέεται σάρκες. [12] ἑνὶ δὲ λόγῳ, πάντα διεκοσμήσατο κατὰ τρόπον αὐτὸ ἑωυτῷ

circumcirca denſatur. [8] Et ignis incluſus non amplius ſufficiens alimentum attrahere poteſt, [9] neque ſpiritum expellit, propter ambientis corporis denſitatem. [10] Conſumit enim humorem intus exiſtentem. [11] Quæ igitur ſolida natura ſunt in compacto ac ſicco, ea non conſumuntur ab igne in alimentum: [12] ſed valida ac robuſta fiunt, & conſiſtunt humore deficiente, [13] atque hæc ſane oſſa ac nervi nominantur. [14] Ignis autem ex commixto ac moto humore corpus ſecundum naturam ordinat ac diſponit, propter talem neceſſitatem. [15] Nam per ſolidum & ſiccum non poteſt diutinos tranſitus facere, quia alimentum non habent: [16] per humida vero & mollia poteſt, [17] hæc enim ipſius ſunt alimentum. [18] Ineſt autem & in his ſiccitas, quæ ab igne non conſumitur. [19] Hæc autem inter ſe congregantur mutuo.

XI. Ignis igitur penitiſſime ad intima obturatus, & plurimus eſt, & maximum exitum facit. [2] Plurimus enim humor in ea parte ineſt, [3] quæ venter appellatur, [4] & excidit inde ubi alimentum non habet foras, & exitum facit. [5] Plurimus autem humor in ventre ineſt, [6] tum propter alimenti ingeſtionem, tum propter concoctionem. [7] Qui vero in reliquum corpus concluſus eſt ignis, triplices circuitus facit. [8] Etenim quod humidiſſimum eſt in igne, in his locis [9] quæ venæ cavæ appellantur, exiſtit. [10] In media autem horum id quod reliquum eſt aquæ congregatum ſtabilitur, [11] atque ea vocantur carnes. [12] In ſumma, ignis omnia quæ in corpore ſunt, ſecundum ſuum ipſius modum exor-

ἑωυτῷ τὸ ἐν σώματι τὸ πῦρ, [13] ἀπομίμησιν τοῦ ὅλου, [14] μικρὰ πρὸς μεγάλα, [15] καὶ μεγάλα πρὸς μικρά. [16] κοιλίην μὲν τὴν μεγίστην [17] ξηρῷ καὶ ὑγρῷ ταμεῖον, [18] δοῦναι πᾶσι, [19] καὶ λαβεῖν παρὰ πάντων, [20] θαλάσσης δύναμιν, [21] ζώων συντρόφων τροφὸν, [22] ἀσυμφόρων δὲ φθορόν. [23] περὶ δὲ ταύτην, ὕδατος ψυχροῦ καὶ ὑγροῦ σύστασις, [24] διέξοδος πνεύματος ψυχροῦ καὶ θερμοῦ, [25] ἀπομίμησιν τῆς γῆς, [26] τὰ ἐπεσπίπτοντα πάντα ἀλλοιούσης. [27] καὶ τὰ μὲν καταναλίσκον, τὰ δὲ αὖξον, [28] σκέδασιν ὕδατος λεπτοῦ καὶ πυρὸς ἐποιήσατο περὶ τοῦ οὐκ ἀφανέος, [29] καὶ φανεροῦ ἀπὸ τοῦ ξυνεστηκότος ἀπόκρισιν. [30] ἐν ᾧ φερόμενα πάντα ἐς τὸ φανερὸν, ἀφικνέεται ἕκαστα μοίρῃ πεπρωμένῃ. [31] ἐν δὲ τούτῳ ἐποιήσατο πυρὸς περιόδους τριτάς, [32] περαινούσας πρὸς ἀλλήλας, καὶ ἔσω καὶ ἔξω, [33] αἱ μὲν πρὸς τὰ κοῖλα τῶν ὑγρῶν, [34] σελήνης δύναμιν. [35] αἱ δὲ ἐς τὴν ἔξω περιφορὴν, [36] πρὸς τὸν περιέχοντα πάγον, [37] ἄστρων δύναμιν. [38] αἱ δὲ μέσαι, καὶ ἔσω καὶ ἔξω περαινουσαι, [39] τὸ θερμότατον καὶ ἰσχυρότατον πῦρ, [40] ὃ πάντων ἐπικρατέεται, [41] διέπον ἅπαντα κατὰ φύσιν [42] ἄψοφον, καὶ ὄψει καὶ ψαύσει. [43] ἐν τούτῳ ψυχὴ, [44] νόος, [45] φρόνησις, [46] αὔξησις, [47] κίνησις, [48] μείωσις, [49] διάλλαξις, [50] ὕπνος, [51] ἐγέρσις. [52] τοῦτο πάντα διὰ παντὸς κυβερνᾷ, καὶ τάδε καὶ ἐκεῖνα, οὐδέκοτε ἀτρεμίζον.

XII. Οἱ δὲ ἄνθρωποι ἐκ τῶν φανερῶν τὰ ἀφανέα σκέπτεσθαι

exornavit, [13] ad universi imitationem, [14] parva ad magna, [15] & magna ad parva. [16] Ventrem quidem maximum, [17] sicco & humido promptuarium, [18] ut det omnibus, [19] & accipiat ab omnibus, [20] juxta maris facultatem, [21] quod est animalium in ipso nutritorum ac nutriri solitorum alimentum, [22] discordium vero pernicies. [23] Circum hunc autem aquæ frigidæ & humidæ congregatio, [24] transitus spiritus frigidi & calidi, [25] ad terræ imitationem, [26] omnia quæ in ipsam incidunt alterantis. [27] Et alia quidem consumens, alia vero augens, [28] aquæ tenuis ac ignis dispersionem fecit, insuperque non obscuri [29] & apparentis à compacto secretionem, [30] in quo delata omnia, in apertum perveniunt, singula juxta destinatum fatum. [31] In hoc vero triplices circuitus ignis fecit, [32] inter se mutuo intro ac foras terminantes, [33] alios quidem ad cavitates humorum [34] lunæ facultate, [35] alios vero ad externam circumferentiam, [36] ad ambientem soliditatem [37] astrorum facultate. [38] Medii vero & intro & foras terminantes, [39] calidissimum ac fortissimum ignem habent, [40] qui sane omnibus dominatur, [41] omnia secundum naturam gubernans, [42] sine strepitu, tum ad visum, tum ad tactum. [43] In hoc anima, [44] mens, [45] prudentia, [46] augmentum, [47] motus, [48] imminutio, [49] permutatio, [50] somnus, [51] vigilia. [52] Hic omnia per omnia gubernat, & hæc, & illa, nunquam quiescens.

XII. At vero homines ex manifestis obscura considerare non nove-

ἐπίστανται. 2 τέχνῃσι γὰρ χρεώμενοι ὁμοίῃσιν ἀνθρωπίνῃ φύσει, οὐ γινώσκουσι. 3 θεῶν γὰρ νόος ἐδίδαξε μιμέεσθαι τὰ ἑωυτῶν, 4 γινώσκοντας, ἃ ποιέουσι, 5 καὶ οὐ γινώσκοντας, ἃ μιμέονται. 6 πάντα γὰρ ὅμοια, ἀνόμοια ἐόντα. 7 καὶ ξύμφορα πάντα, καὶ διάφορα ἐόντα. 8 διαλεγόμενα, οὐ διαλεγόμενα. 9 γνώμην ἔχοντα, ἀγνώμονα. 10 ὑπεναντίος ὁ τρόπος ἑκάστων ὁμολογεόμενος. 11 νόμος γὰρ καὶ φύσις, 12 οἷσι πάντα διαπρησσόμεθα, 13 οὐχ ὁμολογέεται ὁμολογεόμενα. 14 νόμον μὲν ἔθεσαν ἄνθρωποι αὐτοὶ ἑωυτοῖσιν, 15 οὐ γινώσκοντες περὶ ὧν ἔθεσαν. 16 φύσιν δὲ πάντες θεοὶ διεκόσμησαν. 17 τὰ μὲν οὖν ἄνθρωποι ἔθεσαν, οὐδέποτε κατὰ τὠυτὸ ἔχει, οὔτε ὀρθῶς, οὔτε μὴ ὀρθῶς. 18 ὁκόσα δὲ θεοὶ ἔθεσαν, αἰεὶ ὀρθῶς ἔχει. 19 καὶ τὰ ὀρθὰ καὶ τὰ μὴ ὀρθὰ, τοσοῦτον διαφέρει. 20 ἐγὼ δὲ δηλώσω τέχνας φανερὰς ἀνθρώπου παθήμασιν ὁμοίας ἐούσας, καὶ φανεροῖσι καὶ ἀφανέσι.

21 Μαντικὴ τοιόνδε. 22 τοῖσι φανεροῖσι μὲν τὰ ἀφανέα γινώσκειν, καὶ τοῖσι ἀφανέσι τὰ φανερά. 23 καὶ τοῖσιν ἐοῦσι τὰ μέλλοντα. 24 τοῖσιν ἀποθανοῦσι τὰ ζῶντα. 25 καὶ τῶν ἀσυνέτων συνιᾶσιν. 26 ὁ μὲν, εἰδὼς, αἰεὶ ὀρθῶς· ὁ δὲ, μὴ εἰδὼς ἄλλοτε ἄλλως. 27 φύσιν ἀνθρώπου καὶ βίον ταῦτα μιμέεται. 28 ἀνὴρ γυναικὶ ξυγγινόμενος παιδίον ἐποίησε, 29 τῷ φανερῷ τὸ ἄδηλον γινώσκων, ὅτι οὕτως ἔσται. 30 γνώμη ἀνθρώπου ἀφανὴς, γινώσκουσα τὰ φανερὰ, 31 ἐκ παιδὸς ἐς ἄνδρα μεθίσταται, τῷ ἐόντι τὸ μέλλον

noverunt. 2 Quum enim artibus utantur similibus humanæ naturæ, idipsum ignorant. 3 Divina enim Mens edocuit ipsos sua ipsorum imitari, 4 ita ut cognoscant quæ faciunt, 5 & non cognoscant quæ imitentur. 6 Omnia enim similia sunt, dissimilia existentia, 7 & omnia concordia, discordia existentia: 8 quæ comprobamus, non comprobamus: 9 æquitatem habentia, iniqua sunt: 10 contrarius est modus singulorum ei quem confitentur. 11 Lex enim & natura, 12 quibus omnia transigimus, 13 non confitentur quæ confitentur. 14 Legem enim posuerunt ac tulerunt homines ipsi sibi ipsis, 15 non cognoscentes de quibus tulerunt. 16 Naturam vero omnes dii exornaverunt. 17 Quæ igitur homines sanciverunt, nunquam eodem modo habent, neque recte, neque non recte. 18 Quæ vero dii sanciverunt, semper recte habent. 19 Et recta ac non recta in tantum differunt. 20 Ego vero artes hominis manifestas, affectionibus & manifestis & obscuris, similes esse declarabo. 21 Vaticinatio tale quid est; 22 Ex manifestis quidem cognoscere obscura, ex obscuris vero manifesta, 23 & ex præsentibus futura, 24 & ex mortuis viventia. 25 Et ea quæ intelligi non possunt, vates intelligunt: 26 qui quidem doctus est, semper recte, qui vero non doctus est, alias aliter. 27 Naturam hominis etiam hæc, quantum possibile est, imitantur. 28 Vir mulieri concumbens puerum facit: 29 hoc manifesto obscurum cognoscere datur, quod sic futurum est. 30 Mens hominis obscura, cognoscens manifesta, 31 ex puero in virum

λον γινώσκει. 32 οὐχ ὅμοιον ἀπὸ φανέντι ζῶοντι, τῷ τεθνηκότι τὸ ζῶον εἶδε. 33 ἀσυνέτου γαστήρ· 34 ταύτῃ συνίεμεν, ὅτι διψῇ ἢ πεινῇ. 35 ταυτὰ μαντικῆς τέχνης καὶ φύσιος ἀνθρωπίνης πάθεα, τοῖσι μὲν γινώσκουσιν, αἰεὶ ὀρθῶς. τοῖσι δὲ μὴ γινώσκουσιν, αἰεὶ ἄλλοτε ἄλλως.

XIII. Σιδήρου ὄργανα τέχνης. 2 τὸν σίδηρον πυρὶ τήκουσι, πνεύματι ἀναγκάζοντες τὸ πῦρ, 3 τὴν ὑπάρχουσαν τροφὴν ἀφαιρέοντες, 4 ἀραιὸν δὲ ποιήσαντες, παίουσι καὶ συνελαύνουσιν. 5 ὕδατος δὲ ἄλλου τροφῇ ἰσχυρὸν γίνεται. 6 ταυτὰ πάσχει ἄνθρωπος ὑπὸ παιδοτρίβου. 7 τὴν ὑπάρχουσαν τροφὴν πυρὶ ἀφαιρέεται, ὑπὸ πνεύματος ἀναγκαζόμενος. 8 ἀραιούμενος δὲ, κόπτεται, τρίβεται, καθαίρεται. 9 ὑδάτων δὲ ὑπαγωγῇ ἄλλοθεν ἰσχυρὸς γίνεται.

10 καὶ οἱ γναφέες τὸ αὐτὸ διαπρήσσονται. 11 λακτίζουσι, παίουσι, 12 πλυνόμενοι κόπτουσιν, ἕλκουσι πλυνόμενοι· 13 ἰσχυρότερα ποιέουσι κείροντες τὰ ὑπερέχοντα· 14 καὶ παραπλέκοντες καλλίω ποιέουσι· 15 ταυτὰ πάσχει ὁ ἄνθρωπος.

16 σκυτέες τὰ ὅλα κατὰ μέρεα διαιρέοντες, 17 τέμνοντές τε καὶ κεντέοντες, 18 τὰ σαθρὰ ὑγιέα ποιέουσιν. 19 καὶ ἄνθρωπος δὲ τωὐτὸ πάσχει. 20 ἐκ τῶν γὰρ ὅλων μέρεα διαιρέεται, 21 ἐκ τῶν μερέων συντιθεμένων ὅλα γίνεται· 22 κεντεόμενοί τε καὶ τεμνόμενοι, τὰ σαθρὰ ὑπὸ τῶν ἰητρῶν ὑγιαίνονται καὶ ζῶσι.

XIV. Ἰητρικὴ, τὸ λυπέον ἀπαλλάσσει. 2 καὶ, ὑφ' οὗ πονέει, ἀφαιρέουσα, ὑγιέα ποιεῖ. 3 ἡ φύσις αὐτο-

virum transit, hoc præsenti futurum cognoscit. 32 Non simile à morte ullum aliquod animal existit, neque mortuo animal vivum. 33 Venter quod intelligi non potest novit: 34 per hunc enim intelligimus quod sitit aut esurit. 35 Hæ artes vaticinandi & humanæ naturæ affectiones, cognoscentibus quidem semper recte habent, verum non cognoscentibus alias aliter.

XIII. Artis fabrilis ferrariæ instrumenta: 2 ferrum circumliquant, flatu ignem fabri cogunt, 3 & alimentum jam præsens auferunt, 4 ubi vero rarefecerint, feriunt ac tundunt. 5 Aquæ autem alimento ferrum rursus roboratur. 6 Eadem patitur homo à pædotriba: 7 præsens enim alimentum igne detrahitur, quum præ spiritu homo cogatur, 8 rarefactus autem tunditur, atteritur, subvertitur. 9 Aquæ autem aliunde accessione corroboratur ac fortis evadit.

10 Et fullones idem transigunt, 11 calcitrant, feriunt, 12 destruentes tundunt, trahunt destruentes, 13 robustiora faciunt, deradentes supereminentia, 14 & attexentes pulchriora reddunt, 15 Eadem etiam homo perpetitur.

16 Sutores coriarii tota in partes diſsecantes, 17 scindentes & pungentes, 18 marcida ac lacera, sana & integra faciunt. 19 Et homo idem patitur. 20 Ex totis partes secantur, & ex partibus compositis tota fiunt. 21 Punguntur & secantur à medicis marcida, sananturque ac vivit homo.

XIV. Medicina id quod molestat tollit, 2 & id à quo homo ægrotat auferens, sanum facit. 3 Natura eadem sua sponte

αὐτὴ ἑωυτῇ ταῦτα ἐπίσταται. 4 καθήμενος, πονέει ἀναστῆναι· 5 κινεύμενος, πονέει ἀναπαύσασθαι. 6 καὶ ἄλλα τοιαῦτα ἔχει ἡ φύσις ἰητρικῆς.

7 τέκτονες πρίοντες, ὁ μὲν ὠθέει, ὁ δὲ ἕλκει· τωὐτὸ ποιέει ἀμφοτέρως φέρει. 8 τρυπῶσιν, ὁ μὲν ἕλκει, ὁ δὲ ὠθέει. 9 πιεζόντων, τὸ μὲν ἄνω ἕρπει, τὸ δὲ κάτω. 10 μεῖον ποιεόντες, πλέονα ποιέουσι, 11 φύσιν τὴν ἀνθρώπου μιμέονται. 12 πνεῦμα, τὸ μὲν ἕλκει, τὸ δὲ ὠθέει. 13 τὸ δ' αὐτὸ ποιέει ἀμφοτέρως φέρει. 14 σίτων, τὰ μὲν κάτω πιέζεται, τὰ δὲ ἄνω ἕρπει. 15 ἀπὸ μιῆς ψυχῆς διαιρεομένης, πλέονες καὶ μείους, καὶ μέζονες καὶ ἐλάσσονες.

16 οἰκοδόμοι, ἐκ διαφόρων σύμφορον ἐργάζονται, 17 τὰ μὲν ξηρὰ ὑγραίνοντες, τὰ δὲ ὑγρὰ ξηραίνοντες· 18 τὰ μὲν ὅλα διαιρέοντες, τὰ δὲ διῃρημένα συντιθέντες· 19 μὴ οὕτω δὲ ἐχόντων, οὐκ ἂν ἔχοι ἰδίως· 20 δίαιταν ἀνθρωπίνην μιμέονται. 21 τὰ μὲν ξηρὰ ὑγραίνοντες, τὰ δὲ ὑγρὰ ξηραίνοντες, τὰ μὲν ὅλα διαιρέουσι, τὰ δὲ διῃρημένα συντιθέασι. 22 ταῦτα πάντα διάφορα ἐόντα, ξυμφέρει τῇ φύσει.

XV. μουσικῆς ὄργανον ὑπάρξαι δεῖ πρῶτον, 2 ἐν ᾧ δηλώσει, ἃ βούλεται, ἁρμονίη. 3 συντάξιες ἐκ τῶν αὐτῶν οὐχ αἱ αὐταί· 4 ἐκ τοῦ ὀξέος, ἐκ τοῦ βαρέος. 5 ὀνόματι μὲν ὁμοίων, φθόγγῳ δὲ οὐχ ὁμοίων. 6 τὰ πλεῖστα διάφορα, μάλιστα ξυμφέρει· 7 καὶ τὰ ἐλάχιστα διάφορα, ἥκιστα ξυμφέρει. 8 εἰ δὲ ὅμοια πάντα ποιήσῃ τις,

te novit. 4 Desidens conatur resurgere, 5 currens conatur requiescere, 6 & alia ejusce modi natura habet quæ medicinæ sunt.

7 Fabri lignarii serra secantes, alter trahit, alter protrudit. 8 Idem autem uterque facit, & in utranque partem tendit. 9 Iidem terebrant, alter trahit, alter protrudit: & qui premit, superiorem deorsum trahit, 10 & minus facientes plus faciunt, 11 naturamque hominis imitantur. 12 Spiritus alter trahit, alter protrudit. 13 Idem autem uterque facit, & in utranque partem tendit. 14 Cibi partim deorsum premuntur, partim sursum vergunt. 15 Ab una animæ divisa, plures & majores, & minores & pauciores fiunt.

16 Ædificatores ex diversis rebus unam concordem facientes, 17 sicca quidem humectantes, humida vero siccantes, 18 & tota dividentes, divisa vero componentes. (19 si enim non sic contingeret, nihil privatim ac proprium constitui posset:) 20 diætam humanam in hoc imitantur. 21 Nam & in hac, sicca humectantes, & humida resiccantes, tota quidem dividunt, divisa vero componunt. 22 Hæc omnia diversa ac discordia existentia, cum natura concordant.

XV. 1 Musices autem organum primum producere oportet, 2 in quo harmonia quæ vult declarabit. 3 Constructiones ex iisdem non eædem sunt, 4 ex acuto, ex gravi, 5 nomine quidem similibus, sono autem non similibus. 6 Quæ plurimum diversa sunt, maxime concordant, 7 & quæ minimum diversa sunt, minime concordant. 8 Si vero quis simi-

45 οὐκ ἔνι τέρψις. [9] αἱ πλεῖσται μεταβολαὶ καὶ πολυειδέσταται μάλιστα τέρπουσι.

[10] μάγειροι ὄψα σκευάζουσιν ἀνθρώποισιν, [11] ἐκ διαφόρων παντοδαπὰ ξυγκρίνοντες, [12] ἐκ τῶν αὐτῶν οὐ τὰ αὐτά, [13] βρῶσιν καὶ πόσιν ἀνθρώπων. [14] ἢν δὲ 47 πάντα ὅμοια ποιήσῃ, οὐκ ἔχει τέρψιν. [15] οὐδ' εἰ ἐν τῷ αὐτῷ πάντα ξυνταχθείη, οὐκ ἂν ἔχοι ὀρθῶς.

[16] κρούεται τὰ κρούματα ἐν μουσικῇ, τὰ μὲν ἄνω, τὰ δὲ κάτω. [17] γλῶσσα μουσικὴν μιμέεται, [18] διαγινώσκουσα μὲν τὸ γλυκὺ καὶ τὸ ὀξὺ τῶν προσπιπτόντων, [19] καὶ τὰ διάφωνα. [20] 50 κρούεται δὲ τοὺς φθόγγους, ἄνω καὶ κάτω. [21] καὶ οὔτε τὰ ἄνω κάτω κρουόμενα, ὀρθῶς ἔχει, οὔτε τὰ κάτω, ἄνω. [22] καλῶς δὲ ἡρμοσμένης γλώσσης, τῇ ξυμφωνίῃ τέρψις. [23] ἀναρμόστου δὲ, λύπη.

[24] σκυτοδέψαι, τείνουσι, τρίβουσι, κτενίζουσι, πλύνουσι. [25] τωὐτὸ παιδίων θεραπείη.

[26] πλοκέες ἄγοντες, κύκλῳ πλέκουσιν, ἀπὸ τῆς ἀρχῆς ἐς τὴν ἀρχὴν τελευτῶσι. [27] τωὐτὸ περίοδος ἐν τῷ σώματι. [28] ὁκόθεν ἄρχεται, ἐπὶ τοῦτο τελευτᾷ.

[29] χρυσίον ἐργαζόμενοι, κόπτουσι, [30] πλύνουσι, [31] τήκουσι πυρὶ μαλακῷ, [32] ἰσχυρῷ δὲ οὐ ξυνίσταται. 55 [33] ἀπεργασάμενοι, πρὸς πάντα χρῶνται. [34] ἄνθρωπος σῖτον κόπτει, [35] πλύνει, [36] ἀλήθει, [37] πυρώσας χρῆται. [38] ἰσχυρῷ μὲν πυρὶ ἐν τῷ σώματι οὐ ξυνίσταται, μαλθακῷ δέ.

[39] ἀνδριαντοποιοὶ, μίμησιν σώματος ποιέουσιν, [40] πλὴν ψυχῆς. [41] γνώμην δὲ ἔχοντα οὐ ποιέου-

lia omnia faciat, non inest delectatio. [9] Plurimæ ac multiformes transmutationes maxime delectant. 245

[10] Coci obsonia hominibus parant, [11] omnis generis diversa commiscentes, [12] ex iisdem non eadem, [13] ad hominum cibum ac potum. [14] Quod si omnia similia facerent, non haberent delectationem: [15] & si in eodem etiam omnia construerent, non utique recte haberent.

[16] Pulsantur toni in musica, partim superne, partim inferne. [17] Lingua musicam imitatur, [18] cognoscens quidem dulcedinem 245 & acorem eorum quæ allabuntur, [19] itemque dissonantia; [20] pulsat autem sonos superne ac inferne, [21] & neque ea quæ superne pulsantur, si inferne pulsentur, recte habent, neque quæ inferne, si superne. [22] Quum autem lingua probe fuerit attemperata, symphoniæ delectatio contingit: [23] si vero discors fuerit ac incongrua, molestia.

[24] Pellium tinctores tendunt, terunt, pectinant, lavant. [25] Eadem est puerorum curatio. 250

[26] Plicatores ac textores ducontes in orbem fila plicant, à principio in principium desinunt. [27] Idem circuitus in corpore est: [28] unde incipit, in hoc desinit.

[29] Aurum operantes, tundunt, [30] lavant, [31] molli igne liquant: [32] forti autem non conflatur: [33] Ubi vero elaborarunt, ad omnia utuntur. [34] Homo frumentum tundit, [35] lavat, [36] molit, [37] & ubi igne coxit, utitur: [38] & forti quidem igne in corpore non constatur, verum molli ac lento. 255

[39] Statuarii imitationem corporis faciunt, [40] anima excepta, [41] mentem autem habentia non fa-

ποιέουσιν. [42] ἐξ ὕδατος καὶ γῆς, τὰ ὑγρὰ ξηραίνοντες, [43] ἀφαιρέονται ἀπὸ τῶν ὑπερεχόντων, καὶ προστιθέασι πρὸς τὰ ἐλλείποντα, [44] ἐκ τοῦ ἐλαχίστου πρὸς τὸ μέγιστον αὔξοντες. [45] ταυτὰ πάσχει ὁ ἄνθρωπος. [46] αὔξεται ἀπὸ τοῦ ἐλαχίστου ἐς τὸ μέγιστον, [47] ἐκ τῶν ὑπερεχόντων ἀφαιρεόμενος, τοῖσιν ἐλλείπουσι προστιθεὶς, τὰ ξηρὰ ὑγραίνων, καὶ τὰ ὑγρὰ ξηραίνων.

[48] κεραμέες, τροχὸν δινέουσι, καὶ οὔτε ὀπίσω, οὔτε πρόσω χωρεῖ, καὶ ἀμφοτέρωσε ἅμα. [49] τοῦ ὅλου μίμησις περιφερής. [50] ἐν δὲ τῷ αὐτῷ ἐργάζονται εἴδη περιφερομένου παντοδαπὰ, οὐδὲν ὅμοιον τὸ ἕτερον τῷ ἑτέρῳ. [51] ἐκ τῶν αὐτῶν ἄνθρωποι ταυτὰ πάσχουσι, [52] καὶ τ' ἄλλα ζῶα, [53] ἐν τῇ αὐτῇ περιφορῇ πάντα ἐργάζονται ἐκ τῶν αὐτῶν, ὅμοιον οὐδὲν, τοῖσιν αὐτοῖσιν ὀργάνοισιν, ἐξ ὑγρῶν ξηρὰ ποιέοντες, καὶ ἐκ τῶν ξηρῶν ὑγρά.

XVI. Γραμματικὴ, τοιόνδε. [2] σχημάτων ξύνθεσις, [3] σημήια φωνῆς ἀνθρωπίνης· [4] δύναμις, τὰ παροιχόμενα μνημονεῦσαι, τὰ ποιητέα, δηλῶσαι· [5] δι' ἑπτὰ σχημάτων ἡ γνῶσις. [6] ταυτὰ πάντα ἄνθρωπος διαπρήσσεται, καὶ ὁ ἐπιστάμενος γράμματα, καὶ ὁ μὴ ἐπιστάμενος. [7] δι' ἑπτὰ σχημάτων καὶ ἡ αἴσθησις ἡ ἀνθρώπου. [8] ἀκοὴ, ψόφων· [9] ὄψις, φανερῶν· [10] ῥὶν, ὀδμῆς· [11] γλῶσσα, ἡδονῆς καὶ ἀηδίης· [12] στόμα, διαλέκτου. [13] σῶμα, ψαύσιος θερμοῦ ἢ ψυχροῦ· [14] πνεύματος διέξοδοι, ἔσω καὶ ἔξω. [15] διὰ τούτων γνῶσις ἀνθρώποισιν.

XVII. Ἀγωνίη, παιδοτριβίη, τοιόνδε διδάσκουσι. [2] παρανομέειν κα-

faciunt. [42] ex aqua & terra humida ſiccantes, & ſicca humectantes, [43] ab his quæ ſuperabundant detrahunt ; & ad ea quæ deficiunt apponunt, [44] ex minimo ad maximum augentes. [45] Eadem patitur homo, [46] augeſcit à minimo ad maximum, [47] ex ſuperabundantibus detrahens, & deficientibus apponens, ſicca humectans & humida ſiccans.

[48] Figuli rotam verſant, & neque retrorſum, neque antrorſum procedit, ſed ſimul in utranque partem. [49] Univerſi hæc imitatrix circularis exiſtit. [50] In eadem autem quum jam circumfertur, omnis generis opera efficiunt, ut alterum altero in nulla re ſimile exiſtat: [51] Ex iiſdem homines eadem patiuntur, [52] itemque reliqua animalia [53] in eadem circumferentia omnia operantur, & ex iiſdem nihil ſimile, iiſdem inſtrumentis ex humidis ſicca facientes, & ex ſiccis humida.

XVI Grammatica tale quid eſt, [2] figurarum compoſitio, [3] quæ ſigna ac notæ ſunt humanæ vocis, [4] facultas revocandi in memoriam præterita, & quæ facienda ſunt declarandi. [5] Per ſeptem figuras noticia contingit. [6] Eadem omnia homo tranſigit, ſive ſciens literas ſive literarum rudis. [7] Per ſeptem figuras etiam ſenſus hominibus contingit, [8] auditus ſonorum, [9] viſus manifeſtorum, [10] naſus odoris, [11] lingua voluptatis & injucunditatis, [12] os ſermonis, [13] corpus tactus calidi aut frigidi, [14] ſpiritus tranſitus intro ac foras. [15] Per hæc cognitio hominibus contingit.

XVII. Palæſtra & pædotribæ tale quiddam docent, [2] prævarica-

κατὰ νόμον, 3 ἀδικέειν δικαίως, 4 ἐξαπατέειν, 5 κλέπτειν, 6 ἁρπάζειν, 7 βιάζεσθαι τὰ κάλλιστα καὶ αἴσχιστα. 8 ὁ μὴ ταῦτα ποιέων, κακός· ὁ δὲ ταῦτα ποιέων, ἀγαθός. 9 ἐπίδειξις τῆς πολλῶν ἀφροσύνης. 10 θεῶνται ταῦτα, καὶ κρίνουσιν ἕνα ἐξ ἁπάντων 5 ἀγαθὸν, τοὺς δὲ ἄλλους κακούς. 11 πολλοὶ θαυμάζουσιν· ὀλίγοι [δὲ] γινώσκουσιν.

12 ἐς ἀγορὴν ἐλθόντες ἄνθρωποι, ταυτὰ διαπρήσσονται. 13 ἐξαπατῶσι πωλέοντες καὶ ὠνεόμενοι, 14 ὁ πλεῖστα ἐξαπατήσας, οὗτος θαυμάζεται.

15 πίνοντες καὶ μαινόμενοι, ταυτὰ διαπρήσσονται· τρέχουσι, παλαίουσι, μάχονται, κλέπτουσιν, ἐξαπατῶσιν. 16 εἷς ἐκ πάντων κρίνεται.

17 ὑποκρίνονται 18 καὶ ἐξαπατῶνται, 19 πρὸς εἰδότας λέγουσιν ἄλλα, καὶ φρονέουσιν ἕτερα. 20 οἱ αὐτοὶ ἐξέρπουσι καὶ ἐσέρπουσιν, οὐχ οἱ αὐτοί. 10
21 ἔνι δὲ ἀνθρώπῳ, ἄλλα μὲν λέγειν, ἄλλα δὲ ποιέειν, 22 καὶ τὸν αὐτὸν μὴ εἶναι τὸν αὐτὸν, 23 καὶ ποτὲ μὲν ἄλλην ἔχειν γνώμην, ποτὲ δὲ ἄλλην. 24 οὕτω μὲν αἱ τέχναι πᾶσαι τῇ ἀνθρωπίνῃ φύσει ἐπικοινωνέουσιν.

XIIX. ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου, ὥσπερ μοι καὶ πρότερον εἴρηται, σύγκρησιν ἔχουσα πυρὸς καὶ ὕδατος, 2 μέρεα δὲ ἀνθρώπου, ἐσέρπει ἐς ἅπαν ζῶον, ὅτι περ ἀναπνέει, 3 καὶ δὴ καὶ ἐς ἄνθρωπον πάντα, καὶ νεώτερον καὶ πρεσβύτερον. 4 αὔξεται δὲ οὐκ ἐν πᾶσιν 15 ὁμοίως. 5 ἀλλ' ἐν μὲν τοῖσι νέοισι τῶν σωμάτων, 6 ἅτε ταχείης ἐούσης τῆς περιφορῆς, 7 καὶ τοῦ σώματος ὄντος αὐξίμου 8 ἐκπυρούμενα καὶ λεπτυνόμενα καταναλίσκεται ἐς τὴν αὔξησιν τοῦ σώματος. 9 ἐν δὲ τοῖσι πρεσβυτέροισιν, 10 ἅτε βραδείης ἐούσης

ricari secundum leges, 3 injuriam facere juste, 4 defraudare, 5 furari, 6 rapere, 7 vinlare honestissima ac turpissima. 8 Qui hæc non facit, malus: 1 qui hæc facit, bonus est. 9 Ostentatio multorum ac vulgi est. desipientiæ 10 hæc esse vident, & unum ex universis bonum judicant, reliquos vero malos. 11 Multi mirantur, pauci cognoscunt. 27

12 Homines in forum progressi eadem perpetrant, 13 defraudant vendentes & ementes. 14 Qui plurimum defraudavit, in admiratione est.

15 Bibentes & insanientes eadem perpetrant, currunt, luctantur, pugnant, furantur, 1 defraudant. 16 Unus ex omnibus præfertur. 28

17 Simulatores 18 & deceptores 19 alia ad scientes dicunt, & alia sentiunt. 20 Iidem ereptant, & irrepunt non iidem. 21 Inest autem homini, alia dicere, alia 51 facere, 22 & eundem non esse eundem, 23 & nunc aliam habere mentem, nunc rursus aliam: 24 Sic quidem artes omnes cum humana natura communicant.

XIIX. Cæterum anima hominis, quemadmodum etiam antea a me dictum est, ignis & 29 aquæ temperamentum habens, 2 partes autem hominis, irrepit in omne animal quod sane spirat, 3 itemque in omnem hominem, & juniorem, & seniorem. 4 Non autem similiter in omnibus augescit, 5 sed in juvenibus corporibus, 6 utpote celeri circumvolutione existente, 7 & corpore aucto, 8 expassæ & attenuatæ 52 partes illæ animæ, in corporis augmentum consumuntur. 9 In senioribus autem, 10 utpote tardo

ἐούσης τῆς κινήσιος, 11 καὶ δὴ ψυχροῦ τοῦ σώματος, 12 καταναλίσκεται ἐς τὴν μείωσιν τοῦ ἀνθρώπου. 13 ὁκόσα δὲ τῶν σωμάτων ἀκμάζοντά ἐστι, 14 καὶ ἐν τῇσιν ἡλικίῃσι τῇσι γονίμῃσι, 15 δύναται τρέφειν καὶ αὔξειν. 16 δυνάσται δὲ ἄνθρωποι, ὅστις δύναται πλείστους ἀνθρώπους τρέφειν, οὗτος ἰσχυρός. 17 ἀπολειπόντων δὲ τῶν παρ' αὐτοῦ τρεφομένων, οὗτος ἀσθενέστερος. 18 τοιοῦτον καὶ ἕκαστον τῶν σωμάτων πλείστας, 19 ὁκοῖα πλείστας δύναται ψυχὰς τρέφειν, ταῦτα ἰσχυρότερα. 20 ἀπελθόντων δὲ τούτων, ἀσθενέστερα. 21 ὅ, τι μὲν οὖν ἐς ἄλλο ἐσέλθῃ, οὐκ αὔξεται· 22 ὃ, τι δὲ ἐς τὴν γυναῖκα, αὔξεται, ἢν τύχῃ τῶν προσηκόντων.

XIX. Διακρίνεται δὲ τὰ μέλεα ἅμα πάντα καὶ αὔξεται· 2 καὶ οὔτε πρότερον οὐδὲν ἕτερον ἑτέρου, οὔθ' ὕστερον· 3 τὰ δὲ μέζω φύσει, πρότερα φαίνεται τῶν ἐλασσόνων, 4 οὐδὲν πρότερα γενόμενα. 5 οὐκ ἐν ἴσῳ δὲ χρόνῳ πάντα διακοσμέεται· 6 ἀλλὰ τὰ μὲν θᾶσσον, τὰ δὲ βραδύτερον, 7 ὅκως ἂν καὶ τοῦ πυρὸς ἐπικαιρίης τύχῃ, καὶ τῆς τροφῆς. 8 τὰ μὲν οὖν ἐν τεσσαράκοντα καὶ τρισὶν ἡμέρῃσιν ἴσχει· 9 τὰ δ' ἐν τετραμήνῳ. 9 ὡσαύτως καὶ γόνιμα γίνεται· 10 τὰ μὲν θᾶσσον, ἑπτάμηνα, τελέως· 11 τὰ δὲ βραδύτερον, ἐννέα μησὶ τελέως ἐς φάος ἀναδείκνυται, 12 ἔχοντα τὴν ξύγκρησιν, ἥνπερ καὶ διὰ παντὸς ἕξει. 13 ἄρρενα μὲν οὖν καὶ θήλεα ἐν τούτῳ τῷ τρόπῳ γίνοιτ' ἂν ὡς ἀνυστόν. 14 τὰ δὲ θήλεα, ἀπὸ ὕδατος μᾶλλον, ἀπὸ τῶν ψυχρῶν καὶ ὑγρῶν καὶ μαλθακῶν αὔξεται, καὶ σιτίων, καὶ ποτῶν, καὶ ἐπι-

existente motu, 11 & corpore frigido, 12 in decrementum hominis consumuntur. 13 Quæcunque autem corpora in vigore sunt, 14 & in ætate fœcunda, 15 eas nutrire & augere possunt. 16 Potentes autem homines, ut quisque plurimos homines alere potest, ita fortis judicatur ac potens: 17 ubi vero defecerint quos alat, imbecillior censetur. 18 Sic etiam circa singula corpora res se habet. 19 Quæcunque plurimas animas nutrire possunt, ea fortiora sunt, 20 ubi vero hæ discesserint, imbecilliora. 21 Quicquid igitur in aliud corpus ingressum fuerit, non augescit. 22 quicquid vero in fœminam, augescit, si ea, quæ ipsi congrua sunt, contingant.

XIX. Discriminantur autem partes, & augescunt simul omnes, 2 & neque prius alteræ alteris, neque posterius. 3 Verum majores natura priores apparent minoribus, 4 quum non priores existant. 5 Non autem in æquali temporis spatio omnes fœtus exornantur, 6 sed alii citius, alii tardius, 7 prout singuli & ignem & alimentum fuerint nacti. 8 Aliqui itaque in quadraginta ac tribus diebus scatiriunt ac formantur, 9 aliqui in quatuor mensibus. 10 Similiter etiam vitales fiunt, ac gignuntur, aliqui citius, septimo mense perfecte: 11 aliqui tardius, perfecte nono mense in lucem prodeunt, & ostendunt 12 se temperamentum habere, quod semper habebunt. 13 Masculi igitur & fœmellæ hoc modo gignuntur, quantum ejus fieri potest. 14 Cæterum fœmellæ ab aqua magis, & à frigidis ac humidis & mollibus augescunt tum cibis, tum potibus, itemque

ἐπιτηδευμάτων. [15] τὰ δὲ ἄρσενα, πρὸς πυρὸς μᾶλλον, ἀπὸ τῶν ξηρῶν δηλαδὴ καὶ θερμῶν, σιτίων τε καὶ λοιπῆς διαίτης.

XX. Ἢν μὲν θῆλυ τεκεῖν βούληται, τῇ πρὸς ὕδωρ διαίτῃ χρηστέον. [2] ἢν δὲ ἄρσενα, τῇ πρὸς πυρὸς ἐπιτηδεύσει διαιτητέον. [3] καὶ οὐ μόνον δεῖ τὸν ἄνδρα διὰ τούτων διαιτῆσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. [4] οὐ γὰρ τὸ ἀπὸ τοῦ ἀνδρὸς μοῦνον αὔξιμόν ἐστιν ἀποκριθὲν, [5] ἀλλὰ καὶ τὸ ἀπὸ τῆς γυναικὸς, διὰ τόδε. [6] ἑκάτερον μὲν τὸ μέρος οὐκ ἔχει ἱκανὴν τὴν κίνησιν τῷ πλήθει τοῦ ὑγροῦ, [7] ὥστε καταναλίσκειν τὸ ἐπιρρέον, [8] "καὶ ξυνίστασθαι" δι' ἀσθενείην τοῦ πυρός. [9] ὁκόταν δὲ κατὰ τωὐτὸ ἀμφότερα ξυμπεσόντα τύχῃ, προσπίπτει πρὸς ἄλληλα, [10] τὸ πῦρ τε πρὸς τὸ πῦρ, καὶ τὸ ὕδωρ ὡσαύτως. [11] ἢν μὲν οὖν ἐν ξηρῇ τῇ χώρῃ "περικινέηται", [12] τὸ πῦρ κρατεῖ τοῦ ξυμπεσόντος ὕδατος [13] καὶ "ἀπὸ τούτου αὔξεται" τὸ πῦρ, [14] ὥστε μὴ κατασβέννυσθαι ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος, [15] "ἀλλά τε, τὸ ἐπιὸν δέχεσθαι καὶ ξυνιστάναι ὑπάρχον. [16] ἢν δὲ ἐς τὸ ὑγρὸν πέσῃ, [17] εὐθέως ἀπ' ἀρχῆς "κατασβέννυται ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος, [18] καὶ διαλύεται" ἐς τὴν μείω τάξιν. [19] ἐν μιῇ δὲ ἡμέρῃ τοῦ μηνὸς ἑκάστου, δύναται ξυστῆναι καὶ κρατῆσαι τῶν ἐπιόντων, [20] καὶ ταῦτ', ἢν τύχῃ ξυμπεσόντα παρ' ἀμφοτέρων κατὰ τὸν τόπον.

XXI. Ξυνίστασθαι δὲ δύναται καὶ τὸ θῆλυ καὶ τὸ ἄρσεν πρὸς ἄλληλα, [2] διότι ἡ μὲν ψυχὴ ταὐτὸ πᾶσι τοῖσιν ἐμψύχοισι, [3] τὸ δὲ σῶμα διαφέρει ἑκάστου. [4] ψυχὴ μὲν οὖν αἰεὶ ὁμοίη, καὶ ἐν μέζονι καὶ ἐλάσσονι. [5] οὐ γὰρ ἀλλοιοῦται, οὔτε διὰ φύσιν, οὔτε δι'

que studiis ac exercitiis. [15] Masculi vero magis ab igne, à siccis videlicet ac calidis cibis & reliqua diæta.

XX. Si igitur fœmellam parere velit, diæta ad aquam vergente utendum est. [2] Si vero masculum, exercitiis ac victu ad ignem tendente utetur. [3] Et non solum virum hoc facere oportet, sed etiam mulierem. [4] Non enim solum quod à viro secernitur auctile est, [5] sed etiam quod à muliere, ob hanc sane caussam. [6] Utraque quidem pars sufficientem motum non habet ad humoris multitudinem, [7] ut quod influit consumat, [8] & propter ignis debilitatem coaugmentantur. [9] Quum vero ambæ in idem coinciderint, mutuo inter se incurrunt ' & obvolvuntur, [10] ignis ad ignem, & aqua similiter. [11] Siquidem igitur in sicco loco circumvolvitur ignis, [12] coillapsam aquam superat, [13] & ab hoc ignis augescit, [14] ne ab illabente unda extinguatur, [15] aliamque accedentem prior illa suscipiat ac sibi consociet. [16] Si vero in humorem inciderit, [17] statim ab initio extinguitur ab illabente unda, [18] & in minorem ordinem dissolvitur. [19] In una autem die uniuscujusque mensis, consociare ac superare ea quæ ' accedunt potest, [20] & hoc si coinciderint ab utrisque in unum locum.

XXI. Consistere autem possunt inter se & fœmella & masculus, [2] propterea quod anima quidem idem est in omnibus animatis: [3] corpus autem uniuscujusque differt. [4] Anima quidem igitur semper similis, & in majore, & in minore. [5] Non enim alteratur neque per naturam, neque per

δι' ἀνάγκην. [6] σῶμα δὲ οὐδέποτε τωὐτὸ οὐδενὸς, οὔτε κατὰ φύσιν, οὔθ' ὑπ' ἀνάγκης· [7] τῇ μὲν διακρίνεται ἐς πάντα· [8] τῇ δὲ ξυμμίσγεται πρὸς ἅπαντα. [9] ἢν μὲν οὖν ἄρσενα τὰ σώματα ἀποκριθέντα ἀμφοτέρων τύχῃ, [10] αὔξεται κατὰ τὸ ὑπάρχον, [11] καὶ γίνονται οὗτοι ἄνδρες λαμπροὶ τὰς ψυχὰς, καὶ τὸ σῶμα ἰσχυροὶ, [12] ἢν μὴ ἀπὸ τῆς διαίτης βλαφθῶσι τῆς ἔπειτα. [13] ἢν δὲ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς ἄρσεν ἀποκριθῇ, [14] τὸ δὲ ἀπὸ τῆς γυναικὸς θῆλυ, [15] καὶ ἐπικρατήσῃ τὸ ἄρσεν· [16] ἢν μὲν τύχῃ, [17] προσμίσγεται πρὸς τὸ ἰσχυρότερον ἢ ἀσθενέστερον· [18] οὐ γὰρ ἔχει πρὸς ὅ τι ὁμοτροφώτερον ἀποχωρήσει τῶν παρεόντων· [19] προσδέχεται γὰρ ἡ μικρὴ τὴν μέζω, καὶ ἡ μέζων τὴν ἐλάσσονα, [20] κοινῇ δὲ τῶν ὑπαρχόντων κρατοῦσι· [21] τὸ δὲ σῶμα τὸ μὲν ἄρσεν αὔξεται, [22] τὸ δὲ θῆλυ μειοῦται, καὶ διακρίνεται ἐς ἄλλην μοίρην. [23] καὶ οὗτοι μὲν ἧσσον τῶν προτέρων λαμπροὶ, [24] ὅμως δὲ, διότι ἀπὸ τοῦ ἀνδρὸς τὸ ἄρσεν ἐκράτησεν, ἀνδρεῖοι γίνονται· [25] καὶ τοὔνομα τοῦτο δικαίως ἔχουσιν. [26] ἢν δὲ ἀπὸ μὲν τῆς γυναικὸς ἄρσεν ἀποκριθῇ, ἀπὸ δὲ τοῦ ἀνδρὸς θῆλυ, [27] κρατήσῃ δὲ τὸ ἄρσεν, [28] αὔξεται τὸν αὐτὸν τρόπον τῷ προτέρῳ, [29] τὸ δὲ μειοῦται. [30] γίνονται δὲ οὗτοι ἀνδρόγυνοι, καὶ καλέονται τοῦτο ὀρθῶς.

XXII. Τρεῖς μὲν οὖν αὗται γενέσιες τῶν ἀνθρώπων. [2] διάφοροι δὲ, πρὸς τὸ μᾶλλον καὶ ἧσσον τὸ τοιοῦτον εἶναι, [3] διὰ τὴν ξύγκρησιν τοῦ ὕδατος τῶν μερέων, καὶ τροφὰς, καὶ παιδεύσιας, καὶ συνηθείας. [4] δηλώσω δὲ προϊόντι τῷ λόγῳ καὶ περὶ τού-

per necessitatem. [6] Corpus autem nunquam idem in ullo aliquo est, neque secundum naturam, neque ex necessitate, [7] propterea quod partim secernatur in omnia, [8] partim permisceatur ad omnia. [9] Siquidem igitur mascula corpora ab utrisque secreta fuerint, [10] augescunt pro re præsenti, [11] & fiunt hi viri animis splendidi, & corpore fortes, [12] si non à diæta postea detrimentum sentiant. [13] Si vero à viro quidem masculum secernatur, [14] à muliere vero fœmineum, [15] & superaverit [16] si ita contingat masculum, ([17] Genitura enim ammiscetur ad fortiorem aut debiliorem, [18] non enim habet ex præsentibus aliquid ad quod familiarius secedere possit. [19] Suscipit enim parva majorem, & major minorem. [20] In commune autem super hæc quæ adsunt dominium exercent,) [21] corpus sane masculum augescit, [22] fœmineum vero minuitur, & in aliam sortem secernitur. [23] Et hi quidem minus prioribus splendidi fiunt, [24] tamen quia masculum à viro superaverit, viriles evadunt, [25] & hoc nomen merito habent. [26] Si vero à muliere quidem masculum secretum fuerit, à viro autem muliebre, [27] superaverit autem masculum, [28] augescit eodem modo sicut prius, [29] fœmineum vero minuitur. [30] Et fiunt hi androgyni, id est viri effœminati, atque sic recte appellantur.

XXII. Tres quidem igitur hæ sunt generationes hominum, [2] differentes in eo quod magis aut minus tales sint, [3] propter partium aquæ temperamentum, & alimenta, & institutiones, ac consuetudines. [4] declarabo autem

τρόπον. [5] τὸ δὲ θῆλυ γίνεται κατὰ τὸν αὐτὸν τρόπον. [6] ἢν μὲν ἀπ' ἀμφοτέρων θῆλυ ἀποκριθῇ, [7] θηλυκώταται καὶ εὐφυέσταται γίνονται. [8] ἢν δὲ τὸ μὲν ἀπὸ τῆς γυναικὸς θῆλυ, τὸ δὲ ἀπὸ τοῦ ἀνδρὸς ἄρσεν, [9] κρατήσῃ δὲ τὸ θῆλυ, [10] αὔξεται τὸν αὐτὸν τρόπον, καὶ θρασύτεραι μὲν τῶν πρόσθεν, [11] ὅμως δὲ κόσμιαι καὶ αὗται. [12] ἢν δ' αὖ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς θῆλυ, τὸ δ' ἀπὸ τῆς γυναικὸς ἄρσεν, [13] κρατήσῃ δὲ τὸ θῆλυ, [14] αὔξεται τὸν αὐτὸν τρόπον, καὶ γίνονται τολμηρότεραι τῶν προτέρων, [15] καὶ ἀνδρεῖαι ὀνομάζονται, [16] εἰ δέ τις ἀπιστεῖ, ψυχὴν μὴ προσμίσγεσθαι ψυχῇ, ἄφρων ἐστίν. [17] ἄνθρακας κεκαυμένους πρὸς κεκαυμένους προσβάλλων, ἰσχυροὺς πρὸς ἀσθενέας, τροφὴν αὐτοῖσι διδούς, [18] ὅμοιον τὸ σῶμα πάντες παρέξονται, καὶ οὐ διάδηλος ὁ ἕτερος τοῦ ἑτέρου, [19] ἀλλ' ἐν ὁκοίῳ σώματι ζωπυρέονται, τοιοῦτον ἀπὸ πάντων ἔσται. [20] ὁκόταν δ' ἀναλώσωσι τὴν ὑπάρχουσαν τροφήν, διακρίνονται ἐς τὸ ἄδηλον. [21] τοῦτο καὶ ἀνθρωπίνη ψυχὴ πάσχει.

XXIII. Περὶ δὲ τῶν διδύμων γινομένων, ὁ λόγος ὧδε δηλώσει. [2] τὸ μὲν πλεῖστον τῆς γυναικὸς ἡ φύσις αἰτίη τῶν μητρέων. [3] ἢν γὰρ ὁμοίως ἀμφοτέρωσε πεφύκασι κατὰ τὸ στόμα, [4] καὶ ἢν ἀναχάσκωσιν ὁμοίως, [5] καὶ ξηραίνονται ἀπὸ τῆς καθάρσιος, [6] δύνανται τρέφειν, [7] ἢν τὰ τοῦ ἀνδρὸς ξυλλαμβάνῃ, ὥστε εὐθὺς ἀποσχίζεσθαι. [8] οὕτω γὰρ ἀνάγκη σχίδνασθαι ἐπ' ἀμφοτέρας τὰς μήτρας ὁμοίως. [9] ἢν μὲν οὖν πολὺ ἐπ' ἀμφοτέρων τὸ σπέρμα

tem in progressu sermonis etiam de his. [5] Cæterum fœmella eodem modo gignitur. [6] Si enim ab utrisque fœmineum secretum fuerit, [7] fœminosissimæ ac ingeniosissimæ fient. [8] Si vero à muliere quidem fœmineum, à viro autem masculum, [9] superaverit autem fœmineum, [10] audaciores quidem prioribus fient, [11] veruntamen ornatæ ac moderatæ etiam ipsæ. [12] Si vero à viro quidem fœmineum, à muliere vero masculum secretum fuerit, [13] & fœmineum superaverit, [14] augescit eodem modo, & fiunt hæ audaciores adhuc prioribus, [15] & viriles ac viragines nominantur. [16] Si autem quis non credat animam animæ ammisceri, demens est. [17] Si quis enim carbones ardentes ad ardentes adjiciat, fortes ad debiles, & alimentum ipsis præbuerit, [18] simile corpus omnes exhibebunt, & alter præ altero non cognoscitur, [19] sed in qualicunque corpore ignem susceperint, tale in omnibus erit: [20] ubi vero præsens alimentum consumpserint, secernuntur ac obscurantur: [21] Idem hoc anima hominis patitur.

XXIII. At vero quomodo gemini nascantur, hoc sermone declarabo. [2] Equidem natura uterorum in fœminis utplurimum in caussa est. [3] Si enim similiter in utramque partem juxta osculum dispositi à natura fuerint, [4] & similiter hiaverint, [5] & à purgatione siccantur, [6] alere possunt, [7] si semen viri conceperint ita ut statim discindatur. [8] Sic enim necesse est dispergi in utrumque uterum similiter. [9] Siquidem igitur multum semen ab utrisque & forte secre-

μα καὶ ἰσχυρὸν ἀποκριθῇ, [10] δύναται ἐν ἀμφοτέρῃσι τῇσι χώρῃσιν αὔξεσθαι. [11] κρατέει γὰρ τῆς τροφῆς τῆς ἐπιούσης. [12] ἢν δὲ καὶ ἄλλως γένηται, οὐ γίνεται δίδυμα. [13] ὁκόταν μὲν οὖν ἄρσεν ἀπ' ἀμφοτέρων ἀποκριθῇ, ἐξ ἀνάγκης ἐν ἀμφοτέροισιν ἄρσενα γίνεσθαι. [14] ὁκόταν δὲ θῆλυ ἀπ' ἀμφοτέρων, θήλεα γίνεται. [15] ὁκόταν δὲ τὸ μὲν θῆλυ, τὸ δὲ ἄρσεν, ὁκότερον ἂν ἑκατέρου κρατήσῃ, τοιοῦτον ἐπαύξει. [16] ὅμοια δὲ ἀλλήλοισι τὰ δίδυμα διὰ τόδε γίνεται. [17] ὅτι πρῶτον μὲν ἴσα τὰ χωρία, ἐν οἷς αὔξεται. [18] ἔπειτα ὅτι καὶ ἅμα ἀπεκρίθη. [19] ἔπειτα τῇσιν αὐτῇσι τροφῇσιν αὔξεται. [20] γόνιμά τε ἀνάγεται ἐς φάος.

XXIV. Ἐπίγονα δὲ τῷδε τῷ τρόπῳ γίνεται. [2] ὁκόταν αἵ τε μῆτραι θερμαὶ καὶ ξηραὶ φύσει ἔωσιν, ἥ τε γυνὴ τοιαύτη, τό, τε σπέρμα ξηρὸν καὶ θερμὸν ἐμπέσῃ, [3] οὐκ ἔτι γίνεται ἐν τῇσι μήτρῃσιν ὑγρασίη οὐδεμίη, ἥτις τὸ ἐπελθὸν σπέρμα κρατήσει. [4] διὰ τοῦτο ξυνίσταται ἐξ ἀρχῆς, καὶ ζώει. [5] διατελέειν δὲ οὐ δύναται, [6] ἀλλὰ καὶ τὸ ὑπάρχον προσδιαφθείρει. [7] διότι οὐ ταὐτὰ ξυμφέρει ἀμφοῖν. [8] ὕδατος δὲ τὸ λεπτότατον, καὶ πυρὸς τὸ ἀραιότατον ξύγκρησιν λαβόντα ἐν ἀνθρώπου σώματι, [9] ὑγιεινοτάτην ἕξιν ἀποδείκνυσι, διὰ τάδε· [10] ὅτι ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ τῶν ὡρέων τῇσι μεγίστῃσιν, [11] οὔτε τὸ ὕδωρ ἐς τὸ πυκνότατον ἐπὶ τῇσι τοῦ ὕδατος ἐφόδοισιν, [12] οὔτε τὸ πῦρ ἐν τῇσι τοῦ πυρός. [13] οὔτε τῶν ἡλικιῶν ἐν τῇσι μεταστάσεσιν, [14] οὔτε τῶν σιτίων καὶ ποτῶν ἐν τοῖσι διαιτήμασι. [15] δύναται γὰρ κινήσιός τε πλείστης δέξασθαι ἀμφότερα.

secretum fuerit, [10] in utrisque locis augeri potest, [11] dominium enim habet in alimentum quod accedit. [12] Si vero aliter contingat, gemini non fiunt. [13] Quum itaque masculum ab utrisque secretum fuerit, necessarium est in utrisque masculos gigni: [14] quum vero fœmineum ab utrisque, fœmellæ fiunt: [15] quum autem alterum fœmineum, alterum masculum fuerit, utrum altero prævalescet, id ipsum augescet pro ea ratione. [16] Similes porro inter se fiunt gemelli, ob hanc caussam. [17] Primum quidem quod æquales sunt loci in quibus augescunt: [18] Deinde quod simul secreti sunt: [19] Postea quod iisdem alimentis augescunt, [20] vitalesque in lucem prodeunt.

XXIV. Cæterum superfœtationes hoc modo fiunt. [2] Quum uteri calidi & sicci natura fuerint, ipsaque mulier ejusmodi, & semen calidum ac siccum illapsum fuerit, [3] non fit amplius ulla aliqua humiditas in uteris, quæ semen superillabens contineat. [4] Quapropter consistit ab initio ac vivit, [5] perseverare autem non potest, [6] sed etiam id quod jam adest insuper corrumpit, [7] quia non eadem utrisque conferunt. [8] Etenim quod tenuissimum est in aqua, & quod rarissimum in igne, si in hominis corpore temperamentum acceperint, [9] sanissimum habitum constituunt. Propterea [10] quod neque in temporum anni maximis mutationibus, [11] aqua densissima evadit in aquæ impetuosis incursibus, [12] neque ignis in ignis impetu. [13] neque in regionum permutationibus, [14] neque in ciborum ac potuum alterationibus. [15] Possunt enim ambo & generationem

φύσιος καὶ πλησμονῆς. 16 χαλκὸς ὁ μαλακώτατός τε καὶ ἀραιότατος, πλείστην κρῆσιν δέχεται, καὶ γίνεται κάλλιστος. 17 καὶ ὕδατος τὸ λεπτότατον, καὶ πυρὸς τὸ ἀραιότατον, ξύγκρησιν λαμβάνοντα ὡσαύτως. 18 οἱ μὲν οὖν τοιαύτην ἔχοντες τὴν φύσιν, ὑγιαίνοντες διατελέουσι τὸν πάντα χρόνον, 19 μέχρι τεσσαράκοντα ἐτέων· 20 οἱ δὲ καὶ μέχρι γήρως τοῦ ἐσχάτου. 21 ὁκόσοι δ' ἂν ληφθῶσιν ὑπὸ νοσήματός τινος ὑπὲρ τεσσαράκοντα ἔτεα, οὐ μάλα διαφυγγάνουσιν.

XXV. Ὁκόσα δὲ τῶν σωμάτων σύγκρησιν λαμβάνει πυρὸς τοῦ ἰσχυροτάτου, καὶ ὕδατος τοῦ πυκνοτάτου, 2 ἰσχυρὰ μὲν καὶ ἐῤῥωμένα τὰ σώματα γίνεται, 3 φυλακῆς δὲ πολλῆς δεόμενα. 4 μεγάλας γὰρ τὰς μεταβολὰς ἔχει ἐπ' ἀμφότερα· 5 καὶ ἐν τῇσι τοῦ ὕδατος ἐφόδοισιν ἐς νοσήματα πίπτουσι, 6 καὶ ἐν τῇσι τοῦ πυρὸς ὡσαύτως. 7 τοῖσιν οὖν διαιτήμασι ξυμφέρει χρέεσθαι τὸν τοιοῦτον πρὸς τὰς ὥρας τοῦ ἔτεος ἐναντιούμενον. 8 ὕδατος μὲν ἐφόδου γινομένης, [τοῖσι πρὸς πυρός· πυρὸς δὲ ἐφόδου γινομένης,] τοῖσι πρὸς ὕδατος χρέεσθαι, 9 κατὰ μικρὸν μεθιστάντα. 10 τὰ μὲν ἀπὸ τῆς ὥρης, ὕδατός τε τοῦ παχυτάτου καὶ πυρὸς τοῦ λεπτοτάτου ξυγκρηθέντων ἐν τῷ σώματι, τοιαῦτα ξυμβαίνει. 11 ἐξ ὧν διαγινώσκειν χρὴ ψυχρὴν φύσιν καὶ ὑγρήν. 12 τοιαῦτα τὰ σώματα ἐν τῷ χειμῶνι νοσερώτερα, ἢ ἐν τῷ θέρει, 13 καὶ ἐν τῷ ἦρι, ἢ ἐν τῷ φθινοπώρῳ. 14 τῶν ἡλικιέων ὑγιηρότατοι τῶν τοιούτων οἱ παῖδες, 15 δεύτεροι νεανίσκοι· 16 νοσερώτατοι δὲ, οἱ πρεσβύτεροι καὶ οἱ ἔγγιστα. 17 καὶ ταχέως γηράσκουσιν αἱ φύσιες

nem & satietatem plurimam suscipere. 16 Æs mollissimum ac rarissimum, plurimum temperamentum suscipit, ac optimum evadit. 17 Eodem modo etiam quod tenuissimum est in aqua, ac rarissimum in igne, ubi temperamentum acceperint. 18 Qui igitur hanc naturam habent, sani perseverant omni tempore 19 usque ad quadragesimum annum, 20 aliqui vero etiam usque ad extremam senectutem. 21 Qui vero à quadragesimo anno, à morbo aliquo correpti fuerint, nunquam ferme evadunt.

XXV. Quæcunque autem corpora ignis fortissimi, & aquæ densissimæ temperamentum acceperint, 2 fortia & robusta fiunt, 3 verum multa custodia opus habent. 4 Magnas enim transmutationes in utranque partem habent, 5 & in aquæ incursibus in morbos incidunt, 6 & in ignis consimiliter. 7 Qui igitur ejusmodi naturam habet, eum victu uti conducibile est temporibus anni contrario. 8 Et aquæ quidem incursu contingente, [qui ad ignem; ignis vero incursu contingente, qui ad aquam deflectat,] uti oportebit eum ab his quæ ab aqua sunt, 9 paulatim pro temporum ratione discedendo. 10 Porro ubi aquæ crassissimæ & ignis tenuissimi in corpore mixtura facta est, talia contingunt, 11 ex quibus frigidam & humidam naturam cognoscere oportet. 12 Talia enim corpora in hyeme morbosiora sunt, quam in æstate, 13 & in vere quam in autumno. 14 Cæterum quod ad ætates attinet, sanissimi ex talibus pueri sunt: 15 deinde adolescentes. 16 morbosissimi autem senes, & his vicini. 17 & hæ naturæ

σιος αὐτῇ. 18 διαιτεῖσθαι δὲ ξυμφέρει τοῖσι τοιούτοισιν, ὁκόσα θερμαίνει καὶ ξηραίνει, καὶ πόνοισι καὶ σιτίοισι. 19 καὶ πρὸς τὰ ἔξω τοῦ σώματος μᾶλλον τοὺς πόνους ποιέεσθαι, ἢ πρὸς τὰ εἴσω. 20 ἢν δὲ λάβῃ πυρός τε τὸ ὑγρότατον καὶ ὕδατος τὸ πυκνότατον, ξύγκρησιν ἐν τῷ σώματι, τοῖσι δεῖ γινώσκειν ὑγρὴν καὶ θερμὴν φύσιν. 21 κάμνουσι μὲν μάλιστα οἱ τοιοῦτοι ἐν τῷ ἦρι· ἥκιστα δὲ ἐν τῷ φθινοπώρῳ· 22 ὅτι ἐν μὲν τῷ ἦρι ὑπερβολὴ τῆς ὑγρασίης· 23 ἐν δὲ τῷ φθινοπώρῳ, ξυμμετρίη τῆς ξηρασίης. 24 τῶν δὲ ἡλικιέων νοσερώταται, ὁκόσαι νεώτεραί εἰσιν. 25 αὔξεται δὲ τὰ σώματα ταχέως. 26 καταῤῥοώδεές τε οἱ τοιοῦτοι γίνονται. 27 διαιτεῖσθαι δὲ ξυμφέρει, ὁκόσα ξηραίνοντα ψύχει, καὶ σίτων, καὶ ποτῶν, καὶ πόνων. 28 τοὺς δὲ πόνους τοῖσιν εἴσω τοῦ σώματος ποιέεσθαι ξυμφέρει μάλιστα.

XXVI. Εἰ δὲ ξύγκρησιν λάβοι πυρός τε τὸ ἰσχυρότατον καὶ ὕδατος τὸ λεπτότατον, 2 ξηρὴ ἡ [τοιαύτη] φύσις καὶ θερμή. 3 νοῦσος μὲν τοῖσι τοιούτοισιν ἐν τῇσι τοῦ πυρὸς ἐφόδοισιν, 4 ὑγιείη δὲ ἐν τῇσι τοῦ ὕδατος. 5 ἡλικίῃσιν ἀκμαζούσῃσι πρὸς σαρκὸς εὐεξίην νοσερώταται· 6 ὑγιηρόταται δὲ αἱ πρεσβύταται, 7 καὶ τὰ ἔγγιστα ἑκατέρων. 8 δίαιται δὲ ὁκόσαι ψύχουσι καὶ ὑγραίνουσι, 9 καὶ τῶν πόνων ὁκόσοι ἥκιστα ἐκθερμαίνοντες καὶ συντήκοντες, πλείστην ψύξιν παρέχωσι. 10 αἱ τοιαῦται φύσιες μακροβιώταται καὶ ὑγιηρόταται γίνονται.

XXVII. Ἢν δὲ ξύγκρησιν λάβῃ πυρός τε τοῦ ἀραιοτάτου καὶ ὕδατος τοῦ ξηροτάτου, ξηρὴ καὶ ψυχρὴ ἡ τοιαύτη φύσις. 2 νοσερὴ μὲν ἐν τῷ φθινοπώρῳ, 3 ὑγιηρὴ δὲ ἐν τῷ ἦρι, καὶ

turæ cito ſeneſcunt. 18 Talibus in victu conferunt, quæ calfaciunt ac ſiccant, tum in cibis, tum in exercitiis: 19 & externas corporis partes magis quam internas exercere conducit. 20 Si vero humidiſſimum in igne, & denſiſſimum in aqua, in corpore mixturam acceperint, ex his humidam ac calidam naturam cognoſcere oportet. 21 Laborant quidem ex morbis hujuſmodi maxime in vere, minime in autumno: 22 quia in vere exceſſus eſt humiditatis, 23 in autumno vero ſymmetria & moderatio ſiccitatis. 24 Ex ætatibus vero morboſiſſimæ ſunt juniores: 25 corpora autem cito augeſcunt, 26 & tales diſtillationibus obnoxii ſunt. 27 His conducit exhibere quæcunque ſiccant ac frigefaciunt, & in cibo, & in potu ac laboribus. 28 Verum labores intra corpus his facere maxime confert.

XXVI. Si vero mixturam acceperint, fortiſſimum in igne, & tenuiſſimum in aqua, 2 ſicca & calida eſt natura, 3 & talibus morbus in ignis acceſſionibus contingit, 4 ſanitas vero in aqua. 5 Et in ætatibus vigentibus ad carnis bonam habitudinem, morboſiſſimi ſunt, 6 ſaniſſimi autem ſenes. 7 Ita etiam utriſque proximi. 8 Diætæ quæ frigefaciunt ac humectant, 9 & ex laboribus qui minime excalfaciunt ac colliquant, plurimam frigiditatem exhibebunt. 10 Hujuſmodi naturæ vivaciſſimæ ac ſaniſſimæ exiſtunt.

XXVII. Si autem mixturam acceperint corpora ignis rariſſimi, & aquæ ſicciſſimæ, ſicca & frigida talis natura eſt: 2 morboſa quidem in autumno, 3 ſana vero

καὶ πίσιν ἔχουσι. [4] ὡσαύτως ἡλικίαι πρὸς ἔτεα τεσσαράκοντα νοσεραί, [5] παῖδες ὑγιηρότεροι, [6] καὶ τὰ προσεχέα ἐκείνοισι. [7] δίαιται ὁκόσαι θερμαὶ ἐοῦσαι ὑγραίνουσι, [8] καὶ πόνοι ἐξ ὀλίγου προσαγόμενοι, ἡσυχῇ διαθερμαίνοντες, μὴ πολὺ ἀπὸ τῶν ὑπαρχόντων φέροντες. [9] περὶ μὲν οὖν φύσιος διαγνώσιος, οὕτω χρὴ διαγινώσκειν τῆς ἐξ ἀρχῆς ξυστάσιος.

XXIIX. Αἱ δὲ ἡλικίαι αὗται πρὸς ἑαυτὰς ὧδε ἔχουσι. [2] παῖς μὲν οὖν κέκρηται ὑγροῖσι καὶ θερμοῖσι, [3] διότι ἐκ τούτων ξυνέστηκε, [4] καὶ ἐν τούτοισιν ηὐξήθη. [5] ὑγρότατα μὲν οὖν καὶ θερμότατα ὁκόσα ἔγγιστα γενέσιος, [6] καὶ αὔξεται ὡς πλεῖστον, [7] καὶ τὰ ἐχόμενα ὡσαύτως. [8] νεηνίσκος δὲ, θερμὸς μὲν, [9] ὅτι τοῦ πυρὸς ἐπικρατέει ἡ ἔφοδος τοῦ ὕδατος. [10] ξηρὸς δὲ, ὅτι τὸ ὑγρὸν ἤδη καταναλωται τὸ ἐκ τοῦ παιδός. [11] τὸ μὲν ἐς τὴν αὔξησιν τοῦ σώματος. [12] τὸ δὲ ἐς τὴν κίνησιν τοῦ πυρός· [13] τὸ δὲ ὑπὸ τῶν πόνων. [14] ἀνὴρ, ὁκόταν στῇ τὸ σῶμα, ξηρὸς καὶ ψυχρός. [15] διότι τοῦ μὲν θερμοῦ ἡ ἔφοδος οὐκ ἔτι ἐπικρατέει, [16] ἀλλ' ἕστηκεν ἀτρεμίζον τὸ σῶμα τῆς αὐξήσιος, καὶ κατέψυκται. [17] ἐκ δὲ τῆς νεωτέρης ἡλικίης τὸ ξηρὸν ἔνι· [18] ἀπὸ δὲ τῆς ἐπιούσης ἡλικίης καὶ τοῦ ὕδατος τῆς ἐφόδου οὐκ ἔχων τὴν ὑγρασίην. [19] διὰ ταῦτα ξηροῖσι καὶ ψυχροῖσι κρατέεται. [20] οἱ δὲ πρεσβῦται, ψυχροὶ καὶ ὑγροί· [21] διότι πυρὸς μὲν ἀποχώρησις, ὕδατος δὲ ἔφοδος· [22] καὶ ξηρῶν μὲν ἀπάλλαξις, ὑγρῶν δὲ καθίστασις. [23] τῶν δὲ πάντων, τὰ μὲν ἄρσενα θερμότερα καὶ ξηρότερα, [24] τὰ δὲ θήλεα ὑγρότερα καὶ ψυχρότερα, διὰ

vero in vere, & vicinis temporibus. [4] Similiter ætates ad annos quadraginta morbosæ, [5] pueri sanissimi, [6] ita & utrisque proximi. [7] Diætæ his conferunt quæ calidæ existentes humectant, [8] & labores sensim adhibiti, leniter calefacientes, & non multum ab his quæ adsunt auferentes. [9] De naturæ igitur cognitione sic à prima constitutione cognoscere oportet.

XXIIX. Cæterum ætates ipsæ ad seipsas hoc modo habent [2] Puer itaque ex calidis & humidis temperatus est, [3] quia ex his constitutus est, [4] & in his augmentum accepit. [5] Humidissima igitur & calidissima sunt corpora proxima generationi, [6] & augescunt quam plurimum, [7] & quæ his proxima sunt eodem modo. [8] Adolescens autem calidus quidem est, [9] quia ignis impetus aquæ dominatur: [10] siccus autem, quia humidum ex puero consumptum est, [11] partim in augmentum corporis, [12] partim in motum ignis, [13] partim præ laboribus ac exercitiis. [14] Vir quum steterit jam corpus, siccus est & frigidus, [15] quia caliditatis impetus non amplius dominatur, [16] sed stat corpus ab augmento quiescens, ac perfrigeratum: [17] verum ex adolescenti ætate, siccitas inest: [18] ab insequenti autem ætate & aquæ accessu, humiditatem non habet. [19] quapropter ex siccis & frigidis exuperatus est. [20] Senes autem frigidi sunt & humidi: [21] quia ignis quidem recessus contigit, aquæ autem accessus, [22] & siccorum quidem sublatio, humidorum autem status. [23] Ex omnibus autem masculi calidiores sunt & sicciores, [24] fœminæ vero humidio-

διαιτέονται. [25] ὅτι τε ἀπ' ἀρχῆς ἐν τοιούτοισιν ἑκάτερα ἐγένετο, καὶ ἀπὸ τουτέων αὔξεται. [26] γενόμενά τε [τὰ μὲν ἄρσενα] τῇσι διαίτῃσιν ἐπιπονωτέρῃσι χρέεται, ὥστε ἐκθερμαίνεσθαι καὶ ἀποξηραίνεσθαι. [27] τὰ δὲ θήλεα ὑγροτέρῃσι καὶ ῥαθυμοτέρῃσι τῇσι διαίτῃσι χρέεται· [28] καὶ κάθαρσιν τοῦ θερμοῦ ἐκ τοῦ σώματος ἑκάστου μηνὸς ποιέεται.

XXIX. Περὶ δὲ φρονήσιος ψυχῆς καὶ ἀφροσύνης ὀνομαζομένης, ὧδε ἔχει. [2] πυρὸς τὸ ὑγρότατον, καὶ ὕδατος τὸ ξηρότατον, κρῆσιν λαβόντα ἐν τῷ σώματι, φρονιμώτατα. [3] διότι τὸ μὲν πῦρ ἔχει ἀπὸ τοῦ ὕδατος τὸ ὑγρὸν, [4] τὸ δὲ ὕδωρ ἀπὸ τοῦ πυρὸς τὸ ξηρόν. [5] ἑκάτερον δὲ οὕτως αὐταρκέστατον. [6] οὔτε τὸ πῦρ, τῆς τροφῆς ἐνδεέστερον, ἐπὶ πολὺ φοιτᾷ, [7] οὔτε τὸ ὕδωρ, τῆς κινήσιος ἐπὶ πολὺ δεόμενον, κουφοῦται. [8] αὐτό τε οὖν ἑκάτερον οὕτως αὐταρκέστατόν ἐστι, πρός τ' ἄλληλά τε κρηθέντα. [9] ὅτι γὰρ ἐλάχιστα τῶν πέλας δέεται, τοῦτο μάλιστα τοῖσι παρεοῦσι προσέχει· [10] πυρός τε τὸ ἥκιστα κινεύμενον, μὴ ὑπ' ἀνάγκης· [11] καὶ ὕδατος τὸ μάλιστα, μὴ ὑπὸ βίης. [12] ἐκ τούτων δὲ ἡ ψυχὴ ξυγκρηθεῖσα, φρονιμωτάτη καὶ μνημονικωτάτη. [13] εἰ δέ τινι ἐπαγωγῇ χρεομένη τούτων ὁκότερον οὖν αὐξηθείη ἢ μαραίνοιτο, ἀφρονέστατον ἂν γένοιτο. [14] διότι οὕτως ἔχοντα αὐταρκέστατα.

XXX. Εἰ δὲ πυρὸς τοῦ εἰλικρινεστάτου καὶ ὕδατος ξύγκρησιν λάβοι, [2] ἐνδεέστερον δὲ τὸ πῦρ εἴη τοῦ ὕδατος ὀλίγον, [3] φρόνιμοι μὲν καὶ οὗτοι, [4] ἐνδεέστεροι δὲ τῆς προτέρης. [5] διότι κρατεόμενον

diores ac frigidiores. Propterea [25] quod ab initio utrique in talibus geniti sunt, & à talibus augescunt. [26] Ubi vero in lucem editi sunt masculi, victu ac diæta laboriosiore utuntur, ut excalescant ac resiccentur. [27] Fœminæ vero humidioribus ac pigrioribus diætis utuntur, [28] & caliditatis purgationem ex corpore singulis mensibus faciunt.

XXIX. Porro de animæ sapientia ac desipientia, hoc modo se res habet. [2] Quod humidissimum est in igne, & siccissimum in aqua, si in corpore temperamentum acceperint, sapientissima sunt. [3] Quia ignis quidem habet humiditatem ab aqua, [4] aqua autem siccitatem ab igne: [5] uterque autem sic sufficientissimus est. [6] Neque ignis alimenti indigentior multum procedit, [7] neque aqua motus indiga multum levis redditur. [8] Sic itaque utraque & per se sufficientissima sunt, & inter se permixta. [9] Quod enim minime vicinis indiget, hoc maxime præsentibus obtemperat, [10] velut ignis qui minime movetur, non præ necessitate: [11] & aqua quæ maxime, non præ violentia. [12] Ex his autem anima temperata, sapientissima est, & memoria valentissima prædita. [13] Si vero aliquo ascitamento utens, alterutrum horum augescat aut contabescat, desipientissima redditur, [14] propterea quod quum sic habeant, sufficientissima existunt.

XXX. Si autem ignis sincerissimi, itemque aquæ temperamentum anima sortiatur, [2] sit autem ignis paulo inferior ac defectuosior quam aqua, [3] sapientes quidem sunt etiam hi, [4] verum defectuosiores quam in priore temperamento: [5] propterea quod ignis

μένον τὸ πῦρ ὑπὸ τοῦ ὕδατος, καὶ βραδυτέρην τὴν κίνησιν ποιεύμενον, νωθρότερον προσπίπτει πρὸς τὰς αἰσθήσιας. [6] Ἐπίμονοι δ' εἰσὶν ἐπιεικέως αἱ τοιαῦται ψυχαὶ, πρὸς ὅ, τι ἂν προσέχωσιν. [7] Εἰ δὲ ὀρθῶς διαιτῷντο, καὶ φρονιμώτεροι καὶ ὀξύτεροι γένοιντο παρὰ τὴν φύσιν. [8] Ξυμφέρει δὲ τοῖσι τοιούτοισι, τοῖσι πρὸς τὸ πυρὸς διαιτήμασι μᾶλλον χρέεσθαι, [9] καὶ μὴ πλησμονῇσι, μήτε σιτίων, μήτε πομάτων. [10] Δρόμοισιν οὖν χρέεσθαι ὀξέσιν, [11] ὅκως τοῦ τε ὑγροῦ κενῶται τὸ σῶμα, [12] καὶ τὸ ὑγρὸν ἱστῆται θᾶσσον. [13] Πάλῃσι δὲ, καὶ τρίψεσι, καὶ τοῖσι τοιούτοισι γυμνασίοισιν, οὐ ξυμφέρει χρέεσθαι, [14] ὅκως μὴ κοιλοτέρων τῶν πόρων γινομένων, πλησμονῆς πληρῶνται. [15] Βαρύνεσθαι γὰρ ἀνάγκη τῆς ψυχῆς τὴν κίνησιν ὑπὸ τῶν τοιούτων.

XXXI. Τοῖσι τε περιπάτοισι ξυμφέρει χρέεσθαι, καὶ ἀπὸ δείπνου καὶ ὀρθρίοισι, καὶ ἀπὸ τῶν δρόμων. [2] Ἀπὸ δείπνου μὲν, ὅκως τροφὴν ξηροτέρην ἡ ψυχὴ δέχηται ἀπὸ τῶν ἐσιόντων. [3] ὀρθρίους δὲ, ὅκως αἱ διέξοδοι κενῶνται τοῦ ὑγροῦ, καὶ μὴ φράσσωνται οἱ πόροι τῆς ψυχῆς. [4] Ἀπὸ δὲ τῶν γυμνασίων, ὅκως μὴ ἐγκαταλείπηται ἐν τῷ σώματι τὸ ἀποκριθὲν ἀπὸ τοῦ δρόμου, [5] μηδὲ ξυμμίσγηται τῇ ψυχῇ, [6] μηδὲ ἐμφράσσῃ τὰς διεξόδους, [7] μηδὲ ξυνταράσσῃ τὴν τροφήν. [8] Ξυμφέρει δὲ καὶ ἐμέτοισι χρέεσθαι, [9] ὅκως ἀποκαθαίρηται τὸ σῶμα, [10] εἴ τι ἐνδεέστερον οἱ πόνοι διαπεπρήχασιν. [11] Προσάγειν δὲ ἀπὸ τῶν ἐμέτων, ἐν μακρῷ προστιθέντα τὸ σιτίον, ἐς ἡμέρας τέσσαρας τὰς ἐλαχίστας. [12] Χρίεσθαι δὲ ξυμφορώτερον ἢ λούεσθαι. [13] Λαγνεύειν δὲ, [14] τοῦ ὕδατος ἐφόδων γινομένων, πλέονα· [15] ἐν δὲ τῇσι τοῦ πυρὸς ἐπιφορῇσι, μείονα.

XXXII. Εἰ

ignis ab aqua superatus, & tardiorem motum faciens, segnius sensibus allabitur. [6] constantes autem cum mansuetudine sunt ejusmodi animæ, ad quamcunque tandem rem animum applicuerint. [7] Si vero recto victu utantur, & sapientiores & acutiores præter naturam fieri queant. [8] Talibus confert victu uti ad ignem magis tendente, [9] & non repletionibus, neque ciborum, neque potuum. [10] Cursibus itaque utendum est velocibus, [11] quo & corpus humore evacuetur, [12] & humor amplius citius sistatur. [13] Luctis autem & fricationibus & ejusmodi exercitiis uti non conducit, [14] ut ne meatus caviores redditi repleantur. [15] A talibus enim animæ motum gravari necesse est.

XXXI. Confert & deambulationibus uti, tum à cœna, tum mane, itemque à cursibus. [2] A cœna quidem, quo alimentum siccius anima suscipiat ab ingredientibus ac ingestis. [3] Mane vero, quo transitus humoris evacuentur, & meatus animæ non obturentur. [4] Ab exercitiis vero, ut ne in corpore relinquatur quod secretum est à cursu, [5] neque animæ commisceatur, [6] ne quid transitus obturet, [7] neque alimentum conturbet. [8] Confert & vomitibus uti, [9] quo corpus depurgetur, [10] si quid defectuosius labores transegerunt; [11] à vomitu autem paulatim adjiciendo cibus offerendus est, minimum ad quatuor dies. [12] At vero ungi conducibilius est quam lavari. [13] Coitu utendum est, [14] aquæ accessibus contingentibus, frequentiore, [15] in ignis autem impressionibus, pauciore.

XXXII. Por-

XXXII. Εἰ δέ τινι ἐνδεεστέρην τὴν δύναμιν τὸ πῦρ λάβοι τοῦ ὕδατος, [2] βραδυτέρην ἀνάγκη ταύτην εἶναι. [3] καὶ καλέονται οἱ τοιοῦτοι ἠλίθιοι. [4] ἅτε γὰρ βραδείης ἐούσης τῆς περιόδου, κατὰ βραχύ τι προσπίπτουσιν αἱ αἰσθήσιες· [5] καὶ ὀξεῖαι ἐοῦσαι, ἐπ' ὀλίγον ξυμμίσγονται διὰ βραδυτῆτα τῆς περιόδου. [6] αἱ γὰρ αἰσθήσιες τῆς ψυχῆς, ὁκόσαι μὲν δι' ὄψιος καὶ ἀκοῆς εἰσιν, ὀξεῖαι· [7] ὁκόσαι δὲ διὰ ψαύσιος, βραδύτεραι καὶ εὐαισθητότεραι. [8] τούτων μὲν οὖν αἰσθάνονται καὶ οἱ τοιοῦτοι οὐδὲν ἧσσον, οἷον τῶν ψυχρῶν καὶ θερμῶν καὶ τῶν τοιούτων. [9] ὁκόσα δὲ δι' ὄψιος ἢ ἀκοῆς αἰσθέσθαι δεῖ, ἃ μὴ πρότερον ἐπίστανται, οὐ δύνανται αἰσθάνεσθαι. [10] ἢν γὰρ μὴ σεισθῇ ἡ ψυχὴ ὑπὸ τοῦ πυρὸς προσπεσόντος, οὐκ ἂν αἴσθοιτο ὁκοῖόν τί ἐστιν. [11] αἱ δὲ τοιαῦται ψυχαὶ οὐ πάσχουσι τοῦτο διὰ παχύτητα. [12] εἰ δὲ ὀρθῶς διαιτῷτο, βελτίων γένοιτο ἂν καὶ ὁ τοιοῦτος. [13] ξυμφέρει δὲ οὖν τὰ διαιτήματα, ἅπερ τῷ προτέρῳ· [14] ξηροτέροισι δὲ χρέεσθαι καὶ ἐλάσσοσι τοῖσι σιτίοισι· [15] τοῖσι δὲ πόνοισι, πλέοσι καὶ ὀξυτέροισι. [16] ξυμφέρει δὲ καὶ πυριῆσθαι, [17] καὶ ἐμέτοισι χρέεσθαι ἐκ τῶν πυριησίων, [18] καὶ προσαγωγῇσιν ἐκ τῶν ἐμέτων ἐκ πλέονος χρόνου, [19] ἢν ποιῇ ἐνδεέστερον. [20] καὶ ταῦτα ποιέων, ὑγιεινότερος ἂν καὶ φρονιμώτερος εἴη.

XXXIII. Ἢν δὲ κρατηθείη ἐπὶ πλεῖον τὸ πῦρ ὑπὸ τοῦ ἐόντος ὕδατος, [2] τούτους ἤδη οἱ μὲν ἄφρονας ὀνομάζουσιν, [3] οἱ δὲ ἐμβροντήτους. [4] ἔστι δὲ ἡ μανίη τούτων ἐπὶ τὸ βραδύτερον. [5] οὗτοι κλαίουσί τε, οὐδενὸς λυπέοντος ἢ τύπτοντος, [6] δεδίασί τε τὰ μὴ φοβερά, [7] λυπέονται ἐπὶ τοῖσι μὴ προσήκουσι, [8] καὶ αἰσθάνονται,

XXXII. Porro si in aliqua anima defectuosiorem vim ignis accipiat quam aqua, [2] eam tardiorem esse necesse est: [3] & appellantur tales stolidi. [4] Nam & tardiore existente circuitu, sensus paulatim allabuntur, [5] & qui acuti existunt, parum commiscentur, propter circuitus tarditatem. [6] Sensus enim animæ, qui per visum ac auditum contingunt, acuti sunt: [7] qui vero per tactum, tardiores & facilius percipiuntur. [8] hos quidem igitur percipiunt etiam tales nihilominus, velut sunt frigida & calida ac consimilia. [9] Quæ vero per visum aut auditum percipere oportet, quæ non prius sciunt, percipere non possunt. [10] Si enim non commota fuerit anima ab igne illabente, non percipere poterit quale quid tandem sit. [11] Tales igitur animæ non perpetiuntur hoc ob celeritatem. [12] Si autem recta diæta utatur, etiam talis homo melior fieri possit. [13] Conferunt itaque huic eadem quæ priori. [14] Verum siccioribus ac paucioribus cibis utetur, [15] laboribus autem pluribus & acutioribus ac velocioribus. [16] Confert & fomentis uti, [17] & vomitibus à fomentis, [18] & exhibitionibus ciborum à vomitibus ex longiori tempore, [19] si defectuosius contigerint vomitus. [20] Et sane hæc faciens, sanior ac sapientior fuerit.

XXXIII. Si vero amplius adhuc superetur ignis à præsenti aqua, [2] hos jam alii desipientes, [3] alii attonitos sive stupidos appellant: [4] Et hæc insaniæ quædam species tardior existit. [5] hi plorant nemine molestante aut verberante, [6] formidantque non formidanda, [7] & tristantur in rebus nihil ad se pertinentibus, [8] & sentiunt ea quæ

νται), οἷσιν οὐ προσήκει τοῖς φρονέουσι. [9] ξυμφέρει τοιγαροῦν τούτοισι πυριῆσθαι, [10] καὶ ἐλλεβόροισιν ἐκκαθαίρεσθαι ἐκ τῶν πυριησίων, [11] καὶ διαίτῃ χρέεσθαι, ᾗ εἶπον πρότερον. [12] ἰσχνασίης δὲ τινὸς μὲν οὕτως δέεται, καὶ ξηρασίης.

XXXIV. Εἰ δὲ τὸ ὕδωρ ἐνδεέστερον τὴν δύναμιν λάβοι τοῦ πυρὸς, [2] εἰλικρινῆ τὴν σύγκρησιν ἐχόντων, [3] ὑγιαίνουσι σώμασι [4] φρόνιμοι. [5] ἡ δὲ τοιαύτη ψυχὴ ταχέως αἰσθανομένη τῶν προσπιπτόντων, [6] οὐ μεταπίπτουσα πολλάκις ἐστί. [7] φύσις μὲν οὖν ἡ τοιαύτη ψυχῆς ἀγαθῆς. [8] βελτίων δὲ γίνοιτο, ὀρθῶς διαιτώμενος, [9] καὶ κακίων, μὴ ὀρθῶς. [10] ξυμφέρει δὲ τῷ τοιούτῳ τῇ διαίτῃ χρέεσθαι τῇ πρὸς ὕδατος μᾶλλον, [11] ὑπερβολὰς φυλασσόμενον καὶ σιτίων, καὶ πομάτων, καὶ πόνων [12] καὶ δρόμοισι καμπτοῖσι καὶ διαύλοισι, [13] καὶ πάλῃσι, καὶ τοῖσιν ἄλλοισι γυμνασίοισιν, [14] ὑπερβολὴν οὐδενὸς ποιεύμενον. [15] ἢν γὰρ ἔχῃ ὑγιηρῶς τὸ σῶμα, [16] καὶ μὴ ὑπ' ἄλλου τινὸς ξυνταράσσηται, [17] τῆς ψυχῆς φρόνιμος ἡ ξύγκρησις.

XXXV. Εἰ δ' ἐπὶ πλέον κρατηθείη ἡ τοῦ ὕδατος δύναμις ὑπὸ τοῦ πυρὸς, [2] ὀξυτέρην μὲν τοσούτῳ ἀνάγκη εἶναι τὴν ψυχὴν, [3] ὅσῳ θᾶττον κινέεται, [4] καὶ πρὸς τὰς αἰσθήσιας θᾶσσον προσπίπτειν· [5] ἧσσον δὲ μόνιμον τῆς προτέρου, [6] διότι κρίνεται τὰ προσγινόμενα, [7] καὶ ἐπιπλεύμενα ὁρμᾶται διὰ ταχύτητα. [8] ξυμφέρει δὲ τῷ τοιούτῳ διαιτῆσθαι τῇ πρὸς ὕδατος διαίτῃ μᾶλλον, ἢ τῇ προτέρῃ· [9] καὶ μάζῃ μᾶλλον, ἢ τῷ ἄρτῳ· [10] καὶ ἰχθύσιν, ἢ κρέασι· [11] τῷ ποτῷ ὑδαρεστέρῳ· [12] καὶ λαγνείῃσιν ἐλασσόνως χρέεσθαι· [13] καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα καὶ πλείστοισι. [14] τοῖσι δ' ὑπὸ

quæ non conveniunt sapientibus. [9] Confert itaque his, fomentis uti, [10] & à fomentis veratris expurgari, [11] ac diæta uti quam prius dixi, [12] indigetque talis homo attenuatione pulmonis ac siccitate.

XXXIV. Si autem aqua defectuosiorem vim acciplat quam ignis, [2] quum alias sincerum temperamentum habeant, [3] sani sunt homines corporibus, [4] & sapientes. [5] Talis autem anima cito percipit allabentia, [6] & non sæpe ab una re ad aliam transit. [7] Natura quidem igitur talis, animæ bonæ est. [8] Melior autem reddetur rectæ diætæ usu, [9] & pejor pravæ. [10] Confert huic, diætæ usus ad aquam magis vergentis: [11] ita ut excessus vitet & ciborum, & potuum, & laborum. [12] Utetur & cursibus curvis & rectis revertentibus, [13] luctisque ac reliquis exercitiis, [14] ita ut in nullo excessum faciat. [15] Si enim sanum fuerit corpus, [16] & non ab aliquo alio perturbetur, [17] animi temperamentum sapiens existit.

XXXV. Si vero amplius aquæ vis ab igne superetur, [2] tali homini necesse est tanto acutiorem animam esse, [3] quanto citius movetur, [4] & ad sensus citius allabi, [5] verum minus constantem priore, [6] propterea quod judicat ea quæ obveniunt, [7] & in pulmonem procedit ob celeritatem. [8] Confert tali homini diæta uti magis ad aquam vergente, quam priori, [9] & maza magis quam pane, [10] & piscibus magis quam carnibus, [11] & potu aquosiore, [12] & venere rarius utetur, [13] & laboribus qui sunt maxime secundum naturam quam plurimis, [14] violentis autem uti non est

δι' ὑπερβολῆς, [14] χρέεσθαι μὲν ἀνάγκη ἐλάσσοσι· [15] καὶ ἐμέτοισιν ἐκ τῶν πλησμονῶν, [16] ὅκως κενῶται μὲν τὸ σῶμα, [17] θερμαίνηται δὲ ὡς ἥκιστα. [18] ξυμφέρει δὲ καὶ ἀσαρκέειν τοῖσι τοιούτοισι, πρὸς τὸ φρονίμους εἶναι. [19] πρὸς γὰρ σαρκὸς εὐεξίην, καὶ μάλιστα φλεγμονὴν ἀνάγκη γίνεσθαι. [20] ὁκόταν δὲ τοιοῦτον πάθῃ ἡ τοιαύτη ψυχὴ, ἐς μανίην καθίσταται, κρατηθέντος τοῦ ὕδατος καὶ ἐπισπασθέντος. [21] ξυμφέρει δὲ τοῖσι τοιούτοισι καὶ τὰς πρήξιας πρήσσειν [22] βεβρωκόσι μᾶλλον ἢ ἀσιτέουσι. [23] στασιμωτέρη γὰρ ψυχὴ τῇ τροφῇ ξυμμισγομένη ξυμφόρῳ μᾶλλον, ἢ ἐνδεὴς ἐοῦσα τροφῆς.

XXXVI. Εἰ δέ τι πλέον ἐπικρατηθείη τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς, [2] ὀξέη ἡ τοιαύτη ψυχὴ ἄγαν, [3] καὶ τούτους ὀνειρώσσειν, [4] καλέουσι δὲ αὐτοὺς ὑπομαινομένους. [5] ἔστι γὰρ ἔγγιστα μανίης τὸ τοιοῦτον. [6] καὶ γὰρ ἀπὸ βραχείης φλεγμονῆς καὶ ἀσυμφόρου μαίνονται, [7] καὶ ἐν τῇσι μέθῃσι, [8] καὶ ἐν τῇσιν εὐεξίῃσι τῆς σαρκὸς, [9] καὶ ὑπὸ τῶν κρεωφαγιῶν. [10] ἀλλὰ χρὴ τὸν τοιοῦτον, τούτων μὲν πάντων ἀπέχεσθαι, [11] καὶ τῆς ἄλλης πλησμονῆς, [12] καὶ γυμνασίων τῶν ἀπὸ βίης γενομένων. [13] μάζῃ δὲ ἀτρίπτῳ διαιτᾶσθαι, [14] καὶ λαχάνοισιν ἑφθοῖσι, [15] πλὴν τῶν καθαρτικῶν, [16] καὶ ἰχθυδίοισιν ἐν ἅλμῃ, [17] καὶ ὑδροποσίῃ βέλτιστον, ἢν δύνηται· [18] εἰ δὲ μὴ, ὅ τι ἐγγυτάτω τούτου, ἀπὸ μαλακοῦ οἴνου καὶ λευκοῦ. [19] καὶ τοῖσι περιπάτοισι τοῖσιν ὀρθρίοισι πολλοῖσι, [20] ἀπὸ δὲ δείπνου δὲ ὅσον ἐξαναστῆναι, [21] ὅκως τὰ μὲν σιτία μὴ ξηραίνηται ἀπὸ τῶν ἀπὸ δείπνου περιπάτων, [22] τὸ δὲ σῶμα κενῶται ὑπὸ τῶν ὀρθρίων. [23] λούεσθαι δὲ χλιαρῷ ὕδατι

est necesse. [15] Utetur & vomitibus paucioribus ex repletionibus, [16] quo corpus quidem evacuetur, [17] quam minime vero calescat. [18] Conducit etiam talibus ad sapientiam, ut minime carnosi sint. Nam ad carnis bonam habitudinem, ardoris inflammationem fieri necesse est. [20] Quum autem tale quid hujusmodi anima perpetitur, [21] ad insaniam adigitur, ex superata aqua adacta. [22] Talibus confert actiones obire [23] ac transigere à cibo accepto magis quam jejunis. [24] Stabilior enim redditur anima alimento commodo ammixto, quam alimenti indiga.

XXXVI. Si vero adhuc amplius superetur aqua ab igne, [2] talis anima valde acuta est, [3] & tales necesse est somnia videre, [4] vocant autem ipsos subfuriosos. [5] Nam res valde propinqua insaniæ est. [6] Etenim à brevi & incommoda inflammatione insaniunt, [7] & in ebrietatibus, [8] & carnis bona habitudine, [9] & præ carnium esu. [10] Verum talem oportet ab his omnibus abstinere, [11] itemque à reliqua repletione, [12] ac exercitiis violentis. [13] In victu utendum est maza vino dulci non subacta, [14] & oleribus coctis, [15] sed non purgantibus, [16] & pisciculis ex muria, [17] & aquam bibere præstantissimum est; si fieri possit: [18] sin minus, vinum molle & album quod aquæ sit proximum. [19] Deambulationibus quoque multis mane utendum, [20] à cœna vero satis est exsurgere, [21] quo cibi quidem non reficcentur à deambulationibus post cœnam, [22] corpus autem evacuetur à matutinis. [23] Lavare autem magis conducit aqua

περιχεόμενον μᾶλλον, [24] ἢ χρίεσθαι. [25] ξυμφέρει δὲ καὶ ἐν τῷ θέρει τῆς ἡμέρης ὕπνοισι χρῆσθαι βραχέσι, μὴ πολλοῖσιν, [26] ὅκως μὴ ἀποξηραίνηται τὸ σῶμα ὑπὸ τῆς ὥρης. [27] ἐπιτήδειον δὲ τοῦ ἦρος καὶ ἐλλεβόροισι καθαίρεσθαι, [28] προπυριηθέντας, [29] εἶτα ἐπάγειν ἐς τὴν δίαιταν ἡσυχῇ, [30] καὶ μὴ νῆστιν τὰς πρήξιας μηδὲ τοῦτον ποιέεσθαι. [31] ἐκ τοιαύτης δὲ ἐπιμελείης ἡ τοιαύτη ψυχὴ φρονιμωτάτη ἂν εἴη. [32] περὶ μὲν οὖν φρονίμης καὶ ἄφρονος ψυχῆς ἡ ξύγκρησις αὕτη αἰτίη, ὥσπερ μοι καὶ γέγραπται. [33] καὶ δύναται ἐκ τῆς διαίτης καὶ βελτίων καὶ χείρων γίνεσθαι.

XXXVII. Δρόμοισι δὲ πυρὸς ἐπικρατέοντος, τῷ ὕδατι προσθεῖναι ἀδύνατον ἴσως, [2] καὶ τοῦ ὕδατος ἐπικρατέοντος, ἐν τῇ ξυγκρήσει τὸ πῦρ αὐξῆσαι. [3] ἐκ τούτων δὲ φρονιμώτεραι καὶ ἀφρονέστεραι γίνονται. [4] τῶν δὲ τοιούτων οὐκέτι ἡ ξύγκρησίς ἐστι· [5] οἷον ὀξύθυμος, [6] ῥᾴθυμος, [7] δόλιος, [8] ἁπλόος, [9] δυσμενὴς, [10] εὔνοος. [11] τῶν τοιούτων πάντων ἡ φύσις τῶν πόρων, δι' ὧν ἡ ψυχὴ πορεύεται, αἰτίη ἐστί· [12] δι' ὁκοίων γὰρ ἀγγείων ἀποχωρεῖ, [13] καὶ πρὸς ὁκοῖά τινα προσπίπτει, [14] καὶ ὁκοίοις τισὶ καταμίσγεται, [15] τοιαῦτα φρονέουσι. [16] διὰ τοῦτο γοῦν ἀδύνατον τὰ τοιαῦτα ἐκ διαίτης μεθιστάναι. [17] φύσιν γὰρ μεταπλάσαι ἀφανέα οὐχ οἷόν τε.

XXXIIX. Ὡσαύτως δὲ καὶ τῆς φωνῆς, ὁκοίη τις ἂν εἴη, οἱ πόροι αἴτιοι τοῦ πνεύματος. [2] δι' ὁκοίων γὰρ ἂν τινῶν κινέηται ὁ ἀὴρ, [3] καὶ πρὸς ὁκοίους τινὰς προσπίπτῃ, [4] τοιαύτην ἀνάγκη τὴν φωνὴν εἶναι. [5] καὶ ταύτην μὲν δυνατὸν καὶ χείρω καὶ βελτίω ποιέειν, [6] διότι λειοτέρους καὶ τρηχυτέρους τοὺς

tepida circumaffusa, [24] quam ungi. [25] Confert & in æstate interdiu somno uti brevi non multo, [26] ut ne corpus ab anni tempore reficcetur. [27] Conveniens est etiam vere veratris purgare, [28] fomentis antea præparatos, [29] deinde sensim ad diætam inducere, [30] & neque hunc jejunum actiones obire oportet. [31] Et ex hac sane cura, hujusmodi anima sapientissima fuerit. [32] Sapientis quidem igitur ac desipientis animæ hoc temperamentum caussa est, quemadmodum à me scriptum est, [33] potestque ex diæta & melior & deterior fieri.

XXXVII. Cæterum cursus impetu igne prævalescente, impossibile forte fuerit aquæ aliquid apponere: [2] similiterque aqua prævalente in temperamento, ignem augere. [3] Ex his vero & sapientiores & desipientiores animæ fiunt. [4] At vero talium non amplius temperamentum est, [5] qualis est, iracundus, [6] segnis, [7] dolosus, [8] simplex, [9] infestus, [10] benevolus. [11] Talium omnium, natura meatuum per quos anima meat, caussa est: [12] per qualia enim vasa secedit, [13] & ad qualia allabitur, [14] & qualibus admiscetur, [15] talia sapiunt. [16] Ob id itaque impossibile est, talia ex diæta transmutare. [17] Naturam enim obscuram transformare non est possibile.

XXXIIX. Similiter autem & vocis, qualiscunque tandem fuerit, meatus spiritus caussa sunt; [2] per qualescunque enim aer movetur, [3] & ad qualescunque allabitur, [4] talem necesse est esse vocem: [5] & hanc quidem tum deteriorem, tum meliorem facere possibile est, [6] quia lævio-

τὰς πόρους τοῦ πνεύματος δυνατὸν ποιῆσαι· 7 κεῖνο δὲ ἀδύνατον ἐκ διαίτης ἀλλοιῶσαι.

res ac breviores meatus spiritus facere possibile est. 7 Verum illa ex diæta alterare, impossibile existit.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΔΙΑΙΤΗΣ τὸ δεύτερον.

Basil. græc. Foesius sect. IV. 20. 353.

Χωρέων δὲ θέσιν καὶ φύσιν ἑκάστων ὧδε χρὴ διαγινώσκειν. 2 καθόλου μὲν εἰπεῖν, ὧδε ἔχει. 3 ἡ πρὸς μεσημβρίην κειμένη, θερμοτέρη καὶ ξηροτέρη τῆς πρὸς τὰς ἄρκτους κειμένης· 4 διότι ἐγγυτέρω τοῦ ἡλίου ἐστίν. 5 ἐν δὲ ταύτῃσι τῇσι χώρῃσιν ἀνάγκη καὶ τὰ ἔθνεα τῶν ἀνθρώπων, καὶ τὰ φυόμενα ἐκ τῆς γῆς, ξηρότερα καὶ θερμότερα καὶ ἰσχυρότερα εἶναι, ἢ ἐν τῇσιν ἐναντίῃσιν· 6 οἷον τὸ Λιβυκὸν ἔθνος πρὸς τὸ Ποντικὸν, καὶ τὰ ἔγγιστα ἑκατέρων. 7 αὐταὶ δὲ καθ᾽ ἑαυτὰς αἱ χῶραι ὧδε ἔχουσι. 8 τὰ ὑψηλὰ καὶ αὐχμηρὰ καὶ πρὸς μεσημβρίην κείμενα, ξηρότερα τῶν πεδίων τῶν ὁμοίως κειμένων, 9 διότι ἐλάσσους ἰκμάδας ἔχει. 10 τὰ μὲν γὰρ οὐκ ἔχει στάσιν τοῦ ὀμβρίου ὕδατος, τὰ δὲ ἔχει.

II. Τὰ δὲ λιμνώδεα καὶ ἑλώδεα, ὑγραίνει καὶ θερμαίνει. 2 θερμαίνει μὲν, διότι κοῖλα καὶ περιεχόμενα, καὶ οὐ διαπνέεται· 3 ὑγραίνει δὲ, διότι τὰ φυόμενα ἐκ τῆς γῆς ὑγρότερα, οἷσιν ἐκτρέφονται ἄνθρωποι· 4 τό, τε πνεῦμα, ὃ ἀναφέρομεν, παχύτερον, 5 διὰ τὸ ὕδωρ τὸ ἀπὸ τῆς ἀκινησίης. 6 τὰ δὲ κοῖλα, καὶ μὴ ἔνυδρα, ξηραίνει καὶ θερμαίνει. 7 θερμαίνει μὲν, ὅτι

HIPPOCRATIS DE DIÆTA liber secundus.

Basil. lat.

Regionum singularum situm & naturam hoc modo cognoscere oportet. 2 Et in summa res hoc modo se habet. 3 Regio ad meridiem sita calidior est, & siccior quam ea quæ ad septentriones jacet, 4 propterea quod soli propinquior est. 5 Et in his regionibus necesse est & hominum genera, & nascentia ex terra, ficciora ac calidiora & fortiora esse, quam in contrariis: 6 velut Libyca gens ad Ponticam, & utrisque vicinæ. 7 Ipsa autem loca juxta seipsa hoc modo habent. 8 Alta & squallida & ad meridiem sita, ficciora sunt quam campestria & æqualiter sita, 9 propterea quod pauciores humores habent. 10 Illa enim stationem pro aqua pluvia non habent, hæc habent.

11. At vero lacustria ac palustria humectant & calfaciunt. 2 Et calfaciunt quidem, quia cava sunt & circumdata, & non perflantur: 3 humectant autem, quia nascentia ex terra, quibus homines aluntur, humidiora sunt: 4 & spiritus quem attrahimus crassior est, 5 propter aquæ stationem ac immobilitatem. 6 Verum cava loca & non aquosa, siccant, & calfaciunt. 7 Et calfaciunt

ὅτι κοῖλα καὶ περιέχεται. [8] ξηραίνει δὲ, διά τε τῆς τροφῆς τὴν ξηρότητα, [9] καὶ διότι τὸ πνεῦμα, ὃ ἀναπνέομεν, ξηρὸν ἐὸν, ἕλκει ἐκ τῶν σωμάτων τὸ ὑγρὸν, ἐς τροφὴν ἑωυτῷ, [10] οὐκ ἔχον πρὸς ὅ,τι ἂν ὑγρὸν προσπελάσαν τρέφηται. [11] ὅκου δὲ τοῖσι χωρίοισιν ὄρη προσκέεται πρὸς νότου, ἐν τούτοισιν αὐχμώδεες οἱ νότιοι καὶ νοσεροὶ προσπνέουσιν. [12] ὅκου δὲ βορέηθεν ὄρη προσκέεται, ἐν τουτέοισιν οἱ βορέαι ταράσσουσι καὶ νόσους ποιέουσιν.

III. Ὅκου δὲ βορέηθεν κοῖλα χωρία τοῖσιν ἄστεσι προσκέεται, [2] πρὸς τῶν θερινῶν πνευμάτων θερμὸν καὶ νοσερὸν τοῦτο τὸ χωρίον· [3] διότι οὔτε βορέας διαπνέων καθαρὴν τὴν ἐπαγωγὴν τοῦ πνεύματος παρέχει, [4] οὔτε ὑπὸ τῶν θερινῶν πνευμάτων διαψύχεται. [5] τῶν δὲ νήσων, αἱ μὲν ἐγγὺς τῶν ἠπείρων, δυσχειμερώτεραί εἰσιν· [6] αἱ δὲ πόντιαι, ἀλεεινότεραι τοῦ χειμῶνος· [7] διότι αἱ χιόνες καὶ πάγοι ἐν μὲν τῇσιν ἠπείροισιν ἔχουσι στάσιν, [8] καὶ τὰ πνεύματα ψυχρὰ πέμπουσιν ἐς τὰς ἐγγὺς νήσους. [9] τὰ δὲ πελάγια οὐκ ἔχει στάσιν ἐν χειμῶνι.

IV. Περὶ δὲ πνευμάτων, ἣν τινα φύσιν ἔχει καὶ δύναμιν ἕκαστα, ὧδε χρὴ διαγινώσκειν. [2] φύσιν μὲν ἔχει τὰ πνεύματα πάντα, ὑγραίνειν καὶ ψύχειν [3] τά τε σώματα τῶν ζώων, [4] καὶ τὰ φυόμενα ἐκ τῆς γῆς, διὰ τάδε. [5] ἀνάγκη ἐστὶ τὰ πνεύματα ταῦτα πάντα πνέειν, ἀπὸ χιόνος, καὶ κρυστάλλου, καὶ παγων ἰσχυρῶν, [6] καὶ ποταμῶν, καὶ λιμνέων, καὶ γῆς ὑγρανθείσης, καὶ ψυχρανθείσης. [7] καὶ τὰ μὲν ἰσχυρότερα τῶν πνευμάτων, ἀπὸ μεζόνων

faciunt quidem, quia cava sunt & circumdantur. [8] Siccant autem, tum propter alimenti siccitatem, [9] tum quod spiritus quem inspiramus siccus existens, humorem ex corporibus trahit in alimentum sibi ipsi, [10] quum non habeat alium humorem ad quem allapsus nutriatur. [11] Ubi autem regionibus montes adjacent ad austrum, in his squallidi austri & morbosi afflant. [12] Ubi autem ab Aquilone montes adjacent, in his aquilones perturbant ac morbos faciunt.

III. Ubi vero ab Aquilone cava loca urbibus adjacent, [2] ab æstivis ventis calida & morbosa hæc regio existit, [3] propterea quæ neque aquilo perflans puram spiritus inductionem exhibet, [4] neque ab æstivis ventis perfrigeratur. [5] Cæterum insulæ propinquæ continenti tempestuosiores sunt, & ægre in ipsis hybernamus; [6] marinæ vero hyeme tepidiores sunt, [7] propterea quod nives & glacies in continenti stationes habent, [8] & ventos frigidos in vicinas insulas mittunt. [9] Verum insulæ intra pelagus positæ non habent in hyeme nivium stationem.

IV. Porro de ventis quam naturam ac facultatem singuli habent, hoc modo cognoscere oportet. [2] Naturam quidem habent omnes venti humectandi ac frigefaciendi, [3] tum animalium corpora, [4] tum nascentia ex terra, ob hanc causam. [5] Necesse est omnes ventos spirare à nive, à glacie, & gelu vehementi, [6] & fluminibus, & stagnis, terraque humecta ac perfrigerata. [7] Et fortiores quidem ventos, à majoribus & fortioribus, debi-

τῶν καὶ ἰσχυροτέρων, τοῖς δὲ ἀσθενέστερα, ἀπὸ μειόνων καὶ ἀσθενεστέρων. 8 ὥσπερ γὰρ καὶ τοῖσι ζώοισι πνεῦμα ἔνεστιν, οὕτως καὶ τοῖσιν ἄλλοισι πᾶσι· 9 τοῖσι μὲν ἔλασσον πνεῦμα, τοῖσι δὲ κατὰ μέγεθος. 10 φύσιν μὲν δὴ ἔχει ψύχειν τε καὶ ὑγραίνειν τὰ πνεύματα πάντα. 11 διὰ θέσιν δὲ χωρέων καὶ τόπων, δι' ὧν παραγίνεται τὰ πνεύματα ἐς τὰς χώρας ἑκάστας, 12 διάφορα γίνεται ἀλλήλων· ψυχρότερα, θερμότερα, ὑγρότερα, ξηρότερα, νοσερώτερα, ὑγιεινότερα. 13 τὴν δὲ αἰ-
25 τίην ἑκάστων ὧδε χρὴ γινώσκειν.

v. Ὁ μὲν βορέας, ψυχρὸς πνεῖ καὶ ὑγρός, 2 ὅτι ὁρμᾶται ἀπὸ τοιούτων χωρέων, πορεύεταί τε διὰ τῶν τοιούτων τόπων, ἐς οὓς ὁ ἥλιος οὐχ ἕρπει, 3 οὐδ' ἀποξηραίνει τὸν ἠέρα, ἐκπίνει τὴν ἰκμάδα. 4 ὥστε παραγίνεται ἐπὶ τὴν οἰκουμένην τὴν ἑωυτοῦ δύναμιν ἔχων, ὅκου μὴ διὰ τὴν θέσιν τῆς χώρης διαφθείρεται. 5 καὶ τοῖσι μὲν οἰκέουσιν ἔγγιστα, ψυχρότατος· τοῖσι δὲ προσωτάτω, ἥκιστα.

6 Ὁ δὲ νότος, πνεῖ μὲν ἀπὸ τῆς ὁ-
20 μοίων τὴν φύσιν, τῷ βορέᾳ. 7 ἀπὸ γὰρ τοῦ νοτίου πόλου πνέων, ἀπὸ χιόνος πολλῆς καὶ κρυστάλλου, καὶ πάγων ἰσχυρῶν ὁρμώμενος, τοῖσι μὲν ἐκεῖσε πλησίον αὐτοῦ οἰκοῦσιν, 8 ἀνάγκη τοιοῦτον πνεῖν, 4 οἷόνπερ ἐν ἡμῖν ὁ βορέας. 9 ἐπὶ δὲ πᾶσαν χώρην οὐκ ἔτι ὅμοιος παραγίνεται. 10 διὰ γὰρ τῆς ἐφόδου τοῦ ἡλίου καὶ ὑπὸ τὴν μεσημβρίην πνέων, ἐκπίνεται τὸ ὑγρὸν ὑπὸ τοῦ ἡλίου. ἀποξηραινόμενος δὲ, ἀραιοῦται. 11 διὸ ἀνάγκη θερμὸν αὐτὸν καὶ ξηρὸν ἐνθάδε παραγίνεσθαι.
25 12 ἐν μὲν οὖν τοῖσιν ἐγγὺς χωρίοισιν ἀνάγκη τοιαύτην δύναμιν ἀποδιδόναι θερμὴν καὶ ξηρήν, 13 καὶ ποιεῖ τοῦτο ἐν τῇ Λιβύῃ. 14 τοῖς τε φυ-

liores vero à minoribus & debilioribus. 8 Quemadmodum enim animalibus spiritus inest, sic etiam aliis omnibus, 9 aliis quidem minor, aliis vero juxta 35 magnitudinem. 10 Naturam quidem igitur habent humectandi ac frigefaciendi omnes venti; 11 verum propter situm regionum ac locorum, per quæ venti ad singulas regiones accedunt, 12 diversi inter se fiunt, frigidiores, calidiores, humidiores, ficciores, morbosiores, salubriores. 13 Singulorum autem caussam sic cognoscere oportet.

v. Boreas sive aquilo frigidus spirat ac humidus, 2 quia pro- 40 greditur à talibus regionibus, meatque per tales locos, ad quos non accedit sol ipse, 3 neque aerem resiccans, humorem ebibit ac exhaurit. 4 Quare ad terram habitabilem accedit suam ipsius vim habens, ubi non per regionis situm corrumpitur: 5 & his quidem qui proxime habitant frigidissimus est, qui vero remotissime, minime.

6 Auster autem à similibus aquiloni natura regionibus spi- 45 rat. 7 Ab australi enim polo spirans, & à nive multa glacieque ac gelu fortibus procedens, 8 necessario his qui prope ipsum illic habitant talis spirat, qualis nobis est aquilo: 9 verum omnem non item similis accedit regionem. 10 Nam quum per solis iter & in meridiem spiret, humiditas ipsius à sole ebibitur, & resiccatus rarescit: 11 quapropter necesse est ipsum calidum ac siccum huc accedere. 12 In proxi- 50 mis igitur regionibus necesse est ipsum talem vim calidam ac siccam exercere: 13 & hoc sane in Libya facit; 14 nam & terræ nascentia

φυόμενα ἐξαυαίνεται, 15 καὶ τοὺς ἀνθρώπους λανθάνει ἀποξηραίνων. 16 ἅτε γὰρ οὐκ ἔχων οὔτε ἐκ θαλάσσης ἰκμάδα λαβεῖν, οὔτε ἐκ ποταμοῦ, 17 καὶ ἐκ τῶν ζώων καὶ τῶν φυομένων ἐκπίνει τὸ ὑγρόν. 18 ὁκόταν δὲ τὸ πέλαγος διεξιὼν, ἅτε θερμὸς ὢν καὶ ἀραιὸς, πολλῆς ὑγρασίης ἐμπίπλησι τὴν χώρην ἐμπίπτων. 19 ἀνάγκη δὲ τὸν νότον, θερμόν τε καὶ ὑγρὸν εἶναι, ὅκου μὴ τῶν χωρέων αἱ θέσιες αἴτιαι εἰσιν. 20 ὡσαύτως δὲ καὶ τῶν ἄλλων πνευμάτων αἱ δυνάμιες ἔχουσιν.

VI. Καθότι δὲ χώρας ἑκάστας, τὰ πνεύματα ὧδε ἔχει. 2 τὰ μὲν ἐκ θαλάσσης πνεύματα ἐς τὰς χώρας ἐμπίπτοντα, 3 ξηρότερά πως ἐστί. 4 τὰ δὲ ἀπὸ χιόνος ἢ πάγων, ἢ λιμνέων, ἢ ποταμῶν, ἅπαντα ὑγραίνει καὶ ψύχει, καὶ τὰ φυτὰ καὶ τὰ ζῶα, 5 καὶ ὑγιείην τοῖς σώμασι παρέχει, 6 ὁκόταν μὴ ὑπερβάλλῃ ψυχρότητι. 7 ταῦτα δὲ βλάπτει, διότι μεγάλας τὰς μεταβολὰς ἐν τοῖσι σώμασι ἐμποιεῖ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. 8 ταῦτα δὲ πάσχουσιν, ὅσοι ἐν χωρίοις οἰκέουσιν ἑλώδεσι καὶ θερμοῖς, ἐγγὺς ποταμῶν ἰσχυρῶν. 9 τὰ δὲ ἄλλα τῶν πνευμάτων, ὁκόταν πνέῃ ἀπὸ τῶν προειρημένων, ὠφελέει, 10 τόν τε ἠέρα καθαρὸν καὶ εἰλικρινέα παρέχοντα, 11 καὶ τῷ τῆς ψυχῆς θερμῷ ἰκμάδα διδόντα. 12 ὁκόταν δὲ τῶν πνευμάτων κατὰ γῆν παραγίνηται, ξηρότερα ἀνάγκη εἶναι, 13 ἀπό τε τοῦ ἡλίου ἀποξηραινόμενα, καὶ ἀπὸ τῆς γῆς. 14 ἅμα ἔχοντα δὲ τροφὴν ὁκόθεν πνέηται τὰ πνεύματα, ἀπὸ τῶν ζώντων ἕλκοντα τὸ ὑγρὸν, 15 βλάπτει καὶ τὰ φυτὰ, καὶ τὰ ζῶα πάντα. 16 καὶ ὁκόσα ὑπὲρ τὰ ὄρεα καταλιπόντα παραγίνεται ἐς τὰς πόλιας, 17 οὐ μόνον ξηραίνει, 18 ἀλλὰ καὶ ταράσσει τὰ πνεύματα, ἃ ἀναπνέο-

centia exarescunt, 15 & homines latenter resiccat. 16 Quum enim non habeat nec mare, nec fluvium unde humiditatem accipiat, 17 ex animantibus ac plantis humorem exhaurit. 18 Ubi verò pelagus transit, tanquam calidus & rarus existens, multa humiditate regionem in quam illabitur implet: 19 & necesse est ipsum calidum ac humidum esse, ubi non regionum situs alterius qualitatis causa existat. 20 Eodem modo etiam aliorum ventorum facultates se habent.

VI. Cæterum juxta singulas regiones venti hoc modo se habent. 2 Venti ex mari in regiones illabentes, 3 sicciores quodammodo sunt: 4 Qui vero à nive aut glacie, aut stagnis aut fluminibus procedunt, omnes humectant ac frigefaciunt, tum plantas, tum animantia, 5 & sanitatem corporibus exhibent 6 qui non frigiditate super excellunt. 7 Hi enim lædunt, propterea quod magnas mutationes calidi ac frigidi in corporibus inducunt. 8 Hæc autem perpetiuntur hi qui in regionibus habitant palustribus ac calidis prope flumina magna. 9 Reliqui vero venti qui à prædictis spirant, utiles sunt, 10 tum aerem purum ac sincerum exhibentes, 11 tum animæ calori humiditatem præbentes. 12 Quicunque vero venti ex terra accedunt, eos necesse est sicciores esse, 13 tum à sole, tum à terra resiccatos. 14 Quum autem non habeant venti unde alimentum trahant, à viventibus humorem trahentes, 15 & plantas & animalia omnia lædunt. 16 Et quicunque venti relictis montibus ad urbes accedunt, 17 non solum siccant, 18 sed etiam tur-

αὐαπνέομεν, 19 καὶ τὰ σώματα τῶν ἀνθρώπων, ὥστε νούσους ἐμποιέειν. 20 φύσιν μὲν οὖν καὶ δύναμιν ἑκάστων οὕτω χρὴ γινώσκειν. 21 ὅκως δὲ χρὴ πρὸς ἕκαστα παρασκευάζεσθαι, προϊόντι τῷ λόγῳ δηλώσω.

VII. Σιτίων δὲ καὶ πομάτων δύναμιν ἑκάστων, 2 καὶ τὴν κατὰ φύσιν, 3 καὶ τὴν διὰ τέχνης, ὧδε χρὴ γινώσκειν. 4 ὁκόσοι μὲν οὖν κατὰ παντὸς ἐπιχείρησαν εἰπεῖν, ἢ περὶ τῶν γλυκέων ἢ πικρῶν, ἢ περὶ τῶν λιπαρῶν ἢ ἁλμυρῶν, ἢ περὶ ἄλλου τινὸς τῶν τοιούτων τῆς δυνάμιος, οὐκ ὀρθῶς γινώσκουσιν. 5 οὐ γὰρ τὴν αὐτὴν δύναμιν ἔχουσιν, 6 οὔτε τὰ γλυκέα ἀλλήλοισιν, οὔτε τὰ πικρὰ, 7 οὔτε τῶν ἄλλων τῶν τοιούτων οὐδέν. 8 πολλὰ γὰρ τῶν τοιούτων, ὅσα διαχωρέει, καὶ ἵστησι· 9 καὶ [ὅσα] ξηραίνει, καὶ ὑγραίνει. 10 ὡσαύτως δὲ καὶ τῶν ἄλλων ἁπάντων. 11 ἔστι δὲ, ὅσα στύφει, καὶ διαχωρέεται, καὶ οὐρέεται. 12 τὰ δὲ καθ' ἕτερον τούτων. 13 ὡσαύτως δὲ καὶ τῶν θερμαντικῶν, καὶ τῶν ἄλλων ἁπάντων, ἄλλην ἄλλα δύναμιν ἔχει. 14 περὶ μὲν οὖν ἁπάντων οὐχ οἷόν τε δηλωθῆναι, ὁκοῖά τινά ἐστι. 15 καθ' ἕκαστα δὲ, ἥν τινα δύναμιν ἔχει, διδάξω.

IIX. Κριθὴ, φύσει μὲν ψυχρὸν καὶ ξηρόν· 2 ἔνι δὲ καὶ καθαρτικόν τι, ἀπὸ τοῦ χυλοῦ τοῦ ἀχύρου. 3 τεκμήριον δὲ, ἢν μὲν θέλῃς κριθὰς ἀπτίστους ἑψῆσαι, καθαίρει ὁ χυλὸς ἰσχυρῶς· 4 ἢν δὲ ἐπτισμένας, ψύχει μᾶλλον, καὶ ἵστησι. 5 ὁκόταν δὲ πυρωθῶσι, τὸ μὲν ὑγρὸν καθαρτικὸν ὑπὸ τοῦ πυρὸς οἴχε-

turbant spiritum quem inspiramus, 19 & corpora hominum morbosa faciunt. 20 Naturam quidem igitur & vim singulorum sic cognoscere oportet. 21 Quomodo autem ad singulos se præparare oporteat, in sermonis progressu declarabo.

VII. At vero ciborum ac potuum singulorum vim, 2 tum eam quæ secundum naturam est, 3 tum eam quæ per artem accessit, hoc modo cognoscere oportet. 4 Quicunque igitur in summa dicere aggressi sunt, aut de dulcium, aut pinguium, aut salsorum, aut alterius cujusdam consimilis facultate, non recte judicant. 5 Non enim eandem vim habent, 6 neque dulcia inter se, neque amara, 7 neque ulla aliqua ejusmodi. 8 Multa enim ex talibus sunt, quæ & alvum emolliunt, & sistunt, 9 siccantque & humectant. 10 Similiter autem etiam in reliquis omnibus. 11 Sunt & quæ adstringunt, itemque alvum movent, & urinam cient. 12 Sunt quæ neutrum horum faciunt. 13 Similiter & ex calfacientibus ac reliquis omnibus, alia aliam facultatem habent. 14 De omnibus quidem igitur impossibile est qualia-nam sint declarare. 15 Verum quam vim singulatim habeant, docebo.

IIX. Hordeum natura quidem frigidum est & siccum. 2 Inest & purgatorium quiddam à succo palearum. 3 Ejus signum habebis, si voles hordeum non purgatum coquere: purgat enim is succus fortiter. 4 Si vero decorticatum coxeris, perfrigerabit magis ac alvum sistet. 5 Quum autem tostum fuerit, humor quidem purgatorius præ igne perit;

εἴχεται, 6 τὸ δὲ ψυχρὸν καὶ ξηρὸν καταλείπεται. 7 ὁκόσα δὲ δεῖ ψύξαι καὶ ξηρῆναι, ἄλφιτα διαπρήσσεται ὧδε.

8 Χρώμεθα μάζῃ παντοδαπῇ. 9 δύναμιν δὲ ἔχει ἡ μάζα αὕτη τοιήνδε. 10 τὰ συγκομιστὰ ἄλευρα τροφὴν μὲν ἐλάσσω, 11 διαχωρέει δὲ μᾶλλον. 12 τὰ δὲ καθαρὰ τροφιμώτερα. 13 ἧσσον δὲ διαχωρέει. 14 μάζα προφυρηθεῖσα, ῥαντὴ, ἄτριπτος, κούφη, καὶ διαχωρέει, καὶ ψύχει. 15 ψύχει μὲν, ὅτι ψυχρῷ ὕδατι ὑγρὴ ἐγένετο. 16 διαχωρέει δὲ, ὅτι ταχέως πέσσεται. 17 κούφη δὲ, ὅτι πολὺ τροφῆς μετὰ τοῦ πνεύματος ἔξω ἀποκρίνεται. 18 στενοπορώτεραι γὰρ αἱ διέξοδοι τῆς τροφῆς ἐοῦσαι, ἄλλην ἐπιοῦσαν οὐ δέχονται. 19 καὶ τὸ μὲν ξὺν τῷ πνεύματι λεπτυνόμενον ἀποκρίνεται ἔξω. 20 τὸ δ᾽ αὐτοῦ ἐμμένον φῦσαν ἐμποιέει. 21 καὶ τὸ μὲν ἄνω ἐρυγγάνεται, τὸ δὲ κάτω ὑποχωρέει. 22 πολὺ οὖν τῆς τροφῆς ἀπὸ τοῦ σώματος ἀποπνέεται. 23 ἢν δὲ θέλῃς τὴν μάζαν εὐθέως φυρήσας διδόναι, ἡ τοιαύτη ξηραντική. 24 ἅτε γὰρ τὸ ἄλφιτον ξηρὸν ἐὸν, καὶ ὑπὸ τοῦ ὕδατος διάβροχον οὔ τι γεγενημένον, ἐσπεσὸν ἐς τὴν κοιλίην, ἕλκει ἐξ αὐτῆς τὸ ὑγρὸν, θερμὸν ἐόν. 25 πέφυκε γὰρ τὸ μὲν θερμὸν ψυχρὸν ἕλκειν· τὸ δὲ ψυχρὸν, θερμόν. 26 ἀναλισκομένου δὲ τοῦ ὑγροῦ ἐκ τῆς κοιλίης, ἀνάγκη ξηραίνεσθαι. 27 τοῦ δὲ ὕδατος, τοῦ ξὺν τῇ μάζῃ ἐσελθόντος, ψύχει ἐπιγενόμενον. 28 ὅσα οὖν δεῖ ξηρῆναι ἢ ψύξαι, 29 ἢ διαρροίῃ ἐχόμενον, 30 ἢ ἄλλῃ τινὶ θερμασίῃ τοιαύτῃ, 31 μάζα διαπρήσσεται. 32 ἡ δὲ ξηρὴ τετριμμένη, ξηραινομένη

perit: 6 frigiditas autem & siccitas relinquitur. 7 Quæcunque vero perfrigerare ac siccare oportet, id ipsum polentæ transigunt.

8 Maza omnis generis sic utimur, 9 facultatem autem habet maza hæc talem. 10 Farinæ ex toto collatæ alimentum quidem minus habent, 11 verum magis per alvum secedunt. 12 Puræ autem magis nutriunt, 13 minus vero per alvum secedunt. 14 Maza prius subacta, respersa, vino dulci non emollita, levem facit, & per alvum secedit, ac frigefacit. 15 Et frigefacit quidem, quia frigida aqua madefacta est: 16 per alvum autem secedit, quia cito concoquitur: 17 levem vero facit, quia multum alimenti eum flatu foras excernitur. 18 Quum enim transitus alimenti angustiores sint, aliud insuper accedens non suscipiunt: 19 & quod quidem cum flatu attenuatum est, foras excernitur, 20 quod vero intus manet, flatum inducit, 21 & partim superne eructatur, partim inferne secedit. 22 Multum itaque alimenti à corpore difflatur. 23 Si vero velis mazam statim ut subacta est exhibere, talis resiccatoria est. 24 Quum enim polenta sicca existat, & aqua sit madefacta, atque sic præparata in ventrem illabatur, humorem ex ipso trahit calidum existentem. 25 (Solet enim calidum attrahere frigidum, & rursus frigidum calidum.) 26 Consumpto autem humore de ventre, necesse est siccari. 27 Aqua vero, quæ una cum maza ingressa est, frigefacit. 28 Quæcunque igitur siccare oportet aut frigefacere, 29 aut ventris profluvio diffusum, 30 aut alia quapiam ejusmodi caliditate, 31 maza efficax existit. 32 At vero sicca, vino dulci emol-

μὲν οὐχ ὁμοίως, [33] διὰ τὸ πεπιλῆσθαι ἰσχυρῶς· [34] τροφὴν δὲ τῷ σώματι πλείστην δίδωσιν, [35] αὐτὸ δὲ ἡσυχῇ τηκομένης δέχονται τὴν τροφὴν αἱ διέξοδοι. [36] διαχωρέει μὲν οὖν βραδέως, [37] φῦσαν δὲ οὐκ ἐμποιέει, [38] οὐδὲ ἐρυγγάνεται. [39] ἡ δὲ προφυρηθεῖσα, τετριμμένη, τρέφει μὲν ἧσσον, [40] διαχωρέει δὲ, καὶ ἐμποιέει μᾶλλον φῦσαν.

IX. [1] Κυκεὼν δὲ, μόνον ἐφ' ὕδατι μὲν, ψύχει καὶ τρέφει· [2] ἐπ' οἴνῳ δὲ, θερμαίνει, καὶ τρέφει, καὶ ἵστησιν· [3] ἐπὶ μέλιτι δὲ, θερμαίνει μὲν ἧσσον, καὶ τρέφει· [4] διαχωρέει δὲ μᾶλλον, ἢν μὴ ἄκρητον ἦ τὸ μέλι· [5] ἢν δὲ μὴ, οὐ διαχωρέει, ἀλλ' ἵστησιν. [6] ἐπὶ γάλακτι δὲ, τρόφιμοι μὲν πάντες, [7] πλὴν γάλα τὸ μὲν ὄϊον ἵστησι, [8] καὶ τὸ αἴγειον μᾶλλον· [9] τὸ [δὲ] βόειον, ἧσσον, [10] τὸ δὲ ἵππειον [11] καὶ τὸ ὄνειον μᾶλλον διαχωρέει.

X. [1] Πυροὶ, ἰσχυρότεροι κριθῶν, [2] καὶ τροφιμώτεροι· [3] διαχωρέουσι δὲ ἧσσον, καὶ αὐτοὶ, [4] καὶ ὁ χυλός.

[5] Ἄρτος δὲ, ὁ μὲν ξυγκομιστὸς ξηραίνει καὶ διαχωρέει· [6] ὁ δὲ καθαρὸς, τρέφει μὲν μᾶλλον, διαχωρέει δὲ ἧσσον. [7] αὐτῶν δὲ τῶν ἄρτων, [8] ὁ μὲν ζυμίτης, κοῦφος καὶ διαχωρέει. [9] καὶ κοῦφος μέν ἐστιν, ὅτι ἀπὸ τῆς ζύμης τοῦ ὀξέος, τὸ ὑγρὸν προαναλίσκεται, ὅπερ ἐστὶν ἡ τροφή· [10] διαχωρέει δὲ, ὅτι ταχέως πέσσεται. [11] ὁ δὲ ἄζυμος, διαχωρέει μὲν ἧσσον, τρέφει δὲ μᾶλλον. [12] ὁ δὲ τῷ χυλῷ πεφυρημένος, κουφότερος, καὶ τρέφει ἱκανῶς, καὶ διαχωρέει. [13] τρέφει μὲν,

lita ac trita maza, siccat quidem non similiter, [33] propterea quod vehementer est adstricta, [34] alimentum vero plurimum corpori præbet, [35] nam ut leniter liquescentis alimentum transitus suscipiunt. [36] Per alvum quidem igitur tarde secedit, [37] flatum autem non inducit, [38] neque eructatur. [39] Quæ vero & aqua, & vino dulci emollita ac prius subacta est, nutrit quidem minus, [40] per alvum autem secedit, & flatum magis inducit.

IX. Cyceon autem solum in aqua quidem frigefacit ac nutrit, [2] in vino vero calfacit ac nutrit, & alvum sistit: [3] In melle autem calfacit quidem minus ac nutrit, [4] per alvum vero magis secedit, si non meracum mel fuerit, [5] sin minus, non secedit, sed alvum sistit. [6] In lacte vero bene aluntur omnes cyceones. [7] Veruntamen ovillum alvum sistit, [8] caprinum vero magis per alvum secedit: [9] bubulum vero minus: [10] equinum autem [11] & asininum magis secedunt.

X. Triticum fortius est hordeo [2] & magis nutrit, [3] minus autem per alvum secedit, tum ipsum, [4] tum succus.

[5] Panis autem ex tota farina collata, siccat & per alvum secedit. [6] Purus autem magis nutrit, minus vero secedit. [7] Ex ipsis porro panibus, [8] fermentatus quidem levis est & secedit. [9] Et levis quidem est, quia à fermenti acore humiditas consumpta est, quæ sane alimentum existit: [10] secedit autem, quia cito concoquitur. [11] Non fermentatus secedit quidem minus, nutrit autem magis [12] Qui succo subactus est, & multum nutrit, ac per alvum secedit. [13] Nutrit, quia purus

μιδ..., ὅτι καθαρός. [24] κοῦφος δὲ
35 ἐστιν, ὅτι τοῦ κυφεζόντος πιτύρου,
καὶ ζύμης ὑπὸ τούτου, καὶ πεπύρωται. [25] διαχωρέει δὲ, ὅτι τῷ γλυκέϊ καὶ διαχωρητικῷ τοῦ πυροῦ ξυμμέμικται.

XI. Αὐτῶν δὲ τῶν ἄρτων οἱ μέγιστοι τροφιμώτατοι· [2] διότι ἥκιστα ἐκκαίεται ὑπὸ τοῦ πυρὸς τὸ ὑγρόν. [3] καὶ οἱ ἰπνῖται ἄρτοι, τροφιμώτεροι [4] τῶν ἐσχαρειτῶν [5] καὶ ὀβελιέων, [6] διότι ἧσσον ἐκκαίεται ὑπὸ τοῦ πυρός. [7] οἱ δὲ κλιβανῖται, [8] καὶ οἱ ἐγκρυφίαι, ξηρότατοι· [9] οἱ μὲν διὰ τὴν σποδόν· [10] οἱ δὲ διὰ τὸ ὄστρακον, ἐκ-
40 πινόμενοι τὸ ὑγρόν. [11] οἱ δὲ σεμιδαλῖται, ἰσχυρότατοι πάντων τούτων. [12] ἔτι δὲ μᾶλλον καὶ οἱ ἐκ τοῦ χόνδρου, [13] καὶ τρόφιμοι σφόδρα, [14] οὐ μέντοι διαχωρέουσιν ὁμοίως. [15] ἄρτοι θερμοὶ μὲν ξηραίνουσι, ψυχροὶ δὲ ἧσσον. [16] ἰσχνασίην δέ τινα παρέχουσιν. [17] ἄλευρον καθαρὸν πινόμενον ἐφ' ὕδατι, ψύχει. [18] καὶ πλύμα σταιτὸς ἐπὶ πυρί. [19] πιτύρων χυμὸς ἑφθὸς, κοῦφος, διαχωρέει. [20] τὰ δὲ ἐν γάλακτι διδόμενα, ἄλητα διαχωρέει μᾶλλον, [21] ἢ ἐν τῷ ὕδατι, διὰ τὸν ὀῤῥὸν, [22] καὶ μάλιστα ἐν τοῖσι διαχωρητικοῖσιν. [23] ὁκόσα δὲ ξὺν μέλιτι καὶ ἐλαίῳ ἕψηται ἢ ὀπτῆται ἐξ ἀλήτων, πάντα καυσώδεα καὶ
45 ἐρυγματώδεα. [24] ἐρυγματώδεα μὲν, ὅτι τρόφιμα ἐόντα, οὐ διαχωρητικά ἐστι. [25] καυσώδεα δὲ, διότι λιπαρὰ ἐόντα καὶ γλυκέα, [26] καὶ οὐ ξύμφορα ἀλλήλοις, οὐ τῆς αὐτῆς καθεψήσιος δεόμενα, ἐν τῷ αὐτῷ ἐστί.

XII. Σεμίδαλις [2] καὶ χόνδρος ἑφθὸς, [3] ἰσχυρὰ καὶ τρόφιμα, [4] οὐ μέντοι διαχωρέει. ἡ τρὺξ κουφοτέρη πυρῶν, [6] τὰ ἐξ αὐτῆς γινόμενα

purus est. [24] Leuis est, quia le-
uissimo subactus est, & fermentatus ac tostus ab eodem est. [25] per aluum secedit, quia passo, & aluum mouente tritici parte, permixtus est.

XI. Ex ipsis autem panibus maximi maxime alunt, [2] propterea quod minime exuritur humiditas ab igne. [3] Et furnacei
16 panes magis alunt, quam [4] focarij [5] & verurarij, [6] propterea quod minus exuruntur ab igne. [7] Clibano autem [8] cocti, [8] & subcinericij, siccissimi sunt, [9] hi quidem propter cinerem, [10] illi vero per testam humore priuati.
137 [11] Similaginei omnium horum fortissimi sunt. [12] Et adhuc magis qui ex alica fiunt: [13] valde-
17 que nutriunt, [14] verum non similiter secedunt. [15] Panes calidi siccant, frigidi minus, [16] gracilitatem autem quandam inducunt. [17] Farina pura in aqua pota frigefacit, [18] & lotura pollinis tritici. [19] Furfurum succus coctus, leuis, per aluum secedit; [20] Verum farinæ in lacte datæ magis per aluum secedunt,
138 [21] quæ in aqua, propter serum, [22] & maxime inter aluum mouentia numerantur. [23] Quæcunque vero farinæ cum melle & oleo coquuntur, aut assantur, omnes æstuosæ sunt, & ructum cient. [24] Et ructum quidem cient, quia probe alentes non secedunt. [25] Æstuosæ autem sunt, quia
19 pinguia, & dulcia, [26] & inter se discordia, non eadem coctura indigentia, in eodem sunt.

XII. Similago [2] & alica co-
140 cta, [3] fortia sunt & alunt, [4] non tamen per aluum secedunt. [5] Trygis, id est tragus siue olyra, leuior est tritico, [6] & quæ ex
20 ipsa fiunt similiter, ut ea quæ ex

μενα ὅμοια τῶν ἐκ τῶν πυρῶν, 7 καὶ διαχωρητικὰ μᾶλλον. 8 ὁ βρόμος ὑγραίνει καὶ ψύχει ἐσθιόμενος, 9 καὶ ῥόφημα γινόμενος. 10 τὰ πρόσφατα ἄλφιτα καὶ ἄλητα, ξηρότερα τῶν παλαιῶν, 11 ὅτι ἐγγίον τοῦ πυρὸς καὶ τῆς ἐργασίης ἐστί. 12 παλαιούμενα δὲ, τὸ μὲν θερμὸν ἐκπνέει, τὸ δὲ ψυχρὸν ἐπιγίνεται.

XIII. Κύαμοι, τρόφιμόν τι, καὶ στατικὸν, καὶ φυσῶδες. 2 φυσῶδες μὲν, ὅτι οὐ δέχονται οἱ πόροι τὴν τροφὴν ἄλλην ἐπιοῦσαν· 3 στάσιμον δὲ, ὅτι ὀλίγην ἔχει τὴν ὑποστάθμην τῆς τροφῆς. 4 οἱ δὲ πισοὶ, φυσῶσι μὲν ἧσσον, 5 διαχωρέουσι δὲ μᾶλλον. 6 ὦχροι δὲ 7 καὶ δόλιχοι, διαχωρητικώτεροι τουτέων, 8 ἧσσον δὲ φυσώδεα· 9 τρόφιμα δέ. 10 ἐρέβινθοι λευκοὶ, διαχωρέουσι, καὶ οὐρέονται, καὶ τρέφουσι. 11 τρέφει μὲν τὸ σαρκῶδες· 12 οὐρέεται δὲ τὸ γλυκύ· 13 διαχωρέεται δὲ τὸ ἁλμυρόν. 14 κέγχρων χόνδροι, 15 καὶ κυρήβια, ξηρὰ καὶ στάσιμα· 16 μετὰ σύκων [δὲ] ἰσχυροῖσι πόνοισιν. 17 αὐτοὶ δὲ οἱ κέγχροι ἑφθοὶ τρόφιμοι, 18 οὐ μήν τι διαχωρέουσιν.

XIV. Φακοὶ δὲ καυσώδεες, 2 καὶ ταραχώδεες, 3 καὶ οὔτε διαχωρεῖ, οὔτε ἵστησιν. 4 ὄροβοι, στάσιμον καὶ ἰσχυρὸν, 5 καὶ παχυνεῖ, 6 καὶ πληροῖ, 7 καὶ εὔχροον ποιεῖ τὸν ἄνθρωπον. 8 λίνου καρπὸς ἐσθιόμενος, στάσιμον. 9 ἔχει δέ τι καὶ ψυκτικόν. 10 ὁρμίνου καρπὸς, παραπλήσια τῷ λίνου διαπρήσσεται. 11 θέρμοι, φύσει μὲν ἰσχυρὸν καὶ θερμόν· 12 διὰ δὲ τὴν ἐργασίην κουφότερον καὶ ψυκτικώτερόν ἐστι, 13 καὶ διαχωρεῖ. 14 ἐρύσιμον ὑγραίνει καὶ

tritico parantur, 7 & magis per alvum secedunt. 8 Avena comesta humectat ac perfrigerat, 9 itemque in sorbitione accepta. 10 Polentæ ac farinæ recentes sicciores sunt vetustis, 11 quia igni & præparationi propinquiores existunt. 12 Ubi vero vetustæ fiunt, calor exhalat, & frigiditas inducitur.

XIII. Fabæ alunt, alvum sistunt, & inflant. 2 Inflant, quia meatus aliud insuper accedens alimentum non suscipiunt. 3 Alvum sistunt, quia totam alimenti fecem habent. 4 Pisa inflant quidem minus, 5 per alvum autem magis secedunt. 6 Ochri sive erviliæ, 7 & dolichi sive phaseoli ac siliquæ, his magis per alvum secedunt, 8 minus inflant, 9 & probe alunt. 10 Cicer album per alvum secedit, & per urinam ejicitur, & alit. 11 Et alit quidem, carnosum in ipso. 12 Per urinam vero ejicitur, dulce: 13 per alvum autem secedit, salsuginosum. 14 Milii grana 15 ac paleæ siccant, & ventrem sistunt, 16 & cum ficubus, fortibus doloribus conferunt. 17 Ipsum autem milium coctum alit, 18 non tamen alvo secedit.

XIV. Lentes æstuosæ sunt 2 & turbativæ, 3 & neque per alvum secedunt, neque ipsam sistunt. 4 Ervum, alvum sistit, & robustum est, 5 & crassefacit, 6 & explet, 7 & boni coloris hominem facit: 8 Lini semen comestum alvum sistit. 9 habet & quiddam frigefactorium. 10 Hormini semen consimilia lini semini facit. 11 Lupini natura robusti sunt & calidi, 12 verum per præparationes leviores ac frigidiores fiunt, 13 & alvo secedunt. 14 Irio humectat & alvo sece-

καὶ διαχωρέει. 15 σικύου σπέρμα διουρέεται μᾶλλον, ἢ διαχωρέει. 16 πληροῖ δὲ καὶ παχύνει. 17 διαχωρέει μὲν, διὰ τὸ ἄχυρον τὸ ἔξω. 18 πληροῖ δὲ, καὶ παχύνει, διὰ τὴν σάρκα. 19 πεπλυμένον δὲ διαχωρέει μὲν, ἧσσον δέ· 20 παχύνει δὲ καὶ πληροῖ μᾶλλον. 21 ὑγραίνει δὲ καὶ κύσιν, διὰ τὸ λιπαρὸν καὶ πῖον. 22 κνῆκος διαχωρέει. 23 μήκων, στάσιμον. 24 μᾶλλον δὲ ἡ μέλαινα μήκων, 25 ἀτὰρ καὶ ἡ λευκή. 26 τρόφιμον δὲ καὶ ἰσχυρόν. 27 τουτέων δὲ ἁπάντων οἱ χυμοὶ μᾶλλον τῆς γαστρὸς διαχωρητικοί. 28 δεῖ οὖν ἐν ἐργασίῃ φυλάσσειν, 29 ὁκόσα μὲν βούλεαι ξηραίνειν, τοὺς χυμοὺς ἀφαιρέοντα, τῇ σαρκὶ χρῆσθαι. 30 ὁκόσα δὲ διαχωρέειν, τῷ μὲν χυμῷ πλείονι, τῇ δὲ σαρκὶ ἐλάσσονι καὶ εὐχυμοτέρῃ.

XV. Περὶ δὲ ζώων τῶν ἐσθιομένων ὧδε χρὴ γινώσκειν. 2 βόεια κρέα, ἰσχυρὰ, καὶ στάσιμα, καὶ δύσπεπτα τῇσι κοιλίῃσι. 3 διότι παχύαιμον, καὶ πολύαιμόν ἐστι τοῦτο τὸ ζῶον. 4 καὶ τὰ κρέα βαρέα ἐς τὸ σῶμα, 5 καὶ αὐταὶ αἱ σάρκες, 6 καὶ τὸ αἷμα, 7 καὶ τὸ γάλα. 8 ὁκόσων δὲ τὸ γάλα λεπτὸν, καὶ τὸ αἷμα ὅμοιον, καὶ αἱ σάρκες παραπλήσιοι. 9 τὰ δὲ αἴγεια κρέα, κουφότερα τουτέων, καὶ διαχωρέει μᾶλλον. 10 τὰ δὲ ὕεια, ἰσχὺν μὲν τῷ σώματι ἐμποιέει μᾶλλον τουτέων 11 διαχωρέει δὲ ἱκανῶς, 12 διότι λεπτὰς τὰς φλέβας ἔχει, καὶ ὀλιγαίμους, σάρκας δὲ πολλάς.

XVI. Τὰ δὲ ἄρνεια, κουφότερα τῶν οἰῶν, 2 καὶ τὰ ἐρίφεια τῶν αἰγέων 3 διότι ἀναιμότερα, καὶ ὑγρό-

secedit. 15 Cucumeris semen per lotium magis abit quam secessum. 16 Explet autem & crassefacit. 17 Et secedit quidem per alvum, propter paleam externam; 18 explet autem & crassefacit, propter carnem. 19 Lotum vero secedit quidem, verum minus, 20 crassefacit autem & explet magis. 21 humectat autem & urit, propter pingue & oleosum. 22 Cnicus alvum movet. 23 Papaver alvum sistit, 24 magis autem nigrum hoc facit, 25 sed & album idem agit, 26 alit autem, & robustum est. 27 Horum porrò omnium succi carnis alvum movent. 28 Oportet itaque in præparatione id observare, 29 ut quæ siccare velis, ab his succos detrahas, & carne utaris: 30 quæ vero alvum movere velis, ut succo copiosiore, carne vero pauciore & succulentiore utaris.

XV. Cæterum de animalibus quæ in ciborum usum veniunt, sic cognoscere oportet. 2 Carnes bubulæ robustæ sunt, & alvum sistunt, & ægre in ventre coquuntur, 3 propterea quod crassi ac multi sanguinis est hoc animal, 4 & carnes graves, 5 [quin etiam vivæ,] 6 itemque sanguis 7 ac lac. 8 Quorum autem animalium lac tenue est, & sanguis similiter, eorum etiam carnes consimiles sunt. 9 Caprinæ carnes his leviores sunt, & magis alvo secedunt. 10 Suillæ quidem robur magis quam hæ corpori inducunt: 11 multum autem alvo secedunt, 12 propterea quod tenues & modici sanguinis venas sues habent, carnem vero multam.

XVI. Agninæ leviores sunt ovillis, 2 & hœdinæ caprinis, 3 quia exanguiores sunt & humidio-

ὑγρότερα. 4 ξηρὰ γὰρ καὶ ἰσχυρὰ φύσει ὄντα τὰ ζῶα, 5 ὁκόταν μὲν ἁπαλὰ ᾖ, διαχωρέει· 6 ὁκόταν δὲ αὐξηθῇ, οὐχ ὁμοίως. 7 καὶ τὰ μόσχεια τῶν βοείων ὡσαύτως. 8 τὰ δὲ χοίρεια τῶν συείων βαρύτερα. 9 φύσει γὰρ εὔσαρκον τὸ ζῶον, καὶ ἄναιμον, 10 ὑπερβολὴν ἐξυγρασίης ἔχει τέως ἂν νέον ᾖ. 11 ὁκόταν οὖν οἱ πόροι μὴ δέχωνται τὴν τροφὴν ἐπιοῦσαν, 12 ἐμμένον θερμαίνει καὶ ταράσσει τὴν κοιλίην. 13 τὰ δὲ ὄνεια, διαχωρέει. 14 καὶ τῶν πώλων ἔτι μᾶλλον. 15 καὶ τὰ ἵππεια κουφότερα. 16 κύνεια δὲ, θερμαίνει, καὶ ξηραίνει, καὶ ἰσχὺν ἐμποιέει, 17 οὐ μέντοι διαχωρέει. 18 σκυλάκεια δὲ ὑγραίνει καὶ διαχωρέει. 19 συὸς ἀγρίου, ξηραίνει καὶ ἰσχὺν παρέχει, καὶ διαχωρέει. 20 ἐλάφου δὲ ξηραίνει, ἧσσον δὲ διαχωρέει, οὐρέεται δὲ μᾶλλον. 21 λάγεια, ξηρὰ καὶ στάσιμα· 22 οὐρητικὸν δέ τινα παρέχει. 23 ἀλωπέκων δὲ, ὑγρότερα, οὐρέεται δέ. 24 καὶ ἐχίνων χερσαίων, οὐρητικὰ, ὑγραίνει δέ.

XVII. Περὶ δὲ ὀρνίθων ὧδε ἔχει. 2 σχεδὸν τι πάντα τὰ ὀρνίθεια ξηρότερα ἢ τὰ τετράποδα. 3 ὁκόσα γὰρ κύστιν οὐκ ἔχει, οὔτε οὐρέει, 4 οὔτε σιαλοχοέει, πάντως ξηρά. 5 διὰ γὰρ θερμότητα τῆς κοιλίης ἀναλίσκεται τὸ ὑγρὸν ἐκ τοῦ σώματος ἐς τὴν τροφὴν τοῦ θερμοῦ, 6 ὥστε οὔτε οὐρέεται, οὔτε σιαλοχοέει. 7 ὅτω γὰρ μὴ ἔνεισι τοιαῦται ὑγρασίαι, ξηραίνει ἀνάγκη. 8 ξηρότατον μὲν ὦν [φαίνεται] κρέας

midiores. 4 Quum enim ſicca & robuſta natura ſint animalia, 5 dum quidem teneræ ſunt, alvo ſecedunt, 6 ubi vero augmentum ſumpſerint, non ſimiliter. 7 Et vitulinæ carnes eodem modo ſe ad bubulas habent. 8 Verum porcinæ ſuillis graviores ſunt. 9 Quum enim animal ſit natura carnoſum & exangue, 10 humiditatis exceſſum in tenella ætate habet. 11 Quum igitur meatus ſuperaccedens alimentum non ſuſcipiant, 12 intus manens calfacit ac perturbat ventrem. 13 Aſininæ carnes alvo ſecedunt, 14 & pullorum adhuc magis. 15 Equinæ leviores ſunt. 16 Caninæ calfaciunt ac ſiccant & robur inducunt, 17 non tamen alvo ſecedunt. 18 Catulinæ vero humectant & ſecedunt. 19 Suis ſylveſtris caro ſicca & robur exhibet, ac ſecedit. 20 Cervi ſiccat, minus autem ſecedit, magiſque urinam prolicit. 21 Leporinæ ſiccæ ſunt & alvum ſiſtunt, 22 urinæ autem citamentum quoddam faciunt. 23 Vulpinæ humidiores ſunt & urinam cient. 24 Et erinaceorum terreſtrium carnes humidiores ſunt, ac urinam cient.

XVII. Porro de volucrium generibus ſic res ſe habet. 2 Omnia ferme volucrium genera ſicciora ſunt quam quadrupeda. 3 Quæcunque enim veſicam non habent, neque mingunt, 4 neque ſputum aut ſalivam fundunt, omnino ſicca ſunt. 5 Propter caliditatem enim ventris, humiditas ex corpore conſumitur in alimentum caliditatis, 6 quare neque mingunt, neque ſputum aut ſalivam fundunt. 7 Cui autem tales humiditates non inſunt, id ipſum neceſſario ſiccat. 8 Siccisſima igitur caro eſt

pa-

χρέας φάσσης, [9] δεύτερον περιστερῆς, [10] τρίτον πέρδικος, [11] καὶ ἀλεκτρυόνος, [12] καὶ τρυγόνος. [13] ὑγρότατον δὲ χηνός. [14] ὅσα δὲ σπερμολογεῖ, ξηρότερα τῶν ἑτέρων. [15] νησσῶν δὲ, [16] καὶ τῶν ἄλλων, ὁκόσα ἐν ἕλεσι διαιτῆται, ἢ ἐν ὕδασι, πάντα ὑγρά.

XIIX. Τῶν δὲ ἰχθύων, ξηρότατοι μὲν οἵδε, [2] σκορπίος, [3] δράκων, [4] καλλιώνυμος, [5] κόκκυξ, [6] γλαῦκος, [7] πέρκη, [8] θρίσσα. [9] κοῦφοι δὲ οἱ πετραῖοι σχεδὸν πάντες· οἷον [10] κίχλη, [11] φυκὶς, [12] ἐλεφιτὶς, [13] κωβιός, [14] οἱ τοιοῦτοι δὲ, καὶ οἱ προειρημένοι, κουφότεροι τῶν πλανητῶν. [15] οἱ γὰρ ἀτρεμίζοντες οὗτοι ἀραιὴν τὴν σάρκα καὶ κούφην ἔχουσιν. [16] οἱ δὲ πλανῆται [17] καὶ κυματοπλῆγες τεθνούμενοι τῷ πόνῳ στερεωτέρην τὴν σάρκα ἔχουσι. [18] νάρκαι δὲ, [19] καὶ ῥῖναι, [20] καὶ ψῆτται, [21] καὶ τὰ τοιαῦτα, ὡς ἐλαφρότερα. [22] ὁκόσοι δὲ τῶν ἰχθύων ἐν τοῖσι πηλώδεσι καὶ ὑδρηλοῖσι χωρίοισι τὰς τροφὰς ἔχουσιν, οἷον [23] κεφαλοὶ, [24] κεστρεῖς, [25] ἐγχέλυες, [26] καὶ οἱ λοιποὶ τοιοῦτοι, [27] βαρύτεροι, [28] διότι ἀπὸ τοῦ ὕδατος, καὶ τοῦ πηλοῦ, καὶ τῶν ἐν τουτέοισι φυομένων, τὰς τροφὰς ἔχουσιν· [29] ἀφ' ὧν καὶ τὸ πνεῦμα ἐσιὸν ἐς τὸν ἄνθρωπον βλάπτει καὶ βαρύνει.

XIX. Οἱ δὲ ποτάμιοι καὶ λιμναῖοι, ἔτι βαρύτεροι τουτέων. [2] πουλύποδες δὲ, [3] καὶ σηπίαι, [4] καὶ τὰ τοιαῦτα, [5] οὔτε κοῦφα, ὡς δοκέει, ἐστὶν, [6] οὔτε διαχωρητικά. [7] διὸ καὶ τοὺς στομάχους βαρύνουσιν ἐσθιόμενα. [8] πλὴν οἱ ζωμοὶ τουτέων διαχωρέουσι. [9] τὰ δὲ κογχύλια, [10] οἷον πίνναι, [11] πορφύραι, [12] λεπάδες, [13] κήρυκες, [14] ὄστρεα, [15] αὐτὰ μὲν ξηρά, [16] οἱ δὲ ζω-

palumbis, [9] deinde columbæ: [10] tertio loco perdicis, [11] ac galli, [12] & turturis: [13] humidissima vero anseris. [14] Semina leges autem volucres prædictis ficciores sunt. [15] Verum anatis carnes, [16] & reliquarum avicularum quæ in paludibus degunt, aut in aquis, omnes humidæ sunt.

XIIX. At vero ex piscibus siccissimi sunt hi, [2] scorpius, [3] draco, [4] callionymus, [5] cuculus, [6] glaucus, [7] perca, [8] thrissa. [9] Leves autem sunt petrosi ferme omnes, velut [10] turdus, [11] phuca, [12] elephetis, [13] gobio. [14] Tales autem & prædicti itidem leviores sunt erronibus. [15] Nam hi ut quiescentes raram ac levem carnem habent. [16] Errones autem [17] & undas verberantes laboribus fracti, solidiorem carnem habent. [18] Torpedines autem [19] & squatinæ [20] ac rhombi, [21] & hujusmodi, sunt leviores. [22] Quicunque vero pisces in lutosis & aquosis locis alimenta habent, velut [23] capitones, [24] mugiles, [25] anguillæ, [26] & reliqui ejusmodi, [27] graviores sunt, [28] propterea quod ab aqua & luto, & in his nascentibus, alimenta habent, [29] à quibus etiam spiritus in hominem ingrediens ipsum lædit ac gravat.

XIX. Fluviatiles autem & palustres his adhuc graviores sunt. [2] Polypi vero [3] & sepiæ, [4] & ejusmodi pisces, [5] neque leves velut videntur sunt, [6] neque per alvum secedunt: [7] quapropter etiam oculos comesti gravant, [8] jusculа tamen horum alvum movent. [9] Cæterum conchylia, [10] velut sunt pinæ, [11] purpuræ, [12] patellæ, [13] buccina, [14] ostrea, [15] ipsa quidem sicca sunt, [16] succi autem ipsorum alvum

ξηραίνει. τούτων διαχωρητικοί. [17] μύες δὲ, [18] καὶ κτένες, [19] καὶ τελλίναι, [20] τούτων μᾶλλον διαχωρέουσιν. [21] αἱ δὲ κνίδαι μάλιστα, [22] καὶ τὰ σελάχεα, [23] ὑγραίνει καὶ διαχωρέει. [24] τῶν δὲ ἐχίνων τὰ ᾠὰ, [25] καὶ τὸ ὑγρὸν καράβων, [26] μύες, [27] καὶ ἄρκτοι, [28] καὶ καρκῖνοι, μᾶλλον μὲν οἱ ποτάμιοι, ἀτὰρ καὶ οἱ θαλάσσιοι, [29] διαχωρέει, καὶ οὐρέει. [30] οἱ τάριχοι ξηραίνουσι καὶ ἰσχναίνουσι· [31] τὰ δὲ πλεῖστα καὶ διαχωρέει ἐπιεικῶς. [32] ξηρότατοι μὲν τῶν ταρίχων οἱ θαλάσσιοι, [33] δεύτεροι οἱ ποτάμιοι. [34] ὑγρότατοι δὲ οἱ λιμναῖοι. [35] αὐτέων δὲ τῶν ταρίχων οἱ λεγόμενοι πέρκαι ἰχθύες ἰσχυρῶς ξηρότεροι.

XX. Τῶν δὲ ζώων τῶν ἡμέρων, [2] τὰ ὑλονόμα καὶ ἀγρονόμα τῶν ἔνδον τρεφομένων ξηρότερα, [3] ὅτι πονεῦντα ξηραίνεται, [4] καὶ ὑπὸ τοῦ ἡλίου, [5] καὶ ὑπὸ τοῦ ψύχεος, [6] καὶ τῷ πνεύματι ξηροτέρῳ τρέφεται. [7] τὰ δὲ ἄγρια τῶν ἡμέρων ξηρότερα. [8] καὶ τὰ ὠμοφάγα [τῶν πυμφάγων,] [9] καὶ τὰ ὑλοφάγα [τῶν σιτοφάγων,] [10] καὶ τὰ ὀλιγοφάγα τῶν πολυφάγων, [11] καὶ τὰ χορτοφάγα τῶν ποηφάγων, [12] καὶ τὰ καρποφάγα τῶν μὴ καρποφάγων, [13] καὶ τὰ ὀλιγόποτα τῶν πολυπότων, [14] καὶ τὰ πολύαιμα τῶν ἀναίμων καὶ ὀλιγαίμων, [15] καὶ τὰ ἀκμάζοντα μᾶλλον, ἢ τὰ λίην παλαιὰ καὶ τὰ νέα, [16] καὶ τὰ ἄρσενα τῶν θηλέων, [17] καὶ τὰ ἄνορχα τῶν ἐνόρχων, [18] καὶ τὰ μέλανα τῶν λευκῶν, [19] καὶ τὰ δασέα τῶν ψιλῶν. [20] τὰ δ' ἐναντία, ὑγρότερα. [21] αὐτῶν δὲ τῶν ζώων, ἰσχυρόταται μὲν αἱ σάρκες αἱ κάλλισται πονεῦσαι, [22] καὶ ἐναιμόταται, [23] καὶ ἐν οἷσι κατακλίνεται. [24] κουφόταται δὲ σαρκῶν, αἱ ἥκιστα πονεῦσαι, [25] καὶ ἐν τῆς

alvum movent. [17] Mituli vero [18] & pectines [19] ac tellinæ [20] magis alvo secedunt. [21] Urticæ autem [22] & cartilaginosi generis pisces, [23] maxime humectant ac alvum movent. [24] Cæterum Erinaceorum ova, [25] & locustarum humor, [26] & musculi, [27] & ursæ, [28] ac cancri magis quidem fluviatiles, sed & marini, [29] alvum movent & urinam cient. [30] Salsamenta siccant & attenuant, [31] pleraque etiam alvum leniter movent. [32] Ex salsamentis siccissima sunt marina, deinde fluviatilia. [33] Humidissima autem sunt palustria. [34] Ex ipsis autem salsamentis pisces percæ appellati valde sicci sunt.

XX. Animalium porro cicurum ea [2] quæ in sylvis & agris pascuntur, ficciora sunt his quæ intra ædes nutriuntur, [3] quia labore resiccantur, [4] itemque præ sole [5] ac frigore, [6] & spiritu ficciore nutriuntur. [7] Verum sylvestria ficciora sunt mansuetis, [8] & crudivora [9] ac sylvarum materie pasta, [10] itemque parum edacia, ficciora sunt edacibus. [11] Et frugivora herbivoris ficciora sunt, [12] & frugivora non frugivoris, [13] & paucibiba multibibis, [14] & sanguine referta exanguibus ac paucum sanguinem habentibus, [15] & quæ in vigore sunt vetustis valde ac juvenculis, [16] & mascula fœmineis, [17] & castrata non castratis, [18] & nigra albis, [19] & hirta nudis. [20] contraria vero his, humidiora sunt. [21] Ex ipsis autem animalibus carnes hæ fortiores sunt, quæ optime exercentur, [22] ac sanguinolentissimæ sunt, [23] & in quibus recumbunt. [24] Levissimæ autem carnes sunt, quæ minime exercentur, [25] & in umbra de-

τῷ σκιῇ, [26] καὶ ὅσοισιν ἔσω ἐστὶ τῶν ζώων.

XXI. Τῶν δὲ ἀναίμων, ἐγκέφαλος καὶ μυελὸς, ἰσχυρότατα. [2] κουφότατα δὲ τῶν σαρκῶν κεφαλαὶ, καὶ τὰ ὑπογάστρια, μῦες, κτένες, πόδες. [3] τῶν δὲ ἰχθύων, ξηρότατά ἐστι τὰ ἄνω. [4] κουφότατα δὲ, τὰ ὑπογάστρια. [5] καὶ κεφαλαὶ ὑγρότεραι, διὰ τὴν πιμελὴν καὶ τὸν ἐγκέφαλον. [6] ὠὰ δὲ ὀρνίθων ἰσχυρὸν μέν τι ἔχουσι, καὶ τρόφιμον, καὶ φυσῶδες. [7] ἰσχυρὸν μὲν, ὅτι γόνος ἐστὶ ζώου. [8] τρόφιμον δὲ, ὅτι γάλα ἐστὶ τοῦτο τοῦ νεοττοῦ. [9] φυσῶδες δὲ, ὅτι ἐκ τοῦ μικροῦ ὄγκου ἐς πολὺ διαχέεται. [10] ὁ τυρὸς, ἰσχυρὸν, καὶ καυσῶδες, καὶ τρόφιμον, [καὶ στάσιμον.] [11] ἰσχυρὸν μὲν, ὅτι ἔγγιστα γενέσιος. [12] τρόφιμον δὲ, ὅτι τοῦ γάλακτος τὸ σαρκῶδές ἐστιν ὑπόλοιπον. [13] καυσῶδες δὲ, ὅτι λιπαρόν. [14] στάσιμον δὲ, ὅτι ὀπῷ καὶ πυτίῃ ξυνίσταται.

XXII. Ὕδωρ, ψυκτικόν. [2] οἶνος, θερμὸν καὶ ξηρόν. [3] ἔχει δέ τι καὶ καθαρτικὸν ἀπὸ τῆς ὕλης. [4] τῶν δὲ οἴνων οἱ μέλανες καὶ αὐστηροὶ, ξηρότεροι καὶ οὐ διαχωρέουσιν, οὔτε οὐρέονται, οὔτε πτύσει. [5] ξηραίνουσι δὲ διὰ τὴν θερμασίην, τὸ ὑγρὸν ἐκ τοῦ σώματος καταναλίσκοντες. [6] οἱ δὲ μαλακοὶ μέλανες, ὑγρότεροι, καὶ φυσῶσι, καὶ διαχωρέουσι μᾶλλον. [7] οἱ δὲ γλυκέες μέλανες, ὑγρότεροι, [8] θερμαίνουσι δὲ καὶ φυσῶσι, ὑγρασίην ἐμποιεῦντες. [9] οἱ δὲ λευκοὶ καὶ αὐστηροὶ, θερμαίνουσιν. οὐρεῦνται δὲ μᾶλλον ἢ διαχωρέουσιν. [10] οἱ δὲ νέοι μᾶλλον τῶν οἴνων διαχωρέουσι [11] διότι ἐγγυτέρω τοῦ γλεύκεός εἰσι, [12] καὶ τρόφιμοι. [13] καὶ οἱ ὄζοντες, τῶν ἀόσμων τῆς αὐτῆς ἡλικίης, [14] διότι ἐκπε-

πλέονε-

degunt, [26] & in intimis animalis partibus sitae sunt.

XXI. Exanguium autem partium robustissimae sunt, cerebrum & medulla. [2] Levissimae vero carnium partes sunt capitales, & sub ventre, musculi, pectines, pedes. [3] Ex piscibus siccissimae sunt supernae partes, [4] levissimae sub ventre. [5] Et capita ipsorum humidiora sunt, propter pinguedinem ac cerebrum. [6] Ova volucrum robustum quid habent, & alunt, & inflant. [7] Robustum quid habent, quia generatio est animalis. [8] Alunt, quia hoc est pulli lac. [9] Inflant, quia ex parva mole in multam diffunduntur. [10] Caseus robustus est, & aestuosus, & alit, [alvumque sistit.] [11] Robustus quidem, quia proximus est generationi. [12] Alit autem, quia carnosae reliquiae sunt lactis. [13] Aestuosus est, quia pinguis. [14] Alvum autem sistit, quia succo & coagulo compactus est.

XXII. Aqua frigefacit. [2] Vinum calidum est & siccum. [3] Habet & purgatorium quiddam à materia. [4] Vina nigra & austera sicciora sunt, & alvum non movent, neque urinam cient, neque salivam faciunt. [5] Siccant autem & calfaciunt, humiditatem ex corpore consumentia. [6] Mollia vero nigra humidiora sunt, & inflant atque alvum magis movent. [7] Dulcia nigra humidiora sunt, [8] calfaciunt autem & inflant humiditatem inducentia. [9] At vero alba & austera calfaciunt, magisque urinam cient, quam alvum movent. [10] Nova vina alvum magis movent, [11] quia proniora musto sunt, [12] itemque alunt, [13] & odorata magis quam inodorata ejusdem aetatis, [14] quia

magis

πλείστεροί εἰσι. 15 καὶ οἱ παχέες τῶν λεπτῶν. 16 οἱ δὲ λεπτοὶ γλυκέες, 85 οὐρέονται μᾶλλον, καὶ διαχωρέουσι, 17 καὶ ὑγραίνουσι τὸ σῶμα, 18 καὶ τὸ αἷμα ἀσθενὲς ποιέουσιν, 19 αὔξοντες δὲ τὸ ἐναντίον 36 τοῦ αἵματος ἐν τῷ σώματι.

XXIII. Γλεῦκος φυσᾷ καὶ ὑπάγει, καὶ ἐκταράσσεται, καὶ διαχωρέει. 2 φυσᾷ μὲν, ὅτι θερμαίνει. 3 ὑπάγει δὲ ἐκ τοῦ σώματος, ὅτι καθαίρει. 4 ταράσσει δὲ, ζέον ἐν τῇ κοιλίῃ, 5 καὶ [ἔπειτα] διαχωρέει. 6 οἱ δὲ ὀξέες οἶνοι, ψύχουσι, καὶ λεπτύνουσι, καὶ ὑγραίνουσι. 7 ψύχουσι μὲν καὶ λεπτύνουσι, κενοῦντες τὸ ὑγρὸν ἀπὸ τοῦ σώματος προϊέμενοι. 8 ὑγραίνουσι δὲ, ἀπὸ τοῦ ἐσιόντος ὕδατος ξὺν τῷ οἴνῳ. 9 ὄξος, ψυκτικὸν, 10 διότι τήκει τὸ ὑγρὸν ἐν τῷ σώματι καὶ ἀναλίσκει. 11 ἵστησι δὲ μᾶλλον, ἢ διαχωρέει, 12 διότι οὐ τρόφιμον, καὶ δριμύ. 13 ἕψημα θερμαίνει, καὶ ὑγραίνει, καὶ ὑπάγει. 14 θερμαίνει μὲν, ὅτι οἰνῶδες. 15 ὑγραίνει δὲ, ὅτι τρόφιμον. 16 ὑπάγει δὲ, ὅτι γλυκύ. 17 οἱ τρύγες [illegible] 37 [illegible], ὑγραίνουσι, καὶ ὑπάγουσι, καὶ φυσῶσι, 18 διότι καὶ τὸ γλεῦκος τὸ αὐτὸ ποιέει. 19 μέλι θερμὸν καὶ ξηρὸν, ἄκρητον. 20 ξὺν ὕδατι δὲ, ὑγραίνει. 45 21 καὶ διαχωρέει τοῖσι χολώδεσι, 22 τοῖσι δὲ φλεγματώδεσιν ἵστησιν. 23 ὁ δὲ γλυκὺς οἶνος, διαχωρέει μᾶλλον τοῖσι φλεγματώδεσιν.

XXIV. Περὶ δὲ λαχάνων ὧδε ἔχει. 2 σκόροδον, θερμὸν, καὶ διαχωρέει, καὶ οὐρέει. 3 καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐκ ἀγαθόν, 4 κάθαρσιν γὰρ τοῦ σώματος πολλὴν ποιεύμενον, τὴν ὄψιν ἀμβλύνει. 5 διαχωρέει δὲ ...

magis concocta sunt: 15 & crassa magis quam tenuia. 16 Verum 230 tenuia dulcia magis urinam cient, & alvum movent, 17 & humectant corpus, 18 & sanguinem debilem faciunt, 19 & adversarium corporis sanguinem in corpore augent.

XXIII. Mustum inflat, & subducit, ac conturbat fervens in ventre; & alvo secedit. 2 Inflat quidem, quia calfacit; 3 subducit autem ex corpore, quia purgat; 4 conturbat autem, quia fervet in ventre, 5 atque ita alvo secedit. 6 Vina acida frige- 235 faciunt, attenuant & humectant. 7 Frigefaciunt quidem & attenuant humiditatis evacuationem à corpore facientia, 8 humectant autem per aquam una cum vino ingredientem. 9 Acetum frigefacit, 10 quia colliquans humiditatem in corpore consumit. 11 Sistit autem magis quàm movet alvum, 12 quia non alit, & acre est. 13 Sapa calfacit & humectat ac subducit. 14 Calfacit, quia vinosa est: 15 humectat, quia 240 alit: 16 subducit, quia dulcis est. 17 Vinum recens sub torculari expressum, & nondum excolatum, humectat, subducit, & inflat, 18 quia etiam mustum idem facit. 19 Mel calidum est & siccum, si meracum sit; 20 cum aqua autem humectat, 21 & alvum movet biliosis; 22 pituitosis vero sistit. 23 Dulce vero vinum pituitosis magis alvo secedit.

XXIV. De oleribus porro hoc modo res se habet. 2 Allium ca- 245 lidum est, & alvum movet, & urinam ciet corpori, 3 oculis vero non est commodum. 4 Multam enim corporis purgationem faciens, visum hebetat: 5 alvum

au-

διαχωρέεται, διὰ τὸ καθαρτικόν. [6] ἑφθὸν ἀσθενέστερον, ἢ ὠμόν. [7] φῦσαν δὲ ἐμποιέει, διὰ τοῦ πνεύματος τὴν ἐπίτασιν. [8] Κρόμυον, τῇ μὲν ὄψει ἀγαθὸν, [9] τῷ δὲ σώματι κακὸν, [10] διότι θερμὸν καὶ καυσῶδές ἐστι, καὶ διαχωρέει. [11] τροφὴν μὲν γὰρ οὐδεμίην δίδωσι τῷ σώματι, οὐδὲ ὠφελίην. [12] θερμαῖνον δὲ ξηραίνει διὰ τὸν ὀπόν. [13] Πράσον, θερμαίνει μὲν ἧσσον, οὐρέεται δὲ, καὶ διαχωρέει. [14] ἔχει δέ τι καθαρτικόν. [15] ὑγραίνει δὲ, καὶ ὀξυρεγμίην παύει. [16] καλὸν δὲ ὕστερον τῶν ἄλλων βρωμάτων ἐσθίειν αὐτό.

XXV. Ῥαφανὶς, ὑγραίνει, διαχέουσα τὸ φλέγμα τῇ δριμύτητι. [2] τὰ δὲ φύλλα, ἧσσον. πλὴν πρὸς τοὺς ἀρθριτικούς. [3] μοχθηρὸν ἡ ῥίζα, ἐπιπολάζον δὴ καὶ δύσπεπτον. [4] Κάρδαμον, θερμὸν, καὶ τὴν σάρκα τήκει, [5] ἵστησι δὲ φλέγμα λευκὸν, [6] ὥστε στραγγουρίην ἐμποιέειν. [7] Νάπυ, θερμὸν, διαχωρητικὸν δέ. [8] πλὴν δυσουρέεται καὶ τοῦτο. [9] ἀλλὰ καὶ τὸ εὔζωμον παραπλήσια ποιέει. [10] Κορίαννον, θερμὸν καὶ στατικὸν, [11] καὶ τὴν ὀξυρεγμίην παύει, [12] καὶ ὑπνωτικὸν, ἐπὴν ὕστατον ἐδεσθῇ. [13] Θρίδαξ, ψυχρότερον, πρὶν τὸν ὀπὸν ἔχειν [14] ἀσθενείην δέ τινα ποιέει ἐν τῷ σώματι. [15] Ἄνηθον, θερμὸν, καὶ στατικὸν, καὶ πταρμὸν παύει ὀσφραινόμενον. [16] Σέλινον, οὐρέεται μᾶλλον, ἢ διαχωρέει. [17] καὶ αἱ ῥίζαι μᾶλλον ἢ αὐτὸ διαχωρέουσιν. [18] Ὤκιμον, ξηρὸν, καὶ θερμὸν, καὶ στάσιμον.

XXVI. Πήγανον, οὐρέεται μᾶλλον, ἢ διαχωρέει, [2] καὶ ξυστρεπτικὸν

autem & urinam movet, propter vim purgatoriam. [6] Coctum debilius est quam crudum, [7] flatum autem inducit, propter spiritus intentionem. [8] Cepa visui commoda est, [9] corpori vero mala, [10] quia calida & æstuosa est, & alvo secedit, [11] & alimentum quidem nullum corpori præbet neque utilitatem, [12] calfaciens autem siccat propter succum. [13] Porrum calfacit quidem minus, urinam vero ciet, & alvum movet: [14] habet & quid purgatorium: [15] humectat autem & ructum acidum sedat. [16] Præstat à reliquis cibis postremum ipsum edere.

XXV. Raphanus sive radicula, humectat, pituitam diffundens sua acrimonia: [2] folia minus prosunt, præterquam ad articularem morbum: [3] radix vitiosa est, innatans ac ægre concoctilis. [4] Nasturtium calidum est, & carnem liquat: [5] sistit autem pituitam albam, [6] quare urinæ stillicidium inducit. [7] Sinapi calidum est & alvum movet, [8] sed & hoc urinæ difficultatem facit. [9] Quin & Eruca idem facit. [10] Coriandrum calidum est, & alvum sistit: [11] & ructum acidum sedat, [12] & somnum conciliat, si postremum edatur. [13] Lactuca frigidissima est, prius quam succum habeat, [14] debilitatem autem quandam corpori inducit. [15] Anethum calidum est, & alvum sistit, & sternutamenta sedat olfactu. [16] Apium magis urinam ciet quam alvum movet: [17] & radices magis quam ipsum, alvum movent. [18] Ocimum siccum est & calidum, & alvum sistit.

XXVI. Ruta urinam magis quam alvum movet. [2] Habet & vim

πυκνωτικὸν ἔχει, [3] καὶ πρὸς τὰ φάρμακα τὰ βλαβερὰ ὠφελέει προπινόμενον. [4] Ἀσπάραγος, ξηρὸν καὶ στάσιμον. [5] Ἐλελίσφακον, ξηρὸν καὶ στατικόν. [6] Στρύχνος, ψύχει καὶ ἐξονειρώσσειν οὐκ ἐᾷ. [7] Ἀνδράχνη ψύχει ἡ ποταμίη. [8] ταριχευθὲν δὲ, θερμαίνει καὶ καθαίρει. [9] Καλαμίνθη, θερμαίνει καὶ καθαίρει. [10] Μίνθη, θερμαίνει καὶ οὐρέεται, καὶ ἐμέτους ἵστησι. [11] καὶ, ἢν πολλάκις ἐσθίῃ τις, τὸν γόνον αὐτοῦ τήκει, ὥστε ῥέειν· [12] καὶ ἐντείνειν κωλύει, [13] καὶ τὸ σῶμα ἀσθενὲς ποιέει. [14] Λάπαθον, θερμαῖνον διαχωρέει. [15] Ἀνδράφαξις, ὑγρὸν, οὐ μέντοι διαχωρέει. [16] Βλῆτον, θερμὸν, οὐ διαχωρητικόν. [17] Κράμβη, θερμαίνει, καὶ διαχωρέει, καὶ τὰ χολώδεα ἄγει. [18] Τεύτλου, ὁ μὲν χυλὸς διαχωρέει· [19] τὸ δὲ λάχανον ἐσθιόμενον ἵστησιν· [20] αἱ δὲ ῥίζαι τούτων διαχωρητικώτεραι. [21] Κολοκύντη, ψύχει, καὶ ὑγραίνει, καὶ διαχωρέει. [22] Γογγυλὶς, καυσώδης. [23] ὑγραίνει δὲ καὶ ταράσσει τὸ σῶμα· [24] οὐ μέντοι διαχωρέει· [25] δυσουρέεται δέ. [26] Γλήχων, θερμαίνει καὶ διαχωρέει. [27] Ὀρίγανον, θερμαίνει. [28] ὑπάγει δὲ καὶ τὰ χολώδεα. [29] Θύμβρη, ὁμοίως τῷ ὀριγάνῳ διαπρήσσεται. [30] Θύμον, θερμὸν, διαχωρέει, καὶ οὐρέεται. [31] ἄγει δὲ καὶ φλεγματώδεα. [32] Ὕσσωπον, θερμὸν, καὶ φλεγματώδεα ἄγει.

XXVII. Τῶν δὲ ἀγρίων λαχάνων, ὁκόσα τῷ στόματι θερμαντικὰ καὶ εὐώδεα, ταῦτα θερμαίνει καὶ οὐρέεται μᾶλλον, ἢ διαχωρέει. [2] ὁκόσα δὲ ὑγρὴν φύσιν ἔχει, καὶ ψυχρὴν, καὶ μωρὴν, καὶ ὀσμὰς βαρείας, ὑποχωρέεται μᾶλλον, ἢ οὐρέεται. [3] ὁκόσα δὲ ἐστὶ τρυφνὰ καὶ αὐστηρὰ,

vim quandam condensandi, [3] & ad medicamenta noxia commoda est præpotata. [4] Asparagus siccus est & alvum sistit. [5] Salvia sicca est, & alvum sistit. [6] Solanum frigefacit, & semen in somnis effundere non permittit. [7] Portulaca fluviatilis frigefacit, [8] sale vero condita ac servata, calfacit & purgat. [9] Calaminthe calfacit & purgat. [10] Mintha calfacit & urinam ciet, & vomitus sistit. [11] Et si quis sæpe comedat, semen genitale colliquefacit ut diffluat, [12] & arrigere prohibet, [13] & corpus debile facit. [14] Rumex calfacit ac alvum movet. [15] Atriplex humida est, non tamen alvum movet. [16] Blitum calidum est, non movens alvum. [17] Brassica calfacit ac alvum movet, & biliosa ducit. [18] Betæ succus quidem alvum movet, [19] ipsum autem olus comestum sistit: [20] radices vero magis alvum movent. [21] Cucurbita frigefacit & humectat, & alvum movet. [22] Rapum æstuosum est, [23] humectat autem & conturbat corpus, [24] non tamen alvo secedit, [25] & urinæ difficultatem inducit. [26] Polegium calfacit & alvum movet. [27] Origanum calfacit, [28] & biliosa subducit. [29] Thymbra similia origano efficit. [30] Thymum calidum est, per alvum secedit & mingitur, [31] ducit & pituitosa. [32] Hyssopum calidum est, & pituitam ducit.

XXVII. Porro sylvestria olera, quæ os calfaciunt, & odorata sunt, ea calfaciunt & minguntur magis, quam per alvum secedunt. [2] Quæ vero humidam habent naturam frigidamque ac fatuam, & odores graves, magis per alvum secedunt, quam per urinam. [3] Quæ autem acerba & austera

στρυφνὰ, ἱστᾶσι. [4] ὁκόσα δὲ δριμέα καὶ εὐώδεα, οὐρέεται. [5] ὁκόσα δὲ δριμέα καὶ ξηρὰ ἐν τῷ στόματι, ταῦτα πάντα ξηραίνει. [6] ὁκόσα δὲ ὀξέα, ψυκτικά. [7] οἱ δὲ χυμοὶ διουρητικοί, [8] κρήθμου, [8] σελίνου, [9] σκορόδου ἀποβρέγματα, [10] κυτίσου, [11] μαράθου, [12] πράσου, [13] ἀδιάντου, [14] στρύχνου, ὃ καὶ ψύχει. [15] σκολοπένδριον, [16] μίνθη, [17] σέσελι, [18] καυκαλίδες, [19] ὑπερικόν, [20] κνίδαι. [21] διαχωρητικὰ [δὲ] καὶ καθαρτικά, ἐρέβινθος, [22] φακὴ, [23] κριθαὶ, [24] τεῦτλα, [25] κράμβη, [26] λινόζωστις, [27] ἀκτὴ, [28] κνῆκος. [29] ταῦτα πάντα ὑποχωρέει μᾶλλον ἢ διουρέεται.

XXIIX. Περὶ δὲ ὀπώρης ὧδε ἔχει. [2] τὰ μὲν ἐγκάρπια διαχωρητικώτερα· [3] τὰ δὲ χλωρὰ, τῶν ξηρῶν. [4] ἡ δὲ δύναμις εἴρηται αὐτέων. [5] Μόρα, θερμαίνει, καὶ ὑγραίνει, καὶ διαχωρέει. [6] Ἄπιοι πέπειροι, θερμαίνουσι, καὶ ὑγραίνουσι, καὶ διαχωρέουσι. [7] αἱ δὲ σκληραὶ, ἱστᾶσι. [8] Ἀχράδες χειμέριαι, πέπειροι, διαχωρέουσι, καὶ τὴν κοιλίην καθαίρουσι. [9] αἱ δὲ ὠμαὶ, ἱστᾶσι. [10] Μῆλα γλυκέα, δύσπεπτα· [11] τὰ δὲ ὀξέα καὶ πέπονα, ἧσσον. [12] Κυδώνια, στυπτικὰ, καὶ οὐ διαχωρέουσιν. [13] οἱ δὲ χυλοὶ τῶν μήλων, πρὸς τοὺς ἐμέτους στατικοὶ, καὶ οὐρητικοί· [14] καὶ ὀδμαὶ πρὸ τῶν ἐμέτων. [15] τὰ δὲ ἄγρια μῆλα, στατικά. [16] ἑφθὰ δὲ ἐσθιόμενα μᾶλλον διαχωρητικά. [17] πρὸς δὲ τὴν ὀρθόπνοιαν, οἵ τε χυλοὶ αὐτῶν, καὶ αὐτὰ πινόμενα, ὠφελέει. [18] Οὖα δὲ, [19] καὶ μέσπιλα, [20] καὶ κράνια, [21] καὶ ὅση ἄλλη τοιαύτη ὀπώρη, στατικὴ καὶ στρυφνή.

XXIX. Καὶ ῥοιῆς γλυκείης ὁ χυ-

austera sunt, alvum sistunt. [4] Quæ acria & odorata sunt, urinam cient. [5] Quæ acria & sicca in ore sunt, ea omnia siccant. [6] Quæ acida sunt, frigefaciunt. [7] Cæterum succi urinam cientes sunt, crethmi, [8] apii, [9] allii cremor, [10] cytisi, [11] fœniculi, [12] porri, [13] adianti, [14] solani, qui & frigefacit. [15] Item scolopendrium, [16] mintha, [17] seseli, [18] caucalides, [19] hypericum, [20] urticæ. [21] Alvum autem movent & purgant, cicer, [22] lenticula, [23] hordeum, [24] beta, [25] brassica, [26] mercurialis, [27] sambucus, [28] cnicus. [29] Hæc omnia alvum magis movent quam urinam.

XXIIX At vero de pomis hoc modo se res habet. [2] Quæ quidem seminibus referta sunt, ea magis alvum movent. [3] Item viridia magis quam sicca. [4] Verum vis & facultas ipsorum referatur. [5] Mora calfaciunt & humectant ac alvo secedunt. [6] Pira matura calfaciunt & humectant ac alvum movent: [7] dura vero sistunt. [8] Pira sylvestria, hyberna, matura, alvum movent ac purgant: [9] cruda vero sistunt. [10] Mala dulcia ægre concoquuntur: [11] acida vero, & matura, minus. [12] Cydonia adstringunt & non movent alvum. [13] Succi autem malorum, vomitus sistunt, & urinam cient: [14] & ante vomitum odores ipsorum idem præstant. [15] Mala sylvestria alvum sistunt. [16] Cocta comesta magis alvum movent. [17] Verum ad respirationem quæ erecta cervice fit, & succi ipsorum, & ipsa quoque hausta prosunt. [18] Sorba, [19] mespila & [20] corna, [21] & quæcunque alia hujus generis poma, alvum sistunt & acerba sunt.

XXIX. Mali punici dulcis suc-

χολὰς διαχωρέει. [2] καυσῶδες δέ τι ἔχει. [3] αἱ οἰνώδεες τῶν ῥοιῶν, ἧσσον καυσώδεες. [4] αἱ δὲ ὀξεῖαι, ψυκτικώτεραι. [5] οἱ δὲ πυρῆνες πάντων, στάσιμοι. [6] Σίκυοι, ὠμοὶ ψυχροί, καὶ δύσπεπτοι. [7] οἱ δὲ πέπονες, οὐρέονται καὶ διαχωρέονται. [8] φυσώδεες δέ. [9] Βότρυες, θερμοὶ καὶ ὑγροί, καὶ διαχωρητικοί, μάλιστα μὲν οἱ λευκοί. [10] οἱ μὲν οὖν γλυκέες θερμαίνουσιν ἰσχυρῶς, διότι πολὺ ἤδη τοῦ θερμοῦ ἔχουσιν. [11] οἱ δὲ ὀμφακώδεες ἧσσον θερμαίνουσι. [12] καθαίρουσι δὲ μᾶλλον πινόμενοι.

XXX. Σῦκα, [2] καὶ σταφίδες, καυσώδεα. [3] διαχωρητικὰ δέ. [4] Σῦκον χλωρὸν, ὑγραίνει, καὶ διαχωρέει, καὶ θερμαίνει. [5] ὑγραίνει μὲν, ὅτι ἔγχυλόν ἐστι. [6] θερμαίνει δὲ, διὰ τὸν ὀπόν. [7] διαχωρέει δὲ, διὰ τὸ γλυκὺ τοῦ ὀποῦ. [8] τὰ πρῶτα τῶν σύκων, κάκιστα, ὅτι ἐστὶν ὀπωδέστατα. [9] βέλτιστα δὲ, τὰ ὕστατα. [10] τὰ ξηρὰ σῦκα καυσώδεα· διαχωρητικὰ δέ. [11] Αἱ ἀμυγδάλαι καυσώδεες, τρόφιμοι δέ ἐστι διὰ ταῦτα. [12] καυσώδεες μὲν, διὰ τὸ λιπαρόν. [13] τρόφιμοι δὲ, διὰ τὸ σαρκῶδες. [14] Καὶ κάρυα τὰ στρογγύλα, παραπλήσια τούτοις ἔχουσι. [15] τὰ δὲ πλατέα πέπονα, τρόφιμα, καὶ διαχωρητικά. [16] καθαρὰ δὲ ἐόντα, καὶ φῦσαν ἐμποιέει. [17] οἱ δὲ χιτῶνες αὐτέων στάσιμοι. [18] Ἄκυλοι, [19] καὶ βάλανοι, [20] καὶ φηγοὶ, σταλτικοί, [21] ὠμοὶ καὶ ὀπτοί. [22] ἑφθοὶ δὲ, ἧσσον.

XXXI. Τὰ πίονα τῶν κρεῶν, καυσώδεα· διαχωρητικὰ δέ. [2] κρέα ταριχηρὰ, [3] ἐν οἴνῳ μὲν ὄντα, ξηραίνει καὶ τρέφει. [4] ξηραίνει μὲν, διὰ τὸν οἶνον. [5] τρέφει δὲ, διὰ τὴν σάρκα. [6] ἐν ὄξει δὲ ταριχηρὰ-

cus alvum movet: [2] habet autem quid æstuosum. [3] Mala punica vinosa, minus æstuosa sunt. [4] Acida vero magis frigefactoria. [5] Nuclei autem omnium alvum sistunt. [6] Cucumeres crudi, frigidi sunt & ægre concoctiles. [7] Maturi autem & pepones, minguntur & per alvum secedunt: [8] verum flatuosi sunt. [9] Botri uvarum calidi sunt & humidi ac alvum movent, maxime albi. [10] Dulces quidem igitur calfaciunt fortiter, propterea quod multum jam caliditatis habent. [11] Immaturæ vero minus calfaciunt, [12] magis autem purgant potatæ.

XXX. Ficus [2] & uvæ passæ æstuosæ sunt, [3] sed alvum movent. [4] Ficus viridis humectat & alvum movet, ac calfacit. [5] Humectat, quia succo plena est: [6] calfacit, propter succum itidem: [7] alvum movet, propter succi dulcorem. [8] Primæ ficus pessimæ sunt, quia succulentissimæ: [9] optimæ autem sunt postremæ. [10] Ficus aridæ æstuosæ sunt, sed alvo secedunt. [11] Amygdalæ æstuosæ sunt, verum probe nutriunt. [12] Æstuosæ quidem sunt propter pinguitudinem, [13] nutriunt autem propter carnositatem. [14] Nuces rotundæ similes his sunt. [15] Latæ vero maturæ probe alunt, & alvum movent. [16] Depuratæ vero etiam flatum inducunt. [17] Tunicæ vero ipsarum alvum sistunt. [18] Acyli ilicis, & glandes [19] quercinæ ac [20] fagineæ glandes, alvum sistunt [21] crudæ & assatæ, [22] coctæ vero minus.

XXXI. Pingues carnes æstuosæ sunt, sed alvum movent. [2] Carnes conditæ ac asservatæ, [3] in vino quidem siccant & alunt: [4] & siccant quidem propter vinum, [5] alunt autem propter carnem. [6] In aceto au-

κεχυμένα θερμαίνει μὲν, ἧσσον δὲ, διὰ τὸ ὄξος. 7 τρέφει δὲ ἱκανῶς. 8 ἐν ἁλσὶ δὲ κρέα τεταριχευμένα, τρόφιμα μὲν ἧσσον, διὰ τὸ ἅλας ἐς τὸ ὑγρὸν ἀπεστερημένα· 9 ἰσχναίνει δὲ, καὶ ξηραίνει, καὶ διαχωρέει ἱκανῶς. 10 τὰς δὲ δυνάμιας ἑκάστων ἀφαιρέειν
10 καὶ προστιθέναι ὧδε χρή. 11 πυρὶ καὶ ὕδατι πάντα ξυνίσταται, καὶ ζῶα, καὶ φυτὰ, καὶ ὑπὸ τουτέων αὔξεται, καὶ ἐς ταῦτα διακρίνεται. 12 τῶν μὲν οὖν ἰσχυρῶν σιτίων, ἕψοντα, πολλάκις καὶ διαψύχοντα, τὴν δύναμιν ἀφαιρέειν, καὶ προστιθέναι πάλιν ὧδε χρή. 13 τῶν δὲ ὑγρῶν, πυροῦντα καὶ φώζοντα, τὴν ὑγρασίην ἐξαιρέεσθαι. 14 τῶν δὲ ξηρῶν, βρέχοντα καὶ νοτίζοντα. 15 τῶν δὲ ἁλμυρῶν, βρέχοντα καὶ ἕψοντα. 16
15 τῶν δὲ πικρῶν καὶ δριμέων, τοῖσι γλυκέσι διακιρνάντα. 17 τῶν δὲ στρυφνῶν, τοῖσι λιπαροῖσι. 18 καὶ ἐπὶ τῶν ἄλλων πάντων ἐκ τῶν προειρημένων χρὴ γινώσκειν.

autem asservatæ calfaciunt quidem, verum minus [1] propter acetum: 7 multum autem nutriunt. 8 At vero sale servatæ minus quidem alunt, humiditate per salem privatæ: 9 attenuant autem & siccant, ac sufficienter alvum movent. 10 Cæterum vires singulorum detrahere, & addere ac augere, hoc modo oportet. 11 Ex igne & aqua omnia constituuntur, & animalia, & terra nascentia, & ex his augescunt, & in hæc secernuntur ac resolvuntur. 12 Fortium [1] quidem igitur eduliorum vim sæpe coquendo ac frigefaciendo detrahere oportet, & vice versa augere hoc modo. 13 Humidorum, torrendo ac assando humiditatem eximere. 14 Siccorum vero, rigando ac madefaciendo. 15 Salsorum, rigando & coquendo. 16 Amarorum & acrium, dulcium mixtura. 17 Acerborum, pinguium temperamento: 18 & de reliquis omnibus ex prædictis judicium facere oportet.

XXXII. Ὁκόσα πυρούμενα ἢ φωζόμενα, στάσιμά ἐστι μᾶλλον τῶν ὠμῶν· 2 διότι τὸ ὑγρὸν ὑπὸ τοῦ πυρὸς ἀνήρηται, 3 καὶ ἐκπυροῦται τὸ λιπαρόν. 4 ὁκόταν γοῦν ἐς τὴν κοιλίην ἐμπέσῃ, ἕλκει τὸ ὑγρὸν ἐκ τῆς κοιλίης ἐπ' αὐτὰ, 5 ξυγκλείοντα [μὲν] τὰ στόματα τῶν φλεβίων, ξηραίνοντα [δὲ] καὶ θερμαίνοντα, 6 ὥστε ἵστησι τὰς διεξόδους τοῦ ὑγροῦ. 7 τὰ δὲ ἐκ
20 τῶν ἀνύδρων, καὶ ξηρῶν, καὶ πνιγηρῶν χωρίων, ἅπαντα ξηρότερα καὶ θερμότερα, 8 καὶ ἰσχὺν πλείω παρέχεται ἐς τὸ σῶμα. 9 διότι ἐκ τοῦ ἴσου ὄγκου, βαρύτερα, καὶ πυκνότερα, 10 καὶ πολύνοστά ἐστιν, 11 ἢ τὰ ἐκ τῶν ὑγρῶν, καὶ ἀρδομένων, καὶ ψυχρῶν. 12 ταῦτα δὲ ὑγρότερα, καὶ κουφότερα, καὶ ψυχρότερα. 13 ἐκ δεῖ τὴν δύναμιν

XXXII. Quæcunque tosta aut assata [1] sunt, alvum magis sistunt quam cruda, 2 propterea quod humiditas, 3 itemque pinguitudo per ignem ablata sunt. 4 Quum itaque in ventrem inciderint, humiditatem ex ventre trahunt, 5 & oscula venarum concludunt, siccantque ac calfaciunt, 6 quare transitus humiditatis sistunt. 7 Quæ vero ex inaquosis ac siccis & æstuosis locis veniunt, ea omnia sicciora ac calidiora sunt, 8 & robur amplius corpori exhibent, 9 propterea quod pari [1] mole ac copia graviora sunt & densiora, 10 & majorem reditum tribuunt, 11 quam quæ ex humidis & riguis ac frigidis. 12 Hæc enim humidiora sunt & leviora ac

ναμιν μόνον αὐτέων γνῶναι τῶν τε σίτων, καὶ τῶν πομάτων, καὶ τῶν ζώων, [14] ἀλλὰ καὶ τὰς πατρίδας, ὁπόθεν εἰσίν. [15] ὁκόταν γοῦν βούλωνται τροφὴν ἰσχυρὴν τῷ σώματι προσενέγκαι, καὶ ἀπὸ τῶν αὐτῶν σίτων, [16] τοῖσιν ἐκ τῶν ἀνύδρων χωρέων χρηστέον, καὶ σιτίοισι, καὶ πόμασι, καὶ ζώοισιν. [17] ὁκόταν δὲ κουφοτέρῃ τῇ τροφῇ καὶ ὑγροτέρῃ, τοῖσιν ἐκ τῶν ἀρδομένων χρηστέον.

XXXIII. Τὰ γλυκέα, [2] καὶ τὰ δριμέα, [3] καὶ τὰ ἁλυκὰ, [4] καὶ τὰ πικρὰ, [5] καὶ τὰ αὐστηρὰ, [6] καὶ τὰ σαρκώδεα θερμαίνειν πέφυκε, [7] καὶ ὅσα ξηρά ἐστι, [8] καὶ ὅσα ὑγρά. [9] ὁκόσα μὲν οὖν ξηροῦ μέρος πλεῖον ἔχει ἐν αὐτέοισι, ταῦτα μὲν ξηραίνει, καὶ θερμαίνει. [10] ὁκόσα δὲ ὑγροῦ μέρος ἔχει πλέον, ταῦτα πάντα θερμαίνοντα ὑγραίνει, [11] καὶ διαχωρέει μᾶλλον, ἢ τὰ ξηρά. [12] τροφὴν γὰρ μᾶλλον ἐς τὸ σῶμα διδόντα, [13] ἀντίσπασιν ποιέεται ἐν τῇ κοιλίῃ, καὶ ὑγραίνοντα διαχωρέει. [14] ὁκόσα δὲ διαθερμαίνοντα ξηραίνει, ἢ σιτία, ἢ ποτὰ, οὔτε πτύσιν, οὔτε οὔρησιν, οὔτε διαχώρησιν ποιοῦντα, ξηραίνει τὸ σῶμα, διὰ τόδε. [15] θερμαινόμενον τὸ σῶμα, κενοῦται τοῦ ὑγροῦ, [16] τὸ μὲν ἀπ' αὐτέων τῶν σιτίων, [17] τὸ δὲ, ἐς τροφὴν, τῷ τῆς ψυχῆς θερμῷ καταναλίσκεται. [18] τὸ δὲ, διὰ τοῦ χρωτὸς ἐξωθέεται, θερμαινόμενον καὶ λεπτυνόμενον. [19] τὰ δὲ γλυκέα, καὶ τὰ πίονα, καὶ τὰ λιπαρὰ, πληρωτικά ἐστι, [20] διότι ἐξ ὀλίγου ὄγκου πολυχεά ἐστι. [21] θερμαινόμενα δὲ, καὶ διαχεόμενα, πληροῖ τὸ θερμὸν ἐν τῷ σώματι, [22] καὶ γαληνιάζειν ποιέει. [23] τὰ δὲ ὀξέα, [24] καὶ δριμέα, [25] καὶ αὐστηρὰ, [26] καὶ στρυφνὰ, [27] καὶ ξυγκομιστὰ, [28] καὶ ξηρὰ, οὐ πληροῖ, [29] διότι τὰ στόματα τῶν φλεβῶν ἀνέωξέ τε, καὶ διεκάθηρε, [30] καὶ τὰ μὲν ξηραίνοντα,

ac frigidiora. [13] Non igitur solum ipsius cibi & potus, & animalium ipsorum vim nosse oportet, [14] sed etiam patriæ unde sunt. [15] Quum igitur forte alimentum corpori offerre voles, & ex iisdem cibis, [16] his quæ ex inaquosis locis veniunt utendum est, & cibis, & potibus, & animalibus. [17] Ubi vero leviore & humidiore, his quæ ex riguis veniunt uteris.

XXXIII. Dulcia, [2] & acria, [3] & salsa, [4] & amara, [5] & austera, [6] & carnosa calfacere solent, [7] tum quæ sicca sunt, [8] tum quæ humida. [9] Quæcunque igitur de sicca parte plus in se habent, ea siccant & calfaciunt. [10] Quæ vero humidæ partis plus habent, ea omnia calfacientia humectant, [11] & alvum magis movent quam sicca. [12] Nam ubi alimentum amplius corpori præbuerunt, [13] revulsionem in ventre faciunt, & humectantia alvo secedunt. [14] Quæ autem excalfacientia siccant, tum edulia, tum pocula, neque salivam, neque urinam, neque secessum facientia, corpus siccant, idque ob hanc caussam. [15] Corpus calfactum humore vacuatur, [16] & pars ejus ab ipsis cibis, [17] pars in alimentum caloris ipsius animæ consumitur; [18] pars etiam calfacta & attenuata per ipsum corpus expellitur. [19] Dulcia & pinguia ac oleosa replent, [20] quia ex modica mole multum diffunduntur. [21] Calfacta autem & diffusa, caliditatem in corpore replent [22] ac tranquillam esse faciunt. [23] At vero acida, [24] & acria, [25] & austera, [26] & acerba, [27] & ex toto collata, [28] & sicca, non replent: [29] propterea quod oscula venarum aperiunt & expurgant, [30] & partim

κοντα, τὰ δὲ δάκνοντα καὶ στύφοντα, [31] φρίσσειν καὶ ξυνιστάναι ἐς ὀλίγον ἐποίησεν ἔχειν τὸ ὑγρὸν τὸ ἐν τῇ σαρκί· [32] καὶ τὸ κενὸν πολὺ ἐγένετο ἐν τῷ σώματι. [33] ὁκόταν γὰρ βούλῃ ἀπ᾽ ὀλίγων πληρῶσαι, ἢ ἀπὸ πλειόνων κενῶσαι, τοῖσι τοιούτοισι χρέεσθαι. 40

XXXIV. Τὰ δὲ πρόσφατα, πάντα ἰσχὺν πλείω παρέχεται τῶν ἄλλων, διὰ τόδε, [2] ὅτι ἐγγίον τοῦ ζῶντός ἐστι. [3] τὰ δὲ ἕωλα, καὶ σαπρὰ, διαχωρεῖ μᾶλλον τῶν προσφάτων, [4] διότι ἐγγίον τῆς σηπεδόνος ἐστί. [5] τὰ δὲ ὠμὰ, τροφώδεα καὶ ἐρευγμώδεά ἐστι· [6] διότι, ἃ δεῖ τῷ πυρὶ κατεργασθῆναι, [7] ταῦτα ἡ κοιλίη διαπρήσσεται, ἀσθενεστέρη ἐοῦσα τῶν ἐσιόντων. [8] τὰ δὲ ἐν τοῖσιν ὑποτρίμμασιν ὄψα σκευαζόμενα, καυσώδεα καὶ ὑγρὰ, [9] ὅτι λιπαρὰ, καὶ πυρώδεα, καὶ θερμὰ, καὶ ἀνομοίους τὰς δυνάμιας ἀλλήλοισιν ἔχοντα, ἐν τῷ αὐτέῳ ἐστί. [10] τὰ δὲ ἐν ἅλμῃ, βελτίω, καὶ οὐ καυσώδεα. 45

XXXV. Περὶ δὲ λουτρῶν ὧδε ἔχει. [2] ὕδωρ πότιμον, ὑγραίνει καὶ ψύχει· [3] δίδωσι γὰρ τῷ σώματι ὑγρασίην. [4] τὸ δὲ ἁλμυρὸν λουτρὸν, θερμαίνει καὶ ξηραίνει. [5] φύσει γὰρ ἐὸν θερμὸν, ἕλκει ἀπὸ τοῦ σώματος τὸ ὑγρόν. [6] τὰ δὲ θερμὰ λουτρὰ, [7] νῆστιν μὲν ἰσχναίνει, καὶ ψύχει· [8] φέρει γὰρ ἀπὸ τοῦ σώματος τὸ ὑγρὸν τῇ θερμασίῃ. [9] κινευμένης δὲ τῆς σαρκὸς τοῦ ὑγροῦ, ψύχεται τὸ σῶμα. [10] βεβρωκότα δὲ θερμαίνει καὶ ὑγραίνει. [11] διαχέοντα τὰ ὑπάρχοντα ἐν τῷ σώματι, ἐς πλείονα ὄγκον. [12] ψυχρὰ δὲ λουτρὰ, τἀναντία. [13] κενῷ μὲν τῷ σώματι δίδωσι θερ- 50 97

tim ficcantia, partim mordentia ac adstringentia, [31] humiditatem carnis horrere ac considere, & in modicam molem contrahi faciunt, [32] atque ita vacuum multum in corpore fit. [33] Quum igitur voles à modicis implere, aut à pluribus evacuare, talibus utaris. 375

XXXIV. Recentia omnia majorem quam alia fortitudinem habent, [2] propterea quod propinquiora vivo sunt. [3] Verum antiqua & marcida; magis quam recentia alvum movent, [4] quia propiora putredini sunt. [5] At vero cruda alunt & ructus cient, 380 [6] propterea quod quæ ignem coquere oportebat, [7] ea ventre transigit, debilior quam ea, quæ ingesta sunt, existens. [8] Cæterum obsonia ex variis intritis præparata, æstuosa & humida sunt: [9] propterea quod pinguia, & tosta, & calida, & inæquales inter se vires habentia, in eodem cohærent. [10] Verum quæ in muria præparantur, meliora sunt, & non æstuosa.

XXXV. Porro de balneis hoc modo habet. [2] Aqua potabilis 385 humectat & frigefacit, [3] exhibet enim corpori humiditatem. [4] Salsum autem balneum calfacit ac siccat. [5] Quum enim natura calidum sit, trahit à corpore humiditatem. [6] Calida autem balnea [7] jejunum attenuant ac frigefaciunt: [8] per caliditatem enim humiditatem de corpore auferunt: [9] evacuata autem de carne humiditate, corpus perfrigeratur: [10] à cibo accepto eadem calfaciunt, ac humectant, [11] ea 390 quæ supereminent in corpore diffundentia in majorem molem. [12] Balnea autem frigida vice versa, [13] vacuo quidem corpore

θερμὸν τι [καὶ] ὑγρόν. [14] βεβρωκότι δὲ, ἀφαιρέεται ὑγροῦ ἐόντος, [15] καὶ πληροῖ ψυχρὸν ἐὸν τὰ ὑπάρχοντα ξηρά. [16] ἀλουσίη ξηραίνει, καταναλισκομένου τοῦ ὑγροῦ. [17] ὡσαύτως δὲ καὶ ἡ ἀναλειψίη. [18] λίπη δὲ, θερμαίνει, καὶ ὑγραίνει, καὶ μαλάσσει.

XXXVI. [1] Ἥλιος δὲ, καὶ πῦρ, ξηραίνει διὰ τόδε. [2] θερμὰ ἐόντα καὶ ξηρὰ, ἕλκει ἐκ τοῦ σώματος τὸ ὑγρόν. [3] σκιὴ δὲ, καὶ ψύχεα, τὰ μέτρια, ὑγραίνει. [4] διδοῖ γὰρ μᾶλλον, ἢ λαμβάνει. [5] ἱδρῶτες πάντες ἀπιόντες, καὶ ξηραίνουσι καὶ ἰσχναίνουσιν, ἐκλείποντος τοῦ ὑγροῦ ἐκ τοῦ σώματος. [6] λαγνείη, ἰσχναίνει, καὶ ὑγραίνει, καὶ θερμαίνει. [7] θερμαίνει μὲν, διὰ τὸν πόνον καὶ τὴν ἀπόκρισιν τοῦ ὑγροῦ. [8] ἰσχναίνει δὲ, διὰ τὴν κένωσιν. [9] ὑγραίνει δὲ, διὰ τὸ ὑπολειπόμενον ἐν τῷ σώματι τῆς συντήξιος ὑπὸ τοῦ πόνου. [10] ἔμετοι ἰσχναίνουσι διὰ τὴν κένωσιν τῆς τροφῆς· [11] οὐ μέντοι ξηραίνουσιν, ἢν μή τις τῇ ὑστεραίῃ θεραπεύῃ ὀρθῶς, [12] ἀλλ' ὑγραίνουσι, διὰ τὴν πλήρωσιν, καὶ διὰ τὴν σύντηξιν τῆς σαρκὸς τὴν ὑπὸ τοῦ πόνου. [13] ἢν δέ τις ἐάσῃ ταῦτα καταναλωθῆναι τῇ ὑστεραίῃ ἐς τὴν τροφὴν τῷ θερμῷ, [14] καὶ τῇ διαίτῃ ἡσύχως προσαγάγῃ, ξηραίνουσι. [15] κοιλίην δὲ συνεστηκυῖαν λύει ἔμετος. [16] καὶ διαχωρέουσαν μᾶλλον τοῦ καιροῦ, ἵστησι· [17] τὴν μὲν διυγραίνων, τὴν δὲ ξηραίνων. [18] ὁκόταν μὲν οὖν στῆσαι βούληται τὴν ταχίστην, φαγόντα χρὴ ἐξεμέειν, [19] πρὶν οὖν διυγρανθῆναι τὸ σιτίον, καὶ κατασπασθῆναι κάτω· [20] καὶ τοῖσι στρυφνοῖσι καὶ τοῖσιν αὐστηροῖσι σιτίοισι μᾶλλον χρέεσθαι. [21] ὁκόταν δὲ λῦσαι τὴν κοιλίην βούληται, [22] ἐνδιατρίβειν ἐν τοῖσι σιτίοισιν ὡς πλεῖστον χρόνον ξυμφέρει, [23] καὶ τοῖσι δριμέσι, καὶ ἁλμυροῖσι, καὶ λιπα-

præbent quandam caliditatem: [14] ubi autem cibus ingestus est, ab humido existente detrahunt, [15] & frigidum existens siccitate replent. [16] Illuvies siccat, quum humiditas consumatur. [17] Similiter etiam unctionis neglectus. [18] Unctio vero calfacit, humectat, ac mollit.

XXXVI. [1] Sol & ignis siccant, [2] propterea quod quum calida sint & sicca, humiditatem ex corpore trahunt. [3] Umbra & frigus moderate humectant, [4] dant enim magis quam accipiunt. [5] Sudores omnes abeuntes siccant & attenuant, humore ex corpore deficiente. [6] Coitus attenuat, humectat & calfacit: [7] calfacit quidem, propter laborem & excretionem frigiditatis: [8] attenuat autem propter evacuationem: [9] humectat, propter colliquationis reliquias in corpore præ labore. [10] Vomitus attenuant propter cibi evacuationem, [11] non tamen siccant, si quis postridie recte curet, [12] sed humectant, propter repletionem & colliquationem carnis præ labore. [13] Si vero quis sinat hæc postridie consumi in alimentum caliditati, [14] & diætam paulatim adhibeat, siccant. [15] Ventrem autem compactum vomitus solvit: [16] & egerentem magis quam oportet, sistit: [17] illum quidem humectans, hunc vero siccans. [18] Quum igitur alvum quis sistere volet, avide devoratum cibum evomere oportet, [19] priusquam humescat & infra detrahatur: [20] & magis acerbis & austeris edulis uti. [21] Ubi vero solvere alvum quis velit, [22] plurimo tempore cibis immorari confert, [23] & acribus, ac salsis, & pinguibus; ac

λιπαροῖσι, καὶ γλυκέσι, καὶ τοῖσι σιτίοισι καὶ πόμασι χρέεσθαι.

XXXVII. [1] Ὕπνοι δὲ, [2] νῆστιν μὲν ἰσχναίνουσι καὶ ψύχουσιν, [3] ἢν μὴ μακροὶ ἔωσι, κενοῦντες τοῦ ὑπάρχοντος ὑγροῦ. [4] οἱ δὲ μᾶλλον ἐκθερμαίνοντες ξυντήκουσι τὴν σάρκα, [5] καὶ διαλύουσι τὸ σῶμα διαχέοντες, [6] καὶ ἀσθενὲς ποιέοντες. [7] βεβρωκότα δὲ, θερμαίνοντες ὑγραίνουσι, [8] τὴν τροφὴν ἐς τὸ σῶμα διαχέοντες. [9] ἀπὸ δὲ τῶν ὀρθρίων περιπάτων ὕπνος μάλιστα ξηραίνει. [10] ἀγρυπνίη δὲ, [11] ἐν μὲν τοῖσι σιτίοισι βλάπτει, οὐκ ἐῶσα τὸ σιτίον τήκεσθαι. [12] ἀσίτοισι δὲ ἰσχνασίην μέν τινα παραδίδωσι. βλάπτει δὲ ἧσσον. [13] ῥαθυμίη, ὑγραίνει, καὶ ἀσθενὲς τὸ σῶμα ποιεῖ. [14] ἀτρεμίζουσα γὰρ ἡ ψυχὴ, οὐκ ἀναλίσκει τὸ ὑγρὸν ἐκ τοῦ σώματος.

XXXIIX. Πόνος δὲ, ξηραίνει, καὶ σῶμα ἰσχυρὸν ποιεῖ. [2] μονοσιτίη, ἰσχναίνει, καὶ ξηραίνει, καὶ τὴν κοιλίην ἵστησι· [3] διότι γὰρ τῆς ψυχῆς θερμῷ τὸ ὑγρὸν ἐκ τῆς κοιλίης καὶ τῆς σαρκὸς καταναλίσκεται. [4] ἄριστον δὲ τἀναντία διαπρήσσεται τῇ μονοσιτίῃ. [5] ὕδωρ πόμα θερμὸν, ἰσχναίνει. [6] ὡσαύτως δὲ καὶ ψυχρόν. [7] τὸ δὲ ὑπερβάλλον ψυχρὸν καὶ πνεῦμα, καὶ τὸ σιτίον, καὶ τὸ ποτὸν, πήγνυσι τὸ ὑγρὸν τὸ ἐν σώματι, [8] καὶ τὰς κοιλίας ξυνίστησι τῇ πήξει καὶ ψύξει. [9] κρατεῖ γὰρ τοῦ τῆς ψυχῆς ὑγροῦ. [10] καὶ τοῦ θερμοῦ δὲ πάλιν αἱ ὑπερβολαὶ, πηγνύουσι. [11] καὶ τοσοῦτον, ὡς μὴ διάχυσιν ἔχειν. [12] ὁκόσα δὲ θερμαίνοντα τὸ σῶμα, τροφὴν μὴ διδόντα, κενοῖ τοῦ ὑγροῦ τὴν σάρκα, μὴ δι' ὑπερβολὴν ποιέοντα, ψύξιν τῷ ἀνθρώπῳ παραδίδωσι. [13] κινεομένου γὰρ τοῦ ὑπάρχοντος ὑγροῦ, πνεύ-

ac dulcibus, tum cibis, tum potionibus uti.

XXXVII. Somni [2] jejunum attenuant & frigefaciunt, [3] si non longi fuerint, præsentem humiditatem evacuantes. [4] Qui vero magis calfaciunt, colliquant carnem, [5] & corpus diffundentes exolvunt, [6] ac debiles faciunt, [7] à cibo vero sumpto calfacientes humectant, [8] alimentum in corpus diffundentes: [9] à matutinis autem deambulationibus somnus maxime siccat. [10] Vigilia [11] in exsatiatis cibo noxia est, non permittens cibum liquari ac concoqui: [12] jejunos autem attenuat quidem, verum minus lædit. [13] Segnicies ac ocium humectat, & corpus debile facit. [14] Anima enim quiescens humiditatem ex corpore non consumit.

XXXIIX. Labor siccat, & corpus robustum facit. [2] Semel in die cibum capere attenuat, & siccat, & alvum sistit, [3] propterea quod per animæ caliditatem humiditas ex ventre & carne consumitur. [4] Prandium contraria facit. [5] Aquæ potus calidus attenuat, [6] similiter & frigidus. [7] At vero & spiritus, & cibus, & potus, humiditatem in corpore congelant, si excellenter frigida fuerint, [8] & per congelationem ac frigiditatem alvos sistunt. [9] Nam animæ humiditatem superant. [10] Rursus autem etiam caliditatis excessus eandem congelant, [11] in tantum ut diffundi nequeat. [12] Quæcunque vero calfacientia corpus, & alimentum non præbentia, carnem humiditate evacuant, etiam excessum non facientia, ea frigiditatem homini exhibent. [13] Nam præsente humiditate mota, flatu-

ab

πνεύμονος ἐπεισάκτου πληρούμενον ψύχεται.

XXXIX. Περὶ δὲ τῶν πόνων, ἥν τινα ἔχουσι δύναμιν, ἤδη χρὴ γινώσκειν. [2] εἰσὶ γὰρ οἱ μὲν κατὰ φύσιν, οἱ δὲ διὰ βίης. [3] οἱ μὲν οὖν κατὰ φύσιν αὐτῶν εἰσιν, ὄψιος πόνος, ἀκοῆς, φωνῆς, μερίμνης. [4] ὄψιος μὲν οὖν δύναμις τοιαύτη. [5] προσέχουσα ψυχὴ τῷ ὁρεομένῳ, κινέεται καὶ θερμαίνεται. [6] θερμαινομένη δὲ, ξηραίνεται, κενουμένου τοῦ ὑγροῦ. [7] διὰ δὲ τῆς ἀκοῆς ἐσπίπτοντος τοῦ ψόφου, σείεται ἡ ψυχὴ καὶ πονέει. [8] πονέουσα δὲ, θερμαίνεται καὶ ξηραίνεται. [9] ὁκόσα δὲ ἐν μερίμνῃ ἀνθρώποισι γίνεται, ἡ ψυχὴ καὶ ὑπὸ τουτέων θερμαίνεται καὶ ξηραίνεται, [10] καὶ τὸ ὑγρὸν καταναλίσκουσα πονέει, [11] καὶ λεπτύνει τὰς σάρκας, [12] καὶ κενοῖ τὸν ἄνθρωπον. [13] ὁκόσοι δὲ πόνοι φωνῆς, οἷον λέξιες, ἢ ἀνάγνωσις, ἢ ᾠδὴ, πάντες οὗτοι κινέουσι τὴν ψυχήν. [14] κινευμένη δὲ, ξηραίνεται καὶ θερμαίνεται, καὶ τὸ ἐν τῷ σώματι ὑγρὸν καταναλίσκει.

XL. Οἱ δὲ περίπατοι κατὰ φύσιν μὲν εἰσὶ καὶ οὗτοι μάλιστα τῶν λοιπῶν· [2] ἔχουσι δέ τι βίαιον. [3] δύναμις δὲ αὐτέων ἐστὶ τοιήδε. [4] ὁ ἀπὸ δείπνου περίπατος, ξηραίνει τήν τε κοιλίην, καὶ τὸ σῶμα, [5] καὶ τὴν γαστέρα πικρὴν γενέσθαι οὐκ ἐᾷ, διὰ τάδε. [6] κινευμένου τοῦ ἀνθρώπου, θερμαίνεται καὶ τὸ σῶμα καὶ τὰ σιτία. [7] ἕλκει οὖν τὴν ἰκμάδα ἡ σὰρξ, [8] καὶ οὐκ ἐᾷ πικρὴν κοιλίην ξυνίστασθαι. [9] τὸ μὲν οὖν σῶμα πληροῦται, ἡ δὲ κοιλίη λεπτύνεται. [10] ξηραίνεται δὲ διὰ τάδε. [11] κινευμένου τοῦ σώματος καὶ θερμαινομένου, τὸ λεπτότατον τῆς τροφῆς καταναλίσκεται, [12] τὸ μὲν ἀπὸ τοῦ ξυμφύτου θερμοῦ, [13] τὸ δὲ ξὺν τῷ πνεύματι ἀποκρίνεται ἔξω, [14] τὸ δὲ καὶ οὐρέεται. [15] ὑπολείπεται

ab ipsa repletur ac perfrigeratur.

XXXIX. Cæterum quam vim labores habeant, nunc exponam; [2] Sunt enim alii naturales, alii violenti. [3] Naturales igitur sunt, visus labor, auditus, vocis, curarum. [4] Visus quidem igitur talis vis est. [5] Anima in id quod videtur intenta, movetur & calescit. [6] Calfacta vero, evacuata humiditate siccatur. [7] Per auditum vero allabente sono, anima concutitur & laborat, [8] laborans autem calescit & siccatur. [9] Quæcunque fiunt hominibus in cura, anima etiam ab his calescit ac siccatur, [10] & humiditatem consumens laborat, [11] & carnes attenuat, [12] & hominem evacuat. [13] Quicunque labores vocis sunt, velut sermo, aut lectio, aut cantus, omnes hi animam movent. [14] Mota autem siccatur & calescit, & humiditatem in corpore consumit.

XL. At vero deambulationes etiam ipsæ maxime præ reliquis naturales sunt. [2] Habent autem quid violentum. [3] Vis ipsarum talis est. [4] Deambulatio à cœna, & alvum, & corpus, [5] & ventrem siccat, ipsumque amarum fieri non sinit, ob hanc causam. [6] Quum movetur homo, calefit corpus, itemque cibi. [7] Attrahit igitur humiditatem caro, [8] & alvum amaram fieri non sinit. [9] Corpus quidem igitur repletur, alvus vero attenuatur. [10] Siccatur autem eadem, ob hanc caussam. [11] Quum corpus movetur & calescit, quod tenuissimum est alimenti consumitur, [12] partim per insitum calorem, [13] partim vero una cum flatu foras excernitur, [14] partim etiam per lotium ejicitur. [15] Quod vero siccissimum

…ται· τὸ δὲ ξηρότερον ἀπὸ τῶν σιτίων, [16] ὥστε τῇ κοιλίῃ ἀποξηραίνεσθαι τὴν σάρκα. [17] Οἱ δὲ ὄρθριοι περίπατοι ἰσχναίνουσι, [18] καὶ τὰ περὶ τὴν κεφαλὴν κοῦφά τε καὶ εὐαγέα καὶ εὐήκοα παρασκευάζουσι, [19] καὶ τὴν κοιλίην λύουσιν. [20] ἰσχναίνουσι μὲν διότι κινεόμενον τὸ σῶμα θερμαίνεται, καὶ τὸ ὑγρὸν λεπτύνεται καὶ καθαίρεται, [21] τὸ μὲν ὑπὸ τοῦ πνεύματος, [22] τὸ δὲ μύσσεταί τε καὶ χρέμπτεται, [23] τὸ δὲ ἐς τὴν τροφὴν τῆς ψυχῆς θερμασίης καταναλίσκεται. [24] Τὴν δὲ κοιλίην λύουσι, διότι θερμὴ ἐοῦσα, τοῦ ψυχροῦ πνεύματος ἐσπίπτοντος ἄνωθεν, ὑποχωρέει τὸ θερμὸν τῷ ψυχρῷ. [25] Κοῦφα δὲ τὰ περὶ τὴν κεφαλὴν ποιέουσι, διὰ τόδε. [26] ὅταν κενωθῇ ἡ κοιλίη, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ ἄλλου σώματος καὶ τῆς κεφαλῆς τὸ ὑγρὸν, θερμὴ ἐοῦσα. [27] κενωθείσης δὲ τῆς κεφαλῆς, ἀποκαθαίρεται ἥ τε ὄψις καὶ ἡ ἀκοὴ, [28] καὶ εὐαγέες γίνονται οἱ ἄνθρωποι. [29] οἱ δὲ ἀπὸ τῶν γυμνασίων περίπατοι, καθαρὰ τὰ σώματα παρασκευάζουσι καὶ ἰσχναίνουσιν, [30] οὐκ ἐῶντες τὴν ξύντηξιν τῆς σαρκὸς ὑπὸ τοῦ πόνου ξυνίστασθαι, ἀλλ' ἀποκαθαίρουσι.

XLI. Τάδε δὲ ἐκ τῶν δρόμων γίνεται. [2] οἱ μὲν μακροὶ καὶ ἀνακάμπτοι, ἐξ ὀλίγου προσαγόμενοι, θερμαίνοντες τὴν σάρκα, συνέψειν καὶ διαχέειν δύνανται, [3] καὶ τὴν δύναμιν τῶν σιτίων τὴν ἐν τῇ σαρκὶ καταπέσσουσι. [4] βραδύτερα δὲ καὶ παχύτερα τὰ σώματα παρασκευάζουσι τῶν τροχῶν. [5] τοῖσι δὲ τὰ πολλὰ ἐσθίουσι, ξυμφορώτεροι. [6] καὶ χειμῶνος μᾶλλον, ἢ θέρεος. [7] οἱ δὲ ἐν ἱματίῳ δρόμοι τὴν μὲν δύναμιν τὴν αὐτὴν ἔχουσι, [8] μᾶλλον δὲ διαθερμαίνουσι, καὶ ὑγρότερα τὰ σώματα ποιέουσιν, ἀχροώτερα δέ· [9] διότι οὐκ ἀποκαθαίρε[illegible]

[illegible]-

mum est de cibis, relinquitur. [16] Quare una cum alvo etiam caro reficcatur. [17] Matutinæ deambulationes attenuant, [18] & partes circa caput leves, & agiles, ac promptas reddunt, [19] & alvum solvunt. [20] Attenuant quidem, quia motu corpus calescit, & humiditas attenuatur ac purgatur, [21] partim per spiritum ac flatum, [22] partim vero emungitur & exscreatur: [23] sed & aliqua pars in alimentum caliditatis animæ consumitur. [24] Alvum autem solvunt, quia quum calida sit, frigido spiritu superne allabente, caliditas frigiditati cedit. [25] Leves autem partes circa caput faciunt, ob hanc causam. [26] Quum evacuata est alvus, ex reliquo corpore & capite humiditatem in seipsam attrahit, nimirum calida existens. [27] Evacuato autem capite, & visus & auditus depurgantur, [28] & homines agiles fiunt. [29] Deambulationes autem post exercitia, corpora pura reddunt, & attenuant, [30] non permittentes carnis colliquationem fieri præ labore, sed ipsam depurgant.

XLI. Cæterum [ex cursibus hæc consequuntur.] [2] Cursus longi ac curvi sensim facti, calfacientes carnem, concoquere ac diffundere possunt, [3] & vim ciborum in carne concoquunt: [4] verum corpora tardiora ac crassiora reddunt quam cursus circulares. [5] Et multa comedentibus commodiores sunt, [6] & hyeme magis quam æstate. [7] Qui vero in veste fiunt, eandem vim habent, [8] magis autem excalfaciunt, & corpora humidiora faciunt, & decoloratiora: [9] quia sincerus spiritus alla-

ἐκπίπτον τὸ πνεῦμα τὸ εἰλικρινές, ἀλλ' ἐν τῷ αὐτῷ γυμνάζεται πνεύματι. [10] ξυμφέρει ἂν καὶ τοῖσι ξηροῖσι, καὶ τοῖσι πολυσάρκοισιν, ὅστις καθαιρέειν τὴν σάρκα βούλεται, [11] καὶ τοῖσι πρεσβυτέροισι διὰ ψῦχος τοῦ σώματος. [12] οἱ δὲ δίαυλοι [13] καὶ ἔφιπποι ἵπποι, τὴν μὲν σάρκα ἧσσον διαχέουσιν, ἰσχναίνουσι δὲ μᾶλλον· [14] διότι τοῖς ἔξω τῆς ψυχῆς μέρεσιν οἱ πόνοι ἐόντες, ἀνασπῶσιν ἐκ τῆς σαρκὸς τὸ ὑγρὸν, καὶ τὸ σῶμα λεπτύνουσι καὶ ξηραίνουσιν. [15] οἱ δὲ τροχοὶ, τὴν μὲν σάρκα ἥκιστα διαχωρέουσιν, ἰσχναίνουσι δὲ καὶ διαστέλλουσι τὴν σάρκα καὶ τὴν κοιλίην μάλιστα· [16] διότι ὀξυτάτῳ τῷ πνεύματι χρώμενοι, τάχιστα τὸ ὑγρὸν ἕλκουσιν ἐφ' ἑωυτούς.

XLII. Τὰ δὲ παρασείσματα, ξηραίνει μὲν ἐξαπίνης· [2] οὐκ ἐπιτήδεια δὲ, καὶ ἀξύμφορα· [3] σπάσματα γὰρ ἐμποιέεται, διὰ τόδε. [4] διαθερμασμένον τὸ σῶμα, τὸ μὲν δέρμα ἰσχυρῶς λεπτύνει, τὴν δὲ σάρκα ἧσσον ξυνίστησι τῶν τροχῶν· κενοῖ δὲ τὴν σάρκα τοῦ ὑγροῦ. [5] τὰ δὲ ἀνακινήματα [6] καὶ ἀνακουφίσματα, τὴν μὲν σάρκα ἥκιστα διαθερμαίνουσι, [7] παροξύνει δὲ τὸ σῶμα καὶ τὴν ψυχὴν, καὶ τοῦ πνεύματος κενοῦσι. [8] πάλη δὲ [9] καὶ τρῖψις, τοῖσιν ἔξω τοῦ σώματος παρέχει μᾶλλον τὸν πόνον· [10] θερμαίνει δὲ τὴν σάρκα, καὶ στερεοῖ, καὶ αὔξεσθαι ποιέει διὰ τόδε. [11] τὰ μὲν στερεὰ φύσει τριβόμενα ξυνίστησι· [12] τὰ δὲ κοῖλα αὔξεται, [13] καὶ ὁκόσαι φλέβες εἰσί. [14] θερμαινόμεναι γὰρ αἱ σάρκες καὶ ξηραινόμεναι, ἕλκουσιν ἐφ' ἑωυτὰς τὴν τροφὴν διὰ τῶν φλεβῶν, εἶτα αὔξονται. [15] ἀλίνδησις, παραπλήσια τῇ πάλῃ διαπρήσσεται· [16] ξηραίνει δὲ

allabens ipsa non depurgat, sed in eodem spiritu exercentur. [10] Conferunt itaque & siccis, & carnosis qui carnem demoliri & abolere volunt, [11] itemque senioribus, propter corporis frigiditatem. [12] Cursus autem recti revertentes, [13] & equestres indefiniti, carnem minus diffundunt, attenuant autem magis, [14] propterea quod externis animæ partibus hi labores sunt, & humiditatem ex carne revellunt, & corpus attenuant ac siccant. [15] Circulares vero cursus carnem minime diffundunt, attenuant autem & distendunt carnem & ventrem maxime, [16] propterea quod acutissimo spiritu utentes, humiditatem in seipsos celerrime trahunt.

XLII. At vero concussiones siccant quidem derepente, [2] non sunt autem idoneæ, neque commodæ. [3] nam convulsiones inducunt: [4] quia excalfactum corpus, cutem quidem fortiter attenuat, carnem vero minus coagmentat quam cursus circulares, carnem autem humore evacuant. [5] Commotiones [6] & allevationes carnem quidem minime excalfaciunt, [7] corpus autem & animam irritant, & spiritu evacuant. [8] Lucta [9] & fricatio, externis corporis partibus magis laborem exhibent: [10] calfaciunt autem carnem, & corroborant ac augeri faciunt, ob hanc causam. [11] Quæ ex natura solida sunt, confricta considunt ac coagmentantur, [12] quæ vero cava sunt, augescunt, [13] itemque venæ. [14] Nam carnes calfactæ ac siccatæ, alimentum in seipsas per venas trahunt, deinde augescunt. [15] Volutatio in pulvere consimilia luctæ efficit. [16] Magis autem siccat

δὲ μᾶλλον, διὰ τὴν κόνιν, καὶ σαρκοῖ ἧσσον. 17 Ἀκροχειρίη ἰσχναίνει, καὶ τὰς σάρκας ἕλκει ἄνω.

XLIII. Καὶ κωρυκομαχίη, 2 καὶ χειρονομίη, παραπλήσια διαπρήσσεται. 3 Πνεύματος δὲ κατάσχεσις, 4 τοὺς πόρους διαναγκάσαι, 5 καὶ τὸ δέρμα λεπτῦναι, 6 καὶ τὸ ὑγρὸν ὑπὸ τὸ δέρμα ἐξῶσαι δύναται. 7 Ἐν κόνει καὶ ἐν ἐλαίῳ γυμνάσια διαφέρει τοσόνδε. 8 Κόνις μὲν ψυχρόν, ἔλαιον δὲ θερμόν. 9 Ἐν μὲν τῷ χειμῶνι τὸ ἔλαιον αὐξιμώτερον, 10 διότι τὸ ψῦχος κωλύει φέρεσθαι ἀπὸ τοῦ σώματος. 11 Ἐν δὲ τῷ θέρει, ἔλαιον ὑπερβολὴν θερμασίης ποιεύμενον, τήκει τὴν σάρκα. 12 ὁκόταν ὑπό τε τῆς ὥρης θερμαίνηται, καὶ τοῦ ἐλαίου, καὶ τοῦ πόνου. 13 Ἡ δὲ κόνις ἐν τῷ μὲν θέρει αὐξιμώτερον. 14 ψύχουσα γὰρ τὸ σῶμα, οὐκ ἐᾷ ἐς ὑπερβολὴν θερμαίνεσθαι. 15 ἐν δὲ τῷ χειμῶνι, διαψυκτικὸν καὶ κρυμνῶδες. 16 Διατελέειν δὲ ἐν τῇ κόνει μετὰ τοὺς πόνους ἐν τῷ θέρει, ὀλίγον μὲν χρόνον, ὠφελεῖ ψύχουσα. 17 πολλὸν δὲ ὑπερξηραίνει, καὶ τὰ σώματα σκληρὰ καὶ ξυλώδεα ἀποδείκνυσι. 18 Τρίψις ἐλαίῳ ξὺν ὕδατι μαλάσσει, καὶ οὐκ ἐᾷ δεινῶς διαθερμαίνεσθαι.

XLIV. Περὶ δὲ κόπων τῶν ἐν τοῖσι σώμασιν ἐγγινομένων, ὧδε ἔχει. 2 Οἱ μὲν ἀγύμναστοι τῶν ἀνθρώπων, ἀπὸ παντὸς κοπιῶσι πόνου. 3 Οὐδὲν γὰρ τοῦ σώματος διαπεπόνηται πρὸς οὐδένα πόνον. 4 Τὰ δὲ γεγυμνασμένα τῶν σωμάτων, ἀπὸ τῶν ἀηθέων πόνων κοπιᾷ. 5 Τὰ δὲ καὶ ἀπὸ τῶν συνήθων γυμνασίων κοπιᾷ, ὑπερβολῇ χρησάμενα. 6 Τὰ μὲν οὖν εἴδεα τῶν κόπων τοιαῦτά ἐστιν. 7 Ἡ δὲ δύναμις αὐτέων ὧδε ἔχει.

XLV. Οἱ

cat propter pulverem, & minus incarnat. 17 Micatio per summas manus attenuat, & carnes sursum trahit.

XLIII. Follis, 2 & manuum ad rhythmum motus, consimilia faciunt. 3 Spiritus detentio, 4 meatus disparare, 5 & cutem attenuare, 6 & humiditatem sub cutem extrudere potest. 7 Exercitia in pulvere & oleo in tantum differunt, 8 quod pulvis quidem est frigidus, oleum autem calidum. 9 In hyeme igitur oleum corpus magis auget, 10 propterea quod frigus prohibet à corpore quid auferre. 11 In æstate vero caliditatis excessum faciens, carnem liquat: 12 quum & à tempore, & oleo, ac labore, corpus calefiat. 13 At vero pulvis qui inter exercendum accedit, in æstate quidem magis auget (14 nam frigefaciens corpus, in excessum calfieri non permittit) 15 in hyeme vero frigus & algorem inducit. 16 Morari in pulvere post exercitia in æstate, modico tempore, confert frigefaciendo. 17 Verum longior mora superresiccat, & corpora dura ac lignosa efficit. 18 Frictio ex oleo & aqua mollit, & non vehementer excalfieri finit.

XLIV. Porro de lassitudinibus quæ in corpore fiunt, hoc modo res se habet. 2 Homines inexercitati ab omni labore lassantur. 3 Nulla enim corporis pars exercitata est ad ullum aliquem laborem. 4 Corpora autem exercitata ab insuetis laboribus delassantur. 5 Aliqua vero etiam à consuetis exercitiis lassantur, si modum excesserint. 6 Species quidem igitur lassitudinum ejusmodi sunt. 7 Vis autem ipsarum sic habet.

XLV. Ete-

XLV. Οἱ μὲν γὰρ ἀγύμναστοι ὑγρὴν τὴν σάρκα ἔχοντες, ὁκόταν πονέωσι θερμαινομένου τοῦ σώματος 99 σύντηξιν πολλὴν ἀφιᾶσιν. [2] Ὅ τι μὲν οὖν συνεξιδρώσῃ, [3] ἢ ἔξω τοῦ σώματος ἀποκαθαρθῇ, [4] οὐ παρέχει πόνον μᾶλλον ἐν τῷ κενωθέντι τοῦ σώματος παρὰ τὸ ἔθος. [5] Ὅ, τι δ' ἂν ἐμμένῃ τῆς ἀποκρίσιος, [6] οὐ 79 τούτῳ μόνον παρέχει τὸν πόνον, [7] ἀλλὰ καὶ τῷ δεξαμένῳ τὸ ὑγρόν. [8] Οὐ γάρ ἐστι ξύμφορον τῷ σώματι, ἀλλὰ πολέμιον. [9] Ἐς μὲν δὴ τὰς σάρκας τῶν σωμάτων οὐ ξυνίσταται ὁμοίως, [10] ἐς δὲ τὰ σαρκώδεα. [11] 5 ὥστε τούτοις πόνον παρέχει, ἕως ἂν ἐξέλθῃ. [12] Ὥστε δὴ οὐκ ἔχον 80 περίοδον, ἀτρεμίζον θερμαίνεται αὐτό τε καὶ τὰ περιπίπτοντα. [13] Ἢν μὲν οὖν πουλὺ γένηται τὸ ἀποκριθὲν, ἐκράτησε καὶ τοῦ ὑγιαίνοντος, [14] ὥστε ξυνεκθερμῆναι ὅλον τὸ σῶμα, καὶ ἐνεποίησε πυρετὸν ἰσχυρόν. [15] Θερμανθέντος γὰρ τοῦ αἵματος, καὶ ἐπισπασθέντος, ταχεῖαν 81 ἐποίησε τὴν περίοδον τὰ ἐν τῷ σώματι. [16] Καὶ τό, τε ἄλλο σῶμα καθαίρεται ὑπὸ τοῦ πνεύματος, [17] καὶ τὸ ξυνεστηκὸς θερμαινόμενον, λε-10 πτύνεταί τε, [18] καὶ ξυνεξωθέεται ἐκ τῆς σαρκὸς ἔξω ἐπὶ τὸ δέρμα, [19] ὅπερ ἱδρὼς καλέεται θερμός. [20] Τούτου δὲ ἀποκριθέντος, τό, τε αἷμα καθίσταται ἐς τὴν κατὰ φύσιν ξύστασιν, [21] καὶ ὁ πυρετὸς ἀνίησι, [22] καὶ ὁ κόπος παύεται, μάλιστα τριταῖος. [23] Χρὴ δὲ τὸν τοιοῦτον κόπον ὧδε θεραπεύειν. [24] Πυριῇσι μὲν καὶ λουτροῖσι θερμοῖσι διαλύοντα τὸ ξυνεστηκὸς, [25] καὶ περιπάτοισι βιαίοισιν ὡς ἀπο-82 καθαίρηται, [26] τῇσι δὲ ὀλιγοσιτίῃσι καὶ ἰσχνασίῃσι ξυνισχναίνειν τῆς σαρκὸς τὴν κένωσιν, [27] καὶ τρίβεσθαι

XLV. Etenim inexercitati humidam carnem habentes, quum laboraverint, corpore calefacto, multam colliquationem remit-100 tunt. [2] Quicquid igitur exsudaverit, [3] aut cum corpore depurgatum fuerit, [4] non exhibet magis laborem in corporis parte præter consuetudinem evacuata. [5] Quicquid vero ab excretione intus remanserit, [6] non solum huic laborem exhibet, [7] sed etiam ei parti quæ humiditatem suscepit. [8] Non enim commoda est corpori, sed infesta. [9] Et in carnes quidem corporum non similiter congregatur, [10] verum in carnosas partes: [11] quare his 105 laborem exhibet, donec exiverit. [12] Tanquam enim circuitum non habens, quiescens calefit tum ipsa, tum quæ allabuntur. [13] Si igitur multum fuerit quod excretum est, etiam sanum corpus exsuperat, [14] ut totum concalescat, & febrem fortem inducit. [15] Calefacto enim sanguine & attracto, celerem circuitum faciunt ea quæ in corpore sunt, [16] & tum reliquum corpus præ spiritu purgatur, [17] tum quod compactum est calescens atte-110 nuatur, [18] & simul ex carne foras sub cutem extruditur, [19] atque hoc sudor calidus vocatur. [20] Hoc autem excreto, & sanguis in naturalem statum restituitur, [21] & febris remittit, [22] & lassitudo sedatur, maxime tertia die. [23] Cæterum ejusmodi lassitudinem sic curare oportet, [24] ut fomentis & balneis calidis id quod compactum est dissolvamus, [25] & deambulationibus vehementibus depurgemus, [26] & modico 115 cibo ac attenuationibus carnis evacuationem cogamus ac coagmentemus, [27] & oleo sensim multo

15 τῷ ἐλαίῳ ἡσυχῇ πουλὺν χρόνον, ὅκως μὴ βιαίως ἀναθερμαίνηται, 28 καὶ τοῖσι χρίσμασι καὶ τοῖσιν ἱδρωτικοῖσι καὶ μαλακτικοῖσι χρίεσθαι, καὶ μαλακύνειν ξυμφέρει.

XLVI. Τοῖσι δὲ γυμναζομένοισιν ἀπὸ τῶν ἀνεθίστων πόνων διὰ τόδε [κόπος] γίνεται. 2 ὁκόταν μὴ πεπονήκῃ τὸ σῶμα, ὑγρὴν ἀνάγκη τὴν σάρκα εἶναι πρὸς τοῦτον τὸν τόπον, πρὸς ὃν μὴ εἴθισται πονέειν. 3 ὥσπερ καὶ τῶν γυμνασίων, πρὸς ἕκαστον. 4 τὴν μὲν οὖν σάρκα ξυντήκεσθαι ἀνάγκη, καὶ ἀποκρίνεσθαι, καὶ ξυνίστασθαι, ὥσπερ 20 τῷ προτέρῳ. 5 ξυμφέρει δὲ θεραπεύεσθαι ὧδε. 6 τοῖσι μὲν γυμνασίοισι χρῆσθαι τοῖσι ξυνήθεσιν, 7 ὅκως τὸ ξυνεστηκὸς θερμαινόμενον λεπτύνηται καὶ ἀποκαθαίρηται, 8 καὶ τὸ ἄλλο σῶμα μὴ ὑγραίνηται, μηδ᾽ ἀγύμναστον γίνηται. 9 τοῖσι δὲ λουτροῖσι τοῖσι θερμοῖσι ξυμφέρει καὶ τοῦτον χρῆσθαι. 10 καὶ τῇ τρίψει ὁμοίως, ὡς καὶ τὸν πρόσθεν. 11 τοῦ δὲ πυριήσιος οὐδὲν δέεται. 12 οἱ πόνοι γὰρ ἱκανοὶ θερμαίνοντες λεπτύνειν καὶ ἀποκαθαίρειν τὸ ξυστάν.

XLVII. Οἱ δὲ ἀπὸ τῶν ξυνηθέων 83 25 γυμνασίων κόποι τόνδε τὸν τρόπον γίνονται. 2 ἀπὸ μὲν ξυμμέτρου πόνου κόπος οὐ κινέεται. 3 ὁκόταν δὲ πλείων τοῦ καιροῦ πόνος ᾖ, ὑπεξηραίνει τὴν σάρκα. 4 κενωθεῖσα δὲ τοῦ ὑγροῦ, θερμαίνεται, καὶ ἀλγέει, καὶ φρίσσει, καὶ ἐς πυρετὸν καθίσταται μακρότερον, 5 ἢν μή τις ἐκθεραπεύσῃ ὀρθῶς. 6 χρὴ δὲ πρῶτον μὲν αὐτῷ τῷ λουτρῷ, μὴ σφόδρα πολλῷ, μηδὲ θερμῷ ἄγαν, λούεσθαι 7 ἔπειτα πιέσας αὐτὸν ἐκ τοῦ λουτροῦ μαλακὸν οἶνον, 8 δειπνεῖν ὡς πλεῖστα καὶ παντοδαπὰ σιτία, 9 καὶ ποτῷ 30 ὑδαρεῖ. 10 οἴνῳ δὲ μαλακῷ χρέε-

multo tempore fricemus, ut ne violenter excalescat. 28 Unguentis etiam tum exsudatoriis, tum mollientibus, ungere ac mollire conducit.

XLVI. At vero exercitatis, ab insuetis laboribus propterea lassitudo contingit. 2 Quum corpus non fuerit laboribus exercitatum, necesse est carnem humidam esse ad eum locum, ad quem non est adsuetus se laboribus 520 exercere, 3 quemadmodum etiam ad singula exercitationum genera. 4 Carnem igitur necesse est colliquari, & excerni, considereque ac contrahi; velut priori. 5 Confert autem hoc modo curari. 6 Exercitationibus utendum est consuetos, 7 quo id quod compactum est calescens extenuetur ac depurgetur, 8 & reliquum corpus non humectetur, neque inexercitatum maneat. 9 Utile est & hunc balneis calidis uti, 10 itemque frictione simi- 525 liter ut priorem. 11 Verum fomentis nihil habet opus. 12 Labores enim calfacientes sufficientes sunt attenuare & depurgare id quod compactum est.

XLVII. Lassitudo autem à consuetis exercitiis hoc modo fit. 2 A moderato quidem labore lassitudo non movetur. 3 Quum vero major quam oportet labor fuerit, carnem superresiccat, 4 evacuata autem humore caro, calesit, & dolet, & horret, & ad febrem perducitur longiorem, 530 5 si non quis recte curet. 6 Oportet autem primum quidem ipsum balneo non valde multo, neque nimis calido lavari: 7 deinde exhibito à balneo molli vino, 8 in cœna offerre plurima & omnigena edulia, 9 & potu aquoso, 10 vino vero molli ac multo

χρέεσθαι πολλῷ. [11] εἶτ' ἐνδιατριψάτω χρόνον πλέω, [12] μέχρις ἂν αἱ φλέβες πληρωθεῖσαι ὀρθωθῶσιν. [13] εἶτα δὴ ἐξεμεέτω· [14] καὶ ἐξαναστάντα ὀλίγον, καθευδέτω μαλακῶς. [15] εἶτα προσαγέσθω ἡσυχῇ τοῖσι σιτίοισι καὶ τοῖσι πόνοισι τοῖσι ξυνήθεσιν ἡμέρας ἕξ. [16] ἐν ταύτῃσι δὲ καταστῆσαι ἐς τὸ ξυνήθες καὶ σίτου καὶ ποτοῦ. [17] δύναμιν δὲ ἔχει ἡ θεραπείη τοιήνδε. [18] ἐξηρασμένον τὸ σῶμα ἐς ὑπερβολὴν, ἐξυγρῆναι δύναται ἄτερ ὑπερβολῆς. [19] εἰ μὲν οὖν ἦν δυνατὸν τὴν ὑπερβολὴν τῶν πόνων γνῶναι, ὁκόση τίς ἐστι, τῇ σίτου τῇ ξυμμετρίῃ ἀκέσασθαι, καλῶς ἂν εἶχεν οὕτω. [20] νῦν δὲ τὸ μὲν ἀδύνατον, τὸ δὲ ῥᾴδιον. [21] ἐξηρασμένον γὰρ τὸ σῶμα, τῶν ἐμπεσόντων παντοδαπῶν, ἀφ' ὧν λαμβάνει τὸ ξυμφέρον αὐτὸ ἐν ἑωυτῷ, ἕκαστον τοῦ σώματος ἑκάστου σιτίου. [22] πληρωθὲν δὲ καὶ ὑγρανθὲν, κενωθείσης τῆς κοιλίης ὑπὸ τοῦ ἐμέτου, ἀφίησι πάλιν τὴν ὑπερβολήν. [23] ἡ δὲ κοιλίη κενὴ ἐοῦσα ἀντισπᾷ. [24] τὸ μὲν οὖν ὑπερβάλλον ὑγρὸν ἐξερεύγεται ἡ σάρξ· [25] τὸ δὲ ξύμμετρον οὐκ ἀφίησιν, ἢν μὴ διὰ βίης, ἢ πόνων, ἢ φαρμάκων, ἢ ἄλλης τινὸς ἀντισπάσιος. [26] τῇ δὲ προσαγωγῇ χρησάμενος, καθίστησι τοῦ σώματος τὴν δίαιταν ἡσυχῇ.

to uti. [11] Postea longo tempore his immoretur, [12] donec venæ repletæ attollantur. [13] Deinde vero vomat, [14] & post modicam stationem, molliter dormiat. [15] Postea per dies sex sensim ad cibos & labores consuetos adhibeatur, [16] atque ita ad consuetum cibum ac potum perducatur. [17] Vim autem habet hæc curatio talem. [18] Resiccatum excellenter corpus, humectare potest citra excessum. [19] Siquidem igitur possibile esset, laboris excessum nosse, quantus is esset; commodum foret ipsi per moderatum cibum mederi. [20] Nunc vero illud impossibile est, hoc vero facile. [21] corpus enim resiccatum, ab ingestis omnigenis eduliis id quod conducibile sibi ipsi est sumit, unaquæque pars de singulis cibis: [22] repletum autem & humectatum, alvo per vomitum evacuata, rursus excessum remittit. [23] Alvus autem vacua existens revellit. [24] Excedentem itaque humiditatem caro eructat, [25] moderatum vero non remittit, nisi per vim, aut labores, aut medicamenta, aut aliam quandam revulsionem. [26] Qui autem additione cibi sensim crescente utitur, is corporis diætam placide constituit.

ΙΠΠΟ-

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΔΙΑΙΤΗΣ τὸ τρίτον.

HIPPOCRATIS DE DIÆTA liber tertius.

Basil. græc. Foesius sect. IV. 34. 366. Basil. lat.

ΠΕΡΙ δὲ διαίτης ἀνθρωπίνης, [2] ὥσπερ μοι καὶ πρότερον εἴρηται, [3] ξυγγράψαι μὲν οὐκ ἔχει ἐς ἀκριβείην, [4] ὥστε πρὸς τὸ πλῆθος τοῦ σίτου τὴν ξυμμετρίην ποιέεσθαι τῶν πόνων. [5] πολλὰ γὰρ τὰ κωλύοντα. [6] πρῶτον μὲν αἱ φύσιες τῶν ἀνθρώπων, διάφοροι ἐοῦσαι. [7] καὶ γὰρ αἱ ξηραί, αὐταὶ ἑωυτῶν πρὸς ἑωυτάς, καὶ πρὸς ἄλλας μᾶλλον καὶ ἧσσον ξηραί· [8] καὶ ὑγραὶ ὡσαύτως, [9] καὶ αἱ ἄλλαι πᾶσαι. [10] ἔπειτα καὶ αἱ ἡλικίαι, μὴ τῶν αὐτῶν δεόμεναι. [11] ἔτι δὲ καὶ τῶν χωρίων αἱ θέσιες, [12] καὶ τῶν πνευμάτων αἱ μεταβολαί, [13] τῶν τε ὡρέων αἱ μεταστάσιες, [14] καὶ τοῦ ἐνιαυτοῦ αἱ καταστάσιες. [15] αὐτῶν τε τῶν σίτων πολλὴ διαφορή. [16] πυροί τε γὰρ πυρῶν, [17] καὶ οἶνος οἴνου, [18] καὶ τἄλλα, οἷσι διαιτεόμεθα, πάντα διάφορα ἐόντα, [19] ἀποκωλύει δυνατὸν εἶναι ἐς ἀκριβείην ξυγγραφῆναι. [20] ἀλλὰ γὰρ αἱ προδιαγνώσιες ἐξευρημέναι ἔμοιγε τῶν ἐπικρατεόντων ἐν τῷ σώματι, [21] ἤν τε οἱ πόνοι κρατέωσι τῶν σιτίων, [22] ἤν τε τὰ σιτία τῶν πόνων, [23] καὶ ὡς χρὴ ἕκαστα ἐξακέεσθαι. [24] προκαταμανθάνειν τὸ ὑγιέας τὰς φύσιας, [25] μὴ προσπελάζειν τὰς νόσους, [26] εἰ μή τις μεγάλα πάνυ ἐξαμαρτάνοι, καὶ πολλάκις. [27] ταῦτα δὲ φαρμάκων δέεται ἤδη. [28] ἔστι δ' ἃ οὐδ' ὑπὸ τῶν φαρμάκων δύναται ὑγιάζεσθαι. [29] ᾗ μὲν οὖν δυνατὸν

DE diæta humana [2] exacte quid conscribere, [3] ut ad ciborum copiam, laborum commensuratio ac symmetria fiat, non est possibile, [4] quemadmodum etiam antea à me relatum est. [5] Multa enim sunt impedimenta. [6] Primum quidem hominum naturæ, diversæ existentes. ([7] Nam & siccæ ipsæ ad seipsas, & ad alia collatæ magis ac minus siccæ sunt: [8] & humidæ similiter, [9] etiam aliæ omnes.) [10] Deinde ætates non iisdem indigentes. [11] Insuper & regionum situs, [12] & ventorum mutationes, [13] & temporum alterationes, [14] & anni constitutiones. [15] Est & inter ipsos cibos multa differentia. [16] Triticum enim à tritico differt, [17] & vinum à vino: [18] & reliqua omnia ex quibus victum facimus diversa existentia, [19] impediunt quo minus possibile sit exacte de diæta conscribere. [20] At enim prænotiones inventæ sane à me sunt eorum quæ in corpore dominantur, [21] sive labores cibos, [22] sive cibi labores superent, [23] & quomodo singulis mederi oporteat, [24] prædiscereque sanas naturas, [25] & ut non accedant morbi, [26] nisi quis valde multum delinquat ac sæpe: [27] hæc autem medicamentis jam opus habent. [28] Sunt autem quæ neque per medicamenta sanari possunt. [29] Quantum quidem igitur inveniri possibile

τὸν εὑρεθῆναι [29] ἔγγιστα τοῦ ὅρου, ὁμοίως εὕρηται· [30] τὸ δ' ἀκριβὲς, οὐδενί.

II. Πρῶτον μὲν οὖν τοῖσι πολλοῖσι τῶν ἀνθρώπων ξυγγράψω, ἐξ ὧν μάλιστα ἂν ὠφελοῖντο, [2] οἵτινες σιτίοισι προστυχέσι χρέονται, [3] πόνοισί τε τοῖσιν ἀναγκαίοισιν, [4] ὁδοιπορίῃσί τε τῇσι πρὸς ἀνάγκην, [5] θαλασσουργίῃσί τε τῇσι πρὸς τὴν ξυλλογὴν εὑρεθείσῃσι τοῦ βίου, [6] θαλπόμενοί τε παρὰ τὸ ξύμφορον, [7] ψυχόμενοί τε παρὰ τὸ ὠφέλιμον, [8] τῇ τε ἄλλῃ διαίτῃ ἀκαταστάτῳ χρεόμενοι. [9] τούτοισι δὴ ξυμφέρει ἐκ τῶν ὑπαρχόντων ὧδε διαιτῆσθαι. [10] τὸν μὲν ἐνιαυτὸν ἐς τέσσαρα μέρεα διαιρέουσιν, ἅπερ μάλιστα γινώσκουσιν οἱ πολλοὶ, χειμῶνα, ἦρ, θέρος, φθινόπωρον. [11] καὶ χειμῶνα μὲν, ἀπὸ πλειάδων δύσιος ἄχρις ἰσημερίης ἠαρινῆς. [12] ἦρ δὲ, ἀπὸ ἰσημερίης μέχρι πλειάδων ἐπιτολῆς. [13] θέρος δὲ, ἀπὸ πλειάδων μέχρις ἀρκτούρου ἐπιτολῆς. [14] φθινόπωρον δὲ, ἀπὸ ἀρκτούρου μέχρι πλειάδων δύσιος.

III. Ἐν μὲν οὖν τῷ χειμῶνι ξυμφέρει πρὸς τὴν ὥρην ψυχρήν τε καὶ ξυνεστηκυῖαν ὑπεναντιούμενον, τοῖσι διαιτήμασιν ὧδε χρέεσθαι. [2] πρῶτον μὲν μονοσιτίῃσι χρὴ διάγειν, ἢν μὴ πάνυ ξηρήν τις τὴν κοιλίην ἔχῃ. [3] εἰ δὲ μὴ, μικρὸν ἀριστῆν. [4] τοῖσι δὲ διαιτήμασι χρέεσθαι, τοῖσι ξηροῖσι, [5] καὶ αὐστηροῖσι, [6] καὶ θερμαντικοῖσι, [7] καὶ ξυγκομιστοῖσι, [8] καὶ ἀκρήτοισιν. [9] ἀρτοσιτίῃ δὲ μᾶλλον, [10] καὶ τοῖσιν ὀπτοῖσι τῶν ὄψων μᾶλλον, ἢ τοῖσιν ἑφθοῖσι χρέεσθαι. [11] καὶ τοῖσι πόμασι μέλασιν, [12] ἀκρητεστέροισι, [13] καὶ ἐλάσσοσι. [14] λαχάνοισι δὲ ὡς ἥκιστα, πλὴν τοῖσι θερμαντικοῖσι καὶ ξηροῖσι. [15] καὶ χυλοῖσι, [16] καὶ ῥοφήμασιν ὡς ἥκιστα. [17] τοῖσι

δὲ

fibile est quæ maxime ad rem faciunt, à me inventum est: [30] verum exacte à nullo.

II. Primum igitur multis ac vulgo hominibus conscribam, ex quibus maxime utilitatem capere possint; [2] qui sane cibis vulgaribus utuntur, [3] ac laboribus necessariis, [4] profectionibusque necessariis, [5] ac operis marinis ad vitam degendam repertis: [6] quique calescunt plus quam expedit, [7] perfrigeranturque præter commoditatem, [8] & reliqua diæta inconstanti utuntur. [9] His itaque ex præsentibus sic victum facere conducit. [10] Annum equidem in quatuor partes dividunt; quas plerique omnes noverunt, hyemem, ver, æstatem, autumnum. [11] Et hyemem quidem à pleiadum occasu, usque ad æquinoctium vernum. [12] Ver autum ab æquinoctio usque ad pleiadum exortum. [13] Æstatem vero à pleiadum ortu usque ad arcturi exortum. [14] Autumnum ab arcturi ortu, usque ad pleiadum occasum.

III. In hyeme quidem igitur tempori frigido & compacto se opponendo, hoc victu uti conducit. [2] Primum quidem semel tantum in die cibum capere convenit, nisi quis valde siccum ventrem habeat. [3] Id vero si fieri non possit, modicum prandere. [4] Victu autem utendum est sicco, [5] & austero, [6] & calfactorio, [7] & ex toto collato, [8] ac meraco. [9] Pane autem magis uti expedit, [10] & obsoniis assatis potius quam coctis. [11] Et potionibus nigris [12] meracioribus [13] ac paucioribus. [14] Oleribus minimum, præter quam calfacientibus & siccis. [15] Succis item [16] ac sorbitionibus minime utendum est. [17] Laboribus autem

δὲ πόνοισι πολλοῖσιν ἅπασι, [18] τοῖσί τε δρόμοισι καμπύλοισιν, ἐξ ὀλίγου προστιθέντα· [19] καὶ τῇ πάλῃ ἐν ἐλαίῳ μακρῇ, ἀπὸ κούφων προστιθέντα. [20] τοῖσι μὲν περιπάτοισιν, ἀπὸ τῶν γυμνασίων, ὀξέσιν· [21] ἀπὸ δὲ τοῦ δείπνου, βραδέσιν ἐν ἀλέῃ· [22] ὀρθρίοισί τε πολλοῖσιν, ἐξ ὀλίγου ἀρχόμενον, προστιθέντα σφοδρόν, ἀποπαύοντά τε ἡσυχῇ.

IV. Καὶ σκληροκοιτίῃσι, [2] καὶ νυκτοβατίῃσι, [3] καὶ κυνοβατίῃσι, [4] καὶ κυνοδρομίῃσι χρέεσθαι ξυμφέρει. [5] πάντα γὰρ ταῦτα ἰσχναίνει καὶ θερμαίνει. [6] χρέεσθαί τε πλοίῳ. [7] ὁκόταν δ' ἐθέλῃ λούσασθαι, ἢν μὲν ἐκπονήσῃ ἐν παλαίστρῃ, ψυχρὸν λουέσθω. [8] ἢν δ' ἄλλῳ τινὶ πόνῳ χρήσηται, τὸ θερμὸν ξυμφορώτερον. [9] χρέεσθαι δὲ καὶ τοῖσιν ἐμέτοισι, [10] τοὺς μὲν ὑγροτέρους τρὶς τοῦ μηνός· [11] τοὺς δὲ ξηροτέρους δίς, ἀπὸ σιτίων παντοδαπῶν. [12] ἐκ δὲ τῶν ἐμέτων προσάγειν ἡσυχῇ πρὸς τὸ εἰθισμένον σιτίον, ἐς ἡμέρας τρεῖς· [13] καὶ τοῖσι πόνοισι χρέεσθαι κουφοτέροισι καὶ ἐλάσσοσι, τοῦτον τὸν χρόνον. [14] ἀπὸ δὲ βοείων καὶ χοιρείων κρεῶν, ἢ τῶν ἄλλων, ὅ, τι ἂν ὑπερβάλλῃ πλησσόμενον, ἐμέειν. [15] καὶ ἀπὸ τυρωδέων καὶ γλυκέων καὶ λιπαρῶν ἀηθέων πλησμονῆς, ἐμέειν ξυμφέρει. [16] καὶ ἀπὸ μέθης, [17] καὶ σίτων μεταβολῆς, [18] καὶ χωρίων μεταλλαγῆς, ἐμέειν. [19] διδόναι δὲ καὶ τῷ ψύχει καρτερέειν ἑωυτόν, [20] πλὴν ἀπὸ τῶν σιτίων καὶ γυμνασίων.

V. Ἀλλ' ἔν τε τοῖσιν ὀρθρίοισι περιπάτοισιν, ὁκόταν ἄρξηται τὸ σῶμα διαθερμαίνεσθαι, [2] καὶ τοῖσι δρόμοισι, [3] καὶ ἐν τῷ ἄλλῳ χρόνῳ, [4] ὑπερβολὴν φυλασσόμενος. [5] ἄμεινον γὰρ τῷ σώματι χειμάζεσθαι

rem multis omnibus, [18] cursibusque curvis sensim crescente accessione, [19] & lucta in oleo longa, à levibus ordiendo ac sensim addendo. [20] Et deambulationibus ab exercitiis, acutis ac celeribus, [21] à cœna vero, tardis in tempore. [22] Matutinis autem multis, leni initio facto, ac sensim crescente accessione, ita ut placide rursus desinas.

IV. Utendum est & strato duriore, [2] & nocturnis itineribus, [3] & funambulationibus, [4] ac cursibus per funem uti confert. [5] Omnia enim hæc attenuant ac calfaciunt. [6] Utendum etiam navigatione. [7] Ubi autem quis lavari velit, si quidem in palæstra se exercuerit, frigida lavetur. [8] Si vero alio quopiam exercitio usus fuerit, calida commodior existit. [9] Utendum & vomitibus, [10] si humidiores sint ter in mense, [11] sin sicciores, bis à cibis omnis generis: [12] à vomitibus sensim perveniendum est ad consuetum cibum per tres dies, [13] eoque tempore laboribus levioribus ac paucioribus utendum: [14] à bubulis autem & porcinis carnibus, aut aliis, quicquid tandem modum excesserit, repletus vomat: [15] & à caseosis & dulcibus ac pinguibus, eum qui non est adsuetus repleri, vomere conducit: [16] & ab ebrietate, [17] ac ciborum mutatione, [18] & regionum alteratione vomendum est. [19] Oportet autem frigori seipsum purum exhibere, [20] præterquam à cibis ac exercitiis.

V. Sed & in matutinis deambulationibus ubi corpus calefieri cœperit, [2] itemque in cursibus [3] etiam in alio tempore, [4] excessum vitare oportet. [5] Melius est enim corpori hyemem ferre,

ἢ γυμνάζεσθαι ἐν τῇ ὥρῃ. [6] οὐδὲ γὰρ τὰ δένδρα μὴ χειμασθέντα ἐν τῇ ὥρῃ, δύναται καρπὸν φέρειν, οὐδ' αὐτὰ ἐῤῥῶσθαι. [7] χρέεσθαι δὲ καὶ τοῖσι πόνοισι πολλοῖσι ταύτην τὴν ὥρην ἐς ὑπερβολήν. [8] ἢν μὴ οἱ κόποι ἐξίωνται. [9] τοῦτο τὸ σημήϊον διδάσκω τοὺς ἰδιώτας, διότι ταῦτα οὕτως ἔχει φράσω. [10] τῆς ὥρης οὔσης ψυχρῆς καὶ ξυνεστηκυίης, παραπλήσια πέπονθε καὶ τὰ ζῶα. [11] βραδέως οὖν ἀνάγκη διαθερμαίνεσθαι τὰ σώματα ὑπὸ τοῦ πόνου, [12] καὶ τοῦ ὑγροῦ μικρόν τι μέρος ἀποκρίνεσθαι τοῦ ὑπάρχοντος. [13] εἶτα τοῦ χρόνου, ὅν τινα μὲν πονέει, ἀποδέδοται ὀλίγος· [14] ὅν τινα δὲ ἀναπαύεται, πουλύς. [15] ἡ μὲν γὰρ ἡμέρη, βραχείη· ἡ δὲ νὺξ, μακρή. [16] διὰ ταῦτα οὖν οὐκ ἔχει ὑπερβολὴν ὁ χρόνος καὶ ὁ πόνος. [17] χρὴ οὖν διὰ ταῦτα τὴν ὥρην ταύτην οὕτω διαιτῆσθαι. [18] ἀπὸ πληϊάδων δύσιος μέχρις ἡλίου τροπῶν, ἡμέρας τεσσαράκοντα τέσσαρας. [19] περὶ δὲ τὴν τροπὴν ἐν φυλακῇ ὡς μάλιστα εἶναι. [20] καὶ ἀπὸ τροπῆς ἡλίου, ἄλλας τοσαύτας ἡμέρας τῇ αὐτῇ διαίτῃ χρέεσθαι.

VI. [1] Ἐπὴν δὲ ἡ ὥρη ἐπαγάγῃ τὸν ζέφυρον, καὶ μαλακωτέρη γένηται, [2] δεῖ καὶ τῇ διαίτῃ μετὰ τῆς ὥρης ἕπεσθαι, ἡμέρας πεντεκαίδεκα, [3] ὅτε ἀρκτοῦρος ἐπιτέλλει [4] καὶ χελιδὼν ἤδη φέρηται. [5] τὸν δ' ἐχόμενον δὲ χρόνον, ποικιλώτερον ἤδη διάγειν, [6] μέχρις ἰσημερίης, ἡμέρας τριάκοντα δύο. [7] δεῖ οὖν καὶ τοῖσι διαιτήμασι χρέεσθαι, τῇ ὥρῃ διαποικίλλοντα, [8] μαλακωτέροισι καὶ κουφοτέροισι, τοῖσί τε σιτίοισι, καὶ τοῖσι ποτοῖσι, καὶ πόνοισι, [9] προσάγοντα ἡσυχῇ πρὸς τὸ ἔαρ. [10] ὁκόταν δὲ ἰσημερίη γένηται ἤδη μαλακωτέρη, καὶ αἱ ἡμέραι μὲν μακρότεραι, αἱ νύκτες δὲ βραχύτεραι. [11] καὶ

quam exerceri hoc tempore. [6] Nam neque arbores, quæ hyemem non pertulerunt, hoc tempore fructum ferre possunt, neque ipsæ sanæ esse. [7] Utendum est & laboribus hoc tempore multis usque ad excessum, [8] nisi lassitudines succedant. [9] Signum autem docebo idiotas, ostendamque quapropter hæc ita se habent. [10] Tempore existente frigido ac compacto, consimilia patiuntur etiam animalia ipsa. [11] Necesse igitur est corpora tarde calefieri à labore, [12] & modicam quandam humiditatis præsentis partem excernere. [13] Deinde modicum tempus concessum est quo laborent; multum autem quo quiescant. [15] Dies enim brevis est, nox vero longa: [16] propterea igitur neque tempus, neque labor excessum habet. [17] Ob hanc itaque causam hoc tempore sic diætam instituere oportet, [18] à vergiliarum seu pleiadum occasu usque ad solstitium hybernum diebus quadraginta quatuor. [19] Circa solstitium autem maxime in custodia ac tutela esse, [20] & à solstitio alios totidem dies eadem diæta uti.

VI. Postquam autem tempus adduxerit favonium, & mollius factum fuerit, [2] oportet etiam cum tempore diætam sequi, diebus quindecim, [3] quum arcturus oritur [4] & hirundo volat. [5] Sequens vero tempus magis varie transigere oportet [6] usque ad æquinoctium diebus triginta duobus. [7] Oportet igitur etiam diæta uti hoc tempore variegatiore, [8] mollioreque ac leviore, & cibo, & potu, & labore, [9] atque ita sensim ad ver perducere. [10] Quum autem æquinoctium jam factum fuerit mollius, & dies longiores, ac noctes breviores,

[11] ἢν δὲ ἡ ὥρη ἐπιοῦσα θερμή τε καὶ ξηρὴ καθεστήκῃ, [12] καὶ ἡ δίαιτα ἐπιοῦσα [δίαιτα] τρόφιμός τε καὶ ἄκρητος. [13] δεῖ οὖν, ὥσπερ τὰ δένδρεα προσδοκῶντα ἐν ταύτῃ τῇ ὥρῃ ἑωυτοῖσιν ὠφελείην ἐς τὸ θέρος, [14] οὐκ ἔχοντα γνώμην, [15] αὔξησίν τε καὶ σκιὴν, [16] οὕτω καὶ τὸν ἄνθρωπον. [17] ἐπεὶ γὰρ γνώμην ἔχει, τῆς σαρκὸς τὴν αὔξησιν δεῖ ὑγιηρὴν αὐτὴν διαπρήττειν.

VII. Χρὴ οὖν, ὡς μὴ ἐξαπίνης τὴν δίαιταν μεταβάλλειν, [2] διελεῖν τὸν χρόνον ἐς μέρεα ἕξ, κατ' ὀκτὼ ἡμέρας. [3] ἐν μὲν οὖν τῇ πρώτῃ μοίρῃ χρὴ τῶν τε πόνων ἀφαιρέειν, [4] καὶ τοῖσι λοιποῖσιν ὀξυτέροισι χρέεσθαι. [5] τοῖσι δὲ σιτίοισι μαλακωτέροισί τε, [6] καὶ πόμασιν ὑδαρεστέροισι καὶ λευκοτέροισι, [7] καὶ τῇ πάλῃ ξὺν τῷ ἐλαίῳ ἐν τῷ ἡλίῳ χρέεσθαι. [8] ἐν ἑκάστῃ δὲ τῇ ὥρῃ ἑκάστου τῶν διαιτημάτων μεθιστάναι κατὰ μικρόν· [9] καὶ τῶν περιπάτων ἀφαιρέειν τῶν ἀπὸ τοῦ δείπνου τοὺς πλείους, [10] τῶν δὲ ὀρθρίων τοὺς ἐλάττους. [11] καὶ τῆς μάζης ἀντὶ τῶν ἄρτων προσφέρεσθαι. [12] καὶ τῶν λαχάνων τῶν ἑψανῶν προσφέρεσθαι. [13] καὶ τὰ ὄψα ἀνισάζειν τὰ ἑφθὰ τοῖσιν ὀπτοῖσι. [14] λουτροῖσί τε χρέεσθαι. [15] καὶ ἐναριστῆν μικρόν. [16] ἀφροδισίοισί τε ἐλάττοσι. [17] καὶ τοῖσιν ἐμέτοισι, τὸ μὲν πρῶτον ἐκ τῶν δ' ποιέεσθαι, εἶτα διὰ πλείονος χρόνου, [18] ὅκως ἂν καταστήσῃ τε τὸ σῶμα σαρκώμενον καθαρῇ σαρκί. [19] καὶ τὴν δίαιταν μαλακὴν ἐν τούτῳ τῷ χρόνῳ, [20] μέχρι πλειάδων ἐπιτολῆς.

IIX. [1] Ἐν τούτῳ ἤδη θέρος, καὶ τὴν δίαιταν χρὴ πρὸς τοῦτο ποιέεσθαι. [2] χρὴ οὖν, ἐπειδὰν πλειὰς ἐπιτέλλῃ, τοῖσί τε σιτίοισι μαλακωτέροισι καὶ ἐλάττοσι χρέεσθαι. [3] εἶτα τῇ μάζῃ πλεῖον, ἢ τῷ ἄρτῳ. [4] ταύτῃ δὲ προ-

[11] & tempus calidum ac siccum constiterit, [12] etiam præsens victus probe nutriens ac meracus sit. [13] Quemadmodum igitur arbores [14] rationem non habentes, hoc tempore præparant sibi ad æstatis commoditatem, [15] tum incrementum, tum umbram: [16] sic oportet hominem, [17] quum sane mente ac ratione præditus sit, carnis incrementum salubre sibi præparare.

VII. Oportet igitur, ut, ne derepente diæta transmutetur, [2] tempus in sex partes dividere, per octo dies. [3] In prima itaque parte & labores detrahere oportet, [4] & reliquis quoque velocioribus uti. [5] Cibis autem mollioribus, [6] & potibus aquosioribus ac albioribus, [7] & lucta cum oleo in sole utendum est. [8] In singulis autem temporibus singulas diætas paulatim transmutare oportet, [9] & deambulationes detrahere à cœna plures, [10] matutinas pauciores: [11] & mazam pro pane offerre, [12] & olera cocta exhibere, [13] & obsonia cocta assatis adæquare, [14] & balneis uti, [15] & parum prandere, [16] & rc venerea pauca uti, [17] & vomitibus primum quidem quarto quoque die, deinde per longius tempus, [18] quo & corpus pura carne incarnatum constituas, [19] & diætam in hoc tempore mollem, [20] usque ad pleiadum exortum.

IIX. Et in hoc jam æstas adest, & ad hanc nunc diætam instituere oportet. [2] Quum itaque pleias exorta fuerit, cibis mollioribus ac paucioribus uti oportet. [3] Deinde maza magis quam pane, [4] atque ea prius sub-

προσφυρητῇ ἄρτῳ ὑποπλεοτέρῃ. [5] τοῖσι δὲ πόμασι μαλακοῖσι, λευκοῖσιν, ὑδαρέσιν· [6] ἀρίστῳ δὲ ὀλίγῳ· [7] καὶ ὕπνοισιν ἀπὸ τοῦ ἀρίστου βραχέσι· [8] καὶ πλησμονῇσιν ὡς ἥκιστα τῶν σιτίων τε καὶ ποτῶν· [9] [ποτοῦ δὲ] ἱκανῶς ἐπὶ τοῦ σίτου χρέεσθαι. [10] δι' ἡμέρης δὲ ὡς ἥκιστα πίνειν, [11] ἢν μὴ ἀνάγκη τινὶ ξηρασίῃ τὸ σῶμα χρήσηται. [12] χρέεσθαι δὲ τοῖσι λαχάνοισι τοῖσιν ἑφθοῖσι, [13] πλὴν τῶν καυσωδέων καὶ ξηρῶν. [14] χρέεσθαι δὲ καὶ τοῖσιν ὠμοῖσι, [15] πλὴν τῶν θερμαντικῶν καὶ ξηρῶν.

25 IX. [1] Ἐμέτοισι δὲ, ἢν μή τις πλησμονὴ ἐγγένηται, μὴ χρέεσθαι. [2] τοῖσι δὲ ἀφροδισίοισιν ὡς ἥκιστα. [3] λουτροῖσι δὲ χλιεροῖσι χρέεσθαι. [4] ἡ δὲ ὀπώρη ἰσχυρότερον τῆς ἀνθρωπίνης φύσιος. [5] βέλτιον οὖν ὀπωρῶν ἀπέχεσθαι. [6] εἰ δὲ χρῷτό τις, μετὰ τῶν σιτίων χρεόμενος, ἥκιστ' ἂν ἐξαμαρτάνοι. [7] τοῖσί τε πόνοισι, [8] τοῖσί τε τροχοῖσι χρὴ γυμνάζεσθαι, [9] καὶ διαύλοισιν ὀλίγοισι πουλὺν χρόνον, [10] καὶ τοῖσι περιπάτοισιν ἐν σκιῇ, [11] τῇ τε πάλῃ ἐν κόνει, [12] ὅκως ἥκιστα ἐκθερμαίνηται.

30 X. [1] Ἡ γὰρ ἀλίνδησις βέλτιον, ἢ οἱ τροχοί. [2] ψύχουσι γὰρ, τὸ σῶμα κενοῦντες τοῦ ὑγροῦ. [3] ἀπὸ δείπνου τὸ μὴ περιπατέειν, [4] ἀλλ' ἢ ὅσον ἐξαναστῆναι. [5] ὄρθρου δὲ χρέεσθαι τοῖσι περιπάτοισιν. [6] ἡλίους δὲ φυλάσσεσθαι, [7] καὶ τὰ ψύχεα, τότε ἐν ὄρθρῳ, καὶ τὰ ἐν τῇ ἑσπέρῃ, [8] ὁκόσα ποταμοὶ, ἢ λίμναι, ἢ χιόνες ἀποπνέουσι. [9] ταύτῃ δὲ τῇ διαίτῃ προσανεχέτω, μέχρις ἡλίου τροπέων. [10] ὅκως ἐν τουτέῳ τῷ χρόνῳ ἀφαιρέῃ πάντα, ὁκόσα ξηρὰ, καὶ θερμὰ, καὶ μέλανα, καὶ ἄκρητα, καὶ τοὺς 35 ἄρτους, [11] πλὴν εἴ τι μικρὸν ἡδονῆς

subacta, & vino dulci non emollita: [5] potibus autem mollibus, albis, aquosis, [6] prandio modico, [7] & somnis à prandio brevibus, [8] & repletionibus ex cibis ac potibus quam minimis. [9] Potu inter edendum utendum est sufficiente: [10] per diem vero minime bibendum, [11] nisi necessaria aliqua siccitate corpus utatur. [12] Utendum est & oleribus coctis, [13] exceptis æstuosis ac siccis. [14] Utendum etiam crudis, [15] exceptis calfacientibus ac siccis.

IX. Vomitibus, nisi si qua repletio contingat, utendum non est. [2] Re autem venerea minime. [3] Balneis autem tepidis uti licet. [4] At vero poma fortiora sunt quam pro humana natura. [5] Melius est igitur à pomis abstinere. [6] Si vero quis cum cibis utatur, 16 minime deliquerit. [7] Laboribus quoque [8] ac cursibus circularibus exerceri oportet, [9] & cursibus rectis revertentibus modicis multo tempore, [10] & deambulationibus in umbra, [11] lucta autem in pulvere, [12] quo quam minime excalescat.

X. Verum volutationes in pul- 17 vere meliores sunt quam cursus circulares. [2] Frigefaciunt enim corpus humorem evacuantes. [3] A cœna deambulandum non est, [4] sed saltem surgendum. [5] Mane verò deambulationibus utendum. [6] Soles vitandi sunt, [7] itemque frigora, tum mane, tum vespere, [8] quæ flumina, aut stagna, aut nives exhalant. [9] Hanc autem diætam tolerare oportet, usque ad solstitium æstivum, [10] quo in hoc tempore adimas omnia quæ sicca sunt & calida & nigra ac meraca, itemque panes, [11] præterquam si parum quid

ἡδονῆς περιέχειν εἵνεκα. [12] τὸν ἐχόμενον δὲ χρόνον διαιτῆσθαι τοῖσι μαλακοῖσι, καὶ ὑγροῖσι, καὶ ψυκτικοῖσι, καὶ λευκοῖσι, [13] μέχρις ἀρκτούρου ἐπιτολῆς καὶ ἰσημερίης, ἡμέρας πεντήκοντα τρεῖς.

XI. Ἀπὸ δὲ ἰσημερίης ὧδε χρὴ διαιτεῖσθαι, [2] προστεθέντα πρὸς τὸν χειμῶνα ἐν τῷ φθινοπώρῳ, [3] φυλασσόμενον τὰς μεταβολὰς τοῦ ψύχεος καὶ τῆς ἀλέης ἐσθῆτι παχείῃ. [4] χρέεσθαι δὲ ἐν τούτῳ τῷ χρόνῳ, ἐν ἱματίῳ προκινήσιας, [5] τῇ τε τρίψει, [6] καὶ τῇ πάλῃ ἐν ἐλαίῳ, [7] ἡσυχῇ προστιθέντα. [8] καὶ τοὺς περιπάτους ποιέεσθαι ἐν ἀλέῃ. [9] θερμολουσίῃ τε χρέεσθαι, [10] καὶ τοὺς ἡμερινοὺς ὕπνους ἀφαιρέειν. [11] καὶ τοῖσι σιτίοισι θερμοτέροισι, καὶ ἧσσον ὑγροῖσι, καὶ καθαροῖσι. [12] καὶ τοῖσι πόμασι μελαντέροισι, μαλακοῖσι δὲ καὶ μὴ ὑδαρέσι. [13] τοῖσί τε λαχάνοισιν ἧσσον. [14] τῇ τε ἄλλῃ διαίτῃ προστιθέντα πάσῃ, τῶν θερινῶν ἀφαιρεῦντα, τοῖσι χειμερινοῖσι χρέεσθαι μὴ ἐς ἄκρον, [15] ὅκως προσεθίσηται ὡς ἔγγιστα τῆς χειμερινῆς διαίτης, [16] ἐν ἡμέρῃσι δυοῖν δεούσαιν πεντήκοντα, μέχρι πληϊάδων δύσιος, ἀπὸ ἰσημερίης.

XII. Ταῦτα μὲν παραινέω τῷ πλήθει τῶν ἀνθρώπων, [2] ὁκόσοισιν ἐξ ἀνάγκης εἰκῆ τὸν βίον διαξελαύνειν ἐστί, [3] μηδ' ὑπάρχει αὐτέοισι τῶν ἄλλων ἀμελήσαντας τῆς ἑωυτῶν ὑγιείης ἐπιμελεῖσθαι. [4] οἷσι δὲ τοῦτο παρεσκεύασται καὶ διέγνωσται, ὅτι οὐδὲν ὄφελός ἐστιν, οὔτε χρημάτων, οὔτε σώματος, οὔτε τῶν ἄλλων οὐδενός, ἄτερ τῆς ὑγιείης, [5] πρὸς τούτους ἐστί μοι δίαιτα ἐξευρημένη, [6] ὡς ἀνυστὸν πρὸς τὸ ἀληθέστατον τῶν δυνατῶν προσηγμένη. [7] ταύτην μὲν οὖν

quid voluptatis gratia concedere velis. [12] Sequenti vero tempore utetur mollibus & humidis & perfrigerantibus ac albis, [13] usque ad arcturi exortum ac æquinoctium per dies nonaginta tres.

XI. Cæterum ab æquinoctio sic diætam instituere oportet, [2] per autumnum ad hyemem adducendo, [3] ita ut mutationes frigorum ac teporis vites vestitu crasso. [4] Utendum autem hoc tempore motu in veste, [5] frictioneque [6] ac lucta in oleo, [7] ita ut sensim accessio crescat. [8] Deambulationes quoque in tepore faciendæ sunt, [9] & calidis lavacris utendum, [10] & somni diurni detrahendi. [11] Cibis autem utendum est calidioribus, ac minus humidis, & puris, [12] & potibus nigrioribus, verum mollibus, & non aquosis: [13] oleribus vero minus. [14] Reliquam item diætam omnem sic consonam adhibere oportet, ut ab æstivis detrahas, hybernis autem utaris non ad summum, [15] quò hybernum victum quam proxime constituas, [16] in diebus duodequinquaginta, usque ad pleiadum occasum, ab æquinoctio.

XII. Hæc porro multitudinis commonendæ gratia ac vulgi hominum causa prodo, [2] qui ex necessitate vitam temere transigunt, [3] neque licet ipsis aliorum negligentes esse, ac suam ipsorum sanitatem curare. [4] Quibus vero jam hoc certum ac percognitum est, quod neque divitiarum, neque corporis, neque ullius alterius rei ulla utilitas est, citra sanitatem, [5] ad hos inventa est à me diæta, [6] quantum possibile est, ad veritatem ac certitudinem possibilium rerum adducta. [7] Hanc itaque in ser-

τὴν προσιόντι τῷ λόγῳ δηλώσω. [8] τόδε δὲ τὸ ἐξεύρημα καλὸν μὲν ἐμοὶ τῷ εὑρόντι, [9] ὠφέλιμον δὲ τοῖσι μαθοῦσιν, [10] οὐδεὶς δέ κω τῶν προτέρων οὐδὲ ἐπιχείρησε ξυνθεῖναι, [11] ὅπερ πρὸς ἅπαντα τὰ ἄλλα πολλοῦ κρίνω εἶναι ἄξιον. [12] ἔστι δὲ προδιάγνωσις μὲν πρὸ τοῦ κάμνειν, [13] διάγνωσις δὲ τῶν σωμάτων, τί πέπονθε, [14] πότερον τὸ σιτίον κρατέει τοὺς πόνους, [15] ἢ οἱ πόνοι τὰ σιτία, [16] ἢ μετρίως ἔχει πρὸς ἄλληλα. [17] ἀπὸ μὲν γὰρ τοῦ κρατέεσθαι ὁκότερον οὖν, νοῦσοι ἐγγίνονται· [18] ἀπὸ δὲ τοῦ ἰσάζειν πρὸς ἄλληλα, ὑγίειη πρόσεστιν.

XIII. Ἐπὶ ταῦτα δὴ τὰ εἴδεα ἐπέξειμι, καὶ δείξω, ὁκοῖα γίνεται τοῖσιν ἀνθρώποισιν ὑγιαίνειν δοκέουσι, καὶ ἐσθίουσί τε ἡδέως, πονέειν τε δυναμένοισι, καὶ σώματος καὶ χρώματος ἱκανῶς ἔχουσιν. [2] αἱ ῥῖνες ἄτερ προφάσιος φανερῆς ἐμπιπλέονται ἀπὸ τοῦ δείπνου, [3] καὶ δοκέουσι μὲν πλήρεες εἶναι, [4] μύσσονται δὲ οὐδέν. [5] ὁκόταν δὲ περιπατέειν ἄρξωνται τοῦ ὄρθρου καὶ γυμνάζεσθαι, τότε μύσσονται καὶ πτύουσι. [6] καὶ προϊόντος τοῦ χρόνου καὶ τὰ βλέφαρα βαρέα ἴσχουσι, [7] καὶ τὸ μέτωπον ξυσμὴ λαμβάνει, [8] τῶν τε σιτίων ἀπέχονται, [9] καὶ πίνειν ἧσσον δύνανται, [10] ἀχροίη τε τοῖσι καὶ ἡ χροιὴ γίνεται. [11] ἢ κατάρροοι κινέονται, [12] ἢ πυρετοὶ φρικώδεες, [13] καθ' ὅ, τι ἂν τύχῃ τοῦ χρόνου ἡ πλησμονὴ κινηθεῖσα. [14] ὅ, τι δ' ἂν τύχῃ ποιήσας κατὰ τοῦτον τὸν καιρὸν, τοῦτο αἰτιῆται οὐκ αἴτιον ἐόν. [15] τούτῳ γὰρ κρατέουσι τὰ σιτία τοὺς πόνους, κατὰ μικρὸν ξυλλεγομένη ἡ πλησμονὴ, ἐς νοῦσον ἤγαγεν. [16] ἀλλ' οὐ χρὴ περιιδεῖν μέχρι τούτου, [17] ἀλλ' ὁκόταν γνῷ τὰ πρῶτα τῶν τεκμηρίων, εἰδέναι ὅ, τι κρατέει τὰ σιτία τοὺς

monis progressu declarabo. [8] Inventum autem hoc honestum quidem mihi repertori, [9] utile vero discentibus; [10] nullus adhuc priorum ne attentavit quidem componere, [11] quod ad omnia alia magni æstimandum duco: [12] Est autem præcognitio antequam ægrotent, [13] cognitio, quid corpora perpetiantur; [14] utrum cibus superat labores, [15] aut labores cibos, [16] aut moderate inter se habeant. [17] Utrum enim tandem superetur, morbi fiunt: [18] ab æqualitate autem inter ipsa mutua, sanitas adest.

XIII. Ad hæc sane commemoranda accingor, & demonstrabo qualia fiunt hominibus qui sani sibi esse videntur, & jucunde comedunt, laborareque possunt, & corporis ac caloris satis habent. [2] Nares citra causam apertam à cœna implentur, [3] & repleræ esse videntur, [4] emungunt autem nihil. [5] Ubi autem deambulare mane incipiunt ac exerceri, tunc emungunt ac spuunt: [6] & progressu temporis etiam palpebras graves habent, [7] & pruritus frontem occupat, [8] & a cibis abstinent, [9] & bibere minus possunt, [10] & color fit decolor, [11] & aut destillationes moventur [12] aut febres horridæ, [13] juxta quodcunque tempus repletio fuerit mota. [14] Quicquid autem eo tempore fecerit, in idipsum culpam ac causam rejicit, quum idipsum causa non sit. [15] Huic enim cibi superant labores, & repletio paulatim collecta in morbum ipsum adduxit. [16] Sed non huc usque differre oportet; [17] verum ubi prima signa cognoverit, scire quod cibi labores superant, & paulatim collecta repletio

τῆς πόνης, [11] καὶ μικρὸν ξυλλέγηται πλησμονή τι. [18] μύξαι γὰρ ὁ σίαλα πλησμονῆς τι κρίσις. [20] ἀτρεμίζοντι μὲν γὰρ τῷ σώματι, φράσσεσι τοὺς πόρους τῆς πνεύματος, πολλῆς ἐνεούσης τῆς πλησμονῆς. [21] θερμαινομένῳ δὲ τῷ πόνῳ, ἀποκρίνεται λεπτυνόμενον.

XIV. Χρὴ δὲ τὸν τοιοῦτον θεραπεύεσθαι ὧδε. [2] Διαπονέεσθαι ἐν τοῖσι γυμνασίοισι τοῖσιν εἰθισμένοισιν ἀκόπως, θερμῷ λουσάμενον, σιτίοισι παντοδαποῖσι, καὶ ποιῆσαι ἐμέειν. [3] ἐκ δὲ τοῦ ἐμέτου, κλύσαι τὸ στόμα καὶ τὴν φάρυγγα οἴνῳ αὐστηρῷ, [4] ὅκως ἂν ξυστομώσῃ τὰ στόματα τῶν φλεβῶν, [5] καὶ μηδὲν ἐπισπάσηται, [6] ὅτι αἱ ἐμέτου γίνεται. [7] ἔπειτα ἐξαναστάς, περιπατεέτω ἐν ἀλέῃ ὀλίγα. [8] ἐς δὲ ὑστεραίην, τοῖσί τε περιπάτοισι χρέεσθαι, [9] τοῖσί τε γυμνασίοισιν ἐλάσσοσι καὶ κουφοτέροισιν ἢ πρόσθεν. [10] ἢν δὲ θέρος ᾖ, ἀνάριστος. [11] ἢν δὲ μή, ὀλίγῳ χρῆσθαι ἀκρατίσματι. [12] καὶ τῷ δείπνῳ ἀφαιρέειν τὸ ἥμισυ, [13] ὧν εἰώθει δειπνέειν. [14] τῇ δὲ τρίτῃ, τοὺς μὲν πόνους ἀπέτω τοὺς εἰθισμένους πάντας, καὶ τοὺς περιπάτους. [15] σιτίοισι δὲ προσαγέτω ἡσυχῇ. [16] ὅπως τῇ πέμπτῃ ἀπὸ τοῦ ἐμέτου κομιεῖται τὰ σιτία τὰ εἰθισμένα. [17] ἢν δὲ ἐκ τούτων ἐκφανῇ ὑγιής, θεραπευέσθω τὸ λοιπόν, τοῖσι μὲν σιτίοισιν ἐλάσσοσι, τοῖσι δὲ πόνοισι πλείοσιν. [17] ἢν δὲ μὴ καθιστῆται τὰ τεκμήρια τῆς πλησμονῆς, [18] διαλιπὼν δύο ἡμέρας, ἐν ᾗσιν ἐκομίσατο τὰ σιτία, [19] ἐμεσάτω πάλιν, καὶ προσαγέτω τῷ αὐτῷ. [20] ἢν δὲ μή, καὶ ἐκ τρίτου, μέχρις οὗ ἀπαλλαγῇ τῆς πλησμονῆς.

XV. Εἰσὶ δέ τινες τῶν ἀνθρώπων, οἳ

repletio exsistit. [18] Mucus enim [19] & saliva repletionis indices sunt ac signa, [20] & quiescente quidem corpore, meatus spiritus obturant, multa repletione existente: [21] ubi vero calefactum est præ labore, attenuata excernuntur.

XIV. Talem autem sic curare oportet. [2] Exercitatum in consuetis exercitiis citra lassitudinem, calidaque lotum, cibis omnigenis expleto, ac vomere facito. [3] à vomitu vero os & fauces colluat vino austero, [4] quo oscula venarum constringantur, [5] & nihil attrahant, [6] velut à vomitu fieri solet: [7] deinde surgens modice deambulet in tepore. [8] Postridie vero deambulationibus quidem utendum est: [9] exercitiis autem paucioribus & levioribus quam prius: [10] & si æstas fuerit, impransus degat: [11] sin minus, parum comedat, [12] & de cœna quam sumere solebat, dimidium detrahat. [13] Tertia autem die labores quidem obeat omnes consuetos ac deambulationes, [14] verum cibos sensim ingerat, [15] quo quinta die à vomitu consuetum cibum assumat. [16] Et siquidem ab hoc satis bene habuerit, de cætero cibis quidem paucioribus, laboribus autem pluribus curetur. [17] Si vero signa repletionis non quieverint, [18] interpositis duobus diebus ab ea qua consuetos cibos assumpsit, [19] rursus vomat, & eodem modo sensim ad consuetos cibos redeat. [20] Quod si non successerit, etiam tertium eadem repete, donec à repletione liberetur.

XV. Sunt autem homines, qui

οἵτινες, ὁκόταν κρατέωνται) οἱ πόνοι ὑπὸ τῶν σιτίων, τοιάδε πάσχουσιν. [2] ἀρχομένης μὲν τῆς πλησμονῆς, ὕπνοι μακροὶ καὶ ἡδέες αὐτοῖσιν ἐπιγίνονται, καὶ ἐπὶ τῆς ἡμέρης ἐπικοιμῶνται. [3] ὁ δὲ ὕπνος γίνεται τῆς σαρκὸς ὑγρανθείσης, καὶ χεῖται τὸ αἷμα, καὶ γαληνίζει διαχεόμενον τὸ πνεῦμα. [4] ὁκόταν δὲ μὴ δέχηται ἔτι τὸ σῶμα τὴν πλησμονήν, [5] ἀπόκρισιν ἤδη ἀφίησιν εἴσω ὑπὸ βίης τῆς περιόδου· [6] ἥ τις ὑπεναντιευμένη τῇ τροφῇ, τῇ ἀπὸ τῶν σιτίων, ταράσσει τὴν ψυχήν. [7] οὐκ ἔτι δὴ κατὰ τοῦτον τὸν χρόνον ἡδέες οἱ ὕπνοι, [8] ἀλλ' ἀνάγκη ταράσσεσθαι τὸν ἄνθρωπον, [9] καὶ δοκέει μάχεσθαι. [10] ὁκοῖα γάρ τινα πάσχει τὸ σῶμα, τοιαῦτα ὁρῇ ἡ ψυχή, κρυπτομένης τῆς ὄψιος. [11] ὁκόταν οὖν ἐς τοῦτο ἥκῃ ὁ ἄνθρωπος, ἐγγὺς ἤδη τοῦ κάμνειν ἐστίν. [12] ὅτι δὲ ἥξει τὸ νόσημα, μάλα δῆλον. [13] ὁκοίη γὰρ ἂν ἔλθῃ ἀπόκρισις, καὶ ὅτου ἂν κρατήσῃ, τοῦτο ἐνόσησεν. [14] ἀλλ' οὐ χρὴ προΐεσθαι τὸν ἀφρονέοντα, ἀλλ', ὁκόταν ἐπιγνῷ τῶν τεκμηρίων τὰ πρῶτα, τῆς θεραπείης ἔχεσθαι. [15] καὶ δὴ τοῦτον, ὥσπερ τὸν πρότερον, ἐκθεραπευθῆναι. [16] πλείονος δὲ χρόνου καὶ λιμοκτονίης δέεται.

XVI. Ἔστι δὲ καὶ τοιάδε τὰ τεκμήρια πλησμονῆς. [2] ἀλγέει τὸ σῶμα, οἷς μὲν ἅπαν, οἷς δὲ μέρος τι τοῦ σώματος, ὅ, τι ἂν τύχῃ. [3] τὸ δὲ ἄλγος ἐστὶν, ὁκοῖον κόπος, καὶ δοκέουσι κοπιῆν· [4] ῥᾳθυμίῃσί τε καὶ πλησμονῇσι θεραπεύονται, μέχρις ἂν ἐς πυρετὸν ἀφίκωνται· [5] καὶ οὐδέπω οὐδὲ τοῦτο γινώσκουσιν, [6] ἀλλὰ λουτροῖσί τε καὶ σιτίοισι χρησάμενοι, ἐς περιπλευμονίην κατέστησαν τὸ νόσημα, [7] καὶ ἐς κίνδυνον τὸν ἔσχατον ἀφι-

idu

ubi labores ſuperantur à cibis, talia patiuntur. [2] Incipiente quidem repletione ſomni longi & dulces ipſis contingunt, & interdiu etiam dormiunt. [3] Somnus autem contingit carni, & ſanguis funditur, & ſpiritus diffuſus tranquillus eſt. [4] Quum vero non ſuſcipiat amplius corpus repletionem, [5] ſecretionem jam remittit intro, præ circuitus violentia, [6] quæ ſane ſecretio contraria alimento à cibis, animam perturbat. [7] Quo tempore non amplius jucundi ipſis ſunt ſomni, [8] ſed neceſſe eſt hominem perturbari, [9] & videtur ſibi cum aliquo pugnam committere. [10] Qualiacunque enim patitur corpus, talia videt anima, viſu jam concluſo. [11] Quum igitur ad hoc pervenerit homo, prope jam eſt ut ægrotet. [12] Quod autem veniet morbus, valde manifeſtum eſt. [13] Qualis enim ſecretio venerit, & quamcunque partem ſuperaverit, eam ipſam morbo affligit. [14] Verum non oportet ita deſipientem eſſe & hucuſque differre, ſed ſtatim ubi prima ſigna cognovit, curam contingere, [15] & hunc velut priorem curare: [16] longiori autem tempore, ac fame opus habet.

XVI. Sunt præterea etiam talia repletionis ſigna. [2] Dolet corpus aliquibus totum, aliquibus pars quædam, quæcunque tandem. [3] Dolor autem eſt velut laſſitudo, & delaſſati eſſe ſibi videntur, [4] ſegnicieque ac repletione curantur, donec ad febrem perveniant: [5] & adhuc nondum hoc cognoſcunt, [6] ſed balneis ac cibis utentes, ad pulmonis inflammationem, peripneumoniam Græcis dictam, morbum deducunt, [7] & ad extremum periculum deveniunt.

ἀφικνέονται. 8 ἀλλὰ χρὴ προμηθέεσθαι, πρὶν ἂν ἐς τὰς νούσους ἀφικνέωνται, 9 καὶ θεραπεύεσθαι τῷδε τῷ τρόπῳ. 10 μάλιστα μὲν πυριηθέντα μαλακῇσι πυρίῃσι τὸν ἄνθρωπον. 11 εἰ δὲ μὴ, λουσάμενον πολλῷ καὶ θερμῷ, 12 διαλύσαντα τὸ σῶμα ὡς μάλιστα, 13 χρησάμενον τοῖσι σιτίοισι, πρῶτον μὲν τοῖσι δριμέσι καὶ πλείστοισιν, εἶτα τοῖσιν ἁλυκοῖσιν, ἐξεμέσαι εὖ, 14 καὶ ἐξαναστάντα περιπατῆσαι ὀλίγον χρόνον ἐν ἀλέῃ, 15 ἔπειτα καταδαρθεῖν. 16 πρωῒ δὲ τοῖσι περιπάτοισιν ἐξ ὀλίγου προσάγοντα χρέεσθαι, 17 καὶ τοῖσι γυμνασίοισι κούφοισι, 18 καὶ τῇσι προσαγωγῇσι, καθάπερ καὶ τὸ πρότερον. 19 ἰσχνασίης δὲ τοῦτο πλείστης δέεται καὶ περιπάτων.

XVII. Ἢν δὲ μὴ προνοηθεὶς ἐς πυρετὸν ἀφίκηται, 2 προσφέρειν μηδὲν ἄλλο, ἀλλ' ἢ ὕδωρ ἡμερέων τριῶν. 3 ἢν μὲν οὖν ἐν ταύτῃ παύσηται· 4 εἰ δὲ μὴ, πτισάνης χυλῷ θεραπεύεσθαι, 5 καὶ ἢ τεταρταῖος ἢ ἑβδομαῖος ἐκστήσεται, ἢν ἐξιδρώσῃ. 6 ἀγαθὸν δὲ τοῖσι χρίσμασι χρέεσθαι τοῖσιν ἱδρωτικοῖσιν, ὑπὸ τὰς κρίσιας· 7 ἐξαναγκάζουσι γάρ.

XIIX. Πάσχουσι δέ τινες καὶ τοιάδε ἀπὸ πλησμονῆς. 2 τὴν κεφαλὴν ἀλγεῖ, καὶ βαρύνεται, 3 καὶ τὰ βλέφαρα πίπτει αὐτέοισιν ἀπὸ τοῦ δείπνου, 4 ἔν τε τοῖς ὕπνοις ταράσσονται, 5 καὶ δοκέει θέρμη ἐνεῖναι, 6 ἥ τε κοιλίη ἐφίσταται ἐνίοτε. 7 ὁκόταν δὲ ἀφροδισιάσῃ, δοκέει κουφότερος εἶναι ἐς τὸ παραυτίκα, 8 ἐξ ὑστέρου δὲ μᾶλλον βαρύνεται. 9 τουτέοισιν ἡ κεφαλὴ τὴν πλησμονὴν ἀντισπῶσα, 9 τήν τε κοιλίην ἐφίστησι, 10 καὶ αὐτὴ βαρύνεται. 11 κίνδυνος δὲ ὑπόκειται, ὅκου ἂν ῥαγῇ ἡ πλησμο-

niunt. 8 Verum oportet providere antequam ad morbos perveniant, 9 & hoc modo curare, 10 ut maxime mollibus fomentis hominem foveamus; 11 aut si id fieri nequeat, multa calida lavemus, 12 ac corpus dissolvamus; 13 & à multis ingestis cibis, primum quidem acribus ac plurimis, deinde salsis, probe vomere faciamus; 14 quo facto exurgat, ac modico tempore deambulet in tepore; 15 deinde dormiat. 16 Mane vero deambulationibus sensim crescentibus utendum est, 17 & exercitiis levibus, 18 & ciborum exhibitionibus sensim crescentibus, velut prius. 19 Attenuatione autem plurima opus habet, itemque deambulationibus.

XVII. Si vero providentia non adhibita ad febrem pervenerit; 2 nihil aliud offerre oportet præter aquam per dies tres. 3 Siquidem igitur ex hac sedetur, bene est: 4 sin minus, ptisanæ succo curandus est, 5 & aut quarta aut septima die decedet febris, si exsudabit. 6 Bonum autem est & unguentis exsudatoriis uti, sub judicationes: 7 exsudare enim cogunt.

XIIX. Quidam vero etiam talia à repletione perpetiuntur. 2 Caput ipsis dolet ac gravatur, 3 & palpebræ ipsis à cœna concidunt, 4 & in somnis turbantur; 5 & calor inesse ipsis videtur; 6 & alvus aliquando sistitur. 7 Et talis ubi venere utitur, levior statim esse sibi videtur, postea vero magis gravatur. 8 His caput repletionem revellens, 9 & alvum sistit, 10 & ipsum gravatur. 11 Periculum autem subest, ut quo erumpat ipsa repletio, id ipsum

γὴ, τοῦτο διαφθείρει. [12] ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε. [13] ἢν βούληται τὴν θεραπείην ταχείην ποιέεσθαι, [14] ἐλλεβόρῳ καθαρθῆναι. [15] ἔπειτα προσάγειν τοῖσι σιτίοισι κούφοισι καὶ μαλακοῖσιν, ἡμέρας δέκα. [16] τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσιν, [17] ὅκως κρατήσῃ ἡ κάτω κοιλίη, τὴν κεφαλὴν [καὶ] κάτω ἀντισπάσῃ. [18] καὶ τοῖσι δρόμοισι βραδέσι, καὶ τοῖσιν ὀρθρίοισι, [19] καὶ τοῖσι περιπάτοισιν ἱκανοῖσι. [20] τῇ τε ἐν ἐλαίῳ πάλῃ, [21] ἀρίστῳ τε χρέεσθαι, [22] καὶ ὕπνῳ ἀπὸ τοῦ ἀρίστου, οὐ μακρῷ. [23] ἀπὸ τοῦ δείπνου δὲ, ὁκόσον ἐξαναστῆναι ἱκανόν. [24] καὶ τὸ μὲν λούεσθαι, [25] τὸ δὲ χρίεσθαι. [26] λούεσθαι δὲ χλιερῷ. [27] λαγνείης δὲ ἀπέχεσθαι. [28] αὕτη μὲν ἡ ταχυτέρη θεραπείη. [29] εἰ δὲ μὴ βούλοιτο φαρμακοποτέειν, [30] λουσάμενος πολλῷ, [31] ἐμέσαι ἐκ σιτίων γλυκέων καὶ ἁλυκῶν. [32] ἐξ ἐμέτου δὲ, ὅσον ἐξαναστῆναι. [33] περιπάτοισι δὲ, τοῖσιν ὀρθρίοισι προσάγειν, [34] καὶ τοῖσι γυμνασίοισι τοῖσι προγεγραμμένοισιν, ἐς ἡμέρας ἕξ. [35] τῇ δὲ ἑβδόμῃ πλησμονὴν προσθεὶς, ἔμετον ποιήσασθαι, ἀπὸ τῶν ὁμοίων σιτίων, [36] καὶ προσάγειν κατὰ ταὐτά. [37] χρέεσθαι δὲ τούτοισιν ἐπὶ τέσσαρας ἑβδομάδας. [38] μάλιστα γὰρ ἐν τοσούτῳ χρόνῳ καθίσταται. [39] εἶτα προσάγειν, ὅκως τὸ σῶμα κομίσηται. [40] καταστῆσαι δὲ τὴν δίαιταν ἐς τὸ ξύνηθες κατὰ μικρόν.

XIX. Γίνεται δὲ καὶ τοιάδε ἀπὸ πλησμονῆς. [2] ὁκόσοισι μὲν ἡ κοιλίη καταπέσσει τὸ σιτίον, [3] αἱ δὲ σάρκες μὴ δέχονται, [4] ἐμμένουσα ἡ τροφὴ, φῦσαν ἐμποιέει. [5] ὁκόταν δὲ ἀριστήσωσι, καθίσταται. [6] ὑπὸ γὰρ τοῦ ἰσχυροτέρου τὸ κουφότερον ἐξελαύνεται, [7] καὶ δοκέουσιν ἀπηλλάχθαι. [8] τὸ δὲ πάλιν πλέον

corrumpat. [12] Verum providere hoc modo oportet. [13] Si curam celerem facere velit, [14] veratro purgandus est: [15] deinde exhibendi cibi leves ac molles ad dies decem, [16] atque hi alvum moventes, [17] quo venter inferior superet, & de capite revellere valeat, [18] Utendum & cursibus tardis ac matutinis, [19] & deambulationibus multis. [20] Item lucta in oleo, [21] & prandio, [22] & somno à prandio non longo: [23] à cœna vero exsurgere satis est, [24] & partim balneis, [25] partim unctione utendum, [26] balneis vero tepidis: [27] à venere autem abstinendum. [28] Hæc quidem velocior cura est. [29] Si vero medicamentum bibere nolit, [30] multa calida lotus, [31] à cibis dulcibus, ac salsis vomat: [32] à vomitu vero satis est ut exsurgat: [33] mane autem deambulationibus adhibendus est, [34] & exercitiis præscriptis ad dies sex: [35] die septima repletione corporis facta à similibus cibis vomitum faciat, [36] & eodem modo cibi rursus sensim adjiciendo exhibeantur: [37] atque his hoc modo ad quatuor hebdomadas utatur. [38] In tanto enim tempore maxime sedatur. [39] Deinde cibi exhibendi quo corpus reficiatur, [40] & diæta paulatim ad consuetum morem redigenda est.

XIX. Fiunt etiam talia à repletione. [2] Quibusdam venter quidem concoquit cibum, [3] carnes autem non suscipiunt. [4] Alimentum autem intus manens flatum inducit. [5] Ubi vero pransi fuerint, sedatur. [6] Nam à fortiore id quod levius est expellitur, [7] & videntur sibi liberati esse. [8] Verum malum

πλέον ἐς τὴν ὑστεραίην παραγίνεται). 9 ὁκόταν δὲ καθ' ἡμέρην ἑκάστην αὐξανόμενον ἰσχυρὸν γένηται, 10 ἐκράτησε τὸ ὑπάρχον τῶν ἐπεισενεχθέντων, 11 καὶ ἐξεθέρμηνε καὶ ἐτάραξεν αὖ τὸ σῶμα, 12 καὶ ἐποίησε 30 διάρροιαν. 13 τοῦτο γὰρ ὀνομάζεται, ἕως ἂν αὐτὴ μούνη σαπεῖσα ἡ τροφὴ ὑποχωρέῃ. 14 ὁκόταν δὲ, θερμαινομένου τοῦ σώματος, καθάρσιες δριμεῖαι γένηται, 15 τό, τε ἔντερον ξύεται καὶ ἑλκοῦται, 16 καὶ διαχωρέεται αἱματώδεα. 17 τοῦτο δὲ δυσεντερίη καλέεται. 18 νοῦσος χαλεπή τε καὶ ἐπικίνδυνος. 19 ἀλλὰ χρὴ προμηθέεσθαι, 20 καὶ τὸ ἄριστον ἀφαιρέεσθαι, 21 καὶ τοῦ δείπνου τὸ τρίτον μέρος. 22 τοῖσι δὲ δρόμοισι πλείοσι, 23 καὶ τῇσι πάλῃσι, 24 καὶ τοῖσι περιπάτοισι χρέεσθαι, 25 ἀπό τε τῶν γυμνασίων, 26 καὶ ὄρθρου. 27 ὁκόταν 35 δὲ αἱ δέκα γένωνται, 28 προσθεῖναι τοῦ σίτου τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος, 29 καὶ ἐμέτῳ ποιήσασθαι, 30 καὶ προσαγαγεῖν ἐς ἡμέρας τέσσαρας. 31 ὁκόταν δὲ ἄλλαι δέκα γένωνται, 32 τὸν τοσοῦτον τὸν λοιπὸν προσθέσθαι, 33 καὶ ἐμέτους ποιήσασθαι, 34 καὶ προσάγων πρὸς τὸν σῖτον, 35 ὑγιέα ποιήσεις ἐν τούτῳ τῷ χρόνῳ. 36 τοῖσι δὲ πόνοισι θαρσέειν τὸν τοιοῦτον πιέζων.

XX. Γίνεται δὲ καὶ τοιάδε πλησμονή. 2 ἐς τὴν ὑστεραίην τὸν σῖτον ἐρυγγάνεται ὠμὸν, 3 ἄτερ ὀξυρεγμίης. 4 ἡ δὲ κοιλίη διαχωρέει, ἐλάσσω μὲν, ἢ πρὸς τὰ σιτία, ὅμως δὲ ἱκανῶς. 5 πόνος 40 δὲ οὐδεὶς ἐγγίνεται. 6 τουτέοισιν ἡ κοιλίη, ψυχρὴ ἐοῦσα, οὐ δύναται καταπέσσειν τὰ σιτία ἐν τῇ νυκτί. 7 ὁκόταν γοῦν κινηθῇ, ἐρυγγάνεται τὸν σῖτον ὠμόν. 8 δεῖ οὖν τούτῳ παρασκευάσαι τῇ κοιλίῃ θερμασίην, ἀπό τε τῆς διαίτης, ἀπό τε

lum multo majus postridie accedit. 9 Quum autem quotidie augescens fortius invaluerit, 10 id quod prius inest superingesta superat, 11 & calfacit ac perturbat corpus, 12 & profluvium ventris facit. 13 Sic enim nominatur, quandiu ipsum solum alimentum putrefactum secedit. 14 Ubi autem corpore calefacto purgatio acris fiat, 15 tunc & intestinum raditur ac exulceratur, 16 & sanguinolenta egeruntur. 17 hoc autem dysenteria, à mala intestinorum affectione appellatur, 18 morbus gravis & periculosus. 19 Sed providere oportet, 20 & prandium detrahere, 21 & coenae tertiam partem: 22 cursibus autem pluribus, 23 & luctis 24 ac deambulationibus uti, 25 tum ab exercitiis, 26 rum mane. 27 Quum vero dies decem praeterierint, 28 dimidium cibi detracti apponere, 29 ac vomitu uti, 30 atque sic ad dies quatuor cibum augendo exhibere: 31 ubi autem alii decem dies praeterierint, 32 etiam reliquum cibum apponere, 33 ac vomitum facere. 34 atque sic ad consuetum cibum reducens, 35 & talem laboribus confidenter premens ac urgens, 36 in hoc tempore sanum facies.

XX. Fit etiam talis repletio. 2 Postridie cibum eructant crudum, 3 citra ructum acidum. 4 Alvus autem egerit, pauciora quidem quam pro ratione ciborum, attamen multum. 5 Dolor verò nullus intus est. 6 His ventriculus frigidus existens, cibos in nocte concoquere non potest. 7 Quum igitur motus fuerit, cibum crudum eructat. 8 Oportet itaque huic praeparare ventriculi caliditatem, tum ex victu, tum ex

τε τῶν πόνων. [9] Καὶ πρῶτον μὲν οὖν χρὴ ἄρτῳ ξυγκομιστῷ χρέεσθαι ζυμίτῃ, [10] διαθρύπτοντα δὲ ἐς οἶνον μέλανα, [11] ἢ ζωμὸν ὑείων κρεῶν. [12] Τοῖσι δὲ ἰχθύσιν ἑφθοῖσιν ἐν ἅλμῃ δριμείῃ. [13] Χρέεσθαι μὲν καὶ τοῖσι σαρκώδεσιν, [14] οἷον ἀκροκωλίοισί τε διέφθοισι, [15] τοῖσιν οἰέοισι πλέοσι, [16] καὶ τοῖσιν ὑέοισιν ἑφθοῖσι, [17] τοῖσί τε χοιρέοισι μὴ πολλοῖσι, [18] καὶ σκυλάκων, [19] καὶ ἐρίφων. [20] λαχάνοισι δὲ πράσοισί τε καὶ σκορόδοισιν ἑφθοῖσι καὶ ὠμοῖσι, [21] βλίτῳ τε ἑφθῷ, [22] καὶ κολοκύντῃ. [23] πόμασί τε ἀκρητεστέροισιν. [24] ὕπνοισί τε μακροῖσι, [25] καὶ ἀναριστίῃσι τῇ πρώτῃ. [26] ὕπνοισί τε ἀπὸ τῶν γυμνασίων, [27] τοῖσί τε δρόμοισι καμπτοῖσι, [28] ἐξ ὀλίγου προστιθέντας. πάλῃ μαλακῇ ἐν ἐλαίῳ. [29] λουτροῖσί τε ὀλίγοισι. [30] χρίσμασί τε πλέοσι. [31] τοῖσί τε περιπάτοισι πρωῒ πλέοσιν. [32] ἀπὸ δείπνου δὲ ὀλίγοισι. [33] καὶ τὸ σῦκον μετὰ τῶν σιτίων ἀγαθὸν, [34] ἄκρητόν τε ἐπ' αὐτῷ. [35] Ἐκ δὲ ταύτης τῆς θεραπείης καθίσταται, τοῖσι μὲν θᾶσσον, τοῖσι δὲ βραδύτερον.

XXI. Ἄλλοι δέ τινες τοιάδε πάσχουσιν. [2] ἄχροοί τέ εἰσιν. [3] καὶ ἐπὴν φάγωσιν, ἐρυγγάνουσιν ὀλίγον ὕστερον ὀξέα. [4] καὶ ἐς τὰς ῥῖνας ἀνέρπει τὸ ὀξύ. [5] Τουτέοισι τὰ σώματα οὐ καθαρά ἐστιν. [6] ἀπὸ γὰρ τοῦ πόνου πλέον τὸ ξυντηκόμενον τῆς σαρκὸς, [7] ἢ τὸ ἀποκαθαιρόμενον ὑπὸ τῆς περιόδου. [8] ἐμμένον δὴ τοῦτο, ἐναντιοῦται τῇ τροφῇ, [9] καὶ βιάζεται, [10] καὶ ἀποξύνει. [11] ἡ μὲν οὖν τροφὴ ἐρυγγάνεται, [12] αὐτὸ δὲ ὑπὸ τὸ δέρμα ἐξωθέεται, [13] καὶ τὸν ἄνθρωπον ἄχροον ἐμποιέει, [14] καὶ νόσους ὑδρωποειδέας ἀποκυΐσκει. [15] ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε. [16] ἡ μὲν οὖν ταχίστη θεραπείη, ἐλλέβορον πίσαντα προσ-

ex laboribus. [9] Primum quidem igitur utendum est pane ex tota farina collata fermentato, [10] diffracto in vinum nigrum, [11] aut in jusculum suillæ carnis: [12] piscibus vero coctis in muria acri. [13] Utendum etiam carnosis, [14] velut extremitatibus percoctis, [15] & ovillis pluribus, [16] & suillis carnibus coctis, [17] & porcinis non multis, [18] & catulorum [19] ac hœdorum. [20] Ex oleribus vero porro & allio cocto ac crudo, [21] blitoque cocto [22] & cucurbita. [23] Potionibus vero meracioribus, [24] somnisque longis [25] citra prandium prima die, [26] itemque somnis ab exercitiis, [27] cursibus autem curvis [28] sensim accessione augescente, luctaque molli in oleo, [29] balneisque modicis, [30] & unguentis pluribus. [31] Mane etiam deambulationibus pluribus, [32] à cœna paucis. [33] Est & ficus cum cibis bona, [34] & meracum vinum ab ipsa. [35] Ex hac autem curatione aliis citius, aliis tardius repletio sedatur.

XXI. Alii porro quidam talia patiuntur. [2] Faciem decolorem habent, [3] & ubi comederint, paulo post eructant acida, [4] & acor in nares proserpit. [5] His corpora pura non sunt, [6] & plus est quod de carne colliquatur præ labore, [7] quam quod depurgatur præ circuitu. [8] Et hoc sane intus manens alimento contrarium est, [9] ipsumque violat [10] ac acidum facit. [11] Alimentum quidem igitur eructatur, [12] illud ipsum vero sub cutem expellitur, [13] & hominem decolorem facit, [14] & morbos similes aquæ inter cutem parit. [15] Verum providere oportet hoc modo. [16] Velocior quidem curatio est poto veratro, exhibere cibos, quemadmodum à me

προσδέχηται, ὥσπερ γέγραπταί μοι. [17] ἡ δὲ ἀσφαλεστέρη, ἀπὸ τῆς διαίτης, ὧδε. [18] πρῶτον μὲν λουσάμενον θερμῷ, ἔμετον ποιήσασθαι. [19] εἶτα προσδέχεσθαι, ἡμέρας ἀπὸ τοῦ ἐμέτου ἑπτὰ, τὸ σιτίον τὸ εἰθισμένον. [20] δεκάτῃ δὲ ἡμέρῃ ἀπὸ τοῦ ἐμέτου, αὖθις ἐμεσάτω, [21] καὶ προσαγέτω κατὰ τὰ αὐτά. [22] καὶ τὸ τρίτον ὡσαύτως ποιησάτω. [23] καὶ δρόμοις, τοῖσι μὲν τροχοῖσιν ὀλίγοισι καὶ ὀξέσι, [24] καὶ ἐν κινήμασι, [25] καὶ ἐντρίψει, [26] καὶ ἐν διατριβῇσι πολλῇσι χρεέσθω, [καὶ] ἐν τῷ γυμνασίῳ, [27] καὶ ἀλινδήσει. [28] χρεέσθω [δὲ καὶ] τοῖσι περιπάτοισι πολλοῖσιν ἀπὸ τῶν γυμνασίων, [29] πλὴν ἀπὸ τοῦ δείπνου. [30] πλείστοισι δὲ τοῖσιν ὀρθρίοισιν ἐκκεκονιμένοισι χρεέσθω. [31] ὁκόταν δὲ λούεσθαι θέλῃ, θερμῷ λουέσθω. [32] ἀνάριστος δὲ διατελεέτω τοῦτον τὸν χρόνον. [33] καὶ, ἢν μὲν ἐνὶ μηνὶ καθιστῶνται, θεραπευέσθω τὸ λοιπὸν τοῖσι προσήκουσιν. [34] ἢν δέ τι ὑπόλοιπον ᾖ, χρεέσθω τῇ θεραπείῃ.

XXII. Εἰσὶ δέ τινες, οἷσιν ἐς τὴν ὑστεραίην ὀξυρεγμίαι γίνονται. [2] τούτοισιν ἐν τῇ νυκτὶ ἡ ἀπόκρισις ἀπὸ τῆς πλησμονῆς γίνεται. [3] ὁκόταν οὖν κινηθῇ ἀπὸ τοῦ ὕπνου τὸ σῶμα, πυκνοτέρῳ τῷ πνεύματι χρησάμενον, [4] βιάζεται ἔξω ξὺν τῷ πνεύματι θερμόν τε καὶ ὀξύ, [5] καὶ ἐκ τούτου νοῦσοι γίνονται, ἢν μή τις προμηθέηται χρέεσθαι. [6] ξυμφέρει δὲ καὶ τουτέοισιν, ὥσπερ τῷ προτέρῳ, τὴν θεραπείην ποιήσασθαι. [7] τοῖσι δὲ πόνοισι πλείοσι χρὴ τούτους χρέεσθαι.

[8] Γίνεται δέ τισι καὶ τοιάδε. [9] ἐν τοῖσι πυκνοσάρκοισι τῶν σωμάτων, [10] ὅταν τὰ σιτία διαθερμαίνηται, καὶ διαχέηται, [11] καὶ ἀπὸ πρώτου ὕπνου θερμαινομένης τῆς σαρκὸς, [12] ὑπὸ τῶν σιτίων, [13] διὰ τοῦ ὕπνου ἀπόκρισις

à me ſcriptum eſt. [17] Verum tutior à diæta, hoc modo. [18] Primum quidem calida lotus vomitum faciat, [19] deinde ſeptem à vomitu diebus cibum conſuetum capiat: [20] decima autem à vomitu die rurſus vomat, [21] & ſimiliter cibum aſſumat, [22] & tertium ſimiliter faciat. [23] Et curſibus quidem circularibus paucis ac velocibus utatur, [24] & motibus, [25] ac frictione, [26] & mora longa in gymnaſio ac exercitio. [27] Utatur & volutatione in pulvere, [28] & deambulationibus multis ac exercitiis, [29] ſed & à cœna. [30] Plurimis autem matutinis in pulvere utatur. [31] Quum autem lavari vult, calida lavetur, [32] & eo tempore impranſus degat. [33] Et ſiquidem uno menſe reſtituitur, de cætero convenientibus curetur. [34] Si verò quid reliquum fuerit, medela utatur.

XXII. Sunt autem quidam quibus poſtridie ructus acidi fiunt. [2] His in nocte ſecretio præ repletione fit. [3] Quum igitur motum fuerit corpus ex ſomno, [4] denſiore ſpiritu uſum, [4] calidum ac acidum una cum ſpiritu foras expellit, [5] & ex hoc morbi fiunt, niſi quis providentia utatur. [6] Conducit autem etiam his facere velut priori. [7] Verum laboribus pluribus hos uti oportet.

[8] Quibuſdam etiam talia fiunt. [9] In corporibus denſa carne præditis, [10] quum cibi concaleſcunt ac diffunduntur, [11] & à primo ſomno, [12] & præ cibis carne caleſcente, [13] ſecretio per ſomnum fit à carne

κενεῶσι γίνεται ἀπὸ τῆς σαρκὸς πολλὴ ὑγρασίη. [14] ἔπειτα τὴν μὲν τροφὴν ἡ σὰρξ οὐ δέχεται, πυκνὴ ἐοῦσα. [15] τὸ δὲ ἀπὸ τῆς σαρκὸς ἀποκριθὲν, ἐναντιούμενον τῇ τροφῇ, [16] καὶ βιαζόμενον ἔξω, [17] πνίγει τὸν ἄνθρωπον, καὶ θερμαίνει, μέχρις οὗ ἐξεμέσῃ. [18] ἔπειτα κουφότερος ἐγένετο. [19] πόνος δὲ οὐδεὶς ἐν τῷ σώματι φανερός. [20] ἀχροίη δὲ αὐτῷ ἔνεστι. [21] προϊόντος δὲ τοῦ χρόνου, πόνοι τε γίνονται καὶ νοῦσοι. [22] πάσχουσι δὲ ταῦτα παραπλήσια καὶ ὁκόσοι ἀγύμναστοι ἐόντες, [23] ἐξαπίνης πονήσωσι, [24] σύντηξιν τῆς σαρκὸς βιαίαν καὶ πολλὴν ἐποιήσαντο.

XXIII. Χρὴ δὲ τοὺς τοιούτους ὧδε θεραπεύειν. [2] ἀφελεῖν τοῦ σίτου τὸ τρίτον μέρος. [3] τοῖσι δὲ σιτίοισι χρῆσθαι τοῖσι δριμέσι, καὶ ξηροῖσι, καὶ αὐστηροῖσι, καὶ εὐώδεσι, καὶ οὐρητικοῖσι. [4] τοῖσι δὲ δρόμοισι, τοῖσι μὲν πλείστοισι καμπτοῖσιν ἐν ἱματίῳ, [5] γυμνοῖσι δὲ τοῖσι διαύλοισι καὶ τοῖσι τροχοῖσι. [6] τρίψεσι δὲ καὶ πάλῃ ὀλίγῃ. [7] ἀκροχειρισμοῖσι δέ. [8] ἀκροχείριξις γὰρ ἢ κωρυκομαχίη, ξυμφορώτερον. [9] τοῖσι δὲ περιπάτοισιν ἀπὸ τῶν γυμνασίων πολλοῖσι, [10] καὶ τοῖσιν ὀρθρίοισι, καὶ ἀπὸ δείπνου. [11] ὁ δὲ τῆς φωνῆς πόνος μάλα ἐπιτήδειος. [12] κένωσιν γὰρ τοῦ ὑγροῦ ποιεύμενος, ἀραιοῖ τὴν σάρκα. [13] ξυμφέρει δὲ καὶ ἀνάριστον διάγειν. [14] χρῆσθαι δὲ τοῖσι σιτίοισιν, ἐν ἡμέρῃσι δέκα. [15] ἔπειτα προσθεῖναι τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος ἐς ἡμέρας ἕξ, [16] καὶ ἔμετον ποιήσασθαι. [17] ἑκάστου δὲ ἐμέτου προσαγαγεῖν ἐς ἡμέρας τέσσαρας τὸ σιτίον. [18] ὅταν δὲ ἡμέραι δέκα γένωνται ἀπὸ τοῦ ἐμέτου, κομισάσθω τὸ ἀφαιρεθὲν σιτίον ἅπαν. [19] τοῖσι δὲ πόνοισι καὶ τοῖσι περιπάτοισι προσ-

ne multæ humiditatis. [14] Deinde caro densa existens alimentum non suscipit. [15] Id vero quod à carne secretum est alimento contrarium [16] ac foras protrusum, [17] hominem suffocat ac calfacit, donec evomuerit. [18] Postquam autem levior factus est; [19] dolor nullus in corpore manifestus inest, [20] sed decoloratur. [21] Progressu vero temporis, & dolores, & morbi fiunt. [22] His consimilia patiuntur etiam qui inexercitati [23] derepente laboraverunt, [24] & colliquationem carnis violentam ac multam fecerunt.

XXIII. Hos autem sic curare oportet. [2] De cibo detrahenda est tertia pars. [3] Utendum autem cibis acribus, & siccis, & austeris, ac odoratis, & urinam cientibus. [4] Cursibus vero plurimis curvis in vestitu, [5] rectis autem revertentibus & circularibus, exutis vestibus, [6] frictione & lucta modici. [7] Micatio per summas manus commodior est quam follis. [9] Utendum & deambulationibus ab exercitiis multis, [10] itemque matutinis. [11] A cœna vero etiam vocis exercitatio valde commoda est: [12] humiditatis enim evacuationem faciens rarefacit carnem. [13] Conducit & impransum degere. [14] His autem cibis utendum est per dies decem, [14] deinde dimidium ablati apponendum est ad dies sex, [16] & vomitus faciendus: [17] ab unoquoque vero vomitu, ad dies quatuor sensim adjiciendo exhibendus est cibus. [18] Quum autem dies decem à vomitu transierint, omnem detractum cibum assumat, [19] laboribusque ac deambulationibus dedi-

σχέτω, [20] καὶ ὑγιὴς ἔσται. [21] ἡ δὲ τοιαύτη φύσις πόνε πλείονος δέεται ἢ σίτε.

XXIV. [1] Πάσχουσι δέ τινες καὶ τοιάδε. [2] Διαχωρέει τὸ σιτίον αὐτοῖσιν ὑγρὸν, ἄπεπτον, οἷον ἐκ λειεντερίης, [3] καὶ πόνον οὐδένα παρέχει. [4] πάσχουσι δὲ τοῦτο μάλιστα αἱ κοιλίαι, ὅσαι ὑγραί τε καὶ ψυχραί εἰσιν. [5] διὰ μὲν [γὰρ] τὴν ψυχρότητα, οὐ ξυνέψει. [6] διὰ δὲ τὴν ὑγρότητα, διαχωρέει. [7] τὸ δὲ σῶμα τρύχεται, τροφὴν οὐ λαμβάνον τὴν προσήκουσαν. [8] αἱ δὲ κοιλίαι διαφθείρονται, [9] ἐς νούσους τε ἐμπίπτουσιν, [10] ἀλλὰ χρὴ προμηθεῖσθαι. [11] ξυμφέρει δὲ τούτω, [12] τῶν μὲν σιτίων ἀφαιρέειν τὸ τρίτον μέρος. [13] ἔστω δὲ τὰ σιτία, ἄρτοι ἄζυμοι ξυγκομιστοὶ, κλιβανῖται, ἢ ἐγκρυφίαι, θερμοί. [14] ἐς οἶνον αὐστηρὸν ἐμβαπτόμενοι. [15] καὶ τῶν ἰχθύων τὰ νωτιαῖα, καὶ ὀραῖα. [16] τὰ δὲ κεφάλαια καὶ ὑπογάστρια ἐᾶν, ὡς ὑγρότερα. [17] καὶ τοὺς μὲν ἑφθοὺς, ἐν ἅλμῃ ἐσθίειν. [18] τοὺς δὲ ὀπτοὺς, ἐν ὄξει. [19] καὶ τοῖσι κρέασι τοῖσι ταριχευομένοισιν, ἐν ἁλσὶ καὶ ὄξει. [20] καὶ τοῖσι κυνείοισιν ὀπτοῖσιν, [21] καὶ φάττης, [22] καὶ τῶν λοιπῶν τοιούτων ὀρνίθων, [23] ὀπτοῖσι καὶ ἑφθοῖσι. [24] λαχάνοισι δὲ ὡς ἥκιστα. [25] οἴνῳ μέλανι. [26] καὶ τοῖσι περιπάτοισιν ἀπὸ τοῦ δείπνου, καὶ τοῖσιν ὀρθρίοισιν. [27] ἐκ τοῦ περιπάτου δὲ κοιμᾶσθαι. [28] δρόμοισι δὲ καμπτοῖσιν ἐκ προσαγωγῆς. [29] ἔστω δὲ καὶ τρίψις πολλὴ, [30] καὶ πάλη βραδείη, [31] καὶ ἐν τῷ ἐλαίῳ, [32] καὶ ἐν τῇ κόνι, [33] ὅκως διαθερμαινομένη ἡ σὰρξ ἀποξηραίνηταί τε, καὶ τὸ ὑγρὸν ἐκ τῆς κοιλίης ἀντισπᾷ. [34] ἀλείφεσθαι δὲ ξυμφέρει μᾶλλον ἢ λούεσθαι. [35] ἀκρατίσματι δὲ

Διά-

deditus sit, [20] & sanus evadet. [21] Talis autem natura copiosiore labore quam cibo opus habet.

XXIV. [1] Quidam etiam talia perpetiuntur. [2] Secedit ipsis cibus per alvum liquidus incoctus, velut ex intestinorum lævitate, [3] & dolorem nullum exhibet: [4] patiuntur autem hoc ventres maxime qui humidi ac frigidi sunt, [5] & propter frigiditatem quidem non concoquunt: [6] propter humiditatem vero secessus fit. [7] Corpus igitur contabescit, alimentum conveniens ac debitum non accipiens: [8] ventresque corrumpuntur, [9] & in morbos incidunt: [10] verum providere oportet. [11] Confert huic [12] de cibis tertiam partem auferre. [13] Sint autem cibi, panes non fermentati, ex tota farina collata, clibano cocti, aut subcinericii, calidi, [14] in vinum austerum tincti, [15] & piscium partes ex dorso ac cauda. [16] Verum capitales & sub ventre sinendæ sunt velut humidiores: [17] & coctos quidem pisces in muria edere oportet, [18] assatos autem in aceto. [19] Utendum etiam carnibus sale & aceto inveteratis, [20] & caninis assatis, [21] & de palombe [22] ac reliquis ejusmodi volucribus, [23] assatis ac coctis. [24] Oleribus vero minime. [25] Vino utendum est nigro, [26] & deambulationibus à cœna ac matutinis, [27] à deambulatione autem dormiat. [28] Cursibus vero curvis sensim accessione augescente utatur. [29] Sit & frictio multa, [30] & lucta tarda, [31] & in oleo, [32] & in pulvere, [33] quo caro concalescens resiccetur, & humiditatem ex ventre revellat. [34] Ungi autem magis conducit quam lavari, [35] Impransus vero

R. de-

διαγέτω. 36 ὁπόταν δὲ γένωνται ἡμέραι ἑπτὰ, παρατιθέσθω τὸ ἥμισυ τοῦ σίτου. 37 καὶ προσαγέσθω ἐς τέσσαρας ἡμέρας τὸν σῖτον, καὶ ἐμεέτω. 38 τῇ δὲ ἄλλῃ ἑβδόμῃ κομιζέσθω ἅπαν τὸ σιτίον, 39 καὶ ἐμέτον πάλιν ποιησάμενος, προσαγέσθω κατὰ ταὐτά.

XXV. Ἄλλοισι δέ τισι γίνεται τοιάδε. 2 τὸ διαχώρημα, ἄσηπτον διαχωρέει. 3 καὶ τὸ σῶμα τήκεται, τῶν σιτίων οὐκ ἐπαυρισκόμενον. 4 οὗτοι δὲ προϊόντος τοῦ χρόνου ἐμπίπτουσιν ἐς τὰς νούσους. 5 τουτέοισιν αἱ κοιλίαι ψυχραί τε καὶ ξηραί. 6 ὁκόταν γοῦν μήτε σιτίοισι προσήκουσι χρέωνται, 7 μήτε γυμνασίοισι, πάσχουσι τοιῶνδε. 8 ξυμφέρει δὲ τῷ τοιούτῳ, 9 ἄρτοισι τοῖσι καθαροῖσιν ἰπνίτῃσι χρέεσθαι, 10 καὶ τοῖσιν ἰχθύσιν ἑφθοῖσι [ξυν] ὑποτρίμμασι, 11 καὶ κρέασιν ἑφθοῖσιν ὑείοισι, 12 καὶ τοῖσιν ἀκροκωλίοισι διέφθοισι, 13 καὶ τοῖσι πλείστοισιν ὀπτοῖσι, 14 καὶ τῶν δριμέων καὶ τῶν γλυκέων τοῖσιν ὑγραίνουσι, 15 καὶ τοῖσιν ἁλμυροῖσιν. 16 οἴνοισι δὲ μέλασι μαλακοῖσι. 17 καὶ τῶν βοτρύων καὶ τῶν σύκων ἐμφορέεσθαι, ἔν τε τοῖσι σιτίοισι. 18 χρὴ δὲ καὶ ἀναριστῆν μικρόν. 19 τοῖσι δὲ γυμνασίοισι πλείοσι χρέεσθαι, 20 [καὶ] δρόμοισι καμπτοῖσιν ἐκ προσαγωγῆς· 21 ὑστάτοισι δὲ τροχοῖσι. 22 καὶ μετὰ τὸν δρόμον, πάλη σὺν ἐλαίῳ. 23 περιπάτοισι δὲ μὴ πολλοῖσιν ἀπὸ τῶν γυμνασίων. 24 ἀπὸ δὲ δείπνου, ὅσον ἐξαναστῆναι. 25 ὀρθρίοισι δὲ πλείοσι περιπάτοισι χρέεσθαι. 26 λουέσθω δὲ θερμῷ. 27 χρείσθω δὲ πόνοισι 28 καὶ χρίσμασιν. 29 ὕπνον δὲ πλείονα διδότω, 30 καὶ μαλακοευνείτω. 31 χρὴ δὲ καὶ ἀφροδισιάζειν τι, 32 τῶν δὲ σιτίων ἀφελεῖν τὸ τέταρτον μέρος, 33 ἐν ἡμέρῃσι δέκα, καὶ

degat. 36 Quum autem dies septem transierint, dimidium cibi apponatur, 37 & ad quatuor dies exhibeatur, & vomat. 38 Post alios vero septem dies, omnem cibum assumat: 39 & vomitu rursus facto, cibus eodem modo exhibeatur.

XXV. Quibusdam vero aliis talia fiunt. 2 Secessus non putrefactus per alvum abit, 3 & corpus contabescit cibis non fruens, 4 hi vero progressu temporis in morbos incidunt. 5 His ventres frigidi ac sicci sunt. 6 Quum itaque neque convenientibus cibis, 7 neque exercitiis utuntur, talia perpetiuntur. 8 Conducit autem sic affecto, 9 panibus puris furnaceis uti, 10 & piscibus coctis cum intritis, 11 & carnibus coctis suillis, 12 & extremitatibus percoctis, 13 & plurimis assatis, 14 & ex acribus ac salsis his quæ humectant 15 & salsuginosis. 16 Vinis autem nigris mollibus: 17 & inter cibos uvis ac ficubus impleri confert. 18 Oportet & modicum prandere, 19 & exercitationibus pluribus uti; 20 cursibusque curvis sensim crescentibus, 21 postremum autem cursibus circularibus, 22 & post cursum lucta cum oleo; 23 deambulationibus vero non multis ab exercitiis, 24 à cœna vero satis est exurgere. 25 Matutinis autem pluribus deambulationibus utatur. 26 Lavetur calida, 27 & utatur laboribus 28 ac unctionibus, 29 somnoque longiori indulgeat, 30 & molliter cubet. 31 Oportet & venere aliquo modo uti. 32 Verum de cibis quarta pars detrahenda est, 33 & post dies decem rursus ad con-

καὶ προσάγειν αὐτὸν πρὸς τὰ σιτία.

XXVI. Εἰσὶ δέ τινες, οἷσι τὸ διαχώρημα ὑγρὸν διαχωρέει καὶ σηπτόν. [2] τοῖσι δὲ ἄλλως ὑγιαίνουσι καὶ γυμναζομένοισιν, [1] οὐδένα πόνον παρέχει. [3] οἱ δέ τινες ἀποκλείονται τῶν προσηκόντων· [4] προϊόντος δὲ τοῦ χρόνου, τὰς σάρκας ἐπισπᾶται τῇ θερμασίῃ ἡ κοιλίη, [5] καὶ πόνον τε παρέχει, [6] καὶ τῶν σιτίων ἀποκλείονται, [7] ἥ τε κοιλίη ἐξελκοῦται. [8] στῆσαι δὲ χαλεπὸν ἤδη γίνεται αὐτήν. [9] ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι, [10] γνόντα τὴν κοιλίην θερμὴν καὶ ὑγρὴν παρὰ τὸ προσῆκον, [11] πόνων τε ὑπερβολὴν ἀξυμφόρων ἐγγενομένων. [12] τῇ μὲν διαίτῃ χρὴ ψύξαι καὶ ξηρᾶναι. [13] καὶ πρῶτον μὲν τὰ γυμνάσια ἀφελεῖν, [14] καὶ τῶν σιτίων τὸ τρίτον μέρος. [15] χρήσθω δὲ μάζῃ προφυρητῇ τρυγίῃ. [16] καὶ τοῖσιν ἰχθύσι, [17] τοῖσι ξηροτάτοισιν, ἑφθοῖσι, [18] μὴ λιπαροῖσι, [19] μὴ τε ἁλμυροῖσι. [20] χρήσθω δὲ ὀπτοῖσι κρέασι, τοῖσιν ὀρνιθίοισιν· [21] ἑφθοῖσι μὲν, φάττης [καὶ] περιστερῆς· [22] ὀπτοῖσι δὲ, περδίκων καὶ ἀλεκτρυόνων, [23] ἀνηδύντοισι· [24] λαγῴοισι δὲ, ἑφθοῖσιν ἐν ὕδατι· [25] καὶ τοῖσιν ἀγρίοισιν ἅπασι. [26] λαχάνοισι δὲ, ὅσα ψυκτικὰ, [27] οἷον τοῖσι τεύτλοισι καθεφθοῖσιν ὀξυροῖσι. [28] οἴνῳ δὲ μέλανι αὐστηρῷ. [29] γυμνασίοισι δὲ, τροχοῖσιν ὀξέσι. [30] τρίψις δὲ μὴ πολλὴ προσαγέσθω, ἀλλ' ὀλίγη, [31] μηδὲ πάλη. [32] ἀκροχείρησις, [33] καὶ χειρονομίη, [34] καὶ κωρυκομαχίη, [35] καὶ ἀλίνδησις [36] ἐπιτήδεια, ἀλλὰ μὴ πολλά. [37] περιπάτοισι δὲ χρήσθω καὶ ἀπὸ τῶν γυμνασίων ἱκανοῖσι πρὸς τὸν πόνον, [38] καὶ ἀπὸ τοῦ δείπνου πρὸς τὸ

consuetos cibos reducendus est.

XXVI. Sunt etiam quibus secessus liquidus ac putrefactus per alvum abit, [2] & qui alias sani sunt ac exercentur, nullum dolorem res exhibet. [3] Quibusdam vero excluduntur ea quæ conveniebant, [4] progressuque temporis venter per caliditatem carnes attrahit, [5] & dolorem exhibet, [6] & cibi excluduntur, [7] & venter exulceratur, [8] & ipsum sistere jam operosum ac difficile est. [9] Verum prius providere oportet, [10] ac nosse ventrem calidum ac humidum magis quam debet esse, [11] laborumque incommodorum excessum factum esse. [12] Per diætam igitur frigefacere ac siccare oportet, [13] & primum quidem exercitia ex dimidia parte detrahere, [14] & de cibis tertiam partem. [15] Utatur autem maza antea subacta, ac vino dulci emollita, [16] & piscibus [17] siccissimis coctis, [18] & neque pinguibus [19] neque salsis. [20] Utatur & carnibus assatis volucrium, [21] coctis quidem, palumbis ac columbæ, [22] assatis autem perdicum & gallorum, [23] citra condimenta: [24] leporinis vero coctis in aqua, [25] itemque ferinis omnibus. [26] Ex oleribus autem quæ frigefactoria sunt, [27] velut beta cocta acida. [28] Vino vero nigro austero. [29] Gymnasiis autem, cursibus circularibus velocibus: [30] verum frictio non multa adhibeatur, sed modica, [31] neque lucta. [32] Micatio per summas manus, [33] & manuum ad rythmum motus, [34] & follis, [35] & volutatio in pulvere, [36] commoda sunt, sed non multa, [37] Deambulationibus ab exercitiis utatur sufficientibus juxta laborem, [38] & à cœna pluribus,

τὰ σιτία πλείοσι· 39 καὶ πρωῒ, ξυμμέτρως πρὸς τὴν ἕξιν. 40 λουέσθω δὲ χλιερῷ, καὶ ἀτρεμεέτω. 41 οὕτω διαιτηθεὶς ἡμέρας δέκα 42 προσθέσθω τῶν τε σιτίων τὸ ἥμισυ, 43 καὶ τῶν πόνων τὸ τρίτον μέρος. 44 καὶ ἔμετον ποιησάσθω, ἀπὸ σιτίων ξηρῶν καὶ στρυφνῶν. 45 καὶ μὴ διατριβέτω ἐν τῷ σίτῳ, ἀλλὰ τὴν ταχίστην ἐμεέτω. 46 ἐκ δὲ τοῦ ἐμέτου προσαγέσθω ἐς ἡμέρας τέσσαρας τὸ σιτίον, καὶ τὸν πόνον μερίζων, 47 ὅταν δὲ ἡ δεκὰς τῶν ἡμερέων γένηται, προσθέσθω τὸν σῖτον λοιπὸν, 48 καὶ τῶν οἴνων τὸ πότιμον, 49 πλὴν τῶν πόνων ἐνδεέστερον. 50 καὶ ἔμετον ποιησάμενος, προσαγέσθω, καθότι καὶ γέγραπται. 51 μονοσιτέειν δὲ τοῦτον τὸν χρόνον ξυμφέρει, μέχρις ἂν καταστήσῃ.

XXVII. Ἄλλοισι δέ τισι, 1 ξηρόν τε καὶ διακεκαυμένον τὸ διαχώρημα γίνεται, 2 καὶ τὸ στόμα ξηρόν· 3 προϊόντος δὲ τοῦ χρόνου, καὶ πικρὸν γίνεται, 4 καὶ ἡ κοιλίη ἵσταται 5 καὶ ἡ οὔρησις. 6 ὅταν γὰρ μὴ ἔχῃ τὸ ἔντερον ὑγρασίην, περὶ τὸν ἀπόπατον 7 περιοιδῆσάν τι ἀποφράσσει τὰς διεξόδους, 8 ὀδύνην τε παρέχει, 9 καὶ θέρμη λαμβάνει, 10 καὶ, ὅ, τι ἂν πίῃ ἢ φάγῃ, ἐξεμέει· 11 τελευτῶν δὲ καὶ κόπρον ἐμέει. 12 οὗτος οὐ βιώσιμος, ὅταν ἐς τοῦτο ἔλθῃ. 13 ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι 14 γινώσκοντα, ὅτι ξηρῇ τῇ θέρμῃ κρατέεται ὁ ἄνθρωπος. 15 διαιτῆσαι δὲ ἂν χρὴ αὐτὸν, τῇ τε μάζῃ προφυρητῇ ῥαστῇ, 16 καὶ ἄρτῳ σιτανίων πυρῶν, 17 τῷ χυλῷ τῶν πιτύρων ἐζυμωμένῳ· 18 λαχάνοισί τε χρέεσθαι, 19 πλὴν τῶν δριμέων καὶ ξηρῶν, 20 καὶ ἑψανοῖσι. 21 καὶ τῶν ἰχθύων τοῖσι κουφοτάτοισιν ἑφθοῖσι. 22 καὶ τοῖσι κεφαλαίοισι τῶν

juxta cibum, 39 & mane moderate, juxta habitum. 40 Lavet autem tepida, ac quiescat. 41 Sic ubi in hac diæta transegit dies decem, 42 apponatur cibi dimidium, 43 & laborum tertia pars, 44 & vomitum faciat à cibis siccis & acerbis, 45 & in cibo ne moretur, sed quam celerrime vomat: 46 à vomitu ad dies quatuor & cibus, & labor partitus exhibeatur. 47 Ubi autem dies decem præterierint, reliquum cibi apponatur, 48 & vinum potabile, 49 verum labores pauciores: 50 & ubi vomitum fecit, cibus, velut scriptum est, exhibeatur. 51 Hoc vero tempore semel tantum in die cibum capere conducit, donec malum sedetur.

XXVII. Aliis porro quibusdam siccus & perustus secessus fit, 2 & os siccum, 3 & progressu temporis etiam amarum fit, 4 & alvus sistitur, 5 itemque urina. 6 Quum enim non habeat intestinum humiditatem circa excrementum, 7 intumescens transitus obturat, 8 & dolorem exhibet, 9 & calor occupat, 10 & quicquid biberit aut ederit homo, id ipsum revomit. 11 Postremum vero etiam stercus vomit. 12 atque hic non supervivet, quum ad hoc pervenerit. 13 Verum providere oportet, 14 ac nosse, quod caliditas & siccitas in homine prædominantur. 15 Victum igitur ipsi constituere oportet ex maza prius subacta respersa, 16 & pane ex tritico trimestri, 17 succo furfurum fermentato. 18 Oleribusque utendum, 19 exceptis acribus & siccis, 20 atque illis coctis, 21 & piscibus levissimis coctis, 22 & partibus capitalibus tum piscium,

τῶν ἰχθύων, 23 καὶ καρίδων, 24 μυῶν, 25 καὶ ἐχίνοισι, 26 καὶ τοῖσι καρκίνοισι, 27 καὶ τῶν κοχλίων τοῖσι χυλοῖσι, καὶ αὐτοῖσιν ὑγροτάτοισι. 28 κρέασι δὲ τοῖσιν ὑείοισι, 29 [καὶ] ἀκροκωλίοισιν ἐμπροσθίοισιν ἑφθοῖσι, 30 καὶ ἐρίφων, καὶ ἀρνῶν, καὶ σκυλάκων ποσὶ ἑφθοῖσιν. 31 ἰχθύων δὲ τοῖσι ποταμίοισι 32 καὶ λιμναίοισιν ἑφθοῖσιν. 33 οἴνῳ μαλακῷ ὑδαρεῖ. 34 τοῖσι δὲ πόνοισι μὴ πολλοῖσι, μηδὲ ταχέσι, 35 ἀλλ' ἡσύχοισι πᾶσι. 36 τοῖσι δὲ περιπάτοισι πρωῒ μὲν χρείσθω, πρὸς τὴν ἕξιν ἱκανοῖσι, 37 καὶ ἀπὸ γυμνασίων πόνων ξυμμέτροισιν. 38 ἀπὸ δείπνου δὲ μὴ περιπατείτω. 39 λουτροῖσι δὲ χρείσθω, 40 καὶ ὕπνοισι μαλακοῖσι, 41 καὶ ἀρίστῳ, 42 ὕπνῳ τε μετὰ τὸ ἄριστον, οὐ μακρῷ. 43 ὀπώρῃ τε τῇ ὑγραινούσῃ μετὰ τῶν σιτίων χρείσθω, 44 καὶ τοῖσιν ἐρεβίνθοισι τοῖσι χλωροῖσι, 45 καὶ ξηροῖσι βρέξας ἐν ὕδατι. 46 ἀφελέσθω δὲ τῶν πόνων τῶν πρόσθεν τοὺς ἡμίσεας. 47 καὶ οὗτος ἐξ ἀρχῆς ἔμετον ποιησάσθω ἀπὸ γλυκέων καὶ λιπαρῶν καὶ ἁλμυρῶν καὶ πλειόνων. 48 ἐνδιατριβέτω δὲ τέως πλεῖστον χρόνον ἐν τοῖσι σιτίοισι πρὸς τοὺς ἐμέτους. 49 εἶτα προσαγέτω τὸ σιτίον ἐς ἡμέρας τρεῖς, 50 μηδὲ ἀνάριστος ἔστω. 51 ὁκόταν δὲ ἡμέραι δέκα γένωνται, τῶν πόνων προσαγέτω πλείονας, 52 κἢν μὲν ἔν τινι πλησμονὴ ἐνῇ, καὶ ἀπὸ σιτίων ἢ τῆς κοιλίης πλημμέλεια, ἐμεσάτω. 53 εἰ δὲ μὴ, οὕτω θεραπευέσθω τὸν ἐπίλοιπον χρόνον.

XXIIX. Γίνεται δὲ καὶ τοιάδε. 2 φρίκαι ἀπὸ τῶν περιπάτων ἐγγίνονται τῶν ὄρθρου, 3 καὶ τῆς κεφαλῆς βαρύνεται. 4 τούτῳ πλείονες οἱ περίπατοι τῆς ξυμμετρίης. 5 κενούμενον γὰρ τὸ σῶμα καὶ ἡ κεφαλὴ τοῦ ὑγροῦ, φρίσσει καὶ

piscium, 23 tum locustarum, 24 & mitylis, 25 & erinaceis, 26 & cancris, 27 & conchyliorum succis, ipsisque liquidissimis. 28 Carnibus autem suillis, 29 & extremitatibus anterioribus coctis, 30 & hœdorum & agnorum ac catulorum coctis. 31 Piscium vero fluviatilium 32 ac in stagnis degentium coctis. 33 Vino molli aquoso. 34 Laboribus autem utendum est non multis, neque velocibus, 35 sed omnibus quietis. 36 Deambulationibus vero mane utatur, juxta habitum sufficientibus, 37 & ab exercitiis laboribus, moderatis: 38 à cœna vero ne deambulet. 39 Balneis utatur 40 & somnis mollibus, 41 & prandio, 42 & somno à prandio non longo. 43 Pomis etiam humectantibus una cum cibis utatur, 44 & cicere viridi, 45 ac sicco in aqua macerato. 46 De laboribus vero prioribus dimidium detrahat 47 etiam hic à principio, & vomitum faciat à dulcibus & pinguibus ac salsis, hisque plurimis: 48 moretur autem plurimum tempus in cibis usque ad vomitum. 49 Deinde cibum exhibeat ad triduum, 50 & non maneat impransus. 51 Quum vero dies decem præterierint, labores sensim adjiciendo augeat: 52 &, siquidem repletio inerit à cibo, aut ventris vitio, vomat: 53 sin minus, sic reliquo tempore curetur.

XXIIX. Fiunt insuper etiam talia. 2 Horrores à deambulationibus matutinis accedunt, 3 & caput gravatur. 4 Huic plures fiunt deambulationes quam modus requirit. 5 Corpus enim & caput humore evacuatum horret

καὶ βαρύνεται. [6] προϊόντος δὲ τοῦ χρόνου, ἐς πυρετὸν ἀφικνέεται φρικώδεα. [7] ἀλλ' οὐ χρὴ περιϊδεῖν ἐς τοῦτο, ἀλλ' ἐκθεραπεύεσθαι πρότερον ὧδε. [8] ὁπόταν γένηται πρῶτον τῶν τεκμηρίων 15 τι, χρισάμενον καὶ ἀνατριψάμενον ὀλίγα, [9] τὸ ἄριστον ποιήσασθαι πλεῖον τοῦ εἰθισμένου, [10] καὶ πιεῖν ἱκανὸν οἶνον μαλακόν, [11] εἶτα ὕπνῳ χρήσασθαι ἀπὸ τοῦ ἀρίστου ἱκανῶς. [12] ἐς δὲ τὴν ἑσπέρην κούφοισι χρησάμενον γυμνασίοισι, [13] θερμῷ τε λουσάμενον, [14] δειπνῆσαι τὸ εἰθισμένον. [15] περιπάτοισι δὲ μὴ χρέεσθαι ἀπὸ δείπνου, [16] διαλείπειν δὲ χρόνον. [17] τῇ 51 δὲ ὑστεραίῃ ἀπολουέσθω ἐν τῷ ὕδατι. [18] ἐν ὕπνοισί τε μαλακοῖσι διαγέτω· [19] ἡμέρῃσι δὲ πέντε τοὺς 52 πόνους προσαγέσθω κατὰ μικρόν.

XXIX. Εἰσὶ δέ τινες, οἳ φρίσσουσιν 20 ἐκ τῶν γυμνασίων, [2] καὶ ἐπειδὰν ἐκδύηται, μέχρις ἂν διαγωνίσηται. 53 [3] ὅταν δὲ ψύχηται, πάλιν φρίσσει, [4] βρυγμός τε τὸ σῶμα ἔχει, [5] ὑπνώσσει τε. [6] ὅταν δὲ ἐξέγρηται, χασμᾶται πολλάκις. [7] ἐκ δὲ τοῦ δείπνου τὰ βλέφαρα βαρέα αὐτῷ. [8] προϊόντος δὲ τοῦ χρόνου, καὶ πυρετοὶ ἐπιγίνονται φαῦλοι. [9] φυλάσσεσθαι οὖν χρή, μηδὲ περιϊδεῖν ἐς τοῦτο, ἀλλ' ἐκθερα- 54 πεύεσθαι πρότερον ὧδε. [10] πρῶτον μὲν τῶν γυμνασίων ἀφελέσθω πάντων τὰ ἡμίσεα. [11] τοῖσι δὲ σιτίοισιν ἅπασι χρεέσθω ὑγροτέροισί τε καὶ 25 ψυχροτέροισι, [12] καὶ τοῖσι πόμασι μαλακωτέροισι καὶ ὑδαρεστέροισιν. [13] ὅταν δὲ παρέλθωσιν ἡμέραι πέντε, τῶν πόνων προσθέσθω τὸ τρίτον μέρος τῶν ἀφαιρεθέντων. [14] τοῖσι δὲ σιτίοισι χρεέσθω τοῖσιν αὐτοῖσι. [15] πέμπτῃ δὲ ἡμέρῃ ἄλλῃ, τοὺς ἡμίσεας τῶν λοιπῶν πόνων προσθέσθω. [16] αὖθις δὲ πέμπτῃ, μετὰ τοῦτο ἀπό-

δο-

ac gravatur. [6] Progressu vero temporis ad febrem perveniunt horrores. [7] Sed non hucus- 350 que differre oportet, verum prius curare hoc modo. [8] Quamprimum aliqua signa apparuerint, unctus ac frictus modice [9] prandium amplius solito faciat, [10] & vinum multum bibat molle, [11] deinde somno utatur à prandio sufficienter: [12] ad vesperam vero ubi exercitiis levibus usus est, [13] calidaque lotus, [14] consueto more cœnet: [15] deambulationibus autem à cœna ne utatur, [16] verum ad tempus differat. [17] Postridie in a- 355 qua laveur, [18] & somnis mollibus tempus transigat. [19] Et per dies quinque paulatim ad consuetos cibos ac labores procedat.

XXIX. Sunt autem quidam qui horrent ex gymnasiis, [2] & quum se exuunt donec decertent: [3] ubi vero perfrigerati sunt, rursus horrent, [4] & stridor dentium tremulus corpus occupat, [5] somnoque talis gravatur. [6] Ubi autem expergiscitur, sæpe oscitat, [7] & à cœna palpebræ ipsi graves sunt: [8] progressu vero 360 temporis etiam febres malignæ accedunt. [9] Verum cavere oportet, & non hucusque differre, sed prius curare hoc modo. [10] Primum quidem ab omnibus exercitiis dimidium auferatur. [11] Cibis vero omnibus humidioribus ac frigidioribus utatur, [12] & potibus mollioribus ac dilutioribus. [13] Ubi vero præterierint dies quinque, tertia pars laborum ablatorum apponatur: [14] cibis vero iisdem utatur. [15] Post alios autem quinque dies, di- 365 midium reliquorum laborum apponatur. [16] Et rursus post alios

quin-

θω τοὺς πόνους πάντας, 17 καὶ κουφοτέρους τε καὶ ἐλάσσονας, 18 ὡς μὴ πάλιν ὑπερβολὴ γένηται. 19 τοῖσι γὰρ πάσχουσι ταῦτα τὰ τεκμήρια, οἱ πόνοι κρέσσους εἰσὶ τῶν σιτίων. 20 ἀνισάζειν οὖν χρή.

XXX. Ἔνιοι δὲ οὐ πάντα πάσχουσιν, 2 ἀλλὰ τὰ μὲν, τὰ δ' οὔ. 3 πάντων δὲ τουτέων τῶν τεκμηρίων, οἱ πόνοι κρατέουσι τῶν σιτίων, 4 καὶ ἡ θεραπείη ἡ αὐτή. 5 ξυμφέρει δὲ τουτέοισι θερμολουτέειν, 6 καὶ μαλακῶς εὐνάζεσθαι. 7 μεθυσθῆναι δὲ ἅπαξ ἢ δὶς, 8 πλὴν ἀλλὰ μὴ ἐς ὑπερβολήν. 9 ἀφροδισιάσαι τε, ὅταν ἐπιγένηται, 10 [καὶ] ῥαθυμῆσαι πρὸς τοὺς πόνους. 11 περιπάτους δὲ μὴ ποιῆσαι ὅλως.

quinque omnes labores 17 & leviores & pauciores reddito, 18 ut ne rursus excessus fiat. 19 Nam his qui hæc signa perpetiuntur, labores majores sunt quam cibi. 20 Adæquare igitur hæc oportet.

XXX. Quidam vero non hæc patiuntur, 2 sed aliqua ex his, aliqua vero non. 3 In omnibus autem his signis, labores superant cibos, 4 & curatio eadem est. 5 Et confert his calida lavare, 6 ac molliter cubare, 7 & semel atque iterum inebriari, 8 verum non usque ad excessum, 9 & venere uti, ubi excessus contigerit, 10 & segnem esse ad labores. 11 Deambulationes autem in totum non sunt faciendæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΦΥΣΙΟΣ ΑΝΘΡΩΠΟΥ.

Basil. græc. Foesius sect. III. 3. 224.

Ὅστις μὲν εἴωθεν ἀκούειν λεγόντων ἀμφὶ τῆς φύσιος τῆς ἀνθρωπίνης 2 προσωτέρω ἢ ὁκόσον αὐτέης ἐς ἰητρικὴν ἀφήκει, 3 τουτέῳ μὲν οὐκ ἐπιτήδειος ὅδε ὁ λόγος ἀκούειν. 4 οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, 5 οὔτε πῦρ, 6 οὔτε ὕδωρ, 7 οὔτε γῆν, 8 οὔτ' ἄλλο οὐδὲν, ὅ, τι μὴ φανερόν ἐστιν ἓν ἐὸν ἐν τῷ ἀνθρώπῳ· 9 ἀλλὰ τοῖσι βουλομένοισι ταῦτα λέγειν παρίημι. 10 δοκέουσι δέ μοι οὐκ ὀρθῶς γινώσκειν οἱ τὰ τοιαῦτα λέγοντες. 11 γνώμῃ μὲν γὰρ τῇ αὐτῇ πάντες χρέονται, λέγουσι δὲ οὐ ταὐτά, 12 ἀλλὰ τῆς μὲν γνώμης τὸν ἐπί-

HIPPOCRATIS DE NATURA HUMANA.

Basil. lat.

Quicunque de natura humana amplius differentes audire consuevit, 2 quam ejus ad medicinam pertinet, 3 huic non est commodum hunc meum sermonem audire. 4 Neque enim omnino ex toto aërem dico hominem esse, 5 neque ignem, 6 neque aquam, 7 neque terram, 8 neque quicquam aliud, quia non manifestum est unum in homine esse, 9 sed volentibus tamen hæc dicere permitto. 10 At vero talia dicentes mihi non recte rem cognoscere videntur. 11 Sententiam enim eandem omnes ineunt, verum non eadem dicunt, sententiæ tamen epilogum eun-

ἐπίλογον δὲ τὸν αὐτὸν ποιέονται. [12] φασὶ γὰρ ἕν τι εἶναι, ὅ, τι ἐστὶ, [13] καὶ τοῦτ' εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν. [14] κατὰ δὲ τὰ ὀνόματα οὐχ ὁμολογέουσι. [15] λέγει δὲ αὐτέων ὁ μέν τις, ἠέρα τοῦτ' εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν· [16] ὁ δὲ, πῦρ· [17] ὁ δὲ, ὕδωρ· [18] ὁ δὲ, γῆν· [19] καὶ ἐπιλέγει ἕκαστος τῷ ἑωυτοῦ λόγῳ μαρτύριά τε καὶ τεκμήρια, ἅ γε ἐστὶν οὐδέν. [20] ὅτι γὰρ τῇ μὲν αὐτῇ γνώμῃ πάντες προσχρέονται, λέγουσι δὲ οὐ τὰ αὐτὰ, δῆλον, ὅτι οὐδὲ γινώσκουσιν αὐτά. [21] γνοίη δ' ἄν τις τόδε μάλιστα παραγενόμενος αὐτοῖσιν ἀντιλέγουσι. [22] πρὸς γὰρ ἀλλήλους ἀντιλέγοντες οἱ αὐτοὶ ἄνδρες, τῶν αὐτέων ἐναντίον ἀκροατέων, οὐδέποτε τρὶς ἐφεξῆς ὁ αὐτὸς ἄνθρωπος περιγίνεται ἐν τῷ αὐτῷ λόγῳ, [23] ἀλλὰ ποτὲ μὲν οὗτος ἐπικρατέει, ποτὲ δὲ οὗτος, ποτὲ δὲ, [24] ᾧ ἂν τύχῃ μάλιστα ἡ γλῶσσα ἐπιῤῥυεῖσα πρὸς τὸν ὄχλον. [25] καίτοι δίκαιόν ἐστι, τὸν φάντα ὀρθῶς γινώσκειν ἀμφὶ τῶν πρηγμάτων, παρέχειν αἰεὶ ἐπικρατέοντα τὸν λόγον τὸν ἑωυτοῦ, [26] εἴπερ ἐόντα γινώσκει, καὶ ὀρθῶς ἀποφαίνεται. [27] ἀλλ' ἐμοί γε δοκέουσιν οἱ τοιοῦτοι ἄνθρωποι σφᾶς αὐτοὺς καταβάλλειν ἐν τοῖσιν ὀνόμασι τῶν λόγων αὐτέων, ὑπὸ ἀσυνεσίης· [28] τὸν δὲ Μελίσσου λόγον ὀρθοῦν. [29] περὶ μὲν οὖν τούτων ἀρκεῖ μοι τὰ εἰρημένα.

II. Τῶν δὲ ἰητρῶν οἱ μέν τινες λέγουσιν, [2] ὡς ὁ ἄνθρωπος αἷμα μοῦνόν ἐστιν· [3] οἱ δ' αὐτέων, χολήν φασιν εἶναι τὸν ἄνθρωπον· [4] ἔνιοι δέ τινες, φλέγμα. [5] ἐπίλογον δὲ ποιέονται καὶ οὗτοι πάντες τὸν αὐτόν. [6] ἓν γάρ τι εἶναί φασι τὸν ἄνθρωπον, ὅ, τι ἕκαστος ἐθέλησεν ὀνομάσαι αὐτέων· [7] καὶ τοῦτο ἓν ἐὸν μεταλλάσσειν τὴν ἰδέην καὶ τὴν δύναμιν, ἀναγ-

eundem faciunt. [12] Ajunt enim unum quid esse, quodcunque tandem est, [13] & id ipsum esse unum ac totum, [14] juxta nomina autem non consentiunt. [15] Etenim alius ex ipsis aërem esse, hec unum ac totum dicit, [16] alius ignem, [17] alius aquam, [18] alius terram: [19] & addit unusquisque ad sermonem suum testimonia ac signa, quæ nullius momenti existunt. [20] Quia enim eadem sententia omnes utuntur, dicunt autem non eadem, manifestum facit, quod neque cognoscunt ipsi. [21] quod ex eo vel maxime quis cognoverit, qui ipsorum disceptationibus interfuerit. [22] Nam quum iidem viri inter se disceptant, iisdem auditoribus præsentibus, nunquam ter consequenter idem homo vincit in eodem sermone: [23] sed modo hic, modo alius superat, [24] cuicunque fuerit lingua maxime fluida ac populo grata. [25] Atqui justum erat, ut is qui de rebus se recte cognoscere pronunciaret, semper sermonem suum victorem statueret, [26] siquidem vera cognosceret, ac recte sentiret ac judicaret. [27] Verum hujusmodi homines videntur mihi seipsos oppugnare in verbis sermonum suorum, præ stultitia, [28] & Melissi sermonem approbare. [29] De his igitur sufficiunt mihi quæ retuli.

II. At vero ex Medicis quidam dicunt, [2] quod homo sanguis solum est, [3] alii ex ipsis bilem ajunt hominem esse, [4] aliqui pituitam: [5] epilogum autem & ipsi omnes eundem faciunt. [6] Unum enim quid esse dicunt, quodcunque cuique ipsorum nominare visum est, [7] & id ipsum unum existens, speciem ac vim trans-

μὴ θερμαινόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, 8 καὶ γίνεται καὶ γλυκὺ, καὶ πικρὸν, καὶ λευκὸν, καὶ μέλαν, καὶ παντοῖόν τι ἄλλο. 9 ἐμοὶ δ' οὐδὲ ταῦτα δοκεῖ ὧδε ἔχειν. 10 οἱ μὲν οὖν πλεῖστοι τοιαῦτά τινα, καὶ ἔτι ἐγγύτατα τούτων ἀποφαίνονται. 11 ἐγὼ δέ φημι, εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτ' ἂν ἤλγεεν. 12 οὐδὲ γὰρ ἂν ἦν, ὑπό του ἀλγήσειεν ἓν ἐόν. 13 εἰ δ' οὖν καὶ ἀλγήσειε, ἀνάγκη καὶ τὸ ἰώμενον ἓν εἶναι. 14 νυνὶ δὲ πολλά. 15 πολλὰ γάρ ἐστιν ἐν τῷ σώματι ἐόντα, ἃ ὁκόταν ὑπ' ἀλλήλων παρὰ φύσιν θερμαίνηταί τε καὶ ψύχηται, καὶ ξηραίνηταί τε καὶ ὑγραίνηται, νούσους τίκτει. 16 ὥστε πολλαὶ μὲν ἰδέαι τῶν νοσημάτων, 17 πολλὴ δὲ καὶ ἡ ἴησις αὐτέων ἐστίν.

III. Ἀξιῶ δ' ἔγωγε τὸν φάσκοντα αἷμα εἶναι μοῦνον τὸν ἄνθρωπον καὶ ἄλλο μηδὲν, 2 δεικνύειν αὐτὸν μὴ μεταλλάσσοντα τὴν ἰδέην, μηδὲ γίνεσθαι παντοῖον· 3 ἀλλ' ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ, ἢ τῆς ἡλικίης τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἐνεὸν φαίνεται μοῦνον ἐν τῷ ἀνθρώπῳ. 4 εἰκὸς γὰρ εἶναι μίαν τινὰ ὥρην, ἐν ᾗ φαίνεται αὐτὸ ἐν ἑωυτῷ ἓν ἐόν. 5 τὰ αὐτὰ δὲ λέγω καὶ περὶ τοῦ φάσκοντος φλέγμα εἶναι· καὶ περὶ τοῦ χολὴν φάσκοντος. 6 ἐγὼ μὲν γὰρ ἀποδείξω, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι, καὶ κατὰ νόμον, καὶ κατὰ φύσιν, 7 ἀεὶ ταῦτα ἐόντα ὅμοια, καὶ νέου ἐόντος, καὶ γέροντος, καὶ τῆς ὥρης ἐούσης καὶ ψυχρῆς καὶ θερμῆς· 8 καὶ τεκμήρια παρέξω, καὶ ἀνάγκας ἀποφανῶ, δι' ἃς ἕκαστον αὔξεταί τε καὶ φθίνει ἐν τῷ σώματι.

IV. Πρῶτον μὲν οὖν ἀνάγκη, τὴν γένεσιν αὐτέων γίνεσθαι μὴ ἀφ' ἑνός. 2 πῶς γὰρ ἄν γ' ἓν ἐόν, γεν-

transmutare, coactum à calido ac frigido, 8 fierique & dulce, & amarum, & album, & nigrum, & omnigenum quid aliud. 9 Mihi vero neque hæc sic se habere videntur. 10 Plurimi quidem igitur talia quædam, & amplius his proxima pronunciant. 11 Ego autem dico, si unum esset homo, nunquam sane doleret. 12 Neque enim esset unde doleret unum existens. 13 Si vero etiam doleret, necesse esset & quod mederetur ac sanaret, unum esse. 14 Nunc vero plura sunt. 15 Multa enim sunt in corpore existentia, quæ quum mutuo præter naturam calfiunt & frigefiunt, siccanturq́, & humectantur, morbos pariunt. 16 Quare multæ quidem species morborum sunt, 17 multæque etiam medela ipsorum existit.

III. Atque ego sane censeo eum, qui hominem sanguinem solum esse dicit, & nihil aliud, 2 demonstrare debere, ipsum non transmutare speciem, neque omnigenum fieri, 3 vel saltem horam aliquam anni, aut hominis ætatem, in qua sanguis solus in homine inesse appareat. 4 Verisimile est enim unum aliquod esse tempus, in quo appareat ipsum in seipso unum existens. 5 Eadem censeo etiam de eo, qui pituitam solam esse dicit, & qui bilem. 6 Ego enim demonstrabo ea quæ hominem esse dixero, & iuxta receptum morem, & iuxta naturam, 7 quod semper ea ipsa similia sint, & in iuvene, & in sene, & tempore frigido æque ac calido. 8 Exhibebo insuper signa, & necessitates ostendam, per quas unumquodque augescit ac minuitur in corpore.

IV. Primum quidem igitur necesse est generationem fieri non ab uno. 2 Quomodo enim unum

τοιοῦτο γενήσεσθαι, εἰ μή τινι μιχθείη; [3] ἔπειτα οὐδὲ, αὖ μὴ ὁμόφυλα ἐόντα μίσγηται, καὶ τὴν αὐτὴν ἔχοντα δύναμιν, γένοιτ', οὐδ' αὖ ταῦτα ἡμῖν ξυντελέοιτο. [4] Καὶ πάλιν, εἰ μὴ τὸ θερμὸν τῷ ψυχρῷ, καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως πρὸς ἄλληλα ἕξει καὶ ἴσως, [5] ἀλλὰ θάτερον θατέρου πολὺ προέξει, καὶ τὸ ἰσχυρότερον τοῦ ἀσθενεστέρου, ἡ γένεσις οὐκ ἂν γένοιτο. [6] ὥστε πῶς εἰκὸς ἀπὸ ἑνός τι γεννηθῆναι; [7] ὅπου γε οὐδ' ἀπὸ τῶν πλειόνων γεννᾶται, ἢν μὴ τύχῃ καλῶς ἔχοντα τῆς κρήσιος τῆς πρὸς ἄλληλα. [8] ἀνάγκη τοίνυν, τῆς φύσιος τοιαύτης ὑπαρχούσης, καὶ τῶν ἄλλων ἁπάντων, καὶ τῆς τοῦ ἀνθρώπου, μὴ ἓν εἶναι τὸν ἄνθρωπον, [9] ἀλλ' ἕκαστον τῶν ξυμβαλλομένων ἐς τὴν γένεσιν, ἔχειν τινὰ δύναμιν ἐν τῷ σώματι, οἵηνπερ ξυνεβάλετο.

V. Καὶ πάλιν γε ἀνάγκη ἀποχωρέειν ἐς τὴν ἑωυτοῦ φύσιν ἕκαστον, τελευτῶντος τοῦ ἀνθρώπου, [2] τό, τε ὑγρὸν πρὸς τὸ ὑγρὸν, καὶ τὸ ξηρὸν πρὸς τὸ ξηρὸν, καὶ τὸ θερμὸν πρὸς τὸ θερμὸν, καὶ τὸ ψυχρὸν πρὸς τὸ ψυχρόν. [3] τοιαύτη δὲ καὶ τῶν ζώων ἐστὶν ἡ φύσις, καὶ τῶν ἄλλων πάντων. [4] γίνεταί τε ὁμοίως πάντα, [5] καὶ τελευτᾷ ὁμοίως πάντα. [6] ξυνίσταται γὰρ αὐτέων ἡ φύσις ἀπὸ τουτέων τῶν προειρημένων πάντων. [7] καὶ τελευτᾷ, κατὰ τὰ εἰρημένα, ἐς τὸ αὐτὸ, [8] ὅθεν περ ξυνέστη ἕκαστον, ἐς τοῦτο καὶ ἀπεχώρησε. [9] τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν ἑωυτῷ αἷμα, καὶ φλέγμα, καὶ χολὴν διπλῆν, ξανθήν τε καὶ μέλαιναν. [10] καὶ ταῦτ' ἐστὶν αὐτέων ἡ φύσις τοῦ σώματος, καὶ διὰ ταῦτα ἀλγέει καὶ ὑγιαίνει.

VI. Ὑγιαίνει μὲν οὖν μάλιστα, ὅταν

unum existens, aliud quid generarit, si non alicui misceatur. [3] Deinde neque generarint, si non ejusdem generis existentia misceantur, & quæ eandem vim habeant, neque sane nobis similia perficerentur. [4] Et rursus, Si non calidum ac frigidum, & siccum ac humidum, moderate ac æqualiter inter se haberent, [5] sed alterum alterum multum præcelleret, & fortius debiliore præstaret, generatio fieri non posset. [6] Proinde quomodo verisimile est, ab uno quid generari, [7] quum neque à pluribus generetur, nisi habuerint temperamentum inter se probe conveniens? [8] Necesse itaque est, tali existente natura, cum aliorum omnium, tum humana, non unum esse hominem, [9] sed singula quæ ad generationem ejus conferunt, vim quandam in corpore habere, eam videlicet quam contribuerunt.

V. Et rursus necesse est secedere singula in suam ipsorum naturam, homine moriente, [2] humidum nimirum ad humidum, siccum ad siccum, calidum ad calidum, frigidum ad frigidum. [3] Talis autem & animalium est natura, & aliorum omnium, [4] generanturque similiter omnia, [5] & occidunt similiter omnia. [6] Constat enim natura ipsorum ex his prædictis omnibus, [7] & desinit juxta prædicta, [8] in id unumquodque unde est compactum secedens. [9] At vero corpus hominis habet in seipso sanguinem, & pituitam, & bilem duplicem, flavam videlicet & nigram. [10] atque hæc sunt ipsi corporis natura, & per hæc & ægrotat, & sanus est.

VI. Sanus equidem maxime est,

21 ὅταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα κρήσιός τε καὶ δυνάμιος καὶ τοῦ πλήθεος, [2] καὶ μάλιστα, ἢν μεμιγμένα ᾖ. [3] Ἀλγέει δὲ, ὁκόταν τι τουτέων ἔλασσον ἢ πλέον εἴη, [4] ἢ χωρισθῇ ἐν τῷ σώματι, καὶ μὴ κεκρημένον ᾖ τοῖσι ξύμπασιν. [5] Ἀνάγκη γὰρ, ὁκόταν τι τουτέων χωρισθῇ, καὶ ἐφ' ἑωυτοῦ στῇ, [6] ἔνθεν τε ἐξέστηκεν οὐ μόνον τοῦτο τὸ χωρίον νοσερὸν γίνεσθαι, [7] ἀλλὰ καὶ, ἔνθα αὖ στῇ, [8] καὶ ἐπιχυθῇ ὑπερπιμπλάμενον, ὀδύνην τε καὶ πόνον παρέχειν.

VII. Καὶ γὰρ ὅταν τι τουτέων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει ἡ κένωσις. [2] Ἤν τ' αὖ ταῦτα πάλιν ποιήσηται εἴσω τὴν κένωσιν, [3] καὶ τὴν μετάστασιν, [4] καὶ τὴν ἀπόκρισιν ἀπὸ τῶν ἄλλων, [5] πολλὴ αὐτέῳ ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, [6] ἔνθεν τε ἐξέστη, καὶ ἔνθα ὑπερέβαλεν. [7] Εἶπον δὴ, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι, ἀποφανεῖν αἰεὶ ταῦτα ἐόντα, καὶ κατὰ νόμον, καὶ κατὰ φύσιν.

IIX. Φημὶ δὴ εἶναι αἷμα, καὶ φλέγμα, καὶ χολὴν, ξανθήν τε καὶ μέλαιναν. [2] Καὶ τουτέων πρῶτον μὲν κατὰ νόμον καὶ τὰ ὀνόματα διωρίσθαι φημὶ, καὶ οὐδενὶ αὐτέων τὸ ὠυτὸ ὄνομα εἶναι. [3] Ἔπειτα τὰς ἰδέας κατὰ φύσιν κεχωρίσθαι, καὶ οὔτε τὸ φλέγμα οὐδὲν ἐοικέναι τῷ αἵματι, οὔτε τὸ αἷμα τῇ χολῇ, οὔτε τὴν χολὴν τῷ φλέγματι. [4] Πῶς γὰρ ἂν ἐοικότα εἴη ταῦτα ἀλλήλοισιν, ὧν οὔτε τὰ χρώματα ὅμοια φαίνεται προσορώμενα, [5] οὔτε τῇ χειρὶ ψαυόμενα ὅμοια δοκέει εἶναι. [6] Οὔτε γὰρ θερ-

est, ubi temperamentum hæc inter se habuerint moderatum, tum facultate, tum copia, [2] & ubi maxime fuerint permixta. [3] Ægrotat autem, quum horum quid minus aut amplius fuerit, [4] aut separatur in corpore, & non fuerit reliquis omnibus contemperatum. [5] Necesse est enim quum quid horum secretum fuerit, & per se steterit, [6] non solum eum locum unde secessit morbidum fieri, [7] sed etiam eum in quo stat, [8] & in quem propter nimiam copiam diffusum est, dolore ac morbo vexari.

VII. Etenim quum quid horum extra corpus effluxerit amplius quam redundat, evacuatio ipsa dolorem exhibet. [2] Rursus itaque si idem intus fecerit evacuationem, [3] & transitionem, [4] ac ab aliis secretionem, [5] geminatum dolorem exhibere necesse est, velut dictum est, [6] nempe & unde secessit, & ubi receptum redundat. [7] Dixi porro, quæcunque hominem esse dixero, semper demonstraturum me esse, quod talia sint, & juxta receptum morem ac opinionem, & juxta naturam.

IIX. Et dico sane esse sanguinem & pituitam, & bilem flavam ac nigram: [2] & horum primum quidem juxta receptam opinionem nomina distincta esse dico, & nulli ipsorum idem nomen esse: [3] deinde species juxta naturam separatas esse, & neque pituitam similem esse sanguini, neque sanguinem bili, neque bilem pituitæ. [4] Quo enim modo hæc inter se similia sint, quorum neque colores similes videntibus apparent, [5] neque ad manuum tactum similitudo aliqua esse deprehenditur? [6] Neque enim

θερμὰ· ὁμοίως ἐστὶν, οὔτε ψυχρὰ, οὔτε ξηρὰ, οὔτε ὑγρά. 7 ἀνάγκη τοίνυν, ὅτι τοσοῦτον διήλλακται ἀλλήλων τὴν ἰδέην τε καὶ τὴν δύναμιν, 8 μὴ ἓν αὐτὰ εἶναι, 9 εἴπερ μὴ πῦρ τε καὶ ὕδωρ ταυτόν ἐστι. 10 γνοίης δ' ἂν τοῖσδε, ὅτι οὐχ ἓν ταῦτα πάντα ἐστὶν, ἀλλ' ἕκαστον αὐτέων ἔχει δύναμίν τε καὶ φύσιν τὴν ἑωυτέου. 11 ἢν γάρ τινι διδῷς ἀνθρώπῳ φάρμακον, ὅ, τι φλέγμα ἄγει, ἐμέεταί σοι φλέγμα. 12 καὶ, ἢν διδῷς φάρμακον, ὅ, τι χολὴν ἄγει, ἐμέεταί σοι χολήν. 13 κατὰ ταῦτα δὲ καὶ χολὴ μέλαινα καθαίρεται, ἢν διδῷς φάρμακον, ὅ, τι χολὴν μέλαιναν ἄγει. 14 καὶ, ἢν τρώσῃς αὐτοῦ τοῦ σώματος μέρος τι, ὥστε τραῦμα γενέσθαι, ῥυήσεται αὐτῷ αἷμα. 15 καὶ ταῦτα ποιήσει σοι πάντα πᾶσαν ἡμέρην καὶ νύκτα, καὶ χειμῶνος, καὶ θέρεος, 16 μέχρις ἂν δυνατὸς ᾖ τὸ πνεῦμα ἕλκειν ἐς ἑωυτὸν, καὶ πάλιν μεθιέναι· 17 δυνατὸς δὲ ἔσται, ἔστ' ἂν τινος τουτέων στερηθῇ τῶν ξυγγεγονότων.

IX. Ξυγγενῆ δὲ ταῦτα τὰ εἰρημένα. 2 πῶς γὰρ οὐ ξυγγενῆ; 3 πρῶτον μὲν φανερόν ἐστιν ὁ ἄνθρωπος ἔχων ἐν ἑωυτῷ ταῦτα πάντα ἀεὶ, ἕως ἂν ζῇ. 4 ἔπειτα γέγονεν ἐξ ἀνθρώπου ταῦτα πάντα ἔχοντος. 5 ἔπειτα τέθραπται ἐν ἀνθρώπῳ ταῦτα πάντα ἔχοντι, ὁκόσα ἐγώ γε νῦν φημί τε καὶ ἀποδείκνυμι. 6 οἱ δὲ λέγοντες, ὡς ἕν ἐστιν ὁ ἄνθρωπος, δοκέουσί μοι ταύτῃ τῇ γνώμῃ κεχρῆσθαι. 7 ὁρέοντες τοὺς πίνοντας τὰ φάρμακα, καὶ ἀπολλυμένους ἐν τῇσιν ὑπερκαθάρσεσι, τοὺς

enim similiter calida sunt, neque frigida, neque sicca, neque humida. 7 Quum itaque in tantum inter se discrepent, tum specie, tum facultate, necesse est 8 ipsa non unum esse, 9 quandoquidem neque ignis & aqua idem sunt. 10 Quod autem hæc omnia non unum sunt, sed unumquodque ipsorum vim & naturam suam habet, vel hinc cognoscere licebit. 11 Si enim homini alicui medicamentum dederis, quod pituitam ducit, pituitam tibi vomet: 12 &, si pharmacum dederis bilem ducens, bilem tibi vomet. 13 Eadem ratione & bilem atram purgabit, si medicamentum exhibueris quod bilem atram ducit. 14 Quod si ipsi partem aliquam sauciaris, ut vulnus fiat, affluet ipsi sanguis: 15 atque hæc omnia faciet tibi totam diem ac noctem, & hyeme & æstate, 16 donec spiritum in sese trahere, & rursus reddere potens fuerit: 17 potens autem erit donec aliquo horum congenitorum fuerit privatus.

IX. Congenita autem sunt prædicta. 2 Quomodo enim non congenita essent? 3 Primum etenim manifestum est, hominem in seipso hæc omnia semper habere, donec vixerit. 4 Deinde nata sunt ex homine hæc omnia habente. 5 Postea nutrita sunt in homine hæc omnia habente, quæ videlicet ego nunc dico ac demonstro. 6 Qui vero dicunt, quod unum est homo, videntur mihi hoc consilio usi esse. 7 Nimirum quum viderint eos qui medicamenta hauserunt, in superpurgationibus interiisse, alios qui-

τοὺς μὲν χολὴν ἐμέοντας, τοὺς δέ τινας φλέγμα, [8] τοῦτο ἕκαστον αὐτέων ἐνόμισαν εἶναι τὸν ἄνθρωπον, ὅ, τι καθαιρόμενον εἶδον αὐτὸν ἀποθανόντα. [9] καὶ οἱ τὸ αἷμα φάντες εἶναι τὸν ἄνθρωπον, τῇ αὐτῇ γνώμῃ χρέονται. [10] ὁρέοντες γὰρ ἀποσφαζομένους τοὺς ἀνθρώπους, καὶ τὸ αἷμα ῥέον ἐκ τοῦ σώματος, τοῦτο νομίζουσιν εἶναι τὴν ψυχὴν ἐν τῷ ἀνθρώπῳ. [11] καὶ μαρτυρίοισι τουτέοισι πάντες χρέονται ἐν τοῖσι λόγοισι.

quidem bilem vomentes, alios pituitam, [8] unumquodque horum hominem esse putaverunt, quod vidissent his purgatum interiisse. [9] Et qui sanguinem dicunt hominem esse, eodem consilio utuntur. [10] Nam quum vident jugulatos homines, & sanguinem ex corpore psorum effluentem, hunc ipsum animam in homine esse putant. [11] atque his testimoniis sane omnes utuntur in sermonibus suis.

X. Καίτοι πρῶτον μὲν ἐν τῇσιν ὑπερκαθάρσεσιν οὐχ εἷς πω ἀπέθανε χολὴν μόνον καθαρθείς. [2] ἀλλ', ὁκόταν τις πίῃ φάρμακον, ὅ, τι χολὴν ἄγει, πρῶτον μὲν χολὴν ἐμέει, ἔπειτα δὲ φλέγμα, ἔπειτα δὲ ἐπὶ τῇ χολῇ ἐμέουσι χολὴν μέλαιναν ἀναγκαζόμενοι, τελευτῶντες δὲ αἷμα ἐμέουσι καθαρόν. [3] τὰ αὐτὰ δὲ πάσχουσι καὶ ὑπὸ τῶν φαρμάκων τῶν τὸ φλέγμα ἀγόντων. [4] πρῶτον μὲν γὰρ φλέγμα ἐμέουσιν, ἔπειτα χολὴν ξανθήν, ἔπειτα μέλαιναν, [5] τελευτῶντες δὲ αἷμα καθαρόν, καὶ ἐν τῷδε ἀποθνήσκουσι. [6] τὸ γὰρ φάρμακον, ὁκόταν ἐσέλθῃ ἐς τὸ σῶμα, πρῶτον μὲν ἄγει, ὃ ἂν αὐτέῳ κατὰ φύσιν μάλιστα ᾖ, τῶν ἐν τῷ σώματι ἐνεόντων. [7] ἔπειτα δὲ καὶ τ' ἄλλα ἕλκει τε καὶ καθαίρει.

X. Atqui primum quidem in superpurgationibus, nemo unquam mortuus est bile sola purgatus. [2] Verum quum quis pharmacum biberit, quod bilem deducit, primum bilem vomet, deinde pituitam, postea per vim etiam atram bilem, postremum moribundus etiam sanguinem purum vomet. [3] Eadem perpetiuntur à medicamentis pituitam ducentibus. [4] Primum enim pituitam voment, deinde bilem flavam, postea atram, [5] morientes autem sanguinem purum, & in hoc mox vitam finiunt. [6] Etenim pharmacum ubi corpus intraverit, primum quidem ducit id quod ex omnibus in corpore existentibus, sibi maxime secundum naturam familiare fuerit, [7] deinde vero etiam alia trahit, ac purgat.

XI. Ὥσπερ τὰ φυόμενά τε καὶ σπειρόμενα, ὁκόταν ἐς τὴν γῆν ἔλθῃ, ἕλκει ἕκαστον τὸ κατὰ φύσιν ἑωυτῷ ἐνεὸν ἐν τῇ γῇ. [2] ἔνι δὲ καὶ ὀξὺ, καὶ πικρὸν, καὶ γλυκὺ, καὶ ἁλμυρὸν, καὶ παντοῖον. [3] πρῶτον μὲν οὖν πλεῖ-

XI. Quemadmodum ex terra nascentia & in ipsam plantata ac seminata, ubi in terram pervenerint, unumquodque trahit id quod naturæ suæ familiare in terra existit. [2] Inest autem in terra & acidum, & amarum, & dulce, & salsum, & omnigenium. [3] Primum itaque plurimum

στον τουτέων ἕλκουσιν ἐς ἑωυτό, ὅ, τι ἂν ᾖ ἑωυτέῳ κατὰ φύσιν· ἔπειτα δὲ ἕλκει καὶ τ' ἄλλα. [4] Τοιοῦτον δή τι καὶ τὰ φάρμακα ποιεῖ ἐν τῷ σώματι. [5] ὁκόταν μὲν χολὴν ἄγῃ, πρῶτον ἀκρητεστάτην ἐκκαθαίρει χολήν, ἔπειτα δὲ μεμιγμένην. [6] καὶ πάλιν τὰ τοῦ φλέγματος φάρμακα, πρῶτον μὲν ἀκρητέστατον τὸ φλέγμα ἄγει, ἔπειτα δὲ μεμιγμένον. [7] καὶ τοῖσιν ἀποσφαζομένοισι, πρῶτον μὲν τὸ αἷμα ῥέει, θερμότατόν τε καὶ ἐρυθρότατον· ἔπειτα δὲ ῥέει φλεγματωδέστερον καὶ χολωδέστερον.

XII. Αὔξεται δὲ ἐν τῷ ἀνθρώπῳ τὸ μὲν φλέγμα, χειμῶνος. [2] τοῦτο γὰρ τῷ χειμῶνι κατὰ φύσιν ἐστὶ μάλιστα τῶν ἐν τῷ σώματι ἐνεόντων. [3] ψυχρότατον γάρ. [4] τεκμήριον δὲ τουτέου, ὅτι τὸ μὲν φλέγμα ψυχρότατον. [5] εἰ ἐθέλεις ψαῦσαι φλέγματος, καὶ χολῆς, καὶ αἵματος, τὸ φλέγμα εὑρήσεις ψυχρότατον ἐόν, [6] καίτοι γλισχρότατόν ἐστι, καὶ βίῃ μάλιστα ἄγεται μετὰ χολὴν μέλαιναν. [7] ὁκόσα δὲ βίῃ ἔρχεται, θερμότερα γίνεται, ἀναγκαζόμενα ὑπὸ τῆς βίης. [8] ἀλλ' ὅμως καὶ πρὸς πάντα ταῦτα ψυχρότατον ἐὸν τὸ φλέγμα φαίνεται ὑπὸ τῆς φύσιος τῆς ἑωυτοῦ. [9] ὅτι δὲ ὁ χειμὼν πληροῖ τὸ σῶμα φλέγματος, γνοίης ἂν τοῖσδε. [10] οἱ ἄνθρωποι πτύουσί τε καὶ ἀπομύσσονται φλεγματωδέστερον τοῦ χειμῶνος. [11] καὶ τὰ οἰδήματα [αὐτίκα] λευκότατα γίνεται μάλιστα [κατὰ] ταύτην τὴν ὥρην, [12] καὶ τ' ἄλλα νοσήματα φλεγματώδεα.

XIII. Τοῦ δὲ ἦρος, τὸ φλέγμα ἔτι μὲν ἰσχυρότερον ἐν τῷ σώματι, [2] καὶ τὸ αἷμα αὔξεται. [3] τά τε γὰρ ψύχεα ἐξανίει, [4] καὶ τὰ ὕδατα ἐπιγίνεται. [5] τὸ δὴ αἷμα κατὰ ταῦτα αὔξεται, ὑπό

mum ejus trahit in seipsum, quod sibi ipsi juxta naturam maxime familiare fuerit, deinde trahit etiam reliqua. [4] Hujusmodi sane quiddam etiam pharmaca in corpore faciunt. [5] Quæcunque enim bilem ducunt, primum meracissimam bilem purgant, postea vero mixtam. [6] Et rursus pituitæ pharmaca, primum meracissimam pituitam ducunt, postea mixtam. [7] Et jugulatis primum quidem sanguis calidissimus & ruberrimus profluit, deinde pituitosior ac biliosior.

XII. Porro pituita in homine hyeme augetur. [2] Hæc enim hyemi maxime secundum naturam convenit ex omnibus in corpore existentibus. [3] Frigidissima enim existit. [4] Signa autem quod pituita frigidissima est, hæc sunt. [5] Si enim pituitam & bilem & sanguinem contingere libuerit, pituitam sane frigidissimam esse comperies, [6] quamvis viscosissima sit, & per vim maxime post bilem atram trahatur. [7] (quæ vero per vim trahuntur calidiora fiunt, à violentia coacta) [8] sed tamen supra hæc omnia, frigidissima esse apparet pituita ex sua ipsius natura. [9] Quod autem hyems corpus pituita repleat, inde cognoscere datur, [10] quod homines pituitosissima & spuunt & emungunt hyeme, [11] & tumores laxi albissimi fiunt maxime hoc tempore, [12] itemque reliqui morbi pituitosi.

XIII. Cæterum vere pituita quidem adhuc fortis in corpore manet, [2] sed sanguis augescit. [3] Nam & frigora remittunt, [4] & imbres superveniunt. [5] Sanguis autem juxta hæc augescit, ab imbribus videlicet & calidiorum die-

τὸ τῶν ὀμβρῶν, καὶ τῶν θερμημερέων. [6] [10] κατὰ φύσιν γὰρ αὐτέων ταῦτα [a] ἐστὶ μάλιστα τοῦ ἐνιαυτοῦ. [7] ὑγρόν τε γάρ ἐστι καὶ θερμόν. [8] γνοίης δ' ἂν τοῖσδε. [9] οἱ ἄνθρωποι τοῦ ἦρος, καὶ τοῦ θέρεος μάλιστα, [10] ὑπὸ τῶν δυσεντεριῶν ἁλίσκονται, [11] καὶ ἐκ τῶν ῥινέων αἷμα ῥέει αὐτέοισι, [12] καὶ θερμότατοί εἰσι καὶ ἐρυθροί.

XIV. Τοῦ δὲ θέρεος, τό, τε αἷμα ἰσχύει ἔτι, [2] καὶ ἡ χολὴ αἴρεται ἐν τῷ σώματι, καὶ παρατείνει ἐς τὸ φθινόπωρον. [3] ἐν δὲ τῷ φθινοπώρῳ τὸ μὲν αἷμα ὀλίγον γίνεται. [4] ἐναντίον γὰρ αὐτέου τὸ φθινόπωρον τῇ φύσει ἐστίν. [15] [5] ἡ δὲ χολὴ τὴν θερείην κατέχει τὸ [a] σῶμα, καὶ τὸ φθινόπωρον. [6] γνοίης δ' ἂν τοῖσδε. οἱ ἄνθρωποι αὐτόματοι ταύτην τὴν ὥρην χολὴν ἐμέουσι, [7] καὶ ἐν τῇσι φαρμακοποσίῃσι χολωδέστατα καθαίρονται. [8] δῆλον δὲ καὶ τοῖσι πυρετοῖσι, καὶ τοῖσι χρώμασι τῶν ἀνθρώπων. [9] τὸ δὲ φλέγμα τῆς θερείης ἀσθενέστερόν ἐστιν αὐτὸ ἑωυτοῦ. [10] ἐναντίη γὰρ αὐτέου ἐστὶ τῇ φύσει ἡ ὥρη. [11] ξηρή τε γάρ ἐστι καὶ θερμή. [12] τὸ δὲ αἷμα τοῦ φθινοπώρου ἐλάχιστον γίνεται ἐν τῷ ἀνθρώπῳ. [12] ξηρότερον γάρ ἐστι τὸ φθινόπωρον, καὶ [20] ψύχειν ἤδη ἄρχεται τὸν [a] ἄνθρωπον. [13] ἡ δὲ μέλαινα χολὴ τοῦ φθινοπώρου πλείστη τε καὶ ἰσχυροτάτη ἐστίν. [14] ὁκόταν δὲ ὁ χειμὼν καταλαμβάνῃ, ἥ τε χολὴ ψυχομένη, ὀλίγη γίνεται, [15] καὶ τὸ φλέγμα αὔξεται πάλιν, [16] ἀπό τε τῶν ὑετῶν τοῦ πλήθεος, [17] καὶ ὑπὸ τοῦ μήκεος τῶν νυκτῶν.

XV. Ἔχει μὲν οὖν [a] ταῦτα πάντα αἰεὶ τὸ σῶμα τοῦ ἀνθρώπου, [2] ὑπὸ δὲ τῆς περιϊσταμένης ὥρης ποτὲ μὲν πλέω γίνεται σφῶν αὐτὰ ἑωυτέων, ποτὲ δὲ ἐλάσσω ἕκαστα, [3] καὶ κατὰ μέρος τε καὶ κατὰ φύσιν. [4] ὡς

dierum tepore. [6] Hæc enim anni pars maxime juxta naturam ipsi convenit, [a] ut quæ calida & humida existat. [7] Est enim humidus & calidus. [8] Signa autem hinc colligere licet. [9] Quod homines vere & æstate maxime [10] dysenteriis corripiuntur, [11] & sanguis ex naribus ipsis fluit, [12] & calidissimi sunt ac rubberrimi.

XIV. At vero æstate sanguis adbuc viget, [2] & bilis in corpore elevatur, & usque in autumnum porrigitur. [3] In autumno vero sanguis modicus fit, [4] contrarium enim ejus naturæ id tempus existit. [5] Bilis autem per æstatem ac autumnum [a] corpus possidet, [6] id quod inde cognoscere potes: quod homines sua sponte hoc tempore bilem vomunt, [7] & in medicamentorum potionibus biliosiora purgantur. [8] Manifestum fit & febribus, & hominum coloribus. [9] Pituita autem æstate debilior seipsa est. [10] Contrarium enim est ejus naturæ id tempus, calidum enim est & siccum. [11] Sanguis vero autumno paucissimus fit in homine. [12] Siccus enim est autumnus, & hominem [a] jam frigefacere incipit. [13] Atra porro bilis autumno & plurima & fortissima est. [14] Postquam autem hyems apprehenderit, bilis flava perfrigerata modica fit, [15] & pituita rursus augetur, [16] tum ob pluviarum copiam, [17] tum propter longitudinem noctium.

XV. Corpus quidem igitur humanum hæc omnia semper habet, [2] verum pro temporis circumstantia, aliquando plura seipsis fiunt, aliquando pauciora, [3] singula tum juxta partem [a] ac copiam, tum juxta naturam. [4] Quem-

[4] ὡς γὰρ ὁ ἐνιαυτὸς μετέχει μὲν πᾶς πάντων, καὶ τῶν θερμῶν καὶ τῶν ψυχρῶν, καὶ τῶν ξηρῶν καὶ τῶν ὑγρῶν. [5] οὐ γὰρ ἂν μείνειε τούτων οὐδὲν οὐδένα χρόνον, ἄνευ πάντων τῶν ἐνεόντων ἐν τῷδε τῷ κόσμῳ. [6] ἀλλ' εἰ ἕν τι ἐκλίποι, πάντ' ἂν ἀφανισθείη. [7] ἀπὸ γὰρ τῆς αὐτῆς ἀνάγκης πάντα ξυνέστηκέ τε καὶ τρέφεται ἀπ' ἀλλήλων. [8] οὕτω δὲ καὶ εἴ τι ἐκ τοῦ ἀνθρώπου ἐκλίποι τούτων τῶν ξυγγεγονότων, οὐκ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος.

XVI. Ἰσχύει δὲ ἐν τῷ ἐνιαυτῷ, τοτὲ μὲν ὁ χειμὼν μάλιστα, τοτὲ δὲ τὸ ἔαρ, τοτὲ δὲ τὸ θέρος, τοτὲ δὲ τὸ φθινόπωρον. [2] οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, τοτὲ μὲν τὸ φλέγμα ἰσχύει, τοτὲ δὲ τὸ αἷμα, τοτὲ δὲ ἡ χολή, πρῶτον μὲν ἡ ξανθή, ἔπειτα δὲ ἡ μέλαινα καλεομένη. [3] μαρτύριον δὲ σαφέστατον, [4] εἰ ἐθέλεις τῷ αὐτῷ ἀνθρώπῳ δοῦναι τὸ αὐτὸ φάρμακον τετράκις τοῦ ἐνιαυτοῦ. [5] ἐμέεταί σοι τοῦ μὲν χειμῶνος φλεγματωδέστερα, [6] τοῦ δὲ ἦρος ὑγρότερα, [7] τοῦ δὲ θέρεος χολωδέστερα, [8] τοῦ δὲ φθινοπώρου μελάντερα.

XVII. Ὀφείλει οὖν, τούτων ὧδε ἐχόντων, ὁκόσα μὲν τῶν νοσημάτων τοῦ χειμῶνος αὔξεται, θέρεος λήγειν. [2] ὁκόσα δὲ θέρεος αὔξεται, χειμῶνος λήγειν. [3] ὁκόσα μὴ αὐτέων ἐν περιόδῳ ἡμερέων ἀπαλλάσσεται. [4] τὴν δὲ περίοδον αὖθις φράσω τῶν ἡμερέων. [5] ὁκόσα δὲ ἦρος γίνεται νοσήματα, προσδέχεσθαι χρὴ φθινοπώρου τὴν ἀπαλλαγήν. [6] ὁκόσα δὲ φθινοπωρινὰ νοσήματα, τούτων τοῦ ἦρος ἀνάγκη τὴν ἀπάλλαξιν γενέσθαι. [7] ὅ, τι δ' ἂν τὰς ὥρας ταύτας ὑπερβάλλῃ νόσημα, εἰδέναι χρή, ὡς ἐνιαύσιον αὐτὸ

[4] Quemadmodum enim annus omnis omnium particeps est & caliditatum & frigiditatum, & siccitatum ac humiditatum (neque enim quicquam horum ne minimo quidem tempore consisteret ac duraret, citra omnia ea quæ in hoc mundo insunt, [6] verum si unum aliquod deficeret, omnia sane abolerentur: [7] ex eadem enim necessitate omnia consistunt & mutuo aluntur:) [8] sic etiam si quid ex homine deficeret ex his quæ ipsi congenita sunt, non sane vivere posset homo.

XVI. In anno autem aliquando quidem hyems maxime viget, aliquando ver, modo æstas, modo autumnus. [2] Sic etiam in homine, aliquando pituita prævalet, aliquando sanguis, aliquando bilis, primum quidem flava, deinde etiam nigra appellata. [3] Quorum omnium evidentissimum testimonium hinc habes. [4] Si enim eidem homini idem pharmacum quater in anno dare velis, [5] vomet tibi hyeme quidem pituitosissima, [6] vere autem humidissima, [7] æstate biliosissima, [8] autumno nigerrima.

XVII. Itaque quum hæc sic se habeant, quicunque morbi hyeme augescunt, æstate desinere solent: [2] quicunque vero æstate augescunt, hyeme finire consueverunt, [3] nisi certo dierum circuitu discedant. [4] de circuitu autem dierum rursus dicam. [5] Quicunque autem morbi vere fiunt, ad autumnum eorum discessum fore expectare oportet. [6] Quicunque postremum autumnales morbi sunt, eorum discessum necesse est vere fieri. [7] Quicunque vero morbus hæc tempora transgressus fuerit, eum annuum

αὐτὸ ἐσόμενον. [8] Καὶ τὸν ἰητρὸν ἐναντίον χρὴ ἵστασθαι τοῖσι νοσήμασιν, ὡς ἕκαστον ἐνίσταται τῶν εἰδέων ἐν τῷ σώματι, [9] καὶ τὴν ὥρην τὴν ἑωυτῷ κατὰ φύσιν ἰοῦσαν μάλιστα.

[10] Προσεκτείμενα.

[11] Εἰδέναι δὲ χρὴ καὶ τάδε πρὸς ἐκείνοισιν, [12] ὅτι, ὁκόσα πλησμονὴ τίκτει νοσήματα, κένωσις ἰῆται· [13] ὁκόσα δὲ ἀπὸ κενώσιος γίνεται νοσήματα, πλησμονὴ ἰῆται· [14] ὁκόσα δὲ ἀπὸ ταλαιπωρίης γίνεται, ἀνάπαυσις ἰῆται· [15] ὁκόσα δὲ ἀργίη νοσήματα τίκτει, ταλαιπωρίη ἰῆται.

XIX. Τὸ δὲ ξύμπαν γνῶναι δεῖ τὸν ἰητρὸν, [2] ἐναντίον ἵστασθαι τοῖσι καθεστῶσι [3] καὶ νοσήμασι, [4] καὶ εἴδεσι, [5] καὶ ὥρῃσι, [6] καὶ ἡλικίῃσι, [7] καὶ τὰ συντείνοντα λύειν, [8] καὶ τὰ λελυμένα συντείνειν· [9] οὕτω γὰρ ἂν μάλιστα τὸ κάμνον ἀναπαύοιτο. [10] ἥ τε ἴησις, τοῦτό μοι δοκέει εἶναι. [11] Αἱ δὲ νοῦσοι γίνονται, αἱ μὲν ἀπὸ τῶν διαιτημάτων, [12] αἱ δὲ ἀπὸ τοῦ πνεύματος, ὃ ἐσαγόμενοι ζῶμεν. [13] Τὴν δὲ διάγνωσιν χρὴ ἑκατέρων ὧδε ποιέεσθαι. [14] ὁκόταν μὲν ὑπὸ νοσήματος ἑνὸς πολλοὶ ἄνθρωποι ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, [15] τὴν αἰτίην χρὴ ἀνατιθέναι τούτῳ, ὅ, τι κοινότατόν ἐστι, καὶ μάλιστα αὐτῷ πάντες χρεώμεθα. [16] ἔστι δὲ τοῦτο, ὃ ἀναπνέομεν. [17] Φανερὸν γὰρ δὴ, ὅτι τά γε διαιτήματα ἑκάστου ἡμῶν οὐκ αἴτιά ἐστιν, [18] ὅτε ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς, καὶ τῶν νεωτέρων καὶ τῶν πρεσβυτέρων, [19] καὶ γυναικῶν καὶ ἀνδρῶν ὁμοίως, [20] καὶ τῶν θωρησσομένων καὶ τῶν ὑδροποτεόντων, [21] καὶ τῶν μάζαν ἐσθιόντων καὶ τῶν ἄρτον σιτεομένων, [22] καὶ τῶν πολλὰ ταλαιπωρεόντων καὶ τῶν ὀλίγα καμνόντων. [23] οὐκ ἂν οὖν τά γε διαιτήματα

nuum fore scire oportet. [8] Porro Medicum sic adversus morbos instare oportet, prout unumquodque horum in corpore prævalet, [9] juxta tempus quod sibiipsi maxime natura conveniens existit.

[10] Addititia.

[11] Quin & hæc insuper ad illa nosse oportet, [12] quod quoscunque morbos repletio parit, evacuatio sanat: [13] & quicunque ex evacuatione fiunt morbi, repletio sanat. [14] quicunque vero à labore fiunt, quies sanat: [15] qui autem ab ocio gignuntur, labor sanat.

XVIII. In summa Medicum scire oportet, [2] opponere se contrarium instantibus [3] & morbis, [4] & naturis, [5] & temporibus, [6] & ætatibus; [7] & distendentia solvere, [8] & soluta distendere. [9] Sic enim vel maxime morbum sedaverit. [10] & mihi sane hoc ipsum sanatio esse videtur. [11] Morbi partim ex diætis, [12] partim ex spiritu, quem adtrahentes vivimus, fiunt. [13] Utrorumque cognitionem sic facere oportet. [14] Quando ab uno morbo multi homines corripiuntur eodem tempore; [15] causam ad id quod communissimum est, & quo maxime omnes utimur, referre oportet. [16] Est autem hoc spiritus & aer, quem inspirando trahimus. [17] Manifestum est enim jam, quod diæta uniuscujusque nostrum, caussa non est, [18] quum morbus omnes consequenter contingat & juniores, & seniores, [19] mulieresque ac viros, [20] & tam vinolentos quam aquæ potores, [21] & tam mazam edentes quam pane vescentes, [22] & tam multum laborantes quam parum. [23] nequaquam igitur diæta caussa

μαλα αἴτια εἴη, ὁκόταν διαφερόμενοι πάντας τρόπους οἱ ἄνθρωποι ἁλίσκονται ὑπὸ τῆς αὐτέης νούσου, [24] ὁκόταν δὲ αἱ νοῦσοι γίνονται παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρόνον, δῆλον, ὅτι τὰ διαιτήματά ἐστιν αἴτια ἕκαστα ἑκάστοισι. [25] καὶ τὴν θεραπείην χρὴ ποιέεσθαι ἐναντιούμενον τῇ προφάσει τῆς νούσου, ὥσπερ μοι πέφρασται καὶ ἑτέρωθι, [26] καὶ ἐκ τῶν διαιτημάτων μεταβάλλειν. [27] δῆλον γὰρ, ὅτι, οἷσί γε χρέεσθαι εἴωθεν ὁ ἄνθρωπος διαιτήμασιν, οὐκ ἐπιτήδειά οἱ ἐστιν, [28] ἢ πάντα, ἢ τὰ πλείω, ἢ ἕν γέ τι αὐτέων. [29] ἃ δεῖ καταμαθόντα μεταβάλλειν· [30] καὶ σκεψάμενον τοῦ ἀνθρώπου τὴν φύσιν, τήν τε ἡλικίην, καὶ τὸ εἶδος, καὶ τὴν ὥρην τοῦ ἔτεος, καὶ τῆς νούσου τὸν τρόπον, [31] τὴν θεραπείην ποιέεσθαι, ποτὲ μὲν ἀφαιρέοντα, ποτὲ δὲ προστιθέντα, [32] ὥσπερ μοι καὶ πάλαι εἴρηται, πρὸς ἑκάστας τῶν ἡλικιέων, καὶ τῶν ὡρέων, καὶ τῶν ἰδεῶν, καὶ τῶν νούσων, [33] ἔν τε τῇσι φαρμακείῃσι προστρέπεσθαι, [34] καὶ ἐν τοῖσι διαιτήμασιν.

XIX. Ὁκόταν δὲ νοσήματος ἑνὸς ἐπιδημίη καθεστήκῃ, δῆλον, ὅτι οὐ τὰ διαιτήματα αἴτιά ἐστιν, [2] ἀλλ' ὃ ἀναπνέομεν, τοῦτο αἴτιόν ἐστι. [3] καὶ δῆλον, ὅτι τοῦτο νοσερήν τινα ἀπόκρισιν ἔχον ἂν εἴη. [4] τοῦτον χρὴ τὸν χρόνον τὰς παραινέσιας ποιέεσθαι τοῖσιν ἀνθρώποισι τοιάσδε. [5] τὰ μὲν διαιτήματα μὴ μεταβάλλειν, ὅτι γε οὐκ αἴτιά ἐστι τῆς νούσου· [6] τὸ δὲ σῶμα ὁρᾷν, ὅκως ἔσται ὡς ἀογκότατον καὶ ἀσθενέστατον, [7] τῶν σιτίων τε ἀφαιρέοντα, καὶ τῶν ποτῶν, οἷσιν εἰώθει χρέεσθαι, κατ' ὀλίγον. [8] ἢν γὰρ μεταβάλλῃ ταχέως τὴν διαι-

fuerit, quum homines diversa victus ratione utentes ab eodem morbo corripiuntur. [24] Quum vero omnis generis morbi fiunt eodem tempore, palam est victus singulos singulis caussas esse: [25] & curam sane facere oportet, ex contrario instando adversus morbi caussam, quemadmodum & alibi à me relatum est, [26] & victus rationem permutare. [27] Conspicuum est enim diætam, qua homo uti consuevit, non esse ipsi commodam, [28] aut in totum, aut magna ex parte, aut unum saltem quoddam ex ipsa; [29] quod ubi cognoveris, transmutare oportet; [30] habitaque consideratione naturæ hominis, & ætatis, & speciei, horæque anni & modi ipsius morbi, [31] curationem facere, aliquando detrahendo, aliquando apponendo; [32] & quemadmodum jamdudum à me dictum est, ad singulas ætates, & horas, & species, ac morbos respiciendo; [33] tum in exhibendis pharmacis, [34] tum in constituenda diæta.

XIX At vero quum unius morbi popularis grassatio consistit, manifestum est diætam non esse culpabilem, [2] sed quum trahimus spiritum in caussa esse: [3] palamque est insuper eum ipsum spiritum sive aërem morbosam aliquam exhalationem habere. [4] Eo itaque tempore homines in hunc modum commonefacere oportet. [5] Nimirum ut diætas non permutent, quia morbi caussa non existunt: [6] verum ut videant quo corpus habeant quam minimæ molis ac ~~debilissimum~~. [7] Detrahendi insuper sunt cibi ac potus quibus uti consueverunt, idque paulatim facere oportet. [8] Nam si quis cito diætam

fortissimum

διαιτήματα, κίνδυνος καὶ ἀπὸ τῆς μεταβολῆς νεώτερόν τι γίνεσθαι ἐν τῷ σώματι. [9] ἀλλὰ χρὴ τοῖσι μὲν διαιτήμασιν οὕτω χρέεσθαι, ὅτε γε φαίνονται μηδὲν ἀδικέοντα τὸν ἄνθρωπον· [10] τοῦ δὲ πνεύματος ὅκως ἐλαχίστη ἡ ῥεῦσις ἐς τὸ σῶμα χωρέεσιν, [11] καὶ ὡς ξηροτάτη ἔσται, 65 προμηθέεσθαι. [12] τῶν τε χωρίων τοὺς τόπους μεταβάλλοντα ἐς δύναμιν, ἐν οἷσιν ἡ νοῦσος καθέστηκε, [13] καὶ τὰ σώματα λεπτύνοντα. [14] οὕτω γὰρ ἂν ἥκιστα πολλοῦ τε καὶ πυκνοῦ πνεύματος χρήζοιεν οἱ ἄνθρωποι. [15] ὁκόσα δὲ τῶν νοσημάτων ἀπὸ τοῦ σώματος γίνεται τῶν μελέων τοῦ ἰσχυροτάτου, ταῦτα δεινότατά ἐστι. [16] καὶ γὰρ ἢν αὐτοῦ μένῃ, ἔνθα ἂν ἄρξηται, [17] ἀνάγκη, τοῦ ἰσχυροτάτου τῶν μελέων πονεομένου, ἅπαν τὸ σῶμα πονέεσθαι. [18] καὶ ἢν ἐπί τι τῶν ἀσθε- 30 νεστέρων ἀφίκηται ἀπὸ τοῦ ἰσχυροτέρου, χαλεπαὶ αἱ ἀπολύσιες γίνονται. [19] ὁκόσα δ' αὖ ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα ἔλθοι, εὐλυτώτερά ἐστιν. [20] ἀπὸ γὰρ τῆς ἰσχύος ἀ- 68 ναλίσκεται ῥηιδίως τὰ ἐπιρρέοντα.

XX. [1] Αἱ παχύταται δὲ τῶν φλεβῶν 69 ὧδε πεφύκασι. [2] τέσσαρα ζεύγεά ἐστιν ἐν τῷ σώματι. [3] καὶ ἓν μὲν αὐτέων ἀπὸ τῆς κεφαλῆς ὄπισθεν διὰ τοῦ αὐ- 70 χένος ἔξωθεν ἐπὶ τὴν ῥάχιν, ἔνθεν τε καὶ ἔνθεν, παρὰ τὰ ἰσχία ἀφικνέεται, καὶ ἐς τὰ σκέλεα ἔπειτα διὰ τῶν κνημέων 35 καὶ τῶν σφυρῶν [ἐπὶ] τὰ ἔξωθεν καὶ ἐς τοὺς πόδας διήκει. [4] δεῖ οὖν τὰς φλεβοτομίας τὰς ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ καὶ τοῖσιν ἰσχίοισιν, ἀπὸ τῶν ἰγνύων ποιέεσθαι, καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. [5] αἱ δ' ἕτεραι φλέβες ἔχουσιν ἐκ τῆς κεφαλῆς παρὰ τὰ ὦτα διὰ τοῦ αὐχένος, [6] αἱ σφαγίτιδες καλεόμεναι. [7] ἔσωθεν παρὰ τὴν 71 ῥάχιν ἑκατέρωθεν φέρονται παρὰ τὰς ψόας ἐς τοὺς ὄρχιας καὶ ἐς τοὺς μηρούς, καὶ

tam permutet, periculum est etiam à permutatione aliquid in corpore novatum iri. [9] Quapropter victu ~~solito~~ quidem utendum est, ut hominem nihil lædere videtur. [10] Providendum vero ut quam paucissimus aëris influxus in corpus ingrediatur, [11] & ut 206 ille ipse quamperegrinissimus existat. [12] Regionum etiam locos in quibus morbus consistit, quantum ejus fieri potest, permutare oportet, [13] & corpora attenuare: [14] sic enim minime multo ac denso spiritu homines opus habuerint. [15] Porro quicunque morbi à fortissima corporis parte fiunt, gravissimi existunt. [16] Etenim si isthic, ubi initium sumpserint, permanserint, [17] necesse est fortissima parte laborante, totum corpus 209 laborare. [18] Et si à validissima ad quandam debiliorem transierint, difficulter solvuntur. [19] Quicunque vero à debilioribus partibus ad fortiores transierint, commodius solvi possunt. [20] Nam influentia à vi ipsarum facile consumuntur.

XX. Venæ crassissimæ sic se habent. [2] Quatuor paria ipsarum sunt in corpore. [3] & unum quidem à capite retro per cervicem, forinsecus ab utraque spinæ par- 210 te ad coxendices & in crura progreditur, deinde per tibias & malleolos forinsecus ad pedes pervenit. [4] Oportet igitur venæ sectiones in doloribus dorsi ac coxendicum, de poplitibus facere & malleolis forinsecus. [5] Alterum par principium ex capite juxta aures habet per cervicem, [6] & sphagitides appellantur, hoc est jugulares. [7] deferunturque utrinque juxta spinam intrinsecus ad lumbos, in testes ac femora, & per poplites ex 215 in-

καὶ διὰ τῶν ἰγνύων ἐκ τοῦ ἔσωθεν μέρεος, ἔπειτα διὰ τῶν κνημέων παρὰ τὰ σφυρὰ ἔσωθεν, καὶ ἐς τοὺς πόδας. [8] 40 δεῖ οὖν τὰς φλεβοτομίας πρὸς τὰς ὀδύνας ποιέεσθαι, τὰς ἐπὶ τοῦ ψόου καὶ τῶν ὀρχίων, ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν.

XXI. Αἱ δὲ τρίται φλέβες ἐκ τῶν κροτάφων διὰ τοῦ αὐχένος ὑπὸ τὰς ὠμοπλάτας, ἔπειτα ξυμφέρονται ἐς τὸν πλεύμονα, καὶ ἀφικνέονται, ἡ μὲν ἀπὸ 72 τῶν δεξιῶν ἐς τὰ ἀριστερὰ, ἡ δὲ ἀπὸ τῶν ἀριστερῶν ἐς τὰ δεξιά. [2] καὶ ἡ μὲν δεξιὴ ἀφικνέεται ἐκ τοῦ πλεύμονος ὑπὸ τὸν μαζὸν, καὶ ἐς τὸν σπλῆνα, καὶ ἐς τὸν νε- 45 φρόν. [3] ἡ δὲ ἀπὸ τῶν ἀριστερῶν ἐς τὰ δεξιὰ, ἐκ τοῦ πλεύμονος ὑπὸ τὸν μαζὸν, καὶ ἐς τὸ ἧπαρ, καὶ ἐς τὸν νεφρόν. [4] 73 τελευτῶσι δὲ ἐς τὸν ἀρχὸν αὗται ἀμφότε- 74 ραι. [5] αἱ δὲ τέταρται φλέβες ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν ὑπὸ τὸν αὐχένα καὶ τὰς κληῖδας, 24 ἔπειτα ὑπὲρ τῶν βραχιόνων ἄνωθεν 75 ἐς τὰς ξυγκαμπὰς, ἔπειτα δὲ διὰ τῶν 76 πηχέων καὶ τῶν χειρῶν ἄνωθεν ἐπὶ τοὺς καρποὺς καὶ τοὺς δακτύλους. [6] ἔπειτα 77 ἀπὸ τῶν δακτύλων πάλιν διὰ τῶν πηχέων καὶ τῶν χειρῶν ἄνωθεν ἐς τὰς ξυγκαμπὰς, καὶ διὰ τῶν βραχιόνων τοῦ κάτωθεν μέρεος ἐς τὰς μασχάλας, [7] καὶ ἀπὸ τῶν πλευρέων ἄνωθεν, ἡ μὲν ἐς τὸν σπλῆνα ἀφικνέεται, ἡ δὲ ἐς τὸ ἧπαρ. ἔπειτα ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι. [8] καὶ αἱ μὲν παχεῖαι τῶν φλεβῶν ὧδε ἔχουσιν.

XXII. Εἰσὶ δὲ καὶ ἀπὸ τῆς κοιλίης 78 φλέβες ἀνὰ τὸ σῶμα πάμπολλαί 5 τε καὶ παντοῖαι, δι' ὧν ἡ τροφὴ ἐν τῷ σώματι ἔρχεται. [2] φέρουσι δὲ καὶ ἀπὸ τῶν παχέων φλεβῶν ἐς τὴν κοιλίην καὶ ἐς 79 τὸ ἄλλο σῶμα, καὶ ἀπὸ τῶν ἔξωθεν 80 καὶ ἀπὸ τῶν ἔσωθεν ἐς ἀλλήλας διδόασιν, αἵ τε ἔσωθεν ἔξω, καὶ αἱ ἔξωθεν

+ ventre
+ ventrem

interna parte, deinde per tibias ad malleolos intrinsecus & in pedes. [8] Quapropter in doloribus lumborum ac testium, venæ sectionem de poplitibus ac malleolis facere intrinsecus oportet.

XXI. Tertium par venarum ex temporibus per cervicem sub scapulas tendit, & ad pulmonem defertur, altera quidem à dextris ad sinistram partem, altera vero à sinistris ad dextram. [2] & dextra quidem sub mam- 229 mam abit & in splenem, & in renem, [3] sinistra vero in dextram partem tendit à pulmone sub mammam & in hepar, & in renem. [4] utraque autem in rectum intestinum ac podicem desinit. [5] Quartum par à priore capitis parte & oculis sub cervicem ad claviculas devenit, deinde super brachia superne in flexuras, postea per cubitos in ma- 229 nuum juncturas ac digitos: [6] deinde à digitis rursus per cubitos ac manus superne in flexuras, & per brachiorum infernam partem ad alas. [7] inde superne à lateribus altera in lienem pervenit, altera in jecur, postea supra ventrem utraque in pudendum desinit. [8] Et crassissimæ quidem venæ sic se habent.

XXII. Sunt autem & ex ventriculo venæ per corpus multæ & omnigenæ, per quas corpori alimentum accedit. [2] ferunt autem à crassis venis in ventriculum ac reliquum corpus, & ab externis, & ab in- 230 ternis, & inter se mutuo distribuunt, internæ extrinsecus, ac vicissim extrinsecæ inter-

γένεσθαι. [3] τὰς οὖν φλεβοτομίας δεῖ ποιέεσθαι κατὰ τούτους τοὺς λόγους. 81 [4] ἐπιτηδεύειν δὲ χρὴ τὰς τομὰς, ὡς προσωτάτω ταμνεῖν ἀπὸ τῶν χωρίων, ἔνθα ἂν αἱ ὀδύναι μεμαθήκωσι γίνεσθαι, καὶ τὸ αἷμα ξυλλέγεσθαι. [5] οὕτως γὰρ ἂν ἥ τε μεταβολὴ ἥκιστα μεγάλη γίνοιτο ἐξαπίνης, 30 [6] καὶ τὸ ἔθος μεταστήσαις ἂν, ὥστε μηκέτι ἐς τὸ αὐτὸ χωρίον ξυλλέγεσθαι.

XXIII. Ὁκόσοι πύον πολλὸν πτύουσιν, ἄτερ πυρετοῦ ἐόντες, [2] καὶ ὁκόσοισιν ὑπὸ τὸ οὖρον πύον ὑφίσταται πολλὸν, ἄτερ ὀδύνης ἐόντες, [3] καὶ ὁκόσοισι τὰ ὑποχωρήματα αἱματώδεα, ὥσπερ ἐν τῇσι δυσεντερίῃσι, καὶ χρόνια, [4] νέοισιν ἐοῦσι πέντε καὶ τριήκοντα ἐτέων, καὶ γεραιτέροισι. [5] τούτοισι πᾶσιν ἀπὸ τοῦ αὐτοῦ τὰ νοσήματα γίνεται. 82 [6] ἀνάγκη γὰρ τούτους ταλαιπώρους τε γενέσθαι, καὶ 15 φιλοπόνους τῷ σώματι, καὶ ἐργάτας νεηνίσκους ἐόντας· [7] ἔπειτα δὲ ἐξανεθέντας τῶν πόνων καὶ σαρκωθῆναι μαλθακῇ σαρκὶ, καὶ πολὺ διαφερούσῃ τῆς προτέρης, [8] καὶ πολλὸν διακεκριμένον ἔχειν τὸ σῶμα, τό, τε προϋπάρχον καὶ τὸ ἐπιτραφὲν, ὥστε μὴ ὁμονοέειν. [9] ὁκόταν οὖν νόσημά τι καταλάβῃ τοὺς οὕτω διακειμένους, τὸ μὲν παραχρῆμα διαφεύγουσιν, [10] ὕστερον δὲ μετὰ τὴν νοῦσον χρόνῳ τήκεται τὸ σῶμα, καὶ ῥέει διὰ τῶν φλεβῶν, ᾗ ἂν εὐρυχωροτάτη μάλιστα τύχῃ, ἰχωροειδές. [11] ἢν μὲν οὖν ὁρμήσῃ ἐς 20 τὴν κοιλίην τὴν κάτω, σχεδὸν, οἷόν περ ἐν τῷ σώματι ἐνέῃ, τοιοῦτον καὶ τὸ διαχώρημα γίνεται. [12] ἅτε γὰρ τῆς ὁδοῦ κατάντεος ἐούσης, οὐχ ἵσταται πολλὸν χρόνον ἐν τῷ ἐντέρῳ.

XXIV. Ὁκόσοισι δ' ἂν ἐς τὸ στῆθος ἐρρυῇ, ὑπόπυοι γίνονται. [2] ἅτε

ternis. [3] Venæ igitur sectiones juxta prædictum sermonem facere oportet. [4] Enitendum est autem ut sectiones quam longissime à locis faciamus, ubi dolores fieri, & sanguis colligi solet. [5] Sic enim mutatio minime magna derepente fiet, [6] & consuetudinem removebit, ut non amplius in eundem locum colligatur.

XXIII. Quicunque pus multum spuunt citra febrem, [2] & quibuscunque in urina pus multum subsidit citra dolorem, [3] & quibuscunque alvi recrementa cruenta, velut in dysenteriis, & tarde ac diutine prodeuntia, [4] velut in juvenibus quinque & triginta annorum, atque etiam senioribus, [5] his omnibus ex eadem caussa morbi fiunt. [6] Necesse est enim hos labori esse deditos, ac exercitationis studiosos, & corpore operarios in juventute fuisse, [7] postea vero relictis laboribus, molli carne & multum à priore differente carnosos redditos esse, [8] & corpus multum discrepans habere, ut id quod prius extitit, cum eo quod nunc adepti sunt, nulla parte consentiat. [9] Quum igitur morbus aliquis corripuerit sic dispositos, evestigio quidem effugiunt, [10] postea autem à morbo progressu temporis corpus colliquescit, & serosi ac saniosi humoris species per venas, qua parte maxime amplæ fuerint, fluit. [11] Siquidem igitur in inferiorem ventriculum processerit, fere qualis in corpore inest, tale etiam recrementum prodit. [12] Quum enim declivis sit via, non multo tempore hæret in intestino.

XXIV. Quibuscunque autem in pectus influxerit, suppurati fiunt. [2] nimi-

ἅτε γὰρ τῆς καθάρσιος ἀνάντεος ἐούσης, καὶ χρόνον ἐναυλιζόμενον πολλὸν ἐν τῷ στήθει, κατασήπεται καὶ γίνεται πυοειδές. ³ ὁκόσοισι δ' αὖτις ἐς τὴν κύστιν ἐξερεύγεται, ἀπὸ τῆς θερμότητος τοῦ χωρίου τούτου καὶ θερμὸν καὶ λευκὸν γίνεται, καὶ διακρίνεται· ⁴ καὶ τὸ μὲν λεπτότατον ἐφίσταται ἄνω, τὸ δὲ παχύτατον κάτω· ὃ δὴ πύον καλέεται. ⁵ γίνονται δὲ καὶ οἱ λίθοι τοῖσι παιδίοισι, διὰ τὴν θερμότητα τοῦ χωρίου, καὶ τοῦ ὅλου σώματος. ⁶ τοῖσι δὲ ἀνδράσιν οὐ γίνονται λίθοι, διὰ τὴν ψυχρότητα τοῦ σώματος. ⁷ δεῖ γὰρ χρὴ εἰδέναι, ὅτι ὁ ἄνθρωπος τῇ πρώτῃ τῶν ἡμερέων θερμότατός ἐστιν αὐτὸς ἑωυτοῦ, τῇ δὲ ὑστάτῃ ψυχρότατος. ⁸ ἀνάγκη γὰρ, αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην, θερμὸν εἶναι· ⁹ ὁκόταν δὲ ἄρχηται μαραίνεσθαι τὸ σῶμα, καταῤῥέον πρὸς δυσπετέων, ψυχρότερον γίνεται. ¹⁰ καὶ κατὰ τοῦτον τὸν λόγον, ὅσον τελέων τῶν ἡμερέων τῇσι πρώτῃσι πλεῖστον αὔξεται ὁ ἄνθρωπος, τοσοῦτον θερμότερος γίνεται. ¹¹ καὶ τῇ ὑστάτῃ τῶν ἡμερέων ὅσον πλεῖστον καταμαραίνεται, τοσοῦτον ἀνάγκη ψυχρότερον εἶναι.

XXV. Ὑγιέες δὲ γίνονται αὐτόματοι, οἱ οὕτως διακείμενοι ² πλεῖστοι μὲν ἐν τῇ ὥρῃ, ἐν ᾗ ἄρξωνται τήκεσθαι, πέντε καὶ τεσσαρακονθήμεροι. ³ ὁκόσοι δ' αὖ τὴν ὥρην ταύτην ὑπερβάλλωσιν, ἐνιαυτῷ αὐτόματοι ὑγιέες γίνονται, ⁴ ἢν μή τι ἄλλο κακουργέηται ὁ ἄνθρωπος. ⁵ ὁκόσα τῶν νοσημάτων ἐξ ὀλίγου γίνεται, ⁶ καὶ ὧν αἱ προφάσιες εὔγνωστοι, ⁷ ταῦτα δὲ ἀσφαλέστατά ἐστι διαγορεύεσθαι. ⁸ τὴν δὲ ἴησιν χρὴ ποιέεσθαι αὐτέων ἐναντιούμενον τῇ προφάσει τῆς νούσου. ⁹ οὕτω γὰρ ἂν λύοιτο τὸ τὴν νοῦσον παρασχὸν ἐν τῷ σώματι.

XXVI.

nimitum purgatione acclivi existente, & multo tempore in pectore immorans putrescit, & purulenta redditur. ³ Quibuscunque vero eadem serosi humoris species in vesicam proruperit, à loci caliditate calida & alba fit, & segregatur: ⁴ & quod quidem tarissimum est, superstat, crassissimum vero infra mergitur, quod sane pus appellatur. ⁵ Fiunt autem & calculi pueris, propter hujus loci caliditatem, itemque totius corporis. ⁶ Viris autem calculi non generantur, propter corporis frigiditatem. ⁷ Nam id probe nosse oportet, quod homo primis diebus calidissimus est sui respectu, ultimis frigidissimus. ⁸ Necesse est enim augescens & ad vim procedens corpus calidum esse. ⁹ Ubi autem inceperit marcescere corpus, delabens in ocium, frigidissimum evadet. ¹⁰ Et juxta hanc rationem, quanto amplius primis diebus homo augescit, tanto calidior existit: ¹¹ & quanto plus ultimis diebus marcescit, tanto frigidiorem esse necesse est.

XXV. Sani autem fiunt sua sponte illi prædicto modo dispositi ac affecti, ² plurimi quidem ab hora qua liquescere incipiunt, quinto & quadragesimo die. ³ Qui vero hoc tempus transgressi fuerint, anno finito sua sponte convalescunt, ⁴ nisi quid aliud mali gravioris hominem infestet. ⁵ Quicunque morbi sensim ex modici temporis caussa fiunt, ⁶ & quorum caussæ cognitu faciles sunt, ⁷ securissimos fore prædici possunt. ⁸ Curationem itaque ipsorum instituere oportet, ut caussæ morbi nos opponamus. ⁹ Sic enim solvitur utique id quod morbum in corpore fecit.

XXVI.

XXVI. [1] Ὁκόσοισι ψαμμώδεα ὑφίσταται, ἢ πῶροι ἐν τοῖσιν οὔροισι, τούτοισι τὴν ἀρχὴν φύματα ἐγγίνεται ἐν τῇ φλεβὶ τῇ παχείῃ, καὶ διεπύησεν. [2] ἔπειτα δὲ, ἅτε οὐ ταχέως ἐκρηγνυμένων τῶν φυμάτων, πῶροι ξυνεπάγησαν ἐκ τοῦ πύου, [3] οἵ τινες ἔξω θλίβονται διὰ τῆς φλεβὸς ξὺν τῷ οὔρῳ ἐς τὴν κύστιν. [4] ὁκόσοισι δὲ αἱματώδεα μὲν τὰ οὐρήματα, τούτοισιν αἱ φλέβες πεπονήκασιν. [5] ὁκόσοισι δὲ ἐν τῷ οὐρήματι παχεῖ ἐόντι, σαρκία μικρὰ τριχοειδέα ξυνεξέρχεται, ταῦτα δὲ ἀπὸ τῶν νεφρῶν εἰδέναι χρὴ ἐόντα, καὶ ἀπὸ τῶν ἀρθριτικῶν. [6] ὁκόσοισι δὲ καθαρὸν τὸ οὖρον, ἄλλοτε καὶ ἄλλοτε, οἷον πίτυρα ἐπιφαίνεται ἐπὶ τοῦ οὐρήματος, τούτων ἡ κύστις ψωριᾷ.

XXVII. Οἱ δὲ πλεῖστοι τῶν πυρετῶν γίνονται ἀπὸ τῆς χολῆς. [2] εἴδεα δὲ σφέων ἐστὶ τέσσαρα, [3] χωρὶς τῶν ἐν τῇσιν ὀδύνῃσι γινομένων, τῇσιν ἀποκεκριμμένῃσιν. [4] ὀνόματα δ' αὐτέοισίν ἐστι, ξύνοχος, ἀμφημερινὸς, τριταῖος, τεταρταῖος. [5] ὁ μὲν οὖν ξύνοχος καλεόμενος, γίνεται ἀπὸ πλείστης χολῆς καὶ ἀκρητεστάτης, [6] καὶ τὰς κρίσιας ἐν ἐλαχίστῳ χρόνῳ ποιέεται. [7] τὸ γὰρ σῶμα, οὐ διαψυχόμενον οὐδένα χρόνον, συντήκεται ταχέως, ἅτε ὑπὸ πολλοῦ τοῦ θερμοῦ θερμαινόμενον. [8] ὁ δὲ ἀμφημερινὸς μετὰ τὸν ξύνοχον ἀπὸ πλείστης χολῆς γίνεται, [9] καὶ ἀπαλλάσσεται τάχιστα τῶν ἄλλων. [10] μακρότερος δέ ἐστι τοῦ ξυνόχου, ὁκόσῳ ἀπὸ ἐλάσσονος γίνεται χολῆς, [11] καὶ ὅτι ἔχει ἀνάπαυσιν τὸ σῶμα· [12] ἐν δὲ τῷ ξυνόχῳ οὐκ ἀναπαύεται οὐδένα χρόνον.

XXIIX. Ὁ δὲ τριταῖος μακρότερός ἐστι τοῦ ἀμφημερινοῦ, καὶ ἀπὸ χολῆς ἐλάσσονος γίνεται. [2] ὁκόσῳ

XXVI. Quibuscunque arenosa aut tofi in urinis subsident, his initio tubercula circa crassam venam enata sunt, & suppurata; [2] postea vero tuberculis non cito effractis, tofi ex pure coaliti sunt, [3] qui per venam foras exprimuntur una cum urina in vesicam. [4] Quibuscunque vero cruentæ urinæ sunt, his venæ laborant. [5] Quibuscunque autem in urina crassa existente, carunculæ parvæ capilliformes simul prodeunt, eas à renibus prodire nosse oportet, & ab arthriticis. [6] Quibus vero pura urina est, & alias atque alias velut furfures in urina innatant, horum vesica scabiosa existit.

XXVII. Febres plurimæ à bile fiunt. [2] Species ipsarum quatuor sunt, [3] præter eas quæ ab occultis doloribus generantur. [4] Nomina ipsarum sunt; continens, quotidiana, tertiana, quartana. [5] Continens itaque appellata, à plurima ac meracissima bile provenit, [6] & judicationes quam brevissimo tempore facit. [7] Corpus enim nullo tempore perfrigeratum cito colliquescit, nimirum à multa caliditate calefactum. [8] Quotidiana vero post continentem à plurima bile generatur, [9] & præ reliquis celerrime discedit, [10] verum longior est continente, quanto à pauciore bile provenit, [11] & propterea quod requiem habet in ipsa corpus. [12] In continente vero non quiescit ullo tempore.

XXIIX. Tertiana autem longior est quam quotidiana, & à pauciore bile gignitur. [2] Quanto

ἢ πλείονα χρόνον ἐν τῷ τριταίῳ ἢ τῷ ἀμφημερινῷ τὸ σῶμα διαναπαύεται, τοσούτῳ χρονιώτερος οὗτος ὁ πυρετὸς τοῦ ἀμφημερινοῦ ἐστίν. [3] οἱ δὲ τεταρταῖοι, τὰ μὲν ἄλλα κατὰ τὸν αὐτὸν λόγον· [4] χρονιώτεροι δὲ μᾶλλα τῶν τριταίων εἰσὶν, ὁκόσῳ ἐλάττονί τι μέρος μετέχουσι χολῆς, [5] τῆς τὴν θερμασίην παρεχούσης, [6] τοῦ τε διαψύχεσθαι τὸ σῶμα πλεῖον μετέχουσι. [7] προσγίνεται δὲ αὐτέοισιν ἀπὸ μελαίνης χολῆς τὸ περισσὸν τοῦτο καὶ δυσαπάλλακτον. [8] μέλαινα γὰρ χολὴ τῶν ἐν τῷ σώματι ἐνεόντων χυμῶν γλισχρότατον, [9] καὶ τὰς ἕδρας χρονιωτέρας ποιέεται.

XXIX. Γνώσῃ δὲ ἐκ τῶνδε, ὅτι οἱ τεταρταῖοι πυρετοὶ μετέχουσι τοῦ μελαγχολικοῦ· [2] φθινοπώρου γὰρ μάλιστα οἱ ἄνθρωποι ἁλίσκονται ὑπὸ τῶν τεταρταίων, [3] καὶ ἐν τῇ ἡλικίῃ ἀπὸ πέντε καὶ εἴκοσιν ἐτέων, ἕως τῶν πέντε καὶ τεσσαράκοντα. [4] ὅτι καὶ ἡ ἡλικίη αὕτη ὑπὸ μελαίνης χολῆς κατέχεται μάλιστα πασέων τῶν ἡλικιῶν, [5] ἥ τε φθινοπωρινὴ ὥρη μάλιστα πασέων τῶν ὡρέων ἐπιτηδειοτάτη. [6] ὁκόσοι δ' ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης καὶ τῆς ἡλικίης ὑπὸ τοῦ τεταρταίου, [7] εὖ χρὴ εἰδέναι μὴ χρόνιον ἐσόμενον τὸν πυρετόν, [8] ἐὰν μὴ ἄλλο τι κακουργῆται ὁ ἄνθρωπος.

vero longiori tempore in tertiana corpus quiescit quam in quotidiana, tanto diuturnior hæc febris est quam quotidiana. [3] At vero quartanæ reliquæ juxta eandem rationem habent, [4] sed tertianis diuturniores sunt, quanto pauciore bilis parte participant, [5] unde caliditas augetur, [6] & propterea quod corpus in ipsis plus perfrigescit, [7] id quod ab atra bile ipsis contingit superflue adeo ut ægre frigus depelli possit. [8] Atra enim bilis inter omnes corporis humores viscosissima est, [9] & sedes diuturnissimas facit.

XXIX. Quod autem quartanæ febres atræ bilis participes sint, vel hinc condiscere licet. [2] Autumno enim maxime homines à quartanis corripiuntur, [3] & in ætate à quinque & viginti annis, usque ad quadragesimum quintum. [4] Hæc autem ætas præ omnibus aliis maxime à bile atra infestatur, [5] & autumni tempus omnium anni temporum ad eandem aptissimum est. [6] Quicunque autem extra hoc tempus & ætatem à quartana corripiuntur, [7] pro certo scire oportet eam febrem non fore diuturnam, [8] nisi quid aliud gravioris mali hominem infestaverit.

ΔΗΜΟΣ

ΔΗΜΟΚΡΙΤΟΣ Ἱπποκράτει περὶ φύσιος ἀνθρώπου.

Basil. græc. pag. 53. — Foesius sect. v. 75. 516.

ΧΡΗ πάντας ἀνθρώπους ἰητρικὴν τέχνην ἐπίστασθαι, ὦ Ἱππόκρατες. [2] καλὸν γὰρ ἅμα καὶ ξυμφέρον ἐς τὸν βίον. [3] τούτων δὲ μάλιστα τοὺς παιδείας καὶ λόγων ἴδριας γεγενημένους. [4] ἰητρικὴν σοφίης γὰρ δοκέω ἰητρικῆς ἀδελφὴν καὶ ξύνοικον. [5] σοφίη μὲν γὰρ ψυχὴν ἀναρρύεται παθέων· [6] ἰητρικὴ δὲ νούσους σωμάτων ἀφαιρέεται. [7] αὔξεται ἡ νοῦς παρεούσης ὑγιείης, [8] ἣν καλὸν προνοέειν τοὺς ἐσθλὰ φρονέοντας, [9] ἕξιος δὲ σωματικῆς ἀλγεούσης, οὐδὲ προθυμίην ἔχει νόος ἐς μελέτην ἀρετῆς. [10] νοῦσος γὰρ παρεοῦσα δεινῶς ψυχὴν ἀμαυροῖ, [11] φρόνησιν ἐς συμπαθείην ἄγουσα. [12] φύσιος δὲ ἀνθρωπίνης ὑπογραφὴ θεωρίην ἔχει τοιήνδε. [13] ὁ μὲν ἐγκέφαλος φρουρέει τὴν ἄκρην τοῦ σώματος, [14] ἀσφαλείην ἐμπεπιστευμένος, [15] ὑμέσι νευρώδεσι [illegible]. [16] ὑπὲρ ὀστέων διπλοαὶ φύσιες ἀναγκαίης ἀρηρυῖαι, [17] δεσπότην φύλακα διανοίης καλύπτουσιν ἐγκέφαλον, [18] τριχῶν εὐκοσμίη χρῶτα κοσμῶσαι. [19] τὸ δὲ τῶν ὀμμάτων ὁρητικὸν [20] ἐν πολυχίτωνι φωλεῦον, [21] ὑγροῦ ἐνστάσιας ὑπὸ μετώπων κολασίη συνίδρυται· [22] θεωρίης δὲ αἴτιον. [23] ἀτρεκὴς δὲ κόρη

DEMOCRITUS Hippocrati DE NATURA HOMINIS.

Basil. lat. pag. 687.

OMNES homines artem medicam nosse oportet, ô Hippocrates. [2] (Est enim res honesta simul ac utilis ad vitam.) [3] & ex his maxime eos, qui eruditionis ac eloquentiæ cognitionem habent. [4] Nam sapientiæ cognitionem medicinæ sororem ac contubernalem esse puto. [5] Sapientia enim animam ab adfectibus liberat. [6] Medicina vero morbos à corporibus aufert. [7] Augescit autem intelligentia, præsente sanitate; [8] cujus providentiam habere honestum est eos qui recte sentiunt. [9] At ubi corporis habitus ægrotat: neque mens ipsa alacritatem habet ad virtutis meditationem. [10] Morbus enim præsens animam vehementer obscurat, [11] intelligentiam ad adfectionem per consensum ducens. Cæterum naturæ humanæ descriptio, ejusmodi speculationem habet. [12] Cerebrum quidem supremam corporis partem custodit, [13] & securitatis tutelam sibi commissam habet, [14] intra membranas nervosas cohabitans. [15] Super quod duplicatorum ossium naturæ necessariæ firmatæ, [16] dominum mentis custodem, [17] ipsum cerebrum tegunt. [18] Pilorum decor est, cutem ornare. [19] Oculorum vero vis visiva [20] in multiplici tunica latitans, ob humoris instantias, [21] sub frontem in medelam collocata est, [22] & est videndi causa. [23] Pupilla vero sin-

κόρη. 24 φύλακα περσὸν δὲ χαμαλέης ὑπομένει. 25 δίπλοοι δ' ῥώθωνες, 26 ὀσφρήσιος ἐπιγνώμονες, 27 διορίζουσιν ὀφθαλμῶν γειτονίην. 28 μαλακὴ δὲ χειλέων ἁφή, στόματι περιπλεκομένη, 29 ῥημάτων αἴσθησιν, 30 ἀκριβῆ τε διάρθρωσιν παρέχηκε κυβερνωμένη. 31 γένειον δ' ἀκροτελὲς 32 καὶ χελωνίον, 33 γόμφοις συνηρμοσμένον. 34 εὐδοχεῖα δὲ μύθων ὦτα δημιουργὸς ἀνέῳξεν. 35 οἷς ἐπιὼν ὁ θυμός, οὐκ ἀσφαλὴς διήκονος ἀλογιστίης γίγνεται. 36 λαλιῆς μήτηρ γλῶσσα, 37 ψυχῆς ἄγγελος, 38 πυλωροῦσα τὴν γεῦσιν, 39 ἐχυροῖς ὀδόντων θριγκοῖσι πεφρούρηται. 40 βρόγχος δὲ καὶ φάρυγξ, ἡρμοσμένοι ἀλλήλοις, γειτνιῶσιν. 41 ὁ μὲν γὰρ ἐς κέλευθον πνεύματος· 42 ὁ δὲ ἐς βυθὸν κοιλίης τροφὴν καταπέμπει, λάβρον ὠθούμενος. 43 κωνοειδὴς δὲ 44 καρδίη βασιλίς, 45 ὀργῆς τιθηνός, 46 πρὸς πᾶσαν ἐπιβουλὴν ἐνδέδηκε θώρηκα. 47 θαμινὰ δὲ πνευμάτων σήραγγες ἠέρος διοδευόμεναι, φωνῆς αἴτιον πνεῦμα τίκτουσι. 48 τὸ δὲ χορηγὸν αἵματος, καὶ μεταβάλλον ἐς τροφήν, ξὺν λοβοῖς πολλάκις κοιλίην τε περίπλεόν ἐστιν ἧπαρ, 49 ἐπιθυμίης αἴτιον. 50 χλωρὴ δὲ χολὴ πρὸς ἥπατι μένουσα, καὶ διαφθορὴ σώματος ἀνθρωπίνου ὑπερκλύζουσα γίγνεται· 51 βλαβερὸς δὲ σώματος ἀνθρωπίνου καὶ ἀνωφελὴς ἔνοικος, 52 σπλὴν ἀπέναντι εὕδει, 53 πρῆγμα μηδὲν αἰτεόμενος. 54 μέση δὲ τουτέων χορεύει 55 πανδέκτειρα κοιλίη, 56 καὶ ἐπικλιάζεται 57 διοικεῦσα τὴν πέψιν. 58 ἔνοχα δὲ κοιλίης συνθέσεως δημιουργίῃ συνδεδεμένα, 59 εἰλεύ-

sincera, 24 palpebræ marginem opportunitatis custodem sustinet. 25 Duplices autem nares 26 olfactum dignoscentes, 27 oculorum vicinitatem dirimunt. 28 Mollis vero labiorum contactus os circumplicans, 29 verborum sensum, 30 exactamque articulationem gubernans exhibet. 31 Mentum autem in extremitatem desinens, 32 ac lyræ simile, 33 dentium clavis coaptatum est. 34 At sermonum receptacula aures, opifex aperuit: 35 in quibus dum est sermo, non certus temeritatis minister exsistit. 36 Loquelæ mater lingua, 37 animæ nuncius, 38 gustum custodiens, 39 munitis dentium septis custodita est. 40 Guttur autem & gula inter se conjuncta, vicina sunt. 41 Illud enim in viam spiritus: 42 hæc in profundum ventris, alimentum demittit, large id propellens. 43 Regium vero cor, 44 cono ac pineæ nuci simile, 45 iram nutriens, 46 adversus omnes insidias thoracem induit. 47 Frequenter autem flatuum cavernæ aëre per ipsas erumpente, vocis causam flatum pariunt. 48 Quod vero sanguinem suppeditat, & in alimentum transmutat, cum apicibus, sæpe vena cava circumfluum, hepar est, 49 concupiscentiæ causa. 50 Viridis autem bilis juxta hepar manens ubi superebullit, humani corporis corruptio est, 51 & nocivus ac inutilis corporis humaui inquilinus 52 Veruntamen vice versa dormit, 53 nullum negocium exhibens. 54 Inter hæc autem medius 55 omnia suscipiens venter chorum ducit, 56 & accumbit, 57 concoctionem gubernans. 58 Obnoxia vero ventris compositioni, per opificium convoluta, 59 cir-

59 εἰλεῦνται περὶ κοιλίην ἔντερα, 60 λήψιος καὶ ἀποκρίσιος αἴτια. 61 δίδυμοι δὲ νεφροί, 62 ἰσχίοισιν ἐνηδρασμένοι, 63 καὶ ἠμφιεσμένοι δημῷ, 64 οὔρων ἐκκρίσιος οὐκ ἀλλότριοι πεφύκασι, 65 κύριος δὲ ἁπάσης κοιλίης 66 ὁ καλεύμενος ἐπίπλους, 67 γαστέρα πᾶσαν ἐμπεριείληφε, 68 μόνου σπληνὸς ἄτερ. 69 ἑξῆς νευρώδης κύστις, 70 ἰσχίῳ στόμα ἐνηδρασμένη, 71 συμπεπλεγμένων ἀγγείων, 72 οὔρων ἐκκρίσιος αἰτίη γίνεται. 73 ἡ πυλωρὸς, μυχοῖς ἰσχίων βρύαζα σπείρῃ, 74 σφίγγεται νεύροισιν. 75 ἐκ δὲ πλήθους ἐκχέουσα γαστρὸς φύσιος. 76 ἡ δὲ γείτων ταύτησι μήτηρ βρεφέων, 77 ἡ δεινὸν ἄλγος. 78 τῶν ἐν γυναιξὶ μόχθων μυρίων περαιτή, 79 πεφώλευκεν μήτηρ 80 ἐν τόκου περατοῖς. 81 ἐκ δὲ σώματος κρεμαστοὶ ἐκτὸς οἰκίην νέμονται 82 ἔκγονοι κλῆσιν ὄρχεις, 83 πολυχίτωνες ἐόντες. 84 ἀγνὸν ἥβη, ἀπὸ φλεβέων τε καὶ νεύρων πλέγμα, 85 οὔρων ἔκχυσιν ποιεύμενον, 86 συνουσίας ὑπουργὸν φύσιος ἀποδεδημιούργηται, 87 ἄρρεξιν ἥβης πυκαζόμενον. 88 σκέλη δὲ 89 καὶ βραχίονες 90 καὶ τὰ προσηρτημένα τελευταῖα ἄκρα, 91 διηνεκῆ πάντων ἀρχὴν συναθροισμένα, 92 ἔχοντα νεύρων τὴν ἀσφαλῆ λειτουργίην, τελέουσιν. 93 ἡ δὲ ἀσώματος ἐν μυχοῖς φύσις 94 ἐξέτευξε παντόμορφα σπλάγχνων γένη. 95 ἃ δὴ θάνατος ἐπιστάς, ὠκέως ἔπαυσε λειτουργίης.

59 circum ventrem evolvuntur intestina, 60 adsumptionis & excretionis causæ. 61 Gemini autem renes 62 in coxis firmati, 63 & pinguedine intecti, 64 ab urinarum excretione non sunt alieni. 65 At dominus totius ventris, 66 qui Omentum vocatur, 67 totum ventrem complectitur, 68 solo splene excepto. 69 Consequenter, nervosa vesica 70 in coxa osculum firmatum habens, 71 venis complicatis, 72 urinarum excretionis causa est. 73 Huic autem vicina mater puerorum, 74 vehemens illud malum, 75 infinitarum ærumnarum in muliere causa, 76 uterus ipse latitat. 77 Pylorus autem sive Janitor, ex coxarum recesso emergens caro, 78 nervis adstringitur. 79 Verum de plenitudine naturæ ventris effundit, 80 ex opificii providentia. 81 Porro extra corpus pensiles domum incolunt, 82 ad generationem destinati, conditores testiculi, 83 multis tunicis præditi. 84 Jucundum ex venis ac nervis plicamentum est pubes, 85 quæ urinarum effusionem facit, 86 & ad coitus ministerium à natura creata est, 87 & pubertatis apperentiam tegit. 88 Crura vero 89 & brachia, 90 & extremæ partes his annexæ, 91 totum ministerii principium coacervatum habentes, 92 tutum nervorum ministerium perficiunt. 93 At vero incorporea in recessibus natura, 94 omnifaria viscerum genera fabricavit; 95 Quæ sane mors instans, celeriter à ministerio quieta reddit.

HIPPOCRATIS

DE

STRUCTURA HOMINIS, ad Perdiccam, Macedonum Regem.

MUNDUS quatuor ex elementis consistit, igne, aëre, terra, & aqua: [2] calido videlicet, humido, frigido, & sicco. [3] Iisdem ex elementis quatuor totidemque humoribus & homo consistit: [4] sanguine scilicet, pituita, flava, & atra bile. [5] Et sanguis quidem aëri, [6] pituita aquæ, [7] flava autem bilis igni, [8] atra vero terræ similatur. [9] Sanguis enim gustu dulcis est: [10] pituita, salsa: [11] flava bilis, amara: [12] atra vero, acetosa, [13] & flavescens. [14] Sanguinis autem locus, [15] & spiritus in corde est. [16] A dextris quidem ejus sanguis, [17] à sinistris vero, spiritus consistit. [18] Flavæ bilis in jecinore: [19] atræ in liene: [20] pituitæ quidem in cerebro locus. [21] Sanguis autem calidus & humidus: [22] pituita frigida & humida: [23] flava bilis, calida & sicca: [24] atra vero sicca & frigida.

II. Arteriæ quidem à corde purum sanguinem, [2] & spiritum recipiunt. [3] Venæ autem & ipsæ à corde sanguinem sumunt: [4] per quas corpori distribuitur. [5] Sed jecur cordi sanguinem non præter veri fidem affatim suppeditat. [6] Nam ignis absque materia permanere neutiquam potest. [7] Quo fit ut nonnulli hominum semper quasi rideant, quidam vero tristentur: [8] hujus rei ex elementis causam esse dicimus. [9] Qui enim puri sanguinis non inexpertes sunt, hi usquequaque rident, [10] & aspectu ac corpore floridi, [11] necnon perspicui coloris existunt. [12] Qui vero flavæ bilis participes sunt, desides, pusillanimes, pavidi, imbecillesque esse solent. [13] Pituitosi vero inertes & frigidi sunt.

III. Reminisci autem, [2] & esse prudentia præditum, [3] ex cerebro, inter calidum frigidumque admodum temperato, provenit. [4] Oblivio vero, ex cerebri frigiditate procedit. [5] Passio autem, quæ frenesis nuncupatur, ex perurentibus febribus fit. [6] Vaporibus enim, ex visceribus per dorsum ad cerebrum emissis, [7] ejus humidum arescit, [8] & homo mente captus efficitur: [9] & cerebrum oleo quocunque frigidæ qualitatis per aures, [10] vomitusque humectare oportet. [11] Lethargus vero & ipse cerebri passio est: [12] cum enim cerebrum frigidis humoribus repletum fuerit, hinc passio quæ Lethargus appellatur, hominem occupat: [13] & calefacientibus cerebro opitulari expedit. [14] Paralysis vero fit à frigido, crudoque humore, qui à cerebro demissus in oculum, sive in aliquam labiorum partem, seu in totam dimidiamque faciem descendit. [15] Per nares cerebrum purgantia adhibere oportet: [16] & extrinsecus Isobrium contusum (herba est quæ & Maros & Origanis dicitur) ignis suffitu, [17] seu cauteriis per aures applices.

IV. Quæcunque autem passiones in capite fiunt, ex stomacho

macho oriuntur. [2] Exempli caussa: Vomicæ, strumæ, dentium dolores, tonsillæ, angina, suffocationes, anhelitus difficultas, & reliqua. [3] Caput autem futuras habet tres: [4] inveniuntur & solidum absque futuris caput, [5] & hoc quidem humidum est. [6] Crispos vero capillos habere, calidioris capitis signum est. [7] At recti crines, ex supervacuo qui in capite est humore fiunt. [8] Flavedo capillorum ex flava bile: [9] calvicies vero ex caliditate provenit. [10] Articulatæ vocis species tres habentur: gravis, acuta, & media: [11] hæc à spiritu procedunt.

V. Iecur autem, ipsum alimentum triplici digestione in succum redigit. [2] Ex prima digestione cor alimenti qualitatem, saporem videlicet, suscipit; [3] & puri sanguinis procreatio fit. [4] Secundam digestionem iecur desumit, & corporis partibus alimentum largitur: [5] unde flavæ bilis constitutio fit: [6] lien vero ex sanguinis fece alitur: [7] unde & melancholicum humorem constitui certum est. [8] Cerebrum autem à stomacho humectatur, [9] & pituitæ exuberantiam peragit. [10] Tertia digestione alimentum superne in stomacho in succum vertitur: [11] & tunc reseratur janitor qui ventriculus nuncupatur, quoniam transitus tantum facultatem subministrat. [12] Inde alimentum in inferiorem ventrem demittitur. [13] Alvus vero à pituita ciborum acerbitatis gratia, oblectamentum sentit. [14] Humidum autem excrementum, per renes, ac sejunctos ipsius excrementi meatus in vesicam, [15] id est in phuscam descendit: [16] in vesicam enim aqua ingreditur.

VI. Sensus in homine quinque habentur, [2] visus, olfactus, auditus, gustus, & tactus. [3] Nam visus ex æthere: olfactus ex aere: [4] auditus ex igne: [5] gustus ex humido: [6] tactus vero ex terra fit. [7] Homo autem ex quatuordecim quibusdam constitit: Nervis, venis, arteriis, sanguine, spiritu, carne, adipe, cartilagine, unguibus, ossibus, medullis, capillis, membranis, humoribus. [8] Horum autem excretiones, maribus quidem sicco & humido excremento, vomitibus, oculis, naribus, sputis, sudoribus, venereis, incertis meatibus, capillis & unguibus fiunt: [9] fœminis vero ad hæc duo adduntur, purgationes lactis videlicet, & menstruorum. [10] Lac autem, & eodem modo genitale semen hominis, ex sanguine gignuntur. [11] & hoc certum est: [12] si enim homo genitali plus nimio utetur, sanguinem pro semine emittet. [13] Similiter autem & fœminæ, si plus nimio factare cogentur, sanguis elicitur.

VII. Spina autem hominis habet vertebras viginti quatuor, [[2] &] costas totidem. [3] Dentes cum maxillaribus duo supra triginta sunt, [4] anteriores autem dividentes, qui & secantes appellantur. [5] Stomachus palmos habet quinque. [6] Intestina cubitos tredecim. [7] Nomina digitorum, pollex, index, medius, annularis, auricularis. [8] Ungues frigidi siccique temperamenti sunt.

VIII. Anni vero tempora quatuor habentur, ver, æstas, autum-

autumnus, & hyems. [2] Ver, calidum & humidum est: [3] ideo sanguinis in corpore incrementum fit. [4] Æstas calida & sicca: [5] ideo flavam auget bilem. [6] Autumnus siccus & frigidus: [7] ideo atram bilem, [8] & saniem auget. [9] Sanies quidem sanguinea & aquosa est. [10] Hyems vero pituitam in corpore adauget. [11] Nam quatuor hominis elementa, id est humores, ad tempora quatuor dividuntur. [12] Ideo solarem conversionem speculari, [13] & affecti temperamentum, [14] & ad hæc curationibus uti opus est.

IX. Si enim verno tempore juvenis adversa premetur valetudine, [2] sanguinis exuperantiæ causa patitur, [3] quem per venæ sectionem emittere opus est. [4] Et si pleuresi unius diei spatio, vel duorum seu trium laboraverit, [5] venæ sectione affecto opitulandum, [6] priusque ipsum opprimat passio, [7] & affecti vires deficiant. [8] Homini vero venæ sectio perutilis est: [9] & tempus quidem quo ipsa utendum, à Februario incipit: [10] & rursus à Septembri principium sumendo, ad septimam ejusdem perduret. [11] Æstate aliquo ægrotante, ad passionis initia purgamina adhibenda.

X. Sic considerantes, ô Rex, & aliorum curam agentes, [2] quid ad vitæ rationem corporibus præstet, [3] & quod congrue alimenta fuggerat, [4] ac debito opponat ordini, [5] non satis pro diligentia nostra, [6] & qui humana aggrediuntur corpora morbos deprehenderimus, [7] nunc accuratius perspicientes, [8] summatimque describentes,

[9] medicinalem sphæram ad te mittimus, [10] per quam ægritudines, quæ humana corpora occupare solent, [11] & ad præsentem horam, ac decurrentis anni tempora, hujusmodi calamitatibus opitulari queas. [12] Si autem hæc accuratius egeris, diu citra omnem adversam valitudinem per omne tempus vita frueris. [13] Et si hæc quæ potissimum optimæ valitudini tuæ vim præbeant, [14] quæque hominum generi conducant, peregeris, [15] ita in omnibus te incolumem vitam deprehendes elegisse. [16] Et quamvis ardua admodum sphæræ ratio habeatur, eam tamen perscriptam tibi præbemus.

XI. A Vergiliarum occasu ad hyemale solstitium, dies undequinquaginta: hoc est, à duodecimo Novembris ad finem Decembris sunt. [2] Hi quidem dies pituitam augent. [3] Balneis autem jejunus, sudores excitando, detergendoque, [4] & ex venereis ac laboribus uteris. [5] Ab hyemali solstitio ad vernale æquinoctium, dies quatuor & octoginta: à prima videlicet Januarii ad quintum supra vigesimum Martii. [6] Hi dies humiditatum & sanguinis exuberantiam peragunt. [7] Deambulationibus, [8] & siccis quæ ad victum pertinent, [9] delicisque ac venereis, [10] bene que alentibus utendum. [11] A vernali æquinoctio ad Vergiliarum ortum, dies undequinquaginta: scilicet à vigesimo quinto Martii ad tertiumdecimum Martii. [12] Hi dies sanguinem augent. [13] Redolenti vino, [14] & venereis, [15] ac laboribus uteris [16]. A Vergiliarum autem

exortu ad æstivum solstitium, dies quadraginta duo: à tertia decima Maji ad vigesimum tertium Junii. [17] Hi enim dies flavæ bilis augendæ facultatem obtinent. [18] Dulcibus & aquosis utendum, ducendæ alvi cura agenda, [19] & à venereis, ac laboribus abstinendum est. [20] Ab æstivo vero solstitio ad æquinoctium autumnale, dies nonaginta tres: ab vigesimo quarto Junii, ad vigesimum quintum Septembris. [21] Hi dies atram bilem augent. [22] Frigidis & aquosis, [23] redolenti vino, [24] ac salitis uti opus est: [25] à venereis vero abstinendum censemus. [26] Ab autumnali æquinoctio ad Vergiliarum occasum, dies duodequinquaginta: à vigesimo quinto Septembris ad duodecimum Novembris: [27] Hi enim dies saniem augent. [28] Acetosis, acerbisque, [29] & venereis, [30] ac laboribus uti expediet.

XII. Si ad hæc observanda curam, ô Rex, impenderis, [1] citra omnem tristitiam doloremque in reliquum vita frueris. [2] Hac se divisione sic habente, annus in dies quinque ac sexaginta supra trecentos colligitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΑΝΑΤΟΜΗΣ.

Basil. græc. Foesius sect. VI. 194. 915.

pag. 54 ΑΡΤΗΡΙΗ, ἐξ ἑκατέρου φαρυγέθρου τὴν ἔκφυσιν ποιευμένη, [2] ἐς ἄκρον πνεύμονος 25 τελευτᾷ, [3] κρίκοισι ξυγκειμένη ὁμοιοπρεπέσι, [4] τῶν περιηγέων ἁπτομένη κατ' ἐπίπεδον ἀλλήλων. [5] αὐτὸς δὲ ὁ πνεύμων συνεχέα πληροῖ τὴν χέλυν, [6] πεπρημένος ἐς [τε τὰ δεξιὰ καὶ] τὰ ἀριστερά, [7] πέντε ὑπερκορυφώσιας ἔχων, ἃς δὴ καλέουσι λοβούς, [8] τεφρώδης χροιῆς τυχών, [9] στίγμασιν ἀφρώδεσι κεκεντημένος, [10] φύσει ἐὼν τενθρηνιώδης. [11] μέσῳ δ' αὐτέῳ ἡ καρδίη ἐγκαθίδρυται, [12] στρογγυλωτέρη καθεστῶσα πάντων ζῴων. [13] ἀπὸ δὲ 30 καρδίης ἐς ἧπαρ βρογχίη καθήκει φλέψ, [14] μεγάλη καλευμένη, [15] δι' ἧς ὅλον τὸ σκῆνος τρέφεται.

II. Τὰ

HIPPOCRATIS DE RESECTIONE.

Basil. lat.

ARTERIA ex utraque faucium parte exortum faciens, [2] in summitatem pulmonis definit, [3] circulis composita consimilibus rotundis, [4] in superficie se mutuo contingentibus. [5] Ipse autem pulmo testudinem coadimplet, [6] in sinistram conversus, [7] quinque apices habens, quos lobos & summitates vocant, [8] cinereo colore præditus, [9] notis cavernosis compunctus, [10] naturaque antrosus existens. [11] Ad medium vero ipsius cor situm est, [12] rotundius ac oblongius quam in omnibus animalibus. [13] A corde vero ad hepar multa cartilaginosa arteria procedit, [14] & cum ipsa vena magna appellata, [15] per quam totum corpus nutritur.

IV 47 pag. 78

II. He-

II. Τὸ δὲ ἧπαρ ὁμοιορυσμίην μὲν ἔχει τοῖς ἄλλοις ἅπασιν, [2] αἱμορροωδέστερον δὲ ἐστι τῶν ἄλλων. [3] ὑπερκορυφώσιας ἔχον δύο, ἃς καλέουσι πύλας, [4] ἐν δεξιοῖς τόποις κειμένας. [5] ἀπὸ δὲ τούτου σκολιὴ φλὲψ, ἐπὶ τὰ κάτω νεφρῶν ἀποτείνεται. [6] νεφροὶ δὲ ὁμοιορυσμοί. [7] τὴν χροιὴν δὲ, ἐναλίγκιοι μήλοισιν. [8] ἀπὸ δὲ τούτων ὀχετοὶ σκαληνοειδέες ἐς ἄκρην κορυφὴν κύστιος τείνουσι. [9] κύστις δὲ νευρώδης ὅλη [10] καὶ μεγάλη, [11] ἡ δὲ κατὰ τὴν κύστιν μεσοχὴ εἴσω πέφυκε. [12] καὶ τὰ μὲν ἓξ ἀνὰ μέσον σῶμα φύσις ἐκόσμησεν. [13] οἰσοφάγος δὲ, ἀπὸ γλώσσης τὴν ἀρχὴν ποιούμενος, [14] ἐς κοιλίην τελευτᾷ, ὃν δὴ καὶ ἐπὶ σπλάγχνης κοιλίης στόμαχον καλέουσι.

III. Πρὸς δὲ ῥάχιν, ὄπισθεν ἥπατος, [2] φρένες πεφύκασιν. [3] ἐκ δὲ πλευρῆς νόθης, [4] λέγω δὲ ἀριστερῆς, [5] σπλὴν ἀρξάμενος ἐκτέταται, [6] ὁμοιορυσμὸς ἴχνει ποδός. [7] κοιλίη δὲ ἥπατι παρακειμένη κατ' εὐώνυμον μέρος, [8] ὁλομελίη ἐστὶ νευρώδης. [9] ἀπὸ δὲ κοιλίης πέφυκεν ἔντερον, [10] ὁμοιορυσμόν, [11] μικρόν, [12] πηχέων οὐκ ἔλασσον δώδεκα, [13] ἑλικηδὸν ἐς κύκλους συνεπτυγμένον, [14] ὃ καλέουσιν ἔνιοι κόλον, [15] δι' οὗ ἡ παραφορὴ τῆς τροφῆς γίνεται. [16] ἀπὸ δὲ κόλου πέφυκεν ἀρχὸς λοίσθιος, [17] στέρκα πολυπληθέα ἔχων, [[18] καὶ] ἐς ἄκρον δακτύλιον τελευτῶν. [19] τὰ δὲ ἄλλα ἡ φύσις διέζευξε.

II. Hepar autem similitudinem quidem cum omnibus aliis habet, [2] verum sanguinolentius quam alia existit, [3] apices habens duos, quos portas appellant, [4] in dextris locis sitas. [5] Ab hoc vero obliqua vena inferne ad renes tendit. [6] Renes autem consimiles, [7] colore, malorum speciem præ se ferunt. [8] Ab his canales obliqui ac ferme triangulares in summum vesicæ apicem tendunt. [9] Vesica autem tota nervosa est, [10] magnaque [11] ac late se extendens capacitas intra eam à natura disposita est. [12] Et has sex partes intus per medium corpus natura disposuit. [13] Gula autem à lingua principium faciens, [14] in ventrem desinit, [15] quam sane Græci etiam œsophagum, & stomachum, id est os ventris significanter appellant.

III. Cæterum à spina retro hepar, [2] septum transversum productum est. [3] Ex latere vero notho, [4] sinistro videlicet, [5] lien initio sumpto extentus est [6] ad humani vestigii similitudinem. [7] Venter autem hepati adjacens juxta sinistram partem, [8] totus quidem est nervosus. [9] A ventre vero extat intestinum [10] ventri consimile, [11] longum cubitorum non minus duodecim, [12] pampinoformiter in finibus involutum, [13] quod aliqui colum vocant, [14] per quod alimenti delatio contingit. [15] A colo autem situm est rectum ac princeps intestinum postremum, [16] carnem copiosam habens, [17] & in summum anum desinens. [18] Reliqua porro natura ipsa ordinavit ac disposuit.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΚΑΡΔΙΗΣ.

HIPPOCRATIS DE CORDE.

Basil. græc. Foesius sect. III. 50. 268. Basil. lat.

ΚΑΡΔΙΗ, σχῆμα [1] μὲν ὁκοίη πυραμὶς, [2] χροιὴν δὲ κατακορέως φοινικέη. [3] καὶ περιβέβληται χιτῶνα λεῖον· [4] καὶ ἔστιν ἐν αὐτέῳ ὑγρὸν σμικρὸν, ὁκοῖον οὖρον [5] ὥστε δόξεις ἐν κύστει τὴν καρδίην ἀναστρέφεσθαι. [6] γεγένηται δὲ τούτου ἕνεκα, ὅκως πάλληται ῥωμαλέως ἐν φυλακῇ. [7] ἔχει δὲ τὸ ὕγρασμα, ὁκόσον μάλιστα καὶ πυρουμένῃ ἄκος. [8] τοῦτο δὲ τὸ ὑγρὸν διουρέει ἡ καρδίη, [9] πίνουσα ἀναλαμβανομένη καὶ ἀναλίσκουσα, [10] λάπτουσα τοῦ πλεύμονος τὸ ποτόν. [11] πίνει γὰρ ἄνθρωπος τὸ μὲν πολλὸν ἐς νηδύν· [12] ὁ γὰρ στόμαχος ὁκοῖον χώνη· [13] καὶ ἐνδέχεται τὸ πλῆθος, καὶ ὅσα προσαιρεόμεθα. [14] πίνει δὲ καὶ ἐς λάρυγγα· [15] πιθὸν δὲ, οἷον καὶ ὁκόσον ἂν λάθοι, διὰ ῥύμης ἐσρυέν.

II. Πῶμα γὰρ ἀτρεκὲς ἡ ἐπιγλωττὶς οὐκ ἂν διήσει, [οὐδὲ] μεῖζον ποτοῦ οὐδέν. [2] σημεῖον τοῦτο. [3] ἢν γάρ τις κυανῷ ἢ μίλτῳ φορύξας ὕδωρ δοίη δεδιψηκότι πάνυ πιεῖν, [4] μάλιστα δὲ συΐ· τὸ γὰρ κτῆνος οὐκ ἔστιν ἐπιμελὲς, οὐδὲ φιλόκαλον· [5] ἔπειτα δὲ, εἰ ἔτι πίνοντος ἀνατέμνοις τὸν λαιμὸν, εὕροις ἂν τοῦτον κεχρωσμένον τῷ ποτῷ. [6] ἀλλ' οὐ παντὸς ἀνδρὸς ἡ χειρουργίη. [7] οὐκ ἀπιστητέον ἡμῖν περὶ τοῦ ποτοῦ, εἰ

COR figura velut pyramis est, [2] colore autem abunde puniceum, [3] & tunicam lævem circumdatam habet, [4] & est in ipsa humor modicus velut urina, [5] ut putare possis in vesica cor diversari. [6] Facta est autem ea gratia, ut sanum in custodia florescat. [7] Habet autem humiditatem tantam quanta satis est æstuanti in medelam. [8] Cæterum hunc humorem cor emingit, [9] bibendo ipsum assumens ac consumens, [10] pulmonis nimirum potum lambens. [11] Etenim homo multo maximam partem in ventrem bibit. [12] Gula enim sive stomachus velut infundibulum, [13] potus copiam & quæcunque volumus excipit. [14] Bibit autem & in guttur ac arteriam, [15] minus vero & quantum latere possit per rimam illapsum.

II. Operculum enim exactum epiglossis, lingula sive minor lingua appellata, ne permiserit quidem aliquid amplioris potus penetrare. [2] Signum autem hujus rei hoc est. [3] Si quis enim aquam cæruleo colore, aut rubrica temperatam, sitienti valde bibendam dederit, [4] maxime sui (hoc enim pecus non est curiosum, neque mundiciei deditum:) [5] deinde dum adhuc bibit, ipsius guttur resecet, hoc colore ipsum tinctum reperiet: [6] sed non est cujusvis hæc chirurgiæ aggressio. [7] Nequaquam igitur fides nostra su-

ἐς ἀποπτύζει τὴν σύριγγα τοῦ ἀνθρώπου.

III. Ἀλλὰ πῶς ὕδωρ ἀθρόον ἀφεθὲν ἐνορεῖ ὄχλον καὶ βῆχα παρέχει πολλήν; [2] ὅτι, φημὶ, ἀντικρὺ τῆς ἀναπνοῆς φέρεται. [3] τὸ γὰρ διὰ τῆς ῥύμης ἐσρέον, ὥστε παρὰ τοῖχον ἰὸν, οὐκ ἐνίσταται τῇ ἀναφορῇ τοῦ ἠέρος, [4] ἀλλά τινα καὶ λείην ὁδὸν οἱ παρέχει ἡ ἐπίτεγξις. [5] τοῦτο δὲ τὸ ὑγρὸν ἀπάγει τοῦ πλεύμονος ἅμα τῷ ἠέρι. [6] τὸν μὲν οὖν ἠέρα χρὴ γενόμενον θεραπείην, ἀνάγκη ὀπίσω τὴν αὐτὴν ὁδὸν ἐκβάλλειν, ἔνθεν ἤγαγεν. [7] τὸ δὲ ὑγρὸν, τὸ μὲν ἐς τὸν κουλεὸν αὐτῆς ἀποπτύζει, [8] τὸ δ᾽ αὖ ἔξω τῷ ἠέρι θύραζε χωρεῖ. [9] ἐν ταύτῃ καὶ διαίρει τὸν οὐρανὸν, ὁκόταν παλινδρομέῃ τὸ πνεῦμα. [10] παλινδρομέει δὲ κατὰ δίκην. [11] οὐ γάρ ἐστιν ἀνθρώπου φύσιος τροφὴ ταῦτα. [12] πῶς γὰρ ἀνθρώπου τροφὴ ἄνεμος καὶ ὕδωρ τὸ ὠμόν; [13] ἀλλὰ μᾶλλον τιμωρίη ξυγγενέος πάθης.

IV. Περὶ δὲ οὗ ὁ λόγος, [2] ἡ καρδίη μῦς ἐστὶ κάρτα ἰσχυρὸς, οὐ τῷ νεύρῳ, ἀλλὰ πιλήματι σαρκός. [3] καὶ δύο γαστέρας ἔχει, διακεκριμένας ἐν ἑνὶ περιβόλῳ, τὴν μὲν ἔνθα, τὴν δὲ ἔνθα. [4] οὐδὲν δὲ ἐοίκασιν ἀλλήλῃσιν. [5] ἡ μὲν γὰρ ἐν τοῖσι δεξιοῖσιν ἐπὶ στόμα κέεται, [6] ὁμιλέουσα τῇ ἑτέρῃ φλεβί· [7] ἡ δὲ, δεξιὴ φημὶ τῶν ἐν λαιοῖς. [8] ἡ γὰρ πᾶσα καρδίη ταύτῃσι τὴν ἕδρην ἐμπεποίηται. [9] ἀτὰρ ἥδε καὶ πάμπαν εὐρυκοίλιος, [10] καὶ λαγαρωτέρη πολλῷ τῆς ἑτέρης, [11] οὐδὲ τῆς καρδίης νέμεται τὴν ἐσχατιὴν, [12] ἀλλ᾽ ἐγκαταλείπει τὸν οὐραγὸν, [13] καὶ στερεός ἐστιν, ὥσπερ ἔξω-

suspecta esse debet de potu, quod homini in guttur vergat.

III. Sed quomodo aqua acervatim irruens, turbationem ac tussim multam exhibet? [2] propterea inquam, quod contra respirationem fertur. [3] Quod enim per rimam illabitur, tanquam juxta parietem delabens, aëris elationi non instat, [4] sed lævem ac lubricam quandam viam humectatio ipsi præbet. [5] Hunc itaque humorem cor de pulmone una cum aëre abducit. [6] Aërem quidem igitur ubi in medelam cessit, necessario oportet retro per eandem viam qua adduxit rejicere. [7] Verum humorem partim in culeum ac vaginam suam expuit, [8] partim rursus una cum aere foras propellit. [9] Quapropter etiam palatum elevat, quum spiritus recurrit. [10] Merito autem recurrit. [11] Non enim humanæ naturæ alimenta hæc sunt. [12] Quomodo enim hominis alimentum sint ventus & aqua cruda? [13] sed sunt magis cognatæ affectionis castigatio & medela.

IV. Porro ut ad institutum sermonem revertamur: [2] Cor musculus est valde fortis non nervo, sed densitate ac constrictione carnis, [3] & duos ventriculos habet discretos in uno amiculo, ab utraque parte unum. [4] Nihil autem inter se similes sunt. [5] Alter enim in dextris ad osculum situs est, [6] contingens alteram venam. [7] Alter in sinistris. [8] Totum enim cor in his sedem suam firmavit. [9] Sed ille etiam omnino amplioris ventris, [10] & magis inanis quam alter est: [11] neque extremitatem cordis attingit, [12] sed caudam ejus ambit; [13] solidus item est, veluti

ἔξωθεν περιεστεμμένη. 14 ἡ δὲ στέρνη κέεται ὑπένερθεν μὲν μάλιστα, καὶ κατ' ἰθυωρίην, μάλιστα μὲν μαζῷ ἀριστερῷ. 15 ὅπη καὶ διασημαίνει τὸ ἅλμα. 16 περιβάλλεν δ' ἔχει παχὺν, 17 καὶ βόθρον ἐμβεβόθρωται τὸ εἶδος εἴκελον ὅλμῳ. 18 ἀλλὰ γὰρ ἤδη ἐκ τοῦ πλεύμονος ἐνδέεται μεσοζώνης τε, 19 καὶ κολάζει τὴν ἀκρασίην τοῦ θερμοῦ περιβαλλομένη.

v. Ὁ γὰρ πλεύμων φύσει ψυχρός· 2 αὐτὰρ καὶ ψυχόμενος τῇ εἰσπνοῇ. 3 ἄμφω γε μὴν δασέαι τὰ ἔνδον, καὶ ὥσπερ ὑποδιαβεβρωμέναι· 4 μᾶλλον [δὲ] τῆς δεξιῆς ἡ λαιή. 5 τὸ γὰρ ἔμφυτον πῦρ οὐκ ἐν τῇ δεξιῇ. 6 ὥστε θαῦμα, τρηχυτέρην γενέσθαι τὴν λαιὴν ἐσπνέουσαν ἀκρήτου. 7 ταύτῃ καὶ παχέων ἐνδέδμηται φυλακῆς εἵνεκα τοῦ ἰσχύος τοῦ θερμοῦ. 8 στόματα δ' αὐτέοισιν οὐκ ἀνέῳγασιν, εἰ μή τις ἀποκείρῃ τῶν οὐάτων τὴν κεφαλὴν, 9 καὶ τῆς καρδίης τὴν κεφαλήν. 10 ἣν δ' ἀποκείρῃ, φανήσεται καὶ διισσὰ στόματα ἐπὶ δυοῖν γαστέροιν. 11 ἡ γὰρ παχείη φλὲψ ἐκ μιῆς ἀναθέουσα πλανᾷ τὴν ὄψιν, ἢν ἀνατμηθῇ. 12 αὗται πηγαὶ φύσιος ἀνθρώπου· 13 καὶ οἱ ποταμοὶ ἐντεῦθεν ἀνὰ τὸ σῶμα, τοῖσιν ἄρδεται τὸ σκῆνος. 14 οὗτοι δὲ καὶ ζωὴν φέρουσι τῷ ἀνθρώπῳ· 15 κἢν αὐανθέωσιν, ἀπέθανεν ὥνθρωπος.

vi. Ἀρχῇ δὲ τῆς ἐκφύσιος τῶν φλεβῶν σώματα τῇσι κοιλίῃσιν ἀμφιβεβήκασι μαλθακὰ [καὶ] σηραγγώδεα· 2 ἃ κληΐσκεται μὲν οὔατα, 3 τρήματα δὲ οὐκ ἔστιν οὐάτων. 4 ταῦτα γὰρ οὐκ εἰσακούουσιν ἰαχῆς. 5 ἔστι δὲ ὄργανα τοῖσιν ἡ φύσις ἁρπάζει τὸν ἠέρα. 6 καί τοι δοκέω τὸ ποίη-

veluti extrinsecus affusus. 14 Alter autem subter sinistram mammam maxime in directum situs est, 15 ubi etiam saltus ipsius significationem sui præbet. 16 Amiculum autem habet crassum 17 itemque foveam. Foveæ enim speciem præ se fert similem mortario. 18 Sed enim hic etiam pulmonem subit cum mansuetudine: 19 & circumjectu ipsius, caloris intemperantiam castigat.

v. Etenim pulmo natura frigidus est, 2 sed & inspiratione perfrigeratur. 3 Ambo autem densi ac asperi sunt interna sui parte, & velut subeerosi, 4 magisque sinister quam dexter. 5 Nam insitus a natura ignis non est in dextro. 6 Quare mirum est sinistrum asperiorem fieri, ubi intemperatum aërem inspiraverit. 7 Quapropter etiam roboris caloris custodiendi gratia crassius intus constrictus est. 8 Oscula autem ipsis non sunt aperta, nisi si quis cordis auriculas præsecet, 9 aut caput cordis præcidat. 10 Si autem quis præsecet, apparebunt duplicia oscula in duobus ventriculis. 11 Crassa enim vena ex altero excurrens visum decipit, si fuerit resecta. 12 Hi fontes sunt humanæ naturæ, 13 & hic flumina, sunt quibus totum corpus irrigatur: 14 atque hi etiam vitam homini conferunt, 15 & ubi resiccati fuerint, homo moritur.

vi. At vero prope exortum venarum, corpuscula circum ventriculos consurgunt, mollia, cavernosa, 2 quæ auriculæ appellantur. 3 Non sunt autem foramina aurium, 4 non enim clamorem exaudiunt. 5 Verum sunt organa quibus natura aërem rapit. 6 Et sane videtur mihi boni

ποιήσας χειρώνακτος ἀγαθοῦ. [7] καταστησάμενος γὰρ σχῆμα στερεὸν ἐσόμενον τὸ σπλάγχνον [8] διὰ τὸ πιλητικὸν τοῦ ἐγχύματος, [9] ἔπειτα πᾶν ἐὸν ἑλκτικόν, [10] παρέθηκεν αὐτέῳ φύσας, καθάπερ τοῖσι χοανοῖσιν οἱ χαλκέες, [11] ὥστε διὰ τουτέων χειροῦται τὴν πνοήν. [12] τεκμήριον δὲ τοῦ λόγου. [13] τὴν μὲν γὰρ καρδίην ἴδοις ἂν ῥιπταζομένην ὁλομελῆ. [14] τὰ δ' οὔατα κατ' ἰδίην ἀναφυσώμενά τε καὶ ξυμπίπτοντα.

VII. Διὰ τοῦτο δέ φημι καὶ φλέβια μὲν ἐργάζεται τὴν ἀναπνοὴν ἐς τὴν ἀριστερὴν κοιλίην· [2] ἀρτηρίη δ' ἐς τὴν ἄλλην. [3] τὸ γὰρ μαλακὸν ἑλκτικώτερον, καὶ ἐπιδόσιας ἔχει. [4] ἔχρῃζε δὲ ἡμῖν μᾶλλον τὰ ἐπικείμενα τῆς καρδίης διαψύχεσθαι βλήμασι. [5] ἔστι γὰρ τὸ θερμὸν [καὶ] οὐκ ἐν τοῖσι δεξιοῖσιν. [6] ὥστε διὰ τὴν πάθην οὐκ ἔλαβεν εὐπετὲς ὄργανον, ἵνα μὴ πάμπαν κρατηθῇ ὑπὸ τοῦ ἐσιόντος. [7] λοιπός ἐστιν ὁ λόγος ὁ τῆς καρδίης ὑμένες ἀφανέες, ἔργον ἀξιαφηγητότατον. [8] ὑμένες γὰρ καὶ ἄλλοι τινὲς ἐν τῇσι κοιλίησιν, ὁκοῖον ἀράχναι διαπετέες, [9] ζώσαντες πάντῃ τὰ στόματα, [10] κρηπῖδας ἐμβάλλουσιν ἐς τὴν στερεὴν καρδίην. [11] οὗτοί μοι δοκέουσιν οἱ τόνοι τοῦ σπλάγχνου καὶ τῶν ἀγγείων, [12] ἀρχαὶ [δὲ] τῇσιν ἀορτῇσιν. [13] ἔστι δὲ αὐτέων ζεῦγος.

VIII. Καὶ θύρῃσι μεμηχάνηνται τρεῖς ὑμένες ἑκάστῃ, [2] περιφερέες ἐξ ἄκρου τοῦ, ὁκόσον ἡμίτομα κύκλου. [3] οἵ τε ξυνιέντες θαυμάζουσιν, ὡς κλείουσι τὰ στόματα τῶν ἀορτέων πέρας. [4] καὶ τὴν καρδίην ἀποθανόντος ἢν τις ἐξεπιστάμενος τὸν

ac præstantis artificis opificium esse. [7] Quum enim considerasset figuram solidam futuram ipsius visceris, [8] propter sanguinis ex venis effusi collectionem ac concretionem, [9] deinde attractorium ipsum esse totum vidisset, [10] folles ipsi apposuit, quemadmodum fabri ferrarii fornacibus solent, [11] quo per ipsos spiritum apprehenderet. [12] Signum autem sermonis hoc est. [13] Etenim cor videas ex toto ventilari, [14] aures vero privatim tum inflari, tum considere ac contrahi.

VII. Et propter hoc etiam dico, quod venæ quidem operantur respirationem in sinistrum ventriculum, [2] arteria autem in alterum. [3] Molle enim magis attrahit, & incrementum capit. [4] Oportebat autem nobis magis incumbentia cordis tegmina perfrigerari. [5] Est enim calor non in dextris: [6] quare propter hanc affectionem, non acceperunt amplum organum, ut ne in totum ab ingrediente aëre superarentur. [7] Restant dicendæ cordis pelliculæ latentes, opus dignissimum cognitione. [8] Sunt enim & aliæ quædam in ventriculis pelliculæ, velut araneorum telæ extentæ, [9] quæ undiquaque oscula cingunt, [10] & strias ac segmenta in solidum cor inferunt. [11] Hæ mihi nervi ipsius visceris, & vasorum [12] principia aortis esse videntur: [13] est autem ipsarum par unum.

VIII. Cæterum osculis singulis tres pelliculæ subornatæ sunt, [2] rotundæ in summo, velut circulus semisectus. [3] Et qui rei intelligentes sunt admirantur, quomodo oscula & aortarum fines claudunt. [4] Et si quis veteris, eximendi cor mortui, mo-

ris

τὸν ἀρχαῖον κόσμον ἀφελών, ⁵ τὸν δὲ μὲν ἀποστερήσῃ, τὸν δὲ ἐπανακλινεῖ, ⁶ οὔτε ὕδωρ ἂν διέλθοι ἐς τὴν καρδίην, οὔτε φῦσα ἐμβαλλομένη. ⁷ καὶ μᾶλλον τῶν τῆς ἀριστερῆς. ⁸ τῇ γὰρ ἐμηχανήθησαν ἀτρεκέστερον κατὰ δίκην. ⁹ γνώμη γὰρ ἡ τοῦ ἀνθρώπου πέφυκεν ἐν τῇ λαιῇ κοιλίῃ, ¹⁰ καὶ ἄρχει τῆς ἄλλης ψυχῆς. ¹¹ τρέφεται δὲ οὔτε σιτίοισιν, οὔτε ποτοῖσιν ἀπὸ τῆς νηδύος, ¹² ἀλλὰ καθαρῇ καὶ φωσφόρῳ περιουσίῃ, γεγονυίῃ ἐκ τῆς διακρίσιος τοῦ αἵματος. ¹³ εὐπορέει δὲ τὴν τροφὴν ἐκ τοῦ ἔγγιστα δεξαμενῆς τοῦ αἵματος διαβάλλουσα τὰς ἀκτῖνας, ¹⁴ καὶ νεμομένη, ὥσπερ ἐκ νηδύος τῶν ἐντέρων τὴν τροφήν, οὐκ ἐὸν κατὰ φύσιν. ¹⁵ ὅκως δὲ μὴ ἀνακωχῇ τὸ σιτίον τι ἐνεὸν ἐν τῇ ἀρτηρίῃ ἐν ζάλῃ ἐόν, ἀποκλείει τὴν ἐπ' αὐτὴν κέλευθον.

IX. Ἡ γὰρ μεγάλη ἀρτηρίη βόσκεται τὴν γαστέρα καὶ τὰ ἔντερα, καὶ γέμει τροφῆς οὐχ ἡγεμονικῆς. ² ὅτι δὲ οὐ τρέφεται βλεπομένῳ αἵματι ἡ μεγάλη ἀρτηρίη, δῆλον ὧδε. ³ ἀποσφαγέντος τοῦ ζώου, διαιρεθείσης τῆς ἀριστερῆς κοιλίης, ἐρημίη φαίνεται πᾶσα, πλὴν ἰχῶρός τινος, καὶ χολῆς ξανθῆς, καὶ τῶν ὑμένων, περὶ ὧν ἤδη μοι πέφρασται. ⁴ ἡ δὲ ἀρτηρίη οὐ λελειμμένη, οὐδὲ ἡ δεξιὴ κοιλίη. ⁵ τουτέων μὲν οὖν τῷ ἀγγείῳ κατ' ἐμὸν νόον ἥδε πρόφασις τῶν ὑμένων. ⁶ τὸ δ' αὖ φερόμενον ἐκ τῆς δεξιῆς, ζυγοῦται μὲν καὶ τοῦτο τῇ ξυμβολῇ τῶν ὑμένων, πλὴν οὐ κάρτα ἐθρώσκει ὑπὸ ἀσθενείης.

X. Ἀλλ' ἀνοίγεται μέν, ἐς πνεύμονα ἀγγεῖα αἷμα παρέχον αὐτοῖς τὴν τροφήν· ² κλείεται δὲ ἐς τὴν καρδίην, οὐχ ἁρμῷ,

ris gnarus, ⁵ aliam auferat, aliam reclinet; ⁶ neque aqua, neque flatus immissus in cor penetrarit; ⁷ atque hæ magis in sinistri ventriculi osculis exactius, ⁸ & merito sane subornatæ sunt. ⁹ Mens enim hominis in sinistro ventriculo insita est, ¹⁰ & reliquæ animæ imperat. ¹¹ Nutritur autem neque cibis neque potibus à ventre, ¹² sed pura & illustri substantia ex sanguinis diseretione nata. ¹³ Adsumit autem alimentum ex proxima sanguinis cisterna, radios suos eò immittens, ¹⁴ & depascens, velut ex ventre intestinorum alimentum non naturale existat. ¹⁵ Quo vero non in mora sit, qui in arteria est in fluctuatione constitutus cibus, viam in ipsum occludit.

IX. Magna enim arteria ventrem depascitur ac intestina, plenaque est alimento non principali. ² Quod autem non nutriatur sanguine apparente, & quem videmus, arteria ipsa magna, ex hoc manifestum existit. ³ Mactato enim animali, & sinistro ventriculo dissecto, tota desolata apparet, modico seroso humore excepto, flavaque bile, ac pelliculis de quibus jam mihi dictum est. ⁴ Arteria autem altera sanguine non est destituta, neque ventriculus dexter. ⁵ Hoc quidem igitur vas caussa fuit, mea sane sententia, ut pelliculæ producerentur. ⁶ Id vero quod ex dextro fertur ventriculo, etiam ipsum quidem commissura pellicularum clauditur, verum non valde salit præ imbecillitate.

X. Sed aperitur quidem in pulmonis vasa, sanguinem exhibens ipsis in alimentum: ² clauditur autem in cor, non tamen con-

θερμαῖ, ὅκως ἐσίῃ μὲν ὁ ἠὴρ, οὐ πάνυ δὲ πολύς. [3] ἀσθενὲς γὰρ ἐνταῦθα τὸ θερμὸν, δυναστευόμενον χρήμασι ψυχροῦ. [4] τὸ αἷμα γὰρ οὐκ ἔστι τῇ φύσει θερμόν· οὐδὲ γὰρ ἄλλο τι ὕδωρ· ἀλλὰ θερμαίνεται. [5] δοκέει δὲ τοῖσι πολλοῖσι φύσει θερμόν. [6] περὶ μὲν καρδίης τοιαῦτα εἰρήσθω.

confestim, quo ingrediatur quidem aer, non autem multus. [3] Debilis enim est hic calor, frigiditatis facultate superatus. [4] Sanguis enim non est natura calidus, (neque enim alia aliqua aqua) sed calescit. [5] Multis autem videtur natura calidus esse. [6] Et de corde sane talia dicta sint.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΣΤΕΩΝ ΦΥΣΙΟΣ.

HIPPOCRATIS DE OSSIUM NATURA.

Basil. græc. Foesius sect. VI. 114. 841. Basil. lat.

Ὀστέων φύσις. [2] δακτύλων μὲν ἁπλᾶ καὶ ὀστέα καὶ ἄρθρα· [3] χειρὸς δὲ καὶ ποδὸς πολλὰ, ἄλλα ἀλλοίως συνηρθρωμένα· μέγιστα δὲ τὰ ἀνωτάτω. [4] πτέρνης δὲ ἓν, οἷον ἔξω φαίνεται. [5] ἐς δὲ αὐτὸ οἱ ὀπίσθιοι τένοντες φαίνονται. [6] κνήμης δὲ δύο, ἄνωθεν καὶ κάτωθεν ξυνεχόμενα, κατὰ μέσον δὲ διέχοντα. [7] σμικρὸν τὸ ἔξωθεν, κατὰ τὸν σμικρὸν δάκτυλον λεπτότερον βραχύ. [8] πλεῖστον δὲ ταύτῃ διέχουσι καὶ σμικροτέρῃ ῥοπῇ κατὰ γόνυ. [9] καὶ ὁ τένων ἐξ αὐτοῦ πέφυκεν, ὁ παρὰ τὴν ἰγνύην ἔξω. [10] ἔχουσι δὲ κάτωθεν κοινὴν ἐπίφυσιν, πρὸς ἣν ὁ ποὺς κινέεται. [11] ἄλλην δὲ ἄνωθεν ἔχουσιν ἐπίφυσιν, ἐν ᾗ τὸ τοῦ μηροῦ ἄρθρον κινέεται ἁπλῶς καὶ εὐσταλέως ἐπὶ μήκει, εἶδος κονδυλῶδες, ἔχον ἐπιμυλίδα.

II. [1] Αὐτὸς δ' ἔγκυρτος ἔξω καὶ ἔμπροσθεν. [2] ἡ δὲ κεφαλὴ ἐπιφύσιος

Ossium natura hæc est. [2] Digitorum quidem ossa ac articuli simplicia sunt: [3] manus autem & pedis multa alia, alio modo coarticulata: maxima vero suprema parte. [4] Calcanei vero unum, velut extra apparet. [5] Ad ipsum autem posteriores tendines tendunt. [6] Tibiæ vero duo sunt, quæ superne ac inferne cohærent: juxta medium vero distant. [7] Parvum est quod extrinsecus est, juxta parvum digitum paulo tenuius. [8] Plurimum autem hac parte distant, & minore momento juxta genu: [9] & tendo ex ipso enascitur, qui circa poplitem foris est. [10] Habent autem inferne communem appendicem, ad quam pes movetur. [11] Aliam vero superne habent appendicem, in qua femoris articulus movetur simpliciter, & expedite in longitudinem, specie nodosa, patellam habens.

II. Ipsum autem femur foras, & in anteriore parte incurvum est. [2] Caput autem ejus appendix

ἐστὶ στρογγύλη, [3] ἐξ ἧς τὸ νεῦρον, τὸ ἐν τῇ κοτύλῃ τοῦ ἰσχίου, πέφυκεν. [4] Ὑποπλάγιον δὲ καὶ τοῦτο προσήρτηται· ἧσσον δὲ βραχίονος. [5] Τὸ δ' ἰσχίον προσήρτηται πρὸς τῷ μεγάλῳ σπονδύλῳ τῷ παρὰ τὸ ἱερὸν ὀστέον, χονδρονευρώδει δεσμῷ. [6] Ῥάχις δὲ ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου μέχρι τοῦ μεγάλου σπονδύλου κυφή, [7] κύστις τε καὶ γονὴ καὶ ἀρχοῦ τὸ ἐγκεκλιμένον ἐν τούτῳ. [8] Ἀπὸ δὲ τούτου ἄχρι φρενῶν ἧλθεν ἡ ἰθυλόρδωσις, [9] καὶ αἱ ψόαι κατὰ τοῦτο. [10] Ἐντεῦθεν δὲ ἄχρι τοῦ μεγάλου σπονδύλου, τοῦ ὑπὲρ τῶν ἐπωμίδων, ἰθυκυφής. [11] Ἔτι δὲ μᾶλλον δοκέει, ἢ ἐστίν, [12] αἱ γὰρ ὄπισθεν τῶν σπονδύλων ἀποφύσιες ταύτῃ ὑψηλόταται. [13] Τὸ δὲ τοῦ αὐχένος ἄρθρον, λορδόν.

III. Σπόνδυλοι δὲ ἔσωθεν ἄρτιοι πρὸς ἀλλήλους· [2] ἀπὸ δὲ τῶν ἔξωθεν χόνδρων καὶ νεύρων ξυνεχόμενοι. [3] Ἡ δὲ ξυνάρθρωσις αὐτῶν ἐν τῷ ὄπισθεν τοῦ νωταίου. [4] Ὄπισθεν δὲ ἔχουσιν ὑπόφυσιν ὀξεῖαν, ἔχουσαν ἐπίφυσιν χονδρώδεα, ὅθεν νεύρων ἀπόφυσις καταφερής. [5] Ὥσπερ καὶ οἱ μύες περιπεφύκασιν ἀπὸ αὐχένος ἐς ὀσφῦν, πληροῦντες δὲ πλευρέων καὶ ἀκάνθης τὸ μέσον. [6] Πλευραὶ δὲ κατὰ τὰς διαφύσιας τῶν σπονδύλων νεύρῳ προσπεφύκασιν, ἀπ' αὐχένος ἐς ὀσφῦν ἔσωθεν. [7] Ἐπίπροσθεν δὲ κατὰ τὸ στῆθος, χαῦνον καὶ μαλθακὸν τὸ ἄκρον ἔχουσαι, εἶδος ῥοικότατον τῶν ζώων. [8] Στενότατος γὰρ ταύτῃ

dix est rotunda, [3] ex qua nervus, qui in coxæ acetabulo est, nascitur. [4] Subobliquus autem etiam hic annexus est, minus vero quam brachium. [5] Coxa vero magno verticulo, quod juxta os sacrum est, ex ligamento cartilagineo ac nervoso adhæret. [6] Spina vero à sacro osse, usque ad magnum verticulum gibbosa est: [7] & vesica, & genitura, & recti intestini pars inclinata, in hac parte est. [8] Inde vero usque quo ad septum transversum pervenit, in directum repanda est. [9] & musculi lumbares hac parte existunt. [10] Hinc vero usque ad magnum verticulum, quod supra supernas humeri partes est, è directo gibbosa est: [11] Immo magis esse videtur quam est. [12] Nam posteriores ossium propagines hac parte altissimæ sunt. [13] Cervicis autem articulus repandus est.

III. Verticula vero intrinsecus inter se æqualia sunt: [2] ab externis autem cartilaginibus ac nervis continentur. [3] Coarticulatio vero ipsorum in posteriore medullæ spinalis parte est. [4] A posteriore autem parte exortum acutum habent, qui appendicem habet cartilaginosam, unde nervorum propago prona fertur: [5] quemadmodum etiam musculi à cervice ad lumbos adnascuntur, costarum ac spinæ medium explentes. [6] Costæ vero juxta discriminationes verticulorum, nervo annexæ sunt, à cervice usque ad lumbos intrinsecus. [7] Ab anteriore autem parte, juxta pectus, laxam ac mollem summam partem habentes, specie præ cunctis animalibus maxime obtorta. [8] Hac enim parte angu-

τῃ ὁ ἄνθρωπος ἐπ᾽ ὄγκον. ⁹ ᾗ δὲ μὴ πλευραί εἰσιν, ἔκφυσις πλαγίη [καὶ] βραχείη καὶ πλατείη, ἐφ᾽ ἑκάστῳ σπονδύλῳ νεύρῳ προσπεφύκασι. ¹⁰ στῆθος δὲ ξυνεχὲς αὐτὸ ἑωυτῷ, διαφύσιας ἔχον πλαγίας, ᾗ πλευραὶ προσπεφύκασι· χαῦνον δὲ καὶ χονδρῶδες. ¹¹ κληῖδες δὲ περιφερέες ἐς τὰ ἔμπροσθεν ἔχουσι, πρὸς μὲν τὸ στῆθος, βραχείας κινήσιας, πρὸς δὲ τὸ ἀκρώμιον, συχνοτέρας.

IV. ¹ Ἀκρώμιον δὲ ἐξ ὠμοπλατέων πέφυκεν, ἀνομοίως τοῖσι πλείστοισι. ² ὠμοπλάτη δὲ χονδρώδης τὰ πρὸς ῥάχιν, τὰ δ᾽ ἄλλα χαύνη· ³ τὸ ἀνώμαλον ἔξω ἔχουσα, ⁴ αὐχένα δὲ καὶ κοτύλην ἔχουσα χονδρώδεα, ἐξ ἧς αἱ πλευραὶ κίνησιν ἔχουσιν. ⁵ εὐαπόλυτος ἴσως ὀστέων, πλὴν βραχίονος. ⁶ τούτου δὲ ἐκ τῆς κεφαλῆς νεύρῳ ἡ κεφαλὴ ἐξήρτηται, χόνδρου χαύνου περιφερῆ ἐπίφυσιν ἔχουσα. ⁷ αὐτὸς δ᾽ ἔγκυρτος ἔξω, καὶ ἔμπροσθεν πλάγιος, οὐκ ὀρθὸς πρὸς κοτύλην. ⁸ τὸ δὲ πρὸς ἀγκῶνα αὐτοῦ πλατὺ καὶ κονδυλῶδες, καὶ βαλβιδῶδες, καὶ στερεόν, [καὶ] ἔγκοιλον ὄπισθεν· ⁹ ἐν ᾧ ἡ κορώνη ἐκ τοῦ πήχεος, ὅταν ἐκταθῇ ἡ χείρ, ἔνεστι. ¹⁰ ἐς τοῦτο καὶ τὸ ναρκῶδες νεῦρον, ὃ ἐκ τῆς διαφύσιος τῶν τοῦ πήχεος ὀστέων ἐκ μέσων ἐκπέφυκε καὶ περαίνεται.

V. ¹ Ὀστέα χειρὸς εἰκοσιεπτά. ² ποδὸς εἰκοσιτέσσαρα. ³ τραχήλου ἐς τὸν μέγαν, ἑπτά. ⁴ ὀσφύος πέντε. ⁵ ῥάχιος εἴκοσι. ⁶ κεφαλῆς ξὺν ὀπωπίοις ὀκτώ. ⁷ ξύμπαντα ϟά. ⁸ ξὺν ὄνυξι

ξὺν

angustissimam molem homo habet. ⁹ Qua vero parte costæ non sunt, exortus obliquus, brevis & latus, ad singula verticula nervo annexus est. ¹⁰ At vero pectus cohærens ipsum sibiipsi, discriminationes habet obliquas, qua parte costæ annexæ sunt, laxum autem est & cartilagineum. ¹¹ claviculæ vero rotundæ sunt ad anteriorem partem, ad pectus quidem breves motus habentes, ad summum vero humerum frequentiores.

IV. Summus autem humerus ex scapulis nascitur, in plerisque dissimiliter. ² Scapula ad spinam cartilaginea est, reliqua parte laxa, ³ inæqualem partem foras habens. ⁴ cervicem vero & acetabulum habet cartilagineum, ex quo costæ motum habent. ⁵ Facile autem ut inter ossa exolvitur, brachio excepto. ⁶ Hujus autem caput ex nervo & acetabulo dependet, cartilaginis laxæ rotundam appendicem habens. ⁷ Ipsum vero brachium incurvum foras, & anteriore parte obliquum, non rectum est ad acetabulum. ⁸ Pars vero ad cubiti gibbum lata est, & nodosa, & repagulo similis, & solida, posteriore parte cava, ⁹ in qua cornix inest ex cubito, quum manus fuerit extenta. ¹⁰ Ad hanc etiam torpidus nervus, qui ex cubiti ossium discriminatione media enascitur, perficitur ac terminatur.

V. Ossa manus, vigintiseptem sunt: ² pedis, viginti quatuor. ³ Colli usque ad magnum verticulum, septem. ⁴ Lumbi, quinque. ⁵ Spinæ, viginti. ⁶ Capitis una cum oculorum ossibus, octo. ⁷ In universum nonaginta unum; ⁸ cum unguibus vero,

cen-

ξ, ἕνδεκα. [9] ὡς δ' ἡμεῖς αὐτοὶ ἐξ ἀνθρώπου ὀστέων κατεμάθομεν, σπόνδυλοι οἱ ἄνω τῆς κληῗδος ξὺν τῷ μεγάλῳ, ἑπτά. [10] οἱ δὲ κατὰ τὰς πλευράς, ὅσαι αἱ πλευραί, ιβ. [11] οἱ δὲ κατὰ κενεῶνας ἔξωθεν, ἐν ᾧ τὰ ἰσχία ἐν τῇ ὀσφύϊ, πέντε.

centum ac undecim. [9] Cæterum, ut nos ipsi ex hominis ossibus didicimus, verticula supra claviculam una cum magno, septem sunt. [10] Juxta costas autem tot quot costæ sunt, duodecim videlicet. [11] Juxta laterum mollitudinem vero forinsecus ubi coxendices, in lumbo quinque.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΦΛΕΒΩΝ.

HIPPOCRATIS DE VENIS.

Basil. græc. Foesius sect. III. 5.6. 274. Basil. lat.

pag. 58

Τὸ δὲ σπέρμα εἶον κηρίον ἑκατέρωθεν τῆς κύστιος. [2] ἐκ δ' αὐτῶν φλέβες ἑκατέρωθεν τοῦ οὐρητῆρος ἐς τὸ αἰδοῖον τείνουσι. [3] ποτὸν, διὰ φάρυγγος καὶ στομάχου. [4] λάρυγξ, ἐς πλεύμονα καὶ ἀρτηρίην. [5] ἀπὸ δὲ τούτων ἐς ἄκρην κύστιν. [6] ἧπαρ πέντε λοβοί. [7] ἐπὶ δὲ τοῦ τετάρτου λοβοῦ ἐπίκειται ἡ χολή, ἣ τὸ στόμα ἐπὶ φρένας καὶ καρδίην καὶ πλεύμονα φέρει. [8] καρδίην ὑμὴν περιέχει. [9] τὰ κῶλα ἔχει κυνὸς μέζω. [10] ἤρτηται δὲ ἐκ τῶν μεσοκώλων. [11] ταῦτα δὲ ἐκ νεύρων ἀπὸ τῆς ῥάχιος ὑπὸ τὴν γαστέρα. [12] νεφροὶ ἐκ νεύρων ἀπὸ ῥάχιος.

VII. Καὶ ἀρτηρίης καρδίη πηγὴ ξυγγενής. [2] φλὲψ τείνει διὰ φρενῶν, ἥπατος, σπληνός, νεφρῶν, ἐς ἰσχίον περὶ γαστροκνημίην ἐπὶ τὸν ταρσόν. [3] ἑτέρη δὲ ἐκ καρδίης, ὑπὸ μασχάλας, κληῗδας, σφαγάς, κεφαλήν, ῥῖνα, μέτωπον, παρὰ τὰ ὦτα, ὤμους,

Semen porro velut favus ab utraque vesicæ parte est. [2] Ex ipsis autem renibus venæ ab utraque meatus urinæ parte, in pudendum tendunt. [3] Potus per fauces ac gulam: [4] (larynx enim qui caput arteriæ est, in pulmonem ac arteriam tendit) [5] ab his in summam vesicam. [6] Hepatis extremitates quinque sunt. [7] super quarta autem extremitate fel incumbit, quod osculum ad septum transversum, & cor, ac pulmonem profert. [8] Circum cor pellicula est. [9] Intestina crassa homo majora quàm canis habet, [10] dependent autem ex mesenterii membrana, quæ mesocolon hac parte vocatur. [11] Mesocolon autem ex nervis de spina sub ventrem. [12] Renes ex nervis de spina.

VII. Arteriæ fons cognatus cor est. [2] Vena tendit per septum transversum, hepar, splenem, renes ad coxendicem, circa suram ad summum pedem. [3] Altera autem ex corde sub alas, claviculas, jugula, caput, nasum, frontem,

ὤμους, μετάφρενον, στήθεα, γαστέρα, διὰ πήχεος. [4] αἱ δὲ διὰ μασχαλέων ἐπὶ πῆχυν, ἐπὶ ταρσόν. [5] νεύρων ἔκφυσις ἀπὸ τοῦ ἰνίου ἄχρι περὶ ῥάχιν, παρὰ ἰσχίον, ἐς αἰδοῖα, ἐς μηρούς, πόδας, κνήμας, ἐς χεῖρας. [6] ἄλλ' ἐς βραχίονας· τὰ μὲν ἐς σάρκας, τὰ δὲ παρὰ τὴν περόνην ἐς τὸν μέγαν δάκτυλον, τὰ δ' ἐκ τῶν σαρκῶν ἐπὶ τοὺς ἄλλους δακτύλους. [7] ἄλλ' ἐς ὠμοπλάτην, στῆθος, γαστέρα, ὀστέων συνδέσμους. [8] ἀπὸ δὲ αἰδοίου παρ' ἀρχὸν, [ἐς] κοτυληδόνας· τὸ μὲν ἄνωθεν μηροῦ, τὸ δὲ κάτωθεν ἐπὶ τὰ γούνατα· [9] ἐντεῦθεν γούνασι ξυντεθὲν, ἐπὶ τένοντα, πτέρναν, πόδας. [10] τὸ δὲ ἐς περόνην. [11] ἄλλα δὲ ἐς τοὺς νεφρούς.

IIX. Αὗται δὲ αἱ φλέβες ἐφ' ἑκάτερα διχῆ τὰ μέγιστα σχίζονται. [2] τὰ μὲν ἔνθεν τοῦ νεφροῦ ἑκατέρου, τὰ δὲ ἔνθεν· [3] καὶ διατέτρηνται ἐς τοὺς νεφρούς. [4] καὶ εἶδος καρδίης οἱ νεφροὶ ἔχουσι, [5] καὶ ἔστι κοιλιώδεες. [6] ὁ δὲ νεφρὸς τὰ κοῖλα ἑωυτοῦ πρὸς τὰς φλέβας ἔχων κέεται τὰς μεγάλας. [7] ὅθεν ἐκπεφύκασιν ἐξ αὐτέων αἱ φλέβες, αἱ ἐς κύστιν, [8] ἧ εἵλκεται τὸ ποτὸν διὰ τῶν φλεβῶν ἐς τοὺς νεφρούς, [9] ἔπειθ', ὥσπερ καὶ διὰ τῶν νεφρῶν διηθεῖται τὸ ὕδωρ, καὶ δι' αὐτέων τουτέων τῶν ἐντέρων, ὧν ξυμπαγκοιλωθῇ. [10] σπογγῶδες γάρ ἐστι τὸ ἀπ' αὐτέων ἐς τὴν κύστιν. [11] καὶ ἐνταῦθα διηθεόμενον καὶ ἀποκρινόμενον ἀπὸ τοῦ αἵματος τὸ οὖρον, [12] διὸ δὴ καὶ ἐρυθρόν ἐστιν. [13] οὐδὲ γὰρ ἐς τοὺς νεφροὺς ἥκουσιν ἄλλαι φλέβες, ἢ αἱ εἰρέαται. [14] οὐδ' ὅπου ἂν τὸ ποτὸν ξυντήκοιτο, ὅσον ἐγὼ οἶδα.

IX. Αἱ παρὰ τὰς πλευρὰς κατατείνουσαι, κάτωθέν εἰσιν ἑκάστης

juxta aures, humeros, dorsum, pectus, ventrem, per cubitum. [4] Aliæ vero per alas ad cubitum, ad summam manum [5] Nervorum exortus ab occipitio usque ad spinam, ad coxendicem, in pudenda, in femora, pedes, tibias, in manus. [6] Alii in brachia, partim in carnes, partim ad fibulam, in magnum digitum, partim ex carnibus in alios digitos. [7] Alii ad scapulas, pectus, ventrem, ossa, ligamenta. [8] A pudendo vero ad princeps intestinum ac podicem, acetabula coxarum, partim supra femur, partim infra ad genua. [9] Inde alius ad genu extentus ad tendinem, pernam, pedes. [10] alius ad fibulam, [11] alius in renes.

VIII. Ipsæ porro venæ in utramque partem bifariam maxime finduntur, [2] partim ab una utriusque renis parte, partim ab altera: [3] & perforatæ sunt in renes. [4] Habent autem cordis formam ipsi renes. [5] Nam etiam ipsi ventriculos habent. [6] At vero ren cavam sui partem ad venas magnas habens situs est. [7] Unde enascuntur ex ipso venæ in vesicam, [8] qua parte potus trahitur per venas in renes, & per ipsa intestina per quæ procedit. [9] Deinde vero velut per qualum, per renes aqua percolatur. [10] Spongiforme enim est ipsorum corpus ad vesicam, [11] & hic percolatur ac secernitur à sanguine urina, [12] quapropter etiam rubra existit. [13] Neque enim in renes aliæ procedunt venæ quam quæ dictæ sunt, [14] neque est alius locus ubi potus colliquescat, quantum ego novi.

IX. Venæ circa costas tendentes, subter unamquanque costam

στης τῶν πλευρέων, ἐς τὰς κεφαλῆς, κοιλωτέρω δὲ καὶ ἀπὸ ἀρτηρίης. ² ἀρτηρίη μὲν οὖν εἶθ' ὑπορεύουσα διαδιδοῖ τῇσι πλευρῇσι. ³ ἀπὸ δὲ τῆς παχείης, ἀπὸ καρδίης παλινδρομέει μία ἐς τὰ ἀριστερὰ ἐγκεκλιμένη. ⁴ ἔπειτα ἡ μὲν διὰ μέσων σπονδύλων μέχρις ἄκρων πλευρέων πορεύεται, πλευρῇσιν οὐκ ἐξ ἴσου διαδιδοῦσα τοῖσι δεξιοῖσι [καὶ] τοῖσιν ἀριστεροῖσι διαφύσιας, ἀλλ' ἴσως μὲν, κατωτέρωθεν δὲ ἐν τοῖσι δεξιοῖσιν ἀποσχίζεται. ⁵ παρὰ δὲ κληΐδας ἑκατέρης τῶν φλεβῶν δύο μὲν ἄνω, δύο δὲ ὑπὸ τὸ στῆθος· αἱ μὲν ἐς δεξιὰ, αἱ δὲ ἐς ἀριστερὰ ἀποπεφύκασιν ἀποσχίδες. ⁶ ἐς τὸν αὐχένα μὲν μᾶλλον αἳ, δύο δὲ ἐς καρδίην μᾶλλον· αἱ μὲν ἐπὶ δεξιὰ, αἱ δὲ ἐπ' ἀριστερά. ⁷ ἀφ' ἑκατέρης παρὰ τὰς πλευρὰς, καὶ ἀπ' αὐτέων, ὥσπερ αἱ κάτω, ἐσχίζοντο μέχρις ὅτου ξυνέμιξαν τῇ κάτω παλινδρομεούσῃ ἀπὸ καρδίης.

x. Ἡ δὲ αἱμόῤῥους ἀπὸ τῆς ἀρτηρίης ταύτης διὰ τοῦτο ἐσχίσθη, ὅτι μετέωρος ἐνταῦθά ἐστι, διὰ καρδίης πορευομένη. ² τὰ δὲ κάτω πλευρέων ἡ αἱμόῤῥους, ἡ παχείη καλεομένη φλὲψ, τοῖσι σφονδύλοισιν αὐτοῖς ἐφ' ἑωυτῆς διαφύεται, καὶ ἐνταῦθα προσέχεται, καὶ οὐκ ἐπικρέμαται, ὥσπερ ἄνω δι' ἥπατος ἰοῦσα. ³ ἔστι δὲ κατὰ μὲν ὀσφὺν ἄνω ἡ ἀρτηρίη, ὑποκάτω δὲ ἡ αἱμόῤῥους. ⁴ ἡ ἀπὸ τοῦ ἥπατος διὰ φρενῶν ἐλθοῦσα μετέωρος, παρὰ τὰ ἐπὶ δεξιὰ τῆς καρδίης φέρεται ἄχρι κληΐδων ἁπλῆ, πλὴν ὅσον αὐτῇ τῇ καρδίῃ κοινωνέει. ⁵ τὰ μὲν κατ' αὐτὴν σχιζομένη ἐπιπολαιότερα· τὰ δὲ τῆς κοιλίης τῆς καρδίης διέχουσα. ⁶ ἔπειτα ἀπὸ τῆς καρδίης τὸ ἐπ' ἀριστερὰ κάθη ἁπλῆ, ⁷ [καὶ] παρὰ ῥάχιν παλινδρομέει ἐς μὲν τὰ ἄνω τοῦ σώματος

stam sunt, non à capite, inferius etiam ab arteria. ² Arteria quidem igitur subtermeans in costas distribuit. ³ A crassa vero vena à corde recurrit una in sinistram partem inclusa. ⁴ Deinde hæc quidem per medias vertebras usque ad summas costas meat, non ex æquo distribuens costis à dextris ac sinistris ramos ac segmenta sua. Alia vero æquos quidem, verum superne in dextris finditur. ⁵ Cæterum juxta utramque claviculam duæ venæ sursum, duæ sub pectus, partim ad dextras, partim ad sinistras, ramos sive segmenta spargunt: ⁶ illæ quidem magis ad cervicem, duæ vero alteræ magis ad cor, partim ad dextras, partim ad sinistras, ⁷ ab utraque parte juxta costas: & sub ipsis velut inferiores scinduntur, donec recurrenti inferne à corde commiscentur.

x. At vero sanguiflua vena ab arteria hac, ¹ propterea finditur, quod sublimis hic est per cor means. ² Infra vero costas vena sanguiflua crassa appellata, verticulis rursum seipsam ingerit, & hic adhæret, & non amplius pendet, velut superne per hepar means. ³ Est autem juxta lumbum quidem superne arteria, infra autem sanguiflua, ⁴ ab hepate per septum transversum sublimis veniens, & ad dextram cordis fertur usque ad claviculas simplex, præterquam quantum cum corde communicat, ⁵ juxta vasa quidem in ipso magis in superficie fissa, verum juxta vasa in ventriculo cordis penetrans, ⁶ postea à corde ad sinistram se demittit, ⁷ & simplex ad spinam rursus currit, ad superna quidem corporis usque ad su-

τος ἄχρι τῶν ἀνωτάτω πλευρέων, ⁸ καὶ ἀποσχίδας ἀφ' ἑωυτῆς ἔχει παρ' ἑκάστην πλευρὴν παρατεταμένας κατὰ φύσιν· ⁸ ἄχρι στήθεος συνοχωχῆς, καὶ ἐπ' ἀριστερὰ, καὶ ἐπὶ δεξιά. ⁹ καὶ τὸ ἰθὺ αὐτέης πρὸς σφονδύλων μᾶλλόν ἐστιν, ἢ ὁ τῆς ἀρτηρίης τόνος, καὶ ὁ τῆς ἀπὸ τοῦ ἥπατος φλεβός. ¹⁰ πρὸς δὲ τὸ κάτω μέρος τῆς καρδίης ὁ μὲν ἰθὺς τόνος ἀπ' αὐτέης πρὸς σφονδύλων μᾶλλόν ἐστιν, ἢ ὁ τῆς ἀρτηρίης. ¹¹ ὁ δ' ἕτερος, ὁ παρὰ καρδίην, καὶ ἐς τὰ κάτω μέρη φρενῶν ἐτράπετο, τὰ πρὸς ῥάχιος ἠρτημένα. ¹² ἐντεῦθεν δὲ ἀποσχίδες ἐς ἰθὺ ἑκάστης ἐπιφέρονται, δι' ὀστέων καὶ σαρκῶν παραμειφθεῖσαι ἀλλήλοις.

XI. Αἱ φλέβες δὲ αἱ παχεῖαι, ὧδε πεφύκασιν. ² ἐκ τοῦ ὀφθαλμοῦ παρὰ τὴν ὀφρύν, διὰ τοῦ νώτου παρὰ τὸν πλεύμονα ὑπὸ τὸ στῆθος. ἡ μὲν ἐκ τοῦ δεξιοῦ ἐς τὸ ἀριστερόν, ἡ δὲ ἐκ τοῦ ἀριστεροῦ ἐς τὸ δεξιόν. ³ ἡ μὲν οὖν ἐκ τοῦ ἀριστεροῦ διὰ τοῦ ἥπατος ἐς τὸν νεφρὸν καὶ τὸν ὄρχιν. ⁴ ἡ δὲ ἐκ τοῦ δεξιοῦ ἐς τὸν σπλῆνα καὶ νεφρὸν καὶ ὄρχιν. ⁵ τούτῃσι δὲ τὸ στόμα, αἰδοῖον. ⁶ ἀπὸ δὲ τοῦ δεξιοῦ τιτθοῦ ἐς τὸ ἀριστερὸν ἰσχίον καὶ ἐς τὸ σκέλος· καὶ ἀπὸ τοῦ ἀριστεροῦ ἐς τὰ δεξιά. ⁷ ὁ δὲ ὀφθαλμὸς ὁ δεξιὸς ἐκ τοῦ ἀριστεροῦ καὶ ὁ ὄρχις. κατὰ [δὲ] τὸν αὐτὸν τρόπον ἐκ τοῦ δεξιοῦ ὁ ἀριστερός. ⁸ αἱ παχύταται τῶν φλεβῶν ὧδε πεφύκασι. ⁹ τέσσαρα ζεύγεά ἐστιν ἐν τῷ σώματι. ¹⁰ καὶ αἱ μὲν αὐτέων ἀπὸ τῆς κεφαλῆς ὄπισθεν διὰ τοῦ αὐχένος, ἔξωθεν παρὰ τὴν ῥάχιν ἔνθεν καὶ ἔνθεν ἐς τὰ ἰσχία ἀφικνέονται καὶ ἐς τὰ σκέλεα· ¹¹ ἔπειτα διὰ τῶν κνημέων ἐπὶ τῶν σφυρῶν τὰ ἔξω καὶ ἐς τοὺς πόδας ἀφήκει.

supremas costas: ⁸ & ramos à seipsa habet juxta unamquanque costam extentos juxta naturam usque ad pectoris commissuram, & in sinistram, & in dextram: ⁹ & rectitudo ipsius magis ad verticulum est, quam arteriæ extensio, itemque venæ ab hepate venientis. ¹⁰ Ad inferiorem vero cordis partem, recta extensio ab ipsa magis ad verticulum est, quam arteriæ extensio ¹¹ altera, quæ juxta cor & in infernas partes septi transversi ad spinam appensas conversa est. ¹² Inde vero rami in unamquamque rectitudinem inferuntur, per ossa & carnes mutuo transeuntes.

XI. At vero venæ crassæ sic se habent. ² Et oculo juxta supercilium per dorsum, juxta pulmonem sub pectore, altera ex dextra in sinistram, altera ex sinistra in dextram transit: ³ & quæ quidem ex sinistra venit, per hepar in renem ac testiculum descendit. ⁴ Quæ vero ex dextra, in splenem & renem ac testem, ⁵ his autem osculum est ipsum pudendum. ⁶ A dextera vero mamma in sinistram coxendicem, & in crus descendit, & rursus à sinistra in dextram. ⁷ Oculus vero dexter, ex sinistro venam suscipit, itemque testiculus. Juxta eundem modum rursus sinister ex dextro. ⁸ Crassissimæ porro venæ in hunc modum se habent. ⁹ Quatuor paria sunt in corpore. ¹⁰ & aliquæ quidem ex ipsis, à capite retro per cervicem foris juxta spinam ab utraque parte ad coxendices perveniunt, & ad crura, ¹¹ deinde per tibias ad malleolorum partes externas ac in pedes procedunt:

XII. Δεῖ οὖν τὰς φλεβοτομίας ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ καὶ ἐν τοῖσιν ἰσχίοισιν ἀπὸ τῶν ἰγνύων ποιέεσθαι, καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. ² αἱ δὲ δεύτεραι φλέβες ἐκ τῆς κεφαλῆς παρὰ τὰ ὦτα διὰ τοῦ αὐχένος, σφαγίτιδες καλεόμεναι, ἔσωθεν παρὰ τὴν ῥάχιν ἑκατέρωθεν φέρονται παρὰ τὰς ψόας ἐς τοὺς ὄρχιας καὶ ἐς τοὺς μηρούς, καὶ [διὰ] ἰγνύων ἐκ τοῦ ἔξωθεν μέρεος, ἔπειτα διὰ τῶν κνημέων ἐπὶ τὰ σφυρὰ τὰ ἔσωθεν καὶ τοὺς πόδας. ³ δεῖ οὖν τὰς φλεβοτομίας ποιέεσθαι πρὸς τὰς ὀδύνας τὰς ἀπὸ τῶν ψοῶν καὶ τῶν ὄρχιων, ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν. ⁴ αἱ δὲ τρίται φλέβες ἐκ τῶν κροτάφων διὰ τοῦ αὐχένος ὑπὸ τὰς ὠμοπλάτας. ⁵ ἔπειτα ξυμφέρονται ἐς τὸν πλεύμονα, ⁶ καὶ ἀφικνέονται ἡ μὲν ἀπὸ τῶν δεξιῶν ἐς τὰ ἀριστερὰ ὑπὸ τὸν μαζὸν καὶ ἐς τὸν σπλῆνα καὶ ἐς τὸν νεφρόν. ⁷ ἡ δὲ ἀπὸ τῶν ἀριστερῶν ἐς τὰ δεξιὰ ἐκ τοῦ πλεύμονος ὑπὸ τὸν μαζὸν, καὶ ἐς τὸ ἧπαρ, καὶ ἐς τὸν νεφρόν. ⁸ τελευτῶσι δὲ ἐς τὸν ἀρχὸν αὗται ἀμφότεραι. ⁹ αἱ δὲ τέταρται ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν ὑπὸ τὸν αὐχένα καὶ ὑπὸ τὰς κληῖδας. ¹⁰ ἔπειτα δὲ ὑπὲρ τῶν βραχιόνων ἄνωθεν ὑπὸ τὰς συγκαμπάς. ¹¹ ἔπειτα διὰ τῶν πήχεων ἐς τοὺς καρποὺς καὶ τοὺς δακτύλους. ¹² ἔπειτα πάλιν ἀπὸ τῶν δακτύλων διὰ τῶν στηθέων τῶν χειρῶν, καὶ τῶν πήχεων ἐς τὰς συγκαμπάς, διὰ δὲ τῶν βραχιόνων καὶ τοῦ κάτωθεν μέρεος ἐς τὰς μασχάλας. ¹³ καὶ ἀπὸ τῶν πλευρέων ἄνωθεν, ἡ μὲν ἐς τὸν σπλῆνα ἀφικνέεται, ἡ δὲ ἐς τὸ ἧπαρ. ἔπειτα ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι. ¹⁴ καὶ αἱ μὲν παχεῖαι τῶν φλεβῶν οὕτω πεφύκασιν.

XIII. Εἰσὶ δὲ καὶ ἀπὸ τῆς κοιλίης φλέ-

XII. Oportet igitur venæ sectiones in doloribus in dorso, ac in coxendicibus, à poplitibus facere, & à malleolis forinsecus. ² Alteræ vero venæ ex capite juxta aures per cervicem, sphagitides, id est jugulares appellatæ, intrinsecus juxta spinam, ab utraque parte juxta lumbos procedunt in testes, & in femora, & per poplites ab interna parte, deinde per tibias ad malleolos intrinsecus, & ad pedes. ³ Oportet igitur venæ sectiones facere ad dolores lumborum ac testium, à poplitibus ac malleolis intrinsecus. ⁴ Tertiæ venæ ex temporibus per cervicem, in scapulas procedunt, ⁵ deinde in pulmonem deferuntur, ⁶ & perveniunt altera quidem à dextris in sinistras sub mammam, in splenem & in renem. ⁷ Altera vero à sinistris in dextras ex pulmone sub mammam in hepar & in renem. ⁸ desinunt autem ambæ hæ in intestinum rectum ac podicem. ⁹ Quartæ autem venæ ab anteriore capitis parte ac oculis, sub cervicem & sub claviculas procedunt. ¹⁰ Deinde à brachiis superne sub curvaturas, ¹¹ postea per cubitos, ad manuum juncturas ac digitos. ¹² Postea rursus à digitis, per manuum pectora, hoc est volas, & per cubitos in curvaturas, & per brachiorum infernam partem ad alas. ¹³ & ex costis superne, altera quidem in splenem procedit, altera in hepar, deinde supra ventrem ambæ in pudendum desinunt. ¹⁴ Et crassæ quidem venæ hoc modo se habent.

XIII. Sunt autem & à ventre venæ

φλέβες αὐτέ τὸ σῶμα πολλαί τε καὶ παντοῖαι, δι' ὧν ἡ τροφὴ τῷ σώματι ἔρχεται. [2] φέρουσι δὲ αἱ ἀπὸ τῶν παχέων φλεβῶν ἐς τὴν κοιλίην καὶ τὸ ἄλλο σῶμα [3] καὶ ἀπὸ τῶν ἐξωτάτω, καὶ ἀπὸ τῶν ἐσωτάτω· [4] καὶ ἐς ἀλλήλας διαδιδόασιν· αἵ τε ἔσωθεν ἔξω, καὶ αἱ ἔξωθεν ἔσω. [5] Τὰς οὖν φλεβοτομίας ποιέεσθαι χρὴ κατὰ τούσδε τοὺς τρόπους. [6] Ἐπιτηδεύειν δὲ δεῖ τὰς τομὰς ὡς προσωτάτω τέμνειν ἀπὸ τῶν χωρίων, ἔνθα αἱ ὀδύναι μεμαθήκασι γίνεσθαι, καὶ τὸ αἷμα ξυλλέγεσθαι. [7] οὕτω γὰρ ἂν ἥκιστα ἥ τε μεταβολὴ γένοιτο μεγάλη ἐξαπίνης, καὶ τὸ ἔθος μεταστήσαις ἂν ὥστε μηκέτι ἐς τὸ αὐτὸ χωρίον ξυλλέγεσθαι.

XIV. Ἡ δὲ ἡπατῖτις ἐν ὀσφύϊ μέχρι τοῦ μεγάλου σπονδύλου κάτωθεν καὶ σπονδύλοισι προσδιδοῖ, [2] ἐντεῦθεν μετέωρος δι' ἥπατος καὶ διὰ φρενῶν ἐς καρδίην. [3] καὶ ἡ μὲν ἰθεῖα ἐς κληῖδας. [4] ἐντεῦθεν δὲ αἱ μὲν ἐς τράχηλον, αἱ δ' ἐπ' ὠμοπλάτας, αἱ δὲ ἀποκαμφθεῖσαι κάτω παρὰ σπονδύλους καὶ πλευρὰς ἀποκλίνουσιν· ἐξ ἀριστερῶν μὲν μία ἐγγὺς κληΐδων, ἐκ δεξιῶν δὲ ἐπί τι αὐτῆς χωρίον. [5] ἄλλη δὲ ἑκατέρωθεν ἀποκαμφθεῖσα, [6] ἄλλη δὲ σμικρὸν κατώτερον ἀποκαμφθεῖσα, ὅθεν μὲν ἐκείνη ἀπέλιπε προσέδωκε τῇσι πλευρῇσιν, ἔστ' ἂν τῇ ἐπ' αὐτῆς τῆς καρδίης προστύχῃ ἐπικαμπτομένη ἐς τὰ ἀριστερά. [7] ἀποκαμφθεῖσα δὲ κάτω, ἐπὶ σπονδύλους καταβαίνει, ἔστ' ἂν ἀφίκηται. [8] καὶ ὅθεν ἤρξατο μετεωρίζεσθαι ἀποδιδοῦσα τῇσι πλευρῇσι, καὶ τῇσιν ἐπιλοίποις ἁπάσαις, καὶ ἔνθεν καὶ ἔνθεν ἀποσχίδας παρ' ἑκάστην διδοῦσα μία ἐοῦσα. [9] ἀπὸ μὲν τῆς καρδίης ἐπί τι χωρίον ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον ἐοῦσα.

venæ per corpus multæ & omnigenæ, per quas alimentum corpori venit: [2] procedunt autem & à crassis venis in ventrem ac reliquum corpus, [3] & ab extremis, & ab intimis, [4] & inter se mutuo distribuunt, internæ foras, externæ intro. [5] Venæ igitur sectiones facere oportet juxta hos modos. [6] Operamque dare oportet, ut quam longissime à locis, ubi dolores fieri solent ac sanguis colligi, secemus. [7] Sic enim minime mutatio magna de repente fiet, & consuetudinem transtuleris, ut ne amplius in eundem locum colligatur.

XIV. Cæterum hepatitis vena in lumbo usque ad magnum verticulum, inferne etiam verticulis se ingerit, [2] inde sublimis elevata per hepar, & per septum transversum in cor: [3] & hæc quidem recta ad claviculas procedit. [4] Inde vero aliæ quidem ad collum, aliæ ad scapulas, aliæ deorsum reflexæ juxta verticula ac costas declinant, à sinistris quidem una prope claviculas, ex dextris autem in quendam ipsarum locum. [5] Alia vero utrinque deflexa. [6] Alia paulo inferius deflexa, ubi quidem illa deficit, costis se ingerit, donec ad venam in ipsum cor accesserit ad sinistras deflexa. [7] Infra autem decurvata ad vertebras descendit donec perveniat, [8] & inde incipit elevari, ingerens se costis reliquis omnibus, & hinc atque hinc ramos juxta singulas spargens quum una existat, [9] à corde quidem in locum quendam in sinistris magis exi-

ἐοῦσα. ἔπειτα ὑποκάτω τῆς ἀρτηρίης, ἔς τε αὖ κατακαλυφθῆ, καὶ 31 ἔλθῃ ὅθεν ἡ ἡπατῖτις ἐμετεωρίσθη. [10] πρότερον δὲ, πρὶν ἐνταῦθα ἐλθεῖν, περὶ τὰς ἐσχάτας δύο πλευρὰς ἐδιχώθη· καὶ ἡ μὲν ἔνθα, ἡ δ' ἔνθα τῶν σφονδύλων ἐλθοῦσα, κατεκενώθη. [11] ἡ δὲ εὐθεῖα, ἀπὸ καρδίης πρὸς κληῖδας τείνουσα, ἄνωθεν τῆς ἀρτηρίης ἐστί. [12] καὶ ἀπὸ ταύτης, ὥσπερ καὶ παρ' ὀσφύϊ, κάτωθεν 32 40 τῆς ἀρτηρίης, ἀΐσσει ἐς τὸ ἧπαρ· ἡ μὲν ἐπὶ πύλας καὶ λοβὸν, ἡ δὲ ἐς τὸ ἄλλο ἑξῆς ἀφορμέει ἐς μικρὸν κάτωθεν φρενῶν. [13] φρένες δὲ προσπεφύκασι τῷ ἥπατι, ἃς οὐ ῥάδιον 33 χωρίσαι.

XV. Διοσαὶ δ' ἀπὸ κληΐδων, αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν ὑπὸ στῆθος ἐς ἦτρον. [2] ὅποι δὲ ἐντεῦθεν, οὐκ οἶδα. [3] φρένες δὲ κατὰ τὸν σπόνδυλον 34 τὸν κάτω τῶν πλευρέων, ἧ νεφροὶ ἐξ ἀρτηρίης, ταύτῃ ἀμφιβεβήκασι. 35 [4] αἱ δὲ ἀρτηρίαι ἐκ τούτου ἐκπεφύκασιν ἔνθεν καὶ ἔνθεν, ἀρτηρίησι 45 τόνον ἔχουσαι. [5] ταύτῃ τῇ 36 παλινδρομησάσῃ ἀπὸ καρδίης ἡ ἡπατῖτις ἐλήγει. [6] ἀπὸ δὲ τῆς ἡπατίτιδος διὰ τῶν φρενῶν αἱ μέγισται δύο, ἡ μὲν ἔνθεν, ἡ δὲ ἔνθεν, φέρονται μετέωροι. [7] πολυσχιδέες δὲ διὰ τῶν φρενῶν εἰσὶν ἀμφὶ ταύτας, καὶ πεφύκασιν· ἄνωθεν δὲ φρενῶν. [8] αὗται δὲ μᾶλλόν τι ἐμφανέες.

XVI. Δύο δὲ παχέες τόνοι ἀπ' ἐγκεφάλου ὑπὸ τὸ ὀστέον τοῦ μεγάλου σφονδύλου ἄνωθεν, καὶ πρὸς τοῦ στομάχου μᾶλλον ἑκατέρωθεν τῆς ἀρτηρίης παρελθὼν ἑκάτερος ἐς 61 ἑωυτὸν ἦλθεν ἴκελος ἐνί. [2] ἔπειτα 37 οἱ σφόνδυλοι καὶ φρένες πεφύκασιν ἐνταῦθα, οὐκ ἐπελεύσω. [3] καί τινες ἐνδοιαστοὶ πρὸς ἧπαρ καὶ σπλῆνα ἀπὸ

existens, deinde infra arteriam, donec consumatur & perueniat eo, ubi hepatitis eleuata est. [10] 'priusquam autem eo venit, juxta 130 extremas duas costas bifida fit, & altera pars hinc, altera inde ad vertebras progressa consumitur. [11] Altera vero recta à corde ad claviculas tendens, supra arteriam est, [12] & ab hac (quemadmodum & ea quæ juxta lumbum infra arteriam est) in hepar exilit, partim in portas & extremitatem, partim in reliquum consequenter procedit paulo infra septum transversum. [13] Septum autem 'transversum hepati ad natum est, ut 135 non facile separari possit.

XV. Duplices autem venæ à claviculis, alteræ hinc, alteræ inde, sub pectus ad pubem ac pectinem tendunt, [2] quo vero inde, nondum novi. [3] Septum vero transversum juxta verticulum infra costas, ea parte qua ren ex arteria consurgit. [4] Arteriæ vero ex rene oriuntur, hinc & hinc ab arteria nervum habentes. [5] Et hac parte in recurrente à 'corde hepatitis desinit. [6] Ab 140 hepatitide vero per septum transversum maximæ duæ, altera hinc, altera inde sublimes feruntur. [7] Multifidæ autem per septum sunt, & circum ipsum innascuntur. Verum supra septum [8] hæ magis conspicuæ sunt.

XVI. Duo autem crassi nervi, à cerebro sub os magni verticuli superne, & magis ad gulam, ab utraque arteriæ parte uterque progrediens, inter se committuntur, 'ut uni similes existant. 145 [2] Deinde verticula ac septum transversum hic sunt ubi desinunt. [3] Et quidam dubii, adhepar & splenem ab hac societate ten-

ἀπὸ τούτου τοῦ κοινωνήματος ἐδόκεον τείνειν. [4] ἄλλος τόνος ἑκατέρωθεν ἐκ τοῦ κατὰ κληῖδα σφονδύλου περὶ ῥάχιν παρέτεινεν ἐκ πλαγίου σφονδύλων, καὶ τῇσι πλευρῇσιν ἀπένεμεν. [5] ὥσπερ αἱ φλέβες αὗται διὰ φρενῶν ἐς μεσεντέριον μοι δοκέουσι τείνειν. [6] ὅθεν δὲ αὗται ἐξέλιπον, αὖθις ἔνθεν φρένες ἐκπεφύκασιν ἀπὸ τούτου, ξυνεχέες ἐόντες, κατὰ μέσον ὑπένερθεν ἀρτηρίης. [7] τὸ [δ'] ἐπίλοιπον παρὰ σπονδύλους ἀπεδίδουν, ὥσπερ αἱ φλέβες, μέχρι καταναλώθησαν πᾶν διελθόντες τὸ ἱερὸν ὀστέον.

XVII. Τὰ ὀστέα τῷ σώματι στάσιν, καὶ ὀρθότητα, καὶ εἶδος παρέχεται. [2] τὰ δὲ νεῦρα, κάμψιν, καὶ ξύντασιν, καὶ ἔκτασιν. [3] αἱ δὲ σάρκες καὶ τὸ δέρμα, πάντων ξύνδεσιν καὶ ξύνταξιν. [4] αἱ [δὲ] φλέβες διὰ τοῦ σώματος κεχυμέναι, πνεῦμα, καὶ ῥεῦμα, καὶ κίνησιν παρέχονται, [5] ἀπὸ μιῆς πολλαὶ διαβλαστάνουσαι, [6] καὶ αὕτη μὲν ἡ μία, ὅθεν ἦρκται, καὶ ᾗ τετελεύτηκεν, οὐκ οἶδα. [7] κύκλου γὰρ γεγενημένου, ἀρχὴ οὐχ εὑρέθη. [8] τὰς δ' ἀποφυάδας αὐτῆς, ὅθεν ἤρτηνται καὶ ᾗ παύονται τοῦ σώματος, καὶ ὡς ἡ μία ταύτῃσιν ὁμολογέει, καὶ ἐν ὁποίοις τόποις τέτανται τοῦ σώματος, ἐγὼ δηλώσω. [9] περὶ μὲν γὰρ τὴν κεφαλὴν κατὰ τὸ μέσον ἐκ πλαγίου περίκειται ἡ φλέψ. αὕτη πλατέα καὶ λεπτὴ, οὐ πολύαιμος. [10] τῷ γὰρ ἐγκεφάλῳ κατὰ τὰς ἁρμονίας ἐνερρίζωκε πολλὰ καὶ λεπτὰ φλέβια, καὶ περὶ τὴν ὅλην κεφαλὴν ἐκτέτανται μέχρι τοῦ μετώπου καὶ τῶν κροτάφων. [11] αὕτη δὲ ἀπιθύνεται ἐς τοὔπισθεν τῆς κεφαλῆς ἐκ τῶν παρὰ τὴν ἄκανθαν τὸ δέρμα. [12] ἐντεῦθεν δὲ καθίεται παρὰ τὴν ἔξωθεν καὶ τὴν ἔσωθεν φλέβα τῶν ἐν τῇσι σφαγῇσι.

tendere ipsos putaverunt. [4] Alius nervus utrinque ex verticulis juxta claviculam ad spinam tendit, ex obliquo verticulorum, & se in costas ingerit: [5] atque hi quemadmodum venæ per septum transversum ad mesenterium mihi tendere videntur. [6] ubi autem hæ deficiunt, rursus hinc ubi septum exoritur, ab eo continui ac cohærentes existentes, juxta medium infra arteriam, [7] de cætero ad verticula se ingerunt quemadmodum venæ, donec totum sacrum os pergressi consumuntur.

XVII. Ossa corpori stabilitatem, & rectitudinem, ac speciem exhibent. [2] Nervi flexionem & contractionem ac distentionem. [3] Carnes & cutis omnium colligationem ac constructionem. [4] Venæ per corpus diffusæ spiritum & fluxum ac motum exhibent, [5] ab una multæ germinantes. [6] atque hæc una unde oriatur & ubi desinat, non scio. [7] Circulo enim facto principium non invenitur. [8] Cæterum rami ac germina ipsius unde pendeant, & qua parte corporis desinant, & quod una his consentit, & in quibus locis corporis extentæ sunt, ego declarabo. [9] Circa caput juxta medium ex obliquo circumsita est vena lata & tenuis, non multi sanguinis. [10] In cerebrum enim juxta commissuras multæ tenues venulæ radices egerunt, & circum totum caput extentæ sunt, usque ad frontem ac tempora. [11] Ipsa autem in rectum extenditur retro caput forinsecus juxta spinæ cutem, [12] inde vero circa externam ac internam venam ex his quæ in jugulis sunt demittitur.

XIIX. Πέρην δὲ τοῦ ἀκοῆς ὑποσχισθεῖσα ἀπὸ τοῦ γνάθου ἔξωθεν τείνει παχέη. ² ἀπὸ δὲ ταύτης ἐς τὴν γλῶσσαν πολλαὶ καὶ λεπταὶ, πλὴν ἡ ὑπὸ τὴν γλῶσσαν, ἡ ὑπὸ τοὺς γομφίους. ³ αὕτη δὲ παχέη διὰ τῆς κληῗδος καθήκει ὑπὸ τὴν ὠμοπλάτην. ⁴ καὶ ταύτῃ ἀπ' αὐτῆς βεβλάστηκε φλὲψ διὰ τοῦ νεύρου τοῦ ὑπὸ τὴν ἐπωμίδα, τῆς ἐπωμιαίης ὀνομαζομένης. ⁵ αὕτη δὲ αἱμόῤῥους, καὶ αἱμαλώδης, καὶ δυσίητος, ἢν ῥαγῇ ἢ σπασθῇ. ⁶ τῇ μὲν γὰρ αὐτὴν νεῦρον περιέχει πλατὺ, τῇ δὲ χόνδρος· τὸ δὲ μεσηγὺ αὐτῶν αὐτή τε ξυνέχει καὶ ὑμὴν ἀφρώδης. ⁷ ἀσάρκου οὖν ἐόντος τοῦ τόπου, ῥηϊδίως ῥήγνυται, οὐκ ἔχουσα περιφύεσθαι σάρκας. ⁸ ἤν τε ὑποδράμῃ τὸ αἷμα ἐς τοῦτο μέρος, ἐπιτυχὸν εὐρυχωρίης, οὐκ ἔχει ἀπαλλαγὴν, ἀλλὰ σκληρύνεται. ⁹ σκληρυνθὲν δὲ νοῦσον καὶ πόνον παρέχει. ¹⁰ [καὶ] αὐτὴ μὲν περαίνει, ἣ πρότερον εἶπον. ¹¹ ἡ δὲ ὑπὸ τὴν ὠμοπλάτην ἀποβεβλάστηκεν ὑπὸ τοῖσι μαζοῖσι, πυκνῇσί τε καὶ λεπτῇσι καὶ ἐπηλλαγμένῃσι φλεψί. ¹² καὶ διὰ τῆς ἐπωμιαίης παραλλάσσουσα τὸν χόνδρον, αὐτὴν νέρθεν ὑπονεμομένη, ἐς τὸν βραχίονα τείνει, τὸν μῦν ἐν ἀριστερῷ ἔχουσα. ¹³ ἡ δὲ δεξιὴ σχίζεται αὐτὴ περὶ τὸν ὦμον, καὶ τοῦ ἀγκῶνος τὴν ἄνω μοίραν. ¹⁴ τὸ δ' ἐντεῦθεν διαπέφυκε τοῦ ἀγκῶνος ἑκατέρωθεν. ἔπειτα αὖθις περὶ τὸν καρπὸν τῆς χειρός. ἐντεῦθεν δὲ ἤδη ἀποῤῥέουσα δι' ὅλου ἄνω τὴν χεῖρα πολυπλανῶς ἐῤῥίζωται.

XIX. Ἡ δ' ἀρχαίη φλὲψ, ἡ νεμομένη περὶ τὴν ἄκανθαν, διὰ δὲ τοῦ μεταφρένου [ὑπὸ] τῆς σφαγῆς καὶ τοῦ βρόγχου, ἐμπέφυκεν ἐς τὴν καρδίην, ² ἀφ'

XVIII. Ultra aures autem subfissa à gena forinsecus tendit crassa. ² ' Ab hac in linguam multæ & tenues procedunt, excepta ea quæ sub linguam & sub maxillares dentes fertur. ³ Ipsa autem crassa per claviculam descendit sub scapulas : ⁴ & hac parte ab ipsa germinat per nervum subter summam humeri partem sive cuticulam, vena humeralis appellata. ⁵ Ipsa autem sanguiflua est & sanguine plena, & ægre curatur, si rumpatur aut convellatur. ⁶ Ab altera enim parte nervus latus 'ipsam ambit, ab altera cartilago, medium vero locum ipsa tenet, & pellicula spumosa. ⁷ Quum igitur locus non sit carnosus, facile rumpitur, & carnem circumnasci non contingit. ⁸ & si sanguis in hanc partem subtercurrat, nactus spaciosum locum non discedit, sed induratur. ⁹ Induratus autem morbum & dolorem exhibet. ¹⁰ Atque hæc quidem finit ubi prius dixi. ¹¹ Illa vero sub scapulas germina emittit sub mammas 'densarum & tenuium ac varie implicatarum inter se venularum, ¹² & per humeralem venam, prætergrediens cartilaginem, ipsam subter subattingens ad brachium tendit, musculum in sinistra habens. ¹³ Dextra autem ipsa finditur circa humerum, & cubiti supernam partem. ¹⁴ Inde vero cubitum utrunque penetrans, postea manus juncturam, inde autem defluens per totam manum varie vagans radices agit.

XIX. ' Cæterum principalis vena juxta spinam sparsa; per dorsum, & jugulum, ac guttur, in cor inseritur, ² &

ἀφ' ἑαυτῆς φλέβα εὐμεγέθεα πολύστομον ἐς τὴν καρδίην, ³ ἐντεῦθεν δὲ ἐς τὸ στόμα ἐσυρίγγωσεν. ⁴ ἥπερ δὴ ἀρτηρίη διὰ τοῦ πλεύμονος ὀνομάζεται· ⁵ ὀλιγαιμός τε καὶ πνευματώδης. ⁶ ἐν γὰρ εὐρυχωρίῃ καὶ ἀραιώσει σπλάγχνου πολλαχῇ μὲν τοῦ πλεύμονος ὀχετεύεται, χονδρώδης δὲ τοὺς ἄλλους πεποίηται. ⁷ διὸ δὴ καὶ, ἤν τις ταύτῃσι κατιὼν ἔχῃ τὰς διόδους τοῦ πλεύμονος τῶν ἀήθων, ἢ ἐν τῷ ποτῷ, ἢ ἐν τῇ τοῦ πνεύματός τε καὶ αἵματος διόδῳ· ⁸ ἅτε τῶν φλεβῶν τοιουτέων ἐουσέων καὶ τοῦ σπλάγχνου σπογγοειδέος πολύ τε ὑγρὸν δυναμένου δέξασθαι ἄνω τε πεφυκότος· ⁹ τῶν γὰρ εἰσιόντων ὑγρῶν νόμος καθέστηκεν, ¹⁰ ἔπειτα τὸ αἷμα διὰ τῶν φλεβῶν τουτέων οὐ πολὺ περιέχεται, ¹¹ καὶ οὐ ταχέως χωρέον, οὐκ ἐξάγει τὰ ἐμπίπτοντα. ¹² οὐχ ὑπεξαχθέντων δὲ αὐτῶν, ἀλλ' ἐμμενόντων, γίνεται πῶρος. ¹³ οὕτως δὲ ἀπόλλυται τὸ πλησιάζον τῆς τροφῆς, ταύτης ἐούσης τῆς προσαγωγῆς τοῦ λάρυγγος, καὶ πρὸς τὰ ἔξω.

XX. Ἐγκαταλαμβανομένων δὲ τῶν διόδων ὑπὸ τοῦ πώρου, ταχύτης τε καὶ δύσπνοια ἴσχει. ² τῶν δὲ μὴ δυναμένων τὴν φύσιν ἐξιέναι τῆδε, οὐδ' εὐπόρως ἐχόντων καθιστάναι, ἐκ δὴ τοιουτέων αἱ τοιαῦται νοῦσοι γίνονται, οἷον ἄσθματα καὶ ξηραὶ φθινώδεες. ³ ἢν δὲ ἐν αὐτοῖσι ξυνεστεώμενον πλέον τὸ ὑγρὸν κρατήσῃ, ὥς τε μὴ δύνασθαι παχυνθὲν παγῆναι, καὶ σαπρὸν τὸν πλεύμονα ποιεῖ καὶ τὰ πλησιάζοντα, καὶ γίνονται ἔμπυοι

τε

² & de seipsa venam magnam multorum osculorum in corde producit, ³ inde vero in os procedens fistulam facit, ⁴ quæ sane arteria appellatur, per pulmonem transiens, ⁵ pauci sanguinis ac multi spiritus existens, ⁶ Propter spaciositatem enim ac raritatem visceris, multis locis per pulmonem derivatur, cætera vero cartilaginosa facta est. ⁷ Quapropter sane etiamsi quid in has vias pulmonis delatum fuerit ex insuetis, vel in potu, vel in spiritu ac sanguinis transitu, ⁸ utpote venis talibus existentibus, & viscere spongiformi, ac multum humorem suscipere potente, & sursum procedente: ⁹ tum humorum ingressorum lex constituta est, ¹⁰ tum sanguis amplius per has venas non multus continetur, neque multum constringitur, ¹¹ & non cito procedens illabentia non educit. ¹² Ipsis autem non subeductis, sed intus manentibus, callosa concrescit duricies. ¹³ Sic autem destruitur alimenti accessio ac ingestio, quum hac parte arteriæ capitis accessus ad externas partes existat.

XX. Interceptis vero transitibus per callosam duriciem, velocitas ac difficultas spirandi oboritur, ² quum neque emittere neque attrahere spiritum facile possint. Ex hujusmodi autem tales morbi fiunt, velut sunt anhelationes, & tabes sicca. ³ Si vero humor amplior in ipsis consistens prævaluerit, ut crassefactus spissari non possit, & pulmonem putrem facit, & vicinas ipsi partes, fiuntque sup-

purati

τε καὶ φθινώδεις. [4] γίνεται δὲ τὰ νοσήματα ταῦτα καὶ δι' ἄλλας αἰτίας. [5] ἐντεῦθέν τε ἡ φλὲψ αὕτη κατέχει τὸν πλεύμονα, καὶ διὰ τῶν λοβῶν, τῶν δύο τῶν μεγάλων τῶν εἴσω περιεστραμμένων, ὑπὸ τὰς φρένας ἐπιτέταται τῇ ἀκάνθῃ, λευκὴ καὶ νευρώδης, [6] διαπέμπουσα φλέβια διὰ τοῦ ἄλλου σώματος πεπυκνωμένου. [7] ἐντεῦθεν δὲ διά τε τῶν σπονδύλων πυκνοῖσι φλεβίοισιν ἐς τὸν νωτιαῖον μυελὸν [1] ἐσκιρσοῦται. 55

XXI. Καὶ αἱ μὲν ἄλλαι φλέβες ἐν τῷ σώματι τεταγμέναι ἐκ πάντων τῶν μερῶν συντείνουσαι ἐς τὴν ἄκανθαν τὸ λεπτότατον καὶ εἰλικρινέστατον ἑκάστη ξυνάγουσα, ἐντεῦθεν ἐξερεύγεται. [2] αὕτη δὲ ἡ ἐπιτεταμένη διὰ τῶν κειμένων πλεκτάνας ἐς ταὐτὸ ξυνάγει. [3] ἐντεῦθεν δὲ καὶ ἐς τοὺς νεφροὺς ἀπερριζοῦται, παρὰ τὴν νόθον πλευρὴν, λεπτῇσι καὶ ἰνώδεσι φλεψί. [4] καὶ ἐντεῦθεν συντείνουσα συμπεπύκνωται. [5] ἔπειτα καὶ νευροῦται πρὸς τὴν ἀρχὴν, πιέζουσά τε τοὺς ξυνεχομένους ἐμπεφυκέναι αὐτῷ, [6] τὴν κύστιν, καὶ τοὺς ὄρχιας, [1] καὶ τοὺς παραστάτας ἐῤῥίζωκε, πολυπλόκοισί τε λεπτοῖσί τε καὶ στερεοῖσι καὶ ἰνώδεσι φλεψίν. [7] ἐντεῦθεν αὐτῆς τὸ παχύτατον καὶ ἰθύτατον, ἀνάπαλιν τραπὲν ἐπὶ ταὐτὸ κατῴληκεν, ὅπερ ἐστὶν αἰδοῖον. [8] ἐν δὲ τῇ ἀνακάμψει αὐτῆς ἐς τὰ αὐτὰ ταῦτα [9] καὶ διὰ τοῦ κτενὸς ἄνω ὑπὸ τὸ δέρμα τῆς γαστρὸς καὶ τῆς φλεβὸς αὐτῆς [1] ἄρμενοι αἱ ἐς τὰς κάτω φερόμεναι, αἱ ἐς ἀλλήλας ἐποχετεύονται. [10] διαπεφύκασι δὲ καὶ διὰ τοῦ αἰδοίου φλέβες παχεῖαι καὶ λεπταὶ, καὶ πυκναὶ, καὶ καμπύλαι. 56 57 58

XXII. Τῇσι δὲ θηλείῃσιν αὕτη τείνουσα ἐς τὰς μήτρας, [1] [καὶ] ἐς τὴν κύστιν, καὶ ἐς τὴν οὐρήθρην. [2] ἐντεῦθεν διὰ

purati ac tabidi. [4] Fiunt autem hi morbi etiam ob alias caussas. [5] Inde porro hæc vena pulmonem occupat, & per extremitates duas magnas intro conversas, sub septum transversum extenta est ad spinam, alba ac nervosa, [6] venulas per reliquum condensatum corpus spargens. [7] hinc autem per verticula densis venulis in spinalem medullam inseritur [1], ac instar hederæ implicatur. 222

XXI. Et aliæ quidem venæ in corpus distributæ ex omnibus partibus ad spinam tendentes, unaquæque quod tenuissimum ac sincerissimum est colligens, hic eructat. [2] Hæc vero velut præses [1] imposita per demissas implicationes in idem cogit. [3] Inde vero etiam in renes radices agit, tenuibus ac fibrosis venulis juxta spuriam costam, [4] hinc autem tendens condensatur, [5] posteaque etiam nervosa fit ad princeps intestinum ac podicem, comprimensque musculos adstrictorios ipsi inseritur. [6] In vesicam etiam, & testes, ac adstites radices agit, multiplicibus implicatis tenuibusque ac solidis & fibrosis venis. [7] Inde [1] vero crassissima ac rectissima ipsius pars rursus conversa in eandem transit, hoc est pudendum. [8] In reflexu autem in illa ipsa adaptatur. [9] Et per pectinem supra subter cutem ventris & ipsius venæ, procedunt venæ ad eas; quæ deorsum tendunt, quæ in seipsas mutuo derivantur. [10] Penetrant autem & per pudendum venæ crassæ, & tenues, & densæ & curvæ. 225 230

XXII. At vero in fœminis illa ipsa in uteros tendit, [1] & in vesicam ac urinæ meatum. [2] hinc au- 235

ἡ ἰθυπόρηκε, καὶ τῇσι γυναιξὶ μὲν περὶ τὰς μήτρας ἤρτηται, τοῖσι δὲ ἄῤῥεσι περὶ τοὺς ὄρχιας ἐσπέρωται. ³ Διὰ τούτην τὴν φύσιν αὐτὴ ἡ φλὲψ καὶ τὰ γόνιμα πλεῖστα ξυλλαμβάνει. ⁴ Ἀπὸ γὰρ τῶν πλείστων καὶ εἰλικρινεστάτων μερῶν τρεφομένη, ὀλιγαιμός τε ἐοῦσα καὶ κοίλη, καὶ νευρόπαχυς καὶ πνευματώδης, ἐντεινομένη τε ὑπὸ τοῦ αἰδοίου τὰ καθιέμενα ἐς τὴν ἄκανθαν φλέβια βιάζεται. ⁵ Τὰ δὲ βιαζόμενα ὥσπερ σικύη ἐς ἑωυτὰ πάντα ἐκδίδει ἐς τὴν ἄνω φλέβα. ⁶ Ξυλλέγεται δὲ καὶ ἐκ τῶν ἄλλων μελέων σώματος ἐς ταύτην· τὸ δὲ πλεῖστον, ὥσπερ εἴρηται, ἀπὸ τοῦ μυελοῦ τούτου ξυναλίζεται.

XXIII. Ἡ δὲ ἡδονὴ τούτῳ παραγίνεται, τῆς φλεβὸς ταύτης πληρευμένης τῆς γονῆς. ² Εἰωθυίης δὲ τὸν ἄλλον χρόνον ὑφαιμός τε εἶναι καὶ πνευματώδεος, πληρευμένης τε καὶ θερμαινομένης, καὶ ξυῤῥέοντος κάτω τοῦ σπέρματος, περισφίγγει τὰ ἐν ἑωυτῇ. ³ Τὸ δὲ πνεῦμα τὸ ἐνεὸν, καὶ ἡ παρεοῦσα βίη, καὶ ἡ θερμότης, καὶ τῶν φλεβίων πανταχόθεν ἡ ξυναγωγὴ, γαργαλισμὸν ἐμποιέει. ⁴ Ἐκείνη δὲ ἡ ἀφ᾽ ἑωυτῆς διαβεβλάστηκε, διά τε τοῦ μεταφρένου καὶ τῆς σφαγῆς παρὰ τὴν ἄκανθαν νεμομένη, πολλοῖσι φλεβίοισι τὰς πλευρὰς διαπέπλεχε, καὶ τοὺς σφονδύλους διὰ τῶν σαρκῶν ἐπηλλαγμένως ξυμπεπύκνωκεν, ὥστε τρόφιμός τε καὶ ἔναιμος εἶναι. ⁵ Αὐτὴ δὲ παρὰ τὸ ἰσχίον καὶ γλουτὸν διὰ τοῦ μυὸς ὑπὸ τὸν μηρὸν ὑποβρυχίη. ⁶ Πρὸς δὲ τοῦ γλουτοῦ τῇ κοτυλίδι τοῦ μηροῦ παρὰ τὴν κεφαλὴν ἐς φλέβα τετρύπηκε, ἥπερ ἀναπνοὴν τῷ μηρῷ παρέχει, ἐκ πέρην δὲ τοῦ μηροῦ παρὰ τὴν πρὸς τὸ γόνυ καμπήν,

autem recta procedit, & mulieribus quidem circa uteros pendet, masculis vero circa testes disseminatur. ³ Ob hanc autem naturam ipsa vena etiam plurima fœcunda ac genitalia concipit. ⁴ A plurimis enim ac sineerissimis partibus connutrita, paucique sanguinis existens ac cava, & densa instar nervi, ac spiritu referta, intentaque à pudendo, demissas ad spinam venulas cogit: ⁵ hæ vero velut cucurbita medicinali in seipsas coactæ, omnia in supernam venam emittunt. ⁶ Confluit autem & ex aliis corporis partibus in hanc, verum multo maxima pars, velut dictum est, de medulla hac colligitur.

XXIII. Voluptas vero accedit, vena hac genitura expleta. ² Quum igitur soleat reliquo tempore modici sanguinis ac multi spiritus esse, repleta & calfacta & semine deorsum confluente, ea quæ in seipsa habet constringit. ³ Spiritus autem in ipsa existens, & præsens violentia, & caliditas, & venarum undiquaque concitatio, titillationem inducit. ⁴ Illa autem quæ à seipsa germinavit, per dorsum & jugulum juxta spinam sparsa, multis venulis costas intertexit, & verticula per carnes alternatim condensat, ut & probe nutrita & sanguine plena existat. ⁵ Ipsa autem juxta coxendicem ac nates meat, per musculum sub femore submersa, ⁶ à natibus vero juxta acetabulum femoris juxta caput in venam perforata est quæ femori respirationem exhibet, trans femur autem juxta flexuram ad genu,

XXIV. Ἑτέρην δὲ παρὰ τὸν βουβῶνα καθῆκε πολυόῤῥιζον καὶ δυσαπάρτητον. ² καὶ δὲ διὰ τοῦ μυὸς τεταγμένη, περὶ τὸ γόνυ ἐσπείρηται, καὶ διὰ τοῦ ὀστέου τοῦ κνημιαίου ἄκρου στενοχωρεῖ φλέβα, ἣ τρέφει τὸν μυελὸν, καὶ ἐξοχετεύεται διὰ τοῦ κατωτάτου τοῦ κνημιαίου παρὰ τὴν ἔνδεσιν τοῦ ποδός. ³ αὕτη δὲ διὰ τῆς ἐπιγουνίδος ἐς τὸ ἐντὸς διὰ τῆς κνήμης τοῦ μυὸς βρυχίου τέτακται, καὶ ἐμπέπλεκται διὰ τοῦ σφυροῦ. ἐντὸς παχέη καὶ ἔναιμος. ⁴ καὶ ἐνταῦθα περὶ τὸ σφυρὸν καὶ τὸν τένοντα δυσκρίτους φλέβας μεμόρηκεν. ⁵ αὕτη δὲ ὑποδεδραμηκυῖα κάτωθεν τοῦ ποδὸς ὑπὸ τὸν ταρσόν. ⁶ καὶ ἐντεῦθεν διαπλέξασα καὶ ἐς τὸν μέγαν δάκτυλον ἐνερείσασα, διπλῆν ἔναιμον φλέβα ἄνωθεν ὑπὸ τὸ δέρμα ἐκ τοῦ ταρσοῦ ἀνακέκαμπται. ⁷ ἐπιφαίνεται δὲ παχυνθεῖσα παρὰ τὸ ἐκτὸς τοῦ σφυροῦ, καὶ νέμεται ἄνω παρὰ τὴν ἀντικνημίου τὴν ἀντιβεβλημένην κερκίδα. ⁸ παρὰ δὲ τὴν γαστροκνημίην οἷον σφενδόνην πεποίηται. ⁹ τὸ δὲ ἐντεῦθεν τέτακται παρὰ τοῦ γόνατος τὸ ἐντός.

XXV. Ἐπιβέβληκε δὲ καὶ τῇ ἐπιγονατίδι φλέβας, ² καὶ κατὰ τὸ ἐντὸς τῆς ἐπιγονατίδος ἐπίκοιλον ἐμπέπλεκται φλέβα. ³ ἣν τις ἐς πονέσῃ, τάχιστα ξυνάγει χολώδεα ἰχῶρα. ⁴ διδραμοῦσα δὲ αὕτη κατὰ τὸ ἐντὸς κοῖλον τοῦ γόνατος. ⁵ ἀποκατέσπαρκε δὲ καὶ ἐς τὰς ἰγνύας πολυπλόκους φλέβας. ⁶ αἳ ἐντεῦθεν παρατείνουσαι κατὰ τὰ ὑποκάτω νεῦρα τοῦ μηροῦ καταῤῥιζοῦνται ἐς τοὺς ὄρχιας καὶ ἐς τὸν ἀρχόν, ⁷ καὶ περὶ τὸ ἱερὸν ὀστέον λελεπτυσμέναι [τὸ καὶ] ἡνωμένα περιτέτανται. ⁸ ἡ δὲ ἀφισταμένη παρὰ τοῦ γόνατος τὸ ἐντὸς κοῖ-

XXIV. Alteram vero juxta inguina demittit frequentibus radicibus, & ægre transeuntem. ² Hæc vero per musculum tendens, & circa genu disseminatur, & per ossis tibialis summitatem venam de se in fistulam cavat, quæ medullam nutrit, & derivatur per infimam tibiam, juxta pedis illigationem ac connexionem. ³ Ipsa autem per patellam genu ad interna per tibiæ musculum submersa extenditur, & per malleolum implicatur, intus crassa & sanguine plena, ⁴ atque hic circa malleolum, & tendinem, venas ægre cognobiles producit ac involvit. ⁵ Ipsa vero infra ad pedem, sub summum pedem decurrit, ⁶ & hic se implectens, & in magnum digitum innitens, duplam sanguine refertam venam superne sub cutem ex summo pede reflectit: ⁷ & apparet sane crassefacta juxta externam malleoli partem, ac sursum spargitur juxta oppositum tibiæ radium. ⁸ Juxta suram autem velut fundam facit. ⁹ Inde extenditur juxta internam genu partem.

XXV. Immittit etiam patellæ venas, ² & juxta internam patellæ partem quæ cava est, venam implicat: ³ quam si quis doleat, celerrime biliosum serosum, ac saniosum humorem colligit. ⁴ procedit autem ipsa juxta internam genu cavitatem. ⁵ Distribuit etiam de se in poplites multas implicatas venas. ⁶ Quæ inde tendentes juxta nervos sub femore, radices agunt in testes, & in rectum intestinum ac podicem, ⁷ & circa os sacrum attenuatæ unitæ circumtenduntur. ⁸ Illa vero procedens juxta internam genu cavi-

 tatem

κοῖλον, αὖθι παρὰ τοῦ μηροῦ τὸ ἐντὸς ἀνήκει ἐς τὸν βουβῶνα, [9] καὶ διὰ τοῦ ἰσχίου πέρην πρὸς τὴν ἄκανθαν καὶ τὴν ψύαν ἐκτὸς ἐλθοῦσα, παχεῖά τε καὶ πλατεῖα καὶ ἔναιμος ἄνω ὀρέγεται πρὸς τὸ ἧπαρ, [10] καὶ διακρίνουσα ἐκφῦσαν ἔναιμον, κατέχει ἐς τὸν νεφρὸν τὸν δεξιὸν λοβὸν τὸν ἡπατικόν. [11] αὕτη δὲ ἀποκέρταται ὑπὸ τοῦ ἥπατος ὑπονησσομένη καὶ ἀπερείδεται ἐς φλέβας παχείας. [12] ἡ δὲ ἀποκειμένη ἐμπέφυκεν ἐς τὸ πάχος τοῦ ἥπατος καὶ τὸ μὲν αὐτῆς ἐπιπολάζον ἐπὶ τοῦ σπλάγχνου πέφυκεν, ἐν ᾧ περ ἡ χολὴ, ἐστὶ τὸ πολύρριζον διὰ τοῦ ἥπατος πεπλεκτωμένη· τὸ δὲ διὰ τῶν ἐντὸς αὐτοῦ ὀχετεύεται.

XXVI. Δύο δὲ ἐκ τῶν πλαγίων φλέβας μέζους δύο λοβῶν τῶν πλατέων. [2] καὶ μία μὲν διὰ τῶν κορυφῶν καὶ τοῦ δέρματος διαχυθεῖσα ἐκ τοῦ ὀμφαλοῦ ἀνήκει. [3] ἡ δὲ ἑτέρη, πιέζουσα ἐς τὴν ἄκανθαν καὶ ἐς τὸν νεφρὸν, ἀγκυροβολεῖται [καὶ] ἐς τὴν κύστιν καὶ τὸ αἰδοῖον. [4] ἐκ δὲ τοῦ ἰσχίου ἀρχομένη, ἀνιέναι ἐπὶ τὸ ἦτρον πολλὰς καὶ πλανώσας φλέβας. [5] καὶ τάς τε πλευρὰς καὶ τοὺς σφονδύλους συνεκόλλησε πρὸς τὴν ἄκανθαν; [6] καὶ τοιαύτας παραφυάδας ἐκφλεβοῦμένη, [7] καὶ τὰ ἔντερα καὶ τὴν νηδὺν ἐνελίξασα. [8] καὶ αἱ μὲν ἀπὸ τοῦ ἤτρου ἐς τοὺς μαζοὺς καὶ ὑπὲρ αὐχένα καὶ τοὺς ἀκρωμίους ἐκπερισσάμεναι καὶ πλάκηνται. [9] ἡ δ' ἀφιεμένη παρὰ τὸ πάχος τοῦ ἥπατος, καὶ ἀποσυστρέψασα τὸν χολώδη αὐλὸν, ὑπὸ τὴν ἄκανθαν νέμεται, διὰ τῶν φρενῶν ὁδὸν ποιησαμένη.

XXVII. Ἡ δὲ ἐκ τῶν ἀριστερῶν φλέψ, τὰ μὲν ἄλλα τὴν αὐτὴν φύσιν ἐρρίζωνται τῇ ἐν τοῖσι δεξιοῖσι.

tatem, sursum juxta internam femoris partem, in inguen transit, [9] & per coxendicem ultra ad spinam & lumbum foras veniens, crassa & lata ac sanguine plena sursum porrigitur ad hepar, [10] & ubi bifidam produxit sanguine refertam venam, dextram hepatis extremitatem, ad renem occupat. [11] Rursus vero subter hepar dispersa in venam crassam finditur. [12] Fissa vero in crassitudinem hepatis inseritur; & altera quidem ipsius pars in superficie visceris extat, in qua etiam est fel, habetque multas radices instar cirrorum ac plicationum per hepar dispersas: altera vero para per internas ipsius partes derivatur.

XXVI. Duæ autem venæ inter duas latas extremitates explicantur, [2] & una quidem per vertices ac cutem penetrans ex umbilico effertur. [3] Altera vero premens spinam, in renem, ac vesicam, & pudendum, velut ancoris jactis inseritur. [4] Venarum ex coxendice incipiens adscendere ad pubem, multas vagabundas producit venas, [5] & costas ac verticula ad spinam illigat, [6] & propagines suas multipliciter per venas transmittit, [7] & intestina ac ventrem involvit. [8] Et aliæ quidem à pube ad mammas, & supra mentum & summos humeros exporrectæ divagantur. [9] Alia vero procedens juxta crassitudinem hepatis, ubi se in fistulam coëgit, sursum sub spinam dispergitur, per septum transversum itinere facto.

XXVII. Cæterum vena ex sinistris partibus, in reliquis quidem, juxta eandem naturam velut ea quæ in dextris, radices

δεξιωτέρη. [2] ἐκ [δὲ] τῶν ἀριστερῶν ἐς τὸ ἧπαρ οὐκ ἔστιν ἐκδιδοῦσα, ἀλλ' ἐς τὸν σπλῆνα ἐμπέφυκε κατὰ τὴν κεφαλὴν τὴν ἐν τῇ παχύτητι αὐτέου. [3] ἐντεῦθεν δὲ καταδύουσα ἐς τὸ ἐντὸς, καὶ ἠραχνίωκε τοῦ σπληνὸς ἐναίμοισι φλεβίοισιν. [4] ὁ δὲ ὅλος ἐκ τοῦ ἐπιπλόου αἰωρέεται, πλῆσιν ἐξ ἑωυτέου φλεβίοισιν ἐναιμοποιέουσιν αὐτό. [5] αἱ δὲ ἀπὸ τῆς κεφαλῆς τοῦ σπληνὸς πρὸς τὴν ἄκανθαν ἐξικνέονται, διὰ τῶν φρενῶν διαπεπερηκυῖαι. [6] ἐντεῦθεν δὲ κάτω, ἡ δεξιὴ, ἡ ἀριστερὴ, ὑπὸ τὸν πνεύμονα ἐλήλανται. [7] αἱ δὲ ἔναιμοι ἔνεισιν ὑπ' αὐτὸν, καὶ ἐξοχετεύονται ἐς αὐτόν. [8] ὀλίγαιμοι δὲ καὶ λεπταὶ, αἱ ἀπὸ πνεύμονος ἔνωθεν γινόμεναι τῇ φύσει ἀραιοῦ ἐόντος ἐς τὴν καρδίην, ἅτε ὑπ' αὐτοῦ ἐξηθελγμέναι, ἐγκεχαλίνωνται περὶ τὰ ὦτα αὐτέης, καὶ ἐς τὰ κοῖλα τὰ ἐντὸς διερρυήκασιν. [9] ἐμβάλλουσι δὲ καὶ αἱ πρότεραι καὶ αὗται ἐς αὐτήν. [10] ἐν γὰρ στενοχωρίῃ τοῦ διόδου ἵδρυνται, ὡς ἐκ παντὸς τοῦ σώματος τὰς ἡνίας ἔχουσαι. [11] διὸ καὶ παντὸς τοῦ σώματος περὶ τὸν θώρηκα μάλιστά ἐστιν ἡ αἴσθησις.

XXIIX. Καὶ τῶν χρωμάτων αἱ μεταβολαὶ γίνονται, ταύτης ἀποσφιγγούσης τὰς φλέβας καὶ χαλώσης. [2] χαλώσης μὲν οὖν ἐρυθρὰ τὰ χρώματα γίνονται, καὶ εὔχροα καὶ διαφανέα· [3] συναγούσης δὲ, χλωρὰ καὶ πελιδνά. [4] τὰ τοιαῦτα δὲ παραλλάσσει ἐκ τῶν παρεόντων ἑκάστου χρωμάτων.

ces agit. [2] Verum ex sinistris emergens in hepar non se ingerit, sed in splenem inseritur, juxta caput quod in crassitudine ipsius consistit. [3] Inde vero internas splenis partes subit, ipsasque venulis sanguinolentis instar aranearum telæ intertexit. [4] Hic vero totus ex omento elevatur, venulis ex seipso sanguine plenum ipsum reddens. [5] Quæ vero à capite splenis ad spinam accedunt, per septum transversum penetrant. [6] Inde vero sursum & dextra & sinistra sub pulmonem extenduntur. [7] Quæ autem sanguine plenæ sunt, sub ipsum & in ipsum corrivantur. [8] Quæ vero pauci sanguinis & tenues à pulmone intrinsecus procedentes, qui natura rarus existit, utpote ab ipso emulctæ, in cor frenantur circa auriculas ipsius, & in cavitates internas diffluunt. [9] Ingerunt autem se & priores in ipsum. [10] Etenim in angustia transitus situm est, velut ex omni corpore habenas habens. [11] Quapropter ex omni corpore maxime circa thoracem sensus existit.

XXVIII. Colorum quoque mutationes corde adstringente venas ac laxante fiunt. [2] Laxante quidem igitur rubicundi colores fiunt, & bene colorati ac pellucidi: [3] constringente vero, virides cum pallore & lividi. [4] Verum tales evariant juxta præsentes in unoquoque colores.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΑΙΩΝΟΣ.

HIPPOCRATIS DE ÆTATE.

Basil. græc. Foesius sect. v. 75, 516. Basil. lat.

pag. 43 |30

Ὁ δὲ αἰὼν ἐστὶ τοῦ ἀνθρώπου ἑπταήμερος. [2] Πρῶτον μὲν, ἐπὴν ἐς τὰς μήτρας ἔλθῃ ὁ γόνος, ἐν ἑπτὰ ἡμέρῃσιν ἔχει, ὁκόσα περ ἐστὶν ἔχειν τοῦ σώματος. [3] τοῦτο δὲ τις ἂν θαυμάσειεν, ὅκως ἐγὼ οἶδα. [4] πολλὰ δὲ εἶδον τρόπῳ τοιῷδε. [5] αἱ ἑταῖραι αἱ δημόσιαι, αἵτινες αὐτέων πεπείρηνται πολλάκις, [6] ὁκόταν παρὰ ἄνδρα ἔλθῃ, γινώσκουσιν, ὁκόταν λάβωσιν ἐν γαστρὶ, [7] κἄπειτα ἐνδιαφθείρουσιν. [8] ἐπειδὰν δὲ ἤδη διαφθαρῇ, ἐκπίπτει, ὥσπερ σάρξ. [9] ταύτην τὴν σάρκα ἐς ὕδωρ ἐμβαλὼν, σκεπτόμενος ἐν τῷ ὕδατι [10] εὑρήσεις ἔχειν πάντα μέλεα, καὶ τῶν ὀφθαλμῶν τὰς χώρας, καὶ τὰ ὦτα, καὶ τὰ γυῖα· καὶ τῶν χειρῶν οἱ δάκτυλοι, καὶ τὰ σκέλεα, καὶ οἱ πόδες, καὶ οἱ δάκτυλοι τῶν ποδῶν, καὶ τὸ αἰδοῖον, καὶ τὸ ἄλλο πᾶν σῶμα δῆλον.

XXI. Εὔδηλον δὲ καὶ, ὅταν λάβῃ ἐς γαστέρα τοῖσιν ἐπισταμένοισιν, [2] αὐτίκα ἔφριξεν, [3] καὶ θέρμη, [4] καὶ βρυγμὸς, [5] καὶ σπασμὸς ἔχει καὶ τὸ ἄρθρον καὶ τὸ σῶμα πᾶν, [6] καὶ τὴν ὑστέρην ἄκνος. [7] Καὶ ὁκόσαι καθαραί εἰσι, τοῦτο πάσχουσιν. [8] ὁκόσαι δὲ πάσχουσι παχεῖαι καὶ βλεννώδεες, [9] οὐ γινώσκουσι τουτέων τῶν γυναικῶν πολλαί. [10] ἡ δέ μοι ἔδειξαν, κατὰ τοῦτο δὴ καὶ ἐπίσταμαι εἰδέναι. [11] δῆλον δὲ τόδε, ὅτι ἑπταήμερος ὁ αἰὼν, [12] εἴ τις ἐθέλει ἐκ

pag. 60

PORRO vita hominis septem dierum est. [2] Primum etenim postquam genitura in uteros pervenit, in septem diebus habet quæcunque corpus habere debet. [3] Mirari autem quis possit, quomodo id sciam. [4] Verum multa ego vidi hoc modo. [5] Meretrices publicæ quæ sæpius de seipsis periculum fecerunt, [6] ubi cum viris rem habuerint, sciunt quando in ventre concipiant, [7] & postea conceptum intra se perdunt. [8] Postquam autem jam perditus est, elabitur velut caruncula. [9] Hanc carunculam in aquam conjectam si conspicatus consideraveris, [10] omnia membra habere reperies, & oculorum regiones, & aures, & manus & manuum digitos, & crura, & pedes & pedum digitos, & pudendum, & reliquum totum corpus manifestum.

XXI. Satis etiam manifestum est harum rerum peritis, quod mulier quum in ventre concepit, [2] statim horret, [3] & calor, [4] & dentium stridor consequitur, [5] & convulsio occupat tum articulos, tum totum corpus, [6] & uterum segnities ac torpor. [7] Et quæ puræ sunt, hoc perpetiuntur. [8] Quæ vero crassæ & mucosæ hoc perpetiuntur, [9] pleræque ex his mulieribus non percipiunt, nec cognoscunt. [10] Certe quatenus mihi ostenderunt, hoc ipsum se cognovisse, catenus scio ac prodo. [11] Quod vero vita hominis septem dierum sit, etiam ex hoc manifestum redditur. [12] Si quis

ἑπτὰ ἡμέρας φαγεῖν ἢ πιεῖν μηδὲν, [13] οἱ μὲν πολλοὶ ἀποθνήσκουσιν ἐν αὐτῇσιν· [14] εἰσὶ δέ τινες καὶ οἳ ὑπερβάλλουσιν, ἀποθνήσκουσι δ' ὅμως. [15] εἰσὶ δέ τινες, οἳ καὶ ἐπείσθησαν ὥστε μὴ ἀποκαρτερῆσαι, ἀλλὰ φαγεῖν τε καὶ πιεῖν, [16] ἀλλ' ἡ κοιλίη οὐκέτι καταδέχεται. [17] ἡ γὰρ νῆστις συνεφύη ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν. [18] ἀλλὰ θνήσκουσι καὶ οὗτοι.

XXII. Ἔστι δὲ καὶ τόδε τεκμήρασθαι. [2] τὸ παιδίον ἑπτάμηνον γόνον γενόμενον, λόγῳ γεγένηται καὶ ζῇ, [3] καὶ λόγον ἔχει τοιοῦτον καὶ ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. [4] ὀκτάμηνον δὲ γενόμενον οὐδὲν βιοῖ πώποτε. [5] ἐννέα δὲ μηνῶν καὶ δέκα ἡμερέων γόνος γίγνεται καὶ ζῇ, [6] καὶ ἔχει τὸν ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. [7] τέσσαρες δεκάδες ἑβδομάδων ἡμέραι εἰσὶν διηκόσιαι ὀγδοήκοντα. [8] ἐς δὲ τὴν δεκάδα τῶν ἑβδομάδων, ἑβδομήκοντα ἡμέραι. [9] ἔχει δὲ καὶ τὸ ἑπτάμηνον γενόμενον τρεῖς δεκάδας ἑβδομάδων. [10] ἐς δὲ τὴν δεκάδα ἑκάστην ἑβδομήκοντα ἡμέραι. [11] τρεῖς δεκάδες δὲ ἑβδομάδων αἱ σύμπασαι δέκα καὶ διηκόσιαι.

XXIII. Καὶ αἱ νοῦσοι οὕτω τοῖσιν ἀνθρώποισιν ὀξύταται γίνονται, [2] ἡμερέων παρελθουσέων, ἐν τῇσιν ἀνακρίνονται, [3] καὶ ἀπέθανον ἢ ὑγιέες ἐγένοντο. [4] καὶ τριταῖοι ἐν ἕνδεκα ἡμέρῃσιν, ἢ μιῇ ἑβδομάδι καὶ ἥμισυ ἑβδομάδος. [5] καὶ τεταρταῖοι ἐν δυσὶν ἑβδομάσι. [6] καὶ οἱ πεμπταῖοι ἐν δυοῖν δεκάσιν εἴκοσιν ἡμέρῃσι, δυοῖν τε ἑβδομάδιν καὶ ἥμισυ ἑβδομάδος. [7] αἱ δὲ ἄλλαι νοῦσοι οὐκ ἔχουσι διὰ γνώμην, ἐν ὁκόσῳ ὑγιέες ἔσονται, ἀποφαίνε-

quis in septem diebus nihil edere aut bibere velit, [13] plerique quidem in ipsis moriuntur. [14] Sunt autem qui ipsos transmittunt, & tamen moriuntur. [15] Sunt etiam quidam qui persuasi sunt ut ne desperarent seipsos fame conficientes, sed comederent ac biberent: [16] verum venter non amplius suscipit. [17] Jejunum enim intestinum in his diebus concrevit, [18] moriunturque etiam illi.

XXII. Sed & ex hoc conjectare licet, hominis vitam septem dierum esse. [2] Puer septimestri partu natus, pro ratione natus est, & vivit, [3] & rationem talis habet, ac numerum ad hebdomadas septenarium exactum. [4] Octimestris autem natus nullus unquam vixit. [5] Novem vero mensium & decem dierum partus fit, & vivit, [6] & habet ad hebdomadas numerum exactum. [7] Quatuor enim denarii hebdomadum, dies sunt ducenti & octoaginta. [8] In denarium autem hebdomadum septuaginta dies incurrunt. [9] Habet autem & septimestris partus tres denarios sive decadas hebdomadum, [10] & in unaquaque decade septuaginta dies. [11] Tres vero hebdomadum decades, ex toto sunt dies ducenti ac decem.

XXIII. Quin & morbi acutissimi sic hominibus fiunt, [2] præteritis diebus, in quibus judicantur, [3] & moriuntur aut sani evadunt: [4] & tertii generis in undecim diebus, hoc est una & dimidia hebdomade: [5] & quarti in duabus hebdomadis, [6] & quinti in duodeviginti diebus, hoc est duabus & dimidia hebdomadis. [7] At vero alii morbi non habent ut certa sententia pronunciari possit, quanto tempore homines

φαίνεται. οὕτω δὲ καὶ τὰ ἕλκεα τὰ μεγάλα, τὰ ἐν τῇ κεφαλῇ καὶ τὰ ἐν τῷ ἄλλῳ σώματι, τεταρταῖα φλεγμαίνειν ἄρχεται, ἐν ἑπτὰ δὲ καθίστανται φλεγμαίνοντα, καὶ ἐν τεσσαρεσκαίδεκα, καὶ ἐν εἴκοσι δυοῖν δεούσῃσιν. ἢν δέ τις ἀνάγκῃ θεραπεύηται, καὶ μὴ καθίστηται ἐν τουτέῳ τῷ χρόνῳ τὰ ἐν τῇσι κεφαλῇσι μεγάλα ἕλκεα, ἀποθνήσκουσιν οἱ ἄνθρωποι.

XXIV. Θαυμάσειε δ' ἄν τις καὶ τοῦτο, ὅστις ἄπειρός ἐστιν, εἰ ἑπτάμηνον γίνεται παιδίον. ἐγὼ μὲν οὖν αὐτὸ ὤπωπα καὶ συχνά. εἰ δέ τις βούλεται καὶ τοῦτο ἐλέγξαι, ῥηΐδιον παρὰ τὰς ἀκεστρίδας, αἳ παρεῖσι τῇσι τικτούσῃσιν ἐλθὼν πυθέσθω. ἔστι δὲ καὶ ἄλλο τεκμήριον. τοὺς ὀδόντας οἱ παῖδες ἑπτὰ ἐτέων διελθόντων πληροῦσι. καὶ ἐν ἑπτὰ ἔτεσιν ἔστι δὲ λόγῳ καὶ ἀριθμῷ ἀτρεκέως δεκάδες ἑβδομάδων ἑξήκοντα καὶ τριηκόσιαι. τὸ δὲ φύσιος τὴν ἀνάγκην, δι' ἣν ἐν ἑπτὰ τούτων ἕκαστα διοικεῖται, ἐγὼ φράσω ἐν ἄλλοισιν.

ab ipsis sani evadant. [8] Ad eundem modum etiam ulcera magna in capite ac reliquo corpore, [9] quarto die inflammari incipiunt, [10] in septem autem inflammatio sedatur, [11] aut etiam quatuor & decem, aut duodeviginti. [12] Si quis autem diligenter medeatur, & vulnera in capite magna in hoc tempore non sedentur, homines moriuntur.

XXIV. Ceterum inexpertus quispiam mirari queat, quod septimestris puer nascatur. [2] Ego quidem igitur hoc ipsum vidi, & quidem frequenter. [3] Si quis autem hoc deprehendere vult, facile est obstetrices adire, quæ parientibus adsunt, & ex ipsis percunctari. [4] Est autem & aliud signum. [5] Pueri septem annis præteritis dentes explent. [6] Et in septem annis sunt & ratione & numero exacte hebdomades trecentæ ac sexaginta. [7] Necessitatem autem naturæ, quapropter in septem hæc singula dispensentur, ego aliis locis declarabo.

ΙΠΠΟΚΡΑΤΟΥΣ
περὶ
ΑΙΩΝΟΣ
τομεῖον, ἐκ τοῦ Φίλωνος περὶ κοσμοποιΐας.

Ὁ δ' ἰατρὸς Ἱπποκράτης ἡλικίας ἑπτὰ εἶναί φησι: [2] παιδίου, παιδός, μειρακίου, νεανίσκου, ἀνδρός, πρεσβύτου, γέροντος. [3] ταύτας δὲ μετρεῖσθαι μὲν ἑβδομάσιν, οὐ μὴν ταῖς κατὰ τὸ ἑξῆς. [4] λέγει δ' οὕτως.

II. Ἐν ἀνθρώπου φύσει ἑπτά εἰσιν

HIPPOCRATIS
DE
ÆTATE
fragmentum, ex PHILONIS IUDÆI de Opif. Mundi p. 24.

Hippocrates medicus ait septem esse ætates; [2] infantis, pueri, adolescentis, juvenis, viri, senioris, senis. [3] Has autem mensurari hebdomadis, quamquam non ultimis. [4] Ait autem.

II. In hominis natura sunt septem

εἰσιν ὧραι, ἃς ἡλικίας καλέουσι. [2] παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνήρ, πρεσβύτης, γέρων. [3] παιδίον μέν ἐστιν ἄχρις ἑπτὰ ἐτῶν, ὀδόντων ἐκβολῆς. [4] παῖς δ' ἄχρι γονῆς ἐκφύσιος, ἐς τὰ δὶς ἑπτά. [5] μειράκιον δ' ἄχρι γενείου λαχνώσεως, ἐς τὰ τρὶς ἑπτά. [6] νεανίσκος δ' ἄχρις αὐξήσιος ὅλου τοῦ σώματος, ἐς τὰ τετράκις ἑπτά. [7] ἀνὴρ δ' ἄχρις ἑνὸς δέοντος πεντήκοντα, ἐς τὰ ἑπτάκις ἑπτά. [8] πρεσβύτης δ' ἄχρι πεντήκοντα ἕξ, ἐς τὰ ἑπτάκις ὀκτώ. [9] τὸ δ' ἐντεῦθεν, γέρων.

septem tempora, quas ætates vocant. [2] infans, puer, adolescens, juvenis, vir, senior, senex. [3] Infans est usque ad septem annos, dentium amissionem. [4] Puer vero usque ad genituræ ortum, ad bis septem. [5] Adolescens usque ad barbæ lanuginem, ad ter septem. [6] Iuvenis usque ad auctionem totius corporis, ad quater septem. [7] Vir usque ad undequinquagesimum, ad septies septem. [8] Senior usque ad quinquaginta sex, ad septies octo. [9] Deinceps vero, senex est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΧΥΜΩΝ.

HIPPOCRATIS DE HVMORIBVS.

Basil. græc. Fœsius sect. 11. 14. 47. Basil. lat.

pag. 114

Τὸ [μὲν] χρῶμα [ὁμοίων] τῶν χυμῶν, ὅκου μὴ ἄμπωτίς ἐστι τῶν χυμῶν, ὥσπερ ἀνθέων. [2] ἀκτέα, ᾗ ῥέπει, διὰ τῶν ξυμφερόντων χωρίων, [3] πλὴν ὧν οἱ πεπασμοὶ ἐν τῷ χρόνῳ. [4] οἱ πεπασμοὶ ἔξω ἢ ἔσω ῥέπουσιν, ἢ ἄλλῃ, ὅπη δεῖ. [5] εὐλάβεια. [6] ἀπειρίη. [7] δυσπειρίη. [8] μαδαρότης. [9] σπλάγχνων κενότης. [10] τοῖσι κάτω πλήρωσις, τοῖσιν ἄνω τροφή. [11] ἀναρροπίη, καταρροπίη. [12] τὰ αὐτόματα ἄνω καὶ κάτω, ἃ ὠφελεῖ καὶ βλάπτει. [13] ξυγγενὲς εἶδος. [14] χώρη. [15] ἔθος. [16] ἡλικίη. [17] ὥρη. [18] κατάστασις νούσου. [19] ὑπερβολή, ἔλλειψις. [20] ὧν ὅσον ἀπολείπει, ἢ οὔ. [21] ἄκη. [22] κάθαρσις. [23] ἔκκλισις. [24] παροχέτευσις.

Humorum color, ubi non resorbtio humorum est, velut florentium, [2] ducendus est qua repit per convenientes ac commodas regiones, [3] exceptis his quorum maturitas tempore contingit. [4] Maturationes extra aut intro repunt, aut alio quo oportet. [5] Cautio, [6] inexperientia, [7] experiendi difficultas, [8] pilorum nuditas, [9] viscerum vacuitas, [10] infernis repletio, supernis alimentum, [11] mutatio sursum, mutatio deorsum. [12] Spontanea sursum & deorsum: quæ prosunt & lædunt. [13] Cognata species, [14] regio, [15] mos, [16] ætas, [17] tempus, [18] constitutio morbi, [19] excessus, defectus. [20] Quibus quantum deficit, aut non, [21] medela, [23] declinatio, [24] derivatio:

χέτευσις, ἐς κεφαλὴν, ἐς τὰ πλάγια, ᾗ μάλιστα ῥέπει. [25] ἢ ἀντίσπασις, ἐπὶ τοῖσιν ἄνω, κάτω· [26] ἐπὶ τοῖσι κάτω, ἄνω. ἢ ξυρῆναι, ἢ οἷσι τὰ κάτω, ἢ οἷσι τὰ ἄνω· [27] ἢ [οἷσιν] ἐκπλυνεῖ, ἢ οἷσι παρηγορήσεται. [28] μὴ τὰ ἐκκεχυμένα ἐς τὸ εἴσω ἀπολαμβάνειν, ἀλλὰ τὰς ἀφόδους ξηραίνειν. [29] τάραξις. [30] κατάκλυσις. [31] Διάνιψις, οἷσιν ἀποστεῖλαι πρὸς ἕδρην, ὅθεν ἀθέλγεται. [32] ἢ φάρμακον, [33] ἢ ἕλκος, [34] ἢ χυμός τις ξυνεστηκὼς, [35] ἢ βλάστημα, [36] ἢ φῦσα, [37] ἢ σῖτος, [38] ἢ θηρίον, [39] ἢ καῦμα, [40] ἢ ἄλλο τι πάθος.

II. Σκεπτέα ταῦτα, [2] τὰ αὐτόματα λήγοντα, [3] ἢ οἷον αἱ ἀπὸ καυμάτων ἐπιγινόμεναι φλυκτίδες· [4] ἐφ' οἷσιν οἷα βλάπτεται, ἢ ὠφελέει, [5] σχήματα. [6] κίνησις. [7] μετεωρισμός. [8] παλινίδρυσις. [9] ὕπνος. [10] ἐγρήγορσις. [11] ἅτε ποιητέα, ἢ κωλυτέα, φθάσαι. [12] πρόσδοσις ἐμέτου, [13] κάτω δ' ἐξόδου, [14] ἢ πτυάλου, [15] μύξης, [16] βηχὸς, [17] ἐρυγῆς, [18] λυγμοῦ, [19] φύσης, [20] οὔρου, [21] πταρμοῦ, [22] δακρύων, [23] κνησμῶν, [24] τιλμῶν, [25] ψαύσιων. [26] δίψης· λιμοῦ. [27] πλησμονῆς, κενώσιος. [28] ὕπνων, ἀγρυπνίης. [29] πόνων, ἀπονίης· [30] σώματος, γνώμης· [31] μαθήσιος, λήθης, φωνῆς, σιγῆς. [32] ὑστέρης καθάρσιος. [33] τὰ ἄνωθεν καταρρηγνύμενα καὶ στρέφοντα, [34] λιπαρὰ, [35] ἄκρητα, [36] ἀφρώδεα, [37] θερμὰ, [38] δάκνοντα, [39] ἰώδεα, [40] ποικίλα, [41] ξυσματώδεα, [42] τρυγώδεα, [43] αἱματώδεα, [44] ἄφυσα, [45] ὠμὰ, [46] ἑφθὰ, [47] αὖα. [48] ὅσα περιρρέει. [49] εὐφορέειν καθ-

vatio, in caput, in obliqua, qua maxime repit: [25] aut revulsio, in supernis deorsum, in infernis sursum; [26] aut siccare, aut aliquibus inferna, aut aliquibus superna, [27] aut eluitur, aut quibusdam mitigabitur: [28] humores effusi ne intro revellantur, sed secretiones siccentur. [29] Turbatio, [30] infusio per sedem, [31] pelluvium, quibus abscedit ad sedem, unde exolvitur [32] aut medicamentum, [33] aut ulcus, [34] aut humor aliquis compactus, [35] aut eruptio pustulosa, [36] aut flatus, [37] aut cibus, [38] aut animalculum, [39] aut æstus, [40] aut alia quædam affectio.

II. Consideranda hæc, [2] spontanea desinentia, [3] aut velut ab exustione excitatæ bullæ, [4] in quibus qualia lædunt aut prosunt. [5] Figuræ, [6] motus, [7] elevatio, [8] & rursus subsidentia, [9] somnus, [10] vigilia. [11] Quæ facienda, aut impedienda, cito assequi. [12] Castigatio per vomitum, [13] inferne per exitum, [14] aut sputum, [15] mucum, [16] tussim, [17] ructum, [18] singultum, [19] flatum, [20] urinam, [21] sternutationem, [22] lachrymas, [23] pruritus, [24] evulsiones, [25] contactus, [26] sitim, famem, [27] repletionem, [28] somnos, [29] labores, ocium, [30] corpus, mentem, [31] disciplinam, memoriam, vocem, silentium, [32] uteri purgationem. [33] Quæ superne erumpunt ac torquent, [34] pinguia [35] intemperata ac meraca: [36] spumosa, [37] calida, [38] mordacia, [39] æruginosa, [40] varia, [41] ramentosa, [42] feculenta, [43] cruenta, [44] flatus expertia, [45] cruda, [46] cocta, [47] sicca. [48] Quæcunque circumfluunt, [49] ferendi facilita-

καθισταμένου [καὶ] δυσφορίην, πρὶν κίνδυνον εἶναι. 50 Οἷα δεῖ παύειν, ἢ οὔ. 51 πεπασμὸς, κατάβασις τῶν κάτω, ἐπιπόλασις τῶν ἄνω. 52 καὶ τὰ ἐξ ὑστερέων. 53 καὶ ἐν ὠσὶ ῥύπος. 54 ὀργασμός. 55 ἄνοιξις. 56 κένωσις. 57 θάλψις, ψύξις. 58 ἔσωθεν, ἔξωθεν. 59 τῶν μὲν, τῶν δ' οὔ. 60 ὁκόταν ἔῃ κάτωθεν ὀμφαλοῦ τὸ στρέφον, βραδὺς [καὶ] μαλθακὸς ὁ στρόφος, ἐς τοὐναντίον.

III. Τὰ [δὲ] διαχωρέοντα, ᾗ ῥέπει, 2 ἄναφρα, 3 πέπονα, 4 ὠμὰ, 5 ψυχρὰ, 6 δυσώδεα, 7 ξηρὰ, 8 ὑγρὰ, 9 ὀδμῇσι κακώδεα. 10 δίψα πρόσθεν μὴ ἐνεοῦσα. 11 μὴ ᾖ καῦμα, 12 μηδὲ ἄλλη πρόφασις. 13 οὖρον. 14 ῥινὸς ὑγρασμός. 15 τὴν ῥῖψιν, 16 καὶ τὸν αὐασμὸν, 17 καὶ τὸ ἀσύμπτωτον, 18 καὶ τὸ θολερὸν πνεῦμα. 19 ὑποχόνδριον. 20 ἄκρεα, 21 ὄμματα προσκεκυθρα. 22 χρώματος μεταβολή. 23 σφυγμοί. 24 ψύξις. 25 παλμοί. 26 σκληρυσμὸς δέρματος, νεύρων, ἄρθρων, φωνῆς, γνώμης. 27 σχῆμα ἑκούσιον. 28 τρίχες. 29 ὄνυχες. 30 τὸ εὔφορον, ἢ μή. 31 οἷα δεῖ. 32 σημεῖα ταῦτα. 33 ὀδμαὶ χρωτὸς, στόματος, διαχωρήματος, ὠτὸς, φύσης, οὔρου, ἕλκεος, ἱδρῶτος, πτυάλου, ῥινός. 34 χρὼς ἁλμυρὸς, ἢ πτύαλον, ἢ ῥὶς, ἢ δάκρυον, ἢ ἄλλοι χυμοί. 35 πάντη ὅμοια, τὰ ὠφελέοντα, τὰ βλάπτοντα. 36 ἐνύπνια, οἷα ἂν ὁρέῃ· 37 καὶ ἐν τοῖσιν ὕπνοισιν, οἷα ἂν ποιέῃ· 38 ἢν ἀκούῃ ὀξύ· 39 καὶ πείθεσθαι προθυμέηται ἐν τῷ λογισμῷ· 40 μέζω ἰσχὺν,

cilitatem contemplari oportet, itemque difficultatem, priusquam periculum veniat. 50 Item quæ sedare non oportet: 51 maturatio, descensus eorum quæ infra sunt, redundantia & fluctuatio eorum quæ supra: 52 & quæ ex uteris, 53 & in auribus sordes, 54 concitatio ac permixtio, 55 apertio, 56 evacuatio, 57 calfactio, perfrigeratio, 58 intrinsecus, forinsecus; 59 horum quidem, horum vero non. 60 Quum infra umbilicum fuerit id quod torquet, tardum & molle est tormen: vice versa, contra.

III. Quæ per alvum egeruntur qua repunt, 2 non spumosa, 3 matura, 4 cruda, 5 frigida, 6 fœtida, 7 sicca, 8 humida. 9 Quæ olfactum male afficiunt. 10 Sitis quæ prius non adfuit, 11 neque æstus, 12 neque alia caussa. 13 Urina, 14 nasi humectatio. 15 Jactationem. 16 Siccitatem: 17 & non esse contractum ac arefactum, 18 & spiritum turbulentum: 19 præcordia, 20 extremitates, 21 oculos male affectos: 22 coloris transmutatio. 23 Pulsus, 24 frigiditas, 25 palpitationes, 26 cutis duricies, nervorum, articulorum, vocis, mentis, 27 figura voluntaria, 28 pili, 29 ungues: 30 facile ferre aut non, 31 qualia oportet. 32 Signa hæc. 33 Odores corporis, oris, secessus, auris, flatus, urinæ, ulceris, sudoris, sputi, nasi. 34 Corpus salsuginosum, aut sputum, aut nasus, aut lachryma, aut alii humores. 35 Penitus similia, juvantia, lædentia. 36 Insomnia qualia videat, 37 & in somnis qualia faciat, 38 an acute audiat, 39 & obedire paratus sit animo: 40 an ma-

ἰσχυρότερα καὶ πλείω, 41 ἐπικαιρότερα καὶ σώζοντα τῶν ἑτέρων· 42 εἰ αἰσθάνονται πάσῃσι αἰσθήσεσι πάντων, καὶ φέρουσιν. 43 οἷον ὀδμὰς, λόγους, εἵματα, σχήματα. 44 τοιαῦτα εὐφόρως, ἅπερ καὶ αὐτόματα ἐπιφαινόμενα ὠφελέει. 45 καὶ ὅτε κρίσιν τὰ τοιαῦτα ἐμποιέει, καὶ τοσαῦτα καὶ τοιαῦτα· 46 οἷον φῦσαι, οἷον οὖρα· 47 καὶ ὁκόσα καὶ ὁκότε. 48 ὁκόσα δὲ τἀναντία, ἀποτρέπειν [ἢ] μάχεσθαι αὐτοῖσι. 49 τὰ ἐγγὺς καὶ τὰ κοινὰ τοῖσι παθήμασι, πρῶτά τε καὶ μάλιστα κακοῦται. 50 κατάστασιν δὲ ἐκ τῶν πρώτων ἀρχομένων. 51 ὅ, τι ἂν ἐκκρίνηται, ἐκ τῶν οὔρων ὁκοῖα ἂν ᾖ, 52 καὶ οἵη τις ξύμπτωσις. 53 χροιῆς ἀπαλλαξις. 54 πνεύματος μινύθησις. 55 καὶ τ' ἄλλα μετὰ τούτων τὰ διαιτήματα. 56 τὸ μὲν, εἰ ὅμοια τὰ ὑπιόντα, δεῖ εἰδέναι. 57 διέξοδοι, 58 οὖρα, 59 καθ' ὑστέρας, 60 πτύαλα, 61 κατὰ ῥῖνας. 62 ὄμματα. 63 ἱδρὼς ἐκ φυμάτων, ἐκ τραυμάτων, ἐξανθημάτων, 64 ὁκότε αὐτόματα, ὁκόσα τέχνῃσιν. 65 ὅτι ὅμοια ἀλλήλοισι πάντα τὰ κρίνοντα, καὶ τὰ ὠφελέοντα, καὶ τὰ βλάπτοντα, καὶ τὰ ἀπολύοντα· 66 ὡς τὰ μὲν περιφεύγων ἀποτρέπῃ, τὰ δὲ προσκαλέων καὶ ἄγῃ καὶ δέχηται. 67 καὶ τ' ἄλλα δὲ οὕτω· δέρματος, ἀκρέων, ὑποχονδρίων, ἄρθρων, ὄμματος, στόματος, σχημάτων, ὕπνων. 68 οἷα κρίνει, καὶ ὅ, τι τὰ τοιαῦτα μηχανᾶσθαι. 69 καὶ ἐπ' ὅσοι τοιαῦται ἀποστάσιες γίνονται. 70 οἷα ὠφελέουσι βρώμασι, πόμασιν, ὀδμῇσιν, 71 ὁράμασιν, ἀκούσμασιν, ἐννοήμασιν, 72 ἀφόδοισι, 73 θάλψει, ψύξει, 74 ὑγροῖσι, ξηροῖ-

magis fortia sint ac plura 41 quæ commoda sunt ac servant, quam alia: 42 an sentiant omnia omnibus sensibus, & ferant, 43 veluti odores, sermones, vestitus, figuras, 44 & hujusmodi patienter, quæ sane & sua sponte comparantia profunt, 45 & quando etiam talia judicationem inducunt. Item tot, & talia, 46 veluti sunt, flatus, urina, 47 qualis, & quanta, & quando. 48 Quæ vero contraria sunt avertere, ipsisque adversari. 49 Quæ propinqua & communia sunt affectionibus, prima & maxime affliguntur. 50 Constitutionem autem ex primis incipientibus, 51 quicquid tandem excernatur ex urinis, qualesnam fuerint: 52 & qualis sit corporis collapsio, 53 coloris immutatio, 54 spiritus imminutio, 55 & reliquæ cum his victus rationes. 56 Scire etiam oportet an similia sint quæ decedunt, 57 transitus, 58 urinæ, 59 per uteros, 60 sputa, 61 per nares; 62 oculi, 63 sudor, ex tuberculis, ex vulneribus, ex pustulis: 64 quæ sua sponte, quæ arte. 65 Quod similia sunt inter se omnia quæ judicant, & quæ prosunt, & quæ nocent, & quæ perimunt, 66 quo hæc quidem fugiens avertat, illa vero accersat, & ducat, ac suscipiat. 67 Sed & alia eodem modo, cutis, extremarum partium, præcordiorum, articulorum, oculorum, oris, figurarum, somniorum, 68 qualia judicant, & quando, talia machinari. 69 Insuperque qui tales abscessus fiunt. 70 Qualia prosunt cibis, potibus, odoribus, 71 visu, auditu, cogitatu, 72 secretionibus, 73 calefactione, frigefactione, 74 humoribus, siccita-

ξηροῖσιν, ὑγρῆναι, ξηρῆναι, ⁷⁵ χρίσμασιν, ἐγχρίσμασιν. ⁷⁶ ἐπιπλάσμασιν, ἐμπλάσμασιν, ἐπιπάσμασιν, ἐπὶ δὲ τοῖσιν ἐπιθέμασι. ⁷⁷ σχήματα, ἀνατρίψις. ⁷⁸ ἴησις, πόνος, ἀργίη, ὕπνος, ἀγρυπνίη. ⁷⁹ πνεύματα, ἄνωθεν, κάτωθεν. ⁸⁰ κοινοῖσιν, ἰδίοισιν, τεχνητοῖσιν. ⁸¹ ἐν τοῖσι 25 παροξυσμοῖσι μήτε ἐοῦσι, μήτε μέλλουσι, μήτε ποδῶν ψύξει, ἀλλ' ἐν καταρρόπῳ τῆ νούσῳ. ⁸² τοῖσιν, ἐν τῆσι περιόδοισι, παροξυσμοῖσι τὰ προσάρματα μὴ διδόναι, μηδὲ ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προσθέσιων, πρὸ τῶν κρίσιων. ⁸³ τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, μήτε νεωτεροποιέειν, μήτε φαρμακίοισι, μήτε ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ' ἐᾶν. ⁸⁴ πέπονα φαρμακεύειν, καὶ κινέειν, μὴ ὠμά, μηδὲ ἐν ἀρχῇσιν, ἐὰν μὴ ὀργᾷ· τὰ δὲ πολλὰ οὐκ ὀργᾷ. ⁸⁵ ἃ δεῖ ἄγειν, ὅπη ἂν μάλιστα ῥέπῃ ταύτῃ ἄγειν, διὰ τῶν ξυμφερόντων χωρίων. 30 ⁸⁶ τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ὡς ἂν χωρέῃ οἷα δεῖ, καὶ φέρῃ εὐφόρως. ⁸⁷ ὅκου δὲ δεῖ γυιῶσαι, ἢ λειποθυμῆσαι, ἕως ἂν τοῦτο ποιήσῃς, ἐπ' ἄλλα ῥέψαι. ἢ ξηρῆναι, ἢ ὑγρῆναι, ἢ ἀντισπάσαι, ἕνεκα τοῦτο ποιέεται, ἢν ἐξαρκέῃ ὁ νοσέων. ⁸⁸ τούτοισι τεκμαίρεσθαι· τὰ μὲν ξηρὰ, θερμὰ ἔστι· τὰ δὲ ὑγρὰ, ψυχρά· διαχωρητικὰ δὲ, τἀναντία ὡς ἐπιτοπολύ. ⁸⁹ ταῦτα τῇσι περιοδοισιν αὐτῇσι καὶ αἱ περίοδοι· καὶ ἡ κατάστασις τοιαύτη ἐκ τῶν παροξυσμῶν.

ficcitatibus, humectando, ficcando, ⁷⁵ unguentis, illitionibus, ⁷⁶ cataplasmatis, emplastris, infperfionibus, denique & epithematis quæ imponuntur. ⁷⁷ Figuræ, defrictio, ⁷⁸ curatio, labor, ocium, fomnus, vigiliæ: ⁷⁹ fpiritibus fuperne, inferne, ⁸⁰ communibus, propriis, arte paratis. ⁸¹ In exacerbationibus neque præfentibus, neque futuris, neque pedum frigiditate, fed in declinante deorfum morbo. ⁸² In exacerbationibus per circuitus contingentibus, ciborum oblationes dandæ non funt, neque cogere oportet, fed auferre de appofitionibus ante judicationes. ⁸³ Quæ judicantur, & judicata funt integre, neque movere oportet, neque novare, neque medicamentis, neque aliis irritamentis, fed finere. ⁸⁴ Concocta medicamentis aggredi oportet, & movere, non cruda, neque in principiis, fi non turgeant. Multa vero non turgent. ⁸⁵ Quæ ducere oportet, quo maxime repunt per convenientes locos, eo ducere oportet. ⁸⁶ Quæ prodeunt non multitudine æftimare oportet, fed quandiu prodeant, qualia oportet, & facile æger ferat. ⁸⁷ Ubi vero opus eft, debilitare etiam, aut animi deliquium inducere oportet, donec hoc feceris, cujus gratia hoc fit: interim alio vertere, aut ficcare, aut humectare, aut revellere, fi fufficiat æger, ⁸⁸ id quod ex his conjectabis. Sicca quidem calida erunt, humida vero frigida. Quæ vero alvum movent, plerunque contraria. ⁸⁹ Hæc imparibus diebus, furfum, fi & circuitus, & conftitutio talis fit ex exacerbationibus.

35 ξυστρεφόμενα. 90 γίνεται δὲ τὰ πλεῖστα τῇσιν ἀρτίῃσι κάτω. 91 οὕτω γὰρ καὶ αὐτόματα ὠφελεῖ, ἢν μὴ αἱ περίοδοι τὰς παροξυσμοὺς ἐν τῇσιν ἀρτίῃσι ποιέωνται. 92 ἐν δὲ τοῖσι τοιούτοισιν, ἐν μὲν ἀρτίῃσιν ἄνω· ἐν δὲ τῇσι περισσῇσι, κάτω· ὀλίγαι δὲ τοιαῦται. 93 αἱ δὲ τοιαῦται δυσκριτώτεραι καταστάσιες. 94 ἀτὰρ δὲ τὰ πρόσω χρόνου προήκοντα ἀνάγκη οὕτως· οἷον τρεισκαιδεκαταῖα, τεσσαρεσκαιδεκαταῖα· τρεισκαιδεκάτῃ μὲν, κάτω· τεσσαρεσκαιδεκάτῃ δὲ, ἄνω. 95 πρὸς γὰρ τὸ κρίσιμον οὕτω ξυμφέρει· καὶ ὁκόσα εἰκοσταῖα· πλεῖον ὁκόσα κάτω. 96 πολλὰ δὲ δεῖ καθαίρειν· τοῦτο δὲ ἐγγὺς, οὐ τῷ κρισίμῳ, ἀλλὰ προσωτέρω. 97 δεῖ δὲ ὀλιγάκις ὀξέσι πολλὰ ἄγειν· τοῖσι [δὲ] κοπιώδεσι, τὸ σύμπαν. 98 ἐν τοῖσι πυρετοῖσιν ἐς ἄρθρα καὶ παρὰ γνάθους μάλιστα ἀποστάσιες γίνονται, ἐγγύς τε τῶν πόνων ἑκάστου ἐπὶ τὸ ἄνω μᾶλλον καὶ τὸ σύμπαν. 99 ἢν δὲ ἀργὸς ἡ νοῦσος ἔῃ, καὶ καταῤῥοπος, κάτω αἱ ἀποστάσιες. μάλιστα δὲ πόδες θερμοὶ κάτω σημαίνουσι, ψυχροὶ δὲ ἄνω. 100 οἷσι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων, αὐτίκα δὴ ἐν χερσὶν ἢ ποσὶ πονέουσί τι, ἐν τούτοισιν ἀφίσταται. 101 ἀτὰρ καὶ ἤν τι πεπονηκὸς ᾖ πρὶν ἢ νοσέειν, ἐνταῦθα ἀποστηρίζει. 102 οἷον δὲ τοῖσιν ἐν Περίνθῳ βηχώδεσι καὶ κυναγχικοῖσι. 103 ποιέουσι γὰρ αἱ βῆχες τὰς ἀποστάσιας, ὥσπερ οἱ πυρετοὶ τοιαύτας. 104 κατὰ τὸν αὐτὸν λόγον ξυμβαίνει ἢ ἀπὸ χυμῶν ἢ σώματος συντήξιος, καὶ ψυχῆς. 105 τοὺς μὲν οὖν χυμοὺς εἰδέναι, ἐν ᾗσιν ὥρῃσιν ἀνθέουσι, καὶ οἷα ἐν ἑκάστοισι νοσήματα

nibus. 90 Fiunt autem plurima paribus diebus, deorsum: 91 sic enim & sua sponte prosunt: si non circuitus faciant exacerbationes in paribus. 92 In talibus autem, in paribus sursum: in imparibus deorsum. Tales autem pauci sunt. 93 Et tales constitutiones etiam difficilius judicantur. 94 Quin & ulterius tempore progressa sic fieri necesse est, velut ad decimamtertiam, ac decimamquartam diem: Decimatertia quidem deorsum, decimaquarta vero sursum. 95 Ita enim ad judicationem conducit. Et quæ ad vigesimam. Cæterum quæ infra prodeunt, 96 multum purgare oportet, & hæc non prope judicationem, sed longius ab ea. 97 Raro autem in acutis, multa ducere oportet, in delassatis, totum. 98 In febribus ad articulos, & circa maxillas maxime abscessus fiunt, prope sane dolores uniuscujusque, ad supernam partem magis & in totum. 99 Si vero lentus fuerit morbus & deorsum tendens, inferne etiam abscessus fiunt. Maxime autem pedes calidi, inferne significant: frigidi, superne. 100 Quibus vero ex morbis se erigentibus statim in manibus aut pedibus dolores fiunt, in his abscessus contingunt. 101 Sed & si quid doluerit quis antea quam ægrotet, ad eas partes infirmatur. 102 Quemadmodum etiam tussientibus & anginosis in Perintho. 103 Faciunt enim tusses abscessus, velut etiam febres. 104 Juxta eandem rationem contingit ab humorum aut corporis colliquatione & frigiditate. 105 Proinde nosse expedit, in quibus temporibus humores florent, & quales in

μαζα ποιέουσι, καὶ οἷα ἐν ἑκάστῳ 115 νοσήματι παθήματα. [106] τὸ δὲ σῶμα τὸ ἄλλο, ἐς ὅ, τι μάλιστα νόσημα ἡ φύσις ῥέπει· [107] οἷόν τι σπλὴν ἐνοιδέων ποιέει, τούτων τι καὶ ἡ φύσις. [108] σχεδὸν τε καὶ χρώματα κακίω, καὶ σώματα σπριοῖ. 37 [109] καὶ εἴ τι ἄλλο, τοῦτο διαγυμνάζεσθαι. [110] Ψυχῆς ἀκρασίη 38 ποτῶν καὶ βρωμάτων, ὕπνου, ἐγρηγόρσιος, [111] ἢ δι' ἔρωτάς τινας, οἷον κύβων, [112] ἢ διὰ τέχνας, [113] ἢ δι' ἀνάγκας καρτερίη 5 πόνων, [114] καὶ ὧν τινων τεταγμένη, ἢ ἄτακτος. [115] αἱ μεταβολαὶ 39 ἐξ οἵων ἐς οἷα.

IV. Ἐκ τῶν ἠθέων φιλοπονίη ψυχῆς· [2] ἢ ζητέων, ἢ μελετέων, ἢ ὁρέων, ἢ λέγων, [3] ἢ 40 εἴ τι ἄλλο, οἷον λῦπαι, δυσοργησίαι, ἐπιθυμίαι. [4] τὰ ἀπὸ συντυχίης λυπήματα γνώμης, ἢ διὰ τῶν ὀμμάτων, ἢ διὰ τῆς ἀκοῆς. [5] οἷα τὰ σώματα. [6] μύλης μὲν τριφθείσης πρὸς ἑωυτὴν, ὀδόντες ἡμωδήσαν. [7] παρά τε κοῖλον 41 παριόντι σκέλεα τρέμει. [8] ὅταν δὲ τῇσι χερσὶν, ὧν δέεται, ἄρῃ, αὗται τρέμουσιν. [9] ὄφις ἐξαί- 42 10 φνης ὀφθεὶς χλωρότητα ἐποίησεν. [10] οἱ φόβοι, οἷον αἰσχύνη, λύπη, ἡδονὴ, ὀργὴ, τἄλλα τοιαῦτα οὕτως ὑπακούει. [11] ἑκάστῳ δὲ τὸ 43 προσῆκον τοῦ σώματος τῇ πρήξει, ἐν τούτοισιν ὑπακούει· [12] ἱδρῶτες, καρδίης παλμὸς, καὶ τὰ τοιαῦτα τῶν δυνάμιων, [13] τὰ ἔξωθεν, ὠφελέοντα ἢ βλάπτοντα, ἄλειψις, κατάχυσις, κατάχρισις, καταπλασις, ἐπίδεσις ἐρίων, καὶ τῶν τοιούτων. [14] καὶ τὰ ἔνδοθεν ὑπακούει τῶν τοιούτων, οὐ μόνον ὥσπερ τὰ ἔξω τοῖς εἴσω φερο-

in singulis morbos faciunt, & quales in unoquoque morbo affectiones: [106] & reliquum corpus ad quem morbum maxime natura repit: [107] & quale quid splen intumescens facit. [108] Horum sane & natura, & fermè colores deteriores sunt, & corpora tument. [109] Et si quid aliud est, in his exercere se prodest, velut est. [110] Animi intemperantia circa cibos ac potus, somnum, vigilias, [111] aut ob amores quosdam, velut tesserarum, [112] aut propter artes, [113] aut propter necessitates: tolerantia laborum, [114] & quorum ordinata est, aut inordinata. [115] Mutationes ex qualibus ad qualia.

IV. Ex moribus animæ industria, [2] aut quærens, aut meditans, aut videns, aut dicens, [3] aut aliud quid, velut tristitiæ, iracundiæ, cupiditates, [4] quæ ex casu contingunt, Molestiæ animi aut per oculos, aut per auditum, [5] velut etiam corporum. [6] Malis quidem ad seipsas attritis, dentes stupescunt. [7] Ambulanti vero circa cavum locum, crura tremunt: [8] quum quis manibus ea quibus opus habet levat, hæ tremunt: [9] Serpens derepente conspectus pallorem cum virore inducit. [10] Timores, pudor, mœror, voluptas, ira, aliaque hujusmodi quomodo obediunt. [11] Unicuique autem pars corporis ad actionem pertinens, in his obedit. [12] Sudores, cordis palpitatio, & ejusmodi potentiæ. [13] Quæ extrinsecus prosunt aut nocent, unctio, perfusio, illitio, cataplasmatum usus, deligatio lanarum & talium rerum: [14] & internæ partes talibus obediunt, non solum externæ his quæ in-

lecto e lanis sordidis

φερομένων, 15 ἐσθὴς καὶ πάθη ἐν ἐρίοισι κοίτη πινώδεσι, 16 καὶ τὸ παρὰ βασιλεῖ λεγόμενον κύμινον ὁρῶσιν [ἢ] ὀσφραινομένοισιν. 17 ὅσα κεφαλῆς ἀγωγά, παρακλητικοὶ λόγοι, φωνή, καὶ τὰ τοιαῦτα. 18 μαζοί, γονή, ὑστέρη, σημήια πάντα ἐν τῇσιν ἡλικίῃσι, καὶ ἐν τοῖσι πνιγμοῖσι, καὶ βηχί, τὰ πρὸς ὄρχιν.

V. Ὥσπερ τοῖσι δένδροισιν ἡ γῆ, οὕτω τοῖσι ζώοισιν ἡ γαστήρ. 2 καὶ τρέφει, καὶ θερμαίνει, καὶ ψύχει. 3 ψύχει μὲν κενουμένη· θερμαίνει δὲ πληρουμένη, ὥσπερ γῆ κοπρευομένη. 4 [ὥσπερ δὲ ἡ γῆ] χειμῶνος θερμή, οὕτω καὶ ἡ κοιλίη. 5 δένδρεα φλοιὸν λεπτὸν ξηρὸν ἔχει· ἔσωθεν δὲ ξηρόσαρκα, ὑγιηρά, ἄσηπτα, χρόνια. 6 καὶ ζώων, οἷον χελῶναι, καὶ ὅ, τι τοιοῦτον, ἡλικίῃσιν, ὥρῃσιν, ἐνιαυτοῖσιν ὅμοια. 7 τὰ ζῶντα (ᾧ τρέφει) χρωμένοισι μετρίως βελτίω. 8 ὥσπερ ὑδρίον νέον διαπηδᾷ, παλαιούμενον στέγει· 9 οὕτω καὶ ἡ γαστὴρ δέχεται τὴν τροφήν, καὶ ὑποστάθμην ἴσχει ὥσπερ ἀγγεῖον.

VI. Οἱ τρόποι τῶν νούσων. 2 τὰ μὲν συγγενικά ἐστιν εἰδέναι πυθόμενον, καὶ τὰ ἀπὸ τῆς χώρης. 3 οἰκέονται γὰρ διὰ πλειόνων, καὶ πολλοὶ ἴσασι· 4 τὰ δὲ ἐκ τοῦ σώματος καὶ τῶν διαιτημάτων, καὶ καταστάσιος τῆς νούσου, ἢ ἀπὸ ὡρέων. 5 αἱ δὲ χῶραι πρὸς τὰς ὥρας κακῶς διακείμεναι τοιαῦτα τίκτουσι νοσήματα, ὁκοίῃ ἂν ὥρῃ ὁμοῖαι ἔωσιν· 6 οἷον ἀνώμαλον θάλπος, ἢ ψῦχος, τῆς αὐτῆς ἡμέρης, ὅταν τοιαῦτα ποιέῃ φθινοπωρινὰ ἐν τῇ χώρῃ τὰ νοσή-

tro assumuntur. 15 Sed & quæ in lanis ab ovili succidis adhibentur, 16 & quod à rege nomen habet cuminum, videntibus & olfacientibus. 17 Quæ de capite ducunt, turbant, sermones, vox, & hujusmodi, 18 mammæ, genitura, uterus, & quæ signa in ætatibus, & in suffocationibus, & tussi, & quæ ad testiculos.

V. Quemadmodum arboribus terra, ita animalibus ventriculus: 2 & nutrit, & calefacit, & frigefacit. 3 Frigefacit, dum evacuatur: calefacit, dum impletur. 4 Quemadmodum terra stercorata hyeme calida est, ita etiam ventriculus. 5 Arbores corticem tenuem siccum habent, intrinsecus autem carne sicca, sanæ, non putridæ, diuturnæ. 6 Ita & ex animalibus testudines, & quicquid ejusmodi est. Ætatibus, temporibus, annis, similia. 7 animalia, non deteruntur, si moderate melioribus utantur. 8 Quemadmodum hydria quod recens est transmittit; quod inveteratum retinet. 9 Sic & ventriculus transmittit alimentum, & fecem retinet, velut vasculum.

VI. Modi morborum hi sunt: 2 partim quidem cognati sunt: de quibus interrogando discere oportet: 3 partim à regione, (familiares enim sunt per multas, & multi ipsos noscunt:) 4 partim ex corpore, & victus ratione, ac temperiei constitutione, aut à temporibus. 5 At regiones ad tempora male dispositæ, tales morbos pariunt, quali tempori similes fuerint. 6 Velut gratia, inæqualis calor aut frigus eadem die, quum talia fuerint, morbos autumnales faciunt.

νοσήματα, καὶ ἐν τῇσιν ἄλλῃσιν ὥρῃσι κατὰ λόγον. [7] τὰ μὲν ἀπὸ 52 ὀδμέων βορβορωδέων ἢ ἑλωδέων· [8] τὰ δὲ ἀπὸ ὑδάτων λιθιῶντα, σπληνώδεα. [9] τὰ δὲ ἀπὸ πνευμάτων χρηστῶν τε καὶ κακῶν ἄρχονται.

30 VII. [1] Ὧρης δὲ οἷαι ἔσονται 53 [ποῖαι αἱ] νοῦσοι· [2] καὶ καταστάσιες ἐκ τῶνδε. [3] ἢν αἱ ὧραι ὡραίως, εὐτάκτως, εὐκρινέας νούσους ποιοῦσιν. [4] αἱ δὲ ἐπιχώριοι τῇσιν ὥρῃσι νοῦσοι δηλοῦσι τοὺς τρόπους. [5] ὁ, τι δ' ἂν ἐξαλλάξῃ ἡ ὥρη, ὅμοια ἢ ἀνόμοια ἔσται τὰ νοσήματα, οἷα ἐν τῇ ὥρῃ τοιῇδε γένηται. [6] ἢν δὲ ὁμοίως ἄγῃ, ἢ τοιουτότροπα καὶ ἐπὶ τοιοῦτο εἱλκυσμένα, οἷον ἴκτερον φθινοπωρινόν· [7] ψύχεα γὰρ ἐκ θαλπέων, καὶ θάλπος ἐκ ψύχεος. [8] καὶ ἢν τὸ θερινὸν χολῶδες γένηται, καὶ αὐξηθὲν ἐγ-35 καταλειφθῇ, [1] καὶ ὑπόσπληνοι. [9] ὅταν οὖν καὶ τὸ ἦρ οὕτως ἀγάγῃ, 54 καὶ ἦρος γίνονται ἴκτεροι. [10] ἐγγυτάτω γὰρ αὕτη ἡ κίνησις τῇ ὥρῃ κατὰ τοῦτο τὸ εἶδός ἐστι. [11] ὅταν δὲ θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτες ἐν τοῖσι πυρετοῖσι, καὶ εὔτροποι, καὶ οὐ καυσώδεες, οὐδὲ καταξηροι γλώσσῃσιν. [12] ὅταν δὲ χειμέριον γένηται ἦρ καὶ ὀπισθοχειμῶν, χειμεριναὶ καὶ αἱ νοῦσοι, καὶ βηχώδεις, καὶ περιπνευμονικαὶ, ἢ κυναγχικαί. [13] καὶ φθινοπώρου, ἢν 56 40 μὴ ἐν ὥρῃ καὶ ἐξαίφνης χειμάσῃ, μὴ συνεχῶς τοιαύτας νούσους ποιέει, [14] διὰ τὸ μὴ ἐν ὥρῃ ἤρχθαι, ἀλλὰ ἀνώμαλα γίνεσθαι. [15] διόπερ καὶ αἱ ὧραι ἄκριτοι καὶ ἀκατάστατοι γίνονται. [16] ὥσπερ καὶ αἱ νοῦσοι, ἐὰν περικρηγνύωνται, ἢ περικρίνωνται, ἢ ἐγκαταλείπωνται. [17] φιλυπόστροφοι γὰρ

ciunt. Et in aliis temporibus secundum rationem, [7] alii ab odoribus cœnosis aut palustribus: [8] alii ab aquis, calculosi, [1] splenici: 130 [9] alii a ventis bonis & malis incipiunt.

VII. Qualia vero sunt tempora, [2] tales erunt etiam morbi, & constitutiones ex ipsis. [3] Si tempora tempestive, & ordinate se habuerint, morbos judicatu faciles faciunt. [4] Vernaculi autem temporum morbi indicant mutationes, [5] & prout evariaverit tempus, similes aut dissimiles erunt morbi, qui in hoc tempore oriuntur. [6] Si vero similiter procedat, ejusmodi quoque fuerint morbi, & ad talem 135 modum tracti, veluti est morbus regius autumnalis. [7] Frigora enim ex caloribus, & calor ex frigore. [8] Et si æstas biliosa fiat, & bilis aucta intus relinquatur, etiam aliquantum splenici fient. [9] Quum igitur & ver sic processerit, etiam vere fit morbus regius. [10] Proximus est enim hic motus tempori; juxta hanc speciem. [11] Quum vero æstas fiat veri similis, sudores in febribus, & [1] febres faciles: & non pera- 140 cutæ, neque linguis obaridæ fient. [12] Si vero hybernum fiat ver, & postremum hyemis tempus, hyberni etiam morbi, & tusses, & peripneumoniæ, & anginæ. [13] Et autumnus si non in tempore ac derepente hybernarit, non assidue, tales morbos facit, [14] eo quod non in tempore incepit, sed inæqualiter fit. [15] Quapropter etiam tempora a judicatione aliena ac inconstantia fiunt: [16] quemadmodum etiam morbi, si præerumpant, aut præexcernantur, aut 145 intus relinquantur. [17] Recidi-

δὲ καὶ αἱ ὧραι γένονται, ὥσπερ καὶ οὕτω νοσοποιέουσι. [18] Προσλογιστέον οὖν, ὁκοίως ἂν ἔχοντα τὰ σώματα αἱ ὧραι παραλαμβάνωσι.

VIII. [1] Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί. [2] ὁπόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσι νούσοισι πάσχουσιν· [3] ἕλκεα μαδαρὰ, μάλιστα στόμα, αἰδοῖον, καὶ τ' ἄλλα. [4] ἢν δὲ βόρειον, βῆχες, φάρυγγες, κοιλίαι σκληρότεραι, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων. [5] ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα προσδέχεσθαι μᾶλλον τὰ νοσήματα. [6] ἢν δὲ μᾶλλον πλεονάζῃ, αὐχμοῖσιν οἱ πυρετοὶ ἕπονται, καὶ ὀμβρίοισιν, [7] ἐξ ὁποίων ἂν οἱ πλεονασμοὶ μεταπέσωσι, [8] καὶ ὅκως ἂν ἔχοντα τὰ σώματα παραλάβωσιν ἐκ τῆς ἑτέρης ὥρης, [9] καὶ ὁκοίου τινὸς τοῦ χυμοῦ δυναστεύοντος ἐν τῷ σώματι. [10] ἀτὰρ αὐχμοὶ νότιοι, βόρειοι· [11] διαφέρει γὰρ καὶ τ' ἄλλα οὕτω· [12] μέγα γὰρ καὶ τοῦτο. [13] ἄλλος γὰρ ἐν ἄλλῃ ὥρῃ καὶ χώρῃ, μέγας· [14] οἷον τὸ θέρος χολοποιὸν, ἦρ ἔναιμον· καὶ τ' ἄλλα, ὡς ἕκαστα. [15] αἱ μεταβολαὶ μάλιστα τίκτουσι νοσήματα, καὶ αἱ μέγισται μάλιστα· [16] καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ, καὶ ἐν τοῖσιν ἄλλοισι· [17] τὰ δὲ ἐκ προσαγωγῆς γίνεται. [18] αἱ ὧραι αὗται ἀσφαλέσταται, ὥσπερ καὶ δίαιται, καὶ ψύχος καὶ θάλπος, μάλιστα ἐκ προσαγωγῆς. [19] καὶ ἡλικίαι οὕτω μεταβαλλόμεναι. [20] φύσιες δὲ ὡς πρὸς τὰς ὥρας· αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ καὶ κακῶς πεφυ-

vas enim etiam tempora faciunt, quemadmodum & morbos ita inducunt: [18] Itaque insuper considerandum est, quomodo habentia se corpora tempora suscipiant.

VIII. Austri auditum gravant, caliginem inducunt, caput gravant, torpidi sunt, dissolvunt. [2] Quum hic prævaluerit, talia in morbis patiuntur, [3] ulcera glabra, maxime os, pudendum, & aliæ partes. [4] Si vero aquilo, tusses, faucium affectiones, ventres duriores, urinæ difficultates, horrores, dolores laterum ac pectoris. [5] Quum hic dominatur, tales morbos magis expectare oportet. [6] Si magis redundaverit, ad squalores sequuntur febres, itemque ad pluvias. [7] ex qualibus tandem redundantiæ transmutatæ fuerint, [8] & quomodocunque habentia se corpora ex alio tempore susceperint, [9] & quocunque tandem humore in corpore dominante. [10] Cæterum siccitates & austrinæ sunt, & aquilonares. [11] Differunt enim & alia hoc modo. [12] Magnum enim & hoc est. [13] Nam alius in alio tempore ac regione magnus est. [14] Veluti æstas bilem parit, ver sanguinem, reliqua prout singula. [15] Mutationes maxime pariunt morbos, & præsertim maximæ: [16] & in temporibus magnæ mutationes, & in aliis. [17] Quædam sensim contingente progressu fiunt. [18] Tempora hujusmodi sunt securissima, velut etiam diætæ, & frigus, & calor maxime sensim facto progressu. [19] Et ætates sic transmutantur. [20] Naturæ quantum ad tempora attinet, aliæ ad æstatem, aliæ ad hyemem, bene aut male dispo-

πεφύκασιν. 21 αἱ δὲ πρὸς χώρας, καὶ ἡλικίας, καὶ δίαιτας, καὶ τὰς 61 ἄλλας καταστάσιας τῶν νούσων, ἄλλαι πρὸς ἄλλας εὖ καὶ κακῶς πεφύκασι. 22 καὶ ἡλικίαι πρὸς ὥρας, καὶ χώρας, καὶ δίαιτας, καὶ πρὸς 62 καταστάσιας νούσων. 23 καὶ ἐν τῇσιν 10 ὥρῃσι, δίαιται, καὶ σιτία, καὶ ποτὰ, οἷα. 24 ὅτι ὁ μὲν χειμὼν ἀργὸς ἔργων, καὶ πέπονα τὰ ἐσιόντα καὶ ἁπλᾶ. μέγα γὰρ καὶ τοῦτο. 25 αἱ ὀπῶραι δὲ, ἐργάσιμοι, ἡλιώσιες, τὰ πινόμενα πυκνὰ, ἀκατάστατα σιτία, οἶνοι, ἀκρόδρυα.

IX. Ὥσπερ δὲ ἐκ τῶν ὡρέων τὰς νούσους ἐστὶ τεκμήρασθαι, 2 ἔστι ποτὲ καὶ ἐκ τῶν νούσων ὕ- 63 δατα, καὶ ἀνέμους, καὶ αὐχμοὺς προγινώσκειν· οἷον, βορέα, νότια. 3 ἔστι γὰρ δὴ μαθόντα καὶ ὀρθῶς ὅθεν σκεπτέα· 4 οἷον καὶ λέπραι τινὲς, καὶ περὶ τὰ ἄρθρα πόνοι, ὕδατα ὅταν μέλλῃ, κνησ- 15 μώδεές εἰσι, καὶ ἄλλα τοιαῦτα. 5 καὶ τῶν ὑσμάτων οἷα ἢ διὰ τρίτης, ἢ ἑκάστης, ἢ διὰ περιόδων ἄλλων, καὶ τὰ συνεχέα. 6 καὶ ἀνέμων οἱ μὲν πολυήμεροι πνέουσι, καὶ ἀντιπνέουσιν ἀλλήλοισιν· ἄλλοι δὲ διὰ βραχυτέρων, οἱ δὲ καὶ αὐτοὶ κατὰ περίοδον. 7 ταῦτα ἔχει τῇσι καταστάσεσιν ὁμοιότητας· ἐπὶ βραχύτερον δὲ τὰ τοιαῦτα. 8 ἢν μὲν ἐπὶ πλέον 64 τὸ ἔτος τοιοῦτο ᾖ, οἵην κατάστασιν ἐποίησεν, ἐπὶ πλεῖον καὶ τὰ νοσήματα τοιαῦτα. 9 καὶ, ἢν μᾶλλον ἰσχυρότερα, καὶ μέ- 20 γιστα νοσήματα οὕτως ἔσεται, καὶ κοινότατα, καὶ ἐπὶ πλεῖστον χρόνον.

IX. Ἐκ τῶν πρώτων ὑδάτων, ὅταν

dispositæ sunt. 21 Quantum vero ad regiones, & ætates, & victus rationem, & alias morborum constitutiones, aliæ ad alias bene aut 165 male se habent. 22 Et ætates ad tempora, & regiones & victus rationem, & morborum constitutiones. 23 Et in temporibus, victus, & cibi, & potus, qualitatem suam requirunt. 24 Nam hyems ab operibus ocium habet, & quæ in corpus ingeruntur, matura ac simplicia postulat. Magnum enim & hoc est. 25 Autumnus autem laboribus deditus. Sub insolationibus potus frequentes sunt, cibi inconstantes, vina, 170 arborum fructus.

IX. Quemadmodum autem ex temporibus morbos coniectare datur, 2 ita quandoque etiam ex morbis aquas, & ventos, & siccitates prænoscere licet, & aquilonares, & austrinas. 3 Licet autem ei qui probe ac recte didicit, unde sint hæc considerare, 4 velut & lepræ quædam, & circa articulos dolores, aquæ ubi futuræ sunt, pruriginosi sunt, & alia hujusmodi. 5 Et 175 quæ pluviæ alternis, aut singulis diebus, aut per alios circuitus, aut assiduæ fient. 6 Et venti aliqui per multos dies flant, & contrario inter se modo flant, alii per pauciores. Et iidem per circuitum. 7 Hæc habent cum temporum constitutionibus similitudines. Verum brevius talia. 8 Si vero annus diutius talis fuerit, qualem constitutionem fecerit, tales etiam morbi diutius erunt. 9 Et si magis fortes fuerint, maximi quoque morbi sic fient, & com- 180 munissimi, & ad plurimum tempus.

X. Ex primis aquis, ubi post

 mul-

ὅταν ἐξ ἀνυδρίης πολλῆς μέλλῃ ὕδωρ ἔσεσθαι, ἔστι περὶ ὑδρώπων προειπεῖν. ² καὶ, ὁκόταν τ' ἄλλα σμικρὰ σημήια φανῇ ἐν νηνεμίῃ, ἐν μεταβολῇ. ³ σκεπτέον οὖν, ὅσαι μὲν ἐφ' οἵοισιν ὕδασιν ἢ ἀνέμοισιν αἱ νοῦσοι ἐπισημαίνουσι, ⁴ καὶ ἀκουστέον, εἴ τις οἶδεν, ὅτι τοιούτου χειμῶνος προηγησαμένου, τοῖον ἦρ ἢ θέρος ἔσται. ⁵ τὰ χρώματα οὐχ ὅμοια ἐν τῇσιν ὥρῃσιν, οὐδὲ ἐν βορείοισι καὶ νοτίοισιν, οὐδ' ἐν τῇσιν ἡλικίῃσιν, αὐτὸς πρὸς ἑωυτὸν, οὐδ' ἄλλος ἄλλῳ οὐδέν. ⁶ σκεπτέον δὲ, ἐξ ὧν ἴσμεν καὶ παρεόντων καὶ ἀτρεμεόντων, περὶ χροιῶν· ⁷ καὶ ὅτι αἱ ἡλικίαι τῇσιν ὥρῃσιν ἐμφερέες εἰσὶ, καὶ χροιῇ, καὶ τρόπῳ.

XI. Οἱ αἱμορροΐδας ἔχοντες, οὔτε πλευρίτιδι, οὔτε περιπνευμονίῃ, οὔτε φαγεδαίνῃ, οὔτε δοθιῆσιν, οὔτε τερμίνθοισιν ἁλίσκονται· ² ἴσως δὲ οὐδὲ λέπρῃσιν· ἴσως δὲ οὐδὲ ἀλφοῖσιν. ³ ἰητρευθέντες γε μὴν ἀκαίρως, συχνοὶ τοῖσι τοιούτοισιν οὐ βραδέως ἥλωσαν, καὶ ὀλέθρια οὕτως. ⁴ καὶ ὅσαι ἄλλαι ἀποστάσιες, οἷον σύριγγες, ἑτέρων ἄκος. ⁵ ὅσα πέφυκεν ἐπιφαινόμενα παύειν, ῥύεται τούτων προγινόμενα κωλύματα ἄλλοισιν αἱ κοινωνίαι. ⁶ οἱ ὑποδεξάμενοι τόποι, ὑποδεξάμενοι πόνῳ, ἢ βάρει, ἢ ἄλλῳ τινὶ, ῥύονται· ἄλλοισιν αἱ κοινωνίαι. ⁷ διὰ τὴν ῥοπὴν οὐκ ἔτι αἷμα ἐκχεῖται, ἀλλὰ κατὰ τὴν συγγένειαν τοιαῦτα πτύουσιν. ⁸ ἔστιν οἷσιν αἷμα ἀφιέναι ἐν καιρῷ, ἐπὶ τοῖσι τοιούτοισιν· ἐπ' ἄλλοισι δὲ, ὥσπερ ἐπὶ τούτοισιν, τοῦτο

multam ficcitatem, aqua futura eft, de aqua inter cutem prædicere licet; ² & ubi talia parva figna apparuerint in ventorum quiete, in tranfmutatione. ³ Colligenda igitur funt, quæ in qualibus aquis aut ventis morbi fignificant, ⁴ & audiendus eft fi quis novit, quod tali hyeme prægreffa, tale ver aut æftas erit. ⁵ Colores non funt fimiles in temporibus, neque in aquilonaribus, neque in auftrinis, neque in ætatibus, neque in unoquoque ad feipfum, neque in alio ad alium. ⁶ Confiderandum autem eft ex his quæ præfentia ac quiefcentia novimus de coloribus, ⁷ & quod ætates temporibus fimiles funt, & colore, & mutatione.

XI. Qui hæmorrhoidas habent, neque pleuritide, neque peripneumonia, neque phagedæna, neque furunculis, neque tuberculis terebinthi figuram habentibus corripiuntur. ² Fortaffis autem neque lepris, fortaffis neque vitiliginibus. ³ Multi tamen intempeftive curati, non tarde talibus correpti funt, & fic perniciofæ fuerunt. ⁴ Et quicunque alii abfceffus, velut fiftulæ, aliorum medela funt. ⁵ Quæ ubi infuper comparent fedare folent, ea prius orientia impedimenta ab his liberant. ⁶ Alterius loci morbos loca excipientia, aut dolore, aut gravitate, aut ob aliud quiddam liberant, aut quod aliis funt communicationes. ⁷ Propter inclinationem non amplius fanguis prodit, fed juxta humoris cognationem talia fpuunt: ⁸ convenit quibufdam fanguinem detrahere tempeftive in talibus, in aliis autem, velut in his, non

35 τοῦτο οὐκ εἰκός. 9 κώλυσις ἐπὶ τοῖσι δὲ δὴ αἱματώδεα πτύουσιν, ὥρη, πλευρῖτις, χολή. 10 τὰ παρὰ τὰ ὦτα, ὅσοισι ἂν ἀμφὶ κρίσιν γενόμενα, ἢν μὴ ἐκπυήσῃ, τούτου ἀπαλλασσομένου ὑποστροφὴ γίνεται, 11 καὶ κατὰ λόγον τῶν ὑποστροφέων τῆς ὑποστροφῆς κρινομένης, αὖθις αἴρεται καὶ παραμένει. 12 ὥσπερ αἱ τῶν πυρετῶν ὑποστροφαὶ, ἐν ὁμοίῃ περιόδῳ. 13 ἐπὶ τούτοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι. 14 οὖρον παχὺ, λευκὸν, οἷον τὸ τοῦ Ἀρχιγένεος, ἐπὶ τοῖσι κοπιώδεσι τεταρταίοισιν 40 ἔστιν ὅτε ἔρχεται, καὶ ῥύεται τῆς ἀποστάσιος. 15 ἢν δὲ πρὸς τούτῳ καὶ αἱμορραγήσῃ ἀπὸ ῥινῶν ἱκανῶς καὶ πάνυ. 16 καὶ ᾧ τὸ ἔντερον ἐπὶ δεξιὰ ἀρθριτικῷ πάθει ἐγένετο, ἦν ἡσυχαίτερος. 17 ἐπεὶ δὲ τοῦτο ἰητρεύθη, ἐπιπονώτερος.

73 non hoc convenit. 9 Impedimentum in spuentibus cruenta : 74 tempus anni, pleuritis, bilis. 10 Tubercula circa aurem quibus circa judicationem exorta, non 200 suppurata fuerint, his disparentibus recidiva fit, 11 & pro ratione recidivarum, recidiva contingente: rursus intumescunt, & permanent, 12 quemadmodum febrium recidivæ, in simili circuitu: 13 in his spes est ad articulos abscedere. 14 Urina crassa, alba, qualis Archigenis familiari erat, in lassitudinosis febribus quarta die aliquando prodit, & liberat ab abscessu. 15 Si vero ultra hoc, etiam sanguis e naribus large eruperit, 205 75 etiam valde. 16 Cui intestinum 76 in dextra parte dolebat, & articulari morbo correptus est, quietior erat. 17 Postquam autem hic curatus fuit, magis dolebat.

ΙΠΠΟΚΡΑΤΟΥΣ HIPPOCRATIS

περὶ / DE

ΑΕΡΩΝ, ΥΔΑΤΩΝ, ΤΟΠΩΝ. AERIBUS, AQUIS, LOCIS.

Basil. græc. Foesius sect. III. 63. 280. Basil. lat.

239 pag 71 Ἰητρικὴν ὅστις βούλεται ὀρθῶς ζητεῖν, τάδε χρὴ ποιέειν. 2 πρῶτον μὲν ἐνθυμέεσθαι τὰς ὥρας τοῦ ἔτεος, ὅ, τι δύναται ἀπεργάζεσθαι ἑκάστη. 3 οὐ γὰρ 5 ἐοίκασιν οὐδὲν, ἀλλὰ πολὺ διαφέρουσιν αὐταί τε ἑωυτῶν, καὶ ἐν τῇσι μεταβολῇσιν. 4 ἔπειτα δὲ τὰ πνεύματα, τὰ θερμά τε καὶ τὰ ψυχρά. 5 μάλιστα μὲν τὰ κοινὰ πᾶσιν ἀνθρώποισιν, ἔπειτα δὲ καὶ τὰ ἐν ἑκάστῃ χώρῃ ἐπιχώρια ἐόντα. 6 δεῖ

1 Quicunque artem medicam integre ad- 16 pag 104 sequi velit, 2 primum quidem temporum anni rationem habere debet, quantum potentia quodlibet eorum valeat 3 (non enim simile quicquam in illis existit, verum differunt invicem propter varias quæ in eis fiunt mutationes.) 4 5 Deinde ventorum calidorumque & frigidorum 5 maxime qui ex his omnibus hominibus sunt communes, & mox qui in unaquaque regione sunt indigenæ & proprii.

[6] δεῖ δὲ καὶ τῶν ὑδάτων ἐνθυμέεσθαι τὰς δυνάμιας. [7] ὥσπερ γὰρ ἐν τῷ στόματι διαφέρουσι καὶ ἐν τῷ σταθμῷ, οὕτω καὶ ἡ δύναμις διαφέρει πολὺ ἑκάστου. [8] ὥστε ἐς πόλιν ἐπειδὰν ἀφίκηταί τις, ἧς ἄπειρός ἐστι, διαφροντίσαι χρὴ τὴν θέσιν αὐτέης, ὅκως κέεται καὶ πρὸς τὰ πνεύματα, καὶ πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου. [9] οὐ γὰρ τωὐτὸ δύναται, ἥτις πρὸς βορέην κέεται, καὶ ἥτις πρὸς νότον· [10] οὐδ᾽ ἥτις πρὸς ἥλιον ἀνίσχοντα, οὐδ᾽ ἥτις πρὸς δύνοντα. [11] ταῦτα δὲ ἐνθυμέεσθαι ὡς κάλλιστα· καὶ τῶν ὑδάτων πέρι, ὡς ἔχουσιν, καὶ πότερον ἑλώδεσι χρέονται καὶ μαλακοῖσιν, ἢ σκληροῖσί τε καὶ ἐκ μετεώρων, καὶ ἐκ πετρωδέων, εἴτε ἁλυκοῖσι, καὶ ἀτεράμνοισι. [12] καὶ τὴν γῆν, πότερον ψιλή τε καὶ ἄνυδρος, ἢ δασεῖα καὶ ἔφυδρος, καὶ εἴτε ἐν κοίλῳ ἐστὶ καὶ πνιγηρή, εἴτε μετέωρος καὶ ψυχρή. [13] καὶ τὴν δίαιταν τῶν ἀνθρώπων, ὁκοίῃ ἥδονται· πότερον φιλοπόται καὶ ἀριστηταὶ καὶ ἀταλαίπωροι, ἢ φιλογυμνασταί τε καὶ φιλόπονοι, καὶ ἐδωδοὶ καὶ ἄποτοι. [14] καὶ ἀπὸ τουτέων χρὴ ἐνθυμέεσθαι ἕκαστα. [15] εἰ γὰρ ταῦτα εἰδείη τις καλῶς· μάλιστα μὲν πάντα· εἰ δὲ μή, τά γε πλεῖστα· οὐκ ἂν αὐτὸν λανθάνοι ἐς πόλιν ἀφικνεόμενον, ἧς ἂν ἄπειρος ἦ, οὔτε νουσήματα ἐπιχώρια, οὔτε τῶν κοινῶν ἡ φύσις ὁκοίη τίς ἐστιν. [16] ὥστε μὴ ἀπορέεσθαι ἐν τῇ θεραπείῃ τῶν νούσων, μηδὲ διαμαρτά-

[6] Neque vero negligentiorem se circa aquarum facultates cognoscendas exhibere convenit. [7] Quemadmodum enim gustu differunt, & pondere ac statione, sic quoque virtute aliæ aliis longe præstant. [8] Quare si quis ad urbem sibi incognitam perveniat, circumspicere oportet ejus situm, quo modo scilicet ad ventos, & solis exortus jaceat: [9] non enim æquales vires sunt, ad Septentrionem sitæ, & vergentis ad Austrum: [10] neque ejus quæ solem exorientem, & quæ eundem occidentem spectat. [11] Hæc itaque diligenter oportet perscrutari, ac simul quo modo habeant circa eam aquæ: num-ne palustribus utantur & mollibus, aut duris & ex sublimi loco prolabentibus, & scaturientibus, ex petris, sive salsis, & crudis. [12] Terra etiam ipsa consideranda, nudane sit & aquis carens, aut densa & aquosa, & an concava sit & æstuosa, vel alta & frigida. [13] Hominum insuper diæta perquirenda, qua maxime capiantur: an bibuli sint & lurcones & ocio dediti, aut exercitiis variis utentes, & tolerantes laborum, ciborumque plus adpetentes quam poculorum. [14] Ex his enim singula sunt investiganda. [15] Nam qui hæc omnia probe, quantum fieri potest, cognoverit, aut horum plurima, eum non latere possunt quum in urbem etiam ignotam sibi pervenerit, neque morbi regioni peculiares & patrii, neque communis regionis natura, quæcunque tandem ea fuerit, [16] ut non possit in cognoscendis morbis dubius hærere, aut errare sicubi ad morborum medicationem adhibeatur.

μαραίνεσθαι. 17 ἃ εἰκός ἐστι γίνεσθαι, ἢν μή τις, τοῦτο πρότερον εἰδὼς, πρόφρων τις ᾖ. 18 περὶ ἑκάστου τοῦ χρόνου προνοῶν καὶ τὰ ἐνιαυτοῦ λέγοι ἂν, ὁκόσα τε νοσήματα μέλλει πάγκοινα τὴν πόλιν καταλήψεσθαι, ἢ θέρεος, ἢ χειμῶνος, ὁκόσα τε ἴδια ἑκάστῳ κίνδυνος γίνεσθαι ἐκ μεταβολῆς τῆς διαίτης. 19 εἰδὼς γὰρ τῶν ὡρέων τὰς μεταβολὰς, καὶ τῶν ἄστρων ἐπιτολάς τε καὶ δύσιας, καθότι ἕκαστον τουτέων γίνεται, προειδείη ἂν τὸ ἔτος, ὁκοῖόν τι μέλλει γίνεσθαι. 20 οὕτως ἄν τις ἐρευνώμενος καὶ προγινώσκων τοὺς καιροὺς, μάλιστ' ἂν εἰδείη περὶ ἑκάστου, καὶ τὰ πλεῖστα τυγχάνοι τῆς ὑγιείης, καὶ κατ' ὀρθὸν φέροιτο οὐκ ἐλάχιστα ἐν τῇ τέχνῃ.

11. Εἰ δὲ δοκέοι τις ταῦτα μετεωρολόγα εἶναι, εἰ μεταστήῃ τῆς γνώμης, μάθοι ἂν, ὅτι οὐκ ἐλάχιστον μέρος ξυμβάλλεται ἀστρονομίη ἐς ἰητρικὴν, ἀλλὰ πάνυ πλεῖστον. 2 ἅμα γὰρ τῇσιν ὥρῃσι, καὶ αἱ κοιλίαι μεταβάλλουσι τοῖσιν ἀνθρώποισιν. 3 ὅκως δὲ χρὴ ἕκαστα τῶν προειρημένων σκοπεῖν καὶ βασανίζειν, ἐγὼ φράσω σαφέως. 4 ἥτις μὲν πόλις πρὸς τὰ πνεύματα κέεται τὰ θερμά· 5 ταῦτα δ' ἐστὶ μεταξὺ τῆς τε χειμερινῆς ἀνατολῆς τοῦ ἡλίου καὶ τῶν δυσμέων τῶν χειμερινῶν· 6 καὶ αὐτέῃ ταῦτα τὰ πνεύματά ἐστι ξυνήνομα, τῶν δὲ ἀπὸ τῶν ἄρκτων πνευμάτων σκέπη· 7 ἐν ταύτῃ τῇ πόλει ἐστὶ τά τε ὕδατα πολλὰ καὶ ὕφαλα, καὶ ἀνάγκη εἶναι μὴ μετέωρα· 8 τοῦ μὲν θέρεος θερμὰ, τοῦ δὲ χειμῶνος ψυχρά. 9 [καὶ ὅσα πολέμια ἀνθρώποισιν ἐόντα νούσους ποικίλως ἐπιφέρει.]

beatur. 17 Quæ ambo illis evenire solent, qui non prius providi hæc diligenter cognoverunt. 18 Quare qui ea studiose rimatus fuerit, uniuscujusque temporis, ac anni futuri constitutionem prædicere poterit, qui videlicet morbi communi adfectione civitatem sint invasuri tum æstate, tum hyeme, & quæcunque pericula unicuique sint timenda ex diætæ ac victus 'immutatione. 19 Quum enim temporum mutationes, & astrorum ortus ac occasus observaverit, quemadmodum singula horum eveniant, prænoscet utique & de anno, qualis hic sit futurus: 20 hoc namque modo si quis rimatus fuerit ac præcognoverit temporum occasiones, maxime de singulis sciet, utplurimumque sanitatem adsequetur, & recta via procedet, non minima artis suæ gloria.

11. Quod si cui hæc subliniora 'videantur, is si ab hac sententia discedat, discet sane non minimam partem conferre ad rem medicam ipsam Astronomiam, sed omnino plurimam, 2 quum una cum temporibus & ventriculi in hominibus mutentur. 3 Quomodo autem singula quæ diximus scrutari ac explorare oporteat, deinceps dicam manifeste. 4 Quæcunque quidem civitas ad ventos sita est calidos, 5 (puto autem eos qui inter brumalem 'solis exortum itidemque occasum perflant,) 6 huic hi venti sunt peculiares, à septentrionalibus autem ventis tuta ac protecta ea civitas existit. 7 Aquæ vero ejus multæ & subsalsæ sunt, & necessario non sublimes, 8 æstate quidem calidæ, hyeme frigidæ.

III. Καὶ ὁκόσαι μὲν τῶν πολίων κέονται καλῶς τοῦ ἡλίου καὶ τῶν πνευμάτων, ὕδασί τε χρέονται ἀγαθοῖσιν, αὗται μὲν ἧσσον αἰσθάνονται τῶν τοιούτων μεταβολέων. [2] ὁκόσαι δὲ ὕδασί τε ἑλείοισι χρέονται καὶ λιμνώδεσι, κέονταί τε μὴ καλῶς τῶν πνευμάτων καὶ τοῦ ἡλίου, αὗται δὲ μᾶλλον. [3] καὶ ἢν μὲν τὸ θέρος αὐχμηρὸν γένηται, θᾶσσον παύονται αἱ νοῦσοι. ἢν δὲ ἔπομβρον, πολυχρόνιοι γίγνονται. [4] καὶ φαγεδαίνας εἰκὸς ἐγγίνεσθαι ἀπὸ πάσης προφάσιος, ἢν ἕλκος ἐγγένηται. [5] τούς τε ἀνθρώπους τὰς κεφαλὰς ὑγρὰς ἔχειν καὶ φλεγματώδεας, [6] τάς τε κοιλίας αὐτέων πυκνὰ ἐκταράσσεσθαι, ἀπὸ τῆς κεφαλῆς τοῦ φλέγματος ἐπικαταρρέοντος. [7] τά τε εἴδεα ἐπὶ τὸ πλῆθος αὐτέων ἀτονώτερα εἶναι. [8] ἐσθίειν δ' οὐκ ἀγαθοὺς εἶναι, οὐδὲ πίνειν. [9] ὁκόσοι μὲν γὰρ κεφαλὰς ἀσθενέας ἔχουσιν, οὐκ ἂν εἴησαν ἀγαθοὶ πίνειν. [10] ἡ γὰρ κραιπάλη μᾶλλον πιέζει.

IV. Νουσήματα δέ τε τάδε ἐπιχώρια εἶναι. [2] πρῶτον μὲν τὰς γυναῖκας νοσηρὰς καὶ ῥοώδεας εἶναι. [3] ἔπειτα πολλὰς ἀτόκους ὑπὸ νούσου, καὶ οὐ φύσει, [4] ἐκτιτρώσκεσθαί τε πυκνά, [5] τοῖσί τε παιδίοισιν ἐπιπίπτειν σπασμοὺς καὶ ἄσθματα, [6] ἃ νομίζουσι τὸ παιδίον ποιέειν, καὶ ἱερὴν νοῦσον εἶναι. [7] τοῖσι δὲ ἀνδράσι δυσεντερίας, καὶ διαρροίας, καὶ ἠπιάλους, πυρετοὺς πολυχρονίους χειμερινούς, καὶ ἐπινυκτίδας πολλάς, καὶ αἱμορροΐδας ἐν τῇ ἕδρῃ. [8] πλευρίτιδες δὲ καὶ περιπνευμονίαι καὶ καῦσοι, καὶ ὁκόσα ὀξέα νουσήματα νομίζονται, οὐκ ἐγγίνονται πολλά. [9] οὐ γὰρ οἷόν τε, ὅκου ἂν κοιλίαι ὑγραὶ ἔωσι, τὰς νούσους ταύτας ἰσχύειν. [10] ὀφθαλμίαι τε ἐγγίνονται ὑγραί, οὐ χαλεπαὶ καὶ ὀλιγοχρόνιοι, ἢν μή τι

III. Et quæ quidem urbes bene sitæ sunt ad solem, & ad ventos, & aquis bonis utuntur, hæ minus à talibus mutationibus afficiuntur. [2] Quæ vero aquis 'palustribus ac lacustribus utuntur, & non bene sitæ sunt ad ventos, & ad solem, hæ magis. [3] Et siquidem æstas sicca fuerit, citius sedantur morbi: si vero pluviosa, diuturni fiunt: [4] & phagedænas adedentes ex omni occasione oboriri verisimile est, si ulcus fiat. [5] Si vero hyems frigida sit, homines capita humida ac pituitosa habere par est: [6] & ventres ipsorum frequenter exturbari, pituita à capite influente: [7] & ' formas ipsorum utplurimum debiliores esse: [8] ipsosque ad edendum ac bibendum non appositos esse. [9] Nam qui capita debilia habent, non fuerint boni potores. [10] Crapula enim magis gravat.

IV. Morbi vero hi ipsis vernaculi sunt. [2] Primum quidem mulieres morbosæ, ac fluxionibus obnoxiæ sunt: [3] deinde multæ steriles sunt ex morbo, non à natura, [4] & frequenter abortiunt. [5] Pueris vero incidunt convulsiones ac ' anhelationes, [6] quæ morbus puerorum, & sacer esse putantur. [7] Viris autem dysenteriæ, & alvi profluvia, & febres lenes, diuturnæ, hybernæ, & pustulæ nocturnæ multæ, & hæmorrhoides in sede. [8] Pleuritides autem, & peripneumoniæ, & febres ardentes, & quicunque acuti morbi putantur, non multum proveniunt. [9] Non enim fieri potest ut isti morbi vigeant, ubi alvi liquidæ existunt. [10] Lippitudines vero 'oboriuntur humidæ, non graves, nec diuturnæ: si

μή τι καταλάβῃ νόσημα πάγκοινον ἐκ μεταβολῆς. [11] καὶ, ὁκόσοι τὰ πεντήκοντα ἔτεα ὑπερβάλλωσι, κατάῤῥοοι ἐπιγενόμενοι ἐκ τοῦ ἐγκεφάλου παραπληκτικοὺς ποιέουσι τοὺς ἀνθρώπους, ὁκόταν ἐξαίφνης ἡλιωθέωσι τὴν κεφαλὴν, ἢ ῥιγώσωσι. [12] ταῦτα μὲν τὰ νοσήματα αὐτέοισιν ἐπιχώριά ἐστι· [13] χωρὶς δὲ, ἤν τι πάγκοινον καταλάβῃ νόσημα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ τουτέου μετέχουσιν.

V. Ὁκόσαι δ' ἀντίκεινται τουτέων πρὸς τὰ πνεύματα τὰ ψυχρὰ, μεταξὺ τῶν δυσμῶν τῶν θερινῶν τοῦ ἡλίου καὶ τῆς ἀνατολῆς τῆς θερινῆς, καὶ αὐτῇσι ταῦτα τὰ πνεύματα ἐπιχώριά ἐστι, τοῦ δὲ νότου καὶ τῶν θερμῶν πνευμάτων σκέπη, ὧδε ἔχει περὶ τῶν πολίων τουτέων. [2] πρῶτον μὲν τὰ ὕδατα, τὰ σκληρά τε καὶ ψυχρὰ, ὡς ἐπὶ τὸ πλῆθος γλυκέα γίνεται. [3] τοὺς δὲ ἀνθρώπους εὐτόνους τε καὶ σκελιφροὺς ἀνάγκη εἶναι· [4] τούς τε πλείους τὰς κοιλίας ἀτεράμονας ἔχειν, καὶ σκληρὰς τὰς κάτω, τὰς δὲ ἄνω εὐροωτέρας· [5] χολώδεάς τε μᾶλλον ἢ φλεγματίας εἶναι. [6] τὰς δὲ κεφαλὰς ὑγιηρὰς ἔχουσι καὶ σκληρὰς, ῥηγματίαι τέ εἰσιν ἐπὶ τὸ πλῆθος.

VI. Νοσεύματα δὲ αὐτέοισιν ἐπιδημεῖ, αἵ τε πλευρίτιδές τε πολλαὶ, αἵ τε ὀξεῖαι νομιζόμεναι νοῦσοι. [2] ἀνάγκη δὲ ὧδε ἔχειν, ὁκόταν κοιλίαι σκληραὶ ἔωσιν, [3] ἔμπυοί τε πολλοὶ γίνονται ἀπὸ πάσης προφάσιος, [4] τουτέου δὲ αἴτιόν ἐστι τοῦ σώματος ἡ ἔντασις καὶ ἡ σκληρότης τῆς κοιλίης. [5] ἡ γὰρ ξηρότης ῥηγματίας ποιέει εἶναι καὶ τοῦ ὕδατος ἡ ψυχρότης. [6] ἐδωδοὺς δὲ ἀνάγκη τὰς τοιαύτας φύσιας εἶναι, καὶ οὐ πολυπότας. [7] οὐ γὰρ οἷόν τε ἅμα πολυβόρους τε εἶναι καὶ πολυπότας· [8] ὀφθαλμίας τε γί-

νεσθ

si non ex mutatione temporum morbus aliquis omnibus communis occupet. [11] Et ubi quinquagesimum annum transgressi fuerint, defluxiones ex cerebro accedentes, homines semisyderatos faciunt, ubi caput derepente insolatum, aut frigore correptum fuerit. [12] Atque hi quidem morbi ipsis vernaculi sunt: [13] præterquam si morbus aliquis omnibus communis ex temporum mutatione oboriatur, nam & hujus participes fiunt.

V. Quæcunque vero civitates his ex opposito sitæ sunt ad ventos frigidos, inter occasum solis æstivum, & orientem æstivum: etiam ipsis hi venti vernaculi ac indigenæ sunt: ab austro vero & calidis ventis protectæ sunt. Et de his urbibus sic se res habet. [2] Primum quidem aquæ & duræ & frigidæ utplurimum dulcescunt. [3] Homines autem vegetos & siccos esse necesse est: [4] & plures ventres infernos crudos ac duros habere, supernos vero fluidiores: [5] biliososque magis quam pituitosos esse. [6] Capita vero sana ac dura habent, & plerunque vasa ipsis rumpuntur.

VI. Morbi autem populares ipsis hi sunt, pleuritides, & quos acutos esse receptum est. [2] Necesse est autem ita habere, quum alvi duræ existant. [3] Et suppurati multi ex omni occasione fiunt. [4] Hujus autem causa est, corporis extensio, & ventris duricia. [5] Siccitas enim & aquæ frigiditas facit ut vasa rumpantur. [6] Edaces autem tales naturas esse necesse est, & non multum bibaces. [7] Non enim fieri

potest

νεσθαι διὰ χρόνου· γίνεσθαι δὲ σκληρὰς καὶ ἰσχυρὰς· καὶ εὐθέως ῥήγνυσθαι τὰ ὄμματα. [9] αἱμοῤῥοΐας δὲ ἐκ τῶν ῥινέων τοῖσι νεωτέροισι τριήκοντα ἐτέων γίνεσθαι ἰσχυρὰς τοῦ θέρεος. [10] τά τε ἱερὰ νοσεύματα καλεύμενα ὀλίγα μὲν ταῦτα, ἰσχυρὰ δέ. [11] μακροβίους δὲ τοὺς ἀνθρώπους τούτους μᾶλλον εἰκὸς εἶναι ἑτέρων. [12] τά τε ἕλκεα οὐ φλεγματώδεα ἐγγίνεσθαι, οὐδὲ ἀγριοῦσθαι. [13] τά τε ἤθεα ἀγριώτερα ἢ ἡμερώτερα. [14] τοῖσι μὲν ἀνδράσι τὰ νοσήματα ἐπιχώριά ἐστι· [15] χωρὶς, ἤν τι πάγκοινον κατάσχῃ ἐκ μεταβολῆς τῶν ὡρέων.

VII. Τῇσι δὲ γυναιξὶ πρῶτον μὲν στρυφναὶ πολλαὶ γίνονται διὰ τὰ ὕδατα, ἐόντα σκληρά τε καὶ ἀτέραμνα καὶ ψυχρά. [2] αἱ γὰρ καθάρσιες οὐκ ἐπιγίνονται τῶν ἐπιμηνίων ἐπιτήδειαι, ἀλλὰ ὀλίγαι καὶ πονηραί. [3] ἔπειτα τίκτουσι χαλεπῶς· ἐκτιτρώσκουσι δὲ οὐ σφόδρα. [4] ὁκόταν δὲ τέκωσιν, τὰ παιδία ἀδυνάται τρέφειν εἰσί· [5] τὸ γὰρ γάλα ἀποσβέννυται ἀπὸ τῶν ὑδάτων τῆς σκληρότητος καὶ ἀτεραμνίης· [6] φθίσιές τε γίνονται συχναὶ ἀπὸ τῶν τοκετῶν. [7] ὑπὸ γὰρ βίης ῥήγματα ἴσχουσι καὶ σπάσματα. [8] τοῖσι δὲ παιδίοισιν ὕδρωπες ἐγγίνονται ἐν τοῖσιν ὄρχεσιν, ἕως μικρὰ ᾖ. ἔπειτα προϊούσης τῆς ἡλικίης ἀφανίζονται. [9] ἡβῶσί τε ὀψὲ ἐν ταύτῃ τῇ πόλει. [10] περὶ μὲν οὖν τῶν θερμῶν πνευμάτων καὶ τῶν ψυχρῶν, καὶ τῶν πολίων τουτέων ὧδε ἔχει, ὡς προείρηται.

IIX. Ὁκόσαι δὲ κέονται πρὸς τὰ πνεύματα μεταξὺ τῶν θερινῶν ἀνατολέων τοῦ ἡλίου καὶ τῶν χειμερινῶν, καὶ ὁκόσαι τὸ ἐναντίον τουτέων, ὧδε ἔχει περὶ αὐτέων. [2] ὁκόσαι μὲν πρὸς τὰς

potest ut simul multum edant ac bibant. [8] Lippitudinesque his fieri ex temporis intervallo necesse est, duras autem ac vehementes, & statim oculos rumpi. [9] Sanguinis item ex naribus fluxiones vehementes æstate fieri junioribus triginta annis. [10] Morbos etiam sacros appellatos, paucos quidem, 'verum vehementes. [11] Longæ vero vitæ magis quam alios, hos homines esse par est: [12] & ulcera non pituitosa oboriri, neque efferari. [13] Mores vero magis feros quam mansuetos. [14] Ac viris quidem hi morbi vernaculi sunt: [15] præterquam si quis omnibus communis ex temporum mutatione ingruat.

VII. Ex mulieribus vero, primum quidem multæ steriles fiunt, propter aquas quæ duræ sunt ac crudæ & frigidæ. [2] Purgationes enim mensium non contingunt 'commodæ, sed paucæ ac pravæ. [3] Deinde pariunt difficulter, & non valde abortiunt. [4] Ubi vero pepererint, pueros nutrire non possunt. [5] Lac enim ab aquarum duricia ac cruditate extinguitur. [6] Et tabes frequentes à partu fiunt. [7] Præ violentia enim ruptiones ac vulsuras habent. [8] Pueris autem hydropes in testibus fiunt, quamdiu parvi fuerint: deinde ætatis progressu evanescunt. [9] Pubescunt autem sero in hac civitate. [10] Et 'de calidis quidem ventis ac frigidis, & urbibus ad hos sitis, hoc modo velut dictum est, res se habet.

VIII. Quæcunque vero civitates sitæ sunt inter æstivos ac hybernos solis ortus, & quæcunque ex opposito harum, de his ita habet. [2] Quæ quidem ad orien-

τὰς ἀνατολὰς τοῦ ἡλίου κέονται), ταύτας εἰκὸς εἶναι ὑγιεινοτέρας τῶν πρὸς τὰς ἄρκτους ἐστραμμένων, καὶ τῶν πρὸς τὰ θερμά, ἢν καὶ στάδιον τὸ μεταξὺ ᾖ. ³ πρῶτον μὲν γὰρ μετριώτερον ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν. ⁴ ἔπειτα τὰ ὕδατα, ὁκόσα πρὸς τὰς τοῦ ἡλίου ἀνατολάς ἐστιν, ταῦτα λαμπρά τε εἶναι ἀνάγκη, καὶ εὐώδεα, καὶ μαλακά, καὶ ἐρατεινὰ ἐγγίνεσθαι ἐν ταύτῃ τῇ πόλει. ⁵ ὁ γὰρ ἥλιος καλύπτει ἀνίσχων καὶ καταλάμπων. ⁶ τὸ γὰρ ἑωθινὸν ἑκάστοτε αὐτὸς ὁ ἠὴρ κατέχει ὡς ἐπὶ τὸ πολύ. ⁷ τά τε εἴδεα τῶν ἀνθρώπων εὔχροά τε καὶ ἀνθηρά ἐστι μᾶλλον, ἢν μή τις νοῦσος ἄλλη κωλύῃ. ⁸ λαμπρόφωνοί τε οἱ ἄνθρωποι, ὀργήν τε καὶ ξύνεσιν βελτίους εἰσὶ τῶν πρὸς βορέην· ⁹ εἴ περ καὶ τὰ ἄλλα τὰ ἐμφυόμενα ἀμείνω ἐστίν. ¹⁰ ἔοικέ τε μάλιστα ἡ οὕτω κειμένη πόλις ἦρι κατὰ τὴν μετριότητα τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. ¹¹ τά τε νοσεύματα ἐλάσσω μὲν γίνεται καὶ ἀσθενέστερα. ¹² ἔοικε δὲ τοῖς ἐν τῇσι πόλεσι γινομένοισι νοσεύμασι, τῇσι πρὸς τὰ θερμὰ τὰ πνεύματα ἐστραμμένῃσιν. ¹³ αἵ τε γυναῖκες αὐτόθι ἐναρικύμονές εἰσι σφόδρα, καὶ τίκτουσι ῥηϊδίως. ¹⁴ περὶ μὲν τουτέων ὧδε ἔχει.

IX. Ὁκόσαι δὲ πρὸς τὰς δύσιας κέονται, καὶ αὐτῇσιν ἐστὶ σκέπη τῶν πνευμάτων τῶν ἀπὸ τῆς ἠοῦς πνεόντων, τά τε θερμὰ πνεύματα παραρρέει καὶ τὰ ψυχρὰ ἀπὸ τῶν ἄρκτων, ἀνάγκη ταύτας τὰς πόλιας θέσιν κέεσθαι νοσερωτάτην. ² πρῶτον μὲν γὰρ τὰ ὕδατα οὐ λαμπρά. ³ αἴτιον δέ, ὅτι ὁ ἠὴρ τὸ ἑωθινὸν κατέχει ὡς ἐπὶ τὸ πολύ, ὅστις τῷ ὕδατι ἐγκαταμιγνύμενος τὸ λαμπρὸν ἀφανίζει. ⁴ ὁ γὰρ ἥλιος, πρὶν ἄνω ἀρθῆναι, οὐκ ἐπιλάμπει. ⁵ τοῦ δὲ θέρεος ἕωθεν μὲν αὔ-

orientem solem sitæ sunt, eas par est salubriores his quæ ad septentrionem conversæ sunt, & his quæ ad calidos ventos sitæ sunt, etiamsi stadium solum intersit. ³ Primum enim moderatior est caliditas ac frigiditas. ⁴ Deinde aquas quæ ad solis ortus sunt, omnes splendidas esse necesse est, & odoratas, & molles, & amabiles oriri in hac civitate. ⁵ Sol enim emergens ac illustrans ipsas castigat. ⁶ Matutinum enim tempus ipse aër utplurimum semper occupat. ⁷ Et hominum formæ boni coloris sunt, & magis floridæ, si non quis alius morbus prohibeat. ⁸ Et clara voce præditi sunt homines, & ad iram ac intelligentiam præstantiores septentrionalibus, ⁹ siquidem & alia quæ in ipsa nascuntur meliora existunt. ¹⁰ Et civitas quæ hoc modo sita est, veri maxime similis est, juxta caliditatis ac frigiditatis moderationem. ¹¹ Et morbi pauciores fiunt ac debiliores, ¹² similesque sunt morbis, qui in civitatibus ad ventos calidos conversis oriuntur. ¹³ Et fœminæ isthic valde fœcundæ sunt, ac facile pariunt. ¹⁴ Et de his quidem ita habet.

IX. Quæ vero ad occasus sitæ sunt, & ipsæ a ventis ab oriente spirantibus protectæ sunt, & tum calidi venti leviter afflant, tum frigidi ab Ursis præterflant: eas urbes necesse est situ morbosissimo positas esse. ² Primum enim aquæ non sunt splendidæ. ³ Causa vero est quod aër matutinum tempus utplurimum occupat, qui aquæ immixtus claritatem ejus disperdit. ⁴ Sol enim priusquam elevetur, non illustrat. ⁵ Æstate vero, mane qui-

αὖραί τε ψυχραὶ πνέουσι, καὶ δρόσοι πίπτουσιν. [6] τὸ δὲ λοιπὸν ἥλιος ἐγκαταδύων ὥστε μάλιστα διέψει τοὺς ἀνθρώπους. [7] διὸ καὶ ἀχρόους τε εἰκὸς εἶναι καὶ ἀῤῥώστους, [8] τῶν τε νοσημάτων πάντων μετέχειν μέρος τῶν προειρημένων· οὐδὲν γὰρ αὐτέοις ἀποκέκριται. [9] βαρυφώνους τε εἰκὸς εἶναι καὶ βραγχώδεας διὰ τὸν ἠέρα, ὅτι ἀκάθαρτος ὡς ἐπὶ τὸ πολὺ αὐτόθι γίνεται, καὶ νοσώδης. [10] οὔτε γὰρ ὑπὸ τῶν βορέων ἐκκρίνεται σφόδρα. [11] οἱ γὰρ προσέχουσι τὰ πνεύματα. [12] οἳ δὲ προσέχουσιν αὐτέοισι καὶ προσκέονται, ὑδατεινότατοί εἰσιν. [13] ἐπεὶ τὰ ἐπὶ τῆς ἑσπέρης πνεύματα ἔοικε τῷ μετοπώρῳ μάλιστα. [14] ἥ τε θέσις ἡ τοιαύτη τῆς πόλιος κατὰ τὰς τῆς ἡμέρης μεταβολάς, ὅτι πολὺ τὸ μέσον γίνεται τοῦ τε ὀρθρινοῦ καὶ τοῦ πρὸς τὴν δείλην. [15] περὶ μὲν πνευμάτων, ἅτε ἐστὶν ἐπιτήδεια καὶ ἀνεπιτήδεια, ὧδε ἔχει.

X. Περὶ δὲ τῶν λοιπῶν ὑδάτων βούλομαι διηγήσασθαι, ἅτε ἐστὶ νοσώδεα, καὶ ἃ ὑγιεινότατα, [2] καὶ ὁκόσα ἀφ' ὕδατος κακὰ εἰκὸς γίνεσθαι, καὶ ὅσα ἀγαθά. [3] πλεῖστον γὰρ μέρος ξυμβάλλεται ἐς τὴν ὑγιείην. [4] ὁκόσα μὲν οὖν ἐστιν ἑλώδεα, καὶ στάσιμα, καὶ λιμναῖα, ταῦτα ἀνάγκη τοῦ μὲν θέρεος εἶναι θερμὰ καὶ παχέα καὶ ὀδμὴν ἔχοντα, [5] ἅτε οὐκ ἀπόῤῥυτα ἐόντα, ἀλλὰ τοῦ τε ὀμβρίου ὕδατος ἐπιφερομένου αἰεὶ νέου, τοῦ τε ἡλίου καίοντος, ἀνάγκη ἄχροά τε εἶναι καὶ πονηρὰ καὶ χολώδεα. [6] τοῦ δὲ χειμῶνος, παγετώδεά τε καὶ ψυχρὰ καὶ τεθολωμένα, ὑπό τε χιόνος καὶ παγετῶν, [7] ὥστε φλεγματωδέστατα εἶναι καὶ βραγχωδέστατα. [8] τοῖσι δὲ πίνουσι σπλῆνας μὲν αἰεὶ μεγάλους εἶναι καὶ μεμυωμένους, καὶ τὰς γαστέρας σκληράς τε καὶ λεπτὰς καὶ θερμάς, τοὺς δὲ ὤμους καὶ τὰς κληΐ-

quidem auræ frigidæ spirant, & ros decidit. [6] de cætero vero sol ad ipsas occidens, quam maxime homines percoquit. [7] Quapropter etiam decolores ac infirmos ipsos esse par est, [8] & ex omnibus prædictis morbis participare. Nulla enim re ab ipsis separantur. [9] Verisimileque est ipsos gravi voce præditos ac raucosos esse, propter aërem, eo quod impurus plerunque illic est, & morbosus. [10] Neque enim ab aquilonaribus valde expurgatur. [11] Non enim perseverant venti. [12] Qui vero perseverant ac ipsis incumbunt, aquosissimi existunt. [13] Nam venti occidentales similes sunt autumno. [14] Et hujusmodi civitatis situs est ad diei mutationes, eo quod multum temporis inter matutinum ac vespertinum intercedit. [15] Et de ventis quidem quæ commodi sunt ac incommodi, ita se res habet.

x. Cæterum de aquis deinceps narrare volo, quæ morbosæ sint, & quæ saluberrimæ: [2] & quæ mala ab aqua fieri verisimile est, itemque quæ bona. [3] Plurimam enim partem conferunt ad sanitatem. [4] Quæcunque igitur palustres sunt, & stabiles ac lacustres, eas necesse est æstate esse calidas, ac crassas & olentes. [5] Quum enim non defluant, sed aqua pluvia semper nova inferatur, & sol urat, necesse est ipsas decolores esse, & pravas ac biliosas. [6] Hyeme vero glaciatas & frigidas ac turbatas præ nive ac glacie, [7] ut pituitosissimæ ac raucosissimæ existant. [8] Bibentibus autem splenes semper sint magni ac pleni: & ventres duri, tenues ac calidi. Humeri vero & clavicu-

κληῗδες καὶ τὸ πρόσωπον καταλεπτύνεται. [9] ὁ γὰρ σπλὴν τὰς σάρκας ξυντήκει, διότι ἰσχνοί εἰσιν.

XI. Ἐδωδούς τε εἶναι τοὺς τοιούτους 15 καὶ διψηρούς, [2] τάς τε κοιλίας 26 ξηροτάτας τε καὶ τὰς ἄνω καὶ τὰς κάτω ἔχειν, ὥστε τῶν φαρμάκων ἰσχυροτέρων δεῖσθαι. [3] τοῦτο μὲν τὸ νόσημα 27 αὐτέοισιν ξύντροφόν ἐστι καὶ θέρεος καὶ χειμῶνος. [4] πρὸς δὲ τουτέοισιν οἱ ὕδρωπές τε καὶ πλεῖστοι γίνονται καὶ θανατωδέστατοι. [5] τοῦ γὰρ θέρεος δυσεντερίαι τε πολλαὶ ἐμπίπτουσι, καὶ διάῤῥοιαι, καὶ πυρετοὶ τεταρταῖοί τε [καὶ] πολυχρόνιοι. [6] ταῦτα δὲ τὰ νοσεύματα μηκυνθέντα τὰς τοιαύτας φύσιας ἐς ὕδρωπας καθίστησι, καὶ 20 ἀποκτείνει. [7] ταῦτα μὲν αὐτέοισι τοῦ θέρεος γίνεται.

XII. Τοῦ δὲ χειμῶνος τοῖσι νεωτέροισι μὲν περιπνευμονίαι τε καὶ μανιώδεα νοσεύματα. [2] τοῖσι δὲ πρεσβυτέροισι καῦσοι, διὰ τὴν τῆς κοιλίης σκληρότητα. [3] τῇσι δὲ γυναιξὶν οἰδήματα ἐγγίνεται, καὶ φλέγμα λευκόν. [4] καὶ ἐν γαστρὶ ἴσχουσι μόλις, καὶ τίκτουσι χαλεπῶς, μεγάλα τε τὰ ἔμβρυα καὶ οἰδέοντα. [5] ἔπειτα ἐν τῇσι τροφῇσι φθινώδεά τε καὶ πονηρὰ γίνεται, [6] ἥ τε κάθαρσις τῇσι γυναιξὶν οὐκ ἐπιγίνεται χρηστὴ μετὰ τὸν τόκον. [7] τοῖσι δὲ 25 παιδίοισι κῆλαι ἐπιγίνονται. [8] μάλιστα μὲν τοῖσιν ἀνδράσι κιρσοὶ, καὶ ἕλκεα ἐν τῇσι κνήμῃσιν, [9] ὥστε τὰς τοιαύτας φύσιας οὐχ οἷόν τε μακροβίους εἶναι, ἀλλὰ προγηράσκειν τοῦ χρόνου τοῦ ἱκνευμένου. [10] ἔτι δὲ αἱ γυναῖκες δοκέουσιν ἔχειν ἐν γαστρὶ, καὶ, ὁκόταν ὁ τόκος ᾖ, ἀφανίζεται τὸ πλήρωμα τῆς γαστρός. [11] τοῦτο δὲ γίνεται ὑπὸ 28 ὕδερος, ὁκόταν ὑδρωπιήσωσιν αἱ ὑστέραι. [12] τὰ μὲν τοιαῦτα ὕδατα νομίζω μοχθηρὰ εἶναι πρὸς ἅπαν χρῆμα.

viculæ & facies attenuata. [9] In splenem enim carnes colliquantur, quapropter graciles existunt.

XI. Edaces autem 'esse tales 130 ac siticulosos par est, [2] ventresque tum supernos, tum infernos, calidissimos habere, ut etiam fortioribus medicamentis opus habeant. [3] Atque hic morbus ipsis & æstate & hyeme familiaris est. [4] Ad hæc etiam hydropes plurimi ac lethalissimi fiunt. [5] Æstate enim dysenteriæ multæ ac alvi profluvia incidunt, & febres quartanæ diuturnæ. [6] Hi autem morbi prolongati, tales naturas ad hydropas deducunt 'ac occidunt. [7] 135 Et hi quidem morbi ipsis æstate fiunt.

XII. Hyeme vero junioribus quidem peripneumoniæ, & insaniæ morbi. [2] Senioribus vero, febres ardentes, propter ventris duriciem. [3] Mulieribus autem, tumores oboriuntur, & pituita alba, [4] & vix in ventre concipiunt, ac difficulter pariunt, & fœtus magnos ac tumidos: [5] deinde ex alimentis tabescentes ac depravati fiunt. [6] Et purgatio commoda post partum 'mulieri- 140 bus non contingit. [7] Pueris vero herniæ accedunt, [8] & viris varices, & ulcera in tibia. [9] Quare fieri non potest ut tales naturæ longævæ sint, sed ante temporis adventum senescunt. [10] Præterea fœminæ se in utero habere putant, & ubi partus tempus adest, ventris moles illa ac plenitudo evanescit. [11] Hoc autem contingit ex aqua, quum uteri ex aqua concepta laborant. [12] Atque has quidem aquas ad omnem rem 'improbas esse cen- 145 seo.

XIII. XIII.

XIII. Δεύτερα δὲ, ὅσων εἰσὶν αἱ πηγαὶ ἐκ πετρέων. 2 σκληρὰ γὰρ ἀνάγκη εἶναι. 3 ἢ ἔνθεν ὅκου θερμὰ ὕδατά ἐστιν, ἢ σίδηρος γίνεται, ἢ χαλκὸς, ἢ ἄργυρος, ἢ χρυσὸς, ἢ θεῖον, ἢ στυπτηρίη, ἢ ἄσφαλτον, ἢ νίτρον. 4 ταῦτα γὰρ πάντα ὑπὸ βίης γίνονται τοῦ θερμοῦ. 5 οὐ τοίνυν ἐκ τοιαύτης γῆς ὕδατα ἀγαθὰ γίνεται, ἀλλὰ σκληρά τε καὶ καυσώδεα. 6 [ἃ καὶ] διουρέεσθαι χαλεπὰ, καὶ πρὸς τὴν διαχώρησιν ἐναντία ἐστίν.

XIV. Ἄριστα δὲ, ὁκόσα ἐκ μετεώρων χωρίων ῥέει καὶ λόφων γεηρῶν. 2 αὐτά τε γάρ ἐστι γλυκέα καὶ λευκὰ, καὶ τὸν οἶνον φέρειν ὀλίγον οἷά τέ ἐστι. 3 τοῦ δὲ χειμῶνος θερμὰ γίνεται, τοῦ δὲ θέρεος ψυχρά. 4 οὕτω γὰρ ἂν εἴη ἐκ βαθυτάτων πηγέων. 5 μάλιστα δὲ ἐπαινέω, ὧν τὰ ῥεύματα πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου ἐῤῥώγασι, καὶ μᾶλλον πρὸς τὰς θερινάς. 6 ἀνάγκη γὰρ λαμπρότερα εἶναι καὶ εὐώδεα καὶ κοῦφα. 7 ὁκόσα δέ ἐστιν ἁλυκὰ καὶ ἀτέραμνα καὶ σκληρὰ, τὰ μὲν πάντα πίνειν οὐκ ἀγαθά. 8 εἰσὶ δ' ἔνιαι φύσιες καὶ νοσεύματα, ἐς ἃ ἐπιτήδειά ἐστι τὰ τοιαῦτα ὕδατα πινόμενα· περὶ ὧν φράσω αὐτίκα. 9 ἔχει δὲ καὶ περὶ τουτέων ὧδε. 10 ὁκόσων μὲν αἱ πηγαὶ πρὸς τὰς ἀνατολὰς ἔχουσιν, ταῦτα μὲν ἄριστα αὐτὰ ἑωυτέων ἐστί. 11 δεύτερα δὲ τῶν τὰ μεταξὺ τῶν θερινῶν ἀνατολέων ἐστὶ τοῦ ἡλίου καὶ δυσίων· καὶ μᾶλλον τὰ πρὸς τὰς ἀνατολάς. 12 τρίτα δὲ τὰ μεταξὺ τῶν δυσμέων τῶν θερινῶν καὶ τῶν χειμερινῶν.

XV. Φαυλότατα δὲ τὰ πρὸς τὸν νότον, καὶ τὰ μεταξὺ χειμερινῆς ἀνατολῆς καὶ δύσιος. 2 καὶ ταῦτα τοῖσι

XIII. Secundo vero loco eas quarum fontes è petris scaturiunt: 2 (duras enim esse necesse est:) 3 aut isthic ubi calidæ aquæ existunt, aut ferrum nascitur, aut æs, aut argentum, aut aurum, aut sulphur, aut alumen, aut bitumen, aut nitrum. 4 Hæc enim omnia præ violentia caloris nascuntur. 5 Non itaque ex hujusmodi terra aquæ bonæ prodeunt, sed duræ & æstuosæ, 6 quæ & difficulter minguntur, & ad alvi egestionem contrariæ sunt.

XIV. Optimæ vero sunt quæ ex sublimibus locis, ac terreis collibus fluunt. 2 Hæ enim & dulces sunt, & albæ, & vinum modicum ferre possunt: 3 & hyeme calidæ fiunt, æstate vero frigidæ. 4 Tales enim fuerint ex profundissimis fontibus. 5 Maxime vero laudare eas oportet, quarum fluxiones ad solis exortus erumpunt, & præsertim ad æstivos. 6 Necesse est enim odoratas esse ac leves. 7 Quæcunque vero falsæ, & crudæ ac duræ sunt, ad hoc quidem ut eas omnes bibant, non bonæ sunt. 8 Sunt tamen aliquæ naturæ, & morbi, quibus tales aquæ in potu commodæ sunt, de quibus statim dicam. 9 Habet autem & de his hoc modo. 10 Quæ quidem aquæ fontes suos ad orientes habent, hæ præ omnibus optimæ sunt. 11 Secundum ab his locum habent, quæ inter æstivos solis exortus ac occasus emergunt, & magis hæ quæ ad orientes. 12 Tertio loco sunt, quæ inter occasus æstivos ac hybernos scaturiunt.

XV. Pessimæ vero quæ ad austrum, & quæ inter æstivum ortum & occasum. 2 Et hæc quidem ad

45 τοῖσι μὲν νοτίοισι πάνυ ' πονηρὰ· τοῖσι δὲ βορέοισιν ἀμείνω. [3] τουτέοισι δὲ χρὴ ὧδε χρέεσθαι. [4] ὅστις μὲν ὑγιαίνει τε καὶ ἔῤῥωται, μηδὲν διακρίνειν, ἀλλὰ πίνειν αἰεὶ τὸ παρεόν. [5] ὅστις δὲ νούσου εἵνεκα βούλεται τὸ ἐπιτηδειότατον πίνειν, ὧδε ἂν ποιέων μάλιστα τυγχάνοι τῆς ὑγιείης. [6] ὁκόσων μὲν αἱ κοιλίαι σκληραί εἰσιν, καὶ ξυγκαίειν ἀγαθαί, τουτέοισι μὲν τὰ γλυκύτατα ξυμφέρει καὶ κουφότατα καὶ λαμπρότατα. [7] ὁκόσων δὲ μαλθακαὶ αἱ νηδύες καὶ ὑγραί εἰσι καὶ φλεγματώδεες, τουτέοισι δὲ τὰ ' σκληρότατα καὶ ἀτεραμνότατα καὶ τὰ ὑφαλυκά. [8] οὕτω γὰρ ἂν ξηραίνοιτο μάλιστα.

XVI. Ὁκόσα γὰρ ὕδατά ἐστιν ἕψειν ἄριστα ' καὶ τακερώτατα, 33 ταῦτα καὶ τὴν κοιλίην διαλύειν εἰκὸς μάλιστα καὶ διατήκειν. [2] ὁκόσα δέ ἐστιν ἀτέραμνα καὶ σκληρὰ καὶ ἥκιστα ἕψειν ἀγαθὰ, ταῦτα δὲ ξυνίστησι μᾶλλον τὰς κοιλίας καὶ ξηραίνει. [3] ἀλλὰ γὰρ ψευσάμενοί εἰσιν οἱ ἄνθρωποι τῶν ἁλμυρῶν ' ὑδάτων πέρι δι' ἀπειρίην, 5 καὶ ὅτι νομίζεται διαχωρητικὰ εἶναι. [4] τὰ δὲ ἐναντιώτατά ἐστι πρὸς τὴν διαχώρησιν. [5] ἀτέραμνα γὰρ καὶ ἀνέψανα, ὥστε καὶ τὴν κοιλίην ὑπ' αὐτῶν στύφεσθαι μᾶλλον ἢ τήκεσθαι. [6] καὶ περὶ μὲν τῶν πηγαίων ὑδάτων ὧδε ἔχει. [7] περὶ δὲ τῶν ὀμβρίων, καὶ ὁκόσα ἀπὸ χιόνος, φράσω ὅκως ἔχει.

XVII. ' Τὰ μὲν οὖν ὄμβρια 34 κουφότατα καὶ γλυκύτατά ἐστι καὶ λεπτότατα καὶ λαμπρότατα. [2] ' τήν τε γὰρ ἀρχὴν ὁ ἥλιος ἀνάγει καὶ ἀναρπάζει τοῦ ὕδατος 35 10 τό τε ' λεπτότατον καὶ κουφότατον.

ad australes partes valde pravæ sunt, ad boreales vero meliores. [3] His autem hoc modo uti convenit. [4] Quisquis sanus est ac valet, is nullum ' discri- 165 men faciat, sed semper eam quæ præsens est bibat. [5] Quicunque vero morbi gratia, eam quæ commodissima est bibere volet, is si ita fecerit, maxime sanitatem assequi poterit. [6] Quorum quidem ventres duri sunt, & idonei ad hoc ut amburantur, his dulcissimæ & levissimæ ac splendissimæ conducunt. [7] Quorum vero molles ventres, & humidi ac pituitosi sunt, his durissimæ & crudissimæ ' ac 170 subsalsæ aquæ conferunt. Sic enim maxime [8] resiccari poterint.

XVI. Quæcunque enim aquæ optimæ coctu sunt, ac facilime liquescunt, eas par est & ventrem maxime exolvere ac eliquare. [2] Quæ vero crudæ sunt, & minime coctu bonæ, hæ magis constringunt ventres ac resiccant. [3] Atenim mentiuntur homines de salsis aquis, propter imperitiam, in eo quod per alvum secedere eamque solvere putantur. [4] Maxime ' enim con- 175 trariæ sunt ad alvi egestionem ac secessum. [5] Sunt enim crudæ, & coqui non possunt. Quare venter magis ab ipsis adstringitur quam eliquatur. [6] Et de fontanis quidem aquis hoc modo res se habet. [7] De pluvialibus autem, & quæ à nive fiunt, ut habeat, deinceps dicam.

XVII. Aquæ igitur pluviales levissimæ & dulcissimæ, & tenuissimæ ac splendidissimæ sunt. [2] Primum enim sol quod tenuissimum ac levissimum ' est in 180 aqua, educit ac sursum rapit.

τον. [3] δῆλον δὲ αἱ ἅλες ποιέουσι. [4] τὸ μὲν γὰρ ἁλμυρὸν λείπεται αὐτέου ὑπὸ πάχεος καὶ βάρεος, καὶ γίνεται ἅλες. [5] τὸ δὲ λεπτότατον ὁ ἥλιος ἀναρπάζει ὑπὸ κουφότητος. [6] ἀνάγει δὲ τὸ τοιοῦτο οὐκ ἀπὸ τῶν ὑδάτων μόνον τῶν λιμναίων, ἀλλὰ καὶ ἀπὸ τῆς θαλάσσης, καὶ ἐξ ἁπάντων, ἐν ὁκόσοισιν ὑγρόν τι ἐστιν. [7] ἔνεστι δὲ ἐν παντὶ χρήματι. [8] καὶ ἐξ αὐτέων τῶν ἀνθρώπων ἄγει τὸ λεπτότατον τῆς ἰκμάδος, καὶ κουφότατον. [9] τεκμήριον δὲ μέγιστον, ὅταν ἄνθρωπος ἐν ἡλίῳ βαδίζῃ ἢ καθίζῃ, ἱμάτιον ἔχων. [10] ὁκόσα μὲν τοῦ χρωτὸς ὁ ἥλιος ἐφορᾷ, οὐχ ἱδρώη ἄν. [11] ὁ γὰρ ἥλιος ἀναρπάζει τὸ προφαινόμενον τοῦ ἱδρῶτος. [12] ὁκόσα δὲ ὑπὸ τοῦ ἱματίου ἐσκέπασται, ἢ ὑπ' ἄλλου του, ἱδροῖ. [13] ἐξάγεται μὲν γὰρ ὑπὸ τοῦ ἡλίου καὶ βιάζεται· [14] σῴζεται δὲ ὑπὸ τῆς σκέπης, ὥστε μὴ ἀφανίζεσθαι ὑπὸ τοῦ ἡλίου. [15] ὁκόταν δὲ ἐς σκιὴν ἀφίκηται, ἅπαν τὸ σῶμα ὁμοίως διεῖ. [16] οὐ γὰρ ἔτι ὁ ἥλιος ἐπιλάμπει.

XIIX. Διὰ ταῦτα δὲ καὶ σήπεται τῶν ὑδάτων τάχιστα ταῦτα, καὶ ὀδμὴν ἴσχει πονηρὴν τὸ ὄμβριον. [2] ὅτι ἀπὸ πλείστων συνῆκται καὶ συμμέμικται, ὥστε σήπεσθαι τάχιστα. [3] ἔτι δὲ πρὸς τουτέοισιν, ἐπειδὰν ἁρπασθῇ καὶ μετεωρισθῇ περιφερόμενον καὶ καταμεμιγμένον ἐς τὸν ἠέρα, [4] τὸ μὲν θολερὸν αὐτέου καὶ νυκτοειδὲς ἐκκρίνεται καὶ ἐξίσταται καὶ γίνεται ἠὴρ καὶ ὀμίχλη, [5] τὸ δὲ λεπτότατον καὶ κουφότατον αὐτέου λείπεται καὶ γλυκαίνεται, ὑπὸ τοῦ ἡλίου καιόμενόν τε καὶ ἑψόμενον. [6] γίνεται δὲ καὶ τἄλλα πάντα

pit. [3] Clarum autem hoc, ipsum mare facit. [4] Quod enim salsum est isthic relinquitur, præ crassitudine ac gravitate, & fit mare. [5] Quod vero tenuissimum est sol sursum rapit, præ levitate. [6] Rapit autem tale non solum ab aquis stagnantibus, sed etiam ex ipso mari, & ex omnibus in quibus aliquid humoris inest. [7] (Inest autem in omnibus rebus.) [8] Et ex ipsis hominibus tenuissimum ac levissimum humorem ducit. [9] Ejus rei maximum signum inde sumere licet, ubi homo vestibus indutus in sole iter fecerit, aut sederit. [10] Quæcunque enim corporis partes sol aspicit, hæ non exudant. [11] (Sol enim quicquid comparet sudoris, sursum rapit.) [12] Quæ vero sub veste contectæ sunt, aut sub aliqua alia re, hæ exsudant. [13] Educitur enim ac domatur à sole sudor. [14] Servatur autem ex tegmentis, ut ne disperdatur à sole. [15] Quum vero in umbram devenerit, totum corpus similiter sudore perfluit. [16] Non enim amplius sol effulget.

XVIII. Quapropter etiam ex omnibus aquis hæ citissimè putrescunt; & odorem malum pluvialis aqua habet, [2] eo quod ex plurimis congregata est ac permixta, ut citissime putrescat. [3] Ad hæc vero, ubi rapta est & in sublime elevata, dum circumfertur & ad aerem permiscetur, [4] quod turbidum est in ipsa, ac noctem refert, id excernitur ac decedit, & fit aër, & nebula. [5] Quod vero tenuissimum ac levissimum in ipsa, hoc relinquitur ac dulcescit, dum à sole uritur ac coquitur. [6] Fiunt autem & alia omnia

quæ

πάντα τὰ ἑψόμενα αἰὲς γλυκέα.

XIX. Ἕως μὲν οὖν διεσκεδασμένον ᾖ καὶ μήπω ξυνεστήκῃ, φέρεται μετέωρον. [2] ὁκόταν δέ κου ἀθροισθῇ καὶ ξυστραφῇ ἐς τὸ αὐτὸ ὑπὸ ἀνέμων ἀλλήλοισιν ἐναντιωθέντων ἐξαίφνης, τότε καταῤῥήγνυται ᾗ ἂν τύχῃ πλεῖστον ξυστραφέν. [3] τότε γὰρ εἰκὸς τοῦτο μᾶλλον γίνεσθαι, ὁκόταν τὰ νέφεα ὑπὸ ἀνέμου στάσιν μὴ ἔχοντος ὡρμημένα ἐόντα καὶ χωρέοντα ἐξαίφνης ἀντικόψῃ πνεῦμα ἐναντίον καὶ ἕτερα νέφεα. [4] ἐνταῦθα μὲν [τὸ] πρῶτον αὐτέου ξυστρέφεται· τὰ δὲ ὄπισθεν ἐπιφέρεταί τε, καὶ οὕτω παχύνεται, καὶ μελαίνεται, καὶ ξυστρέφεται ἐς τὸ αὐτὸ, καὶ ὑπὸ βάρεος καταῤῥήγνυται, καὶ ὄμβροι γίνονται. [5] ταῦτα μὲν οὐκ ἔστιν ἄριστα κατὰ τὸ εἰκός. [6] δεῖται δὲ ἀφέψεσθαι καὶ ἀποσήθεσθαι. [7] εἰ δὲ μὴ, ὀδμὴν ἴσχει πονηρὴν, καὶ βράγχος καὶ βαρυφωνίη τοῖς πίνουσι προσίσταται).

XX. Τὰ δὲ ἀπὸ χιόνος καὶ κρυστάλλων, πονηρὰ πάντα. [2] ὁκόταν γὰρ ἅπαξ παγῇ, οὐκ ἔτι ἐς τὴν ἀρχαίην φύσιν καθίσταται· [3] ἀλλὰ τὸ μὲν αὐτέου λαμπρὸν καὶ κοῦφον καὶ γλυκὺ ἐκκρίνεται καὶ ἀφανίζεται, τὸ δὲ θολωδέστατον καὶ σταθμωδέστατον λείπεται. [4] γνοίης δ' ἂν ὧδε. εἰ γὰρ βούλει, ὅταν ᾖ χειμὼν, ἐς ἀγγεῖον μέτρῳ ἐγχέας ὕδωρ, θεῖναι ἐς τὴν αἰθρίην, ἵνα πήξεται μάλιστα, ἔπειτα τῇ ὑστεραίῃ ἐσενεγκὼν ἐς ἀλέην, ὅκου χαλάσει μάλιστα ὁ παγετὸς, ὁκόταν δὲ λυθῇ, ἀναμετρέειν τὸ

quæ coquuntur semper dulcia.

XIX. Quandiu igitur dispersa fuerit, & nondum congregata, fertur sublimis. [2] Ubi vero coacervata fuerit, ac simul congregata derepente à ventis inter se adversariis: tunc deorsum prorumpit, qua parte plurima collecta fuerit. [3] Tunc enim, hoc magis fieri verisimile est, quum nebulas à vento stabilitatem non habente concitatas ac procedentes, derepente ventus contrarius ac aliæ nebulæ reliserint: [4] atque tunc quidem prima ipsius pars congregatur, quæ vero à posteriore parte sunt, insuper accedunt, & sic crassescunt, & nigrescunt, ac simul congregantur, & præ gravitate deorsum prorumpunt, & pluviæ fiunt. [5] Atque hæ quidem aquæ optimæ sunt secundum hanc rationem, [6] verum opus habent ut decoquantur, ac excolentur. [7] Sin minus, odorem pravum habent, & raucedines & vocis gravitatem bibentibus inde accedere par est.

XX. At vero aquæ ex nive ac glacie productæ, omnes malæ sunt. [2] Quum enim semel concretæ fuerint, non amplius in pristinam naturam restituuntur. [3] Sed quod quidem in ipsa clarum ac leve, & dulce est, excernitur ac disperditur: quod vero turbidissimum est ac ponderosissimum, relinquitur. [4] Hoc vero cognoveris hoc modo. Si enim volueris hyemis tempore, vasculum certa aquæ mensura infusa, sub dio exponere, quo maxime congeletur: deinde postridie in locum calidum deportatum sinere, quo maxime glacies liquescat, & ubi exoluta fuerit, aquam metiri:

 repe-

τὸ ὕδωρ, εὑρήσεις ἔλασσον συχνῷ. ⁵ τοῦτο τεκμήριον, ὅτι ὑπὸ τῆς πήξιος ἀφανίζεται καὶ ἀναξηραίνεται τὸ κουφότατον καὶ λεπτότατον, οὐ τὸ βαρύτατον καὶ παχύτατον· οὐ γὰρ ἂν δύναιτο. ⁶ ταύτῃ οὖν νομίζω πονηρότατα ταῦτα τὰ ὕδατα εἶναι τὰ ἀπὸ χιόνος καὶ κρυστάλλου, καὶ τὰ τούτοισιν ἑπόμενα, πρὸς ἅπαντα χρήματα. ⁷ περὶ μὲν οὖν ὀμβρίων ὑδάτων, καὶ τῶν ἀπὸ χιόνος καὶ κρυστάλλων, οὕτως ἔχει.

XXI. Λιθιῶσι δὲ μάλιστα ἄνθρωποι, καὶ ὑπὸ νεφριτίδων καὶ στραγγουρίης ἁλίσκονται καὶ ἰσχιάδων, καὶ κῆλαι γίνονται, ² ὅκου ὕδατα πίνουσι παντοδαπώτατα, ³ καὶ ἀπὸ ποταμῶν μεγάλων, ἐς οὓς ποταμοὶ ἕτεροι ἐμβάλλουσι, ⁴ καὶ ἀπὸ λίμνης, ἐς ἣν ῥεύματα πολλὰ καὶ παντοδαπὰ ἀφικνεῦνται, ⁵ καὶ ὁκόσοι ὕδασιν ἐπακτοῖσι χρέονται διὰ μακροῦ ἀγομένοισι, καὶ μὴ ἐκ βραχέος. ⁶ οὐ γὰρ οἷόν τε ἕτερον ἑτέρῳ ἐοικέναι ὕδωρ· ⁷ ἀλλὰ τὰ μὲν γλυκέα εἶναι, τὰ δὲ ἁλυκά τε καὶ στυπτηριώδεα, τὰ δὲ ἀπὸ θερμῶν ῥέειν. ⁸ ξυμμισγόμενα δὲ ταῦτα ἐς τωὐτὸ ἀλλήλοισι στασιάζει, καὶ κρατεῖ αἰεὶ τὸ ἰσχυρότατον. ⁹ ἰσχύει δὲ οὐκ αἰεὶ τωὐτὸ, ἀλλ' ἄλλοτε ἄλλο.

XXII. Καὶ τὰ πνεύματα· τὸ μὲν γὰρ βορέης τὴν ἰσχὺν παρέχεται, τὸ δὲ ὁ νότος, καὶ τῶν λοιπῶν πέρι ὁ αὐτὸς λόγος. ² ὑφίστασθαι οὖν τοῖσι τοιουτοτρόποισιν ἀνάγκη ἐν τοῖς ἀγγείοις ἰλύν καὶ ψάμμον· ³ καὶ ἀπὸ τούτων πινομένων τὰ νουσήματα γίνεται τὰ προειρημένα. ⁴ ὅτι δὲ οὐχ ἅπασιν ἑξῆς φράσω. ⁵ ὁκόσων μὲν ἥ τε κοιλίη εὔροός τε καὶ ὑγιηρή ἐστιν, καὶ ἡ κύστις μὴ πυρετώδης, μηδὲ ὁ στόμαχος

reperies aquam multo pauciorem. ⁵ Atque hoc signum est, quod à congelatione id quod levissimum ac tenuissimum est disperditur, & non quod gravissimum & crassissimum existit. Non enim hoc disperdi poterit. ⁶ Hac igitur de caussa has aquas quæ à nive ac glacie eliquantur, pessimas esse puto ad omnes res: itemque eas quæ ad has sequuntur. ⁷ Atque siquidem de pluvialibus, & nivalibus, ac glacialibus aquis res se habet.

XXI. Calculo vero maxime laborant homines, & ex renum affectionibus, & urinæ stillicidio, & coxendicum morbo corripiuntur, & herniæ fiunt, ² ubi aquas omnigenas bibunt, ³ & de magnis fluminibus, in quæ alia deferuntur: ⁴ & de stagno, in quod fluxiones multæ ac omnis generis deveniunt: ⁵ & qui aquis invectitiis utuntur, quæ ex longo, & non brevi locorum intervallo afferuntur. ⁶ Non enim fieri potest, ut alia aqua similis sit alii. ⁷ Sed aliæ dulces sunt, aliæ salsæ, & aluminosæ, aliæ de calidis fluunt. ⁸ Ubi vero hæ simul inter se miscentur, dissident: & quæ fortissima est, semper superat. ⁹ Prævalet autem non semper eadem, sed alias alia.

XXII. Sed & ex ventis, alii quidem Boreas robur exhibet, alii vero Auster: & de reliquis eadem ratio existit. ² Talibus igitur necesse est limum & arenam in vasis subsidere: ³ & ab his, si potentur, morbi prædicti fiunt. ⁴ Quod autem non omnibus, consequenter declarabo. ⁵ Quorum quidem alvus satis fluida est ac sana, & vesica non ardens, neque stomachus

μαχος [1] τῆς κύστιος ξυμπίμπρηται λίην, οὗτοι μὲν διουρέουσι ῥηϊδίως, καὶ ἐν τῇ κύστει οὐδὲν ξυστρέφεται. [6] ὁκόσων δὲ αὖ ἡ κοιλίη πυρεώδης ᾖ, ἀνάγκη καὶ τὴν κύστιν τωὐτὸ πάσχειν. [7] ὁκόταν γὰρ θερμανθῇ μᾶλλον τῆς φύσιος, ἐφλέγμηνεν αὐτῆς ὁ στόμαχος. [8] ὁκόταν δὲ ταῦτα πάθῃ, τὸ οὖρον οὐκ ἀφίησιν, ἀλλ' ἐν ἑωυτέῳ ξυνέψει καὶ ξυγκαίει. [9] καὶ τὸ μὲν λεπτότατον αὐτέου ἀποκρίνεται, καὶ τὸ καθαρώτατον διεῖ καὶ ἐξουρέεται.

XXIII. Τὸ δὲ παχύτατον καὶ θολωδέστατον ξυστρέφεται [1] καὶ ξυμπήγνυται. [2] τὸ μὲν πρῶτον μικρὸν, ἔπειτα [δὲ] μεῖζον γίνεται. [3] κυλινδεύμενον γὰρ ὑπὸ τοῦ οὔρου, ὅ, τι ἂν ξυνίστηται παχὺ, ξυναρμόζει πρὸς ἑωυτὸ, καὶ οὕτως αὔξεταί τε καὶ πωροῦται, [4] καὶ, ὁκόταν οὐρέῃ, πρὸς τὸν στόμαχον τῆς κύστιος προσπίπτει ὑπὸ τοῦ οὔρου βιαζόμενον, καὶ κωλύει οὐρέειν, καὶ ὀδύνην παρέχει ἰσχυρήν. [5] ὥστε τὰ αἰδοῖα τρίβουσι καὶ ἕλκουσι τὰ παιδία τὰ λιθιῶντα. [6] δοκέει γὰρ αὐτέοισι τὸ αἴτιον ἐνταῦθα εἶναι τῆς οὐρήσιος. [7] τεκμήριον δὲ ὅτι οὕτως ἔχει. [8] [1] τὸ γὰρ οὖρον λαμπρότατον οὐρέουσιν οἱ λιθιῶντες πρὸς τὸν γινόμενον ὀῤῥόν. [9] [1] ἅτε τὸ παχύτατον καὶ θολωδέστατον αὐτέου μένει [11] καὶ ξυστρέφεται. [10] [καὶ] τὰ μὲν πλεῖστα οὕτω λιθιᾷ.

XXIV. Γίνεται δὲ παισὶ καὶ ἀπὸ τοῦ γάλακτος, ἢν μὴ ὑγιηρὸν ᾖ, ἀλλὰ θερμόν τε λίην καὶ χολῶδες. [2] τὴν γὰρ κοιλίην διαθερμαίνει καὶ τὴν κύστιν, ὥστε τὸ οὖρον ξυγκαιόμενον ταῦτα πάσχειν. [3] καὶ φημὶ ἄμεινον εἶναι, τοῖς παιδίοισι

vesicæ valde coardescit, hi facile urinam ejiciunt, & in vesica nihil ipsis congregatur. [6] Quorum vero alvus ardens ac fervida fuerit, in his necesse est etiam vesicam idem perpeti. [7] Quum enim [1] magis quam pro natura fuerit calefacta, stomachus ipsius inflammatur. [8] Ubi vero hæc perpetitur, urinam non dimittit, sed in seipsa concoquit, & adurit: [9] & quod quidem tenuissimum in ipsa est, excernitur: & quod purissimum est, transit & emingitur.

XXIII. Quod vero crassissimum ac turbidissimum est, coacervatur, & concrescit, [2] primum quidem parum, deinde majus fit. [3] Dum enim volvitur ab urina, quicquid [1] crassum compactum fuerit, ad seipsum adaptat, atque sic augescit, & in totum concrescit. [4] Et quum urinam emittit, ad vesicæ stomachum allabitur ab urina impulsum, & urinæ emissionem impedit, & dolorem vehementem exhibet. [5] Quare pueri calculosi fricant ac trahunt pudenda. [6] Videtur enim ipsis caussa mictionis eo loco esse. [7] Signum autem ejus quod hæc ita se habent, hoc est. [8] Urinam splendidissimam [1] calculosi mingunt ad similitudinem seri, [9] eo quod id quod crassissimum est ac biliosissimum, isthic manet, & coacervatur ac concrescit. [10] Et plerique sane hoc modo lapidem & calculum contrahunt,

XXIV. Fit autem pueris etiam ex lacte, si non salubre id fuerit, sed valde calidum ac biliosum. [2] Ventrem enim percalefacit, & vesicam. Quare urina dum aduritur, hæc patitur. [3] Et sane censeo melius esse pueris vinum

διδοῖσι τὸν οἶνον ὡς ὑδαρέστατον διδόναι. 4 ἧσσον γὰρ τὰς φλέβας ξυγκαίει καὶ ξυναυαίνει. 5 τοῖσι δὲ θήλεσι λίθοι γίνονται οὐχ ὁμοίως. 6 ὁ γὰρ οὐρητὴρ βραχύς ἐστιν ὁ τῆς κύστιος καὶ εὐρὺς, ὥστε βιάζεσθαι τὸ οὖρον ῥηιδίως. 7 οὔτε γὰρ τῇ χειρὶ τρίβει τὸ αἰδοῖον, ὥσπερ τὸ ἄρσεν, οὔτε ἅπτεται τοῦ οὐρητῆρος. 8 ἐς γὰρ τὰ αἰδοῖα ξυντέτρηνται. 9 καὶ διότι οἱ οὐρητῆρές εἰσιν εὐρέες, καὶ πίνουσι πλεῖον, ἢ οἱ παῖδες. 10 περὶ μὲν οὖν τούτων ὧδε ἔχει, ἢ ὅτι τούτων ἐγγύτατα.

XXV. Περὶ δὲ τῶν ἐτῶν ὧδε ἄν τις ἐνθυμεύμενος διαγινώσκοι, ὁκοῖόν τι μέλλει ἔσεσθαι τὸ ἔτος, εἴτε νοσερὸν, εἴτε ὑγιηρόν. 2 ἢν μὲν γὰρ κατὰ λόγον γένηται τὰ σημεῖα ταῦτα ἐπὶ τοῖσιν ἄστροισι, δύνουσί τε καὶ ἐπιτέλλουσιν, 3 ἔν τε τῷ μετοπώρῳ ὕδατα γένηται, 4 καὶ ὁ χειμὼν μέτριος, καὶ μήτε λίην εὔδιος, μήτε ὑπερβάλλων τὸν καιρὸν τῷ ψύχει, 5 ἔν τε τῷ ἦρι ὕδατα γένηται ὡραῖα καὶ ἐν τῷ θέρει, 6 οὕτω τὸ ἔτος ὑγιεινότατον εἰκὸς εἶναι. 7 ἢν δὲ ὁ μὲν χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἦρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τὸ θέρος πυρετῶδες εἶναι, καὶ ὀφθαλμίας καὶ δυσεντερίας ἐγγίνεσθαι. 8 ὁκόταν γὰρ τὸ πνῖγος ἐπιγένηται ἐξαίφνης, τῆς τε γῆς ὑγρῆς ἐούσης ὑπὸ τῶν ὄμβρων τῶν ἐαρινῶν, καὶ ὑπὸ τοῦ νότου, 9 ἀνάγκη διπλόον τὸ καῦμα εἶναι, ἀπό τε τῆς γῆς διαβρόχου ἐούσης καὶ θερμῆς, καὶ ὑπὸ τοῦ ἡλίου καίοντος, 10 τῶν τε κοιλιῶν μὴ ξυνεστηκυιῶν τοῖς ἀνθρώποις, μήτε τοῦ ἐγκεφάλου ἀνεξηρασμένου. 11 οὐ γὰρ οἷόν τε, τοῦ ἦρος τοιούτου ἐόντος, μὴ οὐ πλαδᾶν τὸ σῶμα καὶ τὴν σάρκα, 12 ὥστε τοὺς πυρετοὺς ἐπιπίπτειν ὀξυτάτους ἅπασι, μάλιστα δὲ τοῖσι φλεγματίῃσι.

vinum quam aquosissimum dare: 4 minus enim venas adurit ac resiccat. 5 Muliebribus autem pudendis non similiter contingit. 6 Meatus enim urinæ in vesica brevis est & amplus, ut facile urina impellatur. 7 Neque enim manu pudendum fricat, veluti masculus, neque urinæ in vesica meatum contingit: 8 ad pudenda enim perforatus est: 9 & quia meatus sunt ampli, etiam plus bibunt quam pueri. 10 Et de his quidem sic res se habet, aut his quam proxime.

XXV. Cæterum de annis hoc modo consideratione facta, quis cognoscere possit, qualisnam annus sit futurus, salubrisne an morbosus. 2 Si enim secundum rationem fiant signa in astris occidentibus ac orientibus: 3 & in autumno aquæ fiant: 4 & hyems sit moderata, & neque valde clemens, neque modum excedens frigiditate: 5 & in vere ac in æstate tempestive pluat; 6 sic sane saluberrimum esse annum par est. 7 Si vero hyems quidem sicca sit, & borealis, ver autem pluviosum & australe, necesse est æstatem febriculosam fieri, & lippitudines inducere. 8 Quum enim æstus derepente accedat, terra humida existente à vernis imbribus, & ab austro: 9 necesse est æstum duplicatum esse, & à terra irrigua ac calida, & à sole urente: 10 quum ventres in hominibus nondum constricti sint, neque cerebrum resiccatum. 11 Non enim fieri potest, quum ver tale existat, ut corpus & caro non humore fluida fiant, 12 adeo ut febres acutissimæ in omnes irruant, maxime autem in pituitosos.

πήσι, [13] καὶ δυσεντερίας εἰκός ἐστι γίνεσθαι καὶ τῇσι γυναιξὶ, καὶ τοῖσιν ἀνδράσι τοῖσιν ὑγροτάτοισι.

XXVI. Καὶ, ἢν μὲν ἐπὶ κυνὸς ἐπιβολῇ ὕδωρ ἐπιγένηται καὶ χειμὼν, καὶ οἱ ἐτησίαι πνεύσωσιν, ἐλπὶς παύσασθαι, καὶ τὸ μετόπωρον ὑγιηρὸν γενέσθαι. [2] ἢν δὲ μὴ, κίνδυνος θανάτους τε γενέσθαι τοῖσι παιδίοισι καὶ τῇσι γυναιξί· τοῖσι δὲ πρεσβύτῃσιν ἥκιστα· [3] τούς τε περιγενομένους ἐς τεταρταίους ἀποτελευτᾶν, καὶ ἐκ τῶν τεταρταίων ἐς ὕδρωπας. [4] Ἢν δὲ ὁ μὲν χειμὼν νότιος γένηται, καὶ ἔπομβρος, καὶ εὔδιος, τὸ δὲ ἦρ βόρειόν τε καὶ αὐχμηρὸν καὶ χειμέριον, πρῶτον μὲν τὰς γυναῖκας, ὁκόσαι ἂν τύχωσιν ἐν γαστρὶ ἔχουσαι, καὶ ὁ τόκος αὐτῇσιν ᾖ πρὸς τὸ ἦρ, ἐκτιτρώσκεσθαι· [5] ὁκόσαι δ' ἂν καὶ τέκωσιν, ἀκρατέα τὰ παιδία τίκτειν καὶ νοσώδεα, ὥστε ἢ αὐτίκα ἀπόλλυσθαι, ἢ ζῶσι λεπτά τε ἐόντα καὶ ἀσθενέα καὶ νοσώδεα. [6] Ταῦτα μὲν τῇσι γυναιξί. [7] τοῖσι δὲ λοιποῖσι δυσεντερίας καὶ ὀφθαλμίας ξηρὰς γίνεσθαι εἰκὸς, καὶ ἐνίοισι καταῤῥόους ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν πλεύμονα.

XXVII. Τοῖσι μὲν οὖν φλεγματίῃσι τὰς δυσεντερίας, [2] καὶ τῇσι γυναιξὶ, φλέγματος ἐπικαταῤῥυέντος ἀπὸ τοῦ ἐγκεφάλου διὰ τὴν ὑγρότητα τῆς φύσιος· [3] τοῖσι δὲ χολώδεσιν ὀφθαλμίας ξηρὰς, διὰ τὴν θερμότητα καὶ ξηρότητα τῆς σαρκός· [4] τοῖσι δὲ πρεσβύτῃσι καταῤῥόους, διὰ τὴν ἀραιότητα καὶ τὴν ἔκτηξιν τῶν φλεβῶν, [5] ὥστε ἐξαίφνης τοὺς μὲν ὑπὸ φρενίτιδος ἀπόλλυσθαι, τοὺς δὲ παραπλήκτους γίνεσθαι τὰ δεξιὰ, ἢ τὰ ἀριστερά. [6] ὁκόταν γὰρ, τοῦ χειμῶνος ἐόντος νοτίου [καὶ] θερμοῦ, τὸ σῶμα μὴ ξυνίστηται, μηδὲ φλέβες, [7] τοῦ ἦρος ἐπιγενομένου βορείου καὶ

tosos. [13] At dysenterias par est fieri & mulieribus, & viris humidioribus.

XXVI. Et siquidem circa Canis exortum accedat aqua ac tempestas, & Etesiæ spiraverint, spes est cessationis, & ut autumnus salubris fiat. [2] Sin minus, periculum est ne & pueri, & mulieres moriantur: minime vero senes: [3] & ne qui superstites evadunt, in quartanas desinant, & ex quartanis in hydropas. [4] Si vero hyems australis fiat, & pluviosa, & clemens, ver autem boreale & siccum & tempestuosum, primum quidem mulieres quæ uterum gestant, & partus ipsis ad ver instat, abortum facturas esse verisimile est: [5] quæ vero etiam pepererint, impotentes ac morbosos pueros parere, ita ut aut statim pereant, aut tenues & debiles, ac morbosi vivant. [6] Atque hæc quidem mulieribus: [7] reliquis vero dysenterias & lippitudines siccas: & aliquibus defluxiones à capite in pulmonem.

XXVII. Pituitosis igitur dysenterias fieri verisimile est, [2] & mulieribus, pituita de cerebro defluente, propter naturæ humiditatem. [3] Biliosis vero lippitudines siccas, propter carnis caliditatem ac siccitatem. [4] Valde autem senibus defluxiones, propter raritatem ac eliquationem venarum, [5] adeo ut aliqui quidem derepente pereant, aliqui vero semisiderati, aut dextra aut sinistra parte fiant. [6] Quum enim hyems sit australis, & pluviosa, ac calida, & corpus non adstringatur, neque venæ: [7] vere accedente boreali

καὶ αὐχμηροῦ καὶ ψυχροῦ, ὁ ἐγκέφαλος. ⁸ ὁπηνίκα αὐτὸν ἔδει ἅμα καὶ τῷ ἦρι διαλύεσθαι καὶ καθαίρεσθαι ὑπό τε κορύζης καὶ βράγχων· ⁹ τηνικαῦτα πήγνυται τε καὶ ξυνίσταται, ὥστε ἐξαίφνης τοῦ θέρεος ἐπιγενομένου καὶ τοῦ καύματος καὶ τῆς μεταβολῆς ἐπιγενομένης, ταῦτα τὰ νοσεύματα ἐπιπίπτειν. ¹⁰ καὶ λειεντερίαι, καὶ ὕδρωπες τελευτῶσι τοῖσι νοσεύμασι ἐπιγίνονται. ¹¹ οὐ γὰρ ἀποξηραίνονται αἱ κοιλίαι ῥηϊδίως.

XXVIII. ¹ Ἢν δὲ τὸ θέρος ἔπομβρον γένηται καὶ νότιον, καὶ φθινόπωρον ὡσαύτως, χειμῶνα ἀνάγκη νοσερὸν εἶναι. ² καὶ τοῖς φλεγματίησι, καὶ τοῖς γεραιτέροισι τεσσαράκοντα ἐτέων καύσους γίνεσθαι εἰκός· ³ τοῖσι δὲ χολώδεσι πλευρίτιδας καὶ περιπλευμονίας. ⁴ Ἢν δὲ τὸ θέρος αὐχμηρὸν γένηται καὶ βόρειον, τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίας ἐς τὸν χειμῶνα, καὶ σφακέλους τοῦ ἐγκεφάλου εἰκὸς γίνεσθαι, ⁵ καὶ προσέτι βράγχους, καὶ κορύζας, καὶ βῆχας· ⁶ ἐνίοισι δὲ καὶ φθίσιας.

XXIX. ¹ Ἢν δὲ βόρειόν τε ᾖ καὶ ἄνυδρον, καὶ μήτε ὑπὸ κύνα ἔπομβρον, μήτε ἐπὶ τῷ ἀρκτούρῳ, ² τοῖσι μὲν φλεγματίῃσι φύσει ξυμφέροι μάλιστα καὶ τοῖς ὑγροῖς τὰς φύσιας καὶ τῇσι γυναιξί· ³ τοῖσι δὲ χολώδεσι τοῦτο πολεμιώτατον γίνεται. ⁴ λίην γὰρ ἀναξηραίνονται, καὶ ὀφθαλμίαι αὐτέοισιν ἐπιγίνονται ξηραί, καὶ πυρετοὶ ὀξέες καὶ πολυχρόνιοι ἐνίοισι, καὶ μελαγχολίαι. ⁵ τῆς γὰρ χολῆς τὸ μὲν ὑγρότατον καὶ ὑδαρέστατον ἀναλοῦται, τὸ δὲ παχύτατον καὶ δριμύτατον λείπεται, καὶ τοῦ αἵματος κατὰ τὸν αὐτὸν λόγον.

& ſicco ac frigido; cerebrum ⁸ poſtquam ipſum diſſolvi ac purgari contingit à gravedine ac raucedine, ⁹ tunc ſimul cum vere ſtabilitur ac conſtringitur. Quare derepente æſtate accedente, & ardore ac mutatione contingente, hi morbi incidunt. ¹⁰ Et inteſtinorum lævitates & aqua intercus fere reliquis morbis deſinentibus ſuperveniunt, ¹¹ quum non queant facile ventriculi à concepta humiditate exſiccari.

XXVIII. Si autem æſtas pluvioſa ſit, & auſtro multum perfletur, ſimiliſque ſequatur autumnus, ¹ neceſſe eſt hyemem morbidam eſſe: ² & his qui pituita abundant, & qui quadrageſimum annum exceſſerunt, febres ardentes fieri veriſimile eſt: ³ qui vero bile abundant, coſtarum inflammationes & pulmonis, pleuritidas ac peripneumonias dictas. ⁴ Si vero æſtas ſicca exiſtat, & borealis, ſequens vero autumnus pluvioſus & auſtralis, capitis dolores ad hyemem expectare convenit, & cerebri corruptiones, ⁵ ampliuſque raucedines, gravedines & tuſſes, ⁶ aliquibus etiam tabes.

XXIX. Quod ſi borealis ſit autumnus ac ſiccus, & neque ſub Cane, neque ſub Arcturo pluvioſus, ² confert pituitoſis natura, & maxime qui natura ſunt humida, & mulieribus. ³ Bilioſis autem infeſtiſſimum hoc tempus exiſtit. ⁴ Valde enim exſiccantur, acciduntque eis lippitudines aridæ, & febres acutæ, ac diuturnæ, & aliquibus bilis atra: ⁵ ſiquidem quod liquidiſſimum ac aquoſiſſimum in bile eſt conſumitur, denſiſſimum vero & acerrimum relinquitur: quod idem accidit ſecundum eandum rationem & circa ſan-

λόγου. [6] ὑφ' ὧν ταῦτα νοσεύμενα αὐτέοισι γίνεται. [7] τοῖσι δὲ φλεγματίῃσι πάντα ταῦτα ἀρωγά ἐστιν. [8] ἀποξηραίνονται γὰρ, καὶ ἐς τὸν χειμῶνα ἀφικνέονται, οὐχ ὑγροὶ ἀλλ' ἐς ἄλλα ἀνεξηρασμένοι. [9] κατὰ ταῦτά τις ἐνθυμεύμενος καὶ σκοπεύμενος προειδείη ἂν τὰ πλεῖστα τῶν μελλόντων ἔσεσθαι ἀπὸ τῶν μεταβολέων.

XXX. Φυλάσσεσθαι δὲ χρὴ μάλιστα τὰς μεταβολὰς τῶν ὡρέων τὰς μεγίστας. [2] καὶ μήτε φάρμακον διδόναι ἑκόντα, [3] μήτε καίειν ὅ,τι ἐς κοιλίην, [4] μήτε τάμνειν, πρὶν παρέλθωσιν ἡμέραι δέκα ἢ καὶ πλείονες· μέγισται δέ εἰσιν αἵδε. [5] καὶ ἐπικινδυνόταται ἡλίου τροπαὶ ἀμφότεραι, καὶ μᾶλλον θεριναί· [6] καὶ ἰσημεριναὶ νομιζόμεναι εἶναι ἀμφότεραι, μᾶλλον δὲ αἱ μετοπωριναί. [7] δεῖ δὲ καὶ τῶν ἄστρων τὰς ἐπιτολὰς φυλάσσεσθαι, [8] καὶ μάλιστα τοῦ κυνός· [9] ἔπειτα ἀρκτούρου, καὶ ἔτι πληϊάδων δύσιν. [10] τά τε γὰρ νοσεύματα μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι κρίνεται. [11] καὶ τὰ μὲν ἀποφθίνει, τὰ δὲ λήγει, τὰ δὲ ἄλλα πάντα μεθίσταται ἐς ἕτερον εἶδος καὶ ἑτέρην κατάστασιν. [12] περὶ μὲν τούτων οὕτως ἔχει.

XXXI. Βούλομαι δὲ περὶ τῆς Ἀσίης καὶ τῆς Εὐρώπης δεῖξαι, ὁκόσον διαφέρουσιν ἀλλήλων ἐς τὰ πάντα, [2] καὶ περὶ τῶν ἐθνέων τῆς μορφῆς, ὅτι διαλλάσσει, καὶ μηδὲν ἔοικεν ἀλλήλοισι. [3] περὶ μὲν οὖν ἁπάντων πολὺς ἂν εἴη λόγος· [4] περὶ δὲ τῶν μεγίστων, καὶ πλεῖστον διαφερόντων, ἐρέω ὥς μοι δοκέει ἔχειν. [5] τὴν Ἀσίην [εἶναι] πλεῖστον διαφέρειν φημὶ τῆς Εὐρώπης, ἐς τὰς φύσιας τῶν ξυμπάντων τῶν τε ἐκ τῆς γῆς φυομένων καὶ τῶν ἀνθρώπων. [6] πολὺ γὰρ καλλίονα καὶ μείζονα πάντα γίνεται ἐν τῇ Ἀσίῃ, [7] ἥ τε χώρη τῆς χώρης ἡμερω-

sanguinem, [6] unde hi morbi his accidunt. [7] Pituitosis autem hæc omnia commoda sunt. [8] Exsiccantur enim & in hyemem perducuntur, minime humecti, sed resiccati. [9] Hæc igitur si quis mente concipiet & considerabit, is præcognoscet plurima omnino quæ ex hujusmodi mutationibus sint futura.

XXX. Maxime autem observare oportet magnas temporum mutationes, [2] ut neq; medicinas in illis libentes exhibeamus, [3] neque uramus quæ circa ventrem, [4] neque secemus, priusquam præiereant dies decem aut plures, & non pauciores. [5] Periculosissimæ sunt etiam ambo solstitia, maxime vero æstivum. [6] Periculosum etiam æquinoctium utrunque, magis vero autumnale. [7] Oportet autem & astrorum exortus considerare, [8] præcipue Canis, [9] deinde Arcturi, & Pleiadum occasum. [10] Morbi enim in his maxime diebus judicantur, [11] aliique perimunt, alii vero desinunt, aut in aliam speciem, aliumque statum transmutantur. [12] Et circa hæc quidem sicut dixi habet.

XXXI. [1] Volo autem & de Asia & Europa demonstrare, quantum differant inter se per omnia, [2] & de gentium formis quid distent, & nihil invicem simile habeant. [3] Verum de omnibus si quis dicere velit, in immensum excresceret sermo: [4] quare de maximis, & plurimum differentibus diversitatibus dicam, quantum saltem mihi in ea re est compertum. [5] Ac dico quidem plurimum differre Asiam ab Europa secundum naturas omnium ex terra nascentium, itemque hominum. [6] Longe enim pulchriora & majora omnia nascuntur in Asia. [7] Estque regio ipsa, hac

ἡμερωτέρη, 7 καὶ τὰ ἤθεα τῶν ἀνθρώπων ἠπιώτερα καὶ εὐοργητότερα. 8 τὸ δὲ αἴτιον τουτέων ἡ κρῆσις τῶν ὡρέων· ὅτι τοῦ ἡλίου ἐν μέσῳ τῶν ἀνατολέων κέεται πρὸς τὴν ἠῶ, τοῦ τε ψυχροῦ πορρωτέρω. 9 τὴν δὲ αὔξησιν καὶ ἡμερότητα παρέχει πλεῖστον ἁπάντων, ὁκόταν μηδὲν ᾖ ἐπικρατέον βιαίως, ἀλλὰ παντὸς ἰσομοιρίη δυναστεύῃ.

XXXII. Ἔχει δὲ κατὰ τὴν Ἀσίην οὐ πανταχῆ ὁμοίως. 2 ἀλλ' ὅση μὲν τῆς χώρης ἐν μέσῳ κέεται τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, αὕτη μὲν εὐκαρποτάτη ἐστὶν, καὶ εὐδενδροτάτη, καὶ εὐδιεστάτη, 3 καὶ ὕδασι κάλλιστα κέχρηται, τοῖσί τε οὐρανίοισι, καὶ τοῖσιν ἐκ τῆς γῆς. 4 οὔτε γὰρ ὑπὸ τοῦ θερμοῦ ἐκκέκαυται λίην, οὔτε ὑπὸ αὐχμῶν καὶ ἀνυδρίης ἀναξηραίνεται, οὔτε ὑπὸ ψύχεος πεπηγυῖα, 5 νοτία δὲ καὶ διάβροχός ἐστιν ὑπό τε ὄμβρων πολλῶν καὶ χιόνος. 6 τά τε ὡραῖα αὐτόθι πολλὰ εἰκὸς γίνεσθαι, ὁκόσα τε ἀπὸ σπερμάτων, καὶ ὁκόσα αὐτὴ ἡ γῆ ἀναδιδοῖ φυτὰ, 7 ὧν τοῖσι καρποῖσι χρέονται ἄνθρωποι, 8 ἡμεροῦντες ἐξ ἀγρίων, καὶ ἐς ἐπιτήδειον μεταφυτέοντες. 9 τά τε ἐντρεφόμενα κτήνεα εὐθηνεῖν εἰκὸς, καὶ μάλιστα τίκτειν τε πυκνότατα, καὶ ἐκτρέφειν κάλλιστα. 10 τούς τε ἀνθρώπους εὐτραφέας εἶναι, καὶ τὰ εἴδεα καλλίστους, καὶ μεγέθη μεγίστους, καὶ ἥκιστα διαφόρους ἔς τε τὰ εἴδεα αὐτῶν καὶ τὰ μεγέθεα.

hac nostra multo mansuetior, sunt etiam hominum mores benigniores & cultiores. 8 Caussa vero horum est, temporum anni temperata mistura. Siquidem in medio solis exortu sita est ad auroram, à frigiditate ac caliditate omni remotior. 9 Incrementum autem & benignitatem inde proficisci omnibus in confesso est, quum nihil sit præcellens & cogens violenter, sed per omnia æqualitas vigeat.

XXXII. Quanquam non habeant ubique per omnem Asiam omnia secundum eundem modum. 2 Quæcunque enim in ea regio in medio sita est calidique & frigidi, ea omnium fertilissima existit, & arboribus refertissima & maxime serena, 3 aquisque utitur & cœlestibus & ex terra promanantibus. 4 Neque enim à calore combusta est valde, neque à squalore & aquarum inopia exsiccatur, neque à frigore oblæditur. 5 Verum austris perflatur & irrigua est, tum propter imbres multos, tum propter nives. 6 Fructus autem suo tempore maturos multos, in ea nasci par est, sive exsparsis seminibus hi proveniant, sive terra ipsa per se sponte producat eorum plantas, 7 quarum fructibus utuntur homines, 8 eas ex agrestibus cicures & domesticas facientes, & pro commoditate sua transplantantes. 9 Pecora etiam ipsa pleniora proveniunt, quæ & pariunt sæpius & pulcherrime educantur. 10 Quin & homines habitiores esse ac specie pulcherrimos, & magnitudinis eximiæ, minimeque differentes, quantum ad formam ac corporum proceritatem attinet, constat.

XXXIII. Εἰκός τε τὴν χώρην ταύτην ἐγγυτάτω εἶναι τῆς κατὰ τὴν φύσιν καὶ τὴν μετριότητα τῶν ὡρέων. [2] τὸ δὲ ἀνδρεῖον, καὶ τὸ ταλαίπωρον, καὶ τὸ ἔμπονον, καὶ τὸ θυμοειδὲς, οὐκ ἂν δύναιτο ἐν τοιαύτῃ φύσει ἐγγίνεσθαι, [3] μήτε ὁμόφυλον, μήτε ἀλλόφυλον, ἀλλὰ τὴν ἡδονὴν ἀνάγκη κρατέειν· [4] διότι πολύμορφα γίνεται τὰ ἐν τοῖς θηρίοις. [5] περὶ μὲν οὖν Αἰγυπτίων καὶ Λιβύων οὕτως ἔχειν μοι δοκέει.

XXXIV. Περὶ δὲ τῶν ἐν δεξιῇ τοῦ ἡλίου τῶν ἀνατολῶν τῶν θερινῶν μέχρι Μαιώτιδος λίμνης· [2] οὗτος γὰρ ὅρος τῆς Εὐρώπης καὶ τῆς Ἀσίης· ὧδε ἔχει περὶ αὐτέων. [3] τὰ δὲ ἔθνεα ταῦτα ταύτῃ διάφορα αὐτὰ ἑωυτέων μᾶλλόν ἐστι τῶν προδιηγημένων, διὰ τὰς μεταβολὰς τῶν ὡρέων καὶ τῆς χώρης τὴν φύσιν. [4] ἔχει δὲ καὶ κατὰ τὴν γῆν ὁμοίως, ἅπερ καὶ κατὰ τοὺς ἄλλους ἀνθρώπους. [5] ὅκου γὰρ αἱ ὧραι μεγίστας μεταβολὰς ποιέονται καὶ πυκνοτάτας, ἐκεῖ καὶ ἡ χώρη ἀγριωτάτη καὶ ἀνωμαλωτάτη ἐστὶ, [6] καὶ εὑρήσεις ὄρεά τε πλεῖστα καὶ δασέα καὶ πεδία καὶ λειμῶνας ἐόντας. [7] ὅκου δὲ αἱ ὧραι μὴ μεγάλα ἀλλάσσουσιν, ἐκείνοις ἡ χώρη ὁμαλωτάτη ἐστίν. [8] οὕτω δὲ ἔχει καὶ περὶ τῶν ἀνθρώπων, εἴ τις βούλεται ἐνθυμέεσθαι. [9] εἰσὶ γὰρ φύσιες, αἱ μὲν ὄρεσιν ἐοικυῖαι, δενδρώδεσί τε καὶ ἀνύδροισιν· [10] αἱ δὲ λεπτοῖσί τε καὶ ἐνύδροισιν· [11] αἱ δὲ λειμακωτέροισί τε καὶ ἑλώδεσι· [12] αἱ δὲ πεδίῳ τε καὶ ψιλῇ καὶ ξηρῇ. [13] αἱ

XXXIII. [1] Certumque est hanc regionem proxime accedere ad naturam ac temperaturam optimæ constitutionis, [2] verum virilitatem, laboris tolerantiam, ac audaciam non verisimile est huic naturæ innasci, [3] sicut neque ejusdem neque diversi generis constantes ac perpetui sunt amatores. Vincit enim in ipsis voluptas, [4] quæ ratio est multiformes generari partus, præcipue in feris. [5] Atque sic quidem de Ægyptiis ac Libycis mihi habere videtur.

XXXIV. Qui vero ad dextram hyberni ortus solis usque ad Mæotidem paludem habitant, [2] (hic est enim Europæ & Asiæ terminus) sic habent. [3] Multo major diversitas est inter illas ipsas gentes, quam de quibus jam dixi, quum propter varias temporum mutationes, tum ob regionis naturam. [4] Habet autem eodem plane modo, quemadmodum & circa aliorum hominum terras accidit. [5] Ubi enim tempora magnas mutationes faciunt & frequentissimas, illic & regio agrestis & maxime inæqualis existit, [6] inveniasque & montes plurimos & densos, itemque campos & prata. [7] Ubi autem non valde variant tempora, illic æqualissima regio est, [8] quod idem & de hominibus ipsis est intelligendum. Si quis enim recte consideret, [9] videbit quorundam naturam, montanis, sylvosis ac asperis locis similem esse, [10] aliorum vero aquosa ac exilia loca referre: [11] sicut quidam pratorum ac paludum naturam præ se ferunt, [12] atque alii sunt quorum planitiebus nudisque ac siccis terris constitutio similis existit.

[13] Tem-

13 οἱ γὰρ ὧραι, αἱ μεταλλάσσουσαι τῆς μορφῆς τὴν φύσιν, εἰσὶ διάφοροι. 14 ὅταν δὲ διάφοροι ἔωσι μετὰ σφῶν αὐτέων, διαφοραί τε πλείονες γίνονται τοῖς εἴδεσι.

XXXV. Καὶ ὁκόσα μὲν ὀλίγον διαφέρει τῶν ἐθνέων, παραλείψω. 2 ὁκόσα δὲ μεγάλα, ἢ φύσει ἢ νόμῳ, ἐρέω περὶ αὐτῶν ὡς ἔχει. 3 καὶ πρῶτον περὶ τῶν Μακροκεφάλων. τούτων γὰρ οὐκ ἔστιν ἄλλο ἔθνος ὁμοίως τὰς κεφαλὰς ἔχον οὐδέν. 4 τὴν μὲν γὰρ ἀρχὴν ὁ νόμος αἰτιώτατος ἐγένετο τοῦ μήκεος τῆς κεφαλῆς. 5 νῦν δὲ καὶ ἡ φύσις ξυμβάλλεται τῷ νόμῳ. 6 τοὺς γὰρ μακροτάτην ἔχοντας τὴν κεφαλὴν γενναιοτάτους ἡγέονται. 7 ἔχει δὲ περὶ νόμου ὧδε, 8 τὸ παιδίον ὁκόταν γένηται, τάχιστα τὴν κεφαλὴν αὐτέου, ἔτι ἁπαλὴν ἐοῦσαν μαλακοῦ ἐόντος, 9 ἀναπλάσσουσι τῇσι χερσὶ, καὶ ἀναγκάζουσιν ἐς τὸ μῆκος αὔξεσθαι, δεσμὰ περιφέροντες καὶ τεχνήματα ἐπιτήδεια, 10 ὑφ' ὧν τὸ μὲν σφαιροειδὲς τῆς κεφαλῆς κακοῦται, τὸ δὲ μῆκος αὔξεται. 11 οὕτως τὴν ἀρχὴν ὁ νόμος κατειργάσατο, ὥστε τοιαύτην τὴν φύσιν γενέσθαι· 12 τοῦ δὲ χρόνου προϊόντος, ἐν φύσει ἐγένετο, ὥστε τὸν νόμον μηκέτι ἀναγκάζειν.

XXXVI. Ὁ γὰρ γόνος πανταχόθεν ἔρχεται τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν, ὑγιηρὸς, ἀπό τε τῶν νοσερῶν, νοσερός. 2 εἰ οὖν γίνονται ἔκ τε τῶν φαλακρῶν φαλακροὶ, καὶ ἐκ γλαυκῶν γλαυκοὶ, καὶ ἐκ διεστραμμένων στρεβλοὶ, ὡς ἐπὶ τὸ πλῆθος· καὶ περὶ τῆς ἄλλης μορφῆς ὁ αὐτὸς λόγος.

13 Tempora enim quæ formarum naturam variant, sunt diversa; 14 quum ergo inter sese fuerint maxime diversa, varias & multiplices formas producunt.

XXXV. Porro quæ parum inter se differunt gentes, relinquam. 2 Quæ autem plurimum non natura solum, sed & legibus ac consuetudinibus discrepant, de illis referam quomodo habeant. 3 Ac primum omnium de Macrocephalis, quum nulla omnino alia gens sit, quæ similia capita habeat. 4 A principio quidem consuetudo in causa fuit, ut tam longis capitibus essent. 5 Nunc autem natura ipsa cum consuetudine conspiravit. 6 Siquidem generosissimum apud eos putatur, caput habere quam maxime longum; 7 consuetudinis autem hoc initium fuit. 8 Quum recens infans natus est, caput ejus adhuc tenerum ac molle existens quam celerrime 9 constringunt manibus, coaptantesque cogunt in longitudinem augeri, quin & vinculis connectunt, ac aptis instrumentis colligant, 10 quo rotunditas capitis prohibeatur, ac longitudo augeatur. 11 Ea consuetudo tantum effecit, ut ejusmodi natura capitum existeret. 12 Temporis vero progressu natura quoque tales produxit, ut non esset necesse consuetudine priore cogere.

XXXVI. Quum enim semen genitale ab omnibus corporis membris procedat, à sanis quidem sanum, à morbidis morbosum, 2 fiatque ut ex calvis calvi gignantur, ex cæsiis cæsii, & utplurimum distortus distortum generet, eademque ratio sit circa reliquas formas: quid prohiberet

γος· τί κωλύει καὶ ἐκ μακροκεφάλων μακροκέφαλον γίνεσθαι; [3] νῦν δὲ ὁμοίως "οὐκέτι 77 γίνονται ὡς πρότερον. [4] ὁ γὰρ νόμος οὐκ ἔτι ἰσχύει, διὰ τὴν ὁμιλίην τῶν ἀνθρώπων. [5] περὶ μὲν οὖν τούτων οὕτως μοι δοκεῖ.

XXXVII. Περὶ δὲ τῶν ἐν Φάσει, [2] ἡ χώρη ἐκείνη ἑλώδης 10 ἐστὶ, καὶ θερμὴ, ' καὶ ὑδατώδης, καὶ δασεῖα· [3] ὄμβροι τε αὐτόθι γίνονται πᾶσαν ὥρην πολλοί τε καὶ ἰσχυροί. [4] ἥ τε δίαιτα τοῖς ἀνθρώποις ἐν τοῖς ἕλεσίν ἐστι. [5] τά τε οἰκήματα ξύλινα καὶ καλάμινα ἐν ὕδασι μεμηχανημένα. [6] ὀλίγη τε χρέονται βαδίσει κατὰ τὴν πόλιν, καὶ τὸ ἐμπόριον[7] ἀλλὰ μονοξύ- 78 λοις διαπλέουσιν ἄνω καὶ κάτω· [8] διώρυγες γὰρ πολλαί εἰσιν. [9] τὰ δὲ ὕδατα θερμὰ καὶ στάσιμα πίνουσιν, ὑπό τε τοῦ ἡλίου σηπόμενα, καὶ ὑπὸ τῶν ὄμβρων ἐπαυξόμενα. [10] αὐτός 15 τε ὁ Φάσις στασιμώτατος πάντων τῶν ποταμῶν, καὶ ῥέων ἠπιώτατα. [11] οἵ τε καρποὶ γινόμενοι αὐτόθι [5] πάντες " ἀναλ- 79 δέες εἰσὶ καὶ τεθηλυσμένοι καὶ ἀτελέες ὑπὸ πολυπληθείης τοῦ ὕδατος. [12] διὸ καὶ οὐ πεπαίνονται, [13] "ἠήρ τε πολὺς κατέχει τὴν χώρην 80 ἀπὸ τῶν ὑδάτων.

XXXIIX. Διὰ ταύτας δὴ τὰς προφάσιας τὰ εἴδεα ἀπηλλαγμένα τῶν λοιπῶν ἀνθρώπων ἔχουσιν οἱ Φασιηνοί. [2] τά τε γὰρ μεγέθη μεγάλοι· τὰ πάχεα δ' ὑπερπαχέες. [3] ἄρθρον τε κατάδηλον οὐδὲν, οὐ- 20 δὲ φλέψ. [4] ' τήν τε χροιὴν ὠχρὴν

hibetet ut non ex Macrocephalis Macrocephali gignerentur? [3] Nunc autem non nascuntur ita magnis capitibus quemadmodum ' prius, [4] quum consuetu- 60 do non amplius duret, per incuriam hominum intercepta. [5] Et de his quidem hæc sufficiant.

XXXVII. De illis autem qui Phasim accolunt, adiiciam. [2] Regio eorum palustris est, calida, aquosa & densa, [3] imbresque in eam decidunt omnibus temporibus & magni & impetuosi, [4] homines vero ipsi vitam agunt in paludibus, [5] domosque ligneas & ex atundinibus in ipsis aquis habent extructas, [6] neque multum inde prodeunt, ut 'adeant vel emporia 65 vel urbes: [7] verum naviculis ex uno ligno fabrefactis permeant sursum ac deorsum, [8] habent enim fossas ac ductus aquarum plurimos. [9] Bibunt autem aquas calidas & stagnantes, quæ & a sole sunt putrefactæ, & ab imbrium casu auctæ. [10] Ipseque fluvius Phasis omnium fluviorum stagnantissimus est, & qui lentissimo cursu profluat: [11] fructus autem qui illic nascuntur omnes insalubres sunt, 'eviati imperfectique præ mul- 70 titudine aquarum, [12] neque unquam maturescunt. [13] Atque quum multus aer ab aquis regionem occupet.

XXXVIII. Ob hanc ipsam causam, quod ad formam ac corporum speciem attinet, Phasiani sunt a reliquis hominibus longe diversi. [2] Sunt enim magnitudine ingenti, ac corpulentia valde excellenti: [3] neque iuncturæ eorum ullæ, neque venæ comparent: [4] pallidumque præ

ἀχροίην ἔχουσιν, ὥσπερ ὑπὸ ἰκτέρου ἐχόμενοι. [5] φθέγγονταί τε βαρύτατον ἀνθρώπων, τῷ ἠέρι χρεώμενοι οὐ λαμπρῷ, ἀλλὰ γνοφώδεϊ τε καὶ διερῷ. [6] πρός τε τὰς ταλαιπωρίας τὰ σώματα ἀργότεροι πεφύκασιν. [7] αἵ τε ὧραι οὐ πολὺ μεταλλάσσουσιν, οὔτε πρὸς τὸ πνῖγος, οὔτε πρὸς τὸ ψῦχος. [8] τά τε πνεύματα πολλὰ νότια, πλὴν αὔρης μιῆς ἐπιχωρίης. [9] αὕτη δὲ πνέει ἐνίοτε βίαιος καὶ χαλεπὴ καὶ θερμή· [10] καὶ κέγχρονα ὀνομάζουσι τοῦτο τὸ πνεῦμα. [11] ὁ 25 δὲ Βορέης οὐ σφόδρα ἀφικνέεται· ὁκόταν δὲ πνέῃ, ἀσθενὴς καὶ βληχρός. [12] καὶ περὶ μὲν τῆς φύσιος, καὶ τῆς διαφορῆς, καὶ τῆς μορφῆς τῶν ἐν τῇ Ἀσίῃ καὶ τῇ Εὐρώπῃ, οὕτως ἔχει.

XXXIX. Περὶ δὲ τῆς ἀθυμίης τῶν ἀνθρώπων καὶ τῆς ἀνανδρείης, ὅτι ἀπολεμώτεροί εἰσι τῶν Εὐρωπαίων οἱ Ἀσιηνοί, καὶ ἡμερώτεροι τὰ ἤθεα, [2] αἱ ὧραι αἴτιαι μάλιστα, οὐ μεγάλας τὰς μεταβολὰς ποιεύμεναι, οὔτε ἐπὶ τὸ θερμὸν, οὔτε ἐπὶ τὸ ψυχρὸν, ἀλλὰ παραπλήσιαι. [3] οὐ γὰρ γίνονται ἐκπλήξιες 30 τῆς γνώμης, οὔτε μετάστασις ἰσχυρὴ τοῦ σώματος. [4] ἀφ' ὅτων εἰκὸς τὴν ὀργὴν ἀγριοῦσθαί τε, καὶ τοῦ γνώμονος καὶ [τοῦ] θερμοῦ μετέχειν μᾶλλον, ἢ ἐν τῷ αὐτέῳ αἰεὶ ἐόντα. [5] αἱ γὰρ μεταβολαί εἰσι τῶν πάντων, αἵ τε ἐγείρουσι τὴν γνώμην τοῦ ἀνθρώπου, καὶ οὐκ ἐῶσιν ἀτρεμίζειν. [6] διὰ ταύτας ἐμοὶ δοκέει τὰς προφάσιας ἄναλκες εἶναι τὸ γένος τὸ Ἀσιηνόν· [7] καὶ προσέτι διὰ τοὺς νόμους. [8] τῆς

præ se ferunt semper colorem, quemadmodum qui regio sunt obnoxii morbo: [5] loquuntur autem ut si qui alii omnium hominum grauissime, nimirum aëre utentes non sereno, sed obscuro, & maxime humectato. [6] Sunt insuper ad laborem à natura ipsa segniores: [7] annique tempora non varias habent, neque ad æstum, neque ad frigus permutationes. [8] Venti autem eis sunt plurimi austrini omnes, præter unum ejus regionis proprium & indigenam, [9] qui aliquando violentior ac molestior calidus existens spirat, [10] quem Cenchrona patrio vocabulo appellant. [11] Verum Boreas non valde ad eos pertransit: quod si aliquando spirat, debilis tamen existit ac valde lenis. [12] De natura ergo ac diversitate & forma eorum qui Asiam & Europam incolunt, ita habet.

XXXIX. Quod autem timidiores, effœminatiores, & ac imbelles præ Europæis Asiani existant, moribusque mansuetiores, [2] tempora ipsa anni in causa sunt, quæ non magnas permutationes faciunt, neque caloris, neque frigoris, sed semper æqualia permanent: [3] unde neque mentes stupore percelluntur, neque corpora fortem transmutationem incurrunt: [4] à quibus verisimile est iram exasperari, cognitionemque & calorem amplius excitari, quæ si semper in eodem statu quis persistat. [5] Mutationes enim sunt quæ hominis mentem semper excitant, neque finunt quiescere. [6] Propter quas sane causas imbelle universum Asianorum genus existit, [7] atque adhuc amplius propter leges. [8] Mul-

8 τῆς γὰρ Ἀσίης τὰ πολλὰ βασιλεύεται.

XL. Ὅκου δὲ μὴ αὐτοὶ ἑωυτέων εἰσὶ καρτεροὶ ἄνθρωποι, μηδὲ αὐτόνομοι, ἀλλὰ δεσπόζονται, 2 οὐ περὶ τούτου αὐτοῖσιν ὁ λόγος ἐστὶν, ὅπως τὰ πολέμια ἀσκήσωσιν, ἀλλ' ὅκως μὴ δόξωσι μάχιμοι εἶναι. 3 οἱ γὰρ κίνδυνοι οὐχ ὅμοιοί εἰσι. 4 τοὺς μὲν γὰρ στρατεύεσθαι εἰκὸς, καὶ ταλαιπωρέειν, καὶ ἀποθνήσκειν ἐξ ἀνάγκης ὑπὲρ τῶν δεσποτέων, 5 ἄπο τε παιδίων καὶ γυναικὸς ἐόντας, καὶ τῶν λοιπῶν φίλων. 6 καὶ ὁκόσα μὲν ἂν χρηστὰ καὶ ἀνδρεῖα ἐργάσωνται, οἱ δεσπόται ἀπ' αὐτέων αὔξονταί τε καὶ ἐκφύονται· 7 τοὺς δὲ κινδύνους καὶ θανάτους αὐτοὶ καρποῦνται. 8 ἔτι δὲ πρὸς τούτοισι τῶν τοιούτων ἀνθρώπων ἀνάγκη ἐρημοῦσθαι τὴν γῆν ὑπό τε πολεμίων καὶ ἀργίης. 9 ὥστε καὶ εἴ τις φύσει πέφυκεν ἀνδρεῖος καὶ εὔψυχος, ἀποτρέπεσθαι τὴν γνώμην ἀπὸ τῶν νόμων.

XLI. Μέγα δὲ τεκμήριον τούτων. 2 ὁκόσοι γὰρ ἐν τῇ Ἀσίῃ Ἕλληνες ἢ βάρβαροι μὴ δεσπόζονται, ἀλλ' αὐτόνομοί εἰσι, καὶ ἑωυτέοισι ταλαιπωρεῦσιν, οὗτοι μαχιμώτατοί εἰσι πάντων. 3 τοὺς γὰρ κινδύνους ἑωυτέων πέρι κινδυνεύουσι, 4 καὶ τῆς ἀνδρείης αὐτοὶ τὰ ἆθλα φέρονται, καὶ τῆς δειλίης τὴν ζημίην ὡσαύτως. 5 εὑρήσεις δὲ καὶ τοὺς Ἀσιηνοὺς διαφέροντας αὐτοὺς ἑωυτέων, τοὺς μὲν βελτίονας, τοὺς δὲ φαυλοτέρους ἐόντας. 6 τουτέων δὲ αἱ μεταβολαὶ αἴτιαι τῶν ὡρέων, ὥσπερ μοι εἴρηται ἐν τοῖς προ-

8 Multo maxima enim Asiæ pars sub regibus est.

XL. Ubi autem non in sua potestate vivunt homines, neque sui juris sunt, sed dominis subjecti, 2 ibi non multum curiosi sunt quo modo se ad bellum apparent, imo magis hoc curant, ut ne bellicosi videantur. 3 Pericula enim eis non æqualia instant. 4 Nam hi in militiam proficisci, laboresque perferre, ac mortem oppetere pro dominis suis coguntur, 5 relictis interim domi liberis, uxoribus ac reliquis amicis: 6 atque siquidem viriliter & feliciter bellum gesseriot, dominis inde commoda accedunt, eorumque facultates inde augentur: 7 verum ipsis præter pericula & cædes nihil demetitur. 8 Proinde neque his hominibus regionem frequenter habitatam esse necesse est, imo eam propter inertiam bellicam ac otium a plerisque relinqui. 9 Ut enim quisque maxime a natura virilis & magnanimus est, ita plurimum ejus animus leges aversatur.

XLI. Cujus rei magnum indicium vel inde habere licet. 2 Quod quicunque in Asia Græci itemque Barbari dominis non subsunt, sed jure suo degunt, subipsisque omnes labores lucrifaciunt, illi bellicosissimi omnium existunt. 3 Periclitantur enim ipsi sibi, 4 virilitatisque præmia ipsi reportant, sicut timiditatis ac ignaviæ pœnam luunt pariter. 5 Invenias autem & Asianos ipsos inter se plurimum differentes, generosiores alios, alios degeneres, 6 quorum omnium causa ad temporum mutationes est referenda, quemadmodum & in præceden-
tibus

σκληρότεροισι. 7 καὶ περὶ μὲν τῶν ἐν τῇ Ἀσίῃ οὕτως ἔχει.

XLII. Ἐν δὲ τῇ Εὐρώπῃ ἐστὶν ἔθνος Σκυθικὸν, ὃ περὶ τὴν λίμνην οἰκεῖ τὴν Μαιῶτιν, διαφέρον τῶν ἐθνέων τῶν ἄλλων. 2 Σαυρομάται καλεῦνται. 3 τούτων αἱ γυναῖκες ἱππάζονταί τε καὶ τοξεύουσι, καὶ ἀκοντίζουσιν ἀπὸ τῶν ἵππων, καὶ μάχονται τοῖς πολεμίοις, ἕως ἂν παρθένοι ἔωσιν. 4 οὐκ ἀποπαρθενοῦνται δὲ, μέχρις ἂν τῶν πολεμίων τρεῖς ἀποκτείνωσι. 5 καὶ οὐ πρότερον ξυνοικέουσιν, ἥπερ τὰ ἱερὰ θύσωσι τὰ ἐν τῷ νόμῳ. 6 ἣ δ' ἂν ἄνδρα ἑωυτῇ ἄρηται, παύεται ἱππαζομένη, ἕως ἂν μὴ ἀνάγκη καταλάβῃ παγκοίνου στρατείης. 7 τὸν δεξιὸν δὲ μαζὸν οὐκ ἔχουσι. 8 παιδίοις γὰρ ἐοῦσιν ἔτι νηπίοις αἱ μητέρες χάλκεον τετεχνημένον ἐπ' αὐτῷ τούτῳ διάπυρον ποιέουσαι, πρὸς τὸν μαζὸν τιθέασι τὸν δεξιὸν, καὶ ἐπικαίεται, 9 ὥστε τὴν αὔξησιν φθείρεσθαι, ἐς δὲ τὸν δεξιὸν ὦμον καὶ βραχίονα πᾶσαν τὴν ἰσχὺν καὶ τὸ πλῆθος ἐνδιδόναι.

XLIII. Περὶ δὲ τῶν λοιπῶν Σκυθέων τῆς μορφῆς, ὅτι αὐτοὶ αὐτοῖσιν ἐοίκασι, καὶ οὐδαμῶς ἄλλοις· 2 ωὑτὸς λόγος καὶ περὶ τῶν Αἰγυπτίων, πλὴν ὅτι οἱ μὲν ὑπὸ τοῦ θερμοῦ εἰσὶ βεβιασμένοι, οἱ δ' ἀπὸ τοῦ ψυχροῦ. 3 ἡ δὲ Σκυθέων ἐρημίη καλεομένη, πεδιάς ἐστι, καὶ λειμακώδης, καὶ ψιλὴ, καὶ ἔνυδρος μετρίως. 4 ποταμοὶ γάρ εἰσι μεγάλοι, οἳ ἐξοχετεύουσι τὸ ὕδωρ ἐκ τῶν πεδίων.

XLIV. Ἐνταῦθα καὶ οἱ Σκύθαι διαιτεῦνται, Νομάδες δὲ καλεῦνται, ὅτι οὐκ ἔστιν οἰκήματα, ἀλλ' ἐν ἁμάξαις οἰκεῦ-

tibus dixi. 7 Atque sic quidem habet in Asia.

XLII. In Europa vero genus hominum est Scythicum, circa paludem habitans Mæotim, quod a reliquis gentibus maxime differt, 2 Sauromatæ appellantur. 3 Horum fœminæ equites sunt, arcubus utuntur, ac sagittas jaculantur ex equis, cum hostibus congredientes, dum virgines existunt: 4 neque devirginantur prius, quam hostium tres confecerint, 5 neque prius maritis cohabitant, quam sacra deo patrio more fecerint. 6 Quod si qua sibi virum acceperit, ab equitatu libera est, nisi necessitas cogat communi expeditione omnes arma sumere. 7 Dexteram autem mammam non habent. 8 Nam puellis adhuc infantibus matres æreo instrumento in hunc usum parato, igneque candefacto eam auferunt, ac exurunt, 9 ne iterum succrescere contingat, atque ut omnis vis ac robur in dextrum humerum & brachium deferatur.

XLIII. Cæterum reliqui Scythæ quod ad formam attinet, ipsi sibi similes sunt, aliis dissimiles. 2 Sicut quoque Ægyptii ipsi inter se: præterquam quod hi a vehementi calore, illi ab intenso frigore sunt compressi. 3 Verum solitudo quæ Scythica dicitur, in planitie sita est, pratis abundans, sublimis & mediocriter aquosa. 4 Sunt enim fluvii in ea magni, in quos aqua ex campis per rivos deducitur.

XLIV. In hac itaque Scythæ degunt, qui Nomades vocantur, propterea quod nullas habeant domos, sed in curribus habi-

οἰκεῦσιν. [2] αἱ δὲ ἅμαξαί εἰσιν, αἱ μὲν ἐλάχισται τετράκυκλοι, αἱ δὲ ἑξάκυκλοι· [3] "αὗται δὲ πίλοισι περιπεφραγμέναι. [4] εἰσὶ δὲ καὶ τετεχνασμέναι, ὥσπερ οἰκήματα, τὰ μὲν ἁπλᾶ, τὰ δὲ τριπλᾶ. [5] "ταῦτα δὲ καὶ στεγνὰ πρὸς ὕδωρ, καὶ πρὸς χιόνα, καὶ πρὸς τὰ πνεύματα. [6] τὰς δὲ ἁμάξας ἕλκουσι ζεύγεα, τὰς μὲν δύο, τὰς δὲ τρία, βοῶν κέρως ἄτερ. [7] οὐ γὰρ ἔχουσι κέρατα ὑπὸ ψύχεος. [8] 'ἐν ταύτῃσι μὲν οὖν τῇσιν ἁμάξῃσιν [αἱ] γυναῖκες διαιτεῦνται. [9] αὐτοὶ δ' ἐφ' ἵππων ὀχεῦνται οἱ ἄνδρες. [10] ἕπονται δὲ αὐτέοισι " καὶ τὰ πρόβατα ἐόντα καὶ αἱ βόες καὶ οἱ ἵπποι. [11] μένουσι δ' ἐν τῷ αὐτέῳ τοσοῦτον χρόνον, ὅσον ἂν ἀπόχρῃ αὐτέοισι τοῖσι κτήνεσιν ὁ χόρτος· [12] ὁκόταν δὲ μηκέτι, ἐς ἑτέρην χώρην ἔρχονται. [13] αὐτοὶ δ' ἐσθίουσι κρέα ἑφθὰ, καὶ πίνουσι γάλα ἵππων, [14] "καὶ ἱππάκην τρώγουσι· τοῦτο δ' ἐστὶ τυρὸς ἵππων. [15] τὰ μὲν ἐς 'τὴν δίαιταν αὐτέων οὕτως ἔχει καὶ τοὺς νόμους. [16] περὶ δὲ τῶν ὡρέων καὶ τῆς μορφῆς, ὅτι πολὺ ἀπήλλακται τῶν λοιπῶν ἀνθρώπων τὸ Σκυθικὸν γένος, καὶ ἔοικεν αὐτὸ ἑωυτέῳ, ὥσπερ τὸ Αἰγύπτιον; [17] καὶ ἥκιστα πολύγονόν ἐστι, [18] καὶ ἡ χώρη ἐλάχιστα θηρία τρέφει κατὰ μέγεθος καὶ πλῆθος.

XLV. Κεῖται γὰρ ὑπ' αὐτῇσι τῇσιν ἄρκτοισι, καὶ τοῖς ὄρεσι τοῖς Ῥιπαίοισιν, ὅθεν ὁ βορέης πνέει· [2] ὅ, τε ἥλιος τελευτῶν ἐγγύτατα γίνεται, ὁκόταν ἐπὶ τὰς θερινὰς ἔλθῃ περιόδους, καὶ τότε ὀλίγον χρόνον θερμαίνει. [3] καὶ οὐ σφόδρα τὰ πνεύματα τὰ ἀπὸ τῶν θερμῶν πνέοντα ἀφικνέεται, ἢν μὴ ὀλιγάκις καὶ ἀσθενέα, [4] ἀλλ' ἀπὸ τῶν

habitant. [2] Sunt autem currus ex quibus minimi quatuor rotis, reliqui 'sex circumaguntur. [3] Sunt etiam luto obturati [4] ac instar domorum fabrefacti, aliqui simplici, aliqui etiam triplici tabulato: [5] unde robur illis inest adversus omnes injurias aquarum, nivis ac ventorum propellendas. [6] Trahunt currus aliquos quidem boum paria duo, aliquos tria, atque hi cornibus carent, [7] quum præ frigore regionis cornua eis non enascantur. [8] In his itaque curribus degunt mulieres. [9] In equis autem vehuntur viri. [10] Sequuntur autem simul oves, boves & equi. [11] Tandiu deinde in uno subsistunt loco, dum sufficit ipsis pecoribus pabulum, [12] quo deficiente in aliam regionem commigrant. [13] Vescuntur autem ipsi carnibus coctis: bibuntque lac equinum, [14] comedunt etiam hippacen, id autem est caseus equinus. [15] Hactenus ergo de victu & moribus diximus, [16] temporibusque anni ac formis, quæ à reliquis hominibus longissime 'sunt Scythiæ genti diversæ. Ipsa enim sibi inter se gens similis existit, quemadmodum & gens Ægyptiorum. [17] Minime autem fœcunda ea gens est: [18] regioque ipsa minimas feras enutrit, neque numero neque magnitudine insignes.

XLV. Sub ipsis enim Ursis riphæisque montibus sita est, unde boreas spirat, [2] Solque ipse supremo æstivo solstitio deficiens proxime accedit, ac tum quidem exiguo tempore calefacit. [3] Neque vero 'venti à calidis locis spirantes valde ad eam regionem penetrant, nisi parumper & debiles. [4] Verum ab

Ursis

τῶν ἄρκτων αἰεὶ πνέουσι πνεύματα ψυχρὰ, ἀπό τε χιόνος καὶ κρυστάλλων καὶ ὑδάτων πολλῶν. 5 οὐδέποτε δὲ τὰ ὄρεα ἐκλείπει. 6 ἀπὸ τούτων δὲ δυσοίκητά ἐστιν, 7 ἠήρ τε κατέχει πουλὺς τῆς ἡμέρης τὰ πεδία, καὶ ἐν ὑγροῖσι διαιτεῦνται. 8 ὥστε τὸν μὲν χειμῶνα 35 αἰεὶ εἶναι, ' τὸ δὲ θέρος ὀλίγας ἡμέρας, καὶ ταύτας μὴ λίην. 9 μετέωρα γὰρ τὰ πεδία καὶ ψιλὰ καὶ οὐκ ἐστεφάνωνται ὄρεσιν, 10 " ἀλλ' ἀνάντη ὑπὸ τῶν ἄρκτων 96 αὐτόθι.

XLVI. Καὶ τὰ θηρία οὐ γίνεται μεγάλα, ἀλλ' οἷά τέ ἐστιν ὑπὸ γῆν σκεπάζεσθαι. 2 ὁ γὰρ χειμὼν κωλύει, καὶ τῆς γῆς ἡ ψιλότης· 3 καί τοι οὐκ ἔστιν ἀλέα, οὐδὲ σκέπη. 4 αἱ γὰρ μεταβολαὶ τῶν ὡρέων οὐκ εἰσὶ μεγάλαι, οὐδὲ ἰσχυραὶ, ἀλλ' ὅμοιαι καὶ ὀλίγον μεταβάλλουσαι. 5 διότι καὶ τὰ εἴδεα ὅμοια αὐτὰ ἑωυτέοις 40 ' εἰσὶ, σίτῳ τε χρέονται αἰεὶ ὁμοίως, ἐσθῆτί τε τῇ αὐτέῃ καὶ θέρεος καὶ χειμῶνος, 6 τόν τε ἠέρα ὑδατεινὸν ἕλκοντες καὶ παχὺν, 7 πίνοντες ὕδατα ἀπὸ χιόνος καὶ παγετῶν, 8 τοῦ τε ταλαιπώρου ἀπεόντος. 9 οὐ γὰρ οἷόν τε τὸ σῶμα ταλαιπωρέεσθαι, οὐδὲ τὴν ψυχὴν, ὅκου μεταβολαὶ μὴ γίνονται ἰσχυραί. 10 διὰ ταύτας τὰς ἀνάγκας τὰ εἴδεα αὐτῶν παχέα ἐστὶ καὶ σαρκώδεα, 11 " καὶ 97 [τὰ] ἄρθρα ὑγρὰ καὶ ἄτονα. 12 αἵ τε κοιλίαι ὑγρόταται πασέων [δὲ] κοιλιῶν αἱ κάτω. 13 οὐ 45 ' γὰρ οἷόν τε νηδὺν ἀναξηραίνεσθαι ἐν τοιαύτῃ χώρῃ καὶ φύσει καὶ ὥρης καταστάσει, 14 ἀλλὰ διὰ πιμελήν τε καὶ ψιλὴν τὴν σάρκα,

Ursis venti procedentes sunt illic perpetuo frigidi, à nivibus, glacie imbribusque condensati: 5 qui nunquam à montibus decedunt, 6 ut propterea etiam ægre habitari possint. 7 Aërque ipse totum fere diem nubilus campos occupat. Ipsi vero in humidis locis degunt. 8 Et fere perpetua est ipsis hyems, æstas autem paucissimis diebus ' atque 149 illis non valde multa. 9 Sunt enim planities eminentiores, & nudæ, neque ullis montibus circumseptæ, 10 sed fere sub ipsis Ursis acclives.

XLVI. Neque feræ nascuntur illic magnæ, sed quales possibile est sub ipsa terra contegi. 2 Prohibet enim hyems & nuditas terræ, 3 quæ & diverticulis & umbraculis caret, 4 propter temporum anni mutationes, neque multas neque fortes, sed similes semper, vel parum admodum divariantes; 5 ' unde & formas 150 corporum inter se similes habent, quum eodem utantur victu & amictu, æstatis & hyemis tempore: 6 attrahuntque aërem aquosum condensatum, 7 aquam insuper bibentes à nivibus & glacie resolutam, 8 nullo etiam corporis exercitio accedente, 9 quum non verisimile sit corpus aut animum illis exercitationibus apta fieri, ubi non mutationes temporum fiunt fortes. 10 Propter quas causas formæ eorum sunt ' crassæ & carnosæ: 151 11 juncturæ vero humectæ & inefficaces, 12 ventriculique humidi omnes, maxime omnium tamen inferior alvus. 13 Nequit enim ipsa exsiccari in ejusmodi quum regionis, tum naturæ & temporis constitutione. 14 Sed pinguedine & nuditate carnis for-

σπέρμα· τά τε εἴδεα ἔοικεν ἀλλήλοισι, τά τε ἄρσενα τοῖς ἄρσεσι, καὶ τὰ θήλεα τοῖς θήλεσι. [15] τῶν γὰρ ὡρέων παραπλησίων ἐουσέων, φθοραὶ οὐκ ἐγγίγνονται οὐδὲ κακώσιες [ἐν] τῇ τοῦ γόνου ξυμπήξει, [16] ἢν μή τινος ἀνάγκης βιαίου τύχῃ ἢ νούσου.

XLVII. Μέγα δὲ τεκμήριον ἐς τὴν ὑγρότητα παρέξομαι. [2] Σκυθέων γὰρ τοὺς πολλοὺς, ἅπαντας [δὲ] ὅσοι Νομάδες, εὑρήσεις κεκαυμένους τούς τε ὤμους καὶ τοὺς βραχίονας, καὶ τοὺς καρποὺς τῶν χειρῶν, καὶ τὰ στήθεα, [καὶ τὰ] ἰσχία, καὶ τὴν ὀσφῦν, [3] δι' ἄλλ' οὐδὲν ἢ διὰ τὴν ὑγρότητα τῆς φύσιος καὶ τὴν μαλακίην. [4] οὐ γὰρ δύνανται οὔτε τοῖς τόξοις ξυντείνειν, οὔτε τῷ ἀκοντίῳ ἐμπίπτειν τῷ ὤμῳ, ὑπὸ ὑγρότητος καὶ ἀτονίης. [5] ὁκόταν δὲ καυθῶσιν, ἀναξηραίνεται ἐκ τῶν ἄρθρων τὸ πολὺ τοῦ ὑγροῦ, καὶ ἐντονώτερα μᾶλλον γίνεται, καὶ τροφιμώτερα, καὶ ἠρθρωμένα τὰ σώματα μᾶλλον. [6] ῥοικὰ δὲ γίνεται καὶ πλατέα· [7] πρῶτον μὲν, ὅτι οὐ σπαργανοῦνται, ὥσπερ ἐν Αἰγύπτῳ, οὐδὲ νομίζουσι, διὰ τὴν ἱππασίην, ὅκως ἂν ἔνεδροι ἐῶσιν. [8] ἔπειτα δὲ διὰ τὴν ἕδρην. [9] τά τε γὰρ ἄρσενα, ἕως ἂν οὐχ οἷά τε ἐφ' ἵππου ὀχέεσθαι, τὸ πολὺ τοῦ χρόνου κάθηνται ἐν τῇ ἁμάξῃ καὶ βραχὺ τῇ βαδίσει χρέεται, διὰ τὰς μεταναστάσιας καὶ περιελάσιας. [10] τὰ δὲ θήλεα θαυμαστὸν οἷον ῥοικὰ εἶναι τὰ εἴδεα.

XLIIX. Πυῤῥὸν δὲ τὸ γένος

formæ invicem sunt similes, masculorum masculis, & fœminarum fœmellis. [15] Tempora enim quum sint inter se similia, nullas corruptiones, neque malignitates inferunt in seminis genitalis mixturam ac compactionem, [16] nisi quiddam aliud fortuito vel casu contingat, aut à morbo.

XLVII. Magnum autem argumentum humiditatis corporum Scytharum hoc exhibebo. [2] Multos enim ipsorum, præcipue qui Nomades sunt, reperias exustos humeros ac brachia habentes manuumque juncturas, pectora, coxas, & lumbos, [3] nullam sane aliam ob causam, nisi ob humoris & molliciei naturæ detractionem. [4] Nam neque arcus intendere, neque telum torquere possunt præ impotentia humiditatis humerorum: [5] quum autem uruntur, humor ipse à juncturis exolvitur, fiuntque corpora ipsorum validiora, melius nutriuntur, & magis redduntur articulorum usu potentia. [6] Fluida vero fiunt ac lata [7] primum propterea quod fasciis non colligantur, quemadmodum fieri solet in Ægypto: deinde quod non animadvertunt quomodocunque inter equitandum equis insideant. [8] Postremum etiam propter desidiam perpetuam. [9] Masculi enim eorum antequam potentes fiant equos conscendere, atque in illis vehi, plurimum temporis desident in curribus, raroque prodeunt ut inambulent, propter exilia ac perpetuas circulationes. [10] Muliebrium autem corporum formæ ad miraculum usque fluxæ existunt.

XLVIII. Porro Scytharum

ἐστὶ τὸ Σκυθικὸν διὰ τὸ ψῦχος, οὐκ ἐπιγινομένου ὀξέος τοῦ ἡλίου. [2] ὑπὸ δὲ τοῦ ψύχεος ἡ λευκότης ἐπικαίεται, καὶ γίνεται πυῤῥή. [3] πολύγονον δὲ οὐχ οἷόν τε εἶναι φύσιν τοιαύτην. [4] οὔτε γὰρ τῷ ἀνδρὶ ἡ ἐπιθυμίη τῆς μίξιος γίνεται πολλὴ, [5] διὰ τὴν ὑγρότητα τῆς φύσιος, [6] καὶ τῆς κοιλίης τὴν μαλθακότητά τε καὶ τὴν ψυχρότητα, ἀφ' ὧν ἥκιστα εἰκὸς εἶναι ἄνδρα οἷόν τε λαγνεύειν. [7] καὶ ἔτι ὑπὸ τῶν ἵππων αἰεὶ κοπτόμενοι ἀσθενέες γίνονται ἐς τὴν μίξιν. [8] τοῖσι μὲν ἀνδράσιν αὗται αἱ προφάσιες γίνονται. [9] τῇσι δὲ γυναιξὶν, ἥ τε πιότης τῆς σαρκὸς καὶ [ἡ] ὑγρότης. [10] οὐ γὰρ δύνανται ἔτι ξυναρπάζειν αἱ μῆτραι τὸν γόνον. [11] οὔτε γὰρ ἐπιμήνιος κάθαρσις αὐτέῃσι γίνεται ὡς χρεών ἐστιν, ἀλλ' ὀλίγον καὶ διὰ χρόνου. [12] τό, τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς ξυγκλείεται, καὶ οὐχ ὑποδέχεται τὸν γόνον. [13] αὐταί δὲ ἀταλαίπωροι καὶ πιεραὶ, καὶ αἱ κοιλίαι ψυχραὶ καὶ μαλακαί. [14] καὶ ὑπὸ τουτέων τῶν ἀναγκαίων οὐ πολύγονόν ἐστι τὸ γένος τὸ Σκυθικόν.

XLIX. μέγα δὲ τεκμήριον αἱ οἰκέτιδες ποιέουσιν. [2] οὐ γὰρ φθάνουσι παρὰ ἄνδρα ἀφικνούμεναι, καὶ ἐν γαστρὶ ἴσχουσι, διὰ τὴν ταλαιπωρίην καὶ ἰσχνότητα τῆς σαρκός. [3] ἔτι τε πρὸς τουτέοισιν εὐνουχίαι γίνονται οἱ πλεῖστοι ἐν Σκύθῃσι, καὶ γυναικεῖα ἐργάζονται, καὶ ὡς αἱ γυναῖκες, διαλέγονταί τε ὁμοίως. [4] καλεῦνται δὲ οἱ τοιοῦτοι ἀνάνδριες. [5] οἱ μὲν ἐπιχώριοι τὴν αἰτίην προστιθέασι θεῷ, καὶ σέβονται τουτέους τοὺς ἀνθρώ-

gens fulvi valde coloris existit propter frigus ingens. Non enim vehemens accedit ad eos sol, [2] à frigore vero albedo exuritur & fit fulva. [3] Neque vero possibile est fœcundam esse eorum naturam, [4] quum viri minime cupidi sint cum fœminis commisceri, [5] ob nimiam corporis liquiditatem, [6] ventrisque mollitiem ac frigiditatem: quæ causæ apparent minime viros ad coitum incitari. [7] Accedit his lassitudo ex continua equitatione contracta, quæ eos ad commistionem reddit impotentiores, [8] atque hæ sunt causæ cur viri infœcundiores putentur. [9] Mulieres pinguedo carnis & humiditas steriles facit, [10] præ quibus uteri earum genitale semen nequeunt continere. [11] Lunares namque purgationes eis non eveniunt quemadmodum est necesse, sed minus & intempestive per longius tempus. [12] Ipsumque amplius uteri os præ pinguedine concluditur, ut nequeat semen suscipere. [13] Sunt enim otiosæ & pingues, ventresque earum frigidi & molles, [14] unde necessario sequitur non multum fœcundam Scytharum gentum esse.

XLIX. Cujus rei famulæ earum indicium exhibent. [2] Nam hæ viris misceri plurimum gaudent, in uteroque conceptum continent, propter corporis exercitium frequens carnisque gracilitatem. [3] Amplius autem plurimi Scythæ eunuchi fiunt, & muliebria officia obeunt, instarque fœminarum omnia faciunt & loquuntur. [4] vocanturque hi effœminati. [5] Et regionis quidem incolæ causam ad deum referunt, coluntque hos ipsos homines

ἀνθρώπους, καὶ προσκυνέουσι, δεδοικότες περί τε ωυτέων ἕκαστοι. [6] ἐμοὶ δὲ καὶ αὐτέῳ δοκέει ταῦτα τὰ πάθεα θεῖα εἶναι καὶ τἄλλα πάντα· [7] καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον, οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα θεῖα. [8] ἕκαστον δὲ ἔχει φύσιν τῶν τοιουτέων, καὶ οὐδὲν ἄνευ φύσιος γίνεται. [9] καὶ τοῦτο τὸ πάθος ὥς μοι δοκέει γίνεσθαι, φράσω.

L. Ὑπὸ τῆς ἱππασίης αὐτέους κέδματα λαμβάνει, ἅτε αἰεὶ κρεμαμένων ἀπὸ τῶν ἵππων τοῖν ποδοῖν. [2] ἔπειτα ἀποχωλοῦνται καὶ ἕλκονται τὰ ἰσχία. [3] οἳ [δ'] ἂν σφόδρα νοσήσωσιν. [4] ἰῶνται δὲ σφᾶς αὐτοὺς τρόπῳ τοιῷδε. [5] ὁκόταν ἄρχηται ἡ νοῦσος, ὄπισθεν τῶν ὤτων ἑκατέρην φλέβα τάμνουσιν. [6] ὅταν δὲ ἀπορρυῇ τὸ αἷμα, ὕπνος ὑπολαμβάνει ὑπὸ ἀσθενείας, καὶ καθεύδουσιν. [7] ἔπειτα ἀνεγείρονται, οἱ μέν τινες ὑγιέες ἐόντες, οἱ δ' οὔ.

LI. Ἐμοὶ μὲν οὖν δοκέει ἐν ταύτῃ τῇ ἰήσει διαφθείρεσθαι. [2] εἰσὶ γὰρ παρὰ τὰ ὦτα φλέβες, ἃς ἐάν τις ἐπιτάμῃ, ἄγονοι γίνονται οἱ ἐπιτμηθέντες. [3] ταύτας τοίνυν μοι δοκέουσι τὰς φλέβας ἐπιτάμνειν. [4] οἱ δὲ μετὰ ταῦτα ἐπειδὰν ἀφίκωνται παρὰ γυναῖκας, καὶ μὴ οἷοί τε ἔωσι χρῆσθαι σφίσιν αὐτοῖς, τὸ πρῶτον οὐκ ἐνθυμοῦνται, ἀλλ' ἡσυχίην ἔχουσιν. [5] ὁκόταν δὲ δὶς καὶ τρὶς καὶ πλεονάκις αὐτέοισι πειρωμένοισι μηδὲν ἀλλοιότερον ἀποβαίνῃ, [6] νομίσαντές τι ἡμαρτηκέναι τῷ θεῷ, ὃν ἐπαιτιῶνται, ἐνδύονται στολὴν γυναικείην, καταγνόντες ἑωυτέων ἀνανδρείην. [7] γυναι-

mines & adorant, sibiipsis timentes ne quid tale accidat. [6] Mihi vero hi affectus divini quidem esse videntur, sicut & reliqui omnes, [7] neque ullum aliquem alio esse diviniorem aut humaniorem, sed divinos omnes: [8] verum unusquisque eorum suam propriam habet naturam: neque aliquis citra naturam accidit. [9] Quare quomodo hic affectus contingat, ut mihi videre videor, narrabo.

L. Ab equitatione ipsa diuturni eos corripiunt articulorum dolores, nimirum propendentibus semper ex equis eorum cruribus: [2] deinde claudi fiunt, contrahunturque coxendices [3] quum invaluerit morbus. [4] Medicantur autem sibiipsis hoc modo: [5] à principio morbi utranque venam retro aures incidunt, [6] quo facto sanguine multo promanante, somnus eos corripit præ imbecillitate, sicque obdormiscunt: [7] quorum quidem aliqui depulso somno sani exurgunt, aliqui vero minime.

LI. Atque mihi sane videntur ea medicatione seipsos perdere. [2] Venæ enim retro aures sunt, quas si quis secet, sterilitatem inferat his quibus secantur: [3] quare id etiam ipsis ex earum incisione accidere certum est. [4] Quando igitur postea uxores adeunt, impotentesque se factos vident cum illis coire, primum quidem nihil molestius cogitantes quiescunt: [5] quum autem bis aut ter, aut amplius frustra opus tentarunt, neque quicquam proficiunt, [6] mox putant se deum offendisse, in quem culpam rejiciunt, Induuntque se veste muliebri, palam se eviratos esse confitentes,

 [7] ad

7 γυναικίζουσί τε καὶ ἐργάζονται μετὰ τῶν γυναικῶν, ἃ καὶ ἐκεῖναι. 8 τοῦτο δὲ πάσχουσι Σκυθέων οἱ πλούσιοι, οὐχ οἱ κάκιστοι, ἀλλ' οἱ εὐγενέστατοι καὶ ἰσχὺν πλείστην κεκτημένοι, διὰ τὴν ἱππευσίην· 9 οἱ δὲ πένητες ἧσσον· οὐ γὰρ ἱππάζονται. 10 καίτοι ἐχρῆν, ἐπεὶ θειότερον τοῦτο τὸ νόσευμα τῶν λοιπῶν ἐστιν, οὐ τοῖς γενναιοτάτοις τῶν Σκυθέων καὶ τοῖς πλουσιωτάτοις προσπίπτειν μούνοις, 11 ἀλλὰ τοῖς ἅπασιν ὁμοίως, καὶ μᾶλλον τοῖσιν 'ὀλίγα κεκτημένοισιν, οὐ τιμωμένοισιν ἤδη, 12 εἰ χαίρουσιν οἱ θεοὶ καὶ θαυμαζόμενοι ὑπ' ἀνθρώπων, καὶ ἀντὶ τουτέων χάριτας ἀποδιδοῦσιν. 13 εἰκὸς γὰρ, τοὺς μὲν πλουσίους θύειν πολλὰ τοῖς θεοῖς, καὶ ἀνατιθέναι ἀναθήματα, ἐόντων χρημάτων, καὶ τιμᾶν· 14 τοὺς δὲ πένητας ἧσσον, διὰ τὸ μὴ ἔχειν, ἔπειτα καὶ ἐπιμεμφομένους, ὅτι οὐ διδόασι χρήματα αὐτέοισιν. 15 ὥστε τῶν τοιουτέων 'ἁμαρτιῶν τὰς ζημίας τοὺς ὀλίγα κεκτημένους φέρειν μᾶλλον, ἢ τοὺς πλουσίους. 16 ἀλλὰ γὰρ, ὥσπερ καὶ πρότερον ἔλεξα, θεῖα μὲν καὶ ταῦτά ἐστιν ὁμοίως τοῖς ἄλλοις· 17 γίνεται δὲ κατὰ φύσιν ἕκαστα. 18 καὶ ἡ τοιαύτη νοῦσος ἀπὸ τοιαύτης προφάσιος τοῖσι Σκύθῃσι γίνεται, οἵην εἴρηκα. 19 ἔχει δὲ καὶ κατὰ τοὺς λοιποὺς ἀνθρώπους ὁμοίως.

LII. Ὅκου γὰρ ἱππάζονται μάλιστα καὶ 'πυκνότατα, ἐκεῖ πλεῖστοι ὑπὸ κεδμάτων καὶ ἰσχιάδων καὶ ποδαγριῶν ἁλίσκονται, καὶ λαγνεύειν κάκιστοί εἰσι. 2 ταῦτα δὲ τοῖσι Σκύθῃσι πρόσ-

7 ad mulierumque contubernia transeunt, carum opera tractantes. 8 Hoc itaque malo ditissimi Scytharum afficiuntur, minime vero infimi. Imo qui maxime & genere & potentia prævalent, ex nulla alia, quam continuæ 'equitationis causa hoc perpetiuntur: 9 pauperes vero minus, quum non multum equitent. 10 Unde si hæc affectio aliis divinior censenda esset, non nobilissimis, non ditissimis Scytharum fere solis accideret: 11 sed esset omnibus æqualiter peculiaris. Imo magis invaderet pauperes circa cultum deorum negligentiores, 12 si saltem gaudent dii in hominum admiratione constitui, & pro hoc beneficia hominibus retribuunt. 13 Divites enim 'sæpius diis sacra faciunt, victimas offerunt, statuas erigunt coluntque, quum pecuniis abundent: 14 pauperes autem minus id faciunt, quum non habeant: quinetiam aliquando deos detestantur, qui eis opes non suppeditent, 15 ut verisimilius esset, pauperes ac parum abundantes hoc malo propter crimina sua puniri, quam divites & qui opibus abundant. 16 Verum (sicut & prius dixi) divinus quidem hic affectus est, 17 secundumque naturam 'accidit similiter ut alii omnes: 18 neque alia ejus causa quam ea quam dixi, Scythis existit. 19 Simili autem modo & reliquis hominibus evenit.

LII. Ubi enim frequenter & continue homines equitant: ibi plurimi à diuturnis doloribus articulorum, coxendicumque maxime & pedum corripiuntur, ad coitumque fiunt impotentes: 2 quæ omnia mala Scytharum genti

τι. καὶ ἀσυνεχέστατοί εἰσιν ἀνθρώπων διὰ τὰς προφάσιας, 3 καὶ ὅτι ἀναξυρίδας ἔχουσιν αἰεὶ, 4 καί εἰσιν ἐπὶ τῶν ἵππων τὸ πλεῖστον τοῦ χρόνου, 5 ὥστε μήτε χειρὶ ἅπτεσθαι τοῦ αἰδοίου, ὑπό τε τοῦ ψύχεος καὶ τοῦ κόπου ἐπιλαθέσθαι τοῦ ἱμέρου καὶ τῆς μίξιος, 6 καὶ μηδὲν παρακινεῖν πρότερον, ἢ ἀνανδρωθῆναι. 7 περὶ μὲν οὖν τῶν Σκυθέων οὕτως ἔχει τοῦ γένεος.

LIII. Τὸ δὲ λοιπὸν γένος τὸ ἐν τῇ Εὐρώπῃ διάφορον αὐτὸ ἑωυτῷ ἐστι, καὶ κατὰ τὸ μέγεθος, καὶ κατὰ τὰς μορφὰς, 2 διὰ τὰς μεταλλαγὰς τῶν ὡρέων, ὅτι μεγάλαι γίνονται καὶ πυκναί. 3 καὶ θάλπη τε ἰσχυρὰ, καὶ χειμῶνες καρτεροί· 4 καὶ ὄμβροι πολλοὶ, καὶ αὖθις αὐχμοὶ πολυχρόνιοι, καὶ πνεύματα, ἐξ ὧν μεταβολαὶ πολλαὶ καὶ παντοδαπαί. 5 ἀπὸ τουτέων εἰκός ἐστι γίνεσθαι καὶ τὴν γένεσιν ἐν τῇ ξυμπήξει τοῦ γόνου ἄλλην, 6 καὶ μὴ τῷ αὐτῷ τὴν αὐτὴν γίνεσθαι, ἔν τε τῷ θέρει καὶ τῷ χειμῶνι, μηδὲ ἐν ἐπομβρίῃ καὶ αὐχμῷ. 7 διότι τὰ εἴδεα διηλλάχθαι νομίζω τῶν Εὐρωπαίων μᾶλλον ἢ τῶν Ἀσιηνῶν, 8 καὶ τὰ μεγέθη διαφορώτατα αὐτὰ ἑωυτοῖσιν εἶναι κατὰ πόλιν ἑκάστην. 9 αἱ γὰρ φθοραὶ πλείονες ἐγγίνονται τοῦ γόνου ἐν τῇ ξυμπήξει ἐν ταῖς μεταλλαγαῖς τῶν ὡρέων πυκναῖς ἐούσαις, ἢ ἐν τῇσι παραπλησίῃσι καὶ ὁμοίῃσι. 10 περὶ δὲ τῶν ἠθέων ὁ αὐτὸς λόγος. 11 τό, τε [γὰρ] ἄγριον, καὶ τὸ ἀμείλι-

genti adſunt. Atque propterea Scythæ omnium hominum minime ſunt ad coitum valentes. 3 & quod anaxyridas (braccarum ſive fœminalium id genus eſt) ſemper habent, 4 & plurimum temporis in equis deſides degunt, 5 ut neque manu tractare pudenda liceat, atque præ frigore & laſſitudine voluptatis ac jucunditatis coeundi obliviſcantur, 6 neque prius aliud ſibi faciendum putent, quam ut evirati fiant. 7 Hactenus ergo de Scytharum gente recenſui.

LIII. Reliquum autem in Europa hominum genus valde inter ſe diſſimile eſt & diverſum, tum quod ad magnitudinem attinet, tum quod ad formam: 2 atque id propter temporum mutationes contingit apud eos magnas & frequentes. 3 Sunt enim eis calores vehementes, & hyemes fortes, 4 pluviæ multæ, rurſumque ſiccitas diutina, & venti plurimi, ex quibus multæ & omnimodæ fiunt tranſmutationes. 5 Neque à vero diſcrepat circa generationem, has ipſas mutationes ſentiri, inque ſeminis genitalis coactione aliam, 6 neque ex eodem etiam eandem, æſtatis pariter ut hyemis, pluvioſo ut ſicco tempore, progigni. 7 Eaque cauſa eſt, cur putem Europæos magis quam Aſianos ſecundum corporum formas inter ſe diſcrepare, 8 & magnitudines diverſiſſimas in ſingulis adeo urbibus provenire. 9 Plures enim corruptiones contingunt in ſeminis coactione, quum tempora frequenter variant, quam ſi eadem ſunt & ſimilia. 10 Eadem autem motuum ratio in utriſque exiſtit. 11 Feritas, integritas,

ἀμείλικτον, καὶ τὸ θυμοειδὲς ἐν τῇ τοιαύτῃ φύσει ἐγγίνεσθαι. [22] αἱ γὰρ ἐκπλήξιες πυκναὶ γινόμεναι τῆς γνώμης τὴν ἀγριότητα ἐντιθέασι, τὸ δὲ ἥμερόν τε καὶ ἤπιον ἀμαυροῦσι.

LIV. [1] Διότι εὐψυχοτέρους νομίζω τοὺς Εὐρώπην οἰκέοντας εἶναι, ἢ τοὺς τὴν Ἀσίην. [2] ἐν μὲν γὰρ τῷ αἰεὶ παραπλησίως αἱ ῥᾳθυμίαι ἔνεισιν, [3] ἐν δὲ τῷ μεταβαλλομένῳ αἱ ταλαιπωρίαι, τῷ [τε] σώματι καὶ τῇ ψυχῇ. [4] καὶ ἀπὸ μὲν ἡσυχίης καὶ ῥᾳθυμίης ἡ δειλίη αὔξεται· [5] ἀπὸ δὲ τῆς ταλαιπωρίης καὶ τῶν πόνων αἱ ἀνδρεῖαι. [6] διὰ τοῦτό εἰσι μαχιμώτεροι οἱ τὴν Εὐρώπην οἰκέοντες, [7] καὶ διὰ τοὺς νόμους, ὅτι οὐ βασιλεύονται, ὥσπερ οἱ Ἀσιηνοί. [8] ὅκου γὰρ βασιλεύονται, ἐκεῖ ἀνάγκη δειλοτάτους εἶναι. [9] εἴρηται δέ μοι καὶ πρότερον. [10] αἱ γὰρ ψυχαὶ δεδούλωνται, καὶ οὐ βούλονται παρακινδυνεύειν ἑκόντες εἰκῆ ὑπὲρ ἀλλοτρίης δυνάμιος. [11] ὅσοι δ' αὐτόνομοι, ὑπὲρ αὐτῶν γὰρ τοὺς κινδύνους αἱρεῦνται, καὶ οὐκ ἄλλων, προθυμεῦνται ἑκόντες, καὶ ἐς τὸ δεινὸν ἔρχονται. [12] τὰ γὰρ ἀριστεῖα τῆς νίκης αὐτοὶ φέρονται. [13] οὕτως οἱ νόμοι οὐχ ἥκιστα τὴν εὐψυχίην ἐργάζονται. [14] τὸ μὲν οὖν ὅλον καὶ τὸ ἅπαν οὕτως ἔχει, περί τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίης.

LV. [1] Ἔνεισι δὲ καὶ ἐν τῇ Εὐρώπῃ φῦλα διάφορα ἕτερα ἑτέροις, καὶ τὰ μεγέθεα, καὶ τὰς μορφάς, καὶ τὰς ἀνδρείας. [2] τὰ δὲ διαλλάσσοντα ταῦτά ἐστιν, ἃ καὶ ἐπὶ τῶν προτέρων εἴρηται. ἔτι δὲ σαφέστερον φράσω. [3] ὁκόσοι μὲν χώρην ὀρεινήν τε οἰκέουσι [καὶ] τρηχείην καὶ ὑψηλὴν

& audacia à natura Europæis innascitur. [22] Frequentes enim mentis perculsiones feritatem inducunt, mansuetudinem contra & benignitatem extirpant.

LIV. Quare etiam magnanimos magis eos, qui Europam incolunt, Asianis judico. [2] Siquidem similitudo & æqualitas segnitiem parit. [3] Mutatio autem & animum & corpus ad exercitationem excitat. [4] Augetur itaque à desidia & ocio timiditas, [5] ab exercitio vero & laboribus crescit virilitas. [6] Unde bellicosiores quoque Europæi extant, non ob hanc solum caussam, [7] sed & propter leges. non enim regibus obediunt quemadmodum Asiani. [8] Ubi enim sub regibus vivitur, ibi necesse est homines timidissimos esse, [9] quemadmodum & supra ostendi. [10] Servitute namque animi eorum pressi non libenter, neque volentes temere pro aliis se periculis exponunt, [11] Europæi autem suo jure viventes, quum pro seipsis pericula belli subeant, magna cupiditate feruntur, volentesque ac alacres difficultates omnes adgrediuntur, [12] ipsique sibi ex re bene gesta præmia reportant, [13] ut certum sit leges plurimum ad magnanimitatem conferre. [14] Tota itaque & universa res de Europa & Asia sic, ut retuli, habet,

LV. Cæterum Europa ipsa adhuc habet gentes invicem differentes, non magnitudine & forma solum, sed & magnanimitate ac fortitudine. [2] Quæ vero in eis hanc diversitatem faciant, in præcedentibus dixi, dicamque amplius magis manifeste. [3] Quicunque regionem montanam, asperam, nudam &

non

35 λίω καὶ ' ἄνυδρον, καὶ αἱ μεταβολαὶ αὐτέοισι γίνονται τῶν ὡρέων μέγα διάφοροι, [4] ἐνταῦθα εἰκὸς εἴδεα μεγάλα εἶναι, καὶ πρὸς τὸ ταλαίπωρον καὶ τὸ ἀνδρεῖον εὖ πεφυκότα. [5] καὶ τό, τε ἄγριον καὶ τὸ θηριῶδες αἱ τοιαῦται φύσιες ἔχουσιν ἥκιστα ἔχουσιν. [6] ὁκόσοι δὲ κοῖλα χωρία, καὶ λειμακώδεα, καὶ πνιγηρὰ [οἰκέουσι,] [7] καὶ τῶν θερμῶν πνευμάτων πλέον μέρος μετέχουσι ἢ τῶν ψυχρῶν, [8] ὕδασί τε χρέονται θερμοῖσιν, [9] οὗτοι δὲ μεγάλοι μὲν οὐκ ἂν εἴησαν, " οὐδὲ κανονίαι, ἐς εὖρος δὲ πεφυκότες,

40 ' καὶ σαρκώδεες, καὶ μελανότριχες. [10] καὶ αὐτοὶ μέλανες μᾶλλον ἢ λευκότεροι. [11] φλεγματίαι δὲ ἧσσον ἢ χολώδεες. [12] τό, τε ἀνδρεῖον καὶ ταλαίπωρον ἐν τῇ ψυχῇ φύσει μὲν " οὐκ ἂν ὁμοίως ἐνείη, νόμος δὲ προσγενόμενος ἀπεργάσαιτ' ἄν. [13] καὶ, εἰ μὲν ποταμοὶ ἐνείησαν ἐν τῇ χώρῃ, οἵ τινες ἐκ τῆς χώρης ἐξοχετεύουσι τό, τε στάσιμον καὶ τὸ ὄμβριον, οὗτοι ἂν ὑγιηροί τε εἴησαν καὶ λαμπροί. [14] εἰ μέντοι ποταμοὶ μὲν μὴ εἴησαν, τὰ δὲ ὕδατα κρηναῖά τε καὶ στάσιμα πίνοιεν καὶ

45 ἑλώδεα, ἀνάγκη τὰ ' τοιαῦτα " τὰ γαστρὸς ἀτηρέα εἶναι καὶ σπληνός.

LVI. 'Ὁκόσοι δὲ ὑψηλήν τε οἰκέουσι χώρην, " καὶ λείην, καὶ ἀνεμώδεα, καὶ ἔνυδρον, [2] εἶεν ἂν εἴδεα μεγάλοι, καὶ ἑωυτοῖς παραπλήσιοι· [3] αἱ ἀνδρότεραι δὲ καὶ ἡμερώτεραι αἱ [τούτων] γνῶμαι. [4] " ὁκόσοι δὲ λεπτά τε καὶ ἄνυδρα καὶ ψιλά, " τῇσι δὲ μεταβολῇσι τῶν ὡρέων οὐ κρηγύα[?]), [5] ἐν ταύτῃ τῇ χώρῃ τὰ εἴδεα εἰκὸς σκληρά τε εἶναι καὶ εὔτονα, καὶ ξανθότερα ἢ μελάντερα, [6]

50 καὶ τὰ ' ἤθεα " καὶ τὰς ὀργὰς αὐθάδεάς τε καὶ ἰδιογνώμονας. [7] ὅκου γὰρ μεταβο-

non aquosam incolunt, his mutitiones temporum contingunt magnæ & diversæ, [4] unde & hominum formas magnas progigni convenit, qui & ad laborem ' & ad viriliter agendum à natura præstent, [5] quibusque feritas & immanitas non mediocriter à natura sint congenita. [6] Qui vero loca concava, pratensia & æstuosa habitant, [7] ventosque calidos plus sentiunt quam frigidos, [8] & aquis utuntur calidis, [9] hi magni quidem esse non possunt, neque bene compositi & longi ac erecti, sed in amplitudinem à natura producti carnosi sunt, & capillis nigris. [10] Immo & ipsi toti nigri magis quam ' albi, [11] & qui minus de pituita habeant quam de bile. [12] Virilitas autem & tolerantia laboris non æque ipsis à natura inest, nisi consuetudo accedat, & hæc in eis efficiat. [13] Quod si flumina extent in ea regione, quæ stagnantes & pluvias aquas evehant, homines ipsi incolumes ac splendidi vivent. [14] Si vero flumina desint, aquasque puteorum stagnantes & olentes bibant, necesse est ab ipsis illis aquis & ventrem lædi & ' splenem.

LVI. Quicunque autem altam habitant regionem, planam, ventis expositam & aquosam, [2] eorum formæ magnæ ac invicem similes & erectæ. [3] Animi quoque eorum existunt mansuetiores. [4] Qui vero macra, aquis carentia, & nuda loca tenent, & quæ temporum mutationibus non sunt permixta, [5] horum formas necesse est esse asperas & vegetas, flavas magis quam nigras: [6] mores etiam eorum rigidi sunt, pertinaces & ' contumaces. [7] Ubi enim mutationes tem-

μεταβολαί εἰσι πυκνόταται τῶν ὡρέων, καὶ πλεῖστον διάφοροι αὐταὶ ἑωυτέῃσιν, [8] ἐκεῖ καὶ τὰ εἴδεα καὶ τὰ ἤθεα καὶ τὰς φύσιας εὑρήσεις πλεῖστον διαφερούσας.

LVII. Μέγισται μὲν οὖν εἰσιν αὗται τῆς φύσιος διαλλαγαί. [2] ἔπειτα δὲ καὶ ἡ χώρη, ἐν ᾗ ἄν τις τρέφηται, καὶ τὰ ὕδατα. [3] εὑρήσεις γὰρ ἐπὶ τὸ πλῆθος τῆς χώρης τῇ φύσει ἀκολουθέοντα καὶ [τὰ] εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς τρόπους. [4] ὅκου μὲν γὰρ ἡ γῆ πίειρα καὶ μαλθακὴ καὶ ἔνυδρος, καὶ τὰ ὕδατα [μὴ] κάρτα μετέωρα, ὥστε θερμὰ εἶναι τοῦ θέρεος, καὶ τοῦ χειμῶνος ψυχρά, καὶ τῶν ὡρέων καλῶς κέεται· [5] ἐνταῦθα καὶ οἱ ἄνθρωποι σαρκώδεές εἰσι καὶ ἄναρθροι καὶ ὑγροὶ καὶ ταλαίπωροι, [6] καὶ τὴν ψυχὴν κακοὶ ὡς ἐπὶ τὸ πολύ. [7] τό, τε [γὰρ] ῥᾴθυμον καὶ τὸ ὑπνηρόν ἐστιν ἐν αὐτέοισιν ἰδεῖν. [8] ἔς τε τὰς τέχνας παχέες, οὐ λεπτοί, οὐδ' ὀξέες.

LIIX. Ὅκου δ' ἐστὶν ἡ χώρη ψιλή τε καὶ ἀνώχυρος καὶ τρηχείη, καὶ ὑπὸ τοῦ χειμῶνος πιεζομένη, καὶ ὑπὸ τοῦ ἡλίου κεκαυμένη, [2] ἐνταῦθα σκληρούς τε καὶ ἰσχνοὺς καὶ διηρθρωμένους, καὶ ἐντόνους καὶ δασέας ἴδοις· [3] τό, τε ἐργατικὸν ὀξὺ ἐνεὸν ἐν τῇ φύσει τῇ τοιαύτῃ, καὶ τὸ ἄγρυπνον· [4] τά τε ἤθεα καὶ τὰς ὀργὰς αὐθάδεας καὶ ἰδιογνώμονας, τοῦ τε ἀγρίου μᾶλλον μετέχοντας ἢ τοῦ ἡμέρου· [5] ἔς τε τὰς τέχνας, ὀξυτέρους τε καὶ συνετωτέρους, [6] καὶ ἐς τὰ πολέμια ἀμείνους εὑρήσεις· [7] καὶ τἄλλα τὰ ἐν τῇ γῇ φυόμενα πάντα, ἀκόλουθα ἐόντα τῇ γῇ. [8] αἱ μὲν οὖν ἐναντιώταται φύσιές τε καὶ ἰδέαι ἔχουσιν οὕτως. [9] ἀπὸ δὲ τουτέων τεκμαιρόμενος τὰ λοιπὰ ἐνθυμέεσθαι, καὶ οὐχ ἁμαρτήσῃ.

temporum contingunt frequentes, & plurimum inter se diversæ, [8] ibi & formas, & mores, & naturas reperias plurimum differentes.

LVII. Temporum itaque varietates potissimæ sunt, quæ naturam ipsam permutant: [2] deinde etiam regio in qua quis nutritur: postremum autem aquæ. [3] Invenias enim fere semper & formas hominum & mores regionis naturæ compares. [4] Nam ubi terra pinguis est & mollis, & aquosa, aquæ autem valde sublimes, ita ut æstate calidæ sint, & hyeme frigidæ, & temporum ratio alias probe conveniat, [5] ibi & homines carnosi, articulis non adparentibus, humidi, laboris intolerantes, [6] & utplurimum maligni nascuntur: [7] segnitiesque & somnolentia eis inest multa: [8] suntque ad artes tractandas crassi, non acres aut subtiles.

LVIII. Ubi autem regio est nuda, natura munita & aspera, quæque & à frigore hyberno prematur, & à sole æstivo exuratur, [2] ibi duros & robustos, & articulis probe disjunctis, vegetosque & hirsutos reperias homines, [3] & in quibus à natura laboris tolerantia, & vigilantia insit: [4] quique mores habeant pertinaces, ad iram proclives & contumaces, magisque feritate participantes quam mansuetudine: [5] insuper ad artes etiam acutiores & plus solertes, [6] & ad res bellicas gerendas aptiores. [7] Quin & omnia quæ è terra proveniunt, terræ ipsius naturam resipiunt & sequuntur. [8] Atque hactenus quidem maxime contrarias corporum naturas & formas diximus: [9] è quibus conjectura facta, si quoque reliqua consideraveris, nunquam à vero aberrabis.

ΙΠΠΟΚΡΑΤΟΥΣ HIPPOCRATIS

ΠΕΡΙ / DE

ΤΟΠΩΝ ΤΩΝ ΚΑΤ' ΑΝΘΡΩΠΟΝ. LOCIS IN HOMINE.

Basil. græc. Foesius sect. IV, 78, 407. Basil. lat.

343 pag 63 25 Ἐμοὶ δοκέει ἀρχὴ μὲν οὐδεμία εἶναι τοῦ σώματος, ἀλλὰ πάντα ὁμοίως ἀρχὴ καὶ πάντα τελευτή. 2 κύκλου γὰρ γραφέντος ἀρχὴ οὐχ εὑρέθη. 3 καὶ τῶν μελέων ἐπὶ παντὸς ὁμοίως τοῦ σώματος, 4 τὸ μὲν ξηρότερον, πεφυκὸς νούσους λάζεσθαι, καὶ μᾶλλον πονέειν· τὸ δὲ ὑγρὸν, ἧσσον. 5 τὸ μὲν γὰρ ἐν τῷ ξηρῷ νόσημα πήγνυταί τε καὶ οὐ διαπαύει· 6 τὸ δ' ἐν τῷ ὑγρῷ, διαῤῥέει καὶ τοῦ σώματος ἄλλοτ' ἄλλο μάλιστα ἔχει, καὶ αἰεὶ μεταλλάσσον, ἀνάπαυσιν ποιέει, καὶ θᾶσσον παύεται, ὥστε οὐ πεπηγός.

30 II. Τοῦ δὲ σώματος τὰ μέλεα ἕκαστα τὸ ἕτερον τῷ ἑτέρῳ ὁπόταν ἔνθα ἢ ἔνθα ὁρμήσῃ, νοῦσον παραυτίκα ποιέει· 2 ἡ κοιλίη τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ, 3 καὶ τἄλλα πάντα οὕτω κατὰ λόγον, ὥσπερ ἡ κοιλίη τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ. 4 ἢν γὰρ κοιλίη ὁπόταν ὑπεκχώρησιν μὴ ποιέῃ τὴν μετρίην, καὶ ἐσίῃ [τὸ σιτίον] ἐς αὐτὴν, ἄρδει τῇ ὑγρότητι τὸ σῶμα τῇ ἀπὸ τῶν σιτίων τῶν ἐσφερομένων. 5 αὕτη δὲ ἡ ὑγρότης ἀπὸ τῆς 35 κοιλίης ἀποφρασσομένη ἐς τὴν κεφαλὴν ὁδοιπόρησιν ἀθρόη· 6 καὶ ἐς τὴν κεφαλὴν ἐπὴν ἀφίκηται, οὐ χωρουμένη ὑπὸ τῶν τευχέων τῶν ἐν τῇ κεφαλῇ, 7 ῥέει ᾗ ἂν τύχῃ, καὶ πέριξ τῆς κεφαλῆς, καὶ ἐς τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου· 8 καὶ ἡ μὲν ἐν τῷ ὀστέῳ ἐνδέδυκεν, ἡ δὲ περὶ τὸν ἐγκέφαλον διὰ

Mihi quidem videtur principium corporis nullum esse, sed omnia similiter principium, & omnia finis. 2 Circulo enim scripto principium non reperitur. 3 Similiter etiam morborum in toto corpore. 4 Quod enim siccius est, morbos magis recipere, ac magis dolere, à natura solet: humidum vero minus. 5 Morbus enim qui in sicco est, stabilitur & non cessat. 6 Qui vero in humido, diffluit, & alias aliam corporis partem occupat, & semper transmigrans requiem facit, & citius quoque sedatur, utpote non stabilitus.

II. Corporis autem singulæ partes, altera alteri, ubi hinc aut illinc processerit, morbum statim facit, 2 venter capiti, caput carnibus ac ventri, 3 & reliquæ omnes juxta eandem rationem, quemadmodum venter capiti, & caput carnibus ac ventri. 4 Etenim quum venter egestionem moderatam non fecerit, & in ipsum cibus ingeratur, humiditate ciborum ingestorum corpus irrigat. 5 Ipsa autem humiditas à ventre obstructa, acervatim ad caput viam facit, 6 & ubi ad caput pervenerit, à vasis in capite non recepta, 7 fluit quocunque contigerit, & circumcirca caput, & in cerebrum per os tenue, 8 & partim quidem os ipsum subit, partim vero circum

διὰ λεπτοῦ τοῦ ὀστέου. 9 καὶ, ἢν μὲν ἐς τὴν κοιλίην πάλιν ἀφίκηται, τῇ κοιλίῃ νοῦσον ἐμποιέει· 10 ἢν δ' ἄλλῃ πη τύχῃ, ἄλλην νοῦσον ποιέει. 11 καὶ τἄλλα οὕτως, ὥσπερ τοῦτο, τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιέει.

III. Καὶ κάλλιστ' ἂν οὕτως, θεραπεύοιντο τὰ νοσεύμενα διὰ τῶν τὰς νούσους ποιεόντων. 2 οὕτω γὰρ ἂν κάλλιστα τὴν ἀρχὴν τοῦ νοσεύματος ἰῷτο. 3 τὸ δὲ σῶμα αὐτὸ ἑωυτῷ ταὐτόν ἐστι, καὶ ἐκ τῶν αὐτῶν σύγκειται, 4 ὁμοίως δὲ οὐκ ἔχοντα καὶ τὰ σμικρὰ αὐτοῦ καὶ τὰ μεγάλα, καὶ τὰ κάτω καὶ τὰ ἄνω. 5 καὶ εἴ τις βούλεται τοῦ σώματος ἀπολαβὼν μέρος κακῶς ποιέειν τὸ σμικρότατον, πᾶν τὸ σῶμα αἰσθήσεται τὴν πεῖσιν, ὁποίη ἄν τις ᾖ, 6 διὰ τόδε, ὅτι τοῦ σώματος τὸ σμικρότατον πάντα ἔχει, ὅσα περ καὶ τὸ μέγιστον. 7 τοῦτο δ' ὁποῖον ἄν τι πάθῃ, τὸ σμικρότατον ἐπαναφέρει πρὸς τὴν ὁμοεθνίην, ἕκαστον πρὸς τὴν ἑωυτοῦ, ἤν τε κακὸν, ἤν τε ἀγαθὸν ᾖ. 8 καὶ διὰ ταῦτα καὶ ἀλγέει καὶ ἥδεται ὑπὸ ἔθνεος τοῦ σμικροτάτου τὸ σῶμα, 9 ὅτι ἐν τῷ σμικροτάτῳ πάντ' ἔνι τὰ μέρεα, καὶ ταῦτα ἐπαναφέρουσιν ἐς τὰ σφῶν αὐτῶν ἕκαστα, καὶ διαγγέλλουσι πάντα.

IV. Φύσις δὲ τοῦ σώματος, ἀρχὴ τοῦ ἐν ἰητρικῇ λόγου. 2 [καὶ] πρῶτον [μὲν τὸ σῶμα] διατέτρηται, ἡ ἐσακούομεν. 3 τὰ μὲν γὰρ περὶ τὰ ὦτα πέριξ κενεὰ, οὐκ ἐσακούει ἄλλο ἢ ψόφον καὶ ἰαχήν. 4 ὅ, τι δ' ἂν διὰ τῆς μήνιγγος ἐς τὸν ἐγκέφαλον ἐσέλθῃ, τοῦτο διαφραδέως ἀκούεται ταύτῃ. 5 καὶ μούνη τρῆσις διὰ τῆς μήνιγγός ἐστι περὶ τὸν ἐγκέφαλον περιτεταμένης. 6 κατὰ δὲ τὰς ῥῖνας τρῆμα μὲν οὐκ ἔνεστι, σομφὸν δὲ, 7 οἷον

cum cerebrum per os tenue. 9 Et siquidem in ventrem rursus pervenerit, ventri morbum inducit. 10 Si vero ad aliam aliquam partem incubuerit, illi ipsi morbum facit. 11 Ita etiam reliquae partes altera alteri morbum inducit.

III. Et optimum fuerit sic curare aegrotas per has quae morbos 'faciunt. 2 Sic enim quam optime principium aegrotantis quis sanaverit. 3 Corpus porro ipsum sibiipsi idem ac simile est, & ex iisdem compositum est. 4 Similiter autem habet & parvas & magnas partes, itemque infernas ac supernas. 5 Et si quis minimam corporis partem acceptam male afficere velit, totum corpus affectionem sentiet, qualiscunque tandem ea fuerit: 6 propterea quod minima corporis pars omnia 'habet quaecunque & maxima. 7 Insuper quicquid tandem minima pars pertulerit, ad gentilitatem refert ac transfert, unaquaeque ad suam, sive bonum sive malum id fuerit: 8 & propterea corpus & dolet, & laetatur, cum minima gente, 9 quia in minima omnes insunt partes, & haec ad gentiles sibiipsis singula transferunt, & omnia denunciant.

IV. Caeterum natura corporis, principium sermonis in arte medica, 2 'primum perforata est qua parte audimus. 3 Etenim vacua circumcirca aures, non aliud inaudiunt quam strepitum & clamorem. 4 Quicquid autem per membranam in cerebrum pervenerit, id liquido & clare auditur. 5 Ob id etiam foramen solum per membranam circa cerebrum extentam est. 6 In nares autem non inest foramen, verum mollis

οἷον σπογγιά. 7 καὶ διὰ τοῦτο διὰ πλέονος ἀκούει ἢ ὀσφραίνεται. 8 καὶ γὰρ πολλὸν σκίδναται ἡ ὀδμὴ τῆς ὀσφρήσιος.

v. Καὶ ἐς τοὺς ὀφθαλμοὺς φλέβια λεπτὰ ἐς τὴν ὄψιν ἐκ τοῦ ἐγκεφάλου διὰ τῆς μήνιγγος τῆς περιεχούσης φέρονται. 2 ταῦτα δὲ τὰ φλέβια τὴν ὄψιν τρέφουσι τοῦ ὑγροῦ τοῦ καθαρωτάτου τοῦ ἀπὸ τοῦ ἐγκεφάλου, ἐν ᾧ καὶ ἐμφαίνεται ἐν τοῖσιν ὀφθαλμοῖσι. 3 ταῦτα δὲ τὰ φλέβια καὶ ἀποσβεννύουσι τὰς ὄψις, ὅταν ξηρανθῶσι. 4 μήνιγγες δὲ τρεῖς εἰσιν αἳ τοὺς ὀφθαλμοὺς φυλάσσουσι. 5 ἡ μὲν ἐπάνω παχυτέρη, ἡ δὲ διὰ μέσου λεπτοτέρη, ἡ δὲ τρίτη λεπτή, ἡ τὸ ὑγρὸν φυλάσσουσα. 6 τούτων ἡ μὲν ἐπάνω καὶ παχυτάτη νόσους ἢν κωφωθῇ. 7 ἡ δὲ διὰ μέσου ἐπικίνδυνος· καὶ αὕτη, ὅταν ῥαγῇ, ἐξίσχει οἷον κύστις. 8 ἡ δὲ τρίτη ἡ λεπτοτάτη πάμπαν ἐπικίνδυνος, ἡ τὸ ὑγρὸν φυλάσσουσα. 9 μήνιγγες δὲ δύο εἰσὶ τοῦ ἐγκεφάλου, ἡ μὲν ἐπάνω παχυτέρη, ἡ δὲ λεπτὴ τοῦ ἐγκεφάλου ἁπτομένη, 10 οὐκέτι ἡ αὐτή, ἐπὴν τρωθῇ.

VI. Φλέβες δὲ παρήκουσι μὲν ἐς τὴν κορυφὴν διὰ τῆς σαρκὸς, ἔχονται πρὸς τὸ ὀστέον. 2 φέρονται δὲ διὰ τῆς σαρκὸς, 3 δύο μὲν ἐκ τῆς κορυφῆς κατ᾽ ἰθὺ, ᾗ αἱ ὀφρύες συγκλείονται, καὶ τελευτῶσιν ἐς τοὺς κανθοὺς τῶν ὀφθαλμῶν. 4 μία δὲ ἀπὸ τῆς κορυφῆς ἐς τὴν ῥῖνα φέρεται. καὶ σχίζεται ἐς τὸν χόνδρον τῆς ῥινὸς ἑκάτερον. 5 ἄλλαι δύο φλέβες παρὰ τοὺς κροτάφους φέρονται ἐν μέσῳ τῶν κροτάφων καὶ τῶν ὤτων, 6 αἳ πιέζουσι τὰς ὄψις καὶ σφύζουσιν αἰεί. 7 μοῦναι γὰρ αὗται οὐκ ἄρδουσι τῶν φλεβῶν, ἀλλ᾽ ἀποτρέπεται ἐξ αὐτῶν τὸ αἷμα. 8 τὸ δ᾽ ἀποτρεπόμενον ἀντιξυμβάλλει τῷ ἐπιρρέοντι. 9 καὶ τὸ μὲν ἀποτρεπόμενον βουλόμενον ἄνω χω-

lis laxitas velut spongia, 7 & propterea per longiorem distantiam audit, quam olfacit, 8 odor enim ab olfactu longe dispergitur.

v. Et in oculos venulæ tenues ad visum ex cerebro per ambientem membranam feruntur. 2 Hæ autem venulæ visum alunt humore de cerebro purissimo, qui etiam in oculis apparet. 3 Eædem venæ etiam visum extingunt, ubi fuerint resiccatæ. 4 Membranæ autem tres sunt quæ oculos custodiunt. 5 Superna quidem crassior, media tenuior, tertia tenuis, quæ humorem conservat. 6 Ex his superna & crassissima si lædatur ac mutiletur morbos facit. 7 Media vero etiam ipsa periculosa est, & ubi rupta fuerit prominet foras, velut vesica. 8 Tertia autem tenuissima omnino periculosa est, quæ humorem conservat. 9 Membranæ cerebri duæ sunt: altera superna crassior, altera tenuis cerebrum attingens, 10 non amplius eadem permanens, postquam fuerit vulnerata.

VI. Venæ autem transeunt ad verticem per carnem venientes ad offiulum. 2 feruntur & per carnem 3 duæ ex vertice recta, qua parte supercilia clauduntur, & desinunt ad angulos oculorum. 4 Una autem à vertice ad nasum fertur, & in utramque nasi cartilaginem finitur. 5 Aliæ vero duæ venæ juxta tempora feruntur, in medio temporum & aurium, 6 quæ premunt oculos, & semper pulsant. 7 Solæ enim hæ ex venis sanguine non rigantur, sed avertitur ex ipsis sanguis. 8 Qui autem avertitur influenti occurrit, 9 & qui quidem avertitur volens discedere, qui

χωρέειν, τὸ δ' αὐτόθεν ἐπιῤῥέον βουλόμενον κάτω χωρέειν, [10] ἐνταῦθα ἀθεόμενά τε καὶ ἀναχεόμενα πρὸς ἄλληλα καὶ κυκλεόμενα, [11] σφυγμὸν παρέχουσι τοῖσι φλεβίοισιν.

VII. Ἡ δὲ ὄψις τῷ ἀπὸ τοῦ ἐγκεφάλου ὑγρῷ τρέφεται. [2] ὅταν δέ τι τοῦ ἀπὸ τῶν φλεβῶν λάβῃ, τῇ ῥύσει ταράσσεται, καὶ οὐκ ἐμφαίνεται ἐς αὐτό, [3] καὶ περικινέεσθαι δοκέει ἐν αὐτῷ τοτὲ μὲν οἷον εἴδωλον ὀρνίθων, τοτὲ δὲ οἷον φακοὶ μέλανες· [4] καὶ πολλὰ οὐδὲν ἀτρεκέως κατ' ἀληθείην δύναται ὁρᾷν. [5] ἄλλαι δύο φλέβες ἐν μέσῳ τῶν τε ὤτων καὶ τῶν ἄλλων φλεβῶν, αἳ φέρονται ἐς τὰ ὦτα, καὶ πιέζουσι τὰ ὦτα. [6] ἄλλαι δύο φλέβες ἐκ τοῦ ξυγκλείσιος τοῦ ὀστέου ἐς τὰς ἀκοὰς φέρονται. [7] αἱ δὲ κάτω τοῦ σώματος τετραμμέναι. [8] δύο μὲν φλέβες παρὰ τοὺς τένοντας τοῦ τραχήλου φέρονται παρὰ τοὺς σπονδύλους, καὶ τελευτῶσιν ἐς τοὺς νεφρούς. [9] αὗται δὲ καὶ ἐς τοὺς ὄρχιας περαίνουσι. [10] καί, ὅταν αὗται πονήσωσιν, αἷμα οὐρέει ὥνθρωπος. [11] ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς φέρονται ἐς τοὺς ὤμους. [12] καὶ δὴ καὶ ὠμιαῖαι καλέονται. [13] ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς παρὰ τὰ ὦτα ἐν τοῖς ἔμπροσθεν τοῦ τραχήλου ἑκατέρωθεν ἐς τὴν κοίλην φλέβα καλεομένην φέρονται.

IIX. Ἡ δὲ κοίλη φλὲψ περαίνεται μὲν ὡς ὁ οἰσοφάγος. [2] πέφυκε δὲ μεταξὺ τοῦ τε βρόγχου καὶ τοῦ οἰσοφάγου. [3] φέρεται δὲ διὰ τῶν φρενῶν, καὶ διὰ τῆς καρδίης, καὶ μεταξὺ τῶν φρενῶν. [4] καὶ σχίζεται ἐς τοὺς βουβῶνας, καὶ ἐς τοὺς μηροὺς ἐντός, [5] καὶ τὰς διασφαγὰς ἐν τοῖσι μηροῖσι ποιέεται, καὶ ἐς τὰς κνήμας φέρεται ἐντὸς παρὰ τὰ σφυρά. [6] αὗται καὶ ἄκαρπον ποιέουσι τὸν ἄνθρωπον, ὅταν ἀποτμηθῶσιν. [7] αἱ καὶ ἐς τοὺς μεγά-

qui vero ſuperne influit volens infra procedere, [10] hic impelluntur ac diffunduntur ac mutuo circumagitantur, [11] & pulſum venis exhibent.

VII. Viſus humore de cerebro nutritur: [2] quum autem quid ejus de venis acceperit, fluxione turbatur, & humor ipſe non apparet, [3] & ob oculos moveri ipſi videntur aliquando velut avicularum imagines, aliquando velut lentes nigræ, [4] & nihil exacte juxta rei veritatem videre poteſt. [5] Aliæ duæ venæ in medio aurium & aliarum venarum, quæ adferuntur aures, & premunt aures. [6] Aliæ duæ venæ ex oſſis concluſione in aures feruntur. [7] Quædam vero infra ad corpus convertuntur. [8] Duæ quidem venæ juxta tendines colli feruntur & juxta verticula, & deſinunt in renes, [9] hæ autem etiam in teſtes penetrant: [10] & quum hæ affectæ fuerint, homo ſanguinem mingit. [11] Aliæ duæ venæ à vertice ad humeros feruntur [12] & ſane humerales vocantur. [13] Aliæ duæ venæ à vertice, juxta aures, ab anteriore colli parte utrinque ad cavam appellatam venam feruntur.

VIII. Cava autem vena finitur quidem velut gula, [2] conſiſtit autem inter gulam & guttur ſive arteriam, [3] ferturque per ſeptum tranſverſum & per cor, & inter ſeptum, [4] & finditur ad inguina, & ad femora intro, [5] & diſparationes in femoribus facit, & ad tibias intus fertur ad malleolos. [6] Hæ & infœcundum faciunt hominem, quum fuerint ſectæ, [7] & in magnos

μεγάλους δακτύλους τελευτῶσιν. [8] ἐκ δὲ τῆς κοίλης φλεβὸς ἀποπέφυκεν ἐς τὴν χεῖρα τὴν ἀριστερήν. [9] φέρεται δὲ ὑποκάτω τοῦ σπληνὸς ἐς τὴν λαπάρην τὴν ἀριστερήν, ὅθεν ὁ σπλὴν ἀποπέφυκε, διὰ τοῦ ἐπιπλόου, [10] καὶ τὴν ἀπολελοίπησιν ἴσχει ἐς τὸν κίθαρον. [11] ἀποπέφυκε δὲ κατὰ τὰς φρένας, καὶ ξυμβάλλει τῇ ὠμιαίῃ κάτω τοῦ ἄρθρου τοῦ ἀγκῶνος, [12] καὶ τοῦ σπληνὸς τέμνεται αὕτη. [13] καὶ ἄλλη ἐς τὴν δεξιὴν τὸν αὐτὸν τρόπον ἀποπέφυκεν ἀπὸ τῆς κοίλης.

IX. Κοινωνέουσι δὲ πᾶσαι αἱ φλέβες καὶ διαῤῥέουσιν ἐς ἑωυτάς· [2] αἱ μὲν γὰρ σφίσιν ἑωυτῇσι ξυμβάλλουσιν· [3] αἱ δὲ διὰ τῶν φλεβίων τῶν διατεταμένων ἀπὸ τῶν φλεβῶν, αἳ τρέφουσι τὰς σάρκας, ταύτῃ διαῤῥέουσι πρὸς ἑωυτάς. [4] καὶ ἀπὸ τῶν φλεβῶν ὅ, τι ἂν νόσημα γένηται, ῥᾷόν ἐστιν ἢ ἀπὸ τῶν νεύρων. [5] διαῤῥεῖ γὰρ σὺν τῷ ὑγρῷ τῷ ἐνεόντι ἐν τῇσι φλεψὶ, καὶ οὐκ ἀτρεμίζει. [6] καὶ ἡ φύσις τῇσι φλεψὶν ἐν ὑγρῷ ἐστιν ἐν τῇσι σαρξί. [7] τὰ δὲ νεῦρα ξηρά τέ ἐστι καὶ ἀκοίλια, καὶ πρὸς τοῖς ὀστέοις πεφύκασι. [8] καὶ τρέφονται δὲ τὸ πλεῖστον ἀπὸ τῶν ὀστέων. [9] τρέφονται δὲ καὶ ἀπὸ τῆς σαρκός. [10] καὶ τὴν χροιὴν καὶ τὴν ἰσχὺν μεταξὺ τῶν ὀστέων καὶ τῆς σαρκὸς πεφύκασι. [11] καὶ ὑγρότερα μέν ἐστι τῶν ὀστέων καὶ σαρκωδέστερα· [12] ξηρότερα δέ ἐστιν ἢ αἱ σάρκες καὶ ὀστωδέστερα. [13] νόσημα δ' ὅ, τι ἂν ἐς αὐτὰ ἔλθῃ, ῥώννυταί τε καὶ ἀτρεμίζει ἐν τῷ αὐτῷ, καὶ χαλεπόν ἐστιν ἐξάγειν. [14] μάλιστα δὲ ἐσέρχονται τέτανοί τε καὶ ἄλλαι, ἀφ' ὧν τρόμος τὸ σῶμα λαμβάνει, καὶ τρέμειν ποιέει. [15] τὰ δὲ νεῦρα πιέζουσι τὰ ἄρθρα, διατεταμένα τε ἐστὶ παρ' ὅλον τὸ σῶμα. [16] ἰσχύουσι

gnos digitos desinunt. [8] Ex caua autem vena producitur quædam in sinistram manum, [9] fertur autem subter splenem ad sinistri lateris mollitudinem, unde splen propagatur per omentum, [10] & finem sortitur ad thoracem. [11] Producitur autem juxta septum, & cum humerali committitur subter cubiti articulum. [12] atque hæc splenis gratia secatur. [13] Alia etiam ad dextram manum eodem modo à caua producitur.

IX. Communicant autem omnes venæ, & confluunt inter se mutuo, [2] & aliæ quidem sibi ipsis per se committuntur ac coincidunt, [3] aliæ vero per venulas à venis extensas. Quæ autem carnes nutriunt, ea parte inter se confluunt. [4] Et quicunque morbus à venis oritur, levior est quam qui à neruis. [5] diffluit enim una cum humore qui in venis inest, & non quiescit. [6] Et natura venis in humore est, in carnibus. [7] Nerui autem sicci sunt, & ventriculos siue cavitates non habent, & ad ossa consistunt, [8] & maxima ex parte ab ossibus nutriuntur. [9] Nutriuntur & à carnibus, [10] & colorem ac robur inter ossa ac carnem medium habent: [11] & humidiores quidem sunt ac carnosiores quæ ossa, [12] sicciores antem ac magis ossei quam carnes. [13] Quicunque autem morbus in ipsos peruenerit, roboratur & quiescit in eodem loco, & difficile est ipsum educere. [14] Maxime vero impetunt ipsos distentiones, & alii morbi, à quibus tremor corpus occupat, & qui tremere ipsum faciunt. [15] Nerui autem premunt articulos, extentique sunt per totum corpus. [16] Ro-

[16] ἰσχύουσι δὲ μάλιστα ἐν ἐκείνοισι τοῦ σώματος, καὶ ἀεὶ παχύτατά ἐστιν, ἐν οἷσι τοῦ σώματος αἱ σάρκες ἐλάχισταί εἰσι. [17] καὶ τὸ μὲν σῶμα πᾶν ἔμπλεον νεύρων. [18] περὶ δὲ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν οὐκ ἔστι νεῦρα, [19] ἀλλὰ ἶνες παρόμοιαι νεύροις μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς λεπτότεραι καὶ στερεώτεραι. [20] ″ αἱ δὲ νευροκοίλιοι.

X. Αἱ κεφαλαὶ ῥαφὰς ἔχουσιν, αἱ μὲν τρεῖς, αἱ δὲ τέσσαρας. [2] αἱ μὲν τέσσαρας ἔχουσαι, κατὰ τὰ ὦτα ἑκατέρωθεν [ἐπὶ] ῥαφή, ἄλλη ἔμπροσθεν, ἄλλη ἐξόπισθεν τῆς κεφαλῆς. [3] οὕτω μὲν ἡ τὰς τέσσαρας ἔχουσα. [4] ἡ δὲ τὰς τρεῖς, τὰ ʹ ὦτα [ἐστιν] ἑκατέρωθεν καὶ ἔμπροσθεν. [5] ὥσπερ δὲ ἡ τὰς τέσσαρας ἔχουσα, οὐ διαπέφυκεν οὐδὲ ταύτῃ ῥαφή. [6] ὑγιεινότεραι δ' εἰσὶ τὴν κεφαλὴν οἱ τὰς πλέονας ῥαφὰς ἔχοντες. [7] ″ ἐν τῇσιν ὀφρύσι διῆλθεν τὸ ὀστέον, καὶ ἡ σύγκλεισις τῶν γενύων ἔν τε τῷ γενείῳ μέσῳ, καὶ ἄνω πρὸς τῇ κεφαλῇ. [8] σπονδύλους οἱ μὲν πλέονας, οἱ δὲ ἐλάσσονας ἔχουσι. [9] ″ καὶ οἱ ʹ μὲν ἐλάσσονας ἔχοντες, δυοῖν δέοντες εἴκοσίν εἰσιν, ὧν οἱ μὲν ἄνω πρὸς τῇ κεφαλῇ, οἱ δὲ κάτω πρὸς τῇ ἕδρῃ. [10] πλευραὶ ἑπτά. τὰ μὲν ὄπισθεν τοῦ σώματος πρὸς τοὺς σπονδύλους, τὰ δ' ἔμπροσθεν ἐν τῷ στέρνῳ πρὸς ἑωυτάς.

XI. Κλεῖδες ἄρθρα ἔχουσι. [2] τὰ μὲν ἐν μέσῳ τοῦ στέρνου κατὰ τὸν βρόγχον κατὰ ταῦτα ἤρθρωνται. [3] τὰ δὲ πρὸς τοὺς ὤμους κεκλιμένα ″ πρὸς τὰς πλάτας, ἃ ἐπὶ τοῖς ὤμοις ἀεὶ πεφύκασιν. [4] αἱ δὲ πλάται πρὸς τὰ γυῖα ἤρθρωνται, ″ ἐπιβάλλουσαι ἐπὶ τὸ ὀστέον ʹ τὸ ἐν τῷ γυίῳ. [5] παρὰ δὲ τὸ ὀστέον ″ προσέχουσι δύο

[16] Robuſti autem maxime & ſemper craſſiſſimi ſunt in illis corporis partibus, in quibus pauciſſimæ carnes ſunt. [17] Et corpus quidem omne nervis plenum eſt. [18] Verum circa faciem & caput non ſunt nervi, [19] ſed fibræ conſimiles nervis, inter oſſa & carnes, tenuiores & ſolidiores.

X. Capita ſuturas habent, alia tres, alia quatuor. [2] Et quæ quidem ʹ quatuor habent, his ſunt utrinque juxta aures, & tertia ab anteriore, quarta à poſteriore capitis parte. [3] Sic quidem in capite quod quatuor habet. [4] In eo vero quod tres, juxta aures utrinque ſunt, & ab anteriore parte tertia. [5] poſteriore vero parte ſutura nulla eſt, velut in eo quod quatuor habet. [6] Saniores autem capite ſunt, qui plures ſuturas habent. [7] Inter ſupercilia os deſcendit ac tranſit, & mandibularum ʹ clauſura in medio mento, & ſuperne ad caput eſt. [8] Verticula alii plura, alii pauciora habent. [9] Qui pauciora habent, his duodeviginti ſunt. horum alia ſurſum ad caput, alia deorſum ad ſedem tendunt. [10] Coſtæ ſeptum à poſteriore corporis parte, ad verticula connectuntur, anteriore parte in pectore inter ſe committuntur.

XI. Claviculæ articulos habent, [2] alios in medio pectoris juxta guttur, atque hic ʹ coarticulatæ ſunt, [3] alios vero ad humeros, reclinatos ad ſcapulas, qui humeris ſemper adhærent. [4] Scapulæ vero ad membra brachii ſive totius manus coarticulantur, incumbentes in ipſum os quod in membro eſt. [5] Juxta os autem appendices duæ pro-

δύο πεφύκασιν· ἡ μὲν ἔνδοθεν, ἡ δὲ ἔξωθεν. ⁶ αἱ [μὲν] πρὸς τὰς ὠμοπλάτας τοῦ ὀστέου προσπεφύκασιν ἄρθρον ποιοῦσι κάτω· ⁷ αἱ δ' ἐν τῷ ἀγκῶνι, κάτω μὲν περόνη (ἄρθρον), ᴵᴵ κάτω πεφύκασιν, ἄνω δὲ σμικρὸν τῆς περόνης ἐς τὸν ἀγκῶνα. ⁸ τό, τε ὀστέον καὶ ἡ περόνη ἐς τὸ αὐτὸ ξυμβάλλοντα ᴵᴵ ἄρθρον ἐν τῷ κυβίτῳ ποιέουσι. ⁹ παρὰ δὲ τὸν πῆχυν περόναι περιήκουσι λεπταὶ πάνυ τέσσαρες· αἱ μὲν δύο ἄνω, αἱ δὲ δύο κάτω. ¹⁰ καὶ πρὸς μὲν τὸν ἀγκῶνα δύο περόναι πεφύκασιν, ἄνω ἐκ τοῦ ὀστέου πεφύκασιν. ¹¹ αὗται σὺν τῷ ὀστέῳ πεφύκασι, παρὰ τὸ τοῦ ὀστέου ἄρθρον ᴵᴵ (ἄρθρον) ἐς τὸν κυβίτον.

XII. Αἱ δὲ κάτω κέκλινται καὶ ἐντὸς κεκλιμέναι, αὗται ἀμφότεραι ξυμβάλλουσι πρὸς τὴν περόνην τὴν ἄνωθεν ἀπὸ τοῦ γυίου φερομένην, ἐντὸς τοῦ γυίου (ἄρθρον), ² καὶ περόνην καλουμένην ποιέουσιν, αὗται ἑωυτῇς ξυμβάλλουσαι ἐν τῷ κυβίτῳ ἐντός. ³ κάτω δὲ πρὸς τὴν χεῖρα τὸ ὀστέον ἄρθρον ἔχει. ⁴ αἱ δὲ περόναι ταύτῃ ἁπαλαὶ ἐοῦσαι, αἱ μὲν δύο οὐκ ἐξήκουσιν ἐς τὸ ἄρθρον, ἡ δ' ἄνω καὶ ἡ κάτω σὺν τῷ ὀστέῳ (ἄρθρον) πρὸς τὴν χεῖρα. ⁵ ᴵᴵ αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά· ⁶ ὅσα γὰρ ὀστέα πρὸς ἑωυτὰ ξυμβάλλουσι, πάντα ἄρθρα ποιέουσι. ⁷ δάκτυλοι ἄρθρα ἔχουσι πολλά· ἕκαστος τρία. ⁸ ἓν μὲν ὑπὸ τοῦ ὄνυχος ἐν μέσῳ τοῦ τε ὄνυχος καὶ τοῦ κονδύλου. ⁹ ἄλλο [δὲ] ἐν τῷ κονδύλῳ, ᾗ καὶ ξυγκάμπτουσι τοὺς δακτύλους, ¹⁰ καὶ τὸ τρίτον, ᾗ ὁ δάκτυλος ἀπὸ τῆς χειρὸς ἀποπέφυκεν.

XIII. ᴵᴵ Ἐν δὲ τοῖσιν ἰσχίοισιν ἄρθρα δύο ἐστίν, αἱ κοτύλαι καλού-

prodeunt, altera intrinsecus, altera forinsecus, ⁶ quæ ad scapulas ossi adnascentes, infra coarticulatæ sunt. ⁷ Quæ vero in cubiti flexura sunt, infra quidem ᴵ radio coarticulatæ sunt, juxta os natura cavum existens, supra autem radium paululum, in cubiti gibbum. ⁸ & tunc tum os, tum radius in idem commissa, articulum in cubiti gibbo faciunt. ⁹ Juxta ulnam vero appendices prodeunt tenues valde quatuor, duæ sursum, duæ deorsum: ¹⁰ & ad cubiti gibbum quidem duæ appendices consistentes, supra ex osse hærent, ¹¹ hæ cum osse cohærentes, juxta ossis articulum in cubiti ᴵ gibbum coarticulantur.

XII. Quæ vero infra sitæ sunt, & intus reclinatæ, hæ utræque committuntur ad radium ex superius à membro procedentem, & intus ad membrum coarticulatur, ² & radium appellatum faciunt hæ sibi ipsis intus in cubito commissæ. ³ Infra autem ad manum os articulum habet. ⁴ Appendices vero hac parte teneræ existentes, duæ quidem non exeunt in articulum: superna autem & inferna cum osse ᴵ coarticulantur ad manum. ⁵ Cæterum manus articulos multos habent. ⁶ Quæcunque enim ossa inter se committuntur, omnia articulos faciunt. ⁷ Digiti articulos habent multos, unusquisque tres. ⁸ Unum ad unguem, in medio unguis & nodosæ prominentiæ: ⁹ alterum in ipsa nodosa prominentia, qua parte etiam digitos conflectunt: ¹⁰ tertium qua parte digitus a manu exoritur.

XIII. At vero in coxendicibus ᴵᴵ articuli duo sunt, quæ ace-

λεύμεναι, καὶ οἱ μηροὶ ἐς ταῦτα ἐνήρθρωνται. 2 Παρὰ δὲ τοὺς μηροὺς προέχουσι δύο παρήκουσιν, ἡ μὲν ἐντὸς, ἡ δ' ἐκτὸς, 3 καὶ ἐς τὸ ἄρθρον οὐδετέρη ἐξήκει, οὐδ' ἑτέρωθεν, ἀλλὰ πρὸς τοῦ ὀστέου προσπεφύκασι πρὸς τοῦ μηροῦ. 4 Ὁ δὲ μηρὸς, αὐτόθεν μὲν, ᾗ ἐς τὴν κοτύλην ἐμβάλλει, δικραιός ἐστι τοιῇδε δικραιότητι. 5 Ἐπὶ μὲν τοῦ ἐντὸς κεκλιμένου τοῦ δικραίου ἐπὶ τοῦ ἄκρου ἐπιπέφυκε στρογγύλον καὶ λεῖον, ὃ καὶ ἐς τὴν κοτύλην ἐμβάλλει. 6 Τὸ δ' ἕτερον, τὸ ἔλασσον τοῦ δικραίου, ἐκτὸς μᾶλλον ἔξω ἐξέχει, καὶ φαίνεται ἐν τῷ πυγαίῳ κάτω, καὶ ἰσχίον καλέεται. 7 Πρὸς δὲ τὸ γόνυ τὸ ὀστέον τοῦ μηροῦ τοιόνδε ἐστὶ δικραιον. 8 Τῷ δὲ δικραίῳ τούτῳ τὸ ὀστέον, ἡ κνήμη καλεομένη, οἷον ἐν γιγγλύμῳ ἐνήρμοσται. 9 Αὐτόθεν δὲ τοῦ ἐνηρμοσμένου ἡ μύλη ἐπίκειται. 10 Ἣ ἀποκωλύει ἐς τὸ ἄρθρον ἀναπεπταμένον ἐσδύναι τὴν ὑγρότητα, τὴν ἀπὸ τῆς σαρκός. 11 Παρὰ δὲ τὴν κνήμην προέχουσι δύο παρήκουσιν· αἱ κάτωθεν μὲν πρὸς τοῦ ποδὸς τὰ σφυρὰ τελευτῶσιν, αὐτόθεν δὲ πρὸς τοῦ γούνατος· οὐδ' ἐξήκουσι πρὸς τὸ ἄρθρον. 12 Πρὸς δὲ τῷ ποδὶ ἡ κνήμη κατὰ τὰ σφυρὰ ἄρθρον ἔχει, καὶ ἄλλο κατώτερον τῶν σφυρῶν.

XIV. Καὶ ἐν τοῖσι ποσὶν ἄρθρα πολλὰ, ὥσπερ καὶ ἐν τῇσι χερσίν. 2 Ὅσα γὰρ τὰ ὀστέα, τοσαῦτα καὶ ἄρθρα, καὶ ἐν τοῖσι δακτύλοισι τῶν ποδῶν τὸν ἀριθμὸν ἴσα κατὰ ταῦτα. 3 Ἄρθρα δὲ πολλὰ ἐν τῷ σώματι σμικρὰ, οὐχ ὁμοίως πᾶσιν, ἀλλὰ ἄλλα ἄλλοις. 4 Ταῦτα δὲ τὰ γεγραμμένα πᾶσιν ὁμοίως ἐστίν. 5 Ἄλλα τε φλέβιά ἐστιν ἄλλοις, ἀλλ' οὐκ ἄξια λόγου. 6 Μύξα πᾶσίν ἐστι φύσει· 7 καὶ, ὅταν αὕτη καθαρὴ ᾖ, ὑγιαίνουσι τὰ ἄρθρα, καὶ διὰ τοῦτο εὐκίνη-

tabula appellantur, & femora in hos inarticulata sunt. 2 Juxta femora autem appendices quæ protenduntur, altera intus, altera foris, 3 & in articulum neutra procedit, neque ab altera parte, sed ad os ad femur inseruntur. 4 Femur autem superne ubi in acetabulum ingruit, bifidum est hujuscemodi bicipitate. 5 In ea quidem parte quæ intro inclinata est, in summitate rotundum est ac læve, quæ etiam in acetabulum ingreditur. 6 Altera autem bicipitatis pars exterior, magis foras prominet, & inferius apparet ad nates, & coxendix appellatur. 7 Ad genu vero os femoris taliter biceps est. 8 Bicipitio autem huic os tibia appellata, velut in cardine adaptatum est, 9 supra adapratum autem mola sive patella incumbit. 10 Quæ humiditatem à carne in articulum expassum descendere prohibet. 11 Juxta tibiam autem appendices duæ procedunt, quæ inferne ad malleolos pedis finiunt, superne ad genu, non autem perveniunt ad articulum. 12 Ad pedem vero tibia juxta malleolos articulum babet, & alium infra malleolos.

XIV. Et in pedibus articuli multi quemadmodum & in manibus sunt. 2 Quot enim ossa, tot sunt articuli, & in digitis pedum eodem numero sunt, ac pari modo habent. 3 Articuli insuper multi in corpore parvi sunt, non similiter omnibus, sed alii aliis. 4 Hi autem qui scripti hic sunt, omnibus similiter habent 5 Aliæ etiam venæ aliis sunt, sed non memorabiles. 6 Mucus omnibus à natura est, 7 & quum hic purus fuerit, articuli sani sunt, & bene mo-

veri

ὀλισθηρή ἐστιν, ὥστε ὀλισθαίνονται πρὸς ἑωυτά. 8 πόνος δὲ καὶ ὀδύνη γίνεται, ὅταν ἀπὸ τῆς σαρκὸς ὑγρασίη ῥυῇ πονηρή. 9 τὸ πρῶτον μὲν [ὅτι] πήγνυται τὸ ἄρθρον. 10 οὐ γὰρ ὀλισθηρὴ ἡ ὑγρότης ἡ ἐπιῤῥυηκυῖα ἀπὸ τῆς σαρκός. 11 ἔπειτα ὅτι πολλὴ λίην νεμομένη, καὶ οὐκ ἀρδομένη ἐκ τῆς σαρκὸς, αἰεὶ ξηραίνεται. 12 καὶ, ὅτι πολλὴ ἐοῦσα, καὶ οὐ χωρέοντος τοῦ ἄρθρου, ἐκχέεται, 13 κακῶς (66) τε πεπηγυῖα μετεωρίζει τὰ νεῦρα, οἷσι τὸ ἄρθρον συνδέδεται, καὶ ἄδετα ποιέει καὶ διαλελυμένα, 14 καὶ διὰ τοῦτο χωλοὶ γίνονται καὶ, ὅταν μὲν τοῦτο μᾶλλον γίνηται, μᾶλλον· ὅταν δὲ ἧσσον, ἧσσον.

XV. Ἐς δὲ τὴν κοιλίην καὶ τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα χωρέουσιν, 2 ἐκ δὲ τῆς κοιλίης ἶνες ἐς τὴν κύστιν, ᾗ διηθεῖ τὸ ὑγρὸν, τεταμέναι εἰσί. 3 ῥόοι δὲ γίνονται καὶ διαψυχομένης τῆς σαρκὸς λίην, καὶ διαθερμαινομένης καὶ ὑπερφλεγμαινούσης. (5) 4 ῥόοι δὲ διὰ μὲν τὸ ψῦχος γίνονται, ὅταν ἡ σὰρξ ἡ ἐν τῇ κεφαλῇ καὶ αἱ φλέβες τεταμέναι ἔωσιν. 5 αὗται γὰρ, φρυξάσης τῆς σαρκὸς καὶ ἐς μικρὸν ἀφικνευμένης καὶ ἐκθλιψάσης, ἐκθλίβουσι τὴν ὑγρότητα· 6 καὶ αἱ σάρκες ἅμα αὐταὶ ἐντεκθλίβουσιν ἐς μικρὸν ἀφικνεύμεναι· 7 καὶ αἱ τρίχες ἄνω ὀρθαὶ γίνονται, ὥστε πάντοθεν ἅμα ἰσχυρῶς πιεζόμεναι. 8 ἐντεῦθεν, ὅ,τι ἂν ἐκθλίβῃ, ῥέει ᾗ ἂν τύχῃ. 9 ῥέει δὲ καὶ διὰ τὴν θερμότητα, ὅταν αἱ σάρκες ἀραιαὶ (10) γινόμεναι διόδους ποιήσωσι, καὶ τὸ ὑγρὸν θερμανθὲν λεπτότερον γένηται. 10 πᾶν γὰρ τὸ ὑγρὸν θερμαινόμενον λεπτότερον γίνεται. 11 καὶ πᾶν τὸ ὑπέσχον ῥέει μάλιστα δὲ, ὅταν λίην ὑπερφλεγμαίνῃ, διὰ τόδε ῥέει.

veri possunt, utpote lubrici inter seipsos. 8 Labor autem & dolor fit, ubi à carne humiditas fluxerit vitiosa. 9 Primum enim articulus stabilitur. 10 Non enim lubrica est humiditas quæ de carne influxit. 11 Deinde ut (140) multa, & valde sparsa, & ex carne non irrigata, semper reficcatur, 12 & ut multa existens, & articulo ipsam non capiente, effluit: 13 & male stabilita elevat nervos, quibus articulus colligatur, ipsosque inconnexos ac dissolutos facit. 14 Et propterea claudi fiunt, quum hoc magis fit, magis: quum minus, minus.

XV. In ventrem porro ea quæ comeduntur ac bibuntur procedunt. 2 Ex ventre autem fibræ in vesicam, qua parte humorem percolat, extentæ sunt. (145) 3 Fluxiones autem, & perfrigerata valde carne, & percalfacta fiunt, ac superinflammata. 4 Fluxiones propter frigus fiunt, (30) quum caro in capite, & venæ (31) tensæ fuerint. 5 Hæ enim horrente carne, & ad angustias perveniente, adstrictaque ac excludente, humiditatem exprimunt. 6 Et simul carnes ipsæ contra exprimunt, ad angustias pervenientes: 7 & capilli sursum erecti fiunt, utpote simul (150) undiquaque fortiter compressi. 8 Quicquid igitur inde expressum fuerit, id ipsum, quocunque contigerit, fluit. 9 Fluit autem etiam propter caliditatem, quum carnes rarefactæ transitus præbuerint, & humor calefactus tenuior redditus fuerit. 10 Omnis enim humor calefactus tenuior fit. 11 & omne cedens fluit, maxime vero ubi valde fuerit inflammatum, propter hanc fluit (155) causam.

XVI. Αἱ σάρκες λίην ἔμπλεαι γενόμεναι ὅ, τι ἂν μὴ δέχωνται χωρέειν, ῥέει τὸ ὑγρὸν τὸ μὴ δυνάμενον χωρέεσθαι. [2] ῥέει δὲ, ᾗ ἂν τύχῃ. [3] ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοίαι γένωνται, ῥέει καὶ [ἐς] τὸ χωρίον, ᾗ ἂν τύχῃ, ἐς τ' ἂν συμπιεχθῶσιν αἱ διέξοδοι τοῦ ῥόου δι' ἰσχνότητα, [4] [τῶν γινομένων,] ὅταν τὸ σῶμα ξηρανθῇ. ὥς τε γὰρ, τὸ σῶμα, κοινωνέον αὐτὸ ἑωυτῷ, διαλαμβάνει καὶ ἄγει, καθ' ὅ, τι ἂν ὑγρὸν ἐπιτύχῃ, ἐς ἑωυτὸ ξηρόν. [5] ἄγειν δὲ οὐ χαλεπὸν αὐτό ἐστιν, ὥστε τοῦ σώματος κενοῦ τε καὶ οὐ συνοιδέοντος ὑπὸ ἰσχνότητος.

XVII. Ὅταν δὲ τὰ κάτω ξηρὰ γένωνται, τὰ δ' ἄνω ὑγρά· [2] μᾶλλον δὲ τὰ ἄνω ὑγρά ἐστι τὰ ἀγγεῖα. [3] αἱ γὰρ φλέβες ἄνω πλεονές εἰσιν ἢ κάτω, καὶ αἱ σάρκες ἐλάττονος ὑγρότητος δεόμεναι αἱ ἐν τῇ κεφαλῇ· [4] ἄγει δὴ τὸ ξηρὸν τοῦ σώματος τὸ ἐκ τῆς κεφαλῆς ὑγρὸν, [5] καὶ ἅμα καὶ διέξοδοί εἰσι τῷ ἄγοντι μᾶλλον ἢ τῷ ἀγομένῳ. [6] καὶ γὰρ αὗται κερδαίνουσιν, ὥστε ξηραὶ ἐοῦσαι· [7] καὶ ἅμα καὶ τὰ ὑγρὰ πέφυκε κάτω χωρέειν, καὶ ἢν βραχεῖά τις ἀνάγκη γένηται.

XIIX. Ῥόοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά· ὁ μὲν κατὰ τὰς ῥῖνας· ὁ δὲ κατὰ τὰ ὦτα· ὁ δὲ κατὰ τοὺς ὀφθαλμούς. [2] οὗτοι [δὲ] οἱ ῥόοι καταφανέες ἐκ τῆς κεφαλῆς τοῖσιν ὀφθαλμοῖσιν. [3] ἐπὴν δ' ἐς τὸν θώρακα ῥυῇ ὑπὸ ψύχεος, χολὴ γίνεται. [4] μᾶλλον δὲ ῥέει ἐς τὸν θώρακα ὑπὸ ψύχεος, διὰ τόδε, ὅτι εὔροον γίνεται ἐς τὸν βρόγχον, ὡς δὴ οὐδὲ ξυγκεκαλυμμένον. [5] ὑπὸ δὲ τοῦ ψύχεος καὶ κόπος ἔχει διὰ τοῦτο τοὺς ὑπὸ τῆς χολῆς ἐχομένους,

XVI. Carnes valde plenæ factæ quum capere non possint, fluit humor qui capi non potuit, [2] fluit autem quocunque contigerit. [3] Ubi vero semel fluidæ factæ fuerint fluxiones, diffluunt ad locum quo tandem contigerit, donec transitus fluxionis compressi fuerint propter gracilitatem. [4] Quum autem corpus fuerit resiccatum, & alioqui corpus ipsum sibiipsi communicans sit, etiam quum siccum est, diducit, & concipit ac ducit, ubicunque humor tandem obtigerit: [5] ducere autem ipsum non difficile est, utpote corpore vacuo & non intumescente, præ gracilitate.

XVII. Aliquando autem infernæ partes siccæ fiunt, supernæ vero humidæ. [2] Magis autem superna vasa humida sunt. [3] Venæ enim plures supra sunt quam infra, & carnes in capite minori humiditate opus habent. [4] Ducit itaque sicca corporis pars humiditatem ex capite: [5] & simul transitus magis ducenti patent, quam ei quæ ducitur. [6] Nam ipsi transitus, utpote sicci existentes, eam sibi lucrifaciunt, [7] & simul humores à natura deorsum procedere solent, si vel modica quædam necessitas contingat.

XVIII. Fluxiones de capite septem sunt, in nares, in aures, in oculos, [2] atque hæ ex capite fluxiones ob oculos conspicuæ existunt. [3] Postquam autem in thoracem fluxerit præ frigore, bilis fit. [4] Magis autem in thoracem præ frigore fluit, propterea quod facilis est fluxio ad guttur, utpote non contectum. [5] Præ frigore vero à bile infestati propterea lassitudine affliguntur, quia

κες, ὅτι αἱ σάρκες, ὅταν ξυγχολωθῶσιν, οὐκ ἀτρεμίζουσιν, ἀλλὰ σείονται· [6] καὶ σεσεισμέναι μοχθέουσι καὶ κοπιῶσιν, ὥσπερ σεσεισμέναι ἐν τῇσιν ὁδοιπορίῃσι. [7] καὶ ἐμπυοι γίνονται, ὅταν ἐς τὸν θώρακα ῥέῃ, καὶ φθινώδεις. [8] ὅταν δ' ἐς τὸν μυελὸν ῥόος γένηται, φθίσις ἄδηλη γίνεται. [9] ὅταν δ' ὄπισθεν ἐς τοὺς σπονδύλους καὶ ἐς τὰς σάρκας ῥυῇ, ὕδρωψ γίνεται. [10] καὶ τῷδε δ' ἐστὶ γνῶναι. [11] ξηρὰ γὰρ τὰ ἔμπροσθεν, ἡ κεφαλὴ καὶ αἱ ῥῖνες καὶ οἱ ὀφθαλμοί· [12] καὶ τοῖσιν ὀφθαλμοῖσι γίνεται ἀμβλυώσσειν, καὶ χλωροὶ γίνονται, καὶ τὸ ἄλλο σῶμα· [13] καὶ οὐκ ἀποπτύει οὐδὲν, οὐδ' ἢν πολὺ ῥέῃ. [14] ὅδε γὰρ ὁ ῥόος, διὰ τῆς σαρκὸς μέσης ῥέων τὸ ὄπισθεν καὶ τοῦ ἔμπροσθεν ἀπεστραμμένος, ξηρὰ τὰ [μὲν] ἔμπροσθεν ποιέει, τὴν δ' ὄπισθεν ὑγρὴν σάρκα, [15] καὶ τὴν ἐντὸς μᾶλλον πρὸς τὴν κοιλίην, ἢ ἔξω πρὸς τὴν ῥάχιν. [16] διὰ τοῦτο δὲ ἔξωθεν μᾶλλον ἢ ἐντὸς στερεώτερον τὸ σῶμα, καὶ στενωτέρας διατρήσιας ἔχει. [17] ὥστε δὲ λεπταὶ ἐοῦσαι συμπιλέονται καὶ ἀκέονται αὐταὶ σφίσιν ἑωυτέας, καὶ ῥόος οὐδεὶς δύναται ταύτῃ ἰέναι οὐδείς. [18] αἱ δ' εὐρύτεραί τε εἰσιν αἱ ἐντὸς, καὶ λεπτότερα τὰ μεταξὺ ἔχουσαι. [19] ὁ δὲ ῥόος, ὥστε ἀφ' ὑψηλοτέρων καὶ λεπτὰ τὰ ἀντικωλύοντα ἔχων, ῥέει καὶ τὰς σάρκας ἐμπιπλησιν ὑγρότητος. [20] καὶ ἀπὸ τῶν σιτίων ἐς τὸ αὐτὸ χωρέουσα ἡ ὑγρότης, διαφθείρεται. [21] διεφθαρμένη δ' αὐτὴ ὑπὸ τῆς συμμίξιος, καὶ τὸ ῥέον σὺν αὐτῇ ἀπὸ τῆς κεφαλῆς, τρέφουσι τὸ σῶμα. [22] λίην δὲ πολλῷ ὑγρῷ αἱ σάρκες τρεφόμεναι, καὶ νοσηλῷ διαλλάσσαι,

quia carnes quum bilem habuerint, non quiescunt, sed concutiuntur, [6] & concussæ laborant ac delassantur, utpote velut in itinere faciendo concussæ, [7] & suppurati fiunt quum in thoracem fluxerit, itemque tabidi. [8] Quum vero in medullam fluxio contigerit, tabes occulta ac inconspicua oboritur. [9] Quum autem retro ad vertebras, & in carnes defluxerit, hydrops fit. [10] Id quod ex hoc cognoscere datur. [11] Siccæ enim anteriores partes sunt, caput videlicet, & nares, ac oculi: [12] & oculis amplius hebetudo accedit, fiuntque cum virore pallidi, itemque reliquum corpus: [13] & nihil exspuit homo, etiamsi multum fluat. [14] Fluxus enim per mediam carnem retro fluens, & ab anteriore aversus, anteriores partes siccas facit, posteriorum vero carnem irrigat, [15] & magis eam quæ intus est ad ventrem, quam quæ foris est ad nasum. [16] Et propterea corpus foris magis solidum est, quam intus, & angustiores meatus ac foramina habet. [17] Quare sane quum tenuia sint foramina constringuntur, ipsaque sibiipsis medentur, & fluxus nullus hac transire potest. [18] Intus vero foramina ampliora sunt, & intermedia tenuiora habent. [19] fluxus vero utpote ab altioribus procedens, & tenuia impedimenta contra se habens, influit & carnes humiditate replet. [20] Sed & humiditas à cibis in idem procedens corrumpitur, [21] corrupta autem ipsa præ ammixtione, & simul cum ipsa ea quæ à capite defluit, corpus nutriunt. [22] Carnes vero multo humore nutritæ, & morboso augescen-

σιν, ὕδρωπος ἔμπλεαι εἰσιν.

XIX. Ἢν δ' ὀλίγον ῥεύσῃ, ἰσχιάδα καὶ κέδματα ἐποίησεν, ἐπὴν ῥέον παύσηται. 2 ὥστε γὰρ ὀλίγον ἐρρυηκὸς, καὶ πάντοθεν ἀθεύμενον ὑπὸ παντὸς κρέσσονος ἐόντος, ἐς τὰ ἄρθρα ἀποφυγὴν ποιέεται. 3 γίνεται δὲ κέδματα καὶ ἰσχιάδες καὶ ἀπὸ τοιούτων νοσημάτων ὑγιῶν γινομένων· 4 ὅταν τὸ μὲν νόσημα τὸ ποιέον ὑγιὲς γένηται, 5 καταληφθῇ δέ τι ἐν τῇ σαρκὶ καὶ μὴ ᾖ αὐτῷ ἡ ἔξοδος, μήτ' αὖ ἔσω, μήτε ἔξω, 6 ἀλλ' ἐς τὸ δέρμα φῦμα ποιήσῃ, ἐξιὸν φεύγει ἐς τὸ ὑπεῖκον, ἐς τὰ ἄρθρα, καὶ ἢ κέδματα, ἢ ἰσχιάδα ἐποίησεν.

XX. Ἢν δὲ συνοιδήσωσιν αἱ ῥῖνες, καὶ φλέγματος ἔμπλεαι ἔωσι συμπεπηγότος τούτου, χρὴ τὸ φλέγμα τὸ συμπεπηγὸς λεπτῦναι ἢ πυριῆσιν, ἢ φαρμάκῳ, καὶ μὴ ἀποτρέπειν. 2 ἢν γὰρ ἀποτραφθὲν ἄλλῃ πορεύσηται, πάντως τὸ ῥέεθρον μέζονα νοῦσον ποιέει. 3 ὁπόταν δ' ἐς τὰ ὦτα ῥέῃ, τὸ πρῶτον ὀδύνην παρέχει· βίῃ γὰρ χωρέει. 4 πόνον δὲ παρέχει, ἕως τ' ἂν ἀποσυριγγωθῇ. 5 ἐπὴν δὲ μάθῃ ῥέειν, οὐκέτι πόνον ποιέει. 6 τῷ [δ'] ὑπὸ τῆς ὀδύνης ἐχομένῳ φάρμακον θερμὸν φύσει χλιαρὸν ποιήσαντα, οἴνῳ διέντα μετωπίᾳ ἐγχέειν, καὶ ὄπισθεν σικύην ἐμβάλλειν. 7 ἢν τὸ ἀριστερὸν ἀλγέῃ, ἐς τὸ δεξιόν· καὶ ἢν τὸ δεξιὸν, ἐς τὸ σκαιόν. 8 μὴ κατακρούειν δὲ, ἀλλ' ὡς ἂν ἕλκῃ μοῦνον. 9 ἢν δὲ μὴ πρὸς ταῦτα παύηται, ψύχοντα ἐγχέειν φύσει ψυ-

gescentes, hydrope plenæ sunt.

XIX. Si autem modicus fluxus fuerit, coxendicum & articulorum diuturnam affectionem facit, ubi fluere cessaverit. 2 Nam ut modicus, & undiquaque ab omnibus fortioribus depulsus, ad articulos refugium facit. 3 Fiunt præterea articulorum ac coxendicum affectiones à talibus morbis sanatis, 4 quum morbum quidem efficiens sanatur, 5 in carne vero quid relictum fuerit, cui non sit exitus, neque rursus intro, neque foras, 6 sed ad cutem egressum tuberculum utique fecerit, fugit autem in id quod cedit, articulos videlicet, & aut articulorum, aut coxendicum affectiones inducit.

XX. Si porro intumuerint nares, & pituita plenæ fuerint, atque ea compacta, oportet pituitam compactam ac congelatam attenuare aut fomentis, aut medicamento, & non avertere. 2 Si enim fluxus aversus alio procedit, omnino majorem morbum faciet. 3 Quum vero in aures fluxerit, primum dolorem exhibet, violenter enim procedit: 4 dolorem autem exhibet, donec in fistulam redactus fuerit. 5 Ubi autem fluere consueverit, non amplius dolorem facit. 6 Ei vero quem dolor affligit, medicamentum natura calidum, tepidum factum & neto po dilutum, infundendum est, retro cucurbita medica affigenda, 7 si sinistra auris doluerit, ad dextram, si dextra, ad sinistram: 8 non autem scarificando pertundere oportet, sed ut trahat solum sinenda est. 9 Si vero per hæc dolor non sedetur, frigefacientia à natura frigida infundan-

ψυχρῷ, [10] καὶ φάρμακον πίσαι, ὅ, τι αὖ κάτω ὑποχώρησιν ποιέῃ, ἄνω δὲ μή· ἄστασις οὐδ᾽ ἀρήγει ἐμέειν· καὶ τὰ ἄλλα ψύχειν. [11] καὶ αἰεὶ δὲ ἐν τῷ ὑγιὲς μὴ ποιέοντι τρόπου μεταλλάσσειν, [12] καὶ, ἢν μὲν κάκιον ποιέῃ, ἔχειν ἐς τὸ ὑπεναντίον. [13] ἢν δὲ ῥέπῃ ἐς τὸ ὑγιὲς, τὸ παράπαν μὴ ἀφελεῖν τι τῶν προσφερομένων, μὴ δ᾽ ἀποζυγῆσαι, μὴ δὲ προσθεῖναι ἄλλο τι. [14] ἢν δὲ συρριγγωμένον ἤδη ᾖ καὶ πεπυωμένον, ῥέῃ ἰχὼρ πολὺς καὶ κακὸν ὀζόμενος. [15] τοῦτο [δὲ] ὧδε ποιέειν. [16] σπογγίῳ δέ ὧν ξηραίνοντί τινι φαρμάκῳ ξηρῷ, πρὸς τὴν ἀκοὴν ὡς πλεῖστον προσθεῖναι. [17] καὶ πρὸς τὰς ῥῖνας καθαρτήριον, ὅπως τὸ ἐς τὰ ὦτα ῥέον πρόσθεν ἐς τὰς ῥῖνας φέρηται, [18] καὶ μὴ ἐς τὴν κεφαλὴν πάλιν ἀποχωρέῃ, νοσηλὸν ἐόν.

XXI. Ὅταν δ᾽ ἐς ὀφθαλμοὺς ῥεῦμα ἴῃ, φλεγμαίνουσιν οἱ ὀφθαλμοὶ καὶ οἰδέουσι. [2] τοῦτον χρὴ φαρμάκῳ ἢ τῷ ὑγρῷ ἢ τῷ ξηρῷ ἐν πασπάλῃ. [3] ἢν δ᾽ ἀρτίως φλεγμήνωσι, μὴ ἔγχριε μηδὲν, [4] ἀλλ᾽ ἢ καθῆραι κάτω τῷ ἰσχυροτάτῳ, ἢ ἄλλῳ τινὶ ἀπισχνῆναι ὑποχωρητικῷ φαρμάκῳ, [5] φυλασσόμενος μὴ ἔμετον ποιήσῃς. [6] ἢν δὲ οἷον λίθοι ὑποτρέχωσι, φάρμακον ἐγχρίειν, ὅ, τι πλεῖστον ἄγει δάκρυον μέλλει, [7] καὶ τὸ ἄλλο σῶμα ὑγραίνοντα καὶ φλεγμαίνειν ποιέοντα, ὡς ὑγρότεροι οἱ ὀφθαλμοὶ γένωνται καὶ ἐκκλυζόμενοι, ὡς τὸ δάκρυον συμπεπηγὸς ὑποτρέχειν ποιέῃς. [8] ὅταν δ᾽ ἐς τοὺς ὀφθαλμοὺς κατὰ σμικρὸν ῥέῃ, καὶ κνισμὸν παρέχῃ,

fundantur, [10] & medicamentum potandum præbeatur, quod secessum deorsum faciat, sursum autem non, quandoquidem vomitus non auxiliatur: & de cætero frigidis utendum est, [11] & semper non sanantem variare oportet modum: [12] & siquidem pejus reddiderit malum, ad contrarium te converte: [13] si vero ad sanitatem tendat, omnino nihil ab his quæ adhibentur auferre oportet, neque quicquam aliud addere aut apponere. [14] Si vero jam in fistulam redactus fuerit, & multa purulenta sanies fluxerit, quæ graveolens sit, [15] sic facere oportet. [16] Spongiam siccante quopiam sicco medicamento imbue, & in aurem quam penitissime inde: [17] & in nares purgatorium medicamentum mitte, quo ea quæ prius in aures fluebant, in nares ferantur, [18] & non id quod morbosum est in caput rursus recedat.

XXI. Cæterum ubi in oculos fluxio processerit, oculi inflammantur & tument. [2] Sic autem affectum hominem medicamento liquido, aut sicco inspersili curare oportet. [3] Si vero statim inflammati fuerint, nihil omnino illine, [4] sed aut fortissimo quam infime urito, aut alio quopiam alvum subducente medicamento attenuato, [5] vitando ne vomitum facias. [6] Si vero velut lapilli subtercurrerint, medicamentum illines quod plurimam lachrymam ducere potest, [7] & reliquum corpus humectabis ac tumidum facies, quo oculi humidiores fiant ac colluantur, ut lachrymam adstrictam ac compactam decurrere facias. [8] Quum autem in oculos paulatim fluxerit, & pruritum fecerit, sic

χη, τοῦτον ἐξαλείφειν μαλθακώδει, ὅ,τι μέλλει ξηραίνειν, ἅμα καὶ δάκρυον ὀλίγον ἄγειν· [9] καὶ πρὸς τὰς ῥῖνας φάρμακον προσφέρειν, ἢ ἑκάστης ἡμέρης ἢ διὰ τρίτης τῷ αὐτῷ χρώμενος. [10] τοῖον δ' ἔστω τὸ φάρμακον, ὅ,τι μὴ πλεῖον ἢ ἐμβάφιον ἀπάγειν μέλλει κατὰ τὰς ῥῖνας· ἀπάγειν δὲ κατὰ σμικρόν. [11] τὸ δὲ κατὰ τοὺς ὀφθαλμοὺς ἀποξηραινέτω, ὡς ὅ,τι ἂν τὸ τῶν ὀφθαλμῶν φάρμακον ἀποξηράνῃ καὶ ἀποφράξῃ, καὶ κατὰ τὰς ῥῖνας ἀπάγηται.

XXII Τὰ δὲ φάρμακα τὰ τῆς κεφαλῆς καθαρτήρια, ἃ μὲν αὐτῶν ἰσχυρά ἐστιν, ἀπὸ τῆς κεφαλῆς ἄγουσιν ὅλης· [2] ὅσα δὲ ἀσθενέα, ἀπὸ τῶν ὀφθαλμῶν, καὶ αὐτόθεν ἀπὸ τῶν πέλας τῆς ῥινός. [3] ἢν δ' ἀπὸ σαρκὸς καὶ τοῦ ὀστέου, μύξης ὑποστάσης μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς, ῥεῦμα ἐς τοὺς ὀφθαλμοὺς ἐσίῃ, τόδε δῆλόν ἐστιν, ὅτι ἐντεῦθεν ῥέει. [4] τὸ [γὰρ] δέρμα τὸ ἐπὶ τῇ κεφαλῇ φλεγόμενον, καὶ ὑπείκει καὶ ἕλκεα ἐς τὴν κεφαλὴν ἐκθύει, [5] καὶ κατὰ τοὺς ὀφθαλμοὺς δακρύουσι, καὶ οὐχ ἑλκοῦνται τὰ βλέφαρα, οὐδὲ δάκνει, οὐδ' ἀμβλυώσσειν ποιέει, ἀλλ' ὀξὺ ὁρῶν γίνεται. [6] τὸ γὰρ ῥεῦμα οὐχ ἁλμυρόν ἐστιν, ὡς οὐκ ἀπὸ τοῦ ἐγκεφάλου, ἀλλὰ μυξῶδες μᾶλλον. [7] τοῦτον ὧδε χρὴ ἰῆσθαι. φαρμάκῳ καθαίρειν χρὴ τὴν κεφαλὴν μὴ ἰσχυρῷ, καὶ τὸ σῶμα ἰσχναίνειν, καὶ σιτίοισι καὶ φαρμάκοισι κάτω ὑπάγειν, [8] ὡς ἀποξηρανθῇ ἰσχναινομένου τοῦ σώματος, ἢ ἀποτρεφθῇ κατὰ τὰς ῥῖνας προστιθεμένῳ φαρμάκῳ. [9] πρὸς δὲ τοὺς ὀφθαλμοὺς οὐδὲν δεῖ φάρμακον προσφέρειν.

XXIII. Ἢν δὲ μηδ' οὕτως ὑγιὴς γίνηται, τὴν κεφαλὴν καθατάμνειν, ἔστ' ἂν πρὸς τὸ ὀστέον ἵκῃ, [2] μὴ [δὲ] μετεώρους, μηδ' ἐπικαρσίους τὰς τομὰς ποιέειν, [3] τάμνειν δὲ ἄχρι τοῦ ὀστέου, ἄχρις αὐτοῦ

τοῦ

affectum molli medicamento illines, quod ficcare poteft, fimulque modicam lachrymam ducere, [9] & ad nares medicamentum adhibebis, aut fingulis diebus, aut alternis eodem utens. [10] Sit autem tale medicamentum, quod non plus quam acetabulum per nares deducat, idque paulatim: [11] quod vero oculis adhibetur reficcet, ut quod oculorum pharmacum reficcarit ac obftruxerit, id ipfum ad nares feratur.

XXII. Medicamenta caput purgantia, quæ quidem fortia funt, à toto capite ducunt: [2] quæ vero debilia, ab oculis & hinc à vicinis nafo partibus. [3] Si autem à carne & offe, muco inter os & carnem fubfiftente, fluxus ad oculos fiat, ex hoc manifeftum fit quod inde profluit. [4] Cutis in capite compreffa cedit, & ulcera in capite enafcuntur, [5] & oculi lachrymantur, & palpebræ non exulcerantur, nec mordax eft fluxus, nec vifum hebetat, fed homo ipfe acutius videt. [6] Fluxus enim non eft falfus, utpote non de cerebro, fed magis mucofus. [7] Hunc fic fanare oportet. Medicamento caput purgandum eft non forti, & corpus attenuandum, & cibis & medicamentis infra corpus fubducentibus, [8] donec attenuato corpore fluxus reficcetur, aut medicamento in nares indito emoveatur. [9] Verum ad ipfos oculos nullum pharmacum adhibendum eft.

XXIII. Si vero neque fic fanus fiat, caput fecare, donec ad os perveneris, oportet, [2] non fuperficialibus neque transverfis aut obliquis fiffuris, [3] incuffis ufqueque ad os ipfum

pertı-

τῶν ὀστέων θίγῃς. 4 τάμνειν δὲ πυκνὰ, ὡς ἂν τὸ συνεστηκὸς ἐξέλθῃ θᾶσσον διὰ τῶν ἑλκέων ἀποῤῥέον. 5 ἅμα δὲ αἱ τομαὶ πυκναὶ ἐοῦσαι περίτασιν ποιέωσι τῇ σαρκὶ πρὸς τὸ ὀστέον. 6 οὕτως ἰῆσθαι δεῖ, ἐς τοῦτο τοιάδε ἡ ἀποτελεύτησις γίνεται. 7 ἢν μὴ ταῦτ' ἐπιτήδεια εἴη, ἢ ἐκκέκλυσται, ὥστε ἐκκεκλυσμένον ὀξὺ ὁρᾶν ποιέειν. 8 ἀλλὰ τῷ ἐφισταμένῳ μαρμαρυγώδης μᾶλλον γίνεται, καὶ τὸ ὀξὺ ὁρᾶν τῶν ἀνθρώπων ἀποσβέννυται. 9 ἢν δ' ἐς τὴν ὄψιν, ἐς τὸ ὑγρὸν καθαρὸν, αἱματῶδές τι ἐσέλθῃ ὑγρὸν, τούτῳ ἡ ὄψις ἔνδον ἐμφαίνεται τοῦ ὀφθαλμοῦ οὐ στρογγύλον ἐὸν διὰ τόδε. 10 καὶ περικινέεσθαι αὐτῷ δοκεῖ περὶ τῶν ὀφθαλμῶν, καὶ οὐδὲν κατ' ἀλήθειαν ὁρᾷ. 11 τούτῳ χρὴ τὰς φλέβας ἀποκαίειν, τὰς πιεζούσας τὰς ὄψις, αἳ σφύζουσιν αἰεὶ καὶ μεταξὺ τούτου ὠτὸς καὶ τοῦ κροτάφου πεφύκασι. 12 καὶ, ἐπειδὰν ταύτας ἀποφράξῃς, πρὸς τοὺς ὀφθαλμοὺς φάρμακα, ὅσα ὑγραίνει, προσφέρε, καὶ δάκρυον ἄπαγε ὡς πλεῖστον, 13 ὅπως τὸ συνεστηκὸς ἐν τοῖσιν ὀφθαλμοῖσιν ἐκκλυσθῇ, τὸ τὴν νοῦσον παρέχον. 14 ἢν δὲ ὀφθαλμὸς ῥαγῇ, μαλθακοῖσι φαρμάκοισι χρῆσθαι, καὶ στρυφνοῖσιν, ὡς συφόρμενον τὸ ἕλκος ἐς μικρὸν συνίῃ, καὶ ἡ οὐλὴ λεπτὴ ᾖ. 15 ὅταν δὲ ἐπάργεμος ᾖ, δακρύειν τὸν ὀφθαλμὸν δοκέει.

XXIV. Ὁπόταν δὲ ἐς τὸν θώρακα ῥέῃ καὶ χολὴ ᾖ, τῷδε δῆλόν ἐστι. 2 ὀδύνη ἔχει ἐς τὴν λαπάρην, καὶ ἐς τὴν κληῖδα τὴν πρὸς τὴν λαπάρην, 3 καὶ πυρετὸς, 4 καὶ ἡ γλῶσσα τὰ ἄνω χλωρὴ γίνεται, 5 καὶ ἀποχρέμπτεται ξυμπεπηγότα. 6 ταύτης τῆς νούσου

pertigeris. 4 frequenter autem secare oportet, ut compactus humor citius prodeat per ulcera affluens: 5 & simul ut frequentes sectiones, extensionem carnis ad os faciant. 6 Sic mederi oportet, si huic hoc modo res succedat. 7 Si vero hæc non commoda fuerint, & fluxus non eluitur, ut elutus acute cernere faciat, 8 semper ab incumbente oculi magis splendescentes fiunt, & acutus visus hominis extinguitur. 9 Si in visum, in humorem purum cruentus aliquis humor ingrediatur, huic visus intra oculum non rotundus esse apparet, 1 propterea quod in quocunque inest cruentus humor, id ipsum non apparet huic itaque deficit ut visus rotundus appareat, 10 & ante oculos aliqua moveri ipsi videntur, & nihil revera videt. 11 Hujus venas visum prementes exurere oportet, quæ videlicet semper pulsant, & inter aurem ac tempora constitunt, 12 & ubi has obturaveris, oculis pharmaca quæ humectant adhibe, & lachrymam quam plurimam profecta, 13 quo id quod in oculis compactum est, & morbum facit, eluatur. 14 Si vero oculus rumpatur, mollibus medicamentis & acerbis utendum est, ut ulcus adstrictum in angustum coeat, & cicatrix tenuis fiat. 15 Si autem adhuc humoribus plenus fuerit, lachrymare oculo conducit.

XXIV. At vero quum in thoracem fluxerit, & bilis fuerit, ex hoc manifestum sit. 2 dolor lateris mollitudinem occupat, & claviculam ejusdem partis, 3 & febris adest, 4 & lingua superne pallida ac viridis fit, 5 & exscreat compacta. 6 Hujus morbi

νέσῳ ἑβδομαίῃ ὁ κίνδυνός ἐστιν ἢ ἐνναταίῃ. 7 Ὁκόταν [δὲ] ἀμφότερα τὰ πλευρὰ ἀλγέῃ, τὰ δ' ἄλλα ὅμοια ᾖ τῇ ἑτέρῃ, 8 αὕτη μὲν περιπλευμονίη ἐστὶν, ἡ δ' ἑτέρη πλευρῖτις. 9 αὗται δὲ γίνονται διὰ τόδε. 10 ὅταν ἐς τὸν πλεύμονα ῥεύσῃ ἐκ τῆς κεφαλῆς διὰ τοῦ βρόγχου καὶ τῶν ἀορτέων, 11 ὁ πνεύμων ἅτε ψαφαρὸς ἐὼν καὶ ξηρὸς φύσει ἕλκει ἐφ' ἑαυτὸν τὸ ὑγρὸν, ὅ, τι ἂν δύνηται, 12 καὶ ἐπὴν εἰσρύσῃ, μείζων γίνεται, 13 καὶ ὅταν μὲν ἐς ὅλον ῥεύσῃ, μείζων ὁ λοβὸς γενόμενος, ἀμφοτέρων ἔψαυσε τῶν πλευρέων, καὶ περιπλευμονίην ἐποίησεν. 14 ὅταν δὲ τῆς ἑτέρης μοῦνον, πλευρῖτις ἦ.

XXV. Ἡ περιπλευμονίη πολὺ ἐπικινδυνωτέρη ἐστὶ, καὶ ὀδύναι πολὺ ἰσχυρότεραί εἰσιν αἱ ἐς τὰς λαπάρας καὶ ἐς τὰς κληῖδας, 2 καὶ ἡ γλῶσσα πολὺ ἀχροτέρη, 3 καὶ τὴν φάρυγγα ἀλγέει ὑπὸ τοῦ ῥεύματος, 4 καὶ κόπος ἔχει ἰσχυρὸς, 5 καὶ πνεῦμα ἑκταῖον ἢ ἑβδομαῖον λάζεται. 6 τοῦτον ἢν μὴ ἑβδομαῖον ὁ πυρετὸς ἀφῇ, ἀποθνήσκει καὶ ἀποπνίγεται, ἢ ἀμφότερον. 7 ἢν δ' ἐνναταῖον, δύο ἡμέρας διαλιπὼν, λάζηται ὡς τὰ πολλὰ, καὶ οὗτος ἢ ἀποθνήσκει ἢ ἔμπυος διαφεύγει. 8 ἢν δὲ δωδεκαταῖον, ἔμπυος γίνεται. 9 ἢν δὲ τεσσαρεσκαιδεκαταῖον, ὑγιὴς γίνεται. 10 καὶ ἔμπυοι, ὅσοι ὑπὸ περιπλευμονίης ἢ πλευρίτιδος γίνονται, οὐκ ἀποθνήσκουσιν, ἀλλ' ὑγιέες γίνονται.

XXVI. Ὡς τὰ πολλὰ ἔμπυοι γίνονται, ὅταν ῥεῦμα ἐς τὸ αὐτὸ, ὥσπερ ἐπὶ τῇσι χολῇσι, γένηται. 2 ἀλλὰ τῇσι μὲν χολῇσι πολὺ ἀπορρέει, καὶ

bi periculum ſeptima aut nona die inſtat. 7 Alia bilis. Quum ambo latera doluerint, reliqua autem ſimilia velut in priore fuerint: 8 hæc quidem peripneumonia eſt: illa vero pleuritis. 9 Hæ autem propterea fiunt. 10 Quum in pulmonem fluxerit ex capite, per guttur, & aortas appellatas appendentes partes pulmonis, 11 pulmo tanquam natura rarus & ſiccus, trahit in ſe humorem quantum ejus capere poteſt, 12 & ubi influxerit major fit: 13 & ubi quidem in totum fluxerit, extremitas ejus major reddita utrumque latus contingit, & peripneumoniam pulmonis appellatum morbum, facit. 14 quum vero alterum tantum, pleuritis id eſt coſtalis morbus fit.

XXV. Peripneumonia multo periculoſior eſt, & dolores multo fortiores ſunt, qui ad laterum mollitudinem & ad claviculas tendunt, 2 & lingua multo viridior ac pallidior, 3 & fauces præ fluxione dolent, 4 & laſſitudo fortis occupat, 5 & ſpiritus ſexta aut ſeptima die corripit. 6 hunc ſi non ſeptima die febris dimiſerit, moritur aut ſuffocatur, aut utrumque. 7 Si vero nona die, duabus diebus interpoſitis, corripiat, utplurimum etiam hic aut moritur, aut ſuppuratus evadit. 8 Si vero duodecima die, ſuppuratus fit. 9 Si quarta & decima, ſanus fit. 10 Et quicunque præ peripneumonia aut pleuritide ſuppurati fiunt, non moriuntur, ſed ſani fiunt.

XXVI. Suppurati utplurimum fiunt, quum fluxus in idem velut in bile contingit, 2 ſed in bile quidem multum defluit, & ubi

καὶ ἀποῤῥεύσιες παύεται. ³ τοῖσι δ' ἐμπύοισιν ἔλασσόν τε ῥεῖ καὶ οὐ παύεται, ⁴ καὶ ἔμπυοι γίνονται, ὅταν ἔλασσον ἀποχρέμπτωνται ἢ ἐπιῤῥέει ἐς τὸν πλεύμονα. ⁵ τοῦτο γὰρ, τὸ ἐν τῷ πλεύμονι συνιστάμενόν τε καὶ ἐπιῤῥέον, πῦον γίνεται. ⁶ τὸ δὲ πῦον συνιστάμενον ἐν τῷ πλεύμονι καὶ ἐν τῷ κιθαρῷ, ἑλκοῖ καὶ σήπει. ⁷ καὶ, ἐπὴν ἑλκωθῇ, ἀπὸ τοῦ ἡλκωμένου ἐπιῤῥέει, ⁸ καὶ ἐπὴν ἀποχρέμπτηται, ἅμα μὲν ἡ κεφαλὴ μᾶλλον ῥεῖ σειομένη, ⁹ ἅμα δὲ ἐκ τοῦ ἡλκωμένου ἐν τῷ κιθαρῷ καὶ τῷ πλεύμονι μᾶλλον ῥεῖ, ¹⁰ καὶ τὰ ἕλκεα κινεύμενα ἐπιῤῥήγνυται. ¹¹ ὥστε καὶ, εἰ παύσαιτο τὸ ἀπὸ τῆς κεφαλῆς ῥέον, τὸ ἀπ' αὐτέων τῶν ἑλκέων ἱκανόν ἐστι νοῦσον παρέχειν. ¹² γίνεται δὲ καὶ ἀπὸ ἕλκεος ἔμπυος, καὶ ῥάων αὕτη ἡ νοῦσος. ¹³ γίνεται δὲ καὶ ἐκτὸς τοῦ πλεύμονος, μάλιστα μὲν ἀπὸ ῥήγματος, καὶ ὅταν ἡ σὰρξ φλασθῇ. ¹⁴ κατὰ τοῦτο γὰρ πῦον ξυνίσταται, καὶ ξυνιστάμενον, εἴ τις σείει τὸ σῶμα, κλυδάζεται, καὶ ψόφον παρέχει. ¹⁵ καὶ καίονται ταῦτα.

XXVII. Φθίσις δὲ γίνεται, ὅταν ἐς τὸ αὐτὸ, ὥσπερ τῷ ἐμπύῳ, ὁ ῥόος ἔλθῃ διὰ τοῦ βρόγχου καὶ τῶν ἀορτέων, αἳ ξυνέχουσι τὸν πλεύμονα καὶ τὸν βρόγχον. ² ἐς δὲ τὸν πλεύμονα ῥέει θαμινὰ κατ' ὀλίγον, καὶ ὑγρότητα ἐν τῷ πλεύμονι οὐ ποιεῖ πολλήν. ³ ξηραινόμενον γὰρ τὸ ἐπιῤῥέον ἐν τῷ βρόγχῳ πεπηγὸς, ὥστε οὐκ ἐκκλυζόμενον, ἀλλὰ κατ' ὀλίγον ἐπιῤῥέον καὶ ἐνισχόμενον, βῆχα ποιεῖ, ⁴ ἔν τε τῇσιν ἀορτῇσιν ἐνισχόμενον τὸ ῥέον, ὥστε στενὰς διατρήσιας ἐχούσας τὰς ἀορτὰς, στενοχωρίην τῷ πνεύματι παρέχει, ⁵ καὶ τοιοῦτο ποιεῖ πνεῦμα ἔχειν, ὥστε ἀναλειπόμενον αἰεὶ ἐπιθυμεῖ ἀνα-

ubi defluxit sedatur. ³ Suppuratis vero minus defluit, & non sedatur. ⁴ Fiunt etiam suppurati, quum minus exscreant quam influit in pulmonem. ⁵ Hoc enim quod in pulmone consistit, & quod influit, pus fit. ⁶ Pus in pulmone & in thorace consistens ac congregatum, ulcerat & putrefacit, ⁷ & postquam exulcerata fuerint, ab ulcerato influit, ⁸ & quum exscreat, caput simul concussum magis fluit, ⁹ simulque ex ulcerato in thorace ac pulmone magis fluit, ¹⁰ & ulcera agitata refringuntur : ¹¹ ut etiam, si fluxus à capite cesset, is qui ab ipsis ulceribus venit sufficiens sit morbum facere. ¹² Fit præterea etiam ab ulcere suppuratus, & levior hic morbus existit. ¹³ Fit etiam extra pulmonem, maxime quidem à ruptura, & ubi caro contusa fuerit. ¹⁴ Juxta hanc enim pus congregatur, & congregatum fluctuat, si quis corpus concutiat, & strepitum facit, ¹⁵ & hæc uruntur.

XXVII. Tabes autem fit quum in idem, velut in suppurato, fluxio fit per guttur, & appendentes pulmonis partes, appellatas aortas, quæ pulmonem & guttur continent ac conjungunt. ² Fluit autem in pulmonem frequenter & paulatim, & humiditatem in pulmone non multam facit. ³ Resiccatum enim id quod influit, & in gutture compactum, utpote quod non eluitur, sed paulatim influit ac detinetur, tussim excitat, ⁴ & in aortis id quod influit detentum, utpote quum angusta foramina aortæ habeant, angustum spiritui locum exhibet, ⁵ & talem spiritum habere facit, qui velut defectus semper respirare con-

ἐπιθυμεῖν. 6 καὶ ἐν τῷ πλεύμονι, ὥστε οὐκ ἰσχυρῶς ὑγρῷ ἐόντι, ξυσμὸς ἐγγίνεται. 7 ὅταν δὲ πολὺ ἀποῤῥυῇ τῆς κεφαλῆς, οὔτ' ἐν τῷ πλεύμονι ξυσμὸς γίνεται. 8 πολὺ γὰρ αὐτέῳ τὸ ἐπιῤῥέον ἐστὶ, καὶ ἔμπυοι ἐκ τῶν φθισίων τούτων γίνονται, ὅταν ὑγρότερον τὸ σῶμα γένηται· 9 καὶ ὅταν ξηρότερον γένηται, ἐκ τῶν ἐμπύων φθισῶντες.

XXIIX. Ἔμπυοι [δὲ] τῷδε δῆλοι γίνονται. 2 τὴν λαπάρην ἀρχομένοισι πόνος ἔχει. 3 ἐπὴν δὲ πῦον ξυνεστήκῃ ἤδη, ὅ, τε πόνος ὁμοίως ἔχει, βήξ τε γίνεται, καὶ ἐπανακρέμπτεται πῦον, καὶ πνεῦμα ἔχει. 4 ἢν δὲ μήπω ἐῤῥώγῃ ἐν τῇ λαπάρῃ, σείεται καὶ ψοφέει οἷον ἐν ἀσκῷ. 5 ἢν δὲ τούτων μηδὲν προσέῃ, ἔμπυος δὲ ᾖ, τοῖσιδε χρὴ τεκμαίρεσθαι. 6 πνεῦμα πολὺ ἔχει, 7 φθέγγεταί τε ὑποβραγχότερον, 8 καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ γούνατα, 9 μᾶλλον δὲ κατὰ τὴν λαπάρην, ἐν ᾗ τὸ πῦον ἐστί· 10 καὶ ὁ θώραξ συγκεκαμμένος ἐστί· 11 καὶ λυσιγυῖα γίνεται· 12 καὶ ἱδρὼς περικέχυται ὅλον τὸ σῶμα, καὶ τοτὲ μὲν δοκέει θερμὸς αὐτὸς ἑωυτῷ εἶναι, τοτὲ δὲ ψυχρός. 13 καὶ οἱ ὄνυχες περιτεταμένοι εἰσί. 14 καὶ ἡ κοιλίη θερμὴ γίνεται. 15 τούτοισι χρὴ γινώσκειν τοὺς ἐμπύους.

XXIX. Ὅταν δ' ὄπισθεν ῥεύσῃ ἐς τὴν ῥάχιν, φθίσις γίνεται τοιάδε. 2 τὴν ὀσφὺν ἀλγέει, 3 καὶ τὰ ἔμπροσθεν τῆς κεφαλῆς κενὰ δοκέουσιν αὐτῷ εἶναι· 4 χολὴ δὲ τότε ἐστὶν ἐπικίνδυνον. 5 ἴκτερος ἢν ἐπιγένηται ἐν τοῖσιν ὀφθαλμοῖσι, 6 καὶ ἐν τοῖσιν ὄνυξι πελιδνὸν ὅταν γένηται, 7 καὶ ἐς τὸ σῶμα ὅταν ἔχῃ ἕλκεα,

concupiscit. 6 Et in pulmone velut non vehementer humido existente, pruritus contingit. 7 Quum vero multum de capite fluxerit, pruritus in pulmone non fit. 8 Multum enim est quod in ipsum influit, & suppurati ex his tabidis sive phthisicis græce appellatis fiunt, ubi corpus humectius factum fuerit: 9 & contra ubi siccius fuerit factum, ex suppuratis tabidi.

XXVIII. Suppurati hoc modo cognoscuntur. 2 Lateris mollitudinem à principio dolor occupat. 3 Quum vero jam pus collectum est, & dolor similiter habet, & tussis fit, & pus exscreat, & spiritus corripit. 4 Si vero nondum erupit pus, in lateris mollitudine concutitur, & velut in utriculo strepitum facit. 5 Si vero horum nihil adsit, suppuratus autem sit, ex his conjectare oportet. 6 Spiritum multum habet, 7 subraucoriusque loquitur, 8 & pedes ac genua intumescunt, 9 magis autem ab ea lateris mollitudinis parte, in qua pus est, 10 & thorax concurvatus est, 11 & membrorum dissolutio fit, 12 & sudor per totum corpus diffluit, & aliquando sibiipsi videtur calidus esse, aliquando frigidus: 13 & ungues circumtensi sunt, 14 & alvus calida fit. 15 Ex his suppuratos cognoscere oportet.

XXIX. Porro quum retro in spinam fluxio processerit, huic tabes fit ejusmodi. 2 Lumbos dolet, 3 & anteriores capitis partes vacuæ videntur ipsi esse, 4 Bilis autem periculosa est, 5 si icterus sive regius morbus in oculis accedat, 6 & in unguibus lividitas si fiat: 7 & si corpus ulcera habeat,

ἕλκεα, καὶ τὰ περὶ τὰ ἕλκεα πελιδνὰ ᾖ, [8] καὶ ὁ ἱδρὼς ἐκχέηται μὴ κατ' ὅλον τὸ σῶμα ἐκθύων, ἀλλὰ κατ' ἓν μέρος τοῦ σώματος, [9] καὶ ὅταν τοῦ πυρετοῦ ἔτι ἐόντος ἐπαναχρέμπτηται χλωρὸν, [10] ἢ ἐνεόντος ἐν τῷ πλεύμονι ἔτι τοῦ χλωροῦ, ἡ ἐπανάχρεμψις παύσηται. [11] οὕτω δὲ δεῖ γινώσκειν, ὅταν ἐνῇ, καὶ ὅταν μὴ ἐνῇ. [12] ὅταν ἐνῇ, ἐμψοφέει ἐν τῇ φάρυγγι ἀναπνέοντος, [13] καὶ πνεῦμα ἐπικίνδυνον, [14] καὶ λύγξ, [15] καὶ ὁ πυρετὸς ἀπιὼν, ἀποχρεμμαίνοντος ἔτι ἐν τῷ πλεύμονι ἐόντος, [16] καὶ ἡ κοιλίη ἀσθενέος ἤδη ἐόντος ὑποχωρέουσα. [17] ταῦτα πλευρίτιδος καὶ περιπλευμονίης ἐπικίνδυνα.

XXX. Πλευρῖτιν ὧδε χρὴ ἰᾶσθαι. [2] τὸν πυρετὸν μὴ παύειν ἐπτὰ ἡμερέων. [3] πιεῖν δὲ χρῆσθω, ἢ ὀξυμελικρήτῳ, ἢ ὄξει καὶ ὕδατι. [4] ταῦτα δὲ χρὴ προσφέρειν ὡς πλεῖστα, ὡς ἐπιτέγξις γένηται, καὶ γενομένη ἐπανάχρεμψις πείη. [5] καὶ τὴν ὀδύνην παύειν θερμαντηρίοισι φαρμάκοισι, [6] καὶ καταρροφεῖν διδόναι, ὅ, τι ἐπανάχρεμψιν ποιέει. [7] καὶ λουτροῖσι χρέεσθαι τεταρταίοισι· [8] τῇ δὲ πέμπτῃ καὶ τῇ ἕκτῃ χρίειν ἐλαίῳ· [9] τῇ δὲ ἑβδόμῃ λούειν, ἢν μὴ ὁ πυρετὸς μέλλῃ ἀφιέναι, ὡς ὑπὸ τοῦ λουτροῦ ὁ ἱδρὼς ἐγγένηται. [10] καὶ ἐπὶ τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ ἰσχυροτάτοισι χρέεσθαι τοῖσιν ἐπαναχρεμπτηρίοισι φαρμάκοισι, ὡς τὴν ἑβδόμην ὅτι ῥήϊστα ἡμέρην ἀγάγῃ. [11] ἢν δὲ μηδὲ τῇ ἑβδόμῃ ἡμέρῃ παύσηται, τῇ ἐνάτῃ παύσεται, ἢν μή τι ἄλλο τῶν ἐπικινδύνων γένηται. [12] ἐπὴν δὲ ὁ πυρετὸς ἀφῇ, ῥοφήματα ὡς ἀσθενέστατα ποιέων προσφέρειν. [13] ἢν δὲ ἐνεὸν ἐγγένηται, ἢν μὲν ἔτι νεαροῦ τοῦ σώματος ἐόντος, τῶν πο-

beat, & partes circa ulcera liuidæ sint, [8] & quum sudor non toto corpore erumpit, sed una aliqua corporis parte, [9] & quum febre adhuc existente exscreat æger pallidum uiride, [10] aut si dum adhuc in pulmone inest pallidum uiride, exscreatio cesset. [11] Sic autem quum inest, & non inest, cognoscere oportet. [12] Quum inest, in faucibus respirantis strepit, [13] & spiritus periculosus est, [14] & singultus adest, [15] & febris discedit, exscreatione adhuc in pulmone hærente, [16] & aluus debili jam existenti secessum facit. [17] Hæc pleuritidis & peripneumoniæ periculosa indicia existunt.

XXX. Cæterum pleuritidem hoc modo curare oportet. [2] Febris sedanda non est per septem dies. [3] Potu utendum aut aceto mulso, aut aceto & aqua: [4] hæc autem quam plurima offerre oportet, quo humectatio fiat, eaque facta exscreationem faciat: [5] & dolor sedandus est calfactoriis medicamentis, [6] & absorbendum dandum est quicquid exscreationem facit, [7] & balneis utendum quarta die, [8] quinta autem & sexta oleum illinendum est. [9] Septima lauandum est, si febris demittere non uelit, quo præ balneo sudor contingat. [10] Insuperque & quinta & sexta fortissimis utendum est exscreatoriis medicamentis, quo septimam diem quam facillime transigat. [11] Si uero neque septima die febris cesset, nona cessabit, si non aliud quid periculosum accedat. [12] Postquam autem febris dimiserit, sorbitiones quam debilissimæ offerantur. [13] Si uero euacuatio oboriatur, siquidem juuenile adhuc est corpus

πότων ἀφαιρέειν. 14 ἢν δὲ, τοῦ πυρετοῦ ἀφιέντος, πυρίνοισι τοῖσι ῥοφήμασι χρῶ. 15 καὶ τὴν περιπλευμονίην τὸν αὐτὸν τρόπον ἰῶ.

XXXI. Τοὺς ἐμπύους [δὲ] καθαίρειν τὴν κεφαλὴν μὴ ἰσχυροῖσι φαρμάκοισιν, 2 ἀλλὰ κατὰ μικρὸν ἀποτρέπειν ἐς τὰς ῥῖνας, 3 καὶ ἅμα διαχωρητικοῖσι σιτίοισι χρέεσθαι. 4 καὶ ἐπὴν ἡ ἀρχὴ τοῦ νοσήματος μηκέτι ᾖ, ἀλλ' ἐκτρέπηται ὁ ῥόος, 5 ἐπανάχρεμψιν ποιέεσθαι, καὶ βῆχα ποιέειν, 6 καὶ ἐγχύτοισι φαρμάκοισι χρέεσθαι, καὶ σιτίοισιν ἅμα. 7 ὁπόταν δὲ δέῃ ἀπόχρεμψιν ποιέεσθαι, 8 καὶ πλέοσι σιτίοισι καὶ ἁλυκοῖσι χρέεσθαι καὶ λιπαροῖσι, καὶ οἴνῳ αὐστηρῷ. 9 καὶ βῆχα ποιέειν, ὅταν ὧδε ἔχῃ. 10 καὶ τοὺς ὑπὸ τῆς φθίσιος τὸν αὐτὸν τρόπον τἄλλα, 11 πλὴν τὰ σιτία μὴ πολλὰ ἅμα, καὶ τὰ ὄψα μὴ πλέονα ἢ τὰ σιτία. 12 καὶ τῷ οἴνῳ ὑδαρεῖ χρῶ ἐπὶ τῷ σιτίῳ, ὡς μὴ θερμαίνῃ καὶ τῷ σώματι ἀσθενεῖ ἐόντι θερμότητα παρέχῃ, 13 καὶ ἅμα ἀμφότερα θερμαίνωσιν ἐν τῷ αὐτῷ χρόνῳ, καὶ θερμαντῇ ποιέωσι ῥεῦμα πολύ.

XXXII. Ὁπόταν [δὲ] διὰ τοῦ οἰσοφάγου ἐς τὴν κοιλίην ῥεύσῃ, νῆσις γίνεται κάτω· ἔστι δ' ὅτε καὶ ἄνω. 2 τούτῳ ἢν μὲν ὀδύνη ἐνῇ ἐν τῇ γαστρὶ, ὑπεξάγειν πρῶτον φαρμάκῳ ἢ χυλῷ· 3 ἔπειτα φαρμάκῳ ἰσχυροτέρῳ χρέεσθαι, τοῖσί τε σιτίοισι διαχωρητικοῖσιν, ἕως ἂν ἡ ὀδύνη ἔχῃ. 4 ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, καὶ τοῖσι σιτίοισιν ἰσχυροτέροισι χρέεσθαι. 5 τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὴν πολλὰς ἡμέρας ἡ νῆσις ἔχῃ, ἰᾶσθαι. 6 ἢν δὲ ἀσθενὴς ᾖ, καὶ μὴ δύνηται προσφέρεσθαι ὑπὸ ἀσθενείης, κλύζειν

pus, potus auferendi sunt. 14 Si vero febris dimisit, triticeis sorbitionibus utaris. 15 Et eodem modo peripneumoniam curato.

XXXI. At vero suppuratis caput purgare oportet non fortibus medicamentis, 2 sed paulatim avertere in nares, 3 & simul edulijs ventrem subducentibus uti. 4 Et quum principium morbi nondum est, sed eo fluxus vertitur ac vergit, 5 exscreationem facere, & tussim excitare, 6 & medicamentis infusilibus in nares uti, & cibis simul ingestis. 7 Quum autem exscreationem facere oportet, 8 pluribus cibis & salsis ac pinguibus utendum est, & vino austero, 9 & quum sic habet tussis inducenda. 10 Tabidos item eodem modo quod ad reliqua attinet curabis, 11 præterquam quod cibi non multi simul ingerendi sunt, & obsonia non plura quam cibaria frumentacea, 12 & vino inter edendum utendum est aquoso, ut ne calfaciat, & corpori debili existenti caliditatem exhibeat, 13 & simul ambo calfaciant in eodem tempore, & caliditate multum fluxum inducant

XXXII. Quum porro per gulam fluxus in ventrem processerit, morbus infra fit, aliquando etiam superne. 2 Huic siquidem in ventre dolor inerit, subducendus est primum medicamento aut succo, 3 deinde pharmaco fortiore utendum est, cibis vero alvum subducentibus, donec dolor perseveret. 4 Ubi vero dolor sedetur, cibis validioribus utatur. 5 Eodem modo ubi morbus multos dies hæserit curabis. 6 Si vero debilis fuerit, & præ imbecillitate hæc offerri non possint:

ζειν πρῶτον μὲν χρὴ χυλῷ πτισάνης· 7 ἔπειτα, ἐπὴν τοῦτο καθήρῃς, " τῷ συφωνίῳ τινί. 67

XXXIII. Ὁπότε δ' ἐς τὴν σάρκα ὄπισθεν παρὰ τοὺς σπονδύλους ῥεύσῃ καὶ ὕδρωπα ποιήσῃ, ὧδε χρὴ ἰᾶσθαι. [2] καίειν τὴν σάρκα τὴν ἐν τῷ τραχήλῳ μεταξὺ τῶν φλεβῶν ἐσχάρας τρεῖς. [3] καὶ, ἐπὴν καύσῃς, ξυνάγειν καὶ ποιεῖν ὡς ἰσχνοτάτας οὐλάς. [4] καὶ, ἐπὴν ἀποφράξῃς, πρὸς τὰς ῥῖνας φάρμακον προσφέρειν, ἕως ἐκτρέπηται. [5] " καὶ ἑτέρην αὖθις, ἕως ἂν ἀποτρεφθῇ. 68 [6] καὶ τὰ μὲν ἔμπροσθεν τῆς κεφαλῆς θερμαίνειν, τὰ δ' ὄπισθεν ψύχειν. [7] καὶ, ἐπήν σοι ἐκτεθερμασμένον ᾖ, τὰ ἔμπροσθεν τῆς κεφαλῆς. [8] " σιτία [δὲ] ἐσθίειν τὰ φλεγματωδέστατα, 69 καὶ ἥκιστα διαχωρητικὰ, ὡς ὅτι μάλιστα διευρυνθῶσιν αἱ ῥοαὶ αἱ ἔμπροσθεν τῆς κεφαλῆς. [9] ἔπειτα δ', ἐπὴν ἀποφράξῃς καὶ ἀποτρέψῃς τὴν ἐπιρροίην, ἤν τι, πρὶν ἢ ξυντρέπεσθαι τὸ ῥεῦμα, ἐς τὸ σῶμα ἔλθῃ, ὧδε χρὴ ἰᾶσθαι. [10] ἢν μὲν μᾶλλον πρὸς τὸ δέρμα ἐκκεχωρηκὸς ᾖ, τὰ ἔξωθεν πυριᾶν. [11] ἢν δ' ἔνδον πρὸς τὴν κοιλίην, ἔξωθεν δὲ μὴ δῆλον ᾖ, " φάρμακον πιπίσκειν. 70 [12] ἢν δ' ἐπ' ἀμφότερα, ἀμφοτέρων ἀφαιρέειν. [13] ἐπιτηδεύειν δὲ χρὴ ἐγγυτάτω ἔξοδον ποιέειν, ἤν τε κάτω, ἤν τε ἄνω, ἤν τε ἄλλῃ ὅπῃ τῷ σώματι ἔξοδοί εἰσιν

XXXIV. Ὁπόταν [δ'] ἰσχιὰς ἀπὸ ῥόου γένηται, σικύην χρὴ προσβάλλειν, καὶ ἕλκειν ἔξω, καὶ μὴ κατασχάζειν, [2] καὶ ἔνδοθεν θερμαντήρια φάρμακα πι-

possint: primum quidem ptisanæ succo per clysterem infuso, alvus eluenda [f] est, [7] post ubi per hunc purgaris, aliquo ex adstringentium numero. [t]

XXXIII. Quum autem retro in carnem juxta vertebras fluxus illapsus hydropem fecerit, sic mederi oportet. [2] Caro in collo inter venas crustis tribus uratur, [3] & ubi usseris, constringatur: & cicatrices quam tenuissimæ inducantur, [4] & ubi fluxum obturaris, medicamentum in nares adhibe, ut eo vertatur, [5] & aliud rursus, donec avertatur: [6] & [f] anteriores quidem capitis partes calfacito, posteriores vero perfrigerato. [7] Et postquam anterioribus capitis partibus excalfactus fuerit, [8] cibos edat quam pituitosissimos, ac minime ventrem subducentes, quo fluxionum meatus in anteriore capitis parte quam maxime dilatentur. [9] Postea ubi obturaris & averteris influxionem, si quid prius quam curaris fluxum, in corpus pervenerit, sic mederi oportet. [10] Siquidem [f] magis ad cutem secesserit, externis partibus fomentum adhibebis. [11] Si vero intro ad ventrem, foris autem non conspicuum sit, medicamentum bibendum dabis. [12] Si vero in utranque partem, ab utraque detrahes. [13] Verum hoc studio habere oportet, ut proximum exitum facias, sive inferne sive superne, aut etiam alia aliqua corporis parte, ubi exitus sunt.

XXXIV. Quum coxendicum morbus à fluxione fiat, cucurbitam [f] medicam affigere oportet, & foras trahere, & non scarificando pertundere: [2] & calfactoriis medicamentis in potu exhi-

πιπίσκοντα διαθερμαίνειν, ὅπως ἔξοδος ᾖ, καὶ ἔξω ἐς τὸ δέρμα ὑπὸ τῆς ἑλκύσιος τῆς σικύης, καὶ ἐντὸς πρὸς τὴν κοιλίην ὑπὸ τῆς θερμασίης. 3 ὁπόταν γὰρ ἀποφραχθῇ καὶ μὴ ἔχῃ, ὅπῃ ὁδοιπορέῃ, ὁδοιπορέουσα ἐς τὰ ἄρθρα, ῥεῖ ἐς τὸ ὑπεῖκον, καὶ ἰσχιάδα ποιέει.

XXXV. Ἡ ὄπισθεν φθίσις. 2 τούτῳ τὴν κεφαλὴν καθαρτέον ἀσθενεῖ φαρμάκῳ, ἕως ἂν ἀποστραφῇ ὁ ῥόος· 3 καὶ τῇ διαίτῃ, ὥσπερ ἔμπροσθεν, χρέω. 4 φάρμακον δὲ πίσον ἐλατήριον, καὶ κάτω γάλακτι κλύσον. 5 τὰ δὲ ἄλλα πυρίῃσιν ἰῶ.

XXXVI. Ἐπὴν ὁ σπλὴν ὑπὸ πυρετοῦ μέγας γένηται. 2 γίνεται δὲ, ὅταν τὸ σῶμα λεπτυνθῇ. 3 τοῖσι γὰρ αὐτοῖσιν ὅ, τε σπλὴν θάλλει καὶ τὸ σῶμα φθίνει. 4 ὅταν δὲ τὸ σῶμα λεπτὸν ᾖ, καὶ ὁ σπλὴν θάλλῃ, καὶ τὸ ἐπίπλοον ἅμα τῷ σώματι λεπτυνθῇ, ἡ πιμελὴ ἡ ἐν τῷ ἐπιπλόῳ ἐκτήκεται. 5 ἐπὴν δὲ ταῦτα κενὰ πιμελῆς γένηται, καὶ ἀπὸ τοῦ σπληνὸς θάλλοντος ἀποῤῥέῃ ἐς τὸ ἐπίπλοον· ὡς ἐγγύτατα ἐὸν τὸ ἐπίπλοον· ὥστε τεύχεα ἔχον, καὶ ταῦτα κενὰ ἐσδέχεται. 6 καὶ, ἐπὴν τὸ νόσημα ἅπαξ ἐν τῷ σώματι γένηται, ἐς τὸ νοσέον τρέπεται, ἢν μή τις εὖ τεχνίζῃ· 7 ὡς καὶ τὸ εὖ τεχνιζόμενον ἐπικίνδυνον. 8 τοῦτον ὧδε ἰῆσθαι. 9 φάρμακα πιπίσκειν, ὑφ' ὧν ὕδωρ καθαρεῖται, καὶ σιτία τὰ φλεγματωδέστατα διδόναι. 10 ἢν δὲ μηδ' οὕτω ῥάων γένηται, καίειν ὡς λεπτότατα καὶ ὡς ἐπιπολαιότατα,

exhibitis intus calfacere, quo exitus fiat tum foras ad cutem per cucurbitæ tractionem, tum intus ad ventrem per caliditatem. 3 Nam quum obturatus fuerit fluxus, & non habeat quo iter faciat, viam ad articulos facit, & in id quod cedit influit, & sic coxendicum morbum inducit.

XXXV. Tabes ex fluxione retrorsum. 2 Qui hac affectus est, ei caput est purgandum debili medicamento, donec fluxus avertatur: 3 diæta autem utere velut in tabe superiore. 4 Medicamentum potandum præbe elaterium deorsum purgans, & inferne alvum lacte infuso elue, 5 de cætero fomentis utere.

XXXVI. Quum splen præ febre magnus factus fuerit: 2 (fit autem quum corpus attenuatur.) 3 Ex iisdem enim & splen floreicit, & corpus contabescit. 4 Quum autem corpus tenue fuerit, & splen floruerit, & omentum simul cum corpore attenuatum fuerit, pinguitudo in omento colliquescit. 5 Ubi vero vasa pinguitudine vacua facta fuerint, & à splene florente ac augescente in omentum defluxerit, utpote vicinum valde existens, & ut vasa habens eaque vacua, excipit, 6 & ubi morbus semel in corpore factus fuerit, ad id quod est morbosum vertitur, nisi quis probe disponat ac curet. 7 Nam etiamsi quis bene tractet, periculo non vacat. 8 Hunc sic sanare oportet. 9 Medicamenta in potu exhibenda sunt quæ aquam purgent, & edulia quam pituitosissima offerenda. 10 Si vero neque sic levior fiat, inurendæ sunt crustæ quam tenuissimæ, & quam maxime in superficie.

τεύχει, [11] ὅπως τὸ ὕδωρ ἴσχειν δύνῃ, [12] πέριξ τοῦ ὀμφαλοῦ κύκλον, καὶ ἐς τὸν ὀμφαλὸν μή, [13] καὶ ἀφιέναι ἑκάστης ἡμέρης. [14] τῶν νοσημάτων ὅ, τι ἂν ἐπικινδυνότατον ἔστιν, ἐν τούτοισι παρακινδυνεύειν χρή. [15] ἐπιτυχὼν μὲν γὰρ ὑγιᾶ ποιήσεις· ἀποτυχὼν δὲ, ὅπερ καὶ ὡς ἔμελλε γένεσθαι, τοῦτ᾽ ἔπαθε. [16] παιδίῳ δὲ χρὴ ὕδρωπα ὧδε ἰᾶσθαι. [17] τὰ οἰδέοντα καὶ ὕδατος ἔμπλεα 5 ἐξοίγειν μαχαιρίῳ, πυκνὰ καὶ σμικρὰ ἐξάγοντα. [18] ἐξάγειν δὲ ἐν μέρει ἑκάστου τοῦ σώματος. [19] καὶ πυρίῃσι χρῆσθαι, [20] καὶ αἰεὶ τὸ ἐξοιγόμενον χρίειν θερμαντηρίῳ φαρμάκῳ.

XXXVII. Πλευρῖτις ξηρὴ ἄνευ ῥόου γίνεται, ὅταν ὁ πλεύμων λίην ξηρανθῇ ὑπὸ δίψης ἀναγκαίης. [2] ὁ γὰρ πλεύμων, αὐτὸς ξηρὸς ἐὼν, ἐπὴν τι μᾶλλον ξηρανθῇ τῆς φύσιος, ἰσχνὸς γίνεται, [3] καὶ ἀκρατὴς γινόμενος καὶ κλιθεὶς ἐς τὸ πλευρὸν ὑπ᾽ ἀκρασίης, ψαύει τοῦ πλευροῦ, [4] καὶ, ἐπὴν θίγῃ, ὑγροῦ ἐόντος ἀπίλεται, καὶ 10 πλευρῖτιν ποιέει. [5] τότε δὲ καὶ ὀδύνη γίνεται ἐς τὸ πλευρὸν καὶ ἐς τὴν κληΐδα, καὶ πυρετός· [6] καὶ ἐπαναχρέμπτεται λευκόν. [7] τοῦτον χρὴ πολλοῖσι πότοισι ἰᾶσθαι, καὶ λούειν, καὶ τῆς ὀδύνης φάρμακον διδόναι, καὶ τἄλλα τὰ ἀναχρέμπτεσθαι ποιεῦντα. [8] οὗτος ἐν ἡμέρῃσιν ἑπτὰ ὑγιὴς γίνεται, καὶ τὸ νόσημα ἀκίνδυνόν ἐστιν. [9] καὶ σιτία οὐ χρὴ διδόναι.

XXXIX. Πυρετοὶ δ᾽ αὐτὸ δὲ γίνονται· [2] ὅταν τοῦ σώματος ὑπερφλεγμήναντος αἱ σάρκες ἀνοιδήσωσι, καὶ τὸ φλέγμα καὶ ἡ χολὴ κατακλεισθέντα 15 ἀτρεμίζωσι, [3] καὶ μὴ ἀναψύχη-

perficie, [11] quo aquam continere possis, [12] circumcirca umbilicum, & una in umbilicum, [13] & emittere singulis diebus. [14] Quum enim morbus periculosissimus sit, in his periclitari oportet. [15] Si enim successerit, sanum facies: sin minus, quod etiam alias futurum erat, id ipsum perpetitur. [16] Cæterum in puero hydropem sic curare oportet. [17] Partes tumidæ & aqua plenæ aperiendæ sunt scalpello, & frequenter ac parum educendum est. [18] Educendum autem est à singulis corporis partibus, [19] & fomentis utendum, [20] & semper locum apertum unde eduxeris calfactorio medicamento illines.

XXXVII. Pleuritis sicca citra fluxum fit, quum pulmo valde exsiccatus fuerit præ siti necessaria. [2] Pulmo enim natura siccus existens, ubi amplius quid quam pro natura siccatus fuerit, gracilis fit, [3] & impotens redditus & ad latus præ impotentia reclinatus, latus contingit, [4] & postquam contigerit ipsum humidum existens, cohæret & adglutinatur, & pleuritidem, hoc est, lateris morbum facit. [5] Tunc vero & dolor fit in latere & in clavicula, & febris, [6] & album exscreat. [7] Hunc multis potibus curare oportet, & lavare, & doloris medicamentum præbere, & alia quæ exscreationem faciunt. [8] Hic in septem diebus sanus fit, & morbus minime periculosus est, [9] & cibos præbere non oportet.

XXXVIII. Febres porro propterea fiunt, [2] quum corpore superinflammato carnes intumuerint, & pituita ac bilis conclusa quieverint, [3] & neque re-

ψύχηται μηδὲν, μήτ' ἐξίον, μήτε κινεόμενον, μήτ' ἄλλο ὑπιόντος. ⁴ ὁπόταν [οὖν] κόπος ἔχῃ καὶ πλησμονὴ, λούειν χρὴ πολλῷ, καὶ χρίειν ὑγρὸν, καὶ θερμαίνειν ὡς μάλιστα, ⁵ ὡς ἡ θερμωλὴ, ἀνοιχθέντος τοῦ σώματος, ὑπὸ τοῦ ἱδρῶτος ἐξέλθῃ. ⁶ ἑξῆς δὲ δεῖ αὐτὰ ποιέειν καὶ τρεῖς καὶ τέσσαρας ἡμέρας. ⁷ καὶ, ἢν μὴ παύηται, φάρμακον πίσαι χολαγωγὸν, ⁸ καὶ ψύχειν τὸν πυρετὸν, πρὶν ἢ τεταρταῖος ᾖ. ⁹ μὴ δὲ, ἕως ἂν τὸ σῶμα θάλλῃ, πιπίσκειν φάρμακον. ¹⁰ οὐ γὰρ κενοῦνται, εἰ μὴ σμικρὸν, ὥστε σπαργῶντος τοῦ σώματος. ¹¹ ἐπὴν δὲ ἰσχνὸς ᾖ, πιπίσκειν, καὶ κενώσεται.

XXXIX. Πυρετῷ σιτίον μὴ προσφέρειν, μηδὲ ῥοφήμασιν ὑπεξάγειν. ² καὶ πιὼν ὕδωρ θερμὸν καὶ μελίκρητον, καὶ ὄξος σὺν ὕδατι. ταῦτα δὲ πιπίσκειν ὡς πλεῖστα. ³ ἢν γὰρ μὴ ψυχρὸν ἐσίῃ τὸ ποτὸν, θερμὸν ἐὸν καὶ μένον, ἐκ τοῦ σώματος τοῦ νοσέοντος ἀφαιρέει, ἤν τε διουρήσῃ, ἤν τε διιδρώσῃ. ⁴ πάντη δὲ ἀνοιγόμενόν τε καὶ ἀναπνέον καὶ κινεύμενον τὸ σῶμα, συμφέρον ποιήσει. ⁵ ἐπὴν δὲ ἰσχνὸν ἐόντα καίῃ, δῆλον, ὅτι οὐ διὰ τὸ φλεγμαίνειν ὁ πυρετὸς ἔχει. ⁶ καὶ, ἢν μὴ παύηται, τρέφειν καὶ φλεγμαίνειν ποιέειν. ⁷ καὶ, ἢν μηδ' οὕτω ξυμφέρῃ, δῆλον, ὅτι οὐκ ἐχρῆν τὸν πυρετὸν παρέχειν. ⁸ τοῦτον χρὴ φάρμακον πίσαι, ὡς ὑπεξάγῃ, ὅτῃ ἂν μᾶλλον ὁ πυρετὸς ἔχῃ, ἤν τε κάτω, ἤν τε ἄνω. ἢν μὲν ἄνω,

frigeretur quicquam, neque exeat, neque moveatur, neque aliud quid subeat. ⁴ Quum itaque lassitudo occuparit & febris ac repletio, lavare multa aqua oportet, & oleo illinere, & quam maxime calfacere, ⁵ quo caliditas aperto corpore, præ sudore egrediatur: ⁶ consequenter autem hæc facienda sunt per tres, aut quatuor dies: ⁷ & si non sedetur ac cesset, pharmacum in potu exhibendum est quod bilem educat, ⁸ & febris perfrigeranda est, præterquam si quartana existat. ⁹ Medicamentum tamen donec corpus floridum est ne propinato, ¹⁰ non enim vacuantur, nisi parum, utpote corpore turgente. ¹¹ Quum autem gracilis ac macilentus fuerit, tunc bibendum exhibe, & evacuabitur.

XXXIX. Febrienti cibum ne offeras, neque sorbitionibus subtus alvum ducas. ² In potu dabis aquam calidam, & aquam mulsam, & acetum cum aqua: hæc autem quam plurima bibat. ³ Si enim non frigidus ingressus fuerit potus calidus existens ac manens, ex corpore ægroto detrahet, & vel per urinam ejiciet, vel exsudabit. ⁴ Undiquaque autem apertum, & respirans, ac motum corpus, id quod conducibile est faciet. ⁵ Quum vero gracilem existentem febris urat, manifestum est quod non propter corporis tumorem febris occupet: ⁶ & si non cesset, nutrire oportet ac tumidum facere: ⁷ & si neque sic conducat, palam est quod non oportuerit febrem inducere. ⁸ Hunc itaque medicamentum potare oportet quod educat, qua parte febris magis hæret, sive superne, sive inferne:

ἄνω, ἄνω· ἢν δὲ κάτω, κάτω. 9 οὐδὲν δ' ἧσσον δεῖ τοὺς ἀσθενέοντας τῶν ἰσχυρῶν φαρμάκων πιπίσκειν· ἀλλ' ὁμοίως, ἢ μοῦνον οὕτω· τοῖσι μὲν ἰσχυροῖσιν, ἰσχυρόν· τοῖσι δ' ἀσθενέσιν, ἀσθενές. 10 τὰς δὲ πυρώσιας ποτοῖσι καὶ ῥοφήμασιν, ὥσπερ τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν, κάμμαρον ἢ ἄλλῳ τινὶ τοιούτῳ. 11 καὶ, ἐπὴν ναυτιῶντα τοῦ ψυκτηρίου, θερμαντηρίοισι χρῶ ἑξῆς. 12 ἐπὴν δὲ μὴ παύηται, ψυκτηρίοισι πάλιν χρέεσθαι.

XL. Ἴκτερον ὧδε χρὴ ἰᾶσθαι. 2 ἐπὴν παραλάβῃς, τρέφειν, καὶ λουτροῖσι καὶ πιαντηρίοισι καὶ ποτοῖσι καὶ σιτίοισι καθυγραίνειν τρεῖς ἢ τέσσαρας ἡμέρας. 3 ἐπὴν δ' ὑγρανθῇ τὸ σῶμα, καθαίρειν καὶ ξηραίνειν τὸ σῶμα, λιπαρόν τε ἐξαίφνης ἐξαρύσσειν, 4 πάντη τὸ προσφέρων φάρμακον, ἐς δυνατὸν ᾖ, ὑγρότητα ἐξάγειν. 5 πρὸς δὲ τὴν κεφαλὴν καθαρτηρίῳ ἀσθενεῖ. 6 καὶ οὐρητικὸν πιπίσκειν. 7 καὶ πρὸ τῶν σιτίων τοῦτον τὸν χρόνον, ἢν καθαίρῃς τὴν τεταραγμένην ὑγρότητα, κατάποτον δίδου, ὡς μὴ τρέφηται ἀπὸ τούτου τοῦ χρόνου τὸ σῶμα. 8 ὅταν δὲ ἰσχνανθῇ, καὶ λουτροῖσι καθαίρειν. 9 τοῦ δὲ σικύου τοῦ ἀγρίου τὴν ῥίζαν κόψας, ἐς ὕδωρ ἐμβαλὼν, ἀπὸ τούτου λοῦε. 10 χολαγωγὰ δὲ φάρμακα μὴ πίπισκε, ὡς μὴ ταράσσῃ μᾶλλον τὸ σῶμα. 11 τοῦτον, ἐπὴν ξηρὸν ᾖ τὸ τεταραγμένον, τρέφε μηδενὶ ὑποχωρητικῷ φαρμάκῳ, μηδὲ διουρητικῷ, ἀλλ' οἴνῳ οἰνώδει καὶ ἄγαν ἐρυθροτέρῳ ποιεῦ

τὸν

ferne: & siquidem superne hæreat, superne, sin inferne, inferne. 9 Nihilo autem minus oportet etiam debiles fortia medicamenta potare, sed similiter: aut solum sic, ut fortibus quidem forte, debilibus vero debile exhibeas. 10 Ardores vero potionibus & sorbitionibus, quemadmodum febrem frigefactorio medicamento exolvere oportet, cammaro videlicet, aut alio quopiam hujuscemodi: 11 & si nauseam contrahat à frigefactorio, calfactoriis utere consequenter. 12 Ubi vero non cesset, frigefactoriis rursum utere.

XL. Icterum sive regium morbum sic curare oportet. 2 Quum susceperis nutrito, & balneis, & pinguefacientibus, potibusque ac cibis humectato, per tres aut quatuor dies. 3 Postquam autem humectatum fuerit corpus, purgato & resiccato ipsum, pinguitudinemque derepente exhaurito, 4 & undiquaque si possibile sit medicamentum adhibens, humiditatem educito, 5 ad caput vero purgatorio debili utitor: 6 & urinam cientia bibenda dato, 7 eaque ante cibos hoc tempore quo turbatam humiditatem purgaveris in potu præbe, ne ab eo tempore corpus nutriatur. 8 Quum vero attenuatum fuerit, etiam balneis purgato, 9 & contusa cucumeris sylvestris radice, eaque in aquam conjecta, inde lavato. 10 Cæterum medicamenta bilem ducentia ne propinato, ne corpus magis conturbes. 11 Ubi vero siccum fuerit id quod conturbatum fuit, nutrito, nullo alvum subducente medicamento, neque urinam ciente utens, sed vino

τὸν ἄνθρωπον τεύχουσιν. [12] ἢν δὲ χλωρὸς ᾖ, πάλιν ἐξαρύσαι· [13] ξηραίνειν δὲ μηδαμῶς, ὡς μὴ παγῇ χλωρὸς ἐών.

XLI. Θηρίον ἐπέρχεται ἐπὶ τὸ σῶμα διὰ τόδε. [2] ἐπὴν φλεγμήνῃ ἡ σὰρξ ἡ πέριξ, καὶ οἱ κρημνοὶ μεγάλοι ἔωσι τοῦ ἕλκεος, καὶ τὸ ἕλκος ὑγρὸν, καὶ ἐπὶ τοῦ ἕλκεος ἐξηρασμένος ἐπῇ ἰχὼρ, ἢ τὸ ἕλκος συμπεπηγὸς ᾖ, [3] ξυσσηπόμενος ὁ ἰχὼρ, ὁ ἀπὸ τοῦ ἕλκεος ἀπορρέων, κωλύεται ἔξω χωρέειν ὑπὸ τοῦ ἐπιπεπηγότος ὑπὸ τοῦ ἕλκεος πρὸς τὴν σάρκα. [4] ἡ δὲ σὰρξ ὑποδέχεται ὥστε μετέωρος ἐοῦσα ὑπὸ φλεγμασίης· καὶ, ὅταν ἀφίκηται ὁ ἰχὼρ ἀπορρέων, σήπει καὶ μετεωρίζει. [5] τοῦτον φαρμάκοισιν ὑγραίνουσιν αὐτὸ τὸ ἕλκος χρίειν, ὡς ὑγραινομένου ἔξω τὸ ῥεῦμα ῥέῃ ἐκ τοῦ ἕλκεος, καὶ μὴ ὑπὸ τὴν σάρκα· [6] καὶ τὰ καταῤῥέοντα τοῦ ἕλκεος ψυχροῖσι φαρμάκοισι [περιχρίειν,] ὡς ψυχομένη συμπιλῆται ἡ σὰρξ, καὶ μὴ διαφραγεῖσα αὖ ἐπιῤῥέῃ. [7] καὶ τὰ ἄλλα δὲ ἕλκεα ψυχροῖσι περιχρίειν, καὶ ἐπ' αὐτὰ τὰ ὑγραίνοντα ἐπιτιθέναι.

XLII. Κυνάγχη ἀπὸ αἵματος γίνεται, ὅταν τὸ αἷμα παγῇ τὸ ἐν τῇσι φλεψὶ, τῇσιν ἐν τῷ τραχήλῳ. [2] τούτῳ ἀπὸ τῶν ἐν τοῖσι γυίοισι φλεβῶν αἷμα ἀφαιρέειν, [3] καὶ ἅμα κάτω ὑπεξάγειν, ὡς τὸ τὴν νοῦσον παρέχον [ἐς] τοῦτο κατασπασθῇ. [4] καὶ γλῶσσαν, ὁπόταν ἕλκεα μεγάλα ἔχῃ, ὡσαύτως θεραπευτέον. [5] τὰ νοσήματα χρὴ ἀπ' ἀρχῆς ἰᾶσθαι· [6] ἔστι μὲν ἀπὸ τῶν ῥόων γίνε-

vinoso, & his quæ rubicundiorem hominem faciunt. [12] Si vero viridis ac luteus sit, rursus exhaurito, [13] nequaquam vero siccato, ut ne is color stabilis reddatur.

XLI. Ulcus ferinum in corpus propterea venit. [2] Postquam caro tumida & inflammata circumcirca fuerit, & margines ulceris magni extiterint, & ulcus ipsum humidum, & in ulcere sanies resiccata inerit, aut ulcus constrictum fuerit: [3] sanies computrefaciens ab ulcere defluens, foras prodire á constricto ad carnem ulcere prohibetur. [4] Caro autem suscipit, utpote elevata existens ab inflammatione: & quum in ipsam pervenerit sanies subterfluens, putrefacit & attollit. [5] Hunc medicamentis humectantibus ipsum ulcus illinere oportet, ut ex humectato ulcere fluxus foras effluat, & non subter carnem. [6] Influentia etiam in ulcus frigefacientibus pharmacis illinenda sunt, quo perfrigerata caro existat, & non dirupta rursus fluxionem immittat. [7] Sed & alia ulcera frigefacientibus oblinenda sunt, & super ipsa humectantia imponenda.

XLII. Angina, quam cynanchen Græci vocant, à sanguine fit, quum sanguis in venis quæ in collo sunt compactus fuerit. [2] Sic affectis à venis quæ in brachiis sunt sanguinem detrahes, [3] & simul alvum inferne subduces, quo id quod morbum exhibet detrahatur. [4] Lingua quoque quum magna ulcera habuerit, similiter curanda est. [5] Morbos à principio curare oportet, [6] & siquidem

γίνεται, τοὺς ῥόους παύειν πρῶτον· [7] ὅτε δ' ἀπ' ἄλλης, παύειν τὴν ἀρχὴν τοῦ νοσήματος, καὶ ἀντρεπίζειν. [8] ἔπειτα τὸ συνερρυηκὸς, ἢν μὲν πολὺ ᾖ, ἐξάγειν· [9] ἢν δὲ ὀλίγον, διαίτῃ καθιστάναι.

XLIII. [1] Κεφαλῆς κατάγματα. [2] ἢν μὲν τὸ ὀστέον καταγῇ καὶ ξυνθλασθῇ, ἀκίνδυνον· [3] καὶ ἰᾶσθαι χρὴ τοῦτον ὑγραίνουσι φαρμάκοισιν. [4] ἢν δὲ ῥαγῇ, καὶ ῥωγμὴ ἐγγένηται, ἐπικίνδυνον. [5] τοῦτον πρίειν, ὡς μὴ κατὰ τὴν ῥωγμὴν τοῦ ὀστέου ἰχὼρ ῥέων τὴν μήνιγγα σήπῃ. [6] ὥστε γὰρ κατὰ στενὸν ἐσιὼν μὲν, ἐξιὼν δὲ οὔ, λυπέει καὶ μαίνεσθαι ποιέει τὸν ἄνθρωπον. [7] τοῦτον χρὴ πρίειν, ὡς ἔξοδος ᾖ τῷ ἰχῶρι, μὴ μοῦνον ἔσοδος, εὐρέος διαπρισθέντος, [8] καὶ φαρμάκοισι χρέεσθαι, ἅσσα ἐφ' ἑωυτὰ τὸ ὑγρὸν ἕλκουσι, [9] καὶ λούειν.

XLIV. Πυρεταίνοντι κεφαλὴν μὴ κάθαιρε, ὡς μὴ μαίνηται. [2] θερμαίνουσι γὰρ τὴν κεφαλὴν καθαίροντα φάρμακα. [3] ἐλθὸν δὴ τὸ ἀπὸ τοῦ πυρετοῦ θερμὸν τὸ ἀπὸ τοῦ φαρμάκου προσεσταλθὲν, μανίην ποιέει. [4] Θανάσιμα τρώματα. [5] ἐφ' ὧν ἂν ὑπό τινι κακῶς ἔχοντι χολὴν μέλαιναν ἀπεμέσῃ, ἀποθνήσκει ὁ τὸ τρῶμα ἔχων. [6] καὶ ὑπὸ κενεώσιος ὁ συνεχόμενος, καὶ ἔχων ἀσθενέως, καὶ λεπτὸς ἐὼν [ἢν] ἐξαπίνης ξηρὸς καθίζῃ, ἀποθνήσκει. [7] ἐπὴν ὑπὸ θερμωλῆς ἐχομένῳ ἑλκύδρια ἐκθύωσιν ἀσθενεῖ ἐόντι, πέριξ πελιδνὰ, ἀποθνήσκει. [8] ἐπὴν ὑπό τινος νοσήματος ἐχομένῳ, ἀσθενεῖ ἤδη ἐόντι, πελιδνὰ ἐκθύῃ, θανάσιμον.

XLV. Ἐπὴν φαρμακὸν τις πιὼν ὑπερνοσῇ, καὶ κάτω καὶ ἄνω ὑπεκ-

dem à fluxionibus fiunt, primum fluxiones sedare : [7] si vero ab alia causa, principium morbi sedare ac curare : [8] deinde id quod influxit, siquidem multum fuerit educere, [9] sin modicum, per diætam moderari ac componere.

XLIII. Capitis fracturæ [2] Siquidem os fractum fuerit ac contritum, periculo vacat, [3] & curare oportet hunc humectantibus medicamentis. [4] Si vero rumpatur, & fissura fiat, periculosum est. [5] Huic serram adhibere oportet, ne in ossis scissuram sanies influens membranam cerebri putrefaciat. [6] Nam ut per angustum intrans, non autem exiens, affligit, & furere hominem facit. [7] Huic itaque serram adhibere oportet, ut sanies exitum habeat, non solum ingressum, ampla serratura facta. [8] Medicamentis autem utendum quæ humorem in sese trahunt, [9] & lavandum.

XLIV. Febricitanti caput ne purgato, ut ne furiosus fiat. [2] Calfaciunt enim caput pharmaca purgativa : [3] & sane ad caliditatem febrilem accedens ea quæ in medicamento est, insaniam facit. [4] mortifera vulnera [5] Ex quacunque caussa male affligente quis atram bilem revomuerit, moritur qui vulnus habet. [6] Et qui ab evacuatione detinetur, & debilis est, & tenuis existens, derepente siccus subsidit, moritur. [7] Quum à caliditate detento, ulcuscula eruperint debili existenti circum circa livida, moritur. [8] Quum à morbo quopiam detento, debili jam existenti, livida ulcuscula enata fuerint, mortale.

XLV. Quum quis à medicamenti potu superægrotarit, &

ὑπεκχωρέῃ, οἶνον καταῤῥοφεῖν, ² τὸ μὲν πρῶτον κεκρημένον, ἔπειτα ἄκρητον, θαμινὰ διδόναι, καὶ παύεται.

20 ³ Φάρμακον δὲ μήτ' ἰνηθμὸν, μήτ' ἐμετήριον. ⁴ χολὴ δ' ἐπὴν αὐτομάτη ῥαγῇ, ἢ κάτω ἢ ἄνω, χαλεπωτέρα παύειν. ⁵ ἡ γὰρ αὐτομάτη ὑπὸ βίης γινομένης τοῦ σώματος βιᾶται. ⁶ ἢν δ' ὑπὸ φαρμάκου ῥέῃ, οὐχ ὑπὸ συγγενείης βιᾶται. ⁷ ἐπὴν παραλάβῃς[+] ἰνώμενόν τε καὶ ἐμέοντα, μὴ παύειν τὸν ἔμετον. ⁸ ὁ γὰρ ἔμετος τὴν ἰνηθμὸν παύει. ⁹ ῥᾶον δὲ ὁ ἔμετος ὕστερον παύσεται. ¹⁰ ἢν δ' αὖ ἀσθενὴς ᾖ ὁ ταῦτα πάσχων, ὑπνωτικὸν φάρμακον ἐμετηρίοις διδόναι. ¹¹ τὸ μὲν αἷμα ὁπόταν νοῦσον

25 ποιέῃ, ὀδύνην παρέχει. ¹² τὸ δὲ φλέγμα, βάρος, ὡς τὰ πολλά.

XLVI. ¹ Τῶν νοσημάτων, ἂν μὴ ἐπίστηταί τις, φάρμακον πίσαι μὴ ἰσχυρόν. ² ἢν δὲ ῥᾴων γένηται, δέδεικται ὁδὸς, ὅτι χρὴ ἐπὶ τὸ ἰσχναίνειν. ³ ἢν δὲ μὴ ῥᾴων ᾖ, ἀλλὰ χαλεπώτερον ἔχῃ, τἀναντία. ⁴ ἢν μὴ ἰσχναίνειν ξυμφέρῃ, φλεγμαίνειν συνοίσει καὶ θαμινὰ μεταλλάσσειν, ταύτῃ τῇ γνώμῃ χρώμενος. ⁵ τῶν δὲ νοσημάτων ἤν τις, ἰσχύοντος μὲν τοῦ ἀλγέοντος, παραλλάξεται, τοῦ δὲ νοσήματος ἀσθενέος, ἐνταῦθα μὲν ἰσχυροτέρῳ

30 θαῤῥέοντα τοῦ φαρμάκου τοῦ νοσήματος χρέεσθαι. ⁶ ὥστε καὶ, ἤν τι τοῦ ὑγιαίνοντος ἄγῃ, ἅμα σὺν τῷ ἀσθενέοντι, οὐδεμία βλάβη ἐστίν. ⁷ ἐπὴν δὲ τὸ νόσημα ἰσχυρότερον, τὸν δὲ νοσέοντα ἀσθενέα λάβῃς, ἀσθενέσι τοῖσι φαρμάκοισιν ὀχετεύειν, ⁸ ὥστε αὐτοῦ τοῦ νοσήματος περιέσονται καὶ ἀπά-

inferne ac superne ab ipso secesserit, vinum sorbeat, ² primum quidem dilutum, deinde meracum frequenter, & sanabitur. ³ Medicamentum autem neque evacuativum, neque vomitorium sumat. ⁴ Bilis ubi sua sponte eruperit, aut inferne, aut superne, difficilius sedatur. ⁵ Quæ enim sponte procedit, præ violentia corpori facta impellitur. ⁶ Si vero à medicamento fluat, non

95 à gentilitatis cognatione violatur. ⁷ Quum susceperis[+] vinosum & vomentem, vomitum ne sedato. ⁸ Vomitus enim evacuationem sedat: ⁹ facilius autem vomitus postea sedabitur. ¹⁰ Si vero debilis fuerit qui hæc patitur, somnificum medicamentum à vomitu præbebis. ¹¹ Sanguis quum morbum facit, dolorem exhibet: ¹² pituita autem gravitatem utplurimum.

96 XLVI. Morbum si quis non cognoscat, ¹ medicamentum bibendum præbeat non forte. ² Si itaque levior inde fiat, demonstrata via est, quod gracilitatem inducendo curandus est. ³ Si veor non levior reddatur, sed pejus habeat, contraria facienda sunt. ⁴ Si non profuerit gracilem facere, tumidum facere conducet, & frequenter permutare, ita ut hoc consilio utaris. ⁵ Si quis in morbis quid permutaturus est, forti quidem ægroto, debili autem morbo, tum quidem confidenter fortiore quam morbus est medicamento utendum est. ⁶ Nam etiamsi quid de sano abducat una cum debili ac ægroto, nullum detrimentum est. ⁷ Si vero morbum fortiorem, ægrotum autem debilem acceperis, debilibus pharmacis curabis, ⁸ quæ ipsum morbum superent & abducant, verum

[Margin: + purgatum]

ἀπέξουσιν, ἀσθενέστερον δὲ μηδὲν ποιήσουσι τὸν ἀλγέοντα. [9] γυμναστικὴ δὲ καὶ ἰητρικὴ ὑπεναντία πέφυκεν. [10] ἡ μὲν γὰρ γυμναστικὴ οὐ δεῖται μεταλλαγὰς ποιέειν, ἀλλ' ἡ ἰητρική. [11] τῷ μὲν γὰρ ὑγιαίνοντι οὐκ ἀρήγει ἐκ τοῦ παρεόντος μεταλλάσσειν, τῷ δὲ ἀλγέοντι.

XLVII. Τῶν δὲ νουσημάτων, ὅσα μὲν ἕλκεα ἐόντα ὑπερέχοντα τοῦ ἄλλου σώματός ἐστιν, ἅμα τοῖσι φαρμάκοισιν καὶ λιμῷ χρὴ ἰῆσθαι. [2] ῥόου ξυμφέρον ἐκ κεφαλῆς ῥέοντος, ἔμετος. [3] τὰ παλαιὰ νουσήματα χαλεπώτερον ἰῆσθαι τῶν νέων. [4] ἀλλὰ νουσήματα τὰ παλαιὰ νέα πρῶτον ποιέειν. [5] ἕλκος πεπωρωμένον ἐκβάλλοντα τὸ σκληρὸν σηπτηρίῳ φαρμάκῳ, ἔπειτα συνάγειν. [6] τῶν φαρμάκων ὅσα φλεγμαίνειν ποιέουσι μάλιστα, ταῦτα συνάγουσι τὰ καθαρά· [7] τὰ δὲ ἰσχναίνοντα, ταῦτα καθαίρουσιν. [8] ἢν δέ τις συνάγῃ τὰ μήπω ὡραῖα ἐόντα, τὸ νοσέον τρέφει σῶμα, ὃ αὖ ἕλκος ἔχῃ. [9] καὶ, ἢν μὲν συνάγειν δέῃ τὸ ἕλκος, καὶ ἐμπλῆσαι, φλεγμαίνειν ἀρήγει. [10] καὶ, ἢν ἐν κεφαλῇ σάρκα βούλῃ. [11] ἐπαναστρεφομένη γὰρ ἡ σὰρξ ὑπὸ τῶν σιτίων, ὠθέει τὴν ὑπὸ τοῦ φαρμάκου σηπομένην, καὶ τῇ φύσει ξυμμαχέει. [12] τὴν δὲ μετέωρον ἢ λεπτὴν ἰσχναίνειν τοῖσι σιτίοισι.

XLIIX. Τοὺς ἀσωμένους, καὶ νοσέοντας, καὶ ἀπάγχεσθαι βουλομένους, μανδραγόρου ῥίζαν πρωῒ πιπίσκειν ἔλασσον ἢ ὡς μαίνεσθαι. [2] σπασμὸν ὧδε χρὴ ἰῆσθαι. [3] πῦρ ἀνακαίειν ἑκατέρωθεν τῆς κλίνης, [4] καὶ μανδραγόρου ῥίζαν πιπίσκειν ἔλασσον ἢ ὡς

verum ægrotum nihilo debiliorem reddant. [9] Ars exercitandi corpora, & Medicina contrariæ sunt. [10] Ars enim exercendi corpora ('gymnastice Græcis appellata) non opus habet permutatione, sed Medicina. [11] Sano enim non auxiliatur transmutatio ex præsenti statu, verum ægroto.

XLVII. Morbi quicunque ulcera sunt, & super reliquum corpus eminent, eos simul cum medicamentis etiam fame curare oportet. [2] Fluxione ex capite fluente vomitus conducit. [3] Antiqui morbi difficilius curantur quam recentes, [4] verum morbos antiquos 'primum recentes facere oportet. [5] Ulcus callosum factum, ejecta primum duricia per putrefactorium medicamentum, constringere deinde oportet. [6] Pharmaca quæ tumefacere maxime solent, ea pura ulcera adstringunt: [7] quæ vero attenuant, ea purgant. [8] Si vero quis constringat ulcera nondum matura, corpus ægrotum nutrit quod ulcus habuerit. [9] Et siquidem adstringere oporteat ulcus ac implere, 'tumefacere prodest, [10] etiam si in capite carnem velis. [11] Renutrita enim à cibis caro, propulsat eam quæ à medicamento putrefacta est, & simul cum natura debellat. [12] Verum elevatam, aut levem carnem, cibis gracilem reddere oportet.

XLVIII. Tristes anxios & ægrotos, ac se strangulare volentes, mandragoræ radice mane in potu data minore pondere quam quod insanire facit, curabis. [2] Convulsioni sic mederi oportet. [3] Ignis 'ab utraque lecti parte succendatur, [4] & mandragoræ radix in potu præbeatur mi-

ὡς μαίνεσθαι. [5] καὶ ἐπὶ τοὺς τένοντας τοὺς ὄπισθεν σακκία προστιθέναι θερμά. [6] Ἀπὸ σπασμοῦ πυρετὸς ἢν ἐπιλάβῃ, παύεται αὐθήμερον, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ ἡμέρῃ. [7] Ἀπὸ ῥήγματος πυρετὸς οὐ λάζεται πλέον ἢ τρεῖς ἢ τέσσαρας ἡμέρας. [8] ἢν δὲ λάζηται, οἰόμενος ἀπὸ ῥήγματος ἔχειν, ἀπ' ἄλλου τινὸς λάζοιτο ἄν, καὶ οὐ χρὴ ὡς ἂν ἀπὸ ῥήγματος θεραπεύειν. [9] Ὁπόταν ἄνθρωπος συντεταμένος ᾖ τοὺς πόδας καὶ τὰς χεῖρας, μανίην ἑωυτῷ ποιέει.

minore pondere quam quod insaniam facit. [5] Et ad tendines posteriores sacculi calidi imponantur. [6] A convulsione si febris invaserit, sedatur eadem die, aut sequenti, aut omnino tertia. [7] A ruptura febri non corripit amplius quam tres aut quatuor dies. [8] Si vero corripiat, & quis putat se à ruptura habere, ab alia sane quapiam causa corripitur, & non oportet ipsam velut à ruptura curare. [9] Quum homo manibus ac pedibus distentus ac tortus fuerit, insaniam sibiipsi facit.

XLIX. Φλέβια δὲ ὧδε χρὴ καίειν ἐπιτήδειον, ὅτι ἂν τὸ νόσημα, ὅ ἂν καὶ ᾖ νοσέων. [2] ἢν κεκαυμένος ᾖ ἄνθρωπος, ῥέῃ δέ τι τοῦ αἵματος, ὡς μὴ ἐπικίνδυνον ᾖ τοῦτο αὐτῷ, [καὶ] ἀμφότερα ταῦτ' ἔστι ποιέειν. [3] ἢν διακαύσῃς, ταύτῃ ἐν τῷ πόνῳ, οὗ εἵνεκα ἐκαίετο, οὐ ξυμφύεται· ὠφέλησε δὲ τῷ ῥόῳ. [4] ἢν γὰρ διακαυθῇ, οὐ ῥέει. [5] ἐπὴν γὰρ διακαυθῇ, τὸ ἄκρον ἑκάτερον ἀνατρέχει τῆς φλεβὸς, ᾗ διεκαύθη, καὶ συναυαίνεται. [6] ἢν δὲ καταλελειμμένον ᾖ, ὑπὸ τοῦ καταλελειμμένου διαρρέοντος τοῦ ῥεύματος ὑγραίνεται. [7] ἢν δὲ αἷμα ῥέῃ ἐκ φλεβὸς, διακαίειν ἐπικαρσίην. [8] ἢν δὲ μὴ παύηται οὕτως ταῦτα, αὖ καὶ κάτω ἑκατέρωθεν διατάμνειν, ὡς ἀποτραπῇ τὸ αἷμα ῥέον. [9] Διαλελειμμένον γὰρ φαρμάκῳ ῥᾷον παύειν ἢ τὸ ἀθρόον. [10] ὀδύνης ἐν κεφαλῇ τοῦ αἵματος ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν. [11] ἢν δὲ μὴ παύηται, ἀλλὰ πολυχρόνιος ᾖ, διακαίειν τὰς φλέβας, καὶ ὑγιὴς γίνεται. [12] ἢν δὲ κεφαλὴν καθαίρῃς, μᾶλλον ποιέει.

XLIX. Venam porro sic urere convenit commodam ad morbum, ex quocunque tandem quis ægrotarit. [2] Si ustus fuerit homo, & fluxerit sanguis, ita ut hoc non periculosum sit ipsi, ambo hæc facere licet. [3] Si vero perusseris ipsam in dolore, cujus gratia urebatur, non coalescit, verum fluxui prodest. [4] Si enim perusta fuerit, non fluit. [5] Nam postquam perusta est, extremitas utraque venæ recurrit, qua parte perusta est, & exarescit. [6] Si vero quid relictum fuerit, præ relicto perfluente fluxum humectatur. [7] At si sanguis ex vena fluit, per transversum perurito. [8] Si vero non cesset, ad hæc supra ac infra utrinque dissecato, quo sanguinis fluxus avertatur. [9] Diductum enim facilius est medicamento sedare, quam coacervatum. [10] Doloris in capite gratia, sanguinem de venis detrahito. [11] Si vero non sedetur, & diuturnus sit, perure venas, & sanus evadit. [12] Si vero caput purgaveris, magis affliges.

L. Ἰητρικὴν οὐ δυνατόν ἐστι ταχὺ μαθεῖν. [2] διὰ τόδε, ὅτι ἀδύνατα-

L. Medicinam cito discere non est possibile, [2] propterea quod

ἀδύνατόν ἐστι καθεστηκός τι ἐν αὐτῇ σόφισμα γενέσθαι. [3] οἷον ὁ τὰ γράμματα ἕνα τρόπον μαθὼν, ὃν διδάσκουσι, πάντα ἐπίσταται. [4] καὶ οἱ ἐπιστάμενοι πάντες ὁμοίως [5] διὰ τόδε, ὅτι τὸ αὐτὸ καὶ ὁμοίως ποιούμενον νῦν τε καὶ οὐ νῦν, οὐκ ἂν τὸ ὑπεναντίον γένοιτο, ἀλλ' αἰεὶ ἀτρεκέως ὅμοιόν ἐστιν, καὶ οὐ δεῖ καιροῦ. 15 [6] ἡ δὲ ἰητρικὴ, νῦν τε καὶ αὐτίκα οὐ τὸ αὐτὸ ποιέει, [7] καὶ πρὸς τὸν αὐτὸν ὑπεναντία ποιέει, [8] καὶ ταῦτα ὑπεναντία σφίσιν ἑωυτοῖσι. [9] πρῶτον [τὰ] ὑπεχωρητικὰ οὐκ αἰεὶ [τοῦτο] ποιέουσιν, [ἀλλ' ἱστᾶσι] [10] καὶ τὰ ὑπεχωρητικὰ ἀμφότερα ποιέουσι, [11] τάχα δ' οὐδ' οὕτως ἔχουσι τὰ ὑπεχωρητικὰ τοῖσι στασίμοισιν ὡς ὑπεναντία. [12] ἐπιστάσης τῆς κοιλίης διὰ τὴν λίην στάσιν φλεγμαίνει τὸ σῶμα, [13] ἐς τὴν κοιλίην φλέγματος ἀφικομένου, οὕτως ἡ στάσις ὑποχώρησιν ἐποίησεν. [14] ἐπὴν γὰρ τὸ φλέγμα ἐς 20 τὴν κοιλίην ἐσέλθῃ, ἐκκριμὸς γίνεται. [15] ἐν τούτῳ δὲ τὰ ὑπεχωρητικὰ φύσει στάσιμον ποιέουσιν ἐν τῇ κοιλίῃ, [16] ἣν μὲν μὴ ὑπεχωρητικὰ ποιέῃς, ἐκλύεται δὲ τὸ νοσέειν ποιέον καὶ ὑγραίνεται, ἐπὴν ἐκλυθῇ, γίνεται ὑγιής. [17] καὶ οὕτω τά τε στάσιμα τοῖσιν ὑπεχωρητικοῖσι στάσιν ποιέουσι τῆς κοιλίης, καὶ τοῖσι στασίμοισι τὰ ὑπεχωρητικά. [18] τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἐρυθροὺς καὶ τοὺς χλωρούς. [19] καὶ τὰ φλεγματώδεα χλωροὺς ποιέει καὶ ἀχρόους, καὶ τὰ ἰσχναινόμενα 25 εὐχρόους. [20] ἑκατέρου δ' ἐστὶ φάρμακον τὰ ὑπεναντία τοῦ ὑπεναντίου. [21] αὐτίκα, ὅτ' ἂν φλεγμαίνῃ χλωρὸς ἐὼν, ἐκλύεται, ἢν

quod impossibile est statam ac certam doctrinam in ipsa fieri, [3] velut verbi gratia, qui scribere didicit, juxta unum modum, quem omnes docent, novit, [4] & scientes omnes similiter noverunt, [5] propterea quod idem & similiter factum, & nunc, & non nunc, non potest fieri contrarium, sed semper exacte simile est, & non opus habet occasione. [6] Medicina vero & nunc, & statim, non idem facit, [7] & ad eundem contraria facit, [8] & hæc etiam contraria sibiipsis. [9] Primum alvum subducentia non semper hoc faciunt; [10] & alvum subducentia utrunque faciunt. [11] Fortassis autem neque sic se habent alvum subducentia, velut alvum sistentibus contraria. [12] Restitante enim alvo, propter vehementem stabilitatem corpus intumescit: [13] pituita in ventrem pervenientе, sic stabilitas secessum facit. [14] Ubi enim pituita in ventrem ingressa fuerit, evacuatio contingit. [15] Insuper vero alvum subducentia ex natura, stabilitatem faciunt in ventre, [16] si quidem non subducentia feceris: si autem exolvatur & humectetur id quod morbum facit, postquam exolutum fuerit, sanus evadit. [17] Et sic ventrem sistentia, subducentibus stabilitatem ventris faciunt, & vicissim subducentia ventrem, sistentibus. [18] Eodem modo res se habet circa rubicundos & pallidos, [19] Nam & pituitosa ac tumefacientia & pallidos faciunt, & boni coloris, itemque attenuantia. [20] utriusque autem medicamentum sunt contraria contrario. [21] Verbi caussa, quum intumuerit pallidus existens, exolvitur

[21] ἢν τι ἰσχναίνη φάρμακον προσενεχθέν. [22] ἐνθάδε τοῦ φλεγμαίνοντος τὸ ἰσχναῖνον ὠφέλησεν. [23] τούτων δὲ τὸ ποτὲ ὠφελούμενον τοῦ ὠφελέοντι νῦν ὠφελεῖ ἐνταῦθα, ὁπότ' ἂν ὑπὸ ἰσχνότητος ἄχροος καὶ χλωρὸς ᾖ. [24] ἢν γάρ τις φλεγματῶδες προσφέρῃ, παύεται τὸ χλωρόν.

LI. [1] Ὀδύνη τε γίνεται καὶ διὰ τὸ ψυχρὸν καὶ διὰ τὸ θερμὸν, καὶ διὰ τὸ πλέον λίην καὶ διὰ τὸ ἔλασσον. [2] καὶ ἐν μὲν τοῖσι ψυχροῖσι φύσει, καὶ ἐν τοῖσι λίην ἐψυγμένοισιν ἐκτὸς τοῦ σώματος πρὸς τὸ δέρμα, διὰ τὸ θερμὸν ὀδύνη γίνεται. [3] ἐν δὲ τοῖσι θερμοῖσι φύσει, καὶ τοῖσι τεθερμασμένοισι, διὰ τὸ ψυχρόν. [4] καὶ ἐν μὲν τοῖσι ξηροῖσι, φύσει ὑγραινομένοισι· ἐν δὲ τοῖσιν ὑγροῖσι, φύσει ξηραινομένοισι. [5] τὴν γὰρ φύσιν διαλλασσομένοισι καὶ διαφθειρομένοισιν αἱ ὀδύναι γίνονται. [6] ὑγιαίνονταί τε αἱ ὀδύναι τοῖσιν ὑπεναντίοισι. [7] [τοῦτο δὲ] ἴδιον ἑκάστου νοσήματός ἐστι. [8] οἱ [δὲ] θερμοὶ φύσει διὰ τόδε τὸ ψυχρὸν νοσέουσι, [καὶ] θερμαίνονται. [9] καὶ τὰ ἄλλα τούτων κατὰ λόγον. [10] ἄλλος ὅδε τρόπος. [11] διὰ τὰ ὅμοια νοῦσος γίνεται, καὶ διὰ τὰ ὅμοια προσφερόμενα ἐκ νοσεόντων ὑγιαίνονται. [12] οἷον, στραγγουρίην τὸ αὐτὸ ποιέει οὐκ ἐοῦσαν, καὶ ἐοῦσαν τὸ αὐτὸ παύει. [13] καὶ βὴξ κατὰ τὸ αὐτὸ, ὥσπερ καὶ στραγγουρίη, ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται. [14] ἄλλος ὅδε τρόπος. πυρετὸς ὁ διὰ φλεγμασίην γινόμενος, ποτὲ μὲν ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται, ποτὲ δὲ τοῖσιν ὑπεναντίοισιν ἐγγίνετο. [15] ποτὲ μὲν γὰρ, εἴ τις βούλεται λοῦσαι ὕδατι θερμῷ καὶ ποτὸν πολλὰ διδόναι, ὑγιὴς

vitur sane si quod medicamentum attenuans adhibitum fuerit: [22] atque hic tumenti attenuans opitulatur. [23] Rursus autem quod aliquando utilitatem cepit, nunc hic opitulanti opitulatur, quum sane præ gracilitate decolor & pallidus factus fuerit. [24] Si quis enim pituitosum ac tumefaciens medicamentum exhibuerit, pallor sedatur.

LI. Insuper vero etiam dolor, & propter frigiditatem fit, & propter caliditatem, & propter valde exuperans, & propter imminutum. [2] Et in perfrigeratis quidem natura extra corpus ad cutem, propter calfaciens valde, dolor fit. [3] In calidis vero natura, propter frigidum: [4] & in siccis natura, si humectentur: & in humidis natura, si resiccentur. [5] In singulis enim quorum natura permutatur ac corrumpitur, dolores fiunt. [6] Sananturque dolores contrariis, [7] idque etiam unicuique morbo proprium est. [8] Nam in calidis natura propter frigiditatem ægrotantibus, dolores calefiunt: [9] & reliqua juxta hanc rationem fiunt. [10] Alius porro modus hic est. [11] Per similia morbus fit, & per similia adhibita ex morbo sanantur. [12] Velut, urinæ stillicidium idem facit, si non fit: & si fit, idem sedat. [13] Et tussis eodem modo, velut urinæ stillicidium, ab iisdem fit & sedatur. [14] Alius rursus modus hic est. Febris quæ propter tumefactionem ex pituita fit, aliquando quidem ab iisdem fit, & sedatur, aliquando autem à contrariis. [15] Aliquando enim si quis vult aqua calida lavare, & multum potum exhibere, sanus æger

ὑγιὴς γίνεται). 16 [καὶ] διὰ τὸ φλεγμαῖνον τοῖσι φλεγμαίνειν ποιεῦσι προσφερομένοισιν, ὁ ὢν πυρετὸς γίνεται ὑγιής. 17 καὶ, εἴ τις βούλεται φάρμακον πίσαι ὑποχωρητικὸν καὶ ἐμετικόν, τὸν αὐτὸν τρόπον τοῖσί τε ποιεῦσι παύεται, καὶ τοῖσι παύουσι γίνεται. 18 τοῦτο μὲν γάρ, εἴ τις ἐμέοντι ἀνθρώπῳ βούλεται ὕδωρ διδοῦναι πιεῖν πουλύ, ἐκκλυσθήσεται δι' ἃ ἐμέει σὺν τῷ ἐμέτῳ. 19 καὶ οὕτω μὲν διὰ τὸ ἐμέειν ὁ ἔμετος παύεται. 20 ὧδε δὲ διὰ τὸ παύειν, ὅτι κάτω ποιήσει αὐτῷ ἐλθεῖν, ἐξ ἐκείνου, ὃ ἐνεὸν ἔμετον ποιέει ἀμφοτέροισι τοῖσιν ὑπεναντίοισι τρόποις, ὑγιὴς γίνεται.

LII. Καὶ, εἰ μὲν οὕτως εἶχε πᾶσι, καθεστήκει ἄν. 2 οὕτω τὰ μὲν τοῖσιν ὑπεναντίοισιν δεῖ θεραπεύεσθαι, οἷά τε ἐστὶ καὶ ἀφ' ὅτου ἐγένετο· 3 τὰ δὲ τοῖσιν ὁμοίοισιν, οἷά τε ἐστὶ καὶ ἀφ' ὅτου ἐγένετο. 4 τούτου δ' αἴτιόν ἐστιν ἡ τοῦ σώματος ἀσθενείη. 5 τὸ γὰρ σῶμα ὑπὸ μὲν τῶν σιτίων ἴσων ἴσως τρέφεται· 6 ὑπὸ δὲ τοῦ σώματος τὰ σιτία κρατέεται. 7 ἐπὴν δὲ πλέον ἢ ἔλασσον προσενέγκηται, ἢ ὡς ἄλλο μεταλλάξας, κρατέεται τὸ σῶμα ὑπὸ τῶν προσοισμένων. 8 κρατέεται δὲ καὶ τὰ σιτία. 9 καὶ, ὁπότεν κρατέηται, θάλλειν ποιέει ταῦτα, καὶ κρατέει ἅμα τοῦ σώματος, τά τε ὑπεναντία ποιεῦσιν αὐτίκα.

LIII. Τὸ λοῦσθαι θερμῷ, ἕως μὲν ἂν τὸ σῶμα κρατέῃ τοῦ προσοισμένου, θάλλει. 2 ἐπὴν δὲ κρατηθῇ, ἰσχνὸν ποιέει τὸ σῶμα. 3 καὶ τὸ εὐωχεῖσθαι ὁμοίως τῷ λοῦσθαι ποιέει. 4 ταῦτα μὲν γάρ, ἕως μὲν αὐ

æger fit, 16 & febris quæ propter tumefactionem facta est, pituitosis ac tumefactionem facientibus oblatis & adhibitis sanescit. 17 Et si quis vult medicamentum bibendum dare, alvum subducens & vomitorium, eodem modo & à facientibus sedatur, & à sedantibus fit. 18 Nam si quis homini vomenti, aquam multam bibendam dare velit, eluentur ea propter quæ vomit, una cum vomitu. 19 Et sic quidem per vomitum vomitus sedatur. 20 Rursus autem propter ea quod sedatur, quia inferne procedere ipsi fecit, ex illo id quod intus est vomitum facit, & ambobus contrariis modis homo sanus fit.

LII. Et siquidem sic in omnibus haberet, stata sane ac certa medicina esset. 2 Ita alia quidem contrariis curare oportet, qualia tandem sint, & à qua causa fiant, 3 alia vero similibus: qualia tandem sint, & à qua causa fiant. 4 Hujus autem rei causa corporis debilitas existit. 5 Corpus enim à cibis æqualibus æqualiter nutritur, 6 à corpore vero cibi superantur. 7 Postquam vero plus aut minus in ipsum ingestum est, aut alia quæpiam transmutatio facta est, superatur, 8 superant autem cibi. 9 Et quum sane superatur corpus ab his quæ ipsi offeruntur, florere hæc ipsa facit: & superant hæc simul corpus, & contraria ipsi faciunt.

LIII. Et calida lavari, donec quidem corpus superat ejus exhibitionem, florere corpus facit. 2 Quum vero superatum fuerit, gracile corpus facit. 3 Et convivari similiter ut lavari facit. 4 Hæc enim donec superantur,

αὐ κρατέων), θάλλειν ποιέουσιν. ⁵ ἐπὴν δὲ κρατέωσι, ὑποχωρήσιάς τε ποιέουσι καὶ ἀλλοίας κακίας. ⁶ ὁπότε γὰρ τὸ προσφερόμενον τοῦτο μεταλλάσσεται, ἀνάγκη ἐστὶ ᾧ προσφέρεται, μεταστρέπεσθαι. ⁷ τὸ δὲ σῶμα μεταστρεπόμενον, νικώμενον καὶ ὀλιγοεργές ἐστι, καὶ ὑπὸ παντὸς τὰς πλησμονίας παρέχει. ⁸ τοῦτο δὲ ποιέει καὶ τὰ ὑποχωρητικά. ⁹ καὶ τὰ θάλλειν ποιέοντα, ἰσχναίνοντα τὸ σῶμα ποιέουσι. ¹⁰ καὶ τἄλλα πάντα τὰ ὑπεναντία τούτοισι ποιέοντα.

LIV. Ἡ δὲ ἰητρικὴ ὀλιγόκαιρός ἐστι. ² καὶ, ὃς τοῦτο ἐπίσταται, ἐκεῖνο καθέστηκε, καὶ ἐπίσταται τὰ εἴθεα καὶ τὰ μὴ εἴθεα ³ ἃ δή ἐστιν ἐν ἰητρικῇ ὁ καιρὸς γνῶναι· ⁴ ὅτι τὰ ὑποχωρητικὰ οὐχ ὑποχωρητικὰ γίνεται, ⁵ καὶ τἄλλα, ὅτι ὑπεναντία ἐστί, ⁶ καὶ τὰ ὑπεναντιώτατα οὐχ ὑπεναντιώτατα. ⁷ ὁ δὲ καιρὸς ὅδ᾽ ἐστί. τὰ σιτία προσφέρειν, ὅσων μέλλει τὸ σῶμα προσφερόμενον τὸ πλῆθος κρατέειν. ⁸ ὧδε, ἐὰν μὲν οὕτω ποιέῃ, πᾶσα ἀνάγκη τὸ ὑποχωρητικὸν σιτίον προσφερόμενον ὑποχωρητικὸν εἶναι, καὶ τὸ φλεγματῶδες, φλεγματῶδες. ⁹ ἐὰν κρατήσῃ οὖν τὸ σῶμα τῶν σιτίων, οὔτε νοῦσος, οὔτε ὑπεναντίωσις γίνεται προσφερομένων. ¹⁰ καὶ αὐτὸς ὁ καιρός ἐστιν, ὃν δεῖ τὸν ἰητρὸν εἰδέναι. ¹¹ ἐπὴν δὲ τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται. ¹² καὶ οἱ, πρὶν ὑπερπίπτειν, οἴονται ἔχειν, καὶ τὸ θερμαίνεσθαι. ¹³ ἕως μὲν γὰρ ἂν τὸ σῶμα τὸ προσφερόμενον κρατέῃ, τρέφεται τὸ σῶμα. ¹⁴ ἐπὴν δὲ τοῦτον τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται· ¹⁵ ἰσχναίνεται γὰρ, καὶ τἄλλα. ¹⁶ πάντα δὲ τὰ φλεγμαί-

νειν

tur, florere faciunt. ⁵ Ubi vero superaverint, & alvi secessus, & varia vitia inducunt. ⁶ Quum autem id quod offertur, transmutatur, necesse est & id cui offertur, transmutare. ⁷ Etenim corpus transmutatum parùm efficax ac potens est, & ab omnibus offensiones percipit. ⁸ Hoc autem faciunt, & alvum subducentia: ⁹ & florere ipsum facientia, gracile corpus faciunt, ¹⁰ & reliqua omnia contraria his facientia.

LIV. At vero Medicina brevem occasionem habet: ² & qui hoc novit, illa stata ac certa habet, & scit quæ consueta sint, & quæ non consueta, ³ (ad quæ cognoscenda non est occasio in medicina,) ⁴ & quod alvum subducentia, non subducentia fiunt, ⁵ & reliqua quod contraria sunt, ⁶ & contrariissima non contrariissima. ⁷ Occasio autem hæc est, ut cibos offeramus ea copia, quantam corpus, cui offeruntur, superare valeat. ⁸ Nam si quis sic fecerit, omnino necesse est cibum alvum subducentem oblatum, subducentem esse, & pituitosum, pituitosum. ⁹ Si igitur superaverit corpus ipsos cibos, neque morbus, neque contrarietas fit ex his quæ offeruntur, ¹⁰ & hæc est occasio quam medicum nosse oportet. ¹¹ Quum vero occasionem supergressus fuerit, contrarium fit: ¹² & antequam ei excessum factum esse putant, consequens est ut calescat. ¹³ Donec enim corpus id quod oblatum est superaverit, corpus nutritur. ¹⁴ Ubi vero hanc occasionem transmiserit, contrarium fit, ¹⁵ nam attenuatur & gracilescit. Sed & alia omnia, ¹⁶ & quæ tumefa-

ciunt,

20 νειν ποιεῦνται, ἕως μὲν ἂν κρατέῃ τὸ σῶμα, ἔτι τὰ πρὸς τὸν καιρὸν καὶ τὰ κατὰ φύσιν ποιέουσιν ἕκαστον τὰ φλεγματώδεα φλεγμαίνειν. 17 ἐπὴν δὲ ὑπερβάλλῃ τὸν καιρὸν, τὰ ὑπεναντία γίνεται.

LV. Πάντα φάρμακά ἐστι τὰ μετακινέοντα τὸ παρεόν. 2 πάντα δὲ τὰ ἰσχυρότερα μετακινέουσιν. 3 ἔξεστι δὲ, ἢν μὲν βούλῃ, φαρμάκῳ μετακινέειν· 4 ἢν δὲ μὴ βούλῃ, σιτίῳ. 5 ἅπαντα δὲ νοσέοντι μετακινέειν ἐκ τοῦ παρεόντος ὀνήϊστα. 6 ἢν γὰρ μὴ μετακινήσῃς τὸ νοσέον, αὔξεται. 7 φάρμακα [δὲ] οὐ χρὴ τὰ ἰσχυρὰ φύσει ἐπὶ τῶν ἀσθενέων νοσημάτων

25 διδόναι, ὀλιγότητα τοῦ φαρμάκου ἀσθενὲς ποιεῦντα· 8 ἀλλὰ τοῖσι μὲν ἰσχυροῖσι φύσει, φαρμάκοισιν ἰσχυροῖσι χρέεσθαι, τοῖσι δ' ἀσθενέσι, φαρμάκοισι μὴ ἰσχυροῖσι, 9 μηδὲ μεταποιεῦντα τὸ φάρμακον, ἀλλὰ κατὰ φύσιν ἑκάστοισι. 10 τοῖσι μὲν ἀσθενέσιν, ἀσθενῆ φάρμακα φύσει· τοῖσι [δὲ] ἰσχυροῖσι νοσήμασιν, ἰσχυρὰ φύσει τὰ φάρμακα. 11 τὰ δὲ νοσήματα, ᾗ πλησιαίτατα πέφυκεν, ἐξάγειν. 12 ταύτῃ δ' ἐξάγειν, ᾗ ἑκάστου ἔξοδος ἐγγυτάτω.

30 LVI. Τὰ ὑποχωρητικὰ τοιάδε ἐστὶν, ὅσα ὀλισθηρὰ καὶ τμηματώδεα, καὶ ὅσα ἐν τοῖσι θερμοῖσι λεπτύνονται· 2 ἡ γὰρ κοιλίη θερμή ἐστι· 3 καὶ τἄλλα τὰ ἁλμυρὰ, καὶ ὅσα τῶν τοιούτων πλεῖστον ἔχουσι. 4 τὰ δ' οὐ διαχωρητικὰ, ἀλλὰ στάσιμα, ὅσα φῦσαν παρέχουσι· 5 τὰ γὰρ ὑγρὰ ξηραινόμενα φῦσαν ποιέουσι· 6 καὶ τὰ στρυφνὰ, καὶ

ciunt, donec quidem superaverit corpus, ampliusque pro occasione offeruntur, etiam juxta naturam suam singula 'faciunt, 275 & pituitosa, sive tumefacientia tumefaciunt: 17 ubi vero occasionem transmiserint, contraria sunt.

LV. Medicamenta sunt omnia quæ præsentem statum transmovent. 2 Omnia autem fortiora transmovent. 3 Licet autem si 122 velis, medicamento transmovere, 4 & rursus si velis, alimento ac cibo. 5 Omnia vero ex præsenti statu transmovere, ægrotanti opitulatur. 6 Si enim id quod morbum facit non transmoveris, 'augescit. 7 Medica- 280 menta fortia à natura, in debilibus morbis dare non oportet, neque paucitate medicamenti, debilitas ipsius facienda est: 8 sed fortibus natura, fortibus pharmacis utendum est: debilibus vero, pharmacis non forti- 122 bus. 9 Neque partiendum est medicamentum, sed singulis secundum naturam, 10 debilibus quidem debilia à natura, fortibus vero morbis, fortis naturæ pharmaca exhibenda sunt. 11 'Cæterum morbi ea parte qua 285 proximi sunt, educendi sunt: 12 & qua parte singulis exitus quam proximus est, extrahendi.

LXVI. Alvum autem subducentia talia sunt, quæcunque lubrica & incisiva sunt, & quæcunque in calidis attenuantur, 2 (venter enim calidus est.) 3 & reliqua quæ salsuginosa sunt, & quæcunque ex talibus plurimum participant. 4 Contra alvum non subducentia, sed sistentia sunt, quæ flatum exhibent, 5 ('hu- 290 mida enim resiccata flatum faciunt:) 6 & quæ adstringunt, &

καὶ τὰ ὑπὸ θερμοῦ πηγνύμενα, καὶ τὰ ψαθυρὰ, καὶ τὰ ξηρά. 7 πάντα δὲ τὰ ἔνδον φλεγμαίνειν ποιέουσι προσφερόμενα, ὅσα τὰ ἔκτος ἰσχναίνουσι. 8 ταῦτα δὲ καὶ ' ἰσχυντήριά ἐστι καὶ φλεγματώδεα. 9 καὶ τὰ ὑποχωρητικὰ ἰσχναίνοντα θερμαίνουσι τὰ τοιαῦτα. 10 ἔτι δὲ [καὶ] τὰ ὀξέα καὶ φλεγματώδεα.

LVII. Πάντα δὲ τὰ ψύχοντα τὰ ἐν τῇ κοιλίῃ, τὰ δὲ τοιαῦτα ὑποχωρητικά ἐστι· 2 καὶ τὰ ψυχρὰ καὶ τὰ ὑγρά. 3 ὁπόταν δὲ μὴ ὑποχωρητικὰ ἔωσι, θερμαίνουσι. 4 ψύχουσι δὲ καὶ τὰ θερμὰ ἐς τὴν κοιλίην προσφερόμενα, " καὶ ταχὺ διαχώρησιν ποιέουσι. 5 διαχώρησιν δὲ μὴ ' ποιεύμενα, θερμά ἐστιν ἐν τῇ κοιλίῃ. 6 τούτων ὅσα πλησμονὴν ποιέει, μάλιστα φλεγματώδεά ἐστιν· 7 ἃ δὲ πλεῖστα προσφερόμενα οὐ ποιέει πλησμονὴν, διαχωρητικά.

LVIII. Ἰητρικὴ δή μοι δοκέει ἤδη ἀνευρῆσθαι ὅλη, ἥτις οὕτως ἔχει. 2 ἥτις διδάσκει ἕκαστα καὶ τὰ ἔθεα, καὶ τοὺς καιρούς. 3 ὃς γὰρ οὕτως ἰητρικὴν ἐπίσταται, ἐλάχιστα τὴν τύχην ἐπιμένει, ἀλλὰ καὶ ἄνευ τύχης, καὶ ξὺν τύχῃ εὖ ποιηθείη ἄν. 4 βέβηκε γὰρ ἰητρικὴ πᾶσα, καὶ φαίνεται τῶν σοφισμάτων τὰ κάλλιστα ἐν αὐτῇ συγκείμενα, ἐλάχιστα τύχης δεῖσθαι. 5 ἡ γὰρ τύχη αὐτοκρατὴς [ἐστι] καὶ οὐκ ἄρχεται, οὐδ᾽ ἐπ᾽ εὐχῇ ἐστιν αὐτὴν ἐλθεῖν. 6 ἡ δ᾽ ἐπιστήμη ἄρχεταί τε καὶ εὐτυχής ἐστιν, ὁπόταν βούληται ὁ ἐπιστάμενος χρέεσθαι. 7 ἔπειτα τί καὶ δεῖται ἰητρικὴ τύχης; 8 " εἰ μὲν [γὰρ] ἐστι τῶν νοσημάτων φάρμακα

& quæ à calore compacta sunt, & friabilia, & sicca. 7 Omnia autem quæ foris extenuant, intra corpus assumpta tumefactionem inducunt, 8 eadem autem & ventrem sistentia, & pituitosa, ac tumefacientia existunt. 9 Et quæ alvum subducunt ac extenuant, cum calefacientibus eadem sunt. 10 Insuper autem etiam acida pituitosa sunt.

LVII. Omnia ' vero quæ frigefaciunt ea quæ in ventre sunt, talia alvum subducunt. 2 Item quæ frigida sunt, & quæ humida. 3 Quum autem non alvum subducentia fuerint, calfaciunt. 4 Frigefaciunt autem & calida in ventrem assumpta, & cito secessum faciunt. 5 Si vero secessum non faciant, calida in ventre existunt. 6 Ex his quæcunque repletionem faciunt, maxime pituitosa sunt. 7 Quæ vero plurima assumpta repletionem ' non faciunt, alvum subducunt.

LVIII. Medicina itaque mihi jam tota inventa esse videtur, quæ sic habet, 2 & quæ docet singulas & consuetudines, & occasiones. 3 Qui enim sic Medicinam novit, minime fortunam respicit aut expectat, sed & citra fortunam, & cum fortuna, recte faciet. 4 Constans enim ac firma est tota medicina, & doctrinæ optimæ in ipsa compositæ, minime fortuna egere apparent. 5 Nam fortuna ' sui juris est, & nullius imperio subest, neque optantis est ad ipsam pervenire. 6 Scientia vero imperata facere cogitur, & facile est ipsam feliciter assequi, si quis sciens uti velit. 7 Deinde vero quid opus est Medicinæ fortuna? 8 Si enim morborum medicamenta clara

μακίῃ σοφῇ, οὐκ ἐπιδεῖ τῆς τύχης. 9 οἶμαι [δὲ] τὰ φάρμακα ὑγιᾶ ποιῆσαι τὰ νοσήματα, εἴπερ ἐστὶ φάρμακα. 10 εἰ δὲ σὺν τῇ τύχῃ διδόναι ὠφελεῖ, οὐδὲν μᾶλλον τὰ φάρμακα ἢ καὶ τὰ μὴ φάρμακα σύν γε τῇ τύχῃ ὑγιᾶ ποιεῦσι προσφερόμενα τοῖσι νοσήμασιν. 11 ὅστις δὲ τὴν 74 τύχην ἐξ ἰητρικῆς, ἢ ἐξ 'ἄλλης τινὸς ἐξελάσει, φάμενος οὐ τοὺς καλῶς τι πρήσσειν ἐπισταμένους χρέεσθαι τύχῃ, τὸ ὑπεναντίον δοκεῖ μοι γινώσκειν. 12 ἐμοὶ γὰρ δοκέουσι μοῦνοι καὶ ἐπιτυγχάνειν καὶ ἀτυχέειν οἱ καλῶς τι καὶ κακῶς πρῆξαι ἐπιστάμενοι. 13 ἐπιτυγχάνειν τὸ γάρ τοῦτ' ἐστὶ, τὸ καλῶς ποιέειν. 14 τοῦτο δὲ οἱ ἐπιστάμενοι ποιέουσιν. 15 ἀτυχέειν δὲ τοῦτ' ἐστιν, ὃ ἂν τις μὴ ἐπίστηται, τοῦτο μὴ καλῶς 5 ποιέειν. 16 ἀμαθὴς δὲ 'ἐὼν, πῶς ἂν ἐπιτύχοιεν; 17 εἰ γάρ τι καὶ ἐπιτύχοι, οὐκ ἂν ἀξίως λόγου τὴν ἐπιτυχίην ποιήσαιτο. 18 ὁ γὰρ μὴ καλῶς ποιέων οὐκ ἂν ἐπιτύχοι, τἄλλα τὰ εἰκότα μὴ πρήσσων.

clara sunt & manifesta, 9 velut equidem arbitror, non expectant sane fortunam ad sanandos morbos siquidem sunt medicamenta. 10 Si vero cum fortuna 'exhibere ipsa prodest, non ma- 310 gis medicamenta quam ea quæ non sunt medicamenta, una cum fortuna adhibita sanos faciunt. 11 Quicunque vero fortunam ex Medicina, aut alia quapiam arte expellit, dicitque eos qui probe rem aliquam sciunt fortuna non uti, is contrarium mihi judicare videtur. 12 Mihi enim soli hi fortunate assequi, itemque infortunate non assequi videntur, qui recte quid, & male facere 'sciunt. 13 Fortunate enim asse- 315 qui, est recte facere: 14 hoc autem qui sciunt faciunt. 15 Non assequi autem hoc est, si quis non sciat, hoc non recte faciat. 16 Indoctus autem qui est, quomodo fortunate assequi possit? 17 Si quid enim etiam assequatur, non memorabilem sane successum habebit. 18 Qui enim non recte quid facit, non fortunate assequi poterit, quum reliqua quæ æquum est facere non faciat.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΦΥΣΩΝ.

HIPPOCRATIS DE FLATIBUS.

Basil. græc. Foesius sect. III. 78. 295. Basil. lat.

277 / pag 117

ΕΙΣΙ' τινες τῶν τεχνέων, αἳ τοῖσι μὲν κεκτημένοισιν εἰσὶν ἐπίπονοι, 2 τοῖσι δὲ χρεωμένοισιν ὀνηϊσταί. 3 καὶ τοῖσι μὲν ἰδιώτῃσι ξυνὸν ἀγαθὸν, 4 τοῖσι δὲ μεταχειριζομένοισιν ἐπὶ

1 SUNT quædam artes, quæ illis quibus earum cognitio contingit, multum laboris exhibent: 2 illis vero qui earum usu indigent, utiles, 3 imo plebeis hominibus commune bonum sunt: 4 his vero 'qui eas exer- 5 cent,

11 / 23 / pag 117

ἐπὶ σφέας λυπηραί. ⁵ τῶν δὲ δὴ τοιούτων ἐστὶ τεχνέων καὶ, ἣν οἱ Ἕλληνες καλέουσιν ἰητρικήν. ⁶ ὁ μὲν γὰρ ἰητρὸς ὁρέει τε δεινὰ, θιγγάνει τε ἀηδέων, καὶ ἐπ' ἀλλοτρίῃσι ξυμφορῇσιν ἰδίας καρποῦται λύπας. ⁷ οἱ δὲ νοσέοντες ἀπαλλάσσονται τῶν μεγίστων κακῶν διὰ τὴν τέχνην· νούσων, πόνων, λύπης, θανάτου. ⁸ πᾶσι γὰρ τουτέοισιν ἄντικρυς ἰητρικὴ εὑρίσκεται ἀκεστορίς. ⁹ ταύτης δὲ τῆς τέχνης τὰ μὲν φλαῦρα χαλεπὸν γνῶναι, ¹⁰ τὰ δὲ σπουδαῖα, ῥηΐδιον. ¹¹ καὶ τὰ μὲν φλαῦρα τοῖσιν ἰητροῖσι, καὶ οὐ τοῖσιν ἰδιώτῃσιν. ¹² οὐ γὰρ σώματος, ἀλλὰ γνώμης ἔργα ἐστίν. ¹³ ὅσα μὲν χειρουργῆσαι δεῖ, συνεθισθῆναι χρὴ πείρος. ¹⁴ τὸ γὰρ ἔθος τῇσι χερσὶ κάλλιστον διδασκαλικόν.

II. Περὶ δὲ τῶν ἀφανεστάτων καὶ χαλεπωτάτων νοσημάτων δόξῃ μᾶλλον ἢ τέχνῃ κρίνεται. ² διαφέρει δὲ ἐν αὐτέοισι πλεῖστον ἡ πεῖρα τῆς ἀπειρίης. ³ ἓν δή τι τῶν τοιούτων ἐστὶ τόδε, τί ποτε τὸ αἴτιόν ἐστι τῶν νούσων, καὶ τίς ἀρχὴ καὶ πηγὴ γίνεται τῶν ἐν τῷ σώματι κακῶν. ⁴ εἰ γάρ τις εἰδείη τὴν αἰτίην τοῦ νοσήματος, οἷός τ' ἂν εἴη προσφέρειν τὰ ξυμφέροντα τῷ σώματι, ⁵ ἐκ τῶν ἐναντίων ἐπιστάμενος τῷ νοσήματι. ⁶ αὕτη γὰρ ἡ ἰητρικὴ μάλιστα κατὰ φύσιν ἐστίν. ⁷ αὐτίκα γὰρ λιμὸς νοῦσός ἐστιν. ⁸ ὅ, τι γὰρ ἂν λυπέῃ τὸν ἄνθρωπον, τοῦτο καλέεται νοῦσος. ⁹ τί οὖν λιμοῦ φάρ-

cent, plane molestæ. ⁵ Ex harum artium numero est & ea quæ Medicina appellatur. ⁶ Medicus enim oculis perlustrat singula pericula, contrectat etiam nulla voluptate, & ex alieno malo proprias sibi demetit molestias. ⁷ Ægrotantes autem artis beneficio, à maximis malis liberantur, à morbis, à doloribus, à tristitia, à morte. ⁸ Omnibus enim his evidens Medicina auxiliatrix reperitur. ⁹ Hujus autem artis quæ vilia vulgo putantur, cognoscere difficile est. ¹⁰ Quæ vero alicujus precii existunt, facile: ¹¹ atque vilia quidem soli Medici norunt, vulgus ignorat. ¹² Non enim corporis, sed animi opera existunt. ¹³ Quæcunque quidem manuum operam exigunt, ad ea consuetudine perveniendum est. ¹⁴ Est enim usus ipse egregius manuum exercitator & magister.

II. ¹ Verum de non adparentibus & difficillimis ægritudinibus plane opinio magis quam ars ipsa judicat. ² In his ergo plurimum refert expertusne sit quis, an omni experientia careus. ³ Unum autem est horum omnium judicium, hoc scilicet, quæ tandem causa sit morborum, & quod principium ac quasi fons sit, ex quo corporis mala omnia scaturiant. ⁴ Si quis enim causas corporis affecti probe cognovit, potens est valde ea adferre, quæ corpori commodent, ⁵ nimirum contraria corporibus morborum natura perspecta. ⁶ Est enim maxime secundum naturam ipsa Medicina. ⁷ Quare statim ubi fames molestat, morbus fit. ⁸ Quicquid enim homini molestiam ac tristitiam infert, hoc morbus vocatur. ⁹ Quod ergo est famis reme-

φάρμακον; [10] τὸ, τί παύει λιμόν. [11] τοῦτο δ' ἐστὶ βρῶσις. [12] τούτῳ ἄρα ἐκεῖνο ἰητέον. [13] αὖθις αὖ δίψαν ἔπαυσε πόσις. [14] πάλιν αὖ πλησμονὴν ἰῆται κένωσις· κένωσιν δὲ πλησμονή. [15] πόνον δὲ ἀπονίη· ἀπονίην δὲ πόνος. [16] ἑνὶ δὲ συντόμῳ λόγῳ, [17] τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰήματα.

III. [1] Ἰητρικὴ γάρ ἐστι πρόσθεσις καὶ ἀφαίρεσις. [2] ἀφαίρεσις μὲν τῶν ὑπερβαλλόντων· [3] πρόσθεσις δὲ τῶν ἐλλειπόντων. [4] ὁ δὲ κάλλιστα τοῦτο ποιέων, ἄριστος ἰητρός. [5] ὁ δὲ τούτου πλεῖστον ἀπηλλαγμένος, πλεῖστον ἀπήλλακται καὶ τῆς τέχνης. [6] ταῦτα μὲν οὖν ἐν παρέργῳ τοῦ λόγου τοῦ μέλλοντος εἴρηται.

IV. Τῶν δὲ δὴ νούσων ἁπασέων ὁ μὲν τρόπος ὁ αὐτός, ὁ δὲ τόπος διαφέρει. [2] δοκέει μὲν οὖν τὰ νοσήματα οὐδὲν ἀλλήλοισιν ἐοικέναι, διὰ τὴν ἀλλοιότητα καὶ ἀνομοιότητα τῶν τόπων. [3] ἔστι δὲ μία πασέων νούσων καὶ ἰδέη καὶ αἰτίη ἡ αὐτή. [4] τίς δέ ἐστιν αὕτη, διὰ τοῦ μέλλοντος λόγου φράσαι πειρήσομαι. [5] τὰ γὰρ σώματα τῶν τε ἀνθρώπων καὶ τῶν ἄλλων ζώων ἀπὸ τρισσέων τροφῶν τρέφονται. [6] ἔστι δὲ τῇσι τροφῇσι ταῦτα τὰ ὀνόματα, σῖτα, ποτά, πνεύματα. [7] πνεύματα δὲ, τὰ μὲν ἐν τοῖσι σώμασι, φῦσαι καλέονται· [8] τὰ δὲ ἔξω τῶν σωμάτων, ἀήρ. [9] οὗτος δὲ μέγιστος ἐστιν ἐν ἅπασι τῶν συμπτωμάτων δυνάστης. [10] ἄξιον δὲ

αὐτοῦ

remedium? [10] hoc scilicet quod famem sedat, id autem facit cibus, [11] eo ergo malum illud medicandum. [12] Amplius autem ubi sitis urgeat, bibere competit: [13] & rursus, repletioni evacuatio, evacuationi repletio, [14] labori quies succurrit, & quietis medelam ex labore reperias: [15] atque ut breviter dicam, contraria contrariorum sunt medicamina.

III. Medicina enim nihil aliud est nisi adpositio & ablatio. [2] Ablatio quidem eorum quæ excedunt, [3] adpositio vero eorum quæ deficiunt; [4] qui autem istud optime facere potest, is optimus Medicus censebitur, [5] quantumque quis ab hoc præstando deficit, tantum deficit quoque ab ipsa arte. [6] Atque hæc quidem præter institutum futuri sermonis à me dicta sunt.

IV. Morborum autem omnium unus & idem modus est. Locus vero ipse eorum differentiam facit. [2] Quare videntur quidem morbi inter se nihil simile habere, propter diversitatem scilicet locorum, [3] quum sit tamen una morborum omnium & species & causa quoque eadem. [4] Quæ autem hæc ipsa sit, in sermonis hujus progressu manifestum facere conabor. [5] Corpora enim omnia tum hominum, tum reliquorum quoque animantium à triplici nutrimento sustentantur. [6] Horum autem nutrimentorum nomina hæc sunt; cibus, potus, spiritus. [7] Ac spiritus quidem qui in corporibus sunt, flatus vocantur: [8] qui vero extra corpora existunt, aer. [9] Qui sane maximus est in omnibus quæ corpori accidunt & autor & dominus. [10] Quare operæpre-

αὐτοῦ θεήσασθαι τὴν δύναμιν.

V. Ἄνεμος γάρ ἐστιν ἠέρος ῥεῦμα καὶ χεῦμα. ² ὅταν οὖν πολὺς ἀὴρ, ἰσχυρὸν τὸ ῥεῦμα ποιήσῃ, ³ τά τε δένδρεα ἀνασπαστὰ πρόρριζα γίνεται διὰ τὴν βίην τοῦ πνεύματος, ⁴ τό, τε πέλαγος κυμαίνεται, ὁλκάδες τε ἄπειροι τὸ μέγεθος ἐς ὕψος διαρριπτεῦνται. ⁵ τοιαύτην μὲν οὖν ἐν τούτοισιν ἔχει δύναμιν· ⁶ ἀλλὰ μὴν ἐστί γε τῇ μὲν ὄψει ἀφανὴς, ⁷ τῷ δὲ λογισμῷ φανερός. ⁸ τί γὰρ ἄνευ τούτου γένοιτ' ἄν; ⁹ ἢ τίνος οὗτος ἄπεστιν; ¹⁰ ἢ τίνι οὐ ξυμπάρεστιν; ¹¹ ἅπαν γὰρ τὸ μεταξὺ γῆς τε καὶ οὐρανοῦ πνεύματος ἔμπλεόν ἐστι, ¹² τοῦτο καὶ χειμῶνος καὶ θέρεος αἴτιον. ¹³ ἐν μὲν τῷ χειμῶνι πυκνὸν καὶ ψυχρὸν γενόμενον, ¹⁴ ἐν δὲ τῷ θέρει πρηῢ καὶ γαληνόν. ¹⁵ ἀλλὰ μὴν ἡλίου καὶ σελήνης καὶ ἀστέρων ὁδὸς διὰ τοῦ πνεύματός ἐστι. ¹⁶ τῷ γὰρ πυρὶ τὸ πνεῦμα τροφή. ¹⁷ τοῦ δὲ πνεύματος τὸ πῦρ στερηθὲν οὐκ ἂν δύναιτο ζώειν. ¹⁸ ὥστε καὶ τὸν τοῦ ἡλίου δρόμον ἀέναον ἐόντα ὁ ἀὴρ, ἀέναος καὶ λεπτὸς ἐὼν, εἶναι παρέχεται. ¹⁹ ἀλλὰ μὴν καὶ τοῦτο τοῦ πελάγεος, ὅτι μετέχειν ἔχει τοῦ πνεύματος, πᾶσι τοῦτο δῆλον. ²⁰ οὐ γὰρ ἄν ποτε τὰ πλωτὰ ζῶα ζώειν ἐδύνατο, μὴ μετέχοντα πνεύματος. ²¹ μετέχοιεν δέ πως ἂν ἄλλως, ἀλλ' ἢ διὰ ὕδατος, ἢ ἐκ τοῦ ὕδατος ἕλκοντα τὸν ἀέρα; ²² καὶ μὴν ἥ τε γῆ τούτου βάθρον· ²³ οὗτός γε τῆς γῆς ὄχημα· ²⁴ κενεόν τε οὐδέν ἐστι τούτου. ²⁵ διότι μὲν τοῖσιν ἄλλοισιν ὁ ἀὴρ ἔρρωται, εἴρηται.

VI. Τοῖσι δ' αὖ θνητοῖσιν οὗτος αἴτιος τοῦ τε βίου καὶ τῶν νούσων τοῖσι νοσέουσι. ² τοσαύτη δὲ τυγχάνει πᾶσι χρείη τοῖσι σώμασι

cium est ejus potentiam diligentius perspicere.

V. Ventus enim ipsius aëris fluctus & unda existit. ² Quando igitur multus aër fortes fluctus facit, ³ tum & arbores radicitus evelluntur, ⁴ & mare undis exæstuat, spirituum potentia ita cogente, & naves onerarias etiam & ingentes in altum disjiciente. ⁵ Talem itaque vim in ista exercet, ⁶ etiamsi oculis minime sit conspicuus, ⁷ & tantum consideratione cognoscatur, & effectu suo fiat manifestus. ⁸ Quid autem sine hoc fit tandem? ¹⁰ aut cui rei non adest? ¹¹ Omne enim quod inter cœlum & terram est, spiritu repletum est. ¹² Hic & hyemis & æstatis causa est. ¹³ In hyeme quidem frigidus & condensatus, ¹⁴ In æstate autem mitis & tranquillus. ¹⁵ Quin & solis & lunæ, & astrorum omnium cursus per spiritum procedunt. ¹⁶ Etenim igni spiritus nutrimentum præbet, ¹⁷ quo si ignis privetur, vivere non possit. ¹⁸ Et solis perpetuum cursum aër perpetuus & tenuis conservat. ¹⁹ Verum neque mare ipsum spiritus exors esse, omnibus manifestum esse puto. ²⁰ Non enim vivere natantia animantia possent, si non spiritu participarent: ²¹ quomodo autem participarent, si non per aquam & ex aqua spiritum attraherent? ²² Et Lunæ hic fundamentum est, ²³ & terræ vehiculum, ²⁴ neque quicquam usquam est spiritu vacuum. ²⁵ Atque hactenus quidem quantum aër aliis commodet diximus.

VI. Mortalibus autem vitæ, & morborum ægrotis, solus is est auctor. ² Tantaque omnibus corporibus spiritus necessitas extat,

τοῦ πνεύματος ἐστίν· ὥστε τῶν μὲν ἄλλων ἁπάντων ἀποσχόμενος ὁ ἄνθρωπος καὶ σιτίων καὶ ποτῶν, δύναιτ' ἂν ἡμέρας δύο καὶ τρεῖς καὶ πλείονας διάγειν· 3 εἰ δέ τις ἐπιλάβοι τὰς τοῦ πνεύματος ἐς τὸ σῶμα διεξόδους, ἐν βραχεῖ μέρει ἡμέρης ἀπόλοιτ' ἄν, ὡς μεγίστης χρείης ἐούσης τῷ σώματι τοῦ πνεύματος. 4 ἔτι τοίνυν τὰ μὲν ἄλλα πάντα διαλείπουσιν ἄνθρωποι πρήσσοντες· 5 ὁ γὰρ βίος μεταβολέων πλέως ἐστί· 6 τοῦτο δὲ μοῦνον αἰεὶ διατελέουσιν ἅπαντα τὰ θνητὰ ζῶα πρήσσοντα, τοτὲ μὲν ἐμπνέοντα, τοτὲ δὲ ἐκπνέοντα. 7 ὅτι μὲν οὖν μεγάλη κοινωνίη ἅπασι τοῖσι ζώοισι τοῦ ἠέρος ἐστὶν, εἴρηται. 8 μετὰ τοῦτο τοίνυν αὐτέως ῥητέον, ὅτι οὐκ ἄλλοθέν ποθεν εἰκός ἐστι γίνεσθαι τὰς ἀῤῥωστίας μᾶλλον ἢ ἐντεῦθεν, 9 ὅταν τοῦτο ἢ πλέον, ἢ ἔλασσον, ἢ καὶ ἀθροώτερον, ἢ καὶ μεμιασμένον νοσεροῖσι μιάσμασιν ἐς τὸ σῶμα ἐσέλθῃ. 10 περὶ μὲν οὖν ὅλου τοῦ πρήγματος ἀρκεῖ μοι ταῦτα. 11 μετὰ δὲ ταῦτα πρὸς αὐτὰ τὰ ἔργα τῷ λόγῳ πορευθεὶς, ἐπιδείξω τὰ νοσήματα τούτου ἀπόγονά τε καὶ ἔκγονα πάντα ἐόντα.

VII. Πρῶτον δὲ ἀπὸ τοῦ κοινοτάτου νοσήματος ἄρξομαι, πυρετοῦ. 2 τοῦτο γὰρ τὸ νόσημα πᾶσι ἐφεδρεύει τοῖσιν ἄλλοισι νοσήμασι, μάλιστα δὲ φλεγμονῇ. 3 δηλοῖ δὲ τὰ γινόμενα προσκόμματα. 4 ἅμα γὰρ τῇ φλεγμονῇ εὐθὺς βουβὼν καὶ πυρετὸς ἐπέλαβε. 5 ἔστι δὲ δισσὰ εἴδεα πυρετῶν, ὡς ταύτῃ διελθεῖν· 6 ὁ μὲν, κοινὸς ἅπασι, καλεόμενος λοιμός· 7 ὁ δὲ διὰ πονηρὴν δίαιταν ἰδίῃ τοῖσι πονηρῶς διαιτεομένοισι γινόμενος. 8 ἀμ-

tat, ut siquidem omnibus aliis abstineat homo, neque cibum sumat, neque potum, possit tamen dies duos vel tres & plures ducere. 3 Si cui vero spiritus in corpus viæ intercipiantur, in brevi parte unius diei intereat, ut vel hinc quanto usui spiritus corpori sit liceat æstimare. 4 Amplius autem ab omnibus operibus aliquando immunes quiescunt homines 5 (multæ enim sunt mutationes in vita) 6 verum ab hoc opere nulla omnibus mortalibus animantibus requies contingit, ut cessent spiritum adducere, ac rursum exhalare. 7 Vides ergo ex his, quæ dixi, quanta communio omnibus animantibus in fruendo aere existat. 8 Subjiciam igitur mox & illud, quod non aliunde unquam verisimile sit morbos evenire quam inde, 9 si is aut plus, aut minus, aut cumulatior, aut morbidis sordibus inquinatior in corpus se ingerat. 10 Sed hæc de universa hac re dicta sufficiant. 11 Ad ipsa nunc opera sermonem convertens demonstrabo, omnes morbos ex hoc oriundos corporibus innasci ac generari.

VII. Primum autem à communissimo morbo febrili exordium sumam, 2 & qui omnium morborum comes est, præcipue tamen ex inflammatione & tensione abscessuum. 3 Quod satis indicant sequentia offendicula, 4 statim enim cum inflammatione inguinum abscessus & febris consequitur. 5 Sunt autem febrium genera duo, ut hoc quoque nunc attingam, 6 quorum alterum commune omnibus pestis adpellatur, 7 alterum propter malam diætam privatim his contingit qui ea utuntur, 8 u-

8 ἀμφοτέρων δὲ τούτων αἴτιος ὁ ἀήρ.

VIII. Ὁ μὲν οὖν κοινὸς πυρετὸς διὰ τοῦτο τοιοῦτός ἐστιν, ὅτι τὸ πνεῦμα τωὐτὸ πάντες ἕλκουσιν. 2 ὁμοίου δὲ ὁμοίως τοῦ πνεύματος τῷ σώματι μιχθέντος, ὅμοιοι καὶ οἱ πυρετοὶ γίνονται. 3 ἀλλ' ἴσως φήσει τις· διὰ τί οὖν οὐχ ἅπασι τοῖσι ζώοισιν, ἀλλ' ἔθνεϊ τινὶ αὐτέων ἐμπίπτουσιν αἱ τοιαῦται νοῦσοι; 4 ὅτι, φαίην ἂν, διαφέρει σῶμα σώματος, καὶ φύσις φύσιος, καὶ τροφὴ τροφῆς. 5 οὐ γὰρ πᾶσι τοῖσιν ἔθνεσι τῶν ζώων ταὐτὰ οὔτ' ἀνάρμοστα οὔτε σύναρμοστά ἐστιν, ἀλλ' ἕτερα ἑτέροισι ξύμφορα. 6 ὁκόταν μὲν οὖν ὁ ἀὴρ τοιούτοισι πληθυνθῇ μιάσμασιν, ἃ τῇ ἀνθρωπίνῃ φύσει πολέμιά ἐστιν, ἄνθρωποι τότε νοσέουσιν. 7 ὅταν δὲ ἑτέρῳ τινὶ ἔθνει ζώων ὁ ἀὴρ ἀνάρμοστος ᾖ, τὸ νόσημα κεῖνα νοσέουσιν. 8 αἱ μὲν οὖν δημόσιαι ὅσαι τῶν νούσων, εἴρηνται· 9 καὶ ὅ τι, καὶ ὅκως, καὶ οἷσι, καὶ ἀφ' οὗ γίνονται.

IX. Τὸν δὲ διὰ πονηρὴν δίαιταν γινόμενον πυρετὸν δίειμί σοι. 2 πονηρὴ δέ ἐστιν ἡ τοιήδε δίαιτα. 3 τοῦτο μὲν οὖν ὅταν τις πλείονας τροφὰς ἢ ὑγρὰς ἢ ξηρὰς διδῷ τῷ σώματι, ἢ τὸ σῶμα δύναται φέρειν, 4 καὶ πόνον μηδένα τῷ πλήθει τῶν τροφῶν ἀντιτίθησι. 5 τοῦτο δὲ, ὅταν ποικίλας καὶ ἀνομοίας ἀλλήλῃσιν ἐσπέμπῃ τροφάς. 6 τὰ γὰρ ἀνόμοια στασιάζει. 7 καὶ τὰ μὲν θᾶσσον, τὰ δὲ σχολαιότερον πέσσεται. 8 μετὰ δὲ πολλῶν σιτίων ἀνάγκη καὶ πολλὸν πνεῦμα ἐσιέναι. 9 μετὰ πάντων γὰρ τῶν ἐσθιο-

8 utriusque autem generis aër auctor & causa existit.

VIII. Communis ergo febris propterea omnibus accidit, quod eundem spiritum omnes attrahunt, 2 fitque ut simili corpori similes spiritus similiter permixti similes gignant febres. 3 Sed est fortasse qui dicat, ut quid ergo non omnibus animantibus, sed alicui eorum generi incidunt hi morbi? 4 Cui ego sic responderim, differt corpus à corpore, natura à natura, & nutrimentum à nutrimento. 5 Non enim omni animantium generi eadem aut non conferunt, aut commoda sunt, sed sunt alia aliis magis convenientia. 6 Quando igitur aer ejusmodi inquinamentis plenus est, quibus humana natura offenditur, homines ægrotant. 7 Quando vero alteri cuipiam animantium generi aër inconveniens est, tum morbus illud genus corripit. 8 Qui ergo populares sint morbi, hactenus dictum sit, 9 & quare, & quomodo, & quibus, & unde gignantur.

IX. Quomodo autem propter malam diætam febris accidat, deinceps exponam. 2 Est autem mala diæta hæc. 3 Primum quidem quum quis plures cibos, liquidos aut siccos ingerit in corpus, quam ipsum corpus ferre queat, 4 neque laborem aliquem ciborum saltem multitudini parem adjungit. 5 Deinde quum varios & dissimiles inter se cibos adsumit, 6 seditionem enim movent quæ sunt inæqualia, 7 aliquaque citius, alia difficilius concoquuntur. 8 Cum multorum autem ciborum ingestione necesse est & multum spiritum ingredi. 9 Omnia enim quæ eduntur

ἐσθιομένων καὶ πινομένων εἰσέρχεται πνεῦμα ἐς τὸ σῶμα, ἢ πλέον, ἢ ἔλασσον. [10] φανερὸν δὲ τοῦτο τῷδέ ἐστιν. [11] ἐρυγμοὶ γὰρ γίνονται μετὰ τὰ σιτία καὶ τὰ ποτὰ τοῖσι πλείστοισιν. [12] ἀνατρέχει γὰρ ὁ κατακλεισθεὶς ἀὴρ, ὁκόταν ἀναρρήξῃ τὰς πομφόλυγας, ἐν ᾗσι κρύπτεται.

X. [1] Ὅταν οὖν τὸ σῶμα σιτίων πληρωθῇ, καὶ πνεύματος πλησμονὴ ἐπὶ πλεῖον γίνεται, τῶν σιτίων χρονιζομένων. [2] χρονίζεται δὲ τὰ σιτία διὰ πλῆθος, οὐ δυνάμενα [τοῦ πνεύματος] διεξελθεῖν. [3] ἐμφραχθείσης δὲ τῆς κάτω κοιλίης, [4] ἐς ὅλον τὸ σῶμα διέδραμον αἱ φῦσαι. [5] προσπεσοῦσαι δὲ [αὗται] τὰ ἐναιμότατα τοῦ σώματος, ἔψυξαν. [6] τουτέων δὲ τῶν τόπων ψυχθέντων, ὅκου αἱ πηγαὶ καὶ αἱ ῥίζαι τοῦ αἵματός εἰσι, διὰ παντὸς τοῦ σώματος ἡ φρίκη διῆλθεν. [7] ἅπαντος δὲ τοῦ αἵματος ψυχθέντος, ἅπαν τὸ σῶμα φρίσσει.

XI. Διὰ τοῦτο μὲν οὖν πρὸ τῶν αἱ φρῖκαι γίνονται πρὸ τῶν πυρετῶν. [2] ὅκως δ' ἂν ὁρμήσωσιν αἱ φῦσαι πλήθει καὶ ψυχρότητι, τοιοῦτον γίνεται καὶ ῥῖγος. [3] ἀπὸ μὲν πλειόνων καὶ ψυχροτέρων, ἰσχυρότερον. [4] ἀπὸ δὲ ἐλασσόνων καὶ ἧσσόν τι ψυχρῶν, ἀνισχυρότερον. [5] ἐν δὲ τῇσι φρίκῃσι καὶ οἱ τρόμοι τοῦ σώματος κατὰ τόνδε γίνονται τὸν τρόπον. [6] τὸ αἷμα φοβεόμενον τὴν παρεοῦσαν φρίκην, συντρέχει καὶ διεξέρχεται κατὰ παντὸς τοῦ σώματος ἐς τὰ θερμότατα. [7] αὗται μὲν οὖν οἱ ἅλσιες. [8] καταλελειμμένου δὲ τοῦ αἵματος ἐκ τῶν ἀκρωτηρίων τοῦ σώματος ἐς τὰ σπλάγχνα, τρομέουσι καὶ αἱ σάρκες. [9] τὰ μὲν γὰρ τοῦ σώματος γίνεται πολύαιμα,

eduntur & bibuntur, spiritus in corpus inferunt, aliquando plures, aliquando etiam pauciores.[10] Id autem inde manifestum fit,[11] quod plurimis eructationes post cibos & potus evenire solent,[12] discurrente nimirum aëre incluso, ubi perruperit bullas quibus fuerat inclusus.

X. [1] Quando igitur corpus cibis expletum est, ac spiritus quoque multitudo vehementer excellit, dum cibi & ventri diu immorantur: [2] (immorantur autem cibi quum præ multitudine exire nequeant) [3] & inferior venter vel alvus ipsa fit obstructa: [4] per universum corpus permeant flatus, [5] sanguineque plenas corporis partes maxime petentes eas frigefaciunt: [6] frigefactis autem his locis unde fontes & radices sanguinis prodeunt, per [7] universum corpus horror consequitur: [7] universo autem sanguine frigefacto, totum corpus horret.

XI. Quæ ratio est, cur primum horrores ante febres corpus concutiant, [2] quantoque majore impetu multitudinis & frigiditatis ipsi flatus præcelluerint, tanto major fit & horror, [3] à pluribus videlicet & frigidioribus fortior, [4] à paucioribus ac minus frigidis, minus etiam fortis. [5] Cum horroribus autem & tremores [6] corporis accidunt, eos secundum eundem plane modum. [6] Sanguis enim præsentis horroris timore perculsus concurrit, ac penetrat per omne corpus ad loca maxime calida, [7] Hi enim sunt ejus saltus. [8] Decedente itaque ab extremis corporis partibus sanguine, viscera contremiscunt & carnes. [9] Sunt autem quædam corporis partes

λύαιμα, τὰ δὲ αὔαιμα. 10 τὰ μὲν οὖν αὔαιμα διὰ τὴν ψύξιν οὐκ αὖ τρομέουσιν, ἀλλὰ πάλλονται. 11 τὸ γὰρ θερμὸν ἐξ αὐτέων ἐκλέλοιπε. 12 τὰ δὲ πολύαιμα διὰ τὸ πλῆθος τοῦ αἵματος τρέμουσι καὶ φλεγμονὰς ἐμποιεῖ. 13 οὐ γὰρ δύναται πολλὸν γινόμενον ἀτρεμίζειν.

XII. Χασμῶνται δὲ πρὸ τῶν πυρετῶν, ὅτι πολὺς ὁ ἀὴρ ἀθροισθεὶς, ἀθρόος τὸ ἄνωθεν διεξιὼν, ἐξεμόχλευσε καὶ διέστησε τὸ στόμα. 2 ταύτῃ γὰρ εὐδιέξοδός ἐστιν. 3 ὡς γὰρ ἀπὸ τῶν λεβήτων ἀτμὸς ἀνέρχεται πολὺς ἑψομένου τοῦ ὕδατος, 4 οὕτω καὶ σώματος θερμαινομένου δίεισι διὰ τοῦ στόματος ὁ ἀὴρ ξυνεστραμμένος καὶ βίῃ φερόμενος. 5 καὶ τά τε ἄρθρα διαλύονται πρὸ τῶν πυρετῶν. 6 χλιαινόμενα γὰρ τὰ νεῦρα διίστανται. 7 ὁκόταν δὲ συναλισθῇ ἀθροισθὲν τὸ πλεῖστον τοῦ αἵματος, διαθερμαίνεται πάλιν ὁ ἀὴρ, ὁ ψύξας τὸ αἷμα, κρατηθεὶς ὑπὸ τῆς θερμότητος. 8 διάπυρος δὲ καὶ μύδρος γινόμενος ἐν ὅλῳ τῷ σώματι τὴν θερμασίην ἐνεργάσατο. 9 συνεργὸν δὲ αὐτῷ τὸ αἷμά ἐστι.

XIII. Τήκεται γὰρ πυρούμενον, καὶ γίνεται πνεῦμα ἐξ αὐτοῦ. 2 τοῦ δὲ πνεύματος προσπίπτοντος πρὸς τοὺς πόρους τοῦ σώματος, οἱ ἱδρῶτες γίνονται. 3 τὸ δὲ πνεῦμα συνιστάμενον ἐς ὕδωρ ἔρχεται, 4 καὶ διὰ τῶν πόρων διεξελθὸν ἔξω περαιοῦται, τὸν αὐτὸν τρόπον, 5 ὅνπερ ἀπὸ τῶν ἑψομένων ὑδάτων ὁ ἀτμὸς ἐπανιὼν, ἢν ἔχῃ στερέωμα πρὸς ὃ, τι χρὴ προσπίπτειν, παχύνεται καὶ πυκνοῦται, 6 καὶ σταγόνες ἀποπίπτουσιν ἀπὸ τῶν σωμάτων, οἷσιν ἂν ὁ ἀτμὸς προσπίπτῃ.

sanguine plenæ, quædam vero exangues. 10 Exangues itaque propter frigus non tremunt, sed parumper commoventur ac palpitant, 11 quum calor ex eis defecerit. 12 Sanguine autem abundantes propter sanguinis multitudinem & tremunt, & inflammationes suscitant. 13 Nequit enim fieri ut sanguinis multitudo conquiescat.

XII. Hiatus etiam præcedere solet febres, siquidem multus aër coacervatus, cumulatim superna petens commovet ac diducit os, 2 quum per hoc facillimus ei exitus pateat. 3 Quemadmodum enim ab aquis in lebete ferventibus vapor multus elevatur: 4 sic & corpore calefacto penetrat per os aër convolutus, & quadam vi erumpens. 5 Amplius autem & articuli exolvuntur ante febres, 6 calefacti enim nervi diducuntur. 7 Quando autem congregatus fuerit cumulatim plurimus sanguis, calefit rursus ipse aer, qui antea sanguinem infrigidavit. Nimirum à calore multo victus, 8 accensusque ac vel ut igneus factus, per omne corpus calorem spargit, 9 cooperante ei in hoc etiam ipso sanguine.

XIII. Liquefit ergo quicquid ignea vis illa attigerit, fitque inde spiritus. 2 Qui quum ad meatus corporis irruerit, sudores fiunt. 3 Siquidem spiritus compactus in aquam transmutatur, 4 & per meatus penetrans extra prorumpit, eodem plane modo, 5 quo à ferventibus aquis vapor elevatus, si obstaculum habeat, ad quod impingere oportet, pinguesit ac condensatur, 6 guttæque destillant ab his corporibus quibus vapor ipse fuit impactus.

πέπηη. 7 πόνοι δὲ τῆς κεφαλῆς ἅμα τῷ πυρετῷ γίνονται διὰ τόδε. 8 στενοχωρίη τῇσι διεξόδοισιν ἐν τῇ κεφαλῇ τοῦ αἵματος γίνεται. 9 πεπλήρωνται γὰρ ἠέρος. 10 πληρωθεῖσαι δὲ καὶ πρησθεῖσαι τὸν πόνον ἐμποιέουσιν ἐν τῇ κεφαλῇ. 11 βίῃ γὰρ τὸ αἷμα βιαζόμενον διὰ στενῆς ὁδοῦ θερμὸν ἐὸν, οὐ δύναται περαιοῦσθαι ταχέως. 12 πολλὰ γὰρ ἐμπόδιον ἐστιν αὐτῷ κωλύματα καὶ ἐμφράγματα. 13 διὸ δὴ καὶ οἱ σφυγμοὶ γίνονται ἀμφὶ τοὺς κροτάφους. 14 οἱ μὲν οὖν πυρετοὶ διὰ τοῦτο, ὡς ἔφην, γίνονται, καὶ τὰ μετὰ τῶν πυρετῶν ἀλγήματα καὶ νοσήματα.

XIV. Τῶν δὲ ἄλλων ἀρρωστημάτων, ὁκόσοι μὲν οὖν εἰλεοί εἰσιν, ἢ εἰλήματα, ἢ στρόφοι, ἢ ἕτερα ἀποστηρίγματα, φύσας εἶναι αἴτια, ἅπασιν ἡγέομαι φανερὸν εἶναι. 2 πάντων γὰρ τῶν τοιουτέων αἰτίη τοῦ πνεύματος ἡ διέξοδος. 3 τοῦτο γὰρ, ὁκόταν περιπέσῃ πρὸς τόπους ἁπαλοὺς καὶ ἀήθεας καὶ ἀτρίβεας, ὥσπερ τὸ ξύλον ἐγκείμενον διαδῦνον διὰ τῆς σαρκὸς, περονῆσε ποτὲ μὲν πρὸς τὰ ὑποχόνδρια, ποτὲ δὲ πρὸς τὰς λαπάρας, ποτὲ δὲ ἐς ἀμφότερα. 4 διὸ δὴ καὶ θερμαίνοντες ἔξωθεν πυριήμασιν ἰητρῶν μαλθάσσουσι τὸν πόνον. 5 ἀραιουμένης γὰρ ὑπὸ τῆς θερμασίης τῆς χροιῆς τῆς πυριήματος, διέρχεται τὸ πνεῦμα διὰ τοῦ σώματος, ὥστε παῦλάν τινα γενέσθαι τοῦ πόνου.

XV. Ἴσως δ' ἄν τις εἴποι, πῶς οὖν τὰ ῥεύματα γίνεται διὰ τὰς φύσας; 2 ἢ τίνα τρόπον τῶν αἱμοῤῥαγιῶν τῶν περὶ τὰ στέρνα τοῦτο αἴτιόν ἐστιν; 3 οἶμαι δὲ καὶ ταῦτα δηλώσειν διὰ τουτέων γενόμενα. 4 ὅταν περὶ τὰ

pactus. 7 Insuper autem & dolores capitis simul cum febre accidunt, cujus rei hæc causa est. 8 Sanguinis transitus in capite magna angustia coarctantur: 9 repleti enim sunt multo aere: 10 cujus abundantia ac conclusio dolorem excitant in capite. 11 Sanguis enim ipse natura calidus existens, vi coactus per angustam viam transire celerrime non potest, 12 quum multa impedimento sint obstacula, & oppilationes, 13 quapropter etiam pulsus fiunt circa tempora 14 Hoc ergo modo, ut dixi, febres fiunt, & cum febribus dolores, ac aliæ quædam ægritudines.

XIV. Porro sunt aliquæ aliæ infirmitates, utpote volvuli, agitationes intestinorum, tormina atque oppilationes: quod autem hæ ipsæ omnes à flatibus causam habeant, nemini puto non manifestum esse. 2 Omnium enim horum caussa est spiritus transitus. 3 Nam is quum contingit locos teneros, inconsuetos, ac prius intactos, quemadmodum spiculum infixum penetrans per carnem perrumpit, aliquando præcordia petens, aliquando ilia, imo quandoque utraque simul adfligens. 4 Quare solent quidam calida fomenta extra adhibentes dolorem mitigare. 5 Rarefacto enim corpore à calore, fomentum spiritus inde exhalat, ut quies inde aliqua & mitigatio contingat dolorum.

XV. Sed dixerit fortassis quispiam, quomodo ergo fluxus generantur per ipsos flatus? 2 Et quonam modo sanguinis rupturarum circa pectus flatus auctor & caussa existit? 3 Opinor autem ego me ista per hæc manifeste declaraturum. 4 Quum igitur

τὴν κεφαλὴν αἱ φλέβες γεμισθῶσιν ἠέρος, πρῶτον μὲν ἡ κεφαλὴ βαρύνεται τῶν φυσέων ἐγκειμένων. [5] ἔπειτα συγκλείεται τὸ πνεῦμα καὶ τὸ αἷμα διὰ τὴν στενότητα τῶν ὁδῶν. [6] τὸ δὲ λεπτότατον τοῦ αἵματος διὰ τῶν φλεβῶν ἐκθλίβεται. [7] τοῦτο δὲ τὸ ὑγρὸν, ὅταν ἀθροισθῇ, ῥεῖ δι' ἄλλων πόρων. [8] ὅκου δ' ἂν ἀθρόον ἀφίκηται τοῦ σώματος, ἐνταῦθα ξυνίσταται ἡ νοῦσος.

XVI. Ἐπὴν μὲν οὖν ἐπὶ τὴν ὄψιν ἔλθῃ, ταύτης ὁ πόνος. [2] ἢν δὲ ἐς τὰς ἀκοὰς, ἐντεῦθεν ἡ νοῦσος. [3] ἢν δὲ ἐς τὰς ῥῖνας, κόρυζα γίνεται. [4] ἢν δὲ ἐς τὰ στέρνα, βράγχος καλέεται. [5] τὸ γὰρ φλέγμα δριμέσι χυμοῖσι μεμιγμένον, ὅποι ἂν προσπέσῃ ἐς ἀήθεας τόπους, ἑλκοῖ. [6] τῇ δὲ φάρυγγι ἁπαλῇ ἐούσῃ καὶ τὸ ῥεῦμα προσπίπτον, τρηχύτητα ἐργάζεται. [7] τὸ γὰρ πνεῦμα, τὸ διαπνεόμενον διὰ τῆς φάρυγγος, ἐς τὰ στέρνα βαδίζει, καὶ πάλιν ἐξέρχεται διὰ τῆς αὐτῆς ὁδοῦ. [8] ὅταν δὲ ξυμβάλλῃ τῷ πνεύματι τὸ ῥεῦμα, τὸ κάτω ἰόντι, βὴξ ἐπιγίνεται, καὶ ἀναῤῥίπτεται ἄνω τὸ φλέγμα. [9] τουτέων δὲ τοιουτέων ἐόντων, ἡ φάρυγξ ἑλκοῦται, καὶ τρηχύνεται, καὶ θερμαίνεται, καὶ ἕλκει τὸ ἐκ τῆς κεφαλῆς ὑγρὸν θερμὴ ἐοῦσα. [10] ἡ δὲ κεφαλὴ πάλιν παρὰ τοῦ ἄλλου σώματος λαμβάνουσα, ταύτῃ δίδωσιν.

XVII. Ὁκόταν οὖν ἐθισθῇ τὸ ῥεῦμα οὕτως ῥέειν, ὀχεταδρομέουσιν οἱ πόροι, διαδιδῶσι δὲ καὶ ἐς τὰ στέρνα. [2] δριμὺ δὲ ἐὸν τὸ φλέγμα προσπίπτον τῇ σαρκὶ, ἑλκοῖ καὶ ἀναῤῥηγνύει τὰς φλέβας. [3] ὁκόταν δὲ ἐκχυθῇ τὸ αἷμα ἐς ἀλλότριον τόπον, χρονιζόμενον καὶ σηπόμενον γίνεται πῦον, [4] οὔτε ἄνω δύναται ἀνελθεῖν,

venæ circa caput aëre repletæ sunt, [4] primum quidem caput ipsum propter flatus inclusos aggravatur, [5] deinde convolvitur spiritus cum sanguine propter angustiam viarum, [6] tenuissimum autem ipsius sanguinis per venas excluditur, [7] atque idipsum tenuissimum liquidum quum coacervatur, per alios meatus fluit: [8] & ubi tandem cumulatim progrediens constiterit, ibi constituitur & morbus.

XVI. Si itaque ad oculos pervenerit, sequitur eorum dolor: [2] si ad aures, morbus & illas occupat: [3] si ad nares, gravedinem generat: [4] si ad pectus, raucedinem. [5] Pituita enim ipsa acribus humoribus permixta, quocunque proruperit, maxime in non consuetos locos, eos exulcerat. [6] Quod si fauces teneras alias fluxus petiverit, eas exasperat: [7] spiritus enim qui fauces ingreditur, ad pectus usque procedit, ac rursus effertur per eandem viam. [8] Quum autem spiritus ingrediens in fluxum qui intus est inciderit, tussis gignitur, & repellitur sursum pituita. [9] Quæ quum sic habeant, fauces exulcerantur, exasperantur & inflammantur, adtrahuntque calefactæ humorem de capite, [10] caput autem rursus ab aliis corporis partibus adtrahens his transmittit.

XVII. Quum igitur hic fluxus consuevit sic manare, implentur meatus, & transmittunt in pectus. [2] Acris autem quum sit pituita carnem penetrans, exulcerat ac perfringit venas. [3] Ex quibus sanguis effusus in alienos sibi locos ubi moram traxerit putrescit, ac in pus convertitur, [4] & neque sursum potest conscendere,

θεῖν, οὔτε κάτω ὑπεξελθεῖν. [5] ἄνω μὲν γὰρ οὐκ εὔπορος ἡ πορείη, πρὸς αἶπος τῷ ὕδατι "ὑγρῷ περιήματι καὶ ἑτέροισι πᾶσι τὸ βάρος ἔχουσι. [6] κάτω δὲ κωλύει 'φράγμα ὁ τῶν φρενῶν. [7] "διότι δήποτε τὸ ῥεῦμα τὸ αὐτοῦ πνεύματος ἀναρρηγνύμενον, ἀναρρήγνυται τὸ μὲν αὐτόματον, τὸ δὲ διὰ πόνους. [8] αὐτόματον μὲν οὖν, ὅταν αὐτόματος ὁ ἀὴρ εἰσελθὼν ἐς τὰς φλέβας στενοχωρίην ποιήσῃ τῇσι τοῦ αἵματος διεξόδοισι. [9] τό, τε γὰρ πιεζόμενον τὸ αἷμα πολὺ γινόμενον ἀναρρηγνύει τοὺς πόρους, "ᾗ ἂν ὡς τὰ μάλιστα βαρέῃ. [10] ὁκόταν δὲ πλῆθος αἱμορραγήσῃ καὶ τούτοισιν οἱ πόνοι πνεύματος ἐνέπλησαν τὰς φλέβας. [11] ἀνάγκη γὰρ τὸν 'πονέοντα τόπον κατέχειν τὸ πνεῦμα. [12] τἄλλα τοῖσιν εἰρημένοισιν ὅμοια γίνεται.

XIIX. "Τὰ δὲ ῥήγματα γίνεται διὰ τάδε. [2] ὁκόταν ὑπὸ βίης διαστρέωσιν αἱ σάρκες ἀπ' ἀλλήλων, ἐς δὲ τὴν διάστασιν ὑποδέχεται πνεῦμα, τοῦτο τὸν πόνον παρέχει. [3] ὅταν δὲ διὰ τῶν σαρκῶν αἱ φῦσαι διεξιοῦσαι τοὺς πόρους τοῦ σώματος ἀραιοὺς ποιήσωσιν· [4] ἕπεται δὲ τῇσι φύσῃσιν ὑγρασίη, ᾗ τὴν ὁδὸν ὁ ἀὴρ ἀπηργάσατο. [5] διαβρεχομένου δὲ τοῦ σώματος, ὑποκλήκονται μὲν αἱ σάρκες, οἰδήματα δὲ ἐς 'τὰς κνήμας καταβαίνει· [6] καὶ λέγεται τὸ τοιοῦτον νόσημα ὕδρωψ. [7] μέγιστον δὲ σημεῖον, ὅτι φῦσαι τοῦ νοσήματος εἰσὶν αἴτιαι, τόδε ἐστίν. [8] ἤδη τινὲς ὀλεθρίως ἔχοντες "ἐκλύθησαν καὶ ἐκενώθησαν τοῦ ὕδατος. [9] παραυτίκα μὲν οὖν τὸ ἔξιον ἐκ τῆς κοιλίης ὕδωρ πολὺ φαίνεται· [10] χρονιζόμενον δὲ, ἔλασσον γίνεται. [11] "διὰ τί δὴ γίνεται καὶ τοῦτο, δῆλον· [12] ὅτι παραυτίκα μὲν τὸ ὕδωρ ἠέρος

dere, neque infra exire. [5] Sursum non, nam non facilis est via humori ad ardua prodire, sicut neque aliis rebus, quæ aliquam admixtam secum habent gravitatem. [6] Infra autem procedere prohibet septum transversum. [7] Quare sane contingit fluxum aliquem citra spiritum 'rumpi, & 165 aliquando quidem sua sponte, quandoque etiam propter dolores. [8] Ac sponte quidem quum aër in venas ultro receptus sanguinis meatus coarctat. [9] Multitudine nanque sua compressus sanguis meatus perfringit, qua ejus copia maxime prorumpit. [10] Effusione autem ejus facta, venæ rursus spiritu complentur, & ex eo dolor sequitur. [11] Necesse est enim affectum locum spiritu occupari, [12] aliaque dictis similia 'fieri. 170

XVIII. Rupturæ autem omnes fiunt hoc modo. [2] Quum violentia quadam invicem discedunt & finduntur carnes, fissuram subtercurrit spiritus, ac dolore adfligit: [3] quum autem ipsi flatus carnes pergressi, meatus corporis rarefecerint, [4] sequitur post flatus humiditas, cui viam jam antea aer præstravit. [5] Irriguo itaque corpore ab humiditate facto, liquefiunt carnes, tumoresque in suras descendunt, [6] atque morbus fit, 'qui aqua 175 intercus adpellatur. [7] Maximum autem signum est, morbum hunc à flatibus generatum esse, [8] quod jam sæpe aliqui hoc malo affecti exoluti sunt, & ab aqua evacuati. [9] Atque his quidem subito aqua ex ventre prorumpens multa adparet, [10] post moram autem paucior fit. [11] Cur vero hoc fiat satis manifestum est. [12] Nam primum subito prorumpens

ἀέρος πλῆρές ἐστιν· [13] ὁ δὲ ἀὴρ ὄγκον παρέχεται μέζονα. [14] ἀποδύντος δὲ τοῦ πνεύματος, ὑπολείπεται τὸ ὕδωρ αὐτό. [15] διὸ δὴ φαίνεται μὲν μικρὸν ἐὸν, ἔστι δὲ ἴσον. [16] ἄλλο δὲ αὐτέων τόδε σημεῖον. [17] κενωθείσης γὰρ παντελῶς τῆς κοιλίης, οὐ τρεῖς ἡμέραι διέλθωσι, καὶ πάλιν πλήρης γίνεται. [18] τί οὖν ἄρα ἐστὶ τὸ πληρῶσαν, ἀλλ' ἢ τὸ πνεῦμα; [19] τί γὰρ ἂν οὕτως ἄλλο ταχέως ἐξεπλήρωσεν; [20] οὐ γὰρ δή που ποτὸν ἴσως τοσοῦτον ἐσῆλθεν ἐς τὸ σῶμα, [21] καὶ μὴν οὐδὲ σάρκες ὑπάρχουσιν αἴτιαι ἀποτηκόμεναι. [22] λείπεται γὰρ ὀστέα, καὶ νεῦρα, καὶ ἶνες, ἀφ' ὧν οὐδενὸς οὐδεμίη δύναιτ' ἂν αὔξησις ὕδατος γεγενῆσθαι. [23] τὸ μὲν οὖν αἴτιον τοῦ ὕδρωπος ἤδη εἴρηται.

VIII. Cum fuerit Luna in Virgine, & Saturnus invenerit eam ex quarto aspectu, vel eam prospexerit ex oppositione, qui tum inciderit in languorem, ventriculi dolorem patietur, & ventris & intestinorum, vel ei congestum erit apostema ex pituita alba. Is quandoque patietur calorem, & erit illi pulsus debilis. Ejus vero morbum nemo potest cognoscere, nisi fuerit astronomus. Utatur is, rebus frigidis & temperatis. Indiget curatione abscessus sine apertione. Morbus is tandem longus futurus est. Sin autem Luna aspexerit fortunam, evadet, sed post multos dies; Quod si infortunium aspexerit, occumbet die quadragesimo. [2] Cum Luna fuerit in Virgine, eamque Mars respexerit, vel Sol ex quarto vel oppositione, morbus productus erit ex magno interno calore. Huic succedit frequens assellatio, projicit & sanguinem, & venenum, vel humores præferentes aconitum. Pulsus ejus est validus: tamen quandoque non invenitur. Patitur & cordis languorem, & ventriculo laborat. Medicina illi tandem potens negatur, sed stypticum medicamen, & ventriculum roborans detur. Utatur ergo & alimento, & medicamento leni. Quod si infortunium aliquod aspexerit eam, morietur ille, & brevi tempore, ad dies triginta: sin vero aspexerit eam aliqua fortuna, vivet ille. [3] Cum fuerit in Virgine cursu vacua, ægro stomachus erit debilis, & fluxum quandoque ventris patietur, & lotium, dum mingit, vesicam afficit, vexatque bilis prasina hominem, & cum difficultate mingit. [4] Si fuerit cum ea Mars, vel Mercurius, vel Sol, morbus ejus erit gravis, & vix loquitur, & fluxum ventris patitur. Indiget ergo ventrem stipantibus. Verendum autem est illi, ne occumbat, cum Luna venerit ad oppositionem loci, in quo fuerat ab initio morbi: quam si fortuna aspexerit, vivet ille, sin autem, morietur. [5] Quod si inveneris Saturnum cum Luna, vel Mercurium, aut Venerem, seu Jovem, hic morbus erit nimium diuturnus, capitis languorem patietur etiam, neque liber erit morbo, donec venerit Luna ad locum, in quo fuerat ab initio morbi.

IX. Luna cum fuerit in Libra, & Saturnus eam aspexerit ex quarto aspectu vel oppositione, morbus productus erit ex nimio potu vini, majorque erit morbus is, cum Luna fuerit in diminutione luminis & graduum. Is tandem afficitur oculis, dolet temporibus, queritur pectore, tussis ex pituita in pulmone concitatur, illi moventur & sternutamenta, afficitur & febre quadam levi. Is demum eget medicina temperata, & regimine vitæ utatur temperato. Sin autem Lunam inspexerit Mars aspectu quarto vel opposito, morietur ille. Quod si eam non aspexerit, vivet & liber erit, quando Luna venerit ad oppositionem loci, in quo fuerat à principio lan-

languoris. [2] Quum autem Luna fuerit in Libra, eamque aspexerit Mars quarto aspectu, vel Saturnus oppositione, morbus erit ex sanguine, & febris erit vehemens & nocturna, prava occurrent somnia, etsi vix poterit dormire, plerunque & apostema congeritur illi ex pituita alba. Is tandem necessario medendus est temperato medicamine. Cumque Lunam non inspexerit aliquod infortunium, evadet ille. Sin autem fuerit oppositum, cum venerit ad oppositionem morietur spatio vigintitrium dierum, vel trigintatrium. Cumque Luna aspexerit aliquam fortunarum, sanabitur ille, cum Luna venerit ad oppositionem loci, in quo erat ab initio morbi. [3] Sed cum Luna in Libra fuerit peregrina, æger pedibus, vel manibus laborat, & febrit, graves oculos, & somnolentos habens, balbutit loquendo. Eget pharmaco, & frigido vitæ regimine, atque humido. Secanda erit vena illi. Cum Luna egressa fuerit è loco, in quo erat à principio morbi, & invenerit fortunam, vel secum erit, recipiet sanitatem, cum Luna venerit ad oppositionem: sin oppositum acciderit, morietur. [4] Quumque Luna erit in Libra, Solque vel Mars erit in oppositione ejus, gravis erit morbus in capite. Quod si fuerit Mercurius cum Luna, idem erit: tamen oculi ejus opplentur lachrymis. Indiget tandem minutione sanguinis, & solventi medicamine. Tamen si Luna invenerit Jovem ante Venerem, quando egreditur de loco, in quo erat ab initio languoris, sanabilis erit; sin vero esset oppositum, morietur ille.

x. Cum Luna fuerit in Scorpione, eamque Saturnus aspexerit aspectu quarto, vel erit in oppositione signi illius, in quo quis incidit in morbum, morbus ejus erit ex peccato sanguinis corrupti, vel ex veneno. Quod si Luna erit in diminutione luminis, & non aspexerit eam fortuna, morietur ille. Cum autem erit addens lumini & gradibus, & fortuna aspexerit eam, vivet ille. [2] Tamen dum Luna erit in Scorpione, Marsque eam, & Jupiter inspexerint quarto aspectu; vel oppositione, intensus febrientis erit calor. Is eget temperato pharmaco solventi. Sed cum Luna inde recesserit, postmodum jungitur Jovi, valetudinem recipiet ille. [3] Luna etiam existens peregrina in Scorpione, languoris pedum est causa, morbusque ab initio levis est, neque æstimatur. Ideo fovetur, plerunque & abscessum producit, ejusque & vesica afficitur, inque ejus naturalibus apparent pustulæ. [4] Sed Luna cum venerit ad trinum aspectum loci, in quo fuerat ab exordio, calidis afficitur febribus. At si Luna venerit ad Solem per quartum aspectum, & fortunam non invenerit, occumbet ille: si vero invenerit eam, apparebit apostema in aliquo ex dictis locis, tamen vivet ille. Eget autem is medicamento, ut tumor ille aperiatur in balneo tantum, quia alius locus nec calidus, neque frigidus convenit. [5] Cumque etiam Luna fuerit in Scorpione, eritque cum ea Mars atque Sa-

Saturnus, febriens febriet ardentissimis febribus. Propterea sumat medicamenta, quæ minuunt pituitam: sed vena non est secanda illi. Cum Luna egreditur de loco illo, & eam aspexerit fortuna, ad decimam quartam diem morbus protrahetur. Sin autem non aspexerit, durabit morbus usque ad vigesimum diem.

XI. Cum Luna fuerit in Sagittario, & eam aspexerit Saturnus quarto aspectu vel oppositione, morbus erit ex phlegmate. Universum enim cor afficietur calore: extrema vero frigida erunt, morbusque durabit, donec Luna Saturno jungetur. Quod si invenerit fortunam, non procedet ulterius, quatenus Luna venerit ad oppositionem illius loci, in quo fuerat ab initio morbi. [2] Cum vero existente Luna in Sagittario aspexerit eam Mars quarto aspectu vel oppositione, & addiderit suo lumini & gradibus, morbum languentis Medicus nequit discernere absque astronomia: quoniam modo de capite, modo de universo corpore, modo quoque & aliter queritur; quibus ideo afficitur, quia nimium stetit in balneo, & calefactus statim concepit frigus pectore & capite: evomit quoque multum, atque dejicit. Eget ergo stipanti medicamine, sed levi: utatur diæta levi etiam & syrupo sine aceto.[3] Cum vero Luna exierit de Scorpione, & Saturnum invenerit, morietur: at si invenerit fortunam, vivet: sed immensam patietur fatigationem. [4] Cum Luna est in Sagittario cum Jove, aut Venere, languor erit propter tussim, cum dolore pectoris: sed quum Luna ex hoc signo egressa erit, & aspexerit eam Saturnus, ad vigesimum quartum, extendetur morbus, & evadet. Is indiget mollienti medicamine, caveat à balneo, quoniam obest.

XII. Luna cum fuerit in Capricorno, eamque Saturnus aspexerit ex quarto aspectu, vel ex oppositione, & fuerit in diminutione luminis, & graduum, ex nimio labore sudore perfunditur, & frigore corripitur æger, conclusi sunt humores, & cerebrum concutiunt sternutamenta fortia, laborat ventriculo & thorace: febrit etiam propter nimium exercitium, vel sanguinem. Curetur is rebus temperatis, ut syrupo temperato. Tum si Luna aspexerit fortunam, evadet magno tandem cum labore. Si vero fortuna non aspexerit eam, morietur infra triginta dies. [2] Cum Luna erit in Capricorno, eamque aspexerit Mars quarto aspectu vel oppositione, morbus erit ex vomitu, atque intenso calore, patietur ventris solutionem, & ventriculus ejus ardebit, & tumefiet ardenter & febriet, plurimo & sudore perfundetur, ejus pulsus non semper erit æqualis. Is ergo eget refrigeranti medicina. Si Lunam aspexerit fortuna, sanabitur ille: sin minus occumbet ad quinquagesimum vel sexagesimum diem. [3] Cum Luna erit in Capricorno cum Marte & Sole, morbus erit ex labore facto juxta ignem, & propter nimiam caliditatem. Ideo febrit propter motum bilis citrinæ. Caveat ergo à balneo, & non

non perfundat corpus aqua frigida. Sed quando Luna exierit inde, & venerit ad oppositum aspectum, evadet, & erit dies quartadecima.

XIII. In Aquario, cum Luna erit addens lumini & gradibus, eamque aspexerit Saturnus aspectu quarto, vel oppositione, languentis morbus erit ex nimio labore, fluit sanguis illi, morbusque aliquando hujus crescit & decrescit. Ideo verendum, ne occumbat in oppositione Lunæ. Quod si mutatur in melius, vivet ille, fortasse ad diem quartumdecimum: sed morietur die quadragesimoprimo. [2] Cum vero Luna in Aquario erit peregrina, morbus erit in visceribus, patitur & febres ardentes diuturnas cum defectu animi: sed quando Luna erit cum Sole, is erat validior. Aspice ergo Lunam, quando egreditur è Sole, si invenerit fortunam, priusquam venerit ad locum, in quo erat, cum incidit in morbum, quia evadet: sin autem, fortunam non invenerit, morietur. [3] Cum vero Luna fuerit in Aquario, & Saturnus secum erit, morbus ex melancholia procedet, & est cholera nigra. Quod si Luna erit addens lumini & gradibus, eaque fortunam invenerit, priusquam erit in oppositione loci, in quo ab exordio erat, recipiet valetudinem: at si fortunam non invenerit, occumbet ille.

XIV. Quando Luna erit in Piscibus addens lumini & gradibus, & Saturnus eam aspexerit ex quadrato vel oppositione, morbus erit ex frigiditate, cum dolore capitis & ventris. Huic ergo danda est medicina calida, quæ frigus expellat. Si Luna aspexerit Solem, vivet: tamen, postquam sanitatem recuperaverit, venarum & articulorum patietur affectus. [2] Cum vero Luna fuerit ibidem addens lumini & gradibus, & eam aspexerit Mars aspectu quarto vel oppositione, morbi causa erit nimius potus, & cibus: aucta est ergo bilis cum sanguine. Huic secanda est vena. Is vero magis dolebit in die, quam noctu. Cum autem fortuna non aspexerit Lunam in loco, in quo cœpit ægrotare, morietur: sin vero aspexerit eam, sanus erit, cum Luna venerit ad locum, in quo erat ab initio morbi. [3] Cum Luna stante in Piscibus, Venus & Jupiter erunt in eodem signo, cum incidit in morbum, morbus productus erit ex sudore vel ex nimio potu aquæ. Is tandem laborat oculis, & febrit cum frigore. Ab initio demum sequitur calor. Is eget medicina solventi, & calorem pellenti. Cum Luna venerit ad oppositum loci, in quo fuerat ab initio morbi, recipiet salutem. [4] Cum Luna erat in Piscibus cum Marte, nimius calor internus concitavit febrem. Indiget sectione venæ. Cum vero fortuna Lunam aspexerit, vivet ille: si vero oppositum erit, occumbet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ.

HIPPOCRATIS DE IUDICATORIIS.

Basil. græc. Foesius sect. II. 24. 56. Basil. lat.

pag. 388

Μέγα μέρος ἡγέομαι τῆς τέχνης εἶναι τὸ δύνασθαι κατασκοπεῖσθαι περὶ τῶν γεγραμμένων ὀρθῶς. 2 ὁ γὰρ γνοὺς καὶ χρεόμενος τούτοισιν, οὐκ ἄν μοι δοκέει μέγα σφάλλεσθαι κατὰ τὴν τέχνην. 3 δεῖ δὴ καταμανθάνειν τὴν κατάστασιν τῶν ὡρέων ἀκριβῶς, καὶ τῶν νόσων ἑκάστην. 4 ὅ, τι νόσημα ἀγαθὸν, καὶ ὅ, τι κινδυνῶδες, ἢ ἐν τῇ καταστάσει, ἢ ἐν τῇ νούσῳ. 5 ὅ, τι νόσημα μακρὸν, ὅ, τι νόσημα θανάσιμον. 6 μακρὸν, ὅ, τι περιεστικὸν, ἢ θανάσιμον. 7 ὀξὺ, ὅ, τι [θανάσιμον ἢ] περιεστικόν. 8 τάξιν τῶν κρισίμων ἐκ τούτων σκοπέεσθαι. 9 καὶ τὸ προλέγειν ἐκ τούτων εὐπορέεται. 10 ἔπι δὲ ἀπὸ τούτων ἔστιν, οἷς, ὅτε, καὶ ὡς δεῖ διαιτᾶν. 11 μέγιστον τοίνυν σημεῖον ἐν τοῖσι μέλλουσι τῶν καμνόντων βιώσεσθαι, ἐὰν μὴ παρὰ φύσιν ᾖ ὁ καῦσος. 12 καὶ τ' ἄλλα δὲ νοσήματα ὡσαύτως. 13 οὐδὲν γὰρ δεινὸν τῶν κατὰ φύσιν γίνεται, οὐδὲ θανατῶδες. 14 δεύτερον δὲ, ἐὰν αὐτή τε ἡ ὥρη τῷ νοσήματι ξυμμαχήσῃ. 15 ὡς γὰρ ἐπὶ τὸ πολὺ οὐ νικᾷ ἡ τοῦ ἀνθρώπου φύσις τὴν τοῦ ὅλου δύναμιν.

II. Ἐπὴν δὲ, ἢν τὰ περὶ τὸ πρόσωπον ἰσχναίνηται, 2 καὶ αἱ φλέβες αἱ ἐν τῇσι χερσὶ καὶ ἐν τοῖσι κανθοῖσι καὶ ἐπὶ τῇσιν ὀφρύσιν ἡσυχίην ἔχωσι, πρότερον μὴ ἡσυχάζουσαι.

Magnam artis partem esse arbitror, de his quæ recte scripta sunt posse considerationem facere ac judicare. 2 Qui enim hoc novit, & his utitur, non videtur mihi in arte multum falli posse. 3 Oportet autem exacte perdiscere unamquamque temporum constitutionem, & quemque morbum. 4 & qui morbus sit bonus, & qui periculosus, aut in constitutione, aut in morbo, 5 & qui morbus longus sit & lethalis: 6 & qui longus, & non perniciosus ad vitam, 7 & qui acutus ac lethalis: & qui acutus, & superesse sinens. 8 Ex his enim ordinem dierum judicatoriorum considerandi 9 ac prædicendi facultas datur: 10 & ex his cognoscere datur, quibus, & quando, & quomodo victum præscribere oportet. 11 Maximum itaque signum in ægrotis qui victuri sunt, si non præter naturam fuerit febris ardens, 12 & alii morbi eodem modo 13 Nihil enim horrendum, neque lethale fit in his quæ secundum naturam sunt. 14 Secundum est, si non etiam ipsum tempus simul cum morbo impugnet. 15 Plerunque enim hominis natura, universi potestatem non superat.

II. Postea vero si partes circa faciem gracilescant: 2 & venæ in manibus, & in oculorum angulis, & superciliis quietem habeant, quum prius non quievissent.

ζουσι. 3 τούτῳ δὲ, ἢν ἡ φωνὴ ἡ ἀσθενεστέρη, καὶ λεπτοτέρη γένηται, 4 καὶ τὸ πνεῦμα μανότερον καὶ λεπτότερον, 5 ἐς τὴν ἐπιοῦσαν ἡμέρην ἄνεσις τῆς νούσου. 6 ταῦτα οὖν χρὴ σκοπεῖν πρὸς τὰς κρίσιας, 7 καὶ εἰ τὸ δίκρουν τῆς γλώττης ὥσπερ σίαλον λευκὸν ἐπαλείφεται, 8 καὶ [εἰ] ἐν ἄκρῃ τῇ γλώττῃ ταυτὸ τοῦτο γίνηται, ἧσσον δέ. 9 εἰ μὲν οὖν σμικρὰ ταῦτα εἴη, ἐς τρίτην ἄνεσις τῆς νούσου. 10 ἢν δὲ τι παχύτερον, αὔριον. 11 ἢν δ' ἔτι παχύτερον, αὐθημερόν. 12 τοῦτο δὲ, ὁκόταν τῶν ὀφθαλμῶν τὰ λευκὰ ἐν ἀρχῇ μὲν τῆς νούσου ἀνάγκη μελαίνεσθαι, ἐὰν ἰσχύῃ ἡ νοῦσος. 13 ταῦτα οὖν καθαρὰ γενόμενα, τελείην ὑγείην δηλοῖ. 14 ἀτρέμας μὲν, βραδύτερον· σφόδρα δὲ γενόμενα, θᾶσσον.

III. Τὰ δὲ ὀξέα τῶν νοσημάτων γίνεται ἀπὸ χολῆς, 2 ὁκόταν ἐπὶ τὸ ἧπαρ ἐπιῤῥυῇ, καὶ ἐς τὴν κεφαλὴν καθίσῃ. 3 τάδε οὖν πάσχει. 4 τὸ ἧπαρ οἰδεῖ καὶ ἀναπτύσσεται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος. 5 καὶ εὐθὺς ἐς τὴν κεφαλὴν ὀδύνη ἐμπίπτει, 6 μάλιστα δὲ ἐς τοὺς κροτάφους. 7 καὶ τοῖσί τε ὠσὶν οὐκ ὀξὺ ἀκούει. 8 πολλάκις δὲ καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρῇ. 9 καὶ φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. 10 ταῦτα μὲν οὖν κατ' ἀρχὰς τοῦ νοσήματος αὐτῷ γίνεται διαλιμπάνοντα, 11 τοτὲ μὲν σφόδρα, τοτὲ δὲ ἧσσον. 12 ὁκόσῳ δ' ἂν ὁ χρόνος τῆς νούσου προΐῃ, ὅ,τε πόνος πλείων ἐν τῷ σώματι, 13 καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν, καὶ σκιαυγεῖ, 14 καὶ, ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθάνεται διὰ τὸ μὴ ὁρῆν. 15 τοῦτο δ' ἂν γνοίης, ὅτι οὐχ ὁρῇ· 16 οὐ γὰρ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου. 17 καὶ τὰς κροκίδας ἀφαιρεῖ ἀπὸ τῶν ἱματίων, ἤν περ ἴδῃ, δοκέων φθεῖρας εἶναι.

IV.

vissent. 3 Huic si vox fuerit debilior, & fit levior, 4 & spiritus rarior ac tenuior, 5 sequenti die remissio morbi contingit. 6 Hæc igitur considerare oportet ad judicationes: 7 & an bifida linguæ pars velut saliva alba obducitur, 8 & an in summa lingua hoc idem factum sit, verum minus. 9 Siquidem igitur parva hæc fuerint, ad tertium diem remissio fit morbi. 10 Si vero aliquanto crassior sit saliva, in crastinum. 11 Si vero adhuc crassior, eadem die. 12 Quin & albas oculorum partes in principio morbi denigrari necesse est, si invaluerit morbus. 13 Hæ igitur si puræ fiant, perfectam sanitatem indicant: 14 leniter quidem, tardius: vehementer autem, citius.

III. Cæterum acuti morbi fiunt à bile, 2 ubi in hepar influxerit, & ad caput constiterit. 3 Hæc igitur patitur hepar. 4 Intumescit & expanditur ad septum transversum præ tumore: 5 & statim ad caput dolor irruit, 6 maxime vero ad tempora: 7 & æger auribus non acute audit. 8 Sæpe etiam oculis non videt: 9 & horror, & febris corripit. 10 Atque hæc quidem ab initio morbi ipsi fiunt ex intervallo, 11 quandoque vehementer, quandoque minus. 12 Quanto autem morbi tempus magis progressum fecerit, tanto major fit dolor in corpore: 13 & pupillæ oculorum sparguntur, & obtuse vident. 14 & si digitum admoveris ad oculos, non sentit, eo quod non videt. 15 Quod autem non videat, inde cognoveris 16 Non enim nictat dum digitus admovetur: 17 & floccos aufert de stragulis, si quidem viderit, pediculos esse putans.

IV. Καὶ, ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπλυχθῇ πρὸς τὰς φρένας, παραφρονέει. [2] Καὶ προφαίνεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν ἑρπετὰ καὶ ἄλλα παντοδαπὰ θηρία, [3] καὶ ὁπλίτας μαχομένους, [4] καὶ αὐτὸς αὐτοῖς δοκέει μάχεσθαι. [5] Καὶ τοιαῦτα λέγει ὡς ὁρέων. [6] καὶ ἐξέρχεται, καὶ ἀπειλεῖ, ἢν μή τις αὐτὸν ἐῇ διεξιέναι. [7] καὶ, ἢν ἀναστῇ, οὐ δύναται ἀείρειν τὰ σκέλεα, ἀλλὰ πίπτει. [8] οἱ πόδες δὲ γίνονται αἰεὶ ψυχροί. [9] καὶ, ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου, καὶ ἐνύπνια ὁρῇ φοβερά. [10] τοῦτο δὲ γινώσκομεν, ὅτι ἀπὸ ἐνυπνίων ἀναΐσσει καὶ φοβέεται, ὅταν ἔννοος γένηται. [11] ἀφηγέεται γὰρ τὰ ἐνύπνια τοιαῦτα, ὁκοῖα καὶ τῷ σώματι ἐποίεέ τε, καὶ τῇ γλώσσῃ ἔλεγε. [12] ταῦτα μὲν οὖν ὧδε πάσχει. [13] ἔστι δ' ὅτε καὶ ἄφωνος γίνεται, ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα ἀναπνέων πουλὺ [καὶ] ἀθρόον πνεῦμα. [14] ὅταν δὲ παύσηται παραφρονέων, αὐτίκα ἔννοος γίνεται, [15] καὶ, ἢν ἐρωτᾷ τις αὐτὸν, ὀρθῶς ἀποκρίνεται, [16] καὶ γινώσκει πάντα τὰ λεγόμενα. [17] εἶτα πάλιν ὀλίγῳ ὕστερον ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. [18] αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα ἐν ἀποδημίῃ, καὶ ἤν που ἐρήμην ὁδὸν βαδίσῃ, καὶ ὁ φόβος αὐτὸν λάβῃ ἐκ φάσματος. [19] λαμβάνει δὲ καὶ ἄλλως.

V. Τέτανοι δύο ἢ τρεῖς. [2] Ἢν μὲν ἐπὶ τρώματι γένηται, πάσχει τάδε. [3] αἱ γνάθοι πήγνυνται ὥσπερ ξύλα, καὶ τὸ στόμα ἀνοίγειν οὐ δύναται. [4] καὶ οἱ ὀφθαλμοὶ δακρύουσι θαμινὰ καὶ ἕλκονται. [5] καὶ τὸ μετάφρενον πέπηγε. [6] καὶ τὰ σκέλεα οὐ δύναται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας

καὶ

IV. Et quum hepar magis expassum fuerit ad septum transversum, delirat: [2] & ob oculos sibi obversari putat reptilia, & alia omnigena animantia fera, [3] & milites armatos pugnantes, [4] & ipse adversus ipsos pugnare sibi videtur: [5] & talia dicit velut qui videat, [6] & egreditur, & minatur si quis ipsum egredi non permittat. [7] Et ubi surrexerit, crura elevare non potest, sed cadit. [8] Pedes autem semper fiunt frigidi. [9] Et quum dormierit, exilit à somno, & insomnia horrenda videt. [10] Hoc autem cognoscimus, quod ab insomniis exilit ac perterretur, postquam ad sanam mentem redit. [11] Exponit enim insomnia hæc, qualiaque & corpore fecit, & lingua loquutus est. [12] Atque hæc quidem sic patitur. [13] Quandoque vero etiam voce privatur, per totam diem ac noctem multum acervatum spiritum respirans. [14] Postquam vero delirare cessavit, statim ad sanam mentem redit. [15] Et si quis ipsum interroget, recte respondet, [16] & intelligit omnia quæ dicuntur: [17] deinde rursus paulo post in iisdem afflictionibus jacet. [18] Hic morbus accidit maxime in peregrinatione, & si alicubi desertam viam iverit, & timor ipsum ex spectro corripuerit. [19] Corripit etiam aliis modis.

V. Tetani tres. [2] Siquidem ex vulnere tetanus, sive distentio nervorum antrorsum ac retrorsum fiat, æger hæc patitur. [3] Maxillæ congelantur ac rigent, velut ligna: & os aperire non potest, [4] & oculi frequenter lachrymantur ac distrahuntur, [5] & dorsum riget, [6] & crura flectere non potest, neque manus,

neque

καὶ τὴν ῥάχιν. [7] ὁκόταν δὲ θανατώδης ᾖ, τὰ ποτὰ καὶ τὰ βρώματα, ἃ πρότερον ἐδεδηδόκει, ἀνὰ τὰς ῥῖνας ἐνίοτε ἔρχεται. [8] ὁ δὲ ὀπισθότονος τὰ μὲν ἄλλα πάσχει διὰ πλῆθος ταὐτά. [9] γίνεται δὲ, ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ. [10] νοσεῖ δὲ ἢ ἀπὸ συνάγχης, ἢ ἀπὸ σταφυλῆς, ἢ τῶν ἀμφὶ τὰ παρίσθμια ἐμπύων γενομένων. [11] ἐνίοισι δὲ καὶ ἀπὸ κεφαλῆς πυρετῶν ἐπιγενομένων, σπασμὸς ἐπιγίνεται. [12] ἤδη δὲ καὶ ὑπὸ τρωμάτων. [13] οὗτος ἕλκεται ἐς τοὔπισθεν, [14] καὶ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον πέπηγε, καὶ τὰ στήθεα, [15] καὶ οἰμώζει. [16] οὗτος σπᾶται σφόδρα, ὥστε μόλις κατέχεσθαι ὑπὸ τῶν παρεόντων, μὴ ἐκ τῆς κλίνης ἐκπίπτειν. [17] ὁ δὲ ἄλλος τέτανος ἧσσον θανατώδης τῶν πρόσθεν. [18] γίνεται δὲ ἀπὸ τῶν αὐτέων, καὶ σπᾶται πᾶν τὸ σῶμα ὁμοίως. [19] καῦσος δὲ τοῖσι προειρημένοισιν οὐχ ὁμοίως γίνεται. [20] φλύξει γὰρ ἅπαξ, ὡς ἀναγκάζεσθαι πυρεάσσειν. [21] δίψα μὲν οὖν πολλὴ ἔχει τὸν ἄνθρωπον καὶ πυρετὸς σφοδρός. [22] γλῶσσα δὲ ῥήγνυται τρηχυνομένη, καὶ ξηρὴ γίνεται. [23] καὶ τὸ χρῶμα αὐτῆς τὸ μὲν πρῶτον ὠχρόν ἐστι, οἷόν περ εἴωθε. [24] προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. [25] καὶ, ἢν μὲν ἐν ἀρχῇσι μελαίνηται, θάσσους αἱ κρίσιες εἰσίν· ἢν δὲ ὕστερον, χρονιώτεραι.

VI. [1] Ἰσχιάδες δὲ ἀπὸ τῶνδε μάλιστα γίνονται τοῖσι πολλοῖσιν. [2] ἢν ἔλθῃ ἐν ἡλίῳ πλείω χρόνον, καὶ τὰ ἰσχία διαθερμανθῇ, καὶ τὸ ὑγρὸν τὸ ἐνεὸν τοῖσιν ἄρθροισιν ἀναξηρανθῇ ὑπὸ τοῦ καύματος. [3] ὡς δὲ ἀναξηραίνεται καὶ πήγνυται, τόδε μέγα τεκμήριον. [4] ὁ γὰρ νοσέων στρέφεσθαι καὶ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ

neque spinam. [7] Quum vero lethalis fuerit, potus & cibi quos prius accepit, per nares quandoque redeunt. [8] At opisthotonos, retrorsum contingens distentio, reliqua quidem eadem ægro inducit utplurimum, [9] fit autem quum in cervice tendines retrorsum ægrotarit. [10] Ægrotat autem ab angina, aut ab uva, aut locis circa tonsillas suppuratis. [11] Aliquando etiam à capite febribus accedentibus convulsio succedit. [12] Jam vero etiam à vulneribus. [13] Hic trahitur in posteriorem partem, [14] & præ dolore dorsum ac pectora rigent, [15] & ejulat. [16] Hic convellitur vehementer, ut vix detineatur à præsentibus, ne è lecto excidat. [17] Alius tetanus est minus lethalis prioribus: [18] fit autem ab iisdem, & totum corpus similiter convellitur. [19] Febris ardens prædictis non similiter fit. [20] Urit enim semel, ut necesse sit febricitare. [21] Sitis igitur multa hominem tenet, & febris vehemens: [22] lingua vero rumpitur exasperata, & sicca fit: [23] & color ipsius primum quidem pallidus est, velut solet: [24] progressu vero temporis nigrescit. [25] Et siquidem in principiis nigrescat, citiores judicationes fiunt: si vero posterius, diuturniores.

VI. Coxendicum morbus ex his maxime causis fit in plerisque: [2] si quis diutius in sole versetur, & coxendices fuerint calfacti, & humor qui est in articulis, à calore fuerit resiccatus. [3] Quod autem id quod resiccatur condensatur ac compingitur, hoc magnum signum est. [4] Æger enim articulos vertere ac movere non potest, præ dolore

ὑπὸ τῆς ἀλγηδόνος τῶν ἄρθρων καὶ τοῦ ξυμπεπηγέναι τοὺς σπονδύλους. [5] ἀλγέει δὲ μάλιστα τὴν ὀσφὺν καὶ τοὺς σπονδύλους, τοὺς ἐκ τοῦ πλαγίου τῶν ἰσχίων, καὶ τὰ γούνατα. [6] ἵσταται δὲ ἡ ὀδύνη πλεῖστον χρόνον ἐν τοῖσι βουβῶσι, ἅμα καὶ ἐν τοῖσιν ἰσχίοισιν, ὀξέη καὶ καυματώδης. [7] καὶ, ἤν τις αὐτὸν ἀνιστῇ, ἢ μετακινέῃ, οἰμώζει ὑπὸ τῆς ἀλγηδόνος, ὅσον ἂν μέγιστον δύνηται. [8] ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίνεται, καὶ ῥῖγος, καὶ πυρετός. [9] γίνεται δὲ ἀπὸ χολῆς καὶ φλέγματος. [10] γίνεται δὲ καὶ ἀπὸ αἵματος. [11] καὶ ὀδύναι παραπλήσιοι ἀπὸ πάντων τῶν νοσημάτων. [12] ῥῖγος δὲ καὶ πυρετὸς ἐνίοτε ἐπιλαμβάνει βληχρός. [13] ἀλλὰ χρὴ ὧδε μελετᾶν.

VII. [1] Ἴκτερος δὲ ὁ τοιόσδε ἐστὶν ὀξὺς καὶ ταχέως ἀποκτείνων. [2] ἡ χροιὴ δὲ ὅλη σιδιοειδής· σφόδρα δέ ἐστι χλωροτέρη, καθάπερ καὶ οἱ σαῦροι οἱ χλωρότεροι· [3] παρόμοιος δέ οἱ ὁ χρώς. [4] καὶ ἐν τῷ οὔρῳ ὑφίσταται οἷον ὄροβον πυῤῥόν. [5] καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει. [6] ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται καὶ ξύεται. [7] τὰ ἑωθινὰ, ἄσιτος ἐὼν, τὰ ἔνδοθεν οἱ μύζει ὡς ἐπιτοπουλύ. [8] καὶ, ὁκόταν ἀνιστῇ τις αὐτὸν ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. [9] οὗτος ὡς ἐπιτοπουλὺ θνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερέων. ταύτας δὲ διαφυγὼν, ὑγιαίνει.

VIII. [1] Ἡ δὲ περιπλευμονίη τοιάδε ποιέει. [2] πυρετός τε ἰσχυρὸς ἴσχει, [3] καὶ πνεῦμα πυκνὸν καὶ θερμὸν ἀναπνέει. [4] καὶ ἀπορίη καὶ ἀδυναμίη ἔχει, [5] καὶ ῥιπτασμὸς, [6] καὶ ὀδύναι περὶ τὴν ὠμοπλάτην καὶ τὴν κληῗδα καὶ τὸν τιτθὸν, [7] καὶ βάρος ἐν τοῖσι στήθεσι, [8] καὶ παραφροσύνη. [9] ἔστι δ' ὅτε καὶ ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξηται βήσσειν. [10] πο-

lore articulorum, & eo quod verticula sunt compacta. [5] Dolet autem magis lumbos & verticula ea quæ sunt ex obliquo coxarum, & genua. [6] Consistit autem dolor plurimo tempore in inguinibus simulque coxendicibus, acutus ac æstuosus: [7] & si quis ipsum erigat aut transmoveat, ejulat præ dolore quam maxime potest. [8] Quandoque vero etiam convulsio accedit, & rigor ac febris. [9] Fit autem à bile & pituita: [10] fit etiam à sanguine: [11] & dolores consimiles ab omnibus morbis: [12] & rigor & febris aliquando corripit debilis.

VII. Morbus regius acutus est, & celeriter occidens. [2] Color totus malicorii speciem refert, & est vehementer cum virore pallidus, quemadmodum lacerti cum virore pallidiores: [3] consimilis autem est cutis. [4] Et in urina subsidet velut ervum fulvum: [5] & febris & horror debilis habet. [6] Quandoque etiam stragula habere non sustinet, sed mordetur ac raditur [7] matutino tempore, ubi nondum cibum accepit, internis partibus: deinde viscera plerunque sugunt. [8] Et si quis erigat ipsum aut alloquatur, non sustinet. [9] Hic utplurimum moritur intra quatuordecim dies. Has autem, ubi effugerit, sanus fit.

VIII. [1] Peripneumonia talia facit. [2] Febris vehemens tenet: [3] & spiritum densum ac calidum respirat: [4] & anxietas adest, & impotentia, [5] & jactatio, [6] & dolores circa scapulas, & claviculas, & mammam: [7] & gravitas in pectoribus, [8] & delirium. [9] Quandoque vero doloris exors æger est, donec tussire inceperit. [10] Ve-

10 πολυχρονιωτέρη δὲ ἐκείνης, καὶ χαλεπωτέρη. 11 τὸ δὲ σίαλον λευκὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. 12 ἡ δὲ γλῶσσα ξανθή· προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. 13 ἢν μὲν οὖν ἐν ἀρχῇ μελαίνηται, θᾶσσον αἱ ἀπαλλαγαί· ἢν δὲ ὕστερον, σχολαίτεραι. 14 τελευτῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα. 15 κἢν προσθῇς τὸν δάκτυλον, ἔχεται. 16 τὴν δὲ ἀπαλλαγὴν τῆς νούσου σημαίνει ἡ γλῶσσα, ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι, ὁμοίως. 17 ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον· τὸ πλεῖστον δὲ, εἴκοσι καὶ μίαν. 18 καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα. 19 καὶ καθαίρεται ἅμα τῇ βηχὶ, τὸ μὲν πρῶτον, πολὺ καὶ ἀφρῶδες σίαλον· 20 ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὅταν ὁ πυρετὸς ἀκμάζῃ, καὶ ὑγρὴ εἴη ἡ περιπλευμονίη, παχύτερον· ἢν δὲ μὴ, οὔ. 21 ἐννάτῃ δὲ καὶ δεκάτῃ, ὑπόχλωρον καὶ ὕφαιμον. 22 δωδεκάτῃ δὲ, μέχρι τῆς τεσσαρεσκαιδεκάτης, πολὺ καὶ πυῶδες. 23 ὧν ὑγραί ἐστιν αἱ φυσικαὶ διαθέσιες τοῦ σώματος, καὶ ἡ νοῦσος ἰσχυρή. 24 ὧν δὲ ἥτε φύσις καὶ ἡ στάσις τῆς νούσου ξηρὴ, ἧσσον οὗτοι.

IX. Περὶ δὲ κρισίμων ἡμερέων ἤδη μέν μοι καὶ πρόσθεν λέλεκται. 2 κρίνονται δὲ οἱ πυρετοὶ τεταρταῖοι, ἑβδομαῖοι, ἑνδεκαταῖοι, τεσσαρεσκαιδεκαταῖοι, ἑπτακαιδεκαταῖοι, εἰκοστῇ πρώτῃ. 3 ἐκ δὲ τούτων τῶν ὀξέων, τριακοσταῖοι· εἶτα τεσσαρακοσταῖοι· εἶτα ἑξηκοσταῖοι· 4 ὁπόταν δὲ τούτους τοὺς ἀριθμοὺς ὑπερβάλλῃ, χρονίη ἤδη γίνεται ἡ κατάστασις τῶν πυρετῶν.

10 Verum hic morbus diuturnior ac difficilior illo est. 11 Salivam autem albam & spumosam primum spuit. 12 'Lingua flava est, verum progressu temporis nigrescit. 13 Siquidem igitur in principio nigrescat, citius morbus finitur: si vero posterius, tardius. 14 Tandem vero etiam rumpitur lingua; 15 & si digitum apponas, inhæret. 16 At liberationem à morbo significat lingua, similiter velut in pleuritide. 17 Hæc autem patitur æger minimum diebus quatuordecim: ad summum una & viginti: 18 & tussit hoc tempore vehementer: 19 '& una cum tussi purgatur: primum quidem saliva multa ac spumosa. 20 Septima vero & octava die, ubi febris in vigore fuerit, & humida sit peripneumonia, crassior: sin minus, non. 21 Nona vero & decima, cum virore pallida ac subcruenta. 22 Duodecima autem usque ad decimam quartam, multa & purulenta. 23 Atque hoc in his contingit, quorum naturæ & corporis affectiones humidæ sunt, & morbus 'fortis est. 24 Quorum vero & natura, & morbi constitutio sicca est, in his minus.

IX. Cæterum de judicatoriis diebus, etiam jam ante à me dictum est. 2 Judicantur autem febres quarta die, septima, undecima, decimaquarta, decimaseptima, vigesima prima. 3 Ex his autem acutis quædam etiam trigesima: deinde quadragesima, postea sexagesima. 4 Quum vero 'hos numeros excesserint, diuturna jam febrium constitutio fit.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΚΡΙΣΙΩΝ.

HIPPOCRATIS DE IUDICATIONIBUS.

Basil. græc. Foesius sect. II. 20. 52. Basil. lat.

pag. 385

ΠΕΡΙ κρισίων ξυνελόντα μὲν ἐπὶ τὸ ἄμεινον τὰ μὲν πλεῖστα ταὐτά ἐστιν, ἃ καὶ ὑγιείης, σημεῖα. [2] ἱδρῶτες γὰρ ἄριστοί εἰσιν, καὶ τάχιστα πυρετὸν παύοντες, οἱ ἐν τῇσι κρισίμῃσιν ἡμέρῃσι γενόμενοι, καὶ τελέως τὸν πυρετὸν ἀπαλλάσσοντες. [3] ἀγαθοὶ δὲ καὶ ὅσοι, διὰ παντὸς τοῦ σώματος γινόμενοι, εὐπετεστέρως τὸ νόσημα φέρειν ποιέουσιν. [4] οἱ δὲ αὖ τούτων τι μὴ ἐργάζονται, οὐ λυσιτελέες γενόμενοι. [5] παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου. [6] ἔστω δὲ τὸ ὑπόπυρρον, καὶ μὴ σφόδρα δυσῶδες. [7] ἐπιτήδειον δὲ καὶ ἕλμινθας ἐξιέναι πρὸς τὴν κρίσιν. [8] οὖρον δὲ ἄριστόν ἐστιν, ὃ ἂν ἔχῃ λευκὴν τὴν ὑπόστασιν, καὶ λείην, καὶ ὁμαλὴν, παρὰ πάντα τὸν χρόνον, ἕως ἂν κριθῇ τὸ νόσημα. [9] σημαίνει γὰρ ἀσφαλέα καὶ ὀλιγοχρόνιον τὴν νοῦσον ἔσεσθαι. [10] ἢν, ἱδρῶτος ἐξερχομένου, ἡ νοῦσος ἐκλείπῃ, καὶ τὸ οὖρον πυρρὸν θεωρηθῇ λευκὴν ὑπόστασιν ἔχον, τούτοισιν αὐθημερὸν ὑποστροφὴ τοῦ πυρετοῦ γίνεται. [11] οὗτος καὶ ἐν πέντε ἀκινδύνως κρίνεται. [12] τοῖσιν ἐλαχίστῳ χρόνῳ μέλλουσιν ὑγιάζεσθαι μέγιστα σημεῖα ἅπαντα γίνεται. [13] ἀπονώτεροι γὰρ διατελέουσι, καὶ ἀκίνδυνοι, καὶ τὰς νύκτας κοιμέονται, καὶ τὰ ἄλλα σημεῖα προφαίνουσιν ἀσφαλέα.

II. Οἷσιν ἐν πυρετῷ μὴ θανατώδει κεφαλῆς ἄλγημα καὶ τὰ ἄλλα προσέστηκε σημεῖα, χολὴ τούτων κρατεῖ. [2] οἷς ἂν ἄρξηται ὁ πόνος τῇσι πρώτῃσιν ἡμέρῃσι, τεταρταῖος

DE Judicationibus quæ cito ad melius tendunt, plerunque eadem signa sunt, quæ etiam sanitatis. [2] Sudores enim optimi sunt, & celerrime febrem sedant, qui in judicatoriis diebus fiunt, & febrem perfecte summovent. [3] Boni quoque sunt qui per totum corpus orientes, morbum facilius ferre faciunt. [4] Qui vero nihil horum faciunt, incommodi sunt. [5] Densari vero oportet alvi egestionem, morbo ad judicationem tendente. [6] Sit autem subfulva, & non valde graveolens. [7] Commodum est & lumbricos exire ad judicationem. [8] Urina autem optima est, quæ habet albissimam subsidentiam, & lævem ac æqualem, per totum tempus donec judicatus fuerit morbus. [9] Significat enim securum ac brevem fore morbum. [10] Si sudore oborto morbus deficiat, & urina fulva albam subsidentiam habens conspiciatur: his eadem die recidiva febris fiet, [11] atque hæc quinta die citra periculum judicatur. [12] His qui in brevissimo tempore sani evadent, omnia maxima signa fiunt. [13] Nam magis sine dolore degunt, & extra periculum, & noctu dormiunt, & alia signa secura præ se ferunt.

II. Quibus in febre non lethali capitis dolor, & alia signa circumstant, in his bilis dominatur. [2] Quibus inceperit dolor primis diebus, & quarta ac quinta

πιέζονταί τε μᾶλλον καὶ περιπλεύμονες πιέζονται· ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται τοῦ πυρετοῦ. [3] οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε ἀπόλλυνται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν σώζονται. [4] οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων τεταρταῖοι παύονται, ἢ πρόσθεν. [5] οἱ δὲ φονικώτατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσι, ἢ πρόσθεν. [6] ἡ μὲν οὖν πρώτη ἔφοδος οὕτως τελευτᾷ. [7] ἡ δ' ἑτέρη ἐς τὴν ἑβδόμην περιάγει. [8] ἡ δὲ τρίτη ἐς τὴν ἑνδεκάτην. [9] ἡ δὲ τετάρτη ἐς τὴν τεσσαρεσκαιδεκάτην. [10] ἡ δὲ πέμπτη ἐς τὴν ἑπτακαιδεκάτην. [11] ἡ δὲ ἕκτη ἐς τὴν εἰκοστήν. [12] αὗται μὲν οὖν ἐπὶ τῶν ὀξυτάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσι προσθέσιας. [13] οὐ δύναται δὲ ὅλαις ἡμέραις οὐδὲν τουτέων ἀριθμεῖσθαι ἀτρεκέως. [14] οὐδὲ γὰρ οἱ ἐνιαυτοί τε καὶ μῆνες ὅλαις ἡμέραις πεφύκασιν, οὐδὲ ξυνεστήκασιν.

III. Ἐν τοῖσι καύσοισι τὰ ἀγαθὰ σημεῖα γινόμενα, οἷα ἐν τῇσιν ὑγιαίνουσι γέγραπται. [2] μείονα μὲν ἐόντα, ἐς τρίτην αὔξησιν δηλοῖ· [3] παχύτερα δὲ, αὔριον παύειν· [4] παχέα δὲ, αὐθημερόν. [5] ἐν τοῖσι καύσοισιν ἢν ἑβδομαίῳ ὕστερον ἐπιγένηται ἴκτερος, δῆλον ἱδρῶτος. [6] τὸ γὰρ νόσημα οὐ φιλέει ἐξιδροῦν, οὐδὲ ἄλλῃ ἀφίστασθαι οὐδαμῆ, ἀλλὰ ὑγιὴς γίνεται. [7] ἀνάγκη, τοῦ θερμοῦ ἀπιόντος [καὶ] ἐφ' ἑωυτὸ τὸ ὑγρὸν ἑλκύσαντος, τοῦ πυρετοῦ κρίσιν γενέσθαι. [8] διὰ τὰ οὖρα τὰ ἀποχωρέοντα, [9] ἢ καὶ τὰ διαχωρήματα κοιλίης, [10] ἢ αἵματος ἐκ τῶν ῥινέων ῥύσιν, [11] ἢ οὔρησιν πολλὴν, [12] ἢ διάῤῥοιαν ἰσχυρὴν, [13] [ἢ] ἱδρῶτας, [14] ἢ ἐμέτους. [15] γυναικὶ δὲ καὶ ἐπιμηνίων ὁδόν. [16] μάλιστα μὲν οὖν

ta magis premuntur, hi septima à febre liberantur. [3] Febres iudicantur in iisdem numero diebus, ex quibus & superstites euadunt homines, & ex quibus pereunt. [4] Etenim placidissimæ febres, & signis securissimis contingentes, quarto die desinunt, 'aut prius. [5] Lethalissimæ vero & signis horrendissimis contingentes, quarto die aut prius occidunt. [6] Primus igitur ipsarum insultus sic desinit. [7] Alter ad septimum deducit. [8] Tertius ad undecimum. [9] Quartus ad decimumquartum. [10] Quintus ad decimumseptimum. [11] Sextus ad vigesimum. [12] Atque hæ in acutissimis morbis, per quatuor ad viginti appositiones fiunt. [13] Non potest autem quicquam horum integris diebus exactè numerari: [14] 'neque enim anni ac menses totis diebus constant.

III. In febribus ardentibus bona signa apparentia, qualia in sanis scripta sunt, [2] siquidem minora fuerint, ad tertium diem remissionem indicant: [3] crassiora vero, in crastinum: [4] crassa autem, eadem die. [5] In febribus ardentibus si posterius septimo die morbus regius accedat, indicium est (sublati) sudoris. [6] Nam morbus non solet exudare, neque usquam alibi abscessum facere, sed sanus fit. [7] Necesse 'autem est ubi calor febris discessit, & humorem in seipsum attraxit, febri contingere iudicationem, [8] per urinas prodeuntes, [9] aut etiam alvi egestiones, [10] aut sanguinis ex naribus fluxum, [11] aut mictionem multam, [12] aut per multam humiditatem, [13] sudorem, [14] aut vomitum. [15] Mulieri vero etiam per mensium viam. [16] Maxime igitur

ὅτι ταῦτα ποιέει κρίσιν, ἢ, ὅ, τι ἂν τουτέων ἐγγὺς γένηται. 17 ποιέει δὲ καὶ ἑτέρας κρίσιας· ἧττον δὲ τουτέων. 18 Ἴκτερος δὲ ἢν ἑβδομαίῳ ἐπιγένηται, ἢ ὕστερον, ἐν καύσῳ, 19 καὶ δυσχερέως σιάλου πολλοῦ ἀποχώρησις, 20 ἔν τε τοῖσι καυσώδεσι πυρετοῖσι καὶ τοῖσιν ἄλλοισιν, 21 ἢν, μηδενὸς τουτέων τῶν σημείων γενομένων, ἀφίῃ ὁ πυρετός, 22 ἀνάγκη τοιάσδε κρίσιας ἀντὶ τουτέων γίνεσθαι, 23 ἢ φυμάτων μεγάλων ἀπόστασιν, 24 ἢ ὀδύνας ἰσχυρὰς ἀπὸ τῆς ἀποστάσιος, 25 ἢ τηκεδόνας τῶν ὑγρῶν ἐκ τοῦ θερμοῦ.

IV. Κρίσιες δὲ καὶ ἀφέσιες τῶν καῦσον σημαινόντων, μακροτέρη ἡ νοῦσος· 2 τῶν δὲ ἰσχυρῶν, θάνατος ὡς ἐπὶ τὸ πολύ. 3 οἱ δὲ λοιποὶ ἀσφαλέες παύονται καῦσοι, ἑβδομαῖοι ἢ τεσσαρεσκαιδεκαταῖοι. 4 φιλέει δὲ καὶ ἐς λειπυρίην τελευτᾷν. 5 καὶ λαμβάνει μάλιστα τεσσαράκοντα ἡμέρας, καὶ ἐξηπιαλοῦται. 6 καὶ ἡ λειπυρίη τῆς αὐτῆς ἡμέρης λαμβάνει τε καὶ μεθίησι. 7 γίνεται δὲ καὶ τῆς κεφαλῆς ὀδύνη. 8 ἐὰν δὲ μὴ μεθίῃ αὐτὸν ἡ λειπυρίη ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσιν, ἀλλ' ἄχθῃ, καὶ ὀδύνην ἔχῃ τῆς κεφαλῆς, καὶ φλυαρέῃ, ἐπικάθαιρε αὐτόν. 9 λήγοντος δὲ καύσου, ἢν ἐπιγένηται ἴκτερος, οὐ φιλέει ἐπ' ἱδροῦν, οὐδ' ἄλλῃ ἀφίστασθαι οὐδαμῇ, ἀλλ' ὑγιὴς γίνεται. 10 Τριταῖος κρίνεται ἐν ἑπτὰ περιόδοισιν, ὡς ἐπὶ τὸ πολύ. 11 ὁκόσοις ἐν ἀφορήτοις πυρετοῖς τῇ ἑβδόμῃ ἢ τῇ ἐνάτῃ ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι γίνονται, ἀγαθὸν, ἐὰν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν γένηται· εἰ δὲ μὴ, ἐνδοιαστόν. 12 Τὰ ὀξέα νοσήματα κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν ὡς ἐπὶ τὸ πυ-

hæc judicationem faciunt, & quicquid his propinquum contingit. 17 Facit autem & alias judicationes, sed minus quam has. 18 Si vero septimo die morbus regius accedat, aut posterius, in febre ardente, 19 & difficilis multi sputi secessus, 20 tum in ardentibus, tum in aliis febribus: 21 si nullo talium signorum contingente dimiserit febris, 22 necesse est tales judicationes pro illis fieri, 23 aut magnorum tuberculorum abscessum, 24 aut dolores ex abscessu vehementes, 25 aut colliquationes humorum ex calore.

IV. Judicationes & remissiones eorum quæ febrem ardentem significant, longiorem morbum faciunt. 2 Si vero fortia fuerint, mors plerunque sequitur. 3 Reliquæ vero ardentes securæ desinunt septimo aut decimoquarto die. 4 Solet autem & ad lipyriam devenire, 5 & detinet maxime quadraginta dies, & in epialam transit: 6 & lipyria eadem quoque die corripit ac dimittit. 7 Fit autem & capitis dolor. 8 Si vero lipyria non dimiserit in quadraginta diebus, sed producta fuerit, & dolor habuerit caput, & deliret æger, ipsum purgato. 9 Desinente vero febre ardente si accedat morbus regius, non solet amplius exudare, neque usquam alibi abscessum facere, sed sanus fit. 10 Tertiana in septem circuitibus plerunque judicatur. 11 Quibuscunque in febribus intolerabilibus septima, aut nona, aut decimaquarta morbus regius accedit, bonum: si non dextrum præcordium durum fiat: sin minus, ambiguum. 12 Acuti morbi in quatuordecim diebus plerunque judi-

πολύ. [13] Ἱδρῶτες πυρεταίνουσιν ἢν γένωνται τριταίοις, καὶ πεμπταίοις, καὶ ἑβδομαίοις, καὶ ἐνναταίοις, καὶ ἑνδεκαταίοις, καὶ τεσσαρεσκαιδεκαταίοις, καὶ μιῇ καὶ εἰκοσταίοις, καὶ τριακοσταίοις, οὗτοι οἱ ἱδρῶτες νόσους κρίνουσιν. [14] οἱ δὲ μὴ οὕτως γινόμενοι πόνους σημαίνουσιν.

V. Αἱ πεπάνσιες τῶν οὔρων κατὰ μικρὸν ἐκπεπαινόμεναι ἐν τοῖς κρισίμοις ἐὰν πεπανθῶσι, λύουσι τὴν νόσον. [2] παράδειγμα δεῖ τῶν οὔρων τὰ ἕλκεα ποιέεσθαι. [3] τὰ γὰρ ἕλκεα, ἢν μὲν ἀνακαθαίρηται πύῳ λευκῷ, ταχεῖαν θεραπείην δηλοῖ· [4] ἐὰν δὲ μεταβάλλῃ ἐς τοὺς ἰχῶρας, κακοήθεα γίνεται. [5] τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ οὖρα σημαίνει, [6] ἐὰν ἐκ πόνου λεπτὰ γένηται. ἀπὸ τῆς προφάσιος δεῖ λογίζεσθαι, ἀφ᾽ ἧς τὸ νόσημα παρεγένετο, [7] καὶ ταύτην ὁρᾷν, [ὅτε] ἐπιπαύεται. [8] καὶ γὰρ ταύτης ἐπιλειπομένης, τῶν [δ᾽] ἄλλων σημείων ἐπιγινομένων, οἵων δεῖ, οὐκ εἶναι ἀπαλλαγὴν τῇ νόσῳ οἰητέον. [9] ἐὰν ἀλγέῃ ἡ κεφαλὴ, καὶ ἀπὸ τούτου πυρετὸς ἐπιγένηται, τούτου μὴ καταπαύσηται, μηδὲ τῆς ὀδύνης παυομένης, οὐ κρίσιμος ὁ πυρετός. [10] κρίσιος μακρῆς ὅτι ἐπὶ τὸ ἄμεινον πλεῖστα τοῦτ᾽ ἐστὶ, καὶ ἐπὶ τούτων, ὅσα ἐς ὑγιείην τείνει. [11] ἐν τοῖσιν ὑποχονδρίοισιν οἰδήματα μαλθακὰ, καὶ ἀνώδυνα, καὶ ὑπείκοντα, ἐπὶ θιγγάνης αὐτέου, χρονιωτέρας μὲν τὰς κρίσιας ποιεῖ· [12] ἧσσον δὲ φοβερὰς τῶν ἐναντίων τουτέοις φυμάτων. [13] ὡσαύτως δὲ ἔχει καὶ περὶ τῶν ἐν τῇ ἄλλῃ κοιλίῃ φυμάτων.

VI. Οὔρων δὲ, ἢν τὸ μὲν ἐρηθὲν μὴ καθαρὸν ᾖ, τὸ δ᾽ ὑπόστημα λευκόν τε καὶ λεῖον ἔχῃ, χρονιωτέρη ἡ κρίσις, ἢ καὶ ἧσσον ἀσφαλὲς τῶν βελτ-

judicantur. [13] Sudores febricitanti si fiant tertia die, & quinta, & septima, & nona, & undecima, & quartadecima, & vigesimaprima, & trigesimaprima, hi sudores morbos judicant. [14] Qui vero non sic fiunt, dolores significant.

v. Concoctiones urinarum paulatim maturescentes, si in judicatoriis diebus concoctæ fuerint, morbum solvunt. [2] Exemplum urinarum ulcera facere oportet. [3] Nam ulcera si repurgantur pure albo, celerem curationem indicant. [4] Si vero in saniosos humores transmutentur, maligna fiunt. [5] Eodem modo & urinæ significant, [6] Si ex dolore tenues fiant. Ex occasione ratiocinari oportet, ex qua morbus accessit, [7] & hanc inspicere ubi sedatur; [8] Nam hac deficiente, aliis signis qualia conveniunt accedentibus, non putandum est morbo liberationem contingere. [9] Si doluerit caput, & ex hoc febris accedat, & hinc non sedetur: dolore non cessante febris non judicatur; [10] & plurima talia judicationis longæ sunt ad melius, etiam in his quæ ad sanitatem tendunt. [11] In præcordiis tumores molles, & doloris exortes, & ad contactum cedentes, diuturniores quidem judicationes faciunt, [12] minus autem horrendas tuberculis his contrariis. [13] Eodem modo habet & de tuberculis in reliquo ventre.

vi. Ex urinis siquidem id quod mictum est, purum fuerit: subsidentiam vero albam ac lævem habuerit, diuturnior fit morbus, & minus quam optima

 secuta

βελτίστου οὔρου. 2 Ἢν δὲ ποτε ὑπέρυθρον [τὸ] οὖρον ᾖ καὶ τὸ ὑπόστημα ὑπέρυθρον καὶ λεῖον, πολυχρονιώτερον μὲν τοῦτο τοῦ προτέρου· σωτήριον δὲ κάρτα. 3 Ὁκόσα δὲ ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀφλέγμαντα καθίσταται. 4 Κρίσιος [δὲ] μακρῆς ἐπὶ τὸ ἄμεινον ἐπὶ τούτων τὰ πλεῖστά ἐστιν, 5 ὅσα δὲ ἐς θάνατον, ἐν ἡμέρῃ καὶ νυκτὶ κρίνεται, 6 ἢν τὰ ἀσθενείας σημεῖα· οἷον φαρμακοποσίης, κοιλίης ἐκταράξιος καὶ ἄνω καὶ κάτω, ἄσης, καὶ τῶν ἄλλων τῶν τοιούτων. 7 Ἢν μὲν οὖν ἀπαλλάσσηται τούτων τὰ σημεῖα ἐν ἡμέρῃ καὶ νυκτί· 8 εἰ δὲ μή, θανατώδη νομίζειν εἶναι. 9 Τῶν ἱδρώτων κάκιστοί εἰσιν, οἱ ψυχροί τε καὶ περὶ τὸν αὐχένα γινόμενοι. 10 Οὗτοι γὰρ θανάτους καὶ μῆκος νούσων προσημαίνουσι.

VII. Τὰ ποικίλα ὑποχωρήματα, χρονιώτερα μὲν τῶν μελάνων καὶ τῶν ἄλλων θανασίμων ὑποχωρημάτων· οὐδὲν δὲ ἧσσον ὀλέθρια. 2 Ἔστι δὲ τοιάδε, ξυσματώδεα, χολώδεα, αἱματώδεα, πρασοειδέα, μέλανα. 3 Καὶ ποτὲ μὲν ὁμοῦ πάντα διαχωρέει, ποτὲ δὲ κατὰ μέρος ἕκαστον. 4 Οὖρον δὲ ἢν ποτε μὲν καθαρὸν οὐρηθῇ, ποτὲ δὲ ὑπόστημα ἔχον λευκόν τε καὶ λεῖον, χρονιώτερα καὶ ἧσσον ἀσφαλῆ ταῦτ᾽ ἐστὶ τοῦ βελτίστου οὔρου. 5 Ἐὰν πυρρὸν καὶ λεπτὸν ᾖ τὸ οὖρον πολλὸν χρόνον, κίνδυνος, μὴ οὐ δυνηθῇ διαρκέσαι ὁ ἄνθρωπος, ἕως ἂν πεπανθῇ τὸ οὖρον. 6 Καὶ, ἢν ἄλλως περιεσομένου σημεῖα ᾖ, προσδέχου τούτοις ἀπόστασιν προσεσομένην ἐς τὰ κάτω τῶν φρενῶν χωρία. 7 Ἐν τοῖσι πυρετοῖσιν ἐὰν μεταβολὰς

secura est hæc urina. 2 Si vero & urina subrubra fuerit, & subsidentia subrubra ac lævis: diuturniorem quidem hæc morbum quam prior significat, sed valde salutarem. 3 Quicunque podagrici morbi fiunt, hi in quadraginta diebus ab inflammatione liberi sedantur. 4 Sed in his pleraque longæ judicationis ad melius sunt. 5 Quæ ad mortem tendunt, in die ac nocte judicantur, 6 quæ videlicet debilitationis signa sunt, velut epoti medicamenti, exturbationis alvi & sursum & deorsum, anxietatis, & aliorum hujusmodi. 7 Si igitur horum signa in die ac nocte submoveantur, bene est: 8 Sin minus, lethalia esse putanda sunt. 9 Sudores pessimi sunt frigidi, & circa cervicem contingentes. 10 Hi enim mortes, & morborum longitudinem præsignant.

VII. Alvi egestiones variæ, diuturniores quidem sunt nigris & aliis lethalibus egestionibus, nihilo vero minus perniciosæ. 2 Sunt autem tales, ramentosæ, biliosæ, cruentæ, prasinæ, nigræ: 3 & aliquando simul omnes prodeunt, aliquando singulæ particulatim. 4 Urina si quandoque pura micta fuerit, quandoque subsidentiam albam ac lævem habens, diuturnæ tales sunt, & minus securæ quam optima urina. 5 Si vero fulva ac tenuis fuerit urina multo tempore, periculum est ne sufficere homo possit, donec concocta fuerit urina: 6 & si alias superstitis futuri signa fuerint, his abscessum affore exspecta ad locos infra septum transversum. 7 In febribus si mutationes habeat urina,

λαὶ ἔχῃ τὸ οὖρον, χρόνον τε σημαίνει, [8] καὶ ἀνάγκη τοῦ ἀσθενέοντος μεταβάλλειν, καὶ ἐπὶ τὰ χείρω, καὶ ἐπὶ θάτερα. [9] ἢν ἀρχόμενα οὖρα μὴ ὅμοια ᾖ, ἀλλὰ γίνηται παχέα ἐκ λεπτῶν, καὶ παντελῶς λεπτά, δύσκριτα καὶ ἀβέβαια τὰ τοιαῦτα.

VIII. Ψυχροὶ ἱδρῶτες, ξὺν μὲν ὀξεῖ πυρετῷ, θανάσιμοι· [2] ξὺν δὲ πρηϋτέρῳ, μῆκος σημαίνουσι τῆς νούσου. [3] καὶ ὅκου τοῦ σώματος θερμὸν ἢ ψυχρόν, ὅπου τοῦτο ἔνι, ἐνταῦθα ἡ νοῦσος. [4] καὶ τουτέῳ ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ ὀξεῖαι γίνονται. [5] καὶ ἢν τὸ σῶμα ψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλῃ, μῆκος νούσου σημαίνουσι. [6] καὶ ἢν πυρέσσοντι ἱδρὼς ἐπιγίνηται, μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν· [7] μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην σημαίνει. [8] πυρέσσοντι ψυχροὶ ἱδρῶτες ἐπιγινόμενοι μακρὸν τὸν πυρετὸν σημαίνουσιν. [9] ἱδρὼς πουλύς, ἀκρίτως γινόμενος, ὑγιαίνοντι νοῦσον σημαίνει, θέρεος μὲν μείω, ψύχεος δὲ πλείω. [10] ἐς τὰ κάτω χωρέοντα, ἐὰν ἐάσῃς ξυστῆναι, ὑφίσταται ὁκοῖον ξύσματα, ἢν ὀλίγα, ὀλίγη ἡ νοῦσος, ἢν πολλά, πολλή, [11] τουτέοισι ξυμφέρει τὴν κοιλίην ἐπικλύζειν. [12] ὁκόσοις δὲ ἐν τῇ κάτω ὑποχωρήσει χολῆς μελαίνης ὕπεστιν, ἢν πλεῖον, πλείων ἡ νοῦσος, ἢν ἐλάσσων, ἐλάσσων. [13] ἐὰν αἱ φλέβες σφύζωσι, καὶ τὸ πρόσωπον ἐρρωμένον ᾖ, καὶ τὰ ὑποχόνδρια μὴ λαπαρά, ἀλλ' ἐπηρμένα, χρονίη ἡ νοῦσος, [14] καὶ ἄνευ σπασμοῦ οὐ λύεται, ἢ αἵματος πολλοῦ ἐκ τῶν ῥινέων ῥύσιος, ἢ ὀδύνης ἰσχυρῆς. [15] καὶ οἱ παλμοὶ ἐν τῇσι χερσὶ πολυχρονίου πυρετοῦ σημεῖον, ἢ κρίσιος ξυντόμου ἐπὶ τὸ κάκιον,

urina, diuturnitatem temporis significat, [8] & necesse est ægrotum mutari & ad deteriora, & ad alteram partem. [9] Si urinæ ab initio non similes fuerint, sed ex tenuibus crassæ fiant, & penitus tenues, tales ægre judicant, ac inconstantes sunt.

VIII. Frigidi sudores cum acuta quidem febre, lethales sunt: [2] cum mitiore vero, longitudinem morbi significant. [3] Et ubi in corpore caliditas aut frigiditas, hic morbus est, [4] & ibi in toto corpore mutationes repentinæ fiunt: [5] & si corpus perfrigeretur, aut rursus calefiat, aut color alius ex alio transmutetur, morbi longitudinem significat. [6] Si febricitanti sudor accedat, febre non deficiente, malum: [7] prolongatur enim morbus, & humiditatem significat. [8] Febricitanti frigidi sudores accedentes, longam febrem significant. [9] Sudor multus intemperate oboriens sano, morbum significat, æstate minorem, hyeme majorem. [10] Alvi egestiones si in idem concedere ac consistere permiseris, velut ramenta subsident: si pauca, modicus est morbus: si multa, multus: [11] his infusum per clysterem adhibere conducit. [12] Quibus vero in egestione inferne bilis atra subsidet, si copiosior, major est morbus; si paucior, minor. [13] Si venæ pulsarint, & facies sana fuerit, & præcordia non mollia, sed in tumorem elevata, diuturnus est morbus, [14] & absque convulsione non solvitur, aut multa sanguinis ex naribus fluxione, aut vehementi dolore. [15] Et palpitationes in manibus, diuturnæ febris signum sunt, aut brevis judi-

κιον, καὶ ἐπὶ τούτων τὰ πλεῖστα, ὑπὲρ ἐς θάνατον. [16] τοῖσιν ὀλιγίστῳ χρόνῳ μέλλουσιν ἀπόλλυσθαι, μέγιστα σημεῖα ἀπ' ἀρχῆς γίνεται. [17] δυσπνόοι τε γάρ εἰσι, καὶ οὐ κοιμέονται τὰς νύκτας, καὶ τὰ σημεῖα προφαίνουσιν ἐπικίνδυνα. [18] ξυνεχέος δὲ πυρετοῦ ἐὰν τεταρταῖος πονέηται καὶ ἑβδομαῖος, καὶ μὴ κριθῇ ἑνδεκαταῖος, ὀλέθριος ὡς τὰ πολλά. [19] ὅσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τῇσι τέσσαρσιν ἡμέρῃσιν ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται. [20] ἐν τοῖσι καύσοισιν ἐὰν ἐπιγένηται ἴκτερος καὶ λὺγξ πεμπταίῳ ἐόντι, θανατῶδες.

IX. Ὑποστροφαὶ λαμβάνονται, οἷσιν ἂν ἀπυρέτοισι γενομένοισιν ἀγρυπνίαι ἐῤῥωμέναι προσγένωνται, [2] ἢ ὕπνοι ταραχώδεες, [3] ἢ ἀῤῥωστίη τοῦ σώματος, [4] ἢ ἀλγήματα ἑνὸς ἑκάστου τῶν μελέων· [5] καὶ ὅσοις ἂν οἱ πυρετοὶ παύσωνται, μήτε σημείων γενομένων λυτηρίων, μήτ' ἐν ἡμέρῃσι κρισίμῃσι· [6] καὶ, ἐὰν, ἐκλείποντος τοῦ πυρετοῦ καὶ ἱδρῶτος ἐπιγενομένου, πυῤῥὸν οὖρον οὐρήσῃ, λευκὴν ὑπόστασιν ἔχον, προσδέχου τούτοις ὑποστροφὴν πυρετοῦ αὐθημερόν. [7] ὅσαι δὲ αἱ ὑποστροφαὶ πεμπταῖαι κρίνονται, ἀκίνδυνοι. [8] καὶ, ἢν κρίσιος ἐκγενομένης, οὖρον ἐρυθρὸν οὐρήσῃ ὑπόστασιν ἔχον ἐρυθρὴν, καὶ τούτοισιν ὑποστροφὴ γίνεται τοῦ πυρετοῦ αὐθημερὸν, καὶ ὀλίγοι ἐκ ταύτης σώζονται. [9] ὅταν ὑποστρέφῃ ὁ καῦσος, τὰ πολλὰ καὶ ἐξιδροῖ. [10] καὶ, ἢν μὲν τὰς ἡμέρας λάβῃ ὑποστρέψας, ὅσας τὸ πρῶτον, [11] ὑποτροπιάζει δὲ καὶ τρὶς [ὁ] πυρετὸς, ἢν μὴ περισσῇ ἡμέρῃ ἀφῇ ὑποτροπιάσας.

X. Τὰ πολλὰ ἐὰν, ἀπέπτων ἐόντων τῶν οὔρων καὶ τῶν ἄλλων σημείων μὴ κα-

judicationis in deterius: & in his pleraque quæ ad mortem tendunt. [16] His qui brevissimo tempore perituri sunt, maxima signa ab initio fiunt. [17] Nam & difficulter spirant, & noctu non dormiunt, & signa periculosa præ se ferunt. [18] In febre continua si quis quarta die & septima affligatur, & undecima non judicatus fuerit, plerunque perit. [19] Quicunque à distentione antrorsum ac retrorsum corripiuntur, in quatuor diebus pereunt. Si vero hos effugerint, sani fiunt. [20] In febribus ardentibus si accedat morbus regius, & singultus quinto die, lethale est.

IX. Recidivæ fiunt in his, quibus febribus desinentibus vigiliæ fortes accedunt, [2] aut somni turbulenti, [3] aut corporis robur, [4] aut dolore uniuscujusque membri: [5] & quibus febres sedantur, neque signis solutoriis contingentibus, neque in judicatoriis diebus: [6] & si deficiente febre, & sudore accedente, urinam fulvam minxerint, albam subsidentiam habentem, his febris recidivam eadem die expecta. [7] Hæ vero recidivæ quinto die judicantur extra periculum. [8] Et si ex judicatione facta urinam rubicundam, rubram subsidentiam habentem minxerint, etiam his recidiva febris fit eadem die: & pauci ex hac servantur. [9] Quum recidit febris ardens, plerunque etiam exudat. [10] Et si revertens tot diebus detineat quot prius, [11] etiam tertio recidivat, si non impari die dimiserit reversa.

X. Plerunque si crudæ sint urinæ, & alia signa non secundum rationem eveniant, morbus

κατὰ λόγον ἐόντων, ἡ νοῦσος κρισίμῃ ἡμέρῃ [ἀφῇ,] ὑποτροπιάζει. ² ποτὲ δὲ καὶ ὑποστρέφει, ἐν κρισίμῃ ἡμέρῃ τουτέων καταλειπομένων τοιούτων. ³ τὰ περὶ ὧς οἷσιν ἀμφὶ κρίσιν γινόμενα μὴ ἐκπυήσῃ, τουτέων ἀπαλλασσομένων, ὑποστροφὴ γίνεται κατὰ λόγον τῶν ὑποστροφῶν, ὁμοίῃ περιόδῳ. ⁴ ἐπὶ τουτέοις ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι. ⁵ ἢ οὖρον παχὺ, οἷον τὸ λευκὸν, ἐπὶ τοῖς κοπώδεσι τεταρταίοισι, ῥύεται τῆς ἀποστάσιος. ⁶ ἐνίοις δὲ τουτέων καὶ αἱμορραγίαι γίνονται ἐκ τῶν ῥινέων. ⁷ ἢ τις τεταρταίοις οὐ λυτικὴ, ⁸ οὐδὲ τοῖς διὰ τὰ κάτω χωρέοντα ὑγιάζειν ἐπιτυχμένοις. ⁹ τοῖς μελαγχολικοῖς μετὰ φρενιτικῶν ἐχομένοις αἱμορροΐδες ἐγγινόμεναι, ἀγαθόν. ¹⁰ ὅσοι μαίνονται, ἢ αὐτόματοι ἀπαλλασσόμενοι ἐκ τῶν νούσων, τουτέοις τὴν μανίην ὀδύνη ἐς τοὺς πόδας ἐσελθοῦσα, ἢ ἐς [τὸ] στῆθος, ἢ βὴξ ἰσχυρὴ γινομένη λύει. ¹¹ ἐὰν τουτέων μηδὲν γένηται, λυομένης τῆς μανίης, στέρησις τῶν ὀφθαλμῶν γίνεται. ¹² ὁκόσοι ἐν τῇ γλώσσῃ παφλάζουσι, τῶν χειλέων μὴ κρατέοντες, ἐὰν ταῦτα παύσηται, ἔμπυοι γίνονται. ¹³ τὴν ὀδύνην ἰσχυρὴν ἐν τοῖς κάτω χωρίοις λύει ἢ κωφότης, ἢ αἷμα πολὺ ἐκ τῶν ῥινέων ῥυέν.

XI. ¹ Ἡ μανίη τῶν μεγάλων νοσημάτων, ἐν ἔθει γινομένη, λύσις. ² ὅσοις ἐν τοῖσι καύσοισιν ἰσχίων ὀδύνη, ³ [ἢ] ὀφθαλμῶν διαστροφὴ, ⁴ ἢ τύφλωσις, ⁵ ἢ ὀρχίων οἴδησις, ⁶ ἢ τιτθῶν ἄρσις, καῦσον λύει, ⁷ ἢ καὶ αἵματος ἐκ ῥινέων ῥύσις. ⁸ ἐν καύσῳ ἐὰν ἐπιλάβῃ ῥῖγος, φιλεῖ ἐξιδροῦν. ⁹ ὑπὸ καύσου ἐχομένῳ ῥῖγος ἐπιγινόμενον, λύσις. ¹⁰ ὅσοις ἐν τοῖσι καύσοισι τρόμοι ἐγγίνονται, παρα-

bus in die judicatoria recidivat. ² Quandoque vero etiam revertitur in die judicatoria, his talibus relictis. ³ Abscessus circa aurem quibus circa judicationem oborientes non suppurantur, his submotis recidiva fit juxta recidivarum rationem, similis circuitui: ⁴ in his spes est ad articulos abscessum fieri: ⁵ aut urina crassa, qualis est alba in quartanis delassatoriis, liberat ab abscessu. ⁶ Quibusdam vero horum etiam sanguinis e naribus eruptiones fiunt. ⁷ Hæc autem sanguinis eruptio quartanas non solvit, ⁸ neque morbos qui per alvi egestiones sanari solent. ⁹ Atrabilariis cum phrenitide occupatis, si hæmorrhoides oboriantur, bonum est. ¹⁰ Quicunque insaniunt sua sponte liberati ex morbis, his insaniam solvit dolor ad pedes progressus, aut ad pectus, aut tussis vehemens oborta. ¹¹ Si vero horum nihil fiat, insania soluta oculi privatio contingit. ¹² Qui lingua offendunt, & labiorum non sunt potentes, si hæc sedata fuerint, suppurati fiunt. ¹³ Dolorem in locis inferiis fortem solvit aut surditas, aut sanguis multus è naribus erumpens.

XI. ¹ Insania, magni morbi ex more contingentis solutio. ² Quibus in febribus ardentibus coxarum dolor, ³ oculorum distortio, ⁴ aut cæcitas, ⁵ aut testium tumores, ⁶ aut mammarum elevatio, febrem ardentem solvit, ⁷ aut etiam sanguinis ex naribus fluxus. ⁸ In febre ardenti si insuper corripiat rigor, exudare solet. ⁹ A febre ardente occupato, rigore accedente, solutio fit. ¹⁰ Quibus in febribus ardentibus tremores oboriuntur,

παραφροσύνη λύει. 11 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, τουτέοισι, μὴ λυθέντος τοῦ πυρετοῦ, μανῆναι ἀνάγκη. 12 λύει δὲ ἐκ τῶν ῥινῶν αἷμα ῥυὲν, 13 ἢ κοιλίη ἐκταραχθεῖσα χολώδεα, 14 ἢ δυσεντερίη ἐπιγινομένη, 15 ἢ ὀδύνη ἰσχίων ἢ γονάτων. 16 Ὁκόσοισι πυρετοῖσι ῥῖγος ἐπιγένηται, ὁ πυρετὸς λύεται. 17 Ὁκόσοισιν ὀδύναι γίνονται ἐξαπίνης, τὸ ὑποχόνδριον ἀπῆρται ἄνω. 18 καὶ ἐὰν περὶ τὴν νόθον πλευρὴν ἢ περὶ [τὰ] σκέλεα ὀδύναι γίνονται, τουτέοισι λύσις φλεβοτομίη καὶ κάθαρσις κάτω. 19 οὐ γὰρ λαμβάνει πυρετὸς ἰσχυρὸς ἀδυνατεόντων τῶν χωρίων. 20 Ὑπὸ ὕδρωπος ἐχομένῳ, [τὸ] κατὰ τὰς φλέβας ἐς τὴν κύστιν ἢ κοιλίην ὑδατῶδες ῥυέντος, λύσις. 21 Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγίνηται ἰσχυρὴ, λύσις. 22 Ὁκόσοι ὑπὸ διαῤῥοίης πουλὺν χρόνον λαμβάνονται ξὺν βηχὶ, οὐκ ἀπαλλάσσονται, ἐὰν μὴ ὀδύναι ἰσχυραὶ ἐν τοῖς ποσὶν ἐμπέσωσιν. 23 ἐπεὶ βούλεται διαστροφὴ γίνεσθαι τῆς φύσιος, ἐπειδὰν μὴ διάῤῥοια ᾖ, 24 ἢ κενὴν διαχώρησιν πᾶσαν λάβῃ. 25 ἐπιγίνονται γὰρ φῦσαι ἔξω ἰοῦσαι. 26 δῆλον τοίνυν· οὐκ ἔχουσιν οὐδὲν ὑγρόν. 27 ὥστε προσφέρειν δυνήσῃ τὰ ἀσφαλῶς τῷ οὕτως ἔχοντι.

XII. Εἰλεοῦ ἐπιγινομένου ψυχρὸν, οἶνον δίδου πίνειν πουλὺν, ἄκρητον, κατὰ λόγον, ἕως ὕπνος ἢ σκελέων ὀδύνη γένηται. 2 λύει δὲ καὶ πυρετὸς, ἢ δυσεντερίη. 3 κεφαλὴν περιωδυνέοντι καὶ νοσέοντι, τὸ πύον ῥέον, ἢ κατὰ τὰ ὦτα, ἢ κατὰ τὰς ῥῖνας, λύει τὸ νόσημα. 4 ὁκόσοισιν ὑγιαίνουσιν ἐξαπίνης ὀδύναι ἐγγίνονται ἐν τῇσι κεφαλῇσι, 5 καὶ

riuntur, mentis emotio solvit. 11 Quibus in febribus aures obsurduerunt, his, non soluta febre, insanire necesse est. 12 Solvit autem sanguis ex naribus erumpens, 13 aut alvus biliosa egerens, 14 aut dysenteria accedens, 15 aut coxarum, aut genuum dolor. 16 Quibus febribus rigor accedit, febris solvitur. 17 Quibus dolores fiunt derepente, præcordium elevatum est ' superne: 18 & si circa spuriam costam graves dolores fiunt, his solutio fit venæ sectio, & purgatio deorsum. 19 Non enim corripit febris vehemens locis impotentibus. 20 In his qui ab hydrope detinentur, si aquositas per ventrem ad vesicam aut ventrem fluat, solutio fit. 21 Si à pituita alba occupato, 'alvi profluvium vehemens accedat, solutio fit. 22 Qui ab alvi profluvio multo tempore detinentur una cum tussi, 'non liberantur, si non dolores vehementes in pedibus inciderint. 23 Si vero vult commutatio ac correctio naturæ fieri, postquam non amplius alvus profluit, 24 aut inanem omnem egestionem habuerit, flatus foras prodeuntes accidunt. 25 Nullum itaque humorem manifestum habent. 26 Quare ei qui ita habet secure exhibere scies ea quæ conveniunt.

XII. Et si 'volvulus accedat, vinum frigidum multum meracum paulatim 'bibendum dato, donec somnus, aut crurum dolor fiat. 2 Solvit autem & febris, aut dysenteria. 3 Caput circumcirca dolenti ac ægrotanti, si pus per aures, aut per nares fluxerit, solvit morbum. 4 Quibuscunque sanis derepente dolores oboriuntur in capitibus,

[5] καὶ παραχρῆμα ἄφωνοι γίνονται, καὶ ῥέγχουσιν, [6] ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἐὰν μὴ πυρετὸς ἐπιλάβῃ. [7] κεφαλὴν περιωδυνέοντι, ὅ, τι ἂν τῶν ἄνω χωρίων πονήσῃ, σικύην πρόσβαλλε. [8] λύει ὀδύνη ἐς ἰσχία καὶ γούνατα καὶ ἆσθμα, ὅ, τι ἂν τουτέων γίνηται. [9] ὀφθαλμιῶντι, ὑπὸ διαῤῥοίης ἁλῶναι, ἀγαθόν. [10] ὑπὸ σπασμοῦ ἢ τετάνου ἐχομένῳ πυρετὸς ἐπιγενόμενος, λύει τὸ νόσημα. [11] ὑπὸ πυρετοῦ ἐχομένῳ, σπασμὸς ἢν λάβῃ, παύεται ὁ πυρετὸς αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ.

[5] & statim voce priuantur, ac stertunt, [6] hi in septem diebus pereunt, si non febris corripuerit. [7] Caput circumcirca dolenti, quicunque ex supernis locis doluerit, cucurbitam affige. [8] Soluit dolor ad coxas, & genua, & anhelatio, quicquid horum factum fuerit. [9] Lippienti, ab alui profluuio corripi, bonum est. [10] A conuulsione aut distentione neruorum vexato, febris accedens soluit morbum. [11] Si à febre detentum conuulsio corripuit, sedatur febris eadem die, aut postridie, aut tertia die.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΓΝΩΣΤΙΚΟΝ.

HIPPOCRATIS PRÆNOTIONES.

Basil. græc. — Foesius sect. II. 3. 36. — Basil. lat.

pag. 401

[1] ΤΟΝ ἰητρὸν δοκέει μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύειν. [2] προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι τά τε παρεόντα, καὶ τὰ προγεγονότα, καὶ τὰ μέλλοντα ἔσεσθαι, [3] ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγεύμενος, [4] πιστεύοιτ' ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πρήγματα· [5] ὥστε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφέας ἑωυτοὺς τῷ ἰητρῷ. [6] τὴν δὲ θεραπείην ἄριστα ἂν ποιέοιτο προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων. [7] ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας ἀδύνατον. [8] τοῦτο γὰρ τοῦ προγινώσκειν τὰ μέλλοντα ἀποβήσεσθαι, κρέσσον ἂν ἦν. [9] ἐπεὶ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν, οἱ μὲν, πρὶν ἢ καλέσαι τὸν ἰητρὸν, ὑπὸ

[1] MEDICUM prænotionem adhibere, optimum esse mihi videtur. [2] Prænoscens enim & prædicens apud ægrotos, & præsentia, & præterita, & futura, [3] & quæ ipsi ægroti delinquunt exponens, [4] fidem utique fecerit, quod ægrotorum res magis cognoscat, [5] quare audebunt homines seipsos medico committere. [6] At vero curationem optime fecerit, ubi prænouerit futuras affectiones. [7] Sanos equidem facere omnes ægrotos impossibile est. [8] hoc enim præstantius esset, quam prænoscere in posterum euentura. [9] Quandoquidem vero homines moriuntur, alii priusquam medicum vocent, [10] præ vio-

ὑπὸ ἰσχύος τῆς νούσου·[10] οἱ δὲ ἐσκαλεσάμενοι τὸν ἰητρὸν παραχρῆμα ἐτελεύτησαν·[11] οἱ μὲν ἡμέρην μίαν ζήσαντες· οἱ δὲ ὀλίγῳ πλέονα χρόνον,[12] " πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθαι.[13] γνῶναι οὖν χρὴ τῶν παθέων τῶν τοιουτέων τὰς φύσιας, ὁκόσον ὑπὲρ τὴν δύναμίν εἰσι τῶν σωμάτων·[14] ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι, καὶ τούτου " τὴν πρόνοιαν ἐκμανθάνειν.[15] οὕτω γὰρ ' ἂν θαυμάζοιτό τε δικαίως, καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη.[16] καὶ γὰρ, οὓς οἷόν τε περιγίνεσθαι, τούτους ἔτι μᾶλλον δύναιτ' ἂν ὀρθῶς διαφυλάσσειν, ἐκ πλέονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα·[17] καὶ τοὺς ἀποθανουμένους τε καὶ σωθησομένους προγινώσκων τε καὶ προαγορεύων, ἀναίτιος ἂν εἴη.

II. Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμασι.[2] πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων·[3] μάλιστα δὲ, εἰ αὐτὸ ἑωυτῷ. οὕτω γὰρ ἂν εἴη ' ἄριστον·[4] τὸ δ' ἐναντιώτατον τοῦ ὁμοίου δεινότατον.[5] εἴη δ' ἂν τὸ τοιόνδε.[6] ῥὶς ὀξεῖα,[7] ὀφθαλμοὶ κοῖλοι,[8] κρόταφοι ξυμπεπτωκότες,[9] ὦτα ψυχρὰ καὶ ξυνεσταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι,[10] καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρόν τε καὶ περιτεταμένον καὶ καρφαλέον ἐόν,[11] καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τε ἢ καὶ " μέλαν ἐὸν, καὶ πέλιον, ἢ μολιβδῶδες.[12] ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου τὸ πρόσωπον τοιοῦτον ᾖ, καὶ μήπω οἷόν τε ᾖ ' τοῖσιν ἄλλοισι σημείοισι " ξυντεκμαίρεσθαι,[13] ἐπανέρεσθαι χρὴ, μὴ ἠγρύπνησεν ὁ νοσέων, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ᾖ ἰσχυρῶς, " ἢ λιμῶδές τι ἔχῃ αὐτόν.[14] κἢν μὲν

π

violentia morbi:[10] alii vero accito etiam medico, derepente vita decedunt:[11] quidam ubi unam vixerunt diem, quidam tempore paulo diutiore,[12] antequam medicus per artem adversum singulos morbos repugnet:[13] itaque nosse oportet talium affectionum naturas, quantum corporum vires excedunt.[14] Simul vero & si quid divini in morbis inest, etiam hujus prænotionem ediscere.[15] Ita enim merito ' admirationi is fuerit, & medicus bonus extiterit.[16] Nam quos superstites manere possibile est, eos adhuc magis recte conservare poterit, ex multo tempore antea consilium adhibens ad singula:[17] & tum morituros, tum servandos, prænoscens ac prædicens, à culpa exors fuerit.

II. Considerare porro hoc modo convenit in morbis acutis,[2] primum quidem faciem ægroti, an similis sit his quæ in sanis sunt,[3] ' maxime vero an ipsa sibiipsi. Ita enim optima fuerit.[4] Si vero maxime contraria simili fuerit, horrendissima est:[5] talis autem fuerit,[6] nasus acutus,[7] oculi cavi,[8] tempora collapsa,[9] aures frigidæ ac contractæ, & extremitates aurium aversæ,[10] & cutis circa frontem dura & circumtenta ac arida,[11] & color totius faciei pallidus, aut etiam niger, & lividus, aut plumbeus.[12] Siquidem igitur in principio morbi ' facies talis fuerit, & nondum ex aliis signis conjecturam facere licuerit,[13] interrogare oportet, num vigilaverit homo, aut alvi excrementa valde liquida sint, aut fames aliqua ipsum teneat.[14] Et siquidem horum

ali-

τουτέων ὁμολογέῃ, ἧσσον νομίζειν δεινὸν εἶναι. [15] Κρίνεται δὲ τὰ τοιαῦτα ἐν ἡμέρῃ τε καὶ νυκτὶ, ἢν διὰ ταύτας τὰς προφάσιας τὸ πρόσωπον τοιοῦτον ᾖ. [16] Ἢν δὲ μηδὲν τουτέων φῇ εἶναι, μηδὲ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καθιστῇ, εἰδέναι χρὴ ἐγγὺς ἐόντα τοῦ θανάτου. [17] Ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου, ἢ τεταρταίου, τὸ πρόσωπον τοιοῦτον ᾖ, περὶ τουτέων ἐπανέρεσθαι, περὶ ὧν καὶ πρότερον ἐκέλευσα, [18] καὶ τἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ ξύμπαντι προσώπῳ, καὶ τὰ ἐν τῷ σώματι, καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν. [19] Ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν, [20] ἢ δακρύωσιν ἀπροαιρέτως, [21] ἢ διαστρέφωνται, [22] ἢ ὁ ἕτερος τοῦ ἑτέρου ἐλάσσων γίγνηται, [23] ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, [24] ἢ πελιὰ ἢ φλέβια μέλανα ἐν αὐτέοισιν ἔχωσιν, [25] ἢ λῆμαι φαίνωνται περὶ τὰς ὄψιας, [26] ἢ καὶ ἐπαιωρεύμενοι, [27] ἢ ἐξίσχοντες, [28] ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι, [29] ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπέες, [30] ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον ᾖ, [31] ταῦτα πάντα κακὰ νομίζειν καὶ ὀλέθρια εἶναι.

III. Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. [2] Ἢν γάρ τι ὑποφαίνηται τοῦ λευκοῦ, τῶν βλεφάρων μὴ ξυμβαλλομένων, μὴ ἐκ διαρροίης ἢ φαρμακοποσίης ἐόντι, ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδειν, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα. [3] Ἢν δὲ καμπύλον ἢ ῥικνὸν γένηται, ἢ πελιὸν, ἢ ὠχρὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ ἐγγὺς ἐόντα τοῦ θανάτου. [4] Θανατῶδες δὲ καὶ χείλεα ἀπολυόμενα, καὶ κρεμάμενα, καὶ ψυχρὰ, καὶ ἔκλευκα γινόμενα.

[5] Κι-

aliquid confiteatur, minus grave esse putandum est. [15] Iudicantur autem & cognoscuntur talia in die ac nocte, si ob has caussas facies talis fuerit. [16] Si vero nihil horum esse dicat, neque in prædicto tempore consistat, noſſe convenit morti proximum esse. [17] At si vetustiore existente morbo, aut triduano, aut quatriduano, talis fuerit facies, de his interrogare oportet, de quibus etiam prius jussi: [18] itemque alia signa considerare, & in universa facie, & in corpore, & in oculis. [19] Si enim lucem fugiant, [20] aut involuntarie lachrymentur, [21] aut distorqueantur, [22] aut alter altero minor fiat, [23] aut albas partes rubentes habeant, [24] aut venulas lividas aut nigras in ipsis habeant, [25] aut lemæ ac sordes circa oculos appareant, [26] aut etiam instabiles, [27] aut eminentes, [28] aut cavi vehementer facti, [29] aut squallentes & obscuri fuerint: [30] aut color totius faciei alteratus fuerit: [31] hæc omnia mala & perniciosa esse putandum est.

III. Considerare vero convenit etiam oculorum subapparitiones in somnis. [2] Si enim albæ quid partis subappareurit, palpebris non commissis, si id non ex alvi profluvio, aut medicamenti potione fuerit, aut ægrotus non ita dormire consueverit, malum signum & valde lethale est. [3] Si vero retorta, aut contracta fiat, aut livida, aut pallida palpebra, aut labium, aut nasus, cum aliquo ex aliis signis, morti proximum esse sciendum est. [4] Lethale est etiam habere labia resoluta, & pendentia, & frigida, & albicantia facta.

[5] De-

[5] Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ, ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν, καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα, καὶ τὸ ξύμπαν σῶμα ὑγρὸν κείμενον. [6] οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται. [7] ἄρισται δέ εἰσι τῶν κατακλισίων αἱ ὁμοιόταται τῇσι τῶν ὑγιαινόντων. [8] ὕπτιον δὲ κεῖσθαι, καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον ἀγαθόν. [9] εἰ δὲ καὶ προπετὴς γένοιτο, καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστιν. [10] εἰ δὲ καὶ γυμνοὺς τοὺς πόδας εὑρίσκοιτο ἔχων μὴ θερμοὺς κάρτα ἐόντας, [11] καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ἀνωμάλως διερριμμένα καὶ γυμνὰ, κακόν· [12] ἀλυσμὸν γὰρ σημαίνει. [13] θανατῶδες δὲ, καὶ τὸ κεχηνότα καθεύδειν αἰεί· [14] καὶ τὰ σκέλεα ὑπτίου κειμένου ξυγκεκαμμένα εἶναι ἰσχυρῶς καὶ διαπεπλεγμένα.

IV. Ἐπὶ γαστέρα δὲ κεῖσθαι, ᾧ μὴ ξύνηθές ἐστι καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην τινὰ σημαίνει, ἢ ὀδύνην τῶν ἀμφὶ τὴν κοιλίην τόπων. [2] ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα, τῆς νούσου ἀκμαζούσης, πονηρὸν μὲν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασι· [3] κάκιστον δὲ ἐν τοῖσι περιπλευμονικοῖσιν. [4] ὀδόντας δὲ πρίειν ἐν πυρετοῖσιν, ὁκόσοισι μὴ ξύνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες. [5] ἀλλὰ [χρὴ] προλέγειν ἀπ' ἀμφοῖν κίνδυνον ἐσόμενον. [6] ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον γίνεται κάρτα ἤδη. [7] ἕλκος δὲ, ἤν τε καὶ προγεγονὸς τύχῃ ἔχων, ἤν τε καὶ ἐν τῇ νούσῳ γένηται, καταμανθάνειν χρή. [8] ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὤνθρωπος, πρὸ τοῦ θανάτου πελιδνόν

[5] Decumbentem ægrotum à medico deprehendi convenit in latus dextrum aut finiſtrum, & manus, & collum, & crura modice inflexa habentem, & totum corpus flexibile ſitum. [6] Ita enim plurimi ex ſanis decumbunt. [7] Optimi autem ſunt decubitus qui ſanorum decubitibus ſimiles exiſtunt. [8] At vero ſupinum jacere, & manus, & collum, & crura extenta habere, minus bonum eſt. [9] Si vero etiam pronus fiat, & de lecto ad pedes delabatur, magis horrendum eſt. [10] Si vero nudos quoque pedes habere comperiatur, nec admodum calidos; [11] & manus, & collum, ac crura inæqualiter disjecta, ac nuda, malum eſt. [12] Anxietatem enim ſignificat. [13] Lethale eſt & hiantem ſemper dormire: [14] & crura ſupini jacentis valde incurvata eſſe ac complicata.

IV. At in ventrem decumbere, ſi quis non ſit adſuetus, dum ſanus fuit ita dormire, delirium ſignificat, aut dolorem locorum circa ventrem. [2] Cæterum erectum ſedere velle ægrum in morbi vigore, in omnibus morbis acutis malum eſt; [3] peſſimum autem in peripneumonicis pulmone inflammato. [4] Dentibus ſtridere in febribus, quibus non familiare id eſt à pueris, furioſum ac lethale eſt. [5] Verum prædicere oportet ab utriſque periculum futurum. [6] Si vero etiam delirus hoc faciat, pernicioſum valde jam exiſtit. [7] Ulcus autem ſive prius factum fuerit, ſive in morbo acceſſerit, conſiderare oportet. [8] Si enim periturus eſt homo, ante mortem lividum ac ſiccum erit,

πελιδνόν τε καὶ ξηρὸν ἔστω, ἢ ὠχρόν τε καὶ ξηρόν. [9] περὶ δὲ χειρῶν φορῆς τάδε χρὴ γινώσκειν. [10] ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσιν, ἢ περιπλευμονίῃσιν, ἢ φρενίτισιν, ἢ κεφαλαλγέησι, [11] περὶ τοῦ προσώπου φερομένας, [12] καὶ [μάτην] θηρευούσας διὰ κενῆς, [13] καὶ ἀποκαρφολογεούσας, [14] καὶ κροκίδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας, [15] καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, [16] πάσας εἶναι κακὰς καὶ θανατώδεας. [17] πνεῦμα δὲ, πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. [18] μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. [19] ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. [20] εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νουσήμασιν, ὅσα ξὺν πυρετοῖσίν ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

V. Οἱ δὲ ἱδρῶτες ἄριστοι μέν εἰσιν ἐν πᾶσι τοῖσιν ὀξέσι νουσήμασιν, ὁκόσοι ἐν ἡμέρῃσί τε κρισίμῃσι γίνονται, καὶ τελέως τὸν πυρετὸν ἀπαλλάττουσιν. [2] ἀγαθοὶ δὲ καὶ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι, ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νόσημα. [3] οἳ δ' ἂν μὴ τουτέων τι ἐργάσωνται, οὐ λυσιτελέες. [4] κάκιστοι δὲ, οἱ ψυχροί τε καὶ μοῦνον περὶ τὴν κεφαλήν τε καὶ τὸ πρόσωπον γινόμενοι καὶ τὸν αὐχένα. [5] οὗτοι γὰρ, ξὺν μὲν ὀξεῖ πυρετῷ, θάνατον προσημαίνουσι· ξὺν δὲ πρηϋτέρῳ, μῆκος νούσου. [6] καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γινόμενοι τοῖσι περὶ τὴν κεφαλήν. [7] οἱ δὲ κεγχροειδέες καὶ μοῦνον περὶ τὸν τράχηλον γινόμενοι, πονηροί. [8] οἱ δὲ μετὰ σταλαγμῶν καὶ ἀτμίζοντες, ἀγαθοί. [9] κατανοεῖν δὲ χρὴ τὸ σύνο-

λον

erit, aut etiam pallidum & siccum. [9] At de manuum latione ita sentio. [10] Quæ in febribus acutis, aut peripneumoniis, aut in phrenitide, aut capitis dolore, [11] ante faciem feruntur, [12] & frustra venantur, [13] & festucas legunt, [14] & floccos de vestibus evellunt, [15] & de pariete paleas detrahunt; [16] eas omnes malas & lethales esse. [17] Spiritus densus dolorem significat, aut inflammationem, in locis supra septum transversum. [18] Qui vero magnus expiratur, & per multum temporis intervallum, delirium indicat. [19] Si vero frigidus è naso & ore exspiretur, valde jam perniciosus est. [20] Bonam autem spirationem valde magnam vim habere ad salutem, in omnibus acutis morbis putare convenit, qui cum febribus sunt, & in quadraginta diebus judicantur.

v. Sudores optimi sunt in omnibus acutis morbis, qui in diebus judicatoriis fiunt, & febrem perfecte submovent. [2] Boni vero sunt, qui per totum corpus contingentes, hominem facilius morbum ferre faciunt. [3] Qui vero tale quid non effecerint, incommodi sunt. [4] Pessimi autem sunt frigidi, & tantum circa caput & faciem oborientes, & circa cervicem. [5] Hi enim cum acuta quidem febre, mortem præsignificant: cum mitiore vero longitudinem morbi. [6] Et qui per totum corpus fiunt, similiter significant his qui circa caput. [7] At vero miliiformes, & solum circa collum contingentes, mali sunt. [8] Qui vero cum guttis fiunt, & evaporant, boni sunt. [9] Considerare porro convenit sudores

λον τῶν ἱδρώτων. 10 γίνονται γὰρ οἱ μὲν δι' ἔκλυσιν σωμάτων, οἱ δὲ διὰ συντονίην φλεγμονῆς. 11 ὑποχόνδριον δὲ, ἄριστον μὲν, ἀνώδυνόν τε ἐὸν καὶ μαλθακὸν καὶ ὁμαλὸν, καὶ ἐπὶ δεξιὰ καὶ ἐπ' ἀριστερά. 12 φλεγμαῖνον δὲ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερὰ, ταῦτα πάντα φυλάσσεσθαι χρή. 13 εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην. 14 ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικαταδεῖν τῶν τοιουτέων [χρή.] 15 ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς.

VI. Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρ' ἅπαν εἴη τὸ ὑποχόνδριον· 2 εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ πλευρῷ, ἀκινδυνότερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερά. 3 σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα, ἐν ἀρχῇ μὲν, θάνατον ὀλιγοχρόνιον ἔσεσθαι. 4 ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται. 5 γίνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ καὶ αἵματος ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελέει. 6 ἀλλ' ἐπανερωτᾷν χρὴ, εἰ τὴν κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυωπέουσι. 7 ἢν γάρ τι τοιούτων εἴη, ἐνταῦθα ῥέπει. 8 μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων τὴν τοῦ αἵματος ῥῆξιν προσδέχεσθαι χρὴ, [τοῖσι δὲ γεραιτέροισι τὴν ἐκπύησιν.] 9 τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων, καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ ὑπείκοντα, χρονιωτέρας τὰς κρίσιας ποιέεται, καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν. 10 εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθίσταται,

ἔμπυον

in ſumma; 10 fiunt enim aliqui propter corporum exolutionem, aliqui propter inflammationis vigorem. 11 Præcordium optimum eſt doloris exors, & molle, & æquale, tum in dextra, tum in ſiniſtra parte. 12 At inflammatum, aut dolorem exhibens, aut dextræ partes inæqualiter affectæ ad ſiniſtras; hæc omnia obſervare oportet. 13 Si vero etiam pulſus inerit in præcordio, turbationem ſignificat aut delirium. 14 Verum oculos talium inſuper intueri oportet. 15 Si enim oculi frequenter moveantur, furioſos hos fore timor eſt.

VI. Tumor in præcordio durus exiſtens & doloroſus, peſſimus quidem eſt, ſi per totum fuerit præcordium. 2 Si vero fuerit in altera parte, minus periculoſus eſt in ſiniſtra. 3 Significant autem ejuſmodi tumores, in principio quidem, mortem brevi affuturam. 4 Si vero viginti dies transgrediatur tum febris detinens, tum tumor non conſidens, ad ſuppurationem convertitur. 5 Contingit autem his in primo circuitu, etiam ſanguinis eruptio è naribus, & valde prodeſt. 6 Verum interrogare convenit, an caput doleant, aut hebetem viſum habeant. 7 Si enim horum quid fuerit ad eum locum repit. 8 Magis tamen in junioribus quinque ac triginta annis, ſanguinis eruptionem expectare convenit. 9 At vero molles tumores, & doloris exortes, & qui digito cedunt, diuturniores judicationes faciunt, & minus illis ſunt horrendi. 10 Si vero transgrediatur ſexaginta dies febris detinens, & tumor non conſidat, ſuppuratum fore ſigni-

ficat

ἐμπυοῦσθαι σημαίνει· καὶ τοῦτο, καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ ταὐτά. 11 ὁκόσα μὲν οὖν ἐπώδυνά τέ ἐστι καὶ σκληρὰ καὶ μεγάλα, σημαίνει κίνδυνον θανάτου ὀλιγοχρονίου. 12 ὁκόσα δὲ μαλθακά τε καὶ ἀνώδυνα [ἐστι] καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων. 13 τὰς δὲ ἀποστάσιας ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται, τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν· 14 ἥκιστα δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ ἐς διαπύησιν τρέπεται. 15 αἵματος δὲ ῥῆξιν ἐκ τῶν ἄνω τόπων μάλιστα προσδέχεσθαι.

VII. Ἁπάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων περὶ τοὺς τόπους τούτους ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας. 2 τὰ δὲ διαπυήματα ὧδε χρὴ σκέπτεσθαι τὰ ἐντεῦθεν. 3 ὁκόσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστι, μικρά τε ἐόντα, καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω, καὶ ἐς ὀξὺ ἀποκορυφούμενα· 4 τὰ δὲ μεγάλα τε ἐόντα καὶ πλατέα, καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα, κάκιστα. 5 ὅσα δὲ εἴσω ῥήγνυται, ἄριστά ἐστιν, ἃ μηδὲν τῷ ἔξω χωρίῳ ἐπικοινωνέει, ἀλλ' ἔστι προσεσταλμένα τε καὶ ἀνώδυνα, καὶ πᾶν τὸ ἔξω χωρίον ὁμόχροον φαίνεται. 6 τὸ δὲ πύον ἄριστον λευκόν τε εἶναι καὶ ὁμαλὸν καὶ λεῖον, καὶ ὡς ἥκιστα δυσῶδες· 7 τὸ δὲ ἐναντίον τούτου, κάκιστον.

VIII. Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων [γενόμενοι,] πάντες κακοί. 2 οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν, ἐπώδυνοί τε εἰσι κάρτα καὶ θανατώδεες. 3 ἄρχονται δὲ οἱ πλεῖστοι ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος, οἱ δὲ ἀπὸ τοῦ ἥπατος.

ficat & hunc, & eum qui in reliquo ventre est eodem modo. 11 Quicunque igitur tumores dolorosi sunt, & duri, & magni, periculum mortis brevi afferre significant. 12 Qui vero molles, & doloris exortes sunt, & digito compressi cedunt, diuturniores illis sunt. 13 Cæterum tumores in ventre minus faciunt abscessus, quam hi qui sunt in præcordiis. 14 Minime vero hi qui sub umbilico consistunt, ad suppurationem convertuntur. 15 Sanguinis vero eruptionem, ex supernis locis maxime expectare oportet.

VII. Omnium autem tumorum diuturnorum circa hos locos, suppurationes considerare convenit. 2 Sunt autem suppurationes hinc contingentes hoc modo considerandæ. 3 Quæcunque extra verterunt, optimæ sunt, quæ parvæ sunt, & quam maxime foras eminentes, & in acutum fastigiatæ. 4 Quæ vero magnæ sunt, & latæ, & minime in acutum fastigiatæ, pessimæ sunt. 5 Quæcunque vero intro rumpuntur, optimæ sunt quæ nihil cum externo loco communicant, sed sunt contractæ, & doloris exortes, & totus externus locus concolor apparet. 6 At vero pus optimum est, si est album & æquale, & læve, & quam minime graveolens. 7 Quod vero huic contrarium est, pessimum est.

VIII. Aquæ porro inter cutem, ex acutis morbis obortæ, omnes malæ sunt. 2 Nequenim à febre liberant, & valde dolorosæ sunt, ac lethales. 3 Incipiunt autem pleræque à lateribus mollitudine, & à lumbis: aliquæ vero etiam ab hepate.

4 οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίνονται τῶν ὑδρώπων, οἵ τε πόδες οἰδέουσι, 5 καὶ διάῤῥοιαι πολυχρόνιοι ἔχουσιν, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι. 6 ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος ὕδρωπες γίνονται, 7 βῆσσαί τε καὶ θυμὸς ἐγγίνεται αὐτέοισι, καὶ οὐδὲν πτύουσιν ἄξιον λόγου, 8 καὶ οἱ πόδες οἰδέουσι, 9 καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ σκληρόν τε καὶ πρὸς ἀνάγκην, 10 καὶ περὶ τὴν κοιλίην γίνεται οἰδήματα, τὰ μὲν ἐπὶ δεξιά, τὰ δ' ἐπ' ἀριστερά, ἱστάμενά τε καὶ καθιστάμενα. 11 κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες ψυχρὰ ἐόντα, κακόν, τῆς τε κοιλίης καὶ τῶν πλευρῶν θερμῶν ἐόντων. 12 ἄριστον δὲ καὶ ὅλον τὸ σῶμα θερμόν τε εἶναι καὶ μαλθακὸν [ὁμαλῶς.] 13 στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν ἀλγέοντα καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι. 14 εἰ δὲ βαρὺς ἐὼν φαίνοιτο καὶ τὸ ἄλλο σῶμα, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας, ἐπικινδυνότερόν [ἐστιν.] 15 εἰ δὲ πρὸς τῷ βάρει [τοῦ σώματος] καὶ οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίνονται, παραχρῆμα ὁ θάνατος αὐτίκα. 16 μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι ἢ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν εἰσιν. 17 ἀλλὰ καὶ τἄλλα σημεῖα σκέπτεσθαι χρή. 18 ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακόν, καὶ ἄλλο τι τῶν περιεκτικῶν [σημείων] πρὸς τουτέοισι τοῖσι σημείοισιν ὑποδεικνύῃ, τὸ νόσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπίς· 19 ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν. 20 ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα πόνους ἰσχυροὺς σημαίνει καὶ κίνδυνον θανατώδεα.

4 Quibus igitur à laterum mollitudine & lumbis principia fiunt, his & pedes intumescunt, 5 & alvi profluvia diuturna ipsos tenent, quæ neque dolores ex laterum mollitudine ac lumbis solvunt, neque ventrem molliunt. 6 Quibuscunque vero ab hepate aquæ inter cutem oriuntur, 7 his tusses tussiendique promptitudo accedit, & nihil memorabile 'expuunt, 8 & pedes tument, 9 & venter non egerit, nisi dura, & coactus, 10 & circa alvum fiunt tumores, aliqui in dextra, aliqui in sinistra parte, tum consistentes, tum considentes. 11 Caput autem, & manus, & pedes, si frigida sunt, malum est, ubi & venter, & latera calida sunt. 12 Optimum vero est, & totum corpus æqualiter calidum esse, ac molle. 13 Converti autem convenit facile ægrotum, & in attollendo se levem esse. 14 Si vero gravis 'esse appareat & reliquo corpore, & manibus & pedibus, magis periculosum est. 15 Si vero supra gravitatem, ungues, & digiti lividi fiant, mors evestigio expectanda est. 16 At si digiti ac pedes penitus nigrescunt, minus perniciosi sunt quam lividi. 17 Verum & alia signa considerare oportet. 18 Si enim facile ferre videatur malum, & aliud quoddam ex salutaribus ad hæc signa subindicet, morbum ad abscessum verti spes est, 19 ' ita ut æger quidem superstes mansurus sit, corporis vero partes nigræ factæ casuræ. 20 Testes & pudenda revulsa, dolores fortes significant, & periculum lethale.

IX. Περὶ δὲ ὕπνων, ὥσπερ καὶ κατὰ φύσιν συνήθες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρὴ, τὴν δὲ νύκτα καθεύδειν. [2] ἢν δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον. [3] ἥκιστα δ' ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης. [4] οἱ δὲ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι, πονηρότεροί εἰσι. [5] κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης· [6] ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνίη, [7] ἢ παραφροσύνη ἔσται ἀπὸ τουτέου τοῦ σημείου. [8] Διαχώρημα δέ ἐστιν ἄριστον, τὸ μαλθακόν τε καὶ ξυνεστηκὸς, [9] καὶ τὴν ὥρην, ἥνπερ καὶ ὑγιαίνοντι διεχώρει. [10] πλῆθος δὲ, πρὸς λόγον τῶν ἐσιόντων. [11] τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. [12] εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν, μήτε πυκνόν τε καὶ κατ' ὀλίγον διαχωρέειν. [13] κοπιῷ γὰρ ὁ ἄνθρωπος ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσιος, καὶ ἀγρυπνοίη ἄν. [14] εἰ δὲ ἀθρόον πολλάκις διαχωρέει, κίνδυνος λειποθυμῆσαι. [15] ἀλλὰ χρὴ, κατὰ τὸ πλῆθος τῶν εἰσιόντων, δὶς διαχωρέειν ἢ τρὶς τῆς ἡμέρης, καὶ τῆς νυκτὸς ἅπαξ· [16] πλεῖστα δ' ἐπὶ τὸ πρωῒ, ὥσπερ ξυνήθες ἐστὶ τῷ ἀνθρώπῳ. [17] παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, ἰούσης πρὸς κρίσιν τῆς νούσου. [18] ὑπόπυρρον δὲ ἔστω, καὶ μὴ λίην δυσῶδες.

X. Ἐπιτήδεον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς [τὴν] κρίσιν ἰούσης τῆς νούσου. [2] δεῖ δὲ ἐν παντὶ τῷ νουσήματι λαπαρὴν τὴν κοιλίην εἶναι καὶ εὔογκον,

IX. Quod vero ad somnos attinet, quemadmodum secundum naturam consuetum nobis est, interdiu vigilare oportet, noctu dormire. [2] Si vero hoc fuerit transmutatum, pejus est. [3] Minime vero lædi æger poterit, si dormiat mane ad tertiam partem diei. [4] Qui vero ab hoc tempore fiunt somni, deteriores sunt. [5] Pessimum autem est non dormire, neque noctu, neque interdiu. [6] Aut enim præ dolore ac afflictionibus vigiliæ adsunt; [7] aut delirium aderit ab hoc signo. [8] Egestio alvi optima est, mollis & cohærens, [9] & secundum horam, in qua etiam à sano egerebatur. [10] Juxta copiam vero, pro ratione ciborum ingestorum. [11] Tali enim contingente exitu, venter infernus sanus fuerit. [12] Si vero liquida fuerit egestio, conducit neque stridere, neque frequentem esse, & paulatim secedere. [13] Delassatur enim homo ex frequenti desessu, & vigilias utique contraxerit. [14] Si vero sæpe acervatim egerit, periculum est, ne in animi deliquium incidat. [15] Quin & juxta copiam ingestorum egerere oportet, bis aut ter in die, & noctu semel. [16] Plura vero mane, quemadmodum in consuetudine est homini. [17] Inspissari autem oportet egestionem morbo ad judicationem tendente. [18] Sit autem subfulva, & non valde graveolens.

X. Commodum est & lumbricos rotundos cum egestione prodire, morbo ad judicationem tendente. [2] Oportet autem in omni morbo mollem esse ventrem, & justa mole præ-

οἶκον. ³ ὑδαρὲς δὲ κάρτα, ἢ λευκὸν, ἢ χλωρὸν, ἢ ἐρυθρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα. ⁴ ἔτι δὲ πονηρὸν, καὶ σμικρόν τε ἐὸν, καὶ γλίσχρον, ⁵ καὶ λευκὸν, καὶ ὑπόχλωρον, καὶ λεῖον. ⁶ τουτέων δὲ θανατωδέστερα ἂν εἴη τὰ μέλανα, ἢ λιπαρὰ, ἢ πελιὰ, ἢ ἰώδεα, ἢ κάκοσμα. ⁷ τὰ δὲ ποικίλα, χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧσσον. ⁸ ἔστι δὲ τὰ τοιαῦτα, ξυσματώδεα, καὶ χολώδεα, καὶ πρασοειδέα, [καὶ αἱματώδεα,] καὶ μέλανα· ⁹ ποτὲ μὲν ὁμοῦ διεξερχόμενα ἀλλήλοισι, ποτὲ δὲ κατὰ μέρος. ¹⁰ φῦσαν δὲ ἄνευ ψόφου καὶ παρδήσιος διεξιέναι, ἄριστον. ¹¹ κρέσσον δὲ, καὶ σὺν ψόφῳ διελθεῖν, ἢ αὐτοῦ ἀνειλέεσθαι. ¹² καὶ οὕτω διελθοῦσα σημαίνει, ἢ πονέειν τι τὸν ἄνθρωπον, ἢ παραφρονέειν, ¹³ ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω ποιῆται τὴν ἄφεσιν τῆς φύσης. ¹⁴ τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν ᾖ νεαρὰ καὶ μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ. ¹⁵ καὶ μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ τε καὶ οὔρῳ καὶ φύσῃ. ¹⁶ ἢν δὲ μὴ, καὶ αὐτὸς διαπεραιωθείς. ¹⁷ ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

XI. Τὸ δὲ οὖρον ἄριστόν ἐστιν, ² ὅταν εἴη λευκή τε ἡ ὑπόστασις καὶ λείη καὶ ὁμαλὴ ³ παρὰ πάντα τὸν χρόνον, ἐς τ' ἂν κριθῇ ἡ νοῦσος. ⁴ σημαίνει γὰρ ἀσφάλειάν τε καὶ [τὸ] νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. ⁵ εἰ δὲ διαλείποι καὶ ποτὲ μὲν καθαρὸν οὐρέοι, ποτὲ δὲ ὑφίσταιτο τὸ λευκὸν καὶ λεῖον, κρο-

ditum. ³ At vero aquosum valde, aut album, aut pallidum, aut viride, aut vehementer rufum, aut spumosum stercus egerere, hæc omnia mala sunt. ⁴ Malum insuper est & quod exiguum est, & viscosum ac album: ⁵ & quod subpallidum aut subviride ac læve. ⁶ His vero magis lethalia fuerint stercora nigra, aut pinguia, aut livida, & æruginosa, & male olentia. ⁷ Quæ vero varia sunt, diuturniora quidem his sunt, nihilo minus autem perniciosa. ⁸ Sunt autem talia, ramentosa, & biliosa, & cruenta, & prasina, & nigra, ⁹ aliquando simul inter se exeuntia, aliquando particulatim. ¹⁰ Flatum porro sine strepitu ac crepitu prodire, optimum est. ¹¹ Melius autem est & cum strepitu exire, quam isthuc revolvi: ¹² & qui sic progressus est flatus, aut dolere quid hominem significat, aut delirare: ¹³ nisi sua sponte homo ita flatum emittat. ¹⁴ Cæterum præcordiorum dolores ac tumores, si fuerint recentes, & non cum inflammatione, solvit murmur in præcordio obortum, ¹⁵ & maxime quidem si pertransierit cum stercore, & urina ac flatu. ¹⁶ Sin minus, etiam ipsum per se si transierit. ¹⁷ Prodest item si subdescenderit ad infernos locos.

XI. Optima vero est urina, ² quum fuerit alba subsidentia, & lævis, & æqualis, ³ per totum tempus, donec judicatus fuerit morbus. ⁴ Significat enim & securitatem, & morbum fore brevem. ⁵ Si intermiserit, & aliquando quidem pura mingatur, aliquando vero subsidet album

χρονιώτερον γίνεται ἡ νοῦσος, ἧσσον ἀσφαλής. [6] εἰ δὲ εἴη τὸ οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις αὐτοῦ ὁμαλὴ καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο γίνεται, σωτήριον δὲ κάρτα. [7] κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν αἱ ὑποστάσιες πονηραί. [8] τουτέων δὲ ἔτι κακίους αἱ πεταλώδεες. [9] αἱ λευκαὶ δὲ καὶ λεπταὶ κάρτα φλαῦραι. [10] τουτέων δ' ἔτι κακίους αἱ πιτυρώδεες. [11] νεφέλαι δὲ ἐναιωρεύμεναι τοῖσιν οὔροισι, λευκαὶ μὲν ἀγαθαί, μέλαιναι δὲ φλαῦραι. [12] ἔστ' ἂν δὲ πυῤῥόν τε ᾖ τὸ οὖρον καὶ λεπτὸν, σημαίνει τὸ νόσημα ἄπεπτον εἶναι. [13] ἢν δὲ καὶ πολυχρόνιον ᾖ τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσεται ὥνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ ἡ νοῦσος. [14] θανατωδέστερα δὲ τῶν οὔρων τά τε δυσώδεα, καὶ ὑδατώδεα, καὶ μέλανα, καὶ παχέα. [15] ἔστι δὲ τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ τὰ μέλανα τῶν οὔρων κάκιστα· [16] τοῖσι δὲ παιδίοισι τὰ ὑδατώδεα. [17] ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πουλὺν χρόνον, ἢν τὰ ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία.

XII. Καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι. [2] ξυντήξιος γὰρ σημεῖα. [3] σκοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσιν αἱ νεφέλαι, ἤν τε ἄνω, ἤν τε κάτω ἔωσι· [4] καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσι. [5] καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖσι χρώμασιν, οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν καὶ ἐπαινέειν· [6] τὰς δὲ ἄνω ξὺν τοῖσι χρώμασιν, οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι τὰ τοιάδε. [7] μὴ ἐξαπατάτω δέ σε,

album ac læve, diuturnior fit morbus, & minus securus. [6] Si vero fuerit & urina subrubra, & subsidentia ipsius similis, & lævis, diuturniorem quidem hæc morbum quam prior significat, sed valde salutarem. [7] At subsidentiæ, in urinis, crassiores farinæ partes referentes, pravæ sunt. [8] His autem pejores sunt laminosæ. [9] Albæ vero & tenues valde malæ sunt. [10] Verum his deteriores sunt furfuraceæ. [11] Nubeculæ quæ feruntur in urinis, albæ quidem bonæ sunt: nigræ vero malæ. [12] Quandiu vero fulva fuerit urina, & tenuis, morbum inconcoctum esse significat. [13] Si vero & diuturna fuerit talis existens, periculum est ne sufficere homo possit, donec urina concocta fuerit. [14] Lethaliores autem sunt urinæ, & fœtidæ, & aquosæ, & nigræ, & crassæ. [15] At tum in viris tum in mulieribus, nigræ urinæ pessimæ sunt: [16] in pueris autem aquosæ. [17] Quicunque urinas tenues, & crudas mingunt multo tempore, si alia veluti superstitibus futuris signa fuerint, his abscessum expectare oportet ad locos infra septum transversum.

XII. Sed & pinguetudines superne instantes, araneorum telis similes, damnare oportet. [2] Sunt enim colliquationis signa. [3] Considerare vero convenit in urinis in quibus nubeculæ sunt, an superne aut inferne sint: [4] & quales habeant colores. [5] Et quæ quidem deorsum feruntur, cum coloribus relatis, eas bonas esse putare, ac laudare. [6] Quæ vero sursum feruntur, cum coloribus relatis, malas esse, & tales damnare. [7] Nec vero

τε, ἢν μὴ ἡ κύστις τὶ νόσημα ἔχουσα τῶν οὔρων τὰ τοιαῦτα ἀποδιδῷ. 8 οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ' αὐτῆς καθ' ἑωυτήν. 9 Ἔμετος δὲ ὠφελιμώτατος ὁ φλέγματος καὶ χολῆς ξυμμεμιγμένος ὡς μάλιστα, καὶ μὴ παχὺς κάρτα, μήτε πολύς. 10 οἱ γὰρ ἀκρητέστεροι κακίους εἰσίν. 11 εἰ δὲ εἴη τὸ ἐμεόμενον πρασοειδὲς, ἢ πελιὸν, ἢ μέλαν, ὅ, τι ἂν ᾖ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι. 12 εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέει, κάρτα ὀλέθριον ἤδη γίνεται. 13 τάχιστον γὰρ θάνατον σημαίνει τὸ πελιὸν τῶν ἐμέτων, εἰ ὄζοι δυσῶδες. 14 πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ δυσώδεες ὀσμαὶ κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισι.

XIII. Πτύελον [δὲ] χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν πλεύμονα καὶ τὰς πλευρὰς, 2 ταχέως τε ἀναπτύεσθαι καὶ εὐπετέως· 3 ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ. 4 εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο, ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίνεται. 5 τό, τε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες· 6 τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον, ἀλυσιτελές. 7 κακὸν δὲ καὶ τὸ χλωρὸν [τὸ] ἐὸν κάρτα καὶ τὸ ἀφρῶδες. 8 εἰ δὲ εἴη οὕτως ἄκρητον, ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τούτων ἐκείνων. 9 κακὸν δὲ καὶ, ἢν μηδὲν ἀνακαθαίρηται, μηδὲ προΐῃ ὁ πλεύμων, ἀλλὰ πλήρης ἐὼν ζέῃ ἐν τῷ φάρυγγι. 10 κορύζας δὲ καὶ πταρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πλεύμονα [τε καὶ τὰς πλευρὰς] νοσήμασι προγεγονέναι ἢ ἐπι-

ro decipiat te, si vesica morbum aliquem habens, ejusmodi urinas reddiderit. 8 Non enim totius corporis signum est, sed ipsius per se vesicæ. 9 Vomitus commodissimus est, ex pituita ac bile quam maxime permixtus, & non crassus valde, neque multus. 10 Nam meraciores, deteriores sunt. 11 Si vero id quod vomitu rejectum est prasini fuerit coloris, aut lividum, aut nigrum: quicunque horum fuerit colorum, malum esse putandum est. 12 Si vero omnes colores idem homo vomit, valde perniciosum hoc est. 13 Celerrimam autem mortem significat lividus vomitus, si graveolens fuerit. 14 Omnes vero subputridi ac fœtidi odores, in omnibus vomitibus mali sunt.

XIII. Sputum vero in omnibus doloribus, qui circa pulmonem & costas fiunt, 2 cito ac facile expui convenit, 3 & flavum sputo valde permixtum apparere. 4 Si enim longe postea, post principium doloris, expuerit quod flavum est, aut fulvum, aut quod multam tussim inducit, & non valde permixtum est, deterius est. 5 Nam & flavum meracum, periculosum est: 6 & album ac viscosum & rotundum, inutile est. 7 Malum est & quod viride est valde, itemque pallidum, & quod spumosum. 8 Si vero ita fuerit meracum, ut etiam nigrum appareat, hoc ipsum deterius est quam illa. 9 Malum etiam est si nihil repurgetur, neque emittat pulmo, sed plenus ferveat in gutture. 10 Gravedines & sternutationes in omnibus circa pulmonem morbis, & antecessisse,

ἐπιγίνεσθαι, κακόν. [11] ἀλλ' ἐν τοῖσιν ἄλλοισι νοσήμασι τοῖσι θανατωδεστάτοισιν οἱ πταρμοὶ λυσιτελοῦσιν. [12] αἷμα δὲ ξυμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν ἐν τοῖσι περιπλευμονικοῖσιν, ἐν ἀρχῇ μὲν τῆς νούσου πτυόμενον περιεστηκὸν καὶ κάρτα ὠφελέει. [13] ἑβδομαίῳ δὲ ἐόντι ἢ παλαιοτέρῳ, ἧσσον ἀσφαλές. [14] πάντα δὲ πτύελα πονηρά ἐστιν, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ. [15] κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται. [16] τὰ δὲ παύοντα τὴν ὀδύνην, πάντων ἀμείνω πτυόμενα.

XIV. Ὁκόσαι δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ παύονται, μήτε πρὸς τὰς τῶν πτυέλων ἀνακαθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ φαρμακείας, καὶ διαίτας, εἰδέναι χρὴ ἐκπυήσοντα. [2] τῶν δὲ ἐκπυημάτων ὁκόσα μὲν, ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου, ἐκπυΐσκεται, ὀλέθρια κάρτα, [3] ἤν τε ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύηται, ἤν τε ὁμοῦ. [4] μάλιστα, ἢν ἄρξηται χωρέειν τὸ ἐμπύημα ἀπὸ τουτέου τοῦ πτυέλου, ἑβδομαίου ἐόντος τοῦ νοσήματος, ἢ παλαιοτέρου. [5] ἐλπὶς δὲ τὸν τοιαῦτα πτύοντα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, [6] ἢν μή τι αὐτῷ ἐπιγένηται ἀγαθόν. [7] ἔστι δὲ τὰ μὲν ἀγαθὰ τάδε. [8] εὐπετέως φέρειν τὸ νόσημα, [9] εὔπνοον εἶναι, [10] τῆς ὀδύνης ἀπηλλάχθαι, [11] τό, τε πτύελον ῥηϊδίως ἀναβήσσειν, [12] τό, τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε εἶναι καὶ μαλθακὸν, [13] καὶ δίψαν μὴ ἔχειν, [14] οὖρά τε καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται. [15] ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα ἐπιγίνεσθαι. [16] οὕτω μὲν γὰρ ἁπάντων τουτέων ἐπιγινομένων οὐκ ἂν ἀπο-

fiſſe, & ſuccedere, malum eſt. [11] At in aliis morbis lethaliſſimis ſternutationes proſunt. [12] Sputum autem flavum, ſanguine permixtum non multo, ſi in pulmonis inflammatione, in principio morbi rejiciatur, ſalutare eſt, & valde prodeſt. [13] Si vero ſeptimo die, aut poſterius, minus ſecurum eſt. [14] Omnia ſputa mala ſunt, quæ dolorem non ſedant. [15] Peſſima vero ſunt nigra, velut deſcriptum eſt. [16] Quæ vero dolorem ſedant, omnium optima exiſtunt.

XIV. Quicunque dolores ex his locis non ſedantur, neque ad ſputorum purgationes, neque ad ſtercorum alvi ſubductionem, neque ad venæ ſectiones, & victus rationem ac medicamenta, eos ad ſuppurationem verti ſciendum eſt. [2] Ex ſuppurationibus quæcunque dum ſputum adhuc biliosum eſt ſuppurantur, perniciosæ valde ſunt, [3] ſive biliosum illud in parte, ſive ſimul cum pure expuatur: [4] & hoc potiſſimum ſi morbo ad ſeptimum diem progreſſo, ſuppuratio ab hoc ſputo procedere incipiat. [5] Timor autem eſt eum qui talia expuit moriturum eſſe decimaquarta die, [6] ſi non aliquod bonum ſignum ipſi acciderit. [7] Sunt autem bona hæc: [8] facile ferre morbum, [9] bene ſpirare, [10] à dolore liberatum eſſe, [11] ſputum facile tuſſiendo rejicere, [12] corpus æqualiter calidum ac molle apparere, [13] ſitim non habere, [14] urinas & alvi egeſtiones, & ſomnos, & ſudores, velut deſcriptum eſt: [15] hæc ſingula noſſe convenit accidere, ut quæ bona ſint. [16] Nam omnibus his ſic contingentibus,

ἀποθανεῖται ὁ ἄνθρωπος. 17 αὖ δὲ τὰ μέν τοι αὐτέων ἐπιγένοιτο, τὰ δὲ μὴ, οὐ πλείονα χρόνον ζήσεις ἢ [καὶ] τεσσαρεσκαιδέκα ἡμέρας, ἀπόλοιτ' αὖ ἄνθρωπος.

XV. Κακὰ δὲ τὰ ἐναντία τουτέων· 2 δυσπετέως φέρειν τὴν νοῦσον, 3 πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, 4 τὴν ὀδύνην μὴ παύεσθαι, 5 τὸ πτύελον μόλις ἀναβήσσειν, 6 διψῆν κάρτα, 7 τό, τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι, 8 καὶ τὴν μὲν κοιλίην καὶ τὰς πλευρὰς 20 θερμὰς εἶναι ἰσχυρῶς, 9 τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ψυχρούς. 10 οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται. 11 ἐπίστασθαι εἰδέναι κακὰ ἐόντα. 12 οὕτως γὰρ, εἰ ἐπιγένοιτό τι τῷ πτυέλῳ τουτέων, ἀπόλοιτο αὖ ὁ ἄνθρωπος, πρὶν ἢ ἐς τὰς τεσσαρεσκαιδέκα ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος. 13 οὕτως οὖν ξυμβάλλεσθαι χρὴ, ὡς τοῦ πτυέλου τουτέου θανατώδεος ἐόντος μάλα, καὶ οὐ περιάγοντος ἐς τὰς τεσσαρεσ- 25 καιδέκα ἡμέρας. 14 τὰ δὲ ἐπιγενόμενα κακά τε καὶ ἀγαθὰ ξυλλογιζόμενον ἐκ τουτέων χρὴ τὰς προῤῥήσιας προλέγειν. 15 οὕτω γὰρ ἄν τις ἀληθεύοι μάλιστα. 16 αἱ δὲ ἄλλαι ἐκπυήσιες ῥήγνυνται αἱ πλεῖσται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι, αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.

XVI. Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενον ἀπὸ τῆς ἡμέρης, 2 ἧ τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, ἢ εἴ ποτε αὐτὸν πρῶτον ῥῖγος ἔλαβε, 3 καὶ εἰ φαίη αὐ- 30 τὶ τῆς ὀδύνης αὐτῷ βάρος γεγενῆσθαι ἐν τῷ τόπῳ, ἐν ᾧ ἤλγεεν. 4 ταῦτα γὰρ ἐν ἀρχῇσι γίνεται τῶν ἐμπυημάτων.

5 ἐξ

tibus, homo non morietur. 17 Si vero aliqua ex his accesse- 220 rint, aliqua non, non ampliore vita producta, decimaquarta die homo peribit.

XV. Porro mala signa his contraria sunt: 2 ægre ferre morbum, 3 spiritum magnum & densum esse, 4 dolorem non sedari, 5 sputum vix tussiendo rejicere, 6 valde sitire, 7 corpus inæqualiter à febri teneri, 8 ventrem quidem ac costas fortiter calidas esse, 9 frontem vero & manus ac pedes frigidos. 10 Urinas autem & alvi egestio- 225 nes, & somnos, & sudores, velut descriptum est: 11 hæc singula nosse oportet mala esse. 12 Si enim ita accesserit horum aliquid ad sputum, peribit utique homo priusquam ad decimum quartum diem pervenerit, aut nono die, aut undecimo. 13 Sic igitur conjecturam facere oportet, quod hoc sputum lethale sit valde, & non perducat ad decimumquartum diem. 14 Proinde & mala & bona signa 230 expendentem ex his prædictiones facere oportet. 15 Ita enim potissimum veritatem consequi quis poterit. 16 At vero aliæ suppurationes rumpuntur, plurimæ quidem vigesimo die, aliæ vero trigesimo, aliæ quadragesimo, aliquæ vero ad sexaginta dies perveniunt.

XVI. Considerare vero futuræ suppurationis principium oportet, supputatione facta ab ea die 2 qua primum homo febricitavit, aut si forte ipsum pri- 235 mum rigor apprehendit: 3 & si pro dolore gravitatem sibi factam esse dixerit, in eo loco in quo dolebat. 4 Hæc enim in principiis suppurationum fiunt.

5 Ex

[5] ἐξ οὖν τουτέων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένους. [6] Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, στρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐπὶ τουτέοισι, [7] μή τι ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ, [8] καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, [9] καὶ κατακλινομένου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾷν, εἴ τι αὐτῷ δοκέει βάρος ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν. [10] Εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερόν ἐστι τὸ ἐμπύημα, ἐπὶ ὁκοῖον ἂν πλευρὸν τὸ βάρος γίνηται. [11] Τοὺς δὲ ξύμπαντας ἐμπύους γινώσκειν χρὴ τοῖσδε τοῖσι σημείοισι. [12] Πρῶτον μὲν, εἰ ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων· [13] καὶ ἱδρῶτες πολλοὶ ἐπιγίνονται, [14] βῆχές τε ἐθυμέες ἐγγίνονται αὐτέοισι, καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου. [15] Καὶ οἱ μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίνονται, αἱ δὲ γνάθοι ἐρυθήματα ἴσχουσι. [16] Καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν γρυποῦνται, οἱ δὲ δάκτυλοι θερμαίνονται, καὶ μάλιστα ἄκροι, [17] καὶ ἐν τοῖσι ποσὶν οἰδήματα γίνονται [ξυνιστάμενά τε καὶ καταπαυόμενα.] [18] Καὶ σιτίων οὐκ ἐπιθυμέουσι, [19] καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα.

XVII. Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἔχει τὰ σημεῖα ταῦτα, καὶ πιστεύειν αὐτέοισι χρὴ κάρτα. [2] Ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεται τουτέων, [3] ἤν τι ἐπιφαίνηται, οἷα καὶ τοῖσιν ἐν ἀρχῇσι γινομένοισιν· [4] ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπος. [5] Τὰ δὲ ταχύτερον αὐτέων καὶ βραδύτερον ῥηγνύμενα τοῖσδε γινώσκειν χρή. [6] Ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γένηται, καὶ ἡ δύσπνοια, καὶ ἡ βὴξ, καὶ ὁ πτυελισμὸς διατελέῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἔχων,

[5] Ex his igitur temporibus eruptionem suppurationum fore expectare oportet ad prædicta tempora. [6] Si vero suppuratio fuerit in altero latere solum: vertere & considerare oportet in his, [7] num aliquem babeat dolorem in altero 'latere', [8] & an alterum altero sit calidius: [9] & reclinato ægro in latus sanum, interrogare ipsum, an videatur ipsi grave quid ex superno latere incumbere. [10] Si enim hoc fuerit, in altero est suppuratio, in quo gravitas affuerit. [11] Cæterum omnes suppuratos ex his signis cognoscere oportet. [12] Primum quidem si febris non dimittit, sed per diem quidem tennis est, noctu vero amplior; [13] & sudores multi 'oboriuntur, [14] tussesque ac tussiendi promptitudo ipsis adest, & nihil memorabile expuunt: [15] & oculi cavi fiunt, & maxillæ ruborem contrahunt, [16] & ungues quidem manuum curvantur, digiti vero calescunt, & potissimum summi: [17] & in pedibus tumores fiunt, [18] & cibos non appetunt, [19] & pustulæ per corpus nascuntur.

XVII. Quæcunque igitur suppurationes diuturnæ sunt, hæc signa habent', & fidem ' ipsis valde habere oportet. [2] Quæ vero breves sunt, ex his signis cognoscere oportet, [3] si quid apparuerit ex his, qualia in principiis fiunt. [4] Simul autem & si aliquanto difficilius spiraverit homo. [5] At vero quæ ex ipsis citius & tardius rumpuntur, his signis cognoscere oportet. [6] Siquidem enim dolor in principiis fiat; & spirandi difficultas, & tussis, & sputatio perseverans, ad vigesimum diem pertingat, ' eruptionem tunc ex-

ἔχων, προσδέχεσθαι τὴν ῥῆξιν, ἢ καὶ ἔτι πρόσθεν. [7] Ἢν δὲ ἡσυχαίτερος ὁ πόνος ᾖ, καὶ τἆλλα πάντα τουτέοισι κατὰ λόγον τουτέου, προσδέχεσθαι τὴν ῥῆξιν ἐς ὕστερον. [8] Γίνεσθαι δὲ ἀνάγκη καὶ πόνον καὶ δύσπνοιαν καὶ πτυελισμὸν πρὸ τῆς τοῦ πύου ῥήξιος. [9] Περιγίνονται δὲ τουτέων μάλιστα μὲν, οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθήμερον μετὰ τὴν ῥῆξιν, [10] καὶ σιτίων ταχέως ἐπιθυμέωσι, καὶ δίψης ἀπηλλαγμένοι ἔωσι, [11] καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ, [12] καὶ τὸ πύον λευκόν τε καὶ λεῖον καὶ ὁμόχροον ᾖ, καὶ φλέγματος ἀπηλλαγμένον, καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς. [13] Καὶ ἄριστα μὲν οὕτως καὶ τάχιστα ἀπαλλάσσουσιν· [14] ἢν δὲ μὴ, οἷσιν ἂν ἐγγύτατα τουτέων γένηται. [15] Ἀπόλλυνται δὲ, οὓς ἂν ὅ, τε πυρετὸς μὴ ἀφίῃ, [16] ἀλλὰ δοκέων ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος, [17] καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι, [18] καὶ ἡ κοιλίη ὑγρὴ ᾖ, [19] καὶ τὸ πύον χλωρὸν καὶ πελιὸν πτύῃ, ἢ φλεγματῶδες καὶ ἀφρῶδες. [20] Ἢν ταῦτα πάντα γένηται, ἀπόλλυνται. [21] Ὁκόσοισι δ' ἂν τουτέων τὰ μὲν ἐπιγένηται, τὰ δὲ μὴ, οἱ μὲν αὐτέων ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται. [22] Ἀλλ' ἐκ πάντων τῶν τεκμηρίων τῶν ἐόντων ἐν τουτέοισι σημαίνεσθαι, καὶ τοῖσιν ἄλλοισι πᾶσιν.

XIIX. [1] Ὁκόσοισι δὲ ἀποστάσιες γίνονται ἐκ τῶν περιπλευμονικῶν νοσημάτων παρὰ τὰ ὦτα καὶ ἐκπυΐσκουσιν, [2] ἢ ἐς τὰ κάτω χωρία [ῥήγνυνται] καὶ ἐκσυριγγοῦνται, οὗτοι περιγίνονται. [3] Ἐπισκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα ὧδε. [4] Ἢν ὅ, τε

expectare oportet, aut etiam prius. [7] Si vero quietior fuerit dolor, & alia omnia pro hujus ratione, eruptio posterius expectanda est. [8] Necesse vero est accedere & dolorem, & spirandi difficultatem, & sputationem, ante puris eruptionem. [9] Ex his autem maxime superstites manent hi quos febris eodem post eruptionem die dimiserit: [10] & qui cibos cito appetiverint, & à siti liberati fuerint: [11] & si venter parva & compacta egesserit, [12] & pus album & læve & ejusdem coloris fuerit, & à pituita liberum, & citra dolorem ac tussim fortem repurgetur. [13] Ac optime quidem sic ac celerrime liberantur. [14] Sin minus, hi quibus proxima his contigerint. [15] At vero intereunt hi quos febris non dimiserit, [16] aut ubi ipsos dimisisse putata fuit, rursus recalescens apparuerit: [17] & qui sitim quidem habuerint, cibos autem non appetiverint, [18] & si venter liquidus fuerit, [19] & pus pallidum sive viride, & lividum expuerint, aut pituitosum & spumosum. [20] Si hæc omnia contigerint, pereunt. [21] Quibus vero ex his quædam accesserint, quædam non, horum aliqui intereunt, aliqui in multo tempore superstites evadunt. [22] Verum ex omnibus signis quæ adsunt, tum in his, tum in aliis omnibus, conjecturam facere oportet.

XIIX. Quibuscunque ex inflammati pulmonis morbis, abscessus circa aures fiunt, & suppurantur, [2] aut ad infernas partes, ac fistulantur, hi superstites evadunt. [3] Verum hujusmodi sic considerare oportet. [4] Si & febris

τε πυρετὸς ἔχῃ, [5] καὶ ἡ ὀδύνη μὴ παύηται, [6] καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον, [7] μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδὲ εὔκρητοι, εὔλυτοί τε καὶ σύμμετροι γίνωνται, [8] καὶ μηδὲ τὸ οὖρον πουλύ τε κάρτα καὶ πολλὴν ὑπόστασιν ἔχον [9] ὑποχωρέῃ· περιεστηκῶς δ' ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστηκῶν σημείων, [10] τουτέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι. [11] γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια τὸ φλέγμα τις ἐγγένηται· [12] αἱ δὲ ἄνω, οἷσι [μὲν] τὸ ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέῃ, δύσπνους δέ τινα χρόνον γενόμενος παύσηται ἄτερ φανερῆς προφάσιος ἄλλης. [13] αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπλευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι, λυσιτελέες μὲν πᾶσαι, [14] ἄρισται δὲ αἱ, τοῦ πτυέλου ἐν μεταβολῇ ἐόντος, γινόμεναι. [15] εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γινομένου καὶ ἐκχωρέοντος ἔξω, [16] οὕτως ἂν ἀσφαλέστατα ὅ, τε ἄνθρωπος περιγίνοιτο, καὶ ἡ ἀπόστασις ἀνώδυνος τάχιστα παύοιτο. [17] εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέῃ καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, [18] κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον, ἢ πολλὰ πρήγματα παρασχεῖν. [19] ἢν δὲ ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες, τοῦ πτυέλου μὴ ἐκχωρέοντος, καὶ τοῦ πυρετοῦ ἔχοντος, δεινόν. [20] κίνδυνος γὰρ, μὴ παραφρονήσῃ καὶ ἀποθάνῃ ὁ ἄνθρωπος. [21] τῶν δὲ ἐμπύων τῶν ἐκ τῶν περιπλευμονικῶν, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται. [22] ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν.

febris detinuerit, [5] & dolor non sedatus fuerit, [6] & sputum pro ratione non prodierit, [7] neque biliosæ, neque solutu faciles, & meracæ alvi egestiones fuerint, [8] neque urina valde multa, & multam subsidentiam habens: [9] indicatur autem superstes futurus ab omnibus reliquis salutaribus signis: [10] tunc abscessus hujusmodi fore sperandum est. [11] Fiunt autem partim ad infernas partes, quibus videlicet inflammatio aliqua circa præcordia affuerit: [12] partim in supernis, quibus præcordium molle & doloris exors permanserit, & ubi spirandi difficultas, quæ per tempus aliquod affuit, desierit citra aliam manifestam causam. [13] Cæterum abscessus ad crura, in pulmonis inflammationibus fortibus ac periculosis, omnes quidem utiles sunt, [14] optimi vero sunt, qui dum sputum jam in mutatione est fiunt. [15] Si enim tumor & dolor fiat, sputo pro flavo purulento evadente, & foras procedente: [16] ita securissime homo superstes evaserit, & abscessus absque dolore celerrime sedabitur. [17] Si vero sputum non bene processerit, neque urina subsidentiam bonam habens apparuerit, [18] periculum est claudum fore articulum, aut multum molestiarum exhibiturum. [19] At si evanescant & recurrant abscessus, sputo non prodeunte, febreque permanente, horrendum est. [20] Periculum enim est ne deliret homo & moriatur. [21] Ex suppuratis à pulmonis inflammatione, seniores magis intereunt. [22] Ex aliis autem suppurationibus, juniores magis moriuntur.

XIX. Αἱ δὲ ξὺν πυρετῷ γινόμεναι ὀδύναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουσαι, ὀλέθριον κάρτα. [2] προσέχειν οὖν δεῖ τὸν νόον [καὶ] τοῖσιν ἄλλοισι σημείοισιν. [3] ὡς ἢν τι καὶ τῶν ἄλλων σημείων ἐπιγίνηται πονηρόν τι, ἀνέλπιστος ὁ ἄνθρωπος. [4] Ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν καθαρὸν μὲν τὸ πύον ᾖ καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται. [5] οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται. [6] Εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας, [καὶ] τἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι πολλαὶ ἐλπίδες, [καὶ σωθῆναι] τοῦτον. [7] Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι δειναὶ μὲν παντελῶς καὶ ὀλέθριαι. [8] ὀλεθριώταται δὲ, ὁκόσαι ξὺν πυρετῷ συνεχεῖ γίνονται. [9] καὶ γὰρ οἱ ἀπ' αὐτέων τῶν κύστεων πόνοι ἱκανοὶ ἀποκτεῖναι. [10] καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐν τούτῳ τῷ χρόνῳ, εἰ μὴ σκληρόν τι καὶ πρὸς ἀνάγκην. [11] λύει δὲ οὖρον πυῶδες οὐρηθὲν, λευκὴν καὶ λείην ἔχον τὴν ὑπόστασιν. [12] ἢν δὲ μήτε τοῦ οὔρου μηδὲν ἐνδιδῷ ὁ πόνος, μήτε ἡ κύστις μαλθάσσηται, ὅ, τε πυρετὸς ξυνεχὴς ᾖ, ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι. [13] ὁ δὲ τρόπος οὗτος ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἕως ἂν ἐς τὰ πεντεκαιδεκέτεα γένωνται.

XX. Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. [2] οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται, ἢ πρόσθεν. [3] οἵ τε κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινο-

XIX. Dolores cum febre contingentes, circa lumbos, & infernas partes, si septum transversum attigerint, infernas partes relinquentes, perniciosi valde sunt. [2] Proinde aliis quoque signis animum advertere oportet. [3] Nam si quod etiam ex aliis signis malum apparuerit, desperatus est homo. [4] Quicunque vero suppurati uruntur, quibus quidem purum pus fuerit, & album, & non fœtidum, hi servantur; [5] quibus autem subcruentum & cœnosum, hi pereunt. [6] Si vero assiliente ad septum transversum morbo, alia signa non mala accesserint, hunc suppuratum fore multa spes est. [7] Porro vesicæ duræ & dolentes, penitus quidem horrendæ ac perniciosæ sunt, [8] perniciosissimæ vero quæ cum febre continua fiunt. [9] Etenim dolores ab ipsis vesicis ad occidendum sufficiunt, [10] & alvi non egerunt hoc tempore, nisi durum quiddam, & hoc coactæ. [11] Solvit autem urina purulenta micta, quæ albam ac lævem subsidentiam habet. [12] Si vero neque ab urina quicquam remiserit dolor, neque vesica molliatur, & febris continua fuerit, in primis circuitibus morbi ægrum moriturum esse timor est. [13] Atque hic modus potissimum pueros corripit septennes, donec ad quintumdecimum annum pervenerint.

XX. Febres judicantur in iisdem numero diebus, ex quibus & superstites evadunt homines, & ex quibus pereunt. [2] Etenim placidissimæ febres, & signis securissimis nitentes, quarto die desinunt, aut prius. [3] Malignissimæ vero, & signis horrendissi-

ἐξ ὀξυτάτων γινόμεναι, τεταρταῖαι κρίνουσιν, ἢ πρόσθεν. [4] ἡ μὲν οὖν πρώτη περίοδος αὐτέων οὕτω τελευτᾷ. [5] ἡ δὲ δευτέρη ἐς τὴν ἑβδόμην προάγεται. [6] ἡ δὲ τρίτη ἐς τὴν ἑνδεκάτην. [7] ἡ δὲ τετάρτη ἐς τὴν τεσσαρεσκαιδεκάτην. [8] ἡ δὲ πέμπτη ἐς τὴν ἑπτακαιδεκάτην. [9] ἡ δὲ ἕκτη ἐς τὴν εἰκοστήν. [10] αὗται μὲν οὖν ἐκ τῶν ὀξυτάτων νοσημάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσιν ἐκ προσθέσιος τελευτῶσιν. [11] οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τουτέων ἀριθμεῖσθαι ἀτρεκέως. [12] οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμεῖσθαι. [13] μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ [καὶ] κατὰ τὴν αὐτέην πρόσθεσιν ἡ [μὲν] πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων. [14] ἡ δὲ δευτέρη τεσσαρακόντων ἡμερέων. [15] ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων. [16] τουτέων δ' ἐν ἀρχῇσίν ἐστι χαλεπώτατον προγινώσκειν τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι. [17] ὁμοιόταται γὰρ αἱ ἀρχαί εἰσιν αὐτέων. [18] ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμεῖσθαι, καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι, καὶ οὐ λήσει, ὅπῃ τρέψεται τὸ νόσημα. [19] γίνεται δὲ καὶ τῶν τεταρταίων κατάστασις ἐκ τοῦ τοιούτου κόσμου.

XXI. Τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι εὐπετέστερα γινώσκεσθαι. [2] μέγισται γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτέοισίν ἐστιν. [3] οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι, καὶ κοιμῶνται τὰς νύκτας, τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα. [4] οἱ δὲ ἀπολλύμενοι δύσπνοοι γίνονται, ἀλλοφάσσοντες, ἀγρυπνέοντες, τά τε ἄλλα σημεῖα κάκιστα ἔχοντες. [5] ὡς οὖν, τουτέων οὕτω γινομένων, ξυμβάλλεσθαι χρὴ κατά τε

rendissimis oborientes, quarto die aut prius occidunt. [4] Primus igitur ipsarum insultus sic desinit. [5] Secundus autem ad septimum producitur. [6] Tertius ad undecimum. [7] Quartus ad decimumquartum. [8] Quintus ad decimumseptimum. [9] Sextus ad vigesimum. [10] Hi igitur impetus ex acutissimis morbis, per quatuor ad viginti, ex additione desinunt. [11] Non potest autem quicquam horum integris diebus exacte numerari. [12] Neque enim annus, & menses, integris diebus numerari possunt. [13] Postea vero eodem modo, juxta eandem additionem, primus circuitus quatuor & triginta dierum est, [14] secundus quadraginta dierum, [15] tertius sexaginta dierum. [16] At in horum principiis difficillimum est cognoscere eos qui in plurimo tempore judicabuntur. [17] Simillima enim sunt ipsorum principia. [18] Verum à primo die animadversionem facere oportet, & prout singuli quaternarii adduntur considerare, & non latebit te quo vertetur morbus. [19] Fit autem & quartanarum febrium constitutio ex hujusmodi ordine.

XXI. Qui porro morbi in brevissimo tempore judicabuntur, faciliores cognitu sunt. [2] Maximæ enim differentiæ ab initio ipsis sunt. [3] Qui enim superstites ab ipsis evasuri sunt, facile spirantes, & doloris exortes sunt, & noctu dormiunt, aliaque signa securissima habent. [4] Qui vero morituri, ægre spirantes fiunt, delirantes, vigilantes, aliaque signa pessima habentes. [5] Ut igitur his ita contingentibus, conjectare oportet, & juxta hoc tempus, & juxta

τι τοῦ χρόνου, ἡμέρῃ τε τῇ προσθέσει ἑκάστην, ἐπὶ τὴν κρίσιν τῶν νοσημάτων. [6] κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται.

XXII. Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες ξὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδέων σημείων προσγένοιτο, ὀλέθριον κάρτα. [2] εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, ὅ,τε πυρετὸς ἔχοι, [3] ἀποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην τινὰ ἀπόστασιν ἐς τὰ κάτω χωρία. [4] ἐς τ' ἂν δὲ ἡ ὀδύνη ᾖ νεαρὴ, προσδέχεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐμπύησιν· [5] ἄλλως τε καὶ ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους [τε] καὶ τὸ μέτωπον ᾖ. [6] μᾶλλον δὲ χρὴ προσδέχεσθαι τοῦ μὲν αἵματος τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων, [7] τοῖσι δὲ γεραιτέροισι τὴν ἐμπύησιν. [8] ὠτὸς δὲ ὀξέη ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τε καὶ ἰσχυρῷ, δεινόν· [9] κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι. [10] ὡς οὖν, τουτέου τοῦ τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον τοῖσι σημείοισι πᾶσιν ἀπὸ [τῆς] πρώτης ἡμέρης. [11] ἀπόλλυνται δὲ, οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων, ἑβδομαῖοι, καὶ ἔτι θᾶσσον, ὑπὸ τουτέου τοῦ νοσήματος· [12] οἱ δὲ γέροντες πολλῷ βραδύτερον. [13] οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι ἧσσον αὐτέοισιν ἐπιγίνονται· [14] καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυΐσκεσθαι. [15] ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι ἀποκτείνουσι τοὺς πλείστους. [16] οἱ δὲ νεώτεροι, πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. [17] ἐπὴν δὲ ῥυῇ πῦον λευκὸν ἐκ τοῦ ὠτὸς, ἐλπὶς τῷ νεωτέρῳ περιγενέσθαι, [18] ἤν τι καὶ ἄλλο

τι

unamquamque additionem tendentibus ad judicationem morbis. [6] Juxta eandem rationem mulieribus quoque judicationes fiunt ex partu.

XXII. Capitis dolores fortes & continui cum febre, siquidem lethalium signorum quid accesserit, perniciosi valde sunt. [2] Si vero absque talibus signis, dolor viginti dies transmiserit, & febris tenuerit, [3] sanguinis à naribus eruptionem, aut abscessum quendam ad infernas partes expectare oportet. [4] Sed & quam diu dolor recens fuerit, similiter sanguinis è naribus eruptionem, aut puris eruptionem sperare convenit, [5] cum alias, tum si dolor circa tempora & frontem fuerit. [6] Verum sanguinis eruptio magis expectanda est junioribus triginta quinque annis, [7] senioribus vero puris eruptio. [8] Auris dolor acutus cum febre continua ac forti, horrendus est. [9] Periculum est enim delirаturum esse hominem, ac periturum. [10] Proinde quum hic modus minime tutus sit, cito mentem advertere oportet etiam aliis signis, à primo statim die. [11] Pereunt autem juniores homines septimo die, & adhuc citius, ex hoc morbo: [12] senes vero longe tardius. [13] Nam & febres & deliria minus ipsis accidunt, [14] & hac de causa aures antea suppurantur. [15] Verum his quidem ætatibus recidivæ morbi contingentes, plurimos occidunt. [16] At vero juniores, priusquam suppuretur auris, pereunt. [17] Nam si pus album effluxerit ex aure, spes est juvenem superstitem evasurum esse, [18] si sane & aliud

quod-

τι αὐτέῳ ἐπιγένηται χρηστὸν σημεῖον.

XXIII. Φάρυγξ δὲ ἑλκωθεῖσα ξὺν πυρετῷ, δεινόν. ² ἀλλ', ἤν τι καὶ ἄλλο σημεῖον γένηται τῶν προκεκριμένων πονηρῶν εἶναι, προλέγειν, ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου. ³ "Αἱ δὲ κυνάγχαι 'δεινόταται μέν εἰσι καὶ τάχιστα ἀναιρέουσιν, ὁκόσαι μήτε ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ποιέουσι, μήτε ἐν τῷ αὐχένι· ⁴ πλεῖστον δὲ πόνον παρέχουσι καὶ ὀρθόπνοιαν. ⁵ αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι. ⁶ ὅσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ, καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, ⁷ ὀλέθριαι μὲν κάρτα, "χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν, ἢν τὸ ἐρύθημα μέγα γένηται. ⁸ "ὁκόσοισι δὲ ξυνεξερευθείη ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται δὴ χρονιώτεραι ⁹ καὶ μάλιστα ἐξ αὐτέων τινὲς περιγίνονται, ἢν ὅ,τε αὐχὴν καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ, καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας εἴσω. ¹⁰ "ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν ἀφανίζηται τὸ ἐρύθημα, ¹¹ μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, ¹² μήτε πύον ἀποβήσσῃ ῥηϊδίως τε καὶ ἀπόνως, ¹³ θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος. ¹⁴ ἀσφαλέστερον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω 'τρέπεσθαι. ¹⁵ "ἢν δὲ ἐς τὸν πνεύμονα τράπηται, παράνοιάν τε ποιέει, καὶ ἔμπυοι ἐξ αὐτέων γίνονται ὡς τὰ πολλά.

XXIV. "Οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι, καὶ διασχάζεσθαι, καὶ ἀποκαίεσθαι, ἐς ὅ τ' ἂν ἐρυθροί τε ἔωσι καὶ μεγάλοι. ² καὶ γὰρ φλεγμοναὶ

quoddam bonum signum ipsi accedat.

XXIII. Fauces exulceratæ cum febre, horrendæ sunt. ² Verum si quod aliud item signum accedat, ex his quæ antea mala esse judicata sunt, in periculo hominem versari prædicendum est. ³ 'Anginæ horrendissimæ sunt, & citissime occidunt, quæ neque in faucibus quicquam conspicuum faciunt, neque in cervice: ⁴ verum plurimum dolorem exhibent, & erecta cervice spirationem inducunt. ⁵ Hæ enim eodem die suffocant, secundo item ac tertio & quarto. ⁶ Quæ vero alioqui similiter dolorem exhibent, attolluntur autem, & in faucibus rubores faciunt, ⁷ perniciosæ quidem valde sunt, verum prioribus 'magis diuturnæ, si tumor fuerit magnus. ⁸ Quibuscunque vero fauces & cervix simul rubuerint, hæ anginæ diuturniores sunt, ⁹ & ex ipsis maxime evadunt, si & cervix, & pectus ruborem habuerit, & erysipelas ignis sacri non intro recurrerit. ¹⁰ Si vero neque in diebus judicatoriis dissipetur erysipelas, ¹¹ neque tuberculum ad externam partem convertatur, ¹² neque pus tussiendo rejiciat, facileque ac fine dolore degere videatur, ¹³ 'mortem significat, aut ruboris recidivam. ¹⁴ Securius est autem tumorem & ruborem quam maxime foras verti. ¹⁵ Si vero ad pulmonem vertatur, & delirium inducit, & quidam ex ipsis suppurati plerunque fiunt.

XXIV. Gurguliones periculosi sunt ut & resecentur, & scarificentur, quam diu rubicundi fuerint & magni. ² Nam inflammatio-

μοναὶ ἐπιγίνονται τουτέοισι καὶ αἱμοῤῥαγίαι. ³ ἀλλὰ χρὴ πειρᾶσθαι τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι περιῆχθαι καὶ ἰσχναίνειν ἐν τουτέῳ τῷ χρόνῳ. ⁴ ὁπόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ σταφυλὴν καλέουσι, ⁵ καὶ γένηται τὸ μὲν ἄκρον γαργαρεῶνος μεῖζόν τε καὶ περιφερὲς, τὸ δὲ ἀνωτέρω λεπτότερον, ἐν τουτέῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. ⁶ ἄμεινον δὲ καὶ τὴν κοιλίην ὑποκενώσαντα [τῇ] χειρουργίῃ χρέεσθαι, ⁷ ἢν ὅ,τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος. ⁸ ὁκόσοισι δ' αὖ οἱ πυρετοὶ παύονται, μήτε σημείων γενομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὑποστροφὴν προσδέχεσθαι ἐλπὶς τουτέοισιν. ⁹ ὅστις δ' αὖ τῶν πυρετῶν μηκύνῃ, περιεστηκότως διακειμένου τοῦ ἀνθρώπου, ¹⁰ ὀδύνης μὴ ἐχούσης, [μήτε] διὰ φλεγμονήν τινα, μήτε διὰ πρόφασιν ἄλλην μηδεμίην ἐμφανέα, ¹¹ τουτέῳ προσδέχεσθαι ἀπόστασιν μετ' οἰδήματός τε καὶ ὀδύνης ἔς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον τῶν κάτω. ¹² μᾶλλον δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες τοῖσι νεωτέροισι τριήκοντα ἐτέων. ¹³ ὑποσκέπτεσθαι δὲ χρὴ εὐθέως τὰ περὶ τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλῃ. ¹⁴ τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίνεται, πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ. ¹⁵ χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι ξυνεχέος ἐόντος τοῦ πυρετοῦ. ¹⁶ ἐς δὲ τεταρταῖον καθίστασθαι, ἢν διαλείπῃ τε καὶ καταλαμβάνῃ πεπλανημένον τρόπον, ¹⁷ καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ. ¹⁸ ὥσπερ δὲ τοῖσι νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίνονται, ¹⁹ οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τεσσαράκοντα

mationes ad hos succedunt, & sanguinis eruptiones. ³ Quare tales aliis machinamentis attenuare conari oportet hoc tempore. ⁴ Quum vero totum jam fuerit secretum, quod sane uvam appellant, ⁵ & fiat extrema gurgulionis pars major & rotunda, superior autem tenuior, in hoc tempore tutum est rem aggredi. ⁶ Præstat tamen & alvo subducta, chirurgia hac uti, ⁷ si & tempus permittat, & homo non strangulетur. ⁸ Quibus febres cessant, neque signis solutoriis apparentibus, neque in diebus judicatoriis, his reversuras esse expectandum est. ⁹ Quæcunque febris longiorem moram traxerit, homine alioqui ad salutem disposito, ¹⁰ ita ut neque dolor teneat ob inflammationem, aut ob aliquam aliam manifestam causam: ¹¹ huic abscessum expectare oportet cum tumore ac dolore ad aliquem articulum, vel maxime infernum. ¹² Fiunt autem hujusmodi abscessus magis, & in breviori tempore, his qui juniores sunt triginta annis. ¹³ Expectare vero statim oportet abscessum, si febris detinens viginti dies transmiserit. ¹⁴ Senioribus autem minus fiunt, diuturniore etiam existente febre. ¹⁵ At vero hujusmodi abscessum expectare oportet febre continua existente. ¹⁶ Verum ad quartanam deducetur, si intermiserit, & erroneo modo apprehenderit, ¹⁷ & si hæc faciens ad autumnum appropinquarit. ¹⁸ Quemadmodum autem junioribus triginta annis abscessus fiunt. ¹⁹ Ita quartanæ magis his qui triginta sunt annorum,

κρίσιας ἐτέων, καὶ γεραιτέροισι. [20] τὰς δὲ ἀποστάσιας εἰδέναι χρὴ τοῦ χειμῶνος μᾶλλον γινομένας, χρονιώτερόν τε παυομένας, ἧσσον δὲ παλινδρομεούσας.

XXV. Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδεϊ φῇ τὴν κεφαλὴν ἀλγέειν, [2] ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, [3] ἢν καὶ καρδιωγμὸς τουτέῳ προσγένηται, [4] χολώδης ἔμετος παρέσται. [5] ἢν δὲ καὶ ῥῖγος προσγένηται, καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ ἔχῃ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται. [6] ἢν δέ τι πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμέεται. [7] τουτέων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίνεσθαι, [71] τεταρταῖοι πιέζονται μάλιστα καὶ πεμπταῖοι, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. [8] οἱ μέντοι πλέονες αὐτῶν ἄρχονται μὲν πονέεσθαι τριταῖοι, πιέζονται δὲ μάλιστα πεμπταῖοι, ἀπαλλάσσονται δὲ ἐναταῖοι ἢ ἑνδεκαταῖοι. [9] οἳ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τἄλλα κατὰ λόγον αὐτέοισι τῶν πρόσθεν γίνηται, [72] ἐς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος. [10] γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶν, ἐν τοῖσι τριταίοισι μάλιστα. [11] τοῖσι δὲ νεωτέροισι γίνεται μὲν καὶ ἐν τούτοισι, μάλιστα δὲ ἐν τοῖσι ξυνεχεστέροισι πυρετοῖσι, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισιν. [12] ὅσοι δ' ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν, [13] ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνεται, [73] ἢ μαρμαρυγαὶ προφαίνονται. [14] ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ ἢ ἐπ' ἀριστερὰ ξυντείνεταί τι, μήτε ξὺν ὀδύνῃ, μήτε ξὺν φλεγμονῇ, [15] αἷμα διὰ τῶν ῥινῶν τουτέοισι ῥυῆναι προσδέχεσθαι ἀντὶ τοῦ ἐμέτου. [16] μᾶλ-

norum, & senioribus. [20] Cæterum hæc nosse expedit, abscessus magis hyeme fieri, tardiusque cessare, & minus recurrere.

XXV. Quicunque vero in febre non lethali, dixerit sibi caput dolere, [2] aut etiam præ oculis obscurum quiddam apparere, [3] si & osculi ventris morsus huic accesserit, [4] ei biliosus vomitus aderit. [5] Si vero etiam rigor accesserit, & partes infra præcordium frigidas habuerit, citiusadhuc vomitus aderit. [6] At si quid biberit aut ederit sub hoc tempus, valde cito vomet. [7] Porro quibus horum dolor fieri inceperit primo die, hi quarto magis quam quinto premuntur: septimo vero liberantur. [8] Plerique tamen ipsorum tertio die dolere incipiunt, vexantur autem maxime quinto, liberantur nono, aut undecimo. [9] Qui vero inceperint quinto die dolere, aliaque juxta rationem priorum ipsis fiant, his ad decimumquartum morbus judicatur. [10] Fiunt autem hæc & viris, & mulieribus, maxime in tertianis. [11] Junioribus vero fiunt quidem & in his, verum magis in continuis febribus, & in sinceris tertianis. [12] Quibuscunque vero in hujusmodi febre caput dolentibus, [13] pro eo quod obscurum quiddam præ oculis appareat, visus hebetudo contingit, aut splendores ob oculos observantur: [14] & pro osculi ventris morsu, in præcordiorum dextra aut sinistra parte aliquid tenditur, neque cum dolore, neque cum inflammatione: [15] sanguinem de naribus his, pro vomitu fluxurum esse expectandum est.

[16] Ma-

[16] μᾶλλον δὲ καὶ ἐνταῦθα τοῖσι νέοισι τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι, [17] τοῖσι δὲ τριηκοντούτεσι καὶ γεραιτέροισιν ἧσσον, [18] ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθαι.

XXVI. [1] Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται, [2] ἢν ὁ πυρετὸς ὀξὺς ᾖ, [3] καὶ ἡ γαστὴρ μὴ διαχωρέῃ, [4] καὶ ἀγρυπνέωσί τε [5] καὶ ἐκπλαγέωσι, [6] καὶ κλαυθμυρίζωσι, [7] καὶ τὸ χρῶμα μεταβάλλωσι, καὶ χλωρὸν ἢ πελιὸν ἢ ἐρυθρὸν ἴσχωσι. [8] γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι τοῖσι νεωτάτοισιν, ἐς τὰ ἑπτὰ ἔτεα· [9] τὰ δὲ πρεσβύτερα τῶν παιδίων καὶ οἱ ἄνδρες οὐκέτι ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, [10] ἢν μή τι τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τε καὶ κακίστων, οἷάπερ ἐπὶ τῇσι φρενίτισι γίνεται. [11] τοὺς δ' ἀπολουμένους τε καὶ περιεσομένους τῶν παιδίων τε καὶ τῶν ἄλλων τεκμαίρεσθαι τοῖς ξύμπασι σημείοισιν, ὡς ἐφ' ἑκάστοισιν ἕκαστα διαγέγραπται. [12] ταῦτα δὲ λέγω περί τε τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τουτέων γίνεται. [13] Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τοὺς περιεσομένους καὶ τοὺς ἀποθανουμένους, [14] ὁκόσοισί τε ἂν μέλλῃ πλέονας ἡμέρας παραμένειν τὸ νόσημα, καὶ ὁκόσοισιν ἂν ἐλάσσους, [15] τὰ σημεῖα ἐκμανθάνοντα πάντα δύνασθαι κρίνειν, [16] λογιζόμενον τὰς δυνάμιας αὐτέων πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται, [17] περί τε τῶν ἄλλων, καὶ τῶν οὔρων, καὶ τῶν πτυέλων, ὅταν ὁμοῦ πῦόν τε ἀναβήσσῃ καὶ χολήν.

XXVII. [1] Χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν νοσημάτων [τῶν] αἰεὶ ἐπιδημεόντων ταχέως ἐνθυμεῖσθαι, [2] τήν τε τῆς ὥρης καταστά-

[16] Magis tamen & hic in juvenibus sanguinis eruptionem expectare oportet: [17] his autem qui triginta sunt annorum, & seniores adhuc, minus: [18] verum vomitus in his expectari debent.

XXVI. At vero pueris convulsiones fiunt, [2] si febris fuerit acuta, [3] & venter non egesserit, [4] & vigilarint, [5] & terreantur, [6] & ejularint, [7] & colorem mutarint, & viridem sive pallidum, aut lividum, aut rubrum contraxerint. [8] Fiunt autem hæc promptissime quidem pueris nupertime editis, usque ad septimum annum. [9] Seniores autem pueri, & viri, non amplius in febribus corripiuntur convulsionibus, [10] si non quid ex signis fortissimis ac pessimis accesserit, qualia sane in phrenitide fieri solent. [11] Perituros porro & superstites futuros, tum pueros, tum alios, ex omnibus signis conjectare oportet, prout singula de singulis perscripta sunt. [12] Atque hæc & de acutis morbis, & de his qui ex ipsis fiunt, dico. [13] Qui vero recte prænoscere volet & superstites futuros, & morituros: [14] & quibus per plures dies, & quibus ad pauciores morbus duraturus est: [15] eum signa omnia ediscere, & judicare posse convenit, [16] ita ut vires ipsorum inter se conferendo expendat, quemadmodum perscriptum est, [17] & de aliis, & de urinis, & de sputis, ubi simul & pus & bilem ægrotus tussiendo rejecerit.

XXVII. Quin & impetus morborum semper populariter grassantium cito [1] animadvertere oportet, [2] & temporis constitutionem

κρίσιεσιν. 3 δεῖ μέντοι χρὴ εἰδέναι σαφέως τὰ τῶν τεκμηρίων καὶ τῶν ἄλλων σημείων, 4 καὶ μὴ λανθάνειν, ὅτι ἐν παντὶ ἔτεϊ καὶ πάσῃ ὥρῃ τά τε κακὰ κακόν σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν. 5 ἐπεὶ δὲ καὶ ἐν Λιβύῃ, καὶ ἐν Δήλῳ, καὶ ἐν Σκυθίῃ φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα. 6 ἐξ ὧν χρὴ εἰδέναι, ὅτι ἔν τε τοῖσιν αὐτοῖσι χωρίοισιν οὐδὲν δεινὸν τὰ πολλαπλάσια αὐτῶν ἐπιτυγχάνειν, ἢν ἐκμαθὼν αὐτὰ κρίνειν τε καὶ λογίζεσθαι ὀρθῶς ἐπίστηται. 7 ποθέειν δὲ χρὴ οὐδενὸς νοσήματος ὄνομα, ὅ, τι μὴ τυγχάνει ἐνθάδε γεγραμμένον. 8 πάντα γὰρ, ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ τοῖσιν αὐτέοισι σημείοισιν.

tionem non ignorare. 3 Probe tamen id nosse expedit de conjecturis certis, & aliis signis, 4 & non ignorare, quod in omni anno, & omni tempore, mala malum, bona bonum significant. 5 Nam & in Libya, & Delo, ac Scythia, præscripta signa vera comperiuntur. 6 Proinde sciendum est, minime difficile esse, in iisdem regionibus posse aliquem pleraque ex ipsis assequi, si memoria tenens ipsa, judicare ac recte expendere sciat. 7 Cæterum nullius morbi nomen desiderare oportet, quod hic non est adscriptum. 8 Omnes enim qui in prædictis temporibus judicantur, ex iisdem signis cognosces.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΤΙΚΟΝ τὸ πρῶτον.

HIPPOCRATIS PRÆDICTORVM liber primus.

Basil. græc. pag. 409 — Foesius sect. 11. 44. 65. — Basil. lat. pag. 343

Οἱ κωματώδεες ἐν ἀρχῇσι γενόμενοι μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί; 2 μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων, ὀλέθριον· ἄλλως τε καὶ ἐν τεταρταίοισιν ἀρχομένοισιν. 3 Κοιλίης περίπλυσις ἐξέρυθρος, κακὸν μὲν ἐν πᾶσι νοσήμασιν· οὐχ ἥκιστα δὲ ἐπὶ τοῖς προειρημένοις. 4 Αἱ διαρσέες γλῶσσαι καὶ καταξηροὶ φρενιτικαί. 5 Τὰ ἐπὶ ταραχώδεσιν ἀγρύπνοισιν οὖρα ἄχροα, μέλασιν ἐναιωρεύμενα, ἐφιδρῶντι φρενιτικά. 6 ἐνύ-

Soporosi in principiis evadentes, cum capitis, lumborum, præcordii, colli dolore, vigilantes, num phrenitici sunt? 2 Nasus in his destillans, perniciosus, tum alias, tum quarto ab initio die. 3 Alvi profluvium valde rubicundum, malum quidem est in omnibus morbis, non minime vero in prædictis. 4 Linguæ asperæ & resiccatæ, phreniticæ. 5 In turbatis vigilantibus, urinæ decolores, nigræ, innatantes, in sudoribus, phreniticæ. 6 In-

6 "Ἐνύπνια τὰ ἐν φρενιτικοῖσιν ἐναργῆ, [ἀγαθόν.] 7 "Ἀνάχρεμψις πυκινὴ, ἢν δή τι καὶ ἄλλο σημεῖον προσῇ, φρενιτικόν. 8 "Τὰ ἐγκαταλιμπανόμενα καύματα ἐν ὑποχονδρίῳ, πυρετοῦ περιψυχθέντος, κακόν· ἄλλως τε καὶ ἢν ἐφιδρῶσιν. 9 "Αἱ προεκπεπυθηνωμένων παραφροσύναι, κάκισται, οἷον καὶ Θρασύνοντι. 10 "Τὰ φρενιτικὰ λιπαρῶς τρομώδεα τελευτᾷ.

II. "Τὰ ἐν κεφαλαλγίῃσιν ἰώδεα ἐμέσματα μετὰ κωφώσιος ἀγρυπνώδεα, ταχὺ ἐκμαίνει. 2 "Τὰ ἐν ὀξέσι κατὰ φάρυγγα ὀδυνώδεα, ἰσχνὰ, σμικρὰ, πνιγώδεα, ὅτε χάνοι, μὴ ῥηϊδίως συνάγειν τὸ καὶ κλεῖσαι τὸ στόμα, παρακρουστικά. 3 ἐκ τούτων φρενιτικοὶ, κάρτα ὀλέθριον. 4 "Ἐν τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇ τὸ ἐπιεικὲς, πυκνὰ δὲ μεταπίπτειν, κακόν. 5 τοῦτον δὲ καὶ πτυελισμὸς, κακόν. 6 "Ἐν φρενιτικοῖσι λευκὴ διαχώρησις, κακόν· ὡς καὶ τῷ Ἀρχεκράτει. 7 ἦ ἄρά γε τούτοισι καὶ νωθρότης ἐπιγένεται; 8 ῥῖγος ἐπὶ τουτέοισι κάκιστον. 9 "Τοῖσιν ἐξισταμένοισι μελαγχολικῶς, οἷσι τρόμοι ἐπιγένονται, κακοήθες. 10 "Οἱ ἐκστάντες ὀξέως, ἐπιπυρέξαντες σὺν ἱδρῶτι, φρενιτικοὶ γίνονται. 11 "Οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καθαπτόμενοι, τρομώδεες γίνονται. 12 "Τὰ ἐξ ἐμέτου ἀσώδεα, κλαγγώδης φωνὴ, ὄμματα ἐπίχνουν ἴσχοντα, μανικά· 13 οἷον καὶ τῇ Ἑρμοζύγου ὀξέως ἄφωνος ἐκμανεῖσα ἀπέθανεν.

III. "Ἐν πυρετῷ καυσώδει ἤχων προσγινομένων μετὰ ἀμβλυωγμοῦ, καὶ κατὰ τὰς ῥῖνας προσελθόντος

6 Insomnia etiam in phreniticis manifesta sunt. 7 Screatio frequens, si sane & aliud quoddam signum affuerit, phrenitica sunt. 8 Qui relinquuntur in præcordio ardores, febre perfrigerata, mali sunt, tum alias, tum in sudoribus. 9 Prædebilitatorum desipientiæ pessimæ, velut etiam Thrasynonti. 10 Phreniticæ vehementer affectiones, tremulæ desinunt.

II. Vomitus in capitis doloribus æruginosi, cum surditate & vigiliis, cito insaniam affore denunciant. 2 Loci circa fauces in acutis morbis dolorosi, graciles, parvi, suffocatorii, quando hiarit æger ut os claudere & aperire non facile possit, mentis emotionem portendunt. 3 Ex talibus phrenitici fiunt, & perniciose affecti. 4 In phreniticis in principio mansuetudo, Verum frequenter transmutari; malum id est, 5 & sputatio mala est. 6 In phreniticis alba alvi egestio, malum: quemadmodum & Archecrati. 7 Num & in his torpor fit? 8 Rigor in his pessimus. 9 Quibus melancholico modo mente motis, tremores accedunt, malignum hoc est. 10 Mente moti acute, ubi insuper febrierint, cum sudore phrenitici fiunt. 11 Phrenitici paucibibi, strepitum valde percipientes, tremuli. 12 Ex vomitu nauseabundo oborta clangorosa vox, oculi pulvillum incumbentem habentes, insaniam portendunt: 13 quemadmodum etiam Hermozygæ uxor, insania acute correpta, voce destituta mortua est.

III. In febre ardenti sonitibus aurium accedentibus, cum visus hebetudine, & gravitate in

φθόγγος βαρὺς, ἐξίστανται μελαγχολικῶς. ² Αἱ παρακρούσιες σὺν φωνῇ κλαγγώδει, γλώσσης σπασμοὶ τρομώδεες, καὶ αὗται τρομώδεες γινόμεναι, ἐξίστανται. ³ σκληρυσμὸς τοῖσι τοιούτοισιν ὀλέθριον. ⁴ Αἱ τρομώδεες γλῶσσαι σημεῖον οὐχ ἱδρυμένης γνώμης. ⁵ Ἐπὶ τοῖσι χολώδεσι διαχωρήμασι τὸ ἀφρῶδες ἐπανθισμα, κακόν· ⁶ ἄλλως τε καὶ ὀσφὺν προηλγηκότι,

25 καὶ παρενεχθέντι. ⁷ Τὰ ἀραιὰ μετὰ πλευρὸν ἐν τοιούτοισιν ἀλγήματα, παραφροσύνην σημαίνει. ⁸ Αἱ μετὰ λυγμοῦ ἀφωνίαι, κάκιστον. ⁹ Αἱ μετ᾽ ἐκλύσιος ἀφωνίαι, κάκιστον. ¹⁰ Ἐν ἀφωνίῃ πνεῦμα, οἷον τοῖσι πνιγομένοισι, ἀπέχεσθαι, πονηρόν. ¹¹ ἦ ἄρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον; ¹² Αἱ ἐπ᾽ ὀλίγον θρασεῖαι παρακρούσιες θηριώδεές εἰσιν.

IV. Αἱ μετὰ καταψύξιος οὐκ ἀπυρέτῳ ἐφιδροῦντι τὰ ἄνω δυσφορίαι, φρενιτικαὶ, ὡς καὶ Ἀρι-

30 σταγόρῃ· καὶ αὗται καὶ ὀλέθριαι. ² Τὰ ἐν φρενίτισι πυκνὰ μεταπίπτοντα, σπασμώδεα. ³ Τὰ οὐρήματα μὴ ὑπομνησθέντων, ὀλέθρια. ⁴ ἦ ἄρά γε τοῖσι τοιούτοισιν οὐρέεται, οἷον ἐς τὴν ὑπόστασιν ἀνακεχρεμμένης; ⁵ Οἱ παλμώδεες δι᾽ ὅλου, ἦ ἄρά γε ἄφωνοι τελευτῶσιν; ⁶ Τὰ ἐν φρενιτικοῖσι μετὰ καταψύξιος πτυελίζοντα, μέλανα ἀνεμέεται. ⁷ Κώφωσις καὶ οὖρα ἀκατάστατα, ἐξέρυθρα, ἐναιωρεύμενα, παρακρουστικόν. ⁸ τοῖσι τοιούτοισιν ἰκτερωθῆναι, κακόν. ⁹ κακὸν δὲ καὶ ἐπὶ ἰκτέρῳ κώφω-

35 σις. ¹⁰ τούτους ἀφώνους μὲν, αἰσθανομένους δὲ, συμβαίνει γενέσθαι. ¹¹ τοῖσι δὲ καὶ κοιλίαι καθαρ-

in nauibus accedente, melancholico modo mente mouentur. ² Mentis perculsiones cum voce clangorosa, linguæ conuulsiones tremulæ, & voces tremulæ euadentes, mentem alienant: ³ duricies in his perniciosa est. ⁴ Linguæ tremulæ signum sunt mentis non firmæ. ⁵ In biliosis meracis aluiegestionibus, spumosa florulenta, mala, ⁶ tum alias, tum si cui lumbi antea doluerint, & mente motus fuerit. ⁷ Rari circa latus in his dolores, desipientiam significant. ⁸ Vocis interceptiones cum singultu, pessimæ. ⁹ Vocis interceptiones cum exolutione, pessimæ. ¹⁰ In vocis interceptione, spiritus veluti his qui strangulantur præmanibus expositus, malus est. ¹¹ Num & talis mentem emouet? ¹² Modice feroces mentis emotiones, ferinæ sunt.

IV. Moleste ferre morbum cum perfrigeratione, si non sine febre exsudent partes supernæ, phrenitim portendit: quemadmodum etiam Aristagoræ. Sed & perniciosum hoc est. ² Frequentes in phreniticis permutationes, conuulsoriæ. ³ Urinæ quæ minguntur à non recordantibus, nec commonefactis, perniciosæ. ⁴ Num his minguntur velut si subsidentiam conturbas-40 ses? ⁵ Palpitantes per totum, num voce destituti moriuntur? ⁶ Sputationes in phreniticis cum perfrigeratione, nigræ reuomuntur. ⁷ Surditas, & urinæ non consistentes, valde rubicundæ, innatantes, mentis emotionem portendunt. ⁸ His morbo regio corripi malum est. ⁹ Mala est & ex morbo regio fatuitas. ¹⁰ Hos voce quidem destitui, verum sentientes esse contingit. ¹¹ Arbitror autem & al-45

καταῤῥήγνυνται, οἷον ἐγένετο Ἑρμίππῳ, καὶ ἀπέθανεν. [12] Κώφωσις ἐν ὀξέσι καὶ ταραχώδεσι παρακολουθοῦσα, κακόν. [13] Αἱ τρομώδεες, ἀσαφέες, ψηλαφώδεες παρακρούσιες πάνυ φρενιτικαί· ὡς καὶ τῷ Διδυμάρχῳ ἐν Κῷ. [14] Αἱ ἐκ ῥίγεος νωθρότητες, οὐ πάνυ παρ' ἑωυτοῖσιν.

V. Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες, ἔχουσι μέν τι καὶ γνώμης παράφορον. [2] περὶ κρίσιν δὲ τουτέοισι πνεῦμα ἁλὲς ξὺν τόνῳ διέρχεται. [3] καὶ οἱ κατὰ γαστροκνημίην πόνοι ἐν τούτοισι, γνώμης παράφοροι. [4] Ἢν ἐναιωρηθῇ τι τῷ οὔρῳ, ἐξ ὧν κατὰ τὸν μηρὸν ἀλγήματος ἀφανισθέντος, παρακρουστικόν, [5] καὶ, οἷα περὶ ἤχους, τοιαῦτα. [6] Ἐπὶ κοιλίῃ ὑγρῇ, κοπώδεϊ, κεφαλαλγικῷ, διψώδεϊ, ἀγρύπνῳ, ἀσαφεῖ, ἀδυνάτῳ, εἴσι τὰ τοιαῦτα, ἐλπὶς ἐκστῆναι. [7] Οἱ ἐφιδροῦντες, μάλιστα κεφαλὴν, ἐν ὀξέσι καὶ ὑποδύσφοροι, κακόν. [8] ἄλλως τε καὶ ἐπ' οὔροισι μέλασι. [9] καὶ τὸ θολερὸν ἐπὶ τουτέοισι πνεῦμα, κακόν. [10] Αἱ παρὰ λόγον κενεαγγίαι ἀδυναμίαι, μὴ ἐούσης κενεαγγείης, κακόν. [11] Κοιλίης ἀπολελαμμένης, σμικρὰ δὲ μέλανα σπυραθώδεα πρὸς ἀνάγκην χαλώσης, μυκτὴρ τ' ἐπὶ τουτέοισι ῥηγνύμενος, κακόν.

VI. Οἷσιν ὀσφύος ἄλγημα ἐπὶ πολὺ μετὰ καύματος ἀσώδεος, ἐφιδροῦντες οὗτοι, κακόν. [2] ἦ ρά γε τουτέοισι τρομώδεα γίνεται; [3] καὶ φωνὴ ἐν ῥίγει; [4] Ἄκρεα ἐπ' ἀμφότερα ταχὺ μετα-

vos his perrumpere, velut contigit Hermippo, & mortuus est. [12] Surditas in morbis acutis & turbulentis consequens, mala. [13] Mentis emotiones tremulæ, obscuræ, palpatoriæ, valde phreniticæ sunt. Velut & Didymacho in Co. [14] Torpores ex rigore, non valde apud seipsos sunt.

V. Dolores circum umbilicum palpitantes, habent quidem aliquid quod mentem emovet. [2] Verum circa judicationem his spiritus acervatus cum prompta tensione penetrat. [3] Et dolores circa suram, in his mentis emotionem faciunt. [4] Si innatarit quid in urina, dolore circa femur dissipato, mentis emotionem portendit: [5] & qualia circa aurium sonitus contingunt, talia existunt. [6] In alvo liquida, lassato, caput dolenti, siticuloso, vigilanti, obscure loquenti, impotenti, quibus talia sunt, his timor est ut mente moveantur. [7] Exudantes & maxime circa caput, in morbis acutis submoleste ferentes, malum, [8] tum alias, tum in urinis nigris: [9] & turbidus spiritus in his malus. [10] Impotentiæ præter vacuatorum vasorum rationem contingentes, non existente vasorum vacuatione, malum. [11] Alvi interceptæ, sed parva, nigra, velut caprarum stercora ad necessitatem coacte emittentes, nasus in his erumpens, malum.

VI. Quibus lumborum dolor diutinus, cum ardore fastidioso ac nauseabundo, hi si exudent, malum est. [2] Num his tremores fiunt? [3] Sed & vox velut in rigore conspicua? [4] Extremitates si in utranque partem cito transmutentur,

μετεμπίπτοντα, κακόν. [5] καὶ δίψα 410 τοιαύτη, πονηρόν. [6] "Ἐκ κώσμίου θρασεῖα ἀπόκρισις, κακόν. [7] "Φωνὴ ὀξεῖα, ὑποχόνδρια τετάσιν εἴσω εἰρύαται. [8] "Ὄμμα ἀμαυρούμενον φλαῦρον· [9] καὶ τὸ πεπηγὸς ἀχλυῶδες, κακόν. [10] "Ὀξυφωνίη κλαυθμώδης, πονηρόν. [11] "Ὀδόντων πρίσις ὀλέθριον, οἷσι μὴ συνήθες καὶ ὑγιαίνουσιν. [12] πνιγμὸς ἐν τούτοισι πάνυ κακόν. [13] "Προσώπου δύσχροια, καὶ τὸ λίην σκυθρωπὸν, πονηρόν. [14] τὰ τελευτῶντα διαχωρήματα ἐς ἀφρώδεα ἄκρητα, παροξυντικά. [15] "Αἱ ἐν καταψύξει ἐν ὀξέσιν οὔρων ἀπολήψιες, κάκισται. [16] "Τὰ ὀλέθρια ἀσήμως ῥαστωνήσαντα, θανάτων σημαντικά.

VII. "Τὰ ἐν ὀξέσι χολώδεσιν ἔκλευκα, ἀφρώδεα, περίχλωρα διαχωρήματα, κακόν. [2] κακὸν δὲ καὶ οὖρα τοιαῦτα. [3] ἦ ἐν τούτοισιν ἧπαρ ἐπώδυνον; [4] "Αἱ ἐν πυρετοῖσιν ἀφωνίαι σπασμώδεα τρόπον, ἐκστᾶσαι σιγῇ, ὀλέθριον. [5] "Αἱ ἐκ πόνου ἀφωνίαι, θανατώδεες. 10 [6] "οἱ ἐξ ὑποχονδρίων ἀλγήματος πυρετοὶ, κακοήθεες. [7] "Δίψα παραλόγως λυθεῖσα ἐν ὀξέσι, κακόν. [8] "Ἱδρὼς πολὺς ἅμα πυρετοῖσιν ὀξέσι γινόμενος, φαῦλον. [9] "Καὶ οὖρα δὲ πίπονα [παραλόγως] πονηρόν. [10] καὶ τὰ ἐρυθρὰ ἐκ τούτων ἐπανθίσματα κατεχόμενα, καὶ τὰ ἰώδεα, πονηρά. [11] καὶ τὸ μικρὰ ἐπιφαίνεσθαι. [12] στάξιες "καὶ ἔμετοι μετὰ ποικιλίης, κακόν· [13] ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἐόντα. [14] "Ὁκόσα ἐν κρισίμω [σιῳ] ἀλυσμοῖς ἐν ἱδρῶτι περιψύχεται, κακόν. [15] καὶ τὰ ἐπι-

mutentur, malum est. [5] Et sitis hujusmodi, mala est. [6] Ex moderato ferox responsio, malum. 65 [7] Vox acuta, his præcordia intro trahuntur. [8] Oculus hebes, malus: [9] & fixus ac caliginosus, malus. [10] Vox acuta clangorosa, mala. [11] Dentium stridor perniciosus est, quibus non & sanis familiaris est. [12] Suffocatio in his valde mala. [13] Faciei bonus color, & vehemens torvitas, malum. [14] Egestiones alvi desinentes in spumosas meracas, exacerbatoriæ sunt. [15] Urinarum in morbis acutis ex perfrigera- 70 tione interceptiones, pessimæ. [16] Perniciosa si citra signa, levia facta fuerint, mortem significant.

VII. In morbis acutis biliosis valde albæ, spumosæ, circumbiliosæ egestiones, malæ. [2] Malæ item & urinæ ejusmodi. [3] Num his hepar dolorosum est? [4] Vocis interceptiones in febribus convulsorio modo contingentes, si ad mentis emotionem cum silentio deveniunt, perniciosum. [5] Vocis ex dolore in- 75 terceptiones, dolorosam mortem inducunt. [6] Febres ex præcordiorum doloribus malignæ. [7] Sitis præter rationem soluta in acutis morbis, mala est. [8] Sudor multus cum febribus acutis oboriens, malus est. [9] Et urinæ dolorosæ, malæ sunt. [10] Et rubicundæ ex his florulentiæ detentæ, itemque æruginosæ, malæ sunt: [11] & parvas apparere veluti stillas. [12] Et vomitus cum varietate mali sunt, [13] tum alias, tum si propius inter se prodeant. [14] Quæcunque in diebus judicatoriis, cum anxietudine, absque sudore perfrigerantur, malum est. [15] Et quæ

ex

ἐπιῤῥιγώσαντα ἐκ τουτέων, κακά.

VIII. Ἐμέσματα ἄκρητα, ἀσώδεα, πονηρά. [2] Τὸ κωματῶδες ἦρά γε πανταχοῦ κακόν; [3] Μετὰ ῥίγεος ἄγνοια, κακόν. [4] κακὸν δὲ καὶ λήθη. [5] Αἱ ἐκ ῥίγεος καταψύξιες, μὴ ἀναθερμαινόμεναι, κακαί. [6] Οἱ ἐκ καταψύξιος ἱδρῶντες μὴ ἀναθερμαινόμενοι, κακόν. [7] ἐπὶ τουτέοισιν ἐν πλευρῷ καῦμα ὀδυνῶδες, καὶ τὸ ἐπιῤῥιγῶσαι, κακόν. [8] Τὰ καυματώδεα ῥίγεα ὑπολέθρια, [9] καὶ τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος ἐν τούτοις κακόν. [10] ἐπὶ τουτέοισιν ἡ ψύξις τῶν ὄπισθεν σπασμὸν ἐπικαλεῖται. [11] Οἱ ἐφιδρῶντες ἄγρυπνοι, ἀναθερμαινόμενοι, κακόν. [12] Ἐξ ὀσφύος ἀναδρομῆς ὀφθαλμοῦ ἴλλωσις, κακόν. [13] Ὀδύνη ἐς στῆθος ἱδρυνθεῖσα σὺν νωθρότητι, κακόν. [14] ἐπιπυρετήνωντες οὗτοι καυστικοὶ, ὀξέως ἀποθνήσκουσι.

IX. Οἱ ἐπανεμέοντες μέλανα, ἀπόσιτοι, παράφοροι, κατ' ἥβην μικρὰ ὀδυνώδεες, ὄμμα θρασὺ, κεκλεισμένον, τούτους μὴ φαρμακεύειν· ὀλέθριον γάρ. [2] μηδὲ τοὺς ἐποιδέοντας, σκοτώδεας, ἐν τῷ πλανᾶσθαι ἐκλείποντας, ἀποσίτους, ἀχρόους. [3] μηδὲ τοὺς ἐν πυρετῷ καυματώδει κατακεκλιμένους· ὀλέθριον γάρ. [4] Καρδίης πόνος ἅμα ὑποχονδρίῳ συντόνῳ καὶ κεφαλαλγίῃ, κακοήθες· καί τι ἀσθματῶδες. [5] ἦρά γε ἐξαίφνης οὗτοι τελευτῶσιν; ὡς καὶ Λυσίας ἐν Ὀδυσσῷ. [6] τούτῳ καὶ οὖρα ἐζυμωμένα ἐγένετο βιαίως ἐξέρυθρα. [7] Τραχήλου πόνος, κακὸν μὲν ἐν παντὶ πυρετῷ· [8] κάκιστον δὲ, οἷσιν ἐκμανῆναι ἐλπίς.

X. Κωματώδεες, κοπιώδεες, ἀχλυώ-

ex his insuper riguerint, mala sunt:

VIII. Vomitus meraci, anxiosi, mali. [2] Sopor num ubique malus est? [3] Ignorantia cum rigore, malum. [4] Malum item oblivio. [5] Perfrigerationes ex rigore non recalescentes, malæ sunt. [6] Sudantes ex perfrigeratione recalescentes, malum. [7] In his ardor dolorosus in lateribus, & insuper rigere, malum est. [8] Æstuosi rigores aliquatenus perniciosi: [9] & flammea facies cum sudore in his mala est. [10] In his posteriorum partium frigiditas, convulsionem accersit. [11] Exudantes vigiles recalescentes, malum. [12] Ex lumborum recursu, oculi distortio, malum. [13] Dolor in pectus firmatus cum torpore, malus. [14] Hi si insuper febriant, acute ardentes, moriuntur.

IX. Qui nigra revomunt, cibos aversantur, deliri sunt, juxta pubem parum dolorosi, oculum ferocem aut clausum habent, eos medicamentis purgare non oportet (perniciosum enim est.) [2] Neque intumescentes, vertiginosos, in leviter vagando deficientes, cibos aversantes, decolores. [3] Neque in febre fractos, si soporosi fuerint. Perniciosum enim est. [4] Oris ventriculi dolor, cum præcordio distento, & capitis dolor, malignum, & quippiam anhelosum. [5] Num hi repente moriuntur? velut in Dysode. [6] Huic etiam urinæ vehementer fermentatæ, erant valde rubicundæ. [7] Colli dolor malum quidem in omni febre, [8] pessimum autem his quibus timor est ut insaniant.

X. Febres soporosæ, lassatoriæ,

ἀχλυώδεες, ἄγρυπνοι, ἐφιδρῶντες, πυρετοὶ, κακοήθεες. [2] Αἱ ἐκ νώτου φρίκαι πυκναὶ καὶ ὀξέως μεταπίπτουσαι, δύσφοροι. [3] οὔρου γὰρ ἀπόληψιν ἐπώδυνον σημαίνουσιν. [4] Οἱ ἀσώδεες, ἀνεμέτως παροξυνόμενοι, κακοί. [5] Κατάψυξις μετὰ σκληρυσμοῦ, σημεῖον ὀλέθριον. [6] Ἀπὸ κοιλίης λεπτῶν μὴ αἰσθανομένῳ διιέναι, ἐόντι παρ' ἑωυτῷ, κακόν· οἷον τῷ ἡπατικῷ. [7] Τὰ σμικρὰ ἐμέσματα χολώδεα, κακόν· [8] ἄλλως τε καὶ ἢν ἐπαγρυπνῶσι. [9] μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων, ὀλέθριον. [10] Αἱ σὺν τόκῳ γε λευκῶν ἐπιστάσιες ἅμα πυρετῷ, κώφωσις καὶ ἐς πλευρὸν ὀδύνη ὀξέη, ἐξίσταν ὀλεθρίως. [11] Τοῖς ἐν πυρετοῖσι καυσώδεσιν ὑποπεριψύχουσι [καὶ] διαχωρήμασιν ὑδατοχόλοισι συχνοῖσιν, ὀφθαλμῶν ἴλλωσις, σημεῖον κακόν· [12] ἄλλως τε καὶ ἢν κάτοχοι γένωνται. [13] Τὰ ἐξαίφνης ἀποπληκτικὰ λελυμένως, ἐπιπυρεταίνοντι χρονίως, ὀλέθρια· [14] οἷόν τι ἐπεπόνθει ὁ Νουμηνίου υἱός.

XI. Οἷσι ἐξ ὀσφύος ἀλγήματος ἀναδρομαὶ ἐς καρδίην, πυρετώδεες, φρικώδεες, ἀνεμέουσαι ὑδατώδεα λεπτὰ πλέονα, παρενεχθεῖσαι, ἄφωνοι, ἐμέουσαι μέλανα, τελευτῶσιν. [2] Ὄμματος κατάκλασις ἐν ὀξέσι, κακόν. [3] Ἦ ῥά γε τοῖς ἀσώδεσιν ἀνεμέτοισιν, ὀσφυαλγέουσιν, ἢν θρασέως παρακρούσωσιν, ἐλπὶς μέλανα διελθεῖν. [4] Φάρυγξ ἐπώδυνος ἰσχνὴ μετὰ δυσφορίης πνιγώδης, ὀλεθρίη ὀξέως. [5] Οἷσι πνεῦμα ἀνέλκεται, φωνὴ δὲ πνιγώδης, ὅ, τι σπόνδυλος ἐγκάθηται,

riæ, caliginosæ, vigilias inducentes, exudantes, malignæ. [2] Horrores frequentes ex dorso, celeriter translabentes, molesti, [3] urinæ interceptionem dolorosam significant. [4] Qui anxie se jactantes, citra vomitum exacerbantur, male habent. [5] Perfrigeratio cum duricia, signum malum. [6] A ventre tenuia non sentienti prodire, ei qui est apud seipsum, perniciosum: velut hepatico. [7] Vomitiones exiguæ biliosæ, malæ, [8] tum alias, tum si insuper vigilaverint ægri. [9] Nasus in his destillans, perniciosum est. [10] Quibus ex partu alba detinentur cum febre, surditasque adest, & in latere dolor acutus, hæ perniciose mente moventur. [11] In febribus ardentibus subperfrigerantibus, egestionibusque alvi biliosis aquosis frequentibus, oculorum distortio, signum malum est, [12] tum alias, tum si stupore prehensi detineantur. [13] Siderationes repentinæ ei qui exolute ac diutine insuper febriit, perniciosæ sunt: [14] quale quiddam passus est Numenii filius.

XI. Ex lumborum dolore ad os ventriculi recursiones, febriculosæ, horridæ, revomentes aquosa tenuia multa, mente motæ, voce destitutæ, nigrorum vomitu facto morinntur. [2] Oculi confractio in morbo acuto, mala. [3] Num anxie se jactantibus citra vomitum, lumbos dolentibus, si ferociter mente moti fuerint, spes est ut nigra per alvum prodeant? [4] Fauces dolorosæ, graciles, cum ægre tolerabili molestia, strangulatoriæ, perniciosæ acute. [5] Quibus spiritus retrahitur, vox autem strangulatoria est, & vertebra

θῆται, τελέοισιν ἐπὶ τῶν πελιδνῶν ὡς συσπῶντός τινος τὸ πνεῦμα γίνεται. [6] "Οἱ κεφαλαλγικοὶ καὶ κατόχως παραφρονέοντες, κοιλίης ἀπολελαμμένης, ὄμμα θρασυνόντες, ἀνθηροὶ, ὀπισθοτονώδεες γίνονται. [7] "Ἐπ' ὀμμάτων διαστροφῆς πυρετώδει [καὶ] κοπιώδει ῥῖγος, ὀλέθριον. [8] καὶ οἱ κωματώδεες ἐν τούτοισι κακόν. [9] "Αἱ ἐν πυρετοῖσι πρὸς ὑποχόνδριον ὀδύναι ἀναύδως ἢν μὴ ἱδρῶτι λύωνται, κακοήθεες. [10] τουτέοισιν ἐς ἰσχία ἀλγήματα ἅμα καυσώδει πυρετῷ, καὶ ἢν κοιλίη καταῤῥαγῇ, ὀλέθριον.

XII. "Οἷσι φωναὶ ἅμα πυρετοῖσιν ἐκλείπουσι μετὰ κρίσιν, τρομώδεες καὶ κωματώδεες τελευτῶσιν. [2] "Οἷσι καυσικὰ, μεμωρωμένα, κάτοχα, ποικίλλοντα ὑποχόνδρια, καὶ κοιλίην ἐπηρμένοι, σίτων ἀπολελαμμένων, ἐφ' ἱδρῶσι, [3] ἦ ἐπὶ τούτοις τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, λύγγα διασημαίνει; [4] καὶ κοιλίη δὲ ἔπαφρα χολώδεα προσδιέρχεται. [5] τὸ λαμπῶδες ἐν τούτοισι ὠφελεῖ οὐρηθέν. [6] κοιλίη δὲ τούτοισιν ἐπιταράσσεται. [7] "Οἷσι κῶμα γίνεται ἐπαφρῶν προσδιελθόντων, πυρετὸς παροξύνεται ὀξύς. [8] "Αἱ ἐκ κεφαλαλγίης ἀφωνίαι ἅμα ἱδρῶσι πυρετώδεες χαλῶνται ἐφ' ἑωυτέας ἐπανιέντα, χρονιώτερον. [9] ἐπιῤῥιγῶσαι τουτέοισιν πονηρόν. [10] "Χεῖρας τρομώδεες, κεφαλαλγέες, τράχηλον ὀδυνώδεες, ὑπόκωφοι, οὐρέοντες μέλανα δεδασυμμένα. [11] οἷσι ταῦτα ἦ, μέλανα προσδέχεσθαι ἥξειν, ὀλέθριον. [12] "Αἱ μετ' ἐκλύσιος κατόχως ἀφωνίαι,

tebra intro confidet, his in fine velut contrahente quodam fpiritus fit. [6] Caput dolentes, & ftupore detenti delirantes, alvo intercepta, oculum ferocem præ fe ferentes, ' florefcentes, opifthotono (pofteriorum partium convulforia diftentione) corripiuntur. [7] In oculorum diftortione, febriculofo, laffato, rigor perniciofus [8] Et foporofi in his, malum. [9] In febribus ad præcordium dolores, fine voce, fi fudore non folvantur, maligni funt. [10] His dolores ad coxas, una cum febre ardente, & fi alvus acervatim eruperit, perniciofum.

XII. Quibus voces ' cum febribus deficientes poft judicationem, hi trementes ac foporofi moriuntur. [2] Quibus affectiones ardentes, fatuitatem inducentes, ftuporis detentionem inferentes, præcordia variantia, & ventris tumor, cibis interceptis, in fudoribus, num his turbidus fpiritus, & geniture fimile quid fuperveniens, fingultum indicat? [4] Sed & alvus fpumofa, biliofa, infuper egerit? [5] ' Splendidum in his mictum prodeft. [6] Venter autem his infuper turbatur. [7] Quibus fopor fit fpumofis prodeuntibus, his febris exacerbatur acuta. [8] Ex capitis dolore vocis interceptiones fi fint, cum fudoribus febriculofi laxantur in feipfos, fiuntque morbi revertentes diutius durantes: his infuper rigere, non malum eft. [9] Manus tremulæ, caput dolentes, collum dolentes, ' fubfurdi, mingentes nigra denfata: [11] quibus hæc funt, his nigra ventura effe expectare oportet, perniciofum. [12] Vocis interceptiones cum exolutione, * ftupore detinente,

νίαι, ὀλέθριαι. 13 " Πλευρέων 97 ἀλγήματα ἐπὶ πτύσεσι χολώδεσιν 10 ἀλόγως ἀφανισθὲν, ἐξίσταται.

XIII. " Ἐπὶ τραχήλου ἀλ- 98 γήματι, κωματώδει ἱδρῶτι, κοιλίῃ φυσηθείσῃ, εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλῶσι, ὑποπεριπλυθείσῃ, ἐκ τουτέων ἄχολα ἐφίσταται. 2 τὰ τοιαῦτα διασωζόμενα, μακροτέρως διανοσέει. 3 ἆρά γε εἰσιν αἱ ἄχολοι περιπλύσιες εὐηθέστεραι, καὶ τὸ φυσῶδες ὄγκου προσωφελέει; 4 " Κοιλίης περίπτωσις πρὸς ἀνάγ- 99 κην ὑγρὰ χαλῶσα, ταχὺ ὀγκυλωθῇ, ἔχει τι σπασμῶδες· οἷον καὶ τῷ Ἀσπασίου υἱῷ. 5 τὸ ἐπιρριγῶσαι τούτοις, ὀλέθριον. 6 ἐκ 15 τουτέων σπασμώδης γενηθεὶς, καὶ ἐμφυσηθεὶς, μακρότερον διανοσήσας, στόματι σῆψις χλωρὴ ἐπεγένετο. 7 " Τὰ καὶ ὀσφύος καὶ 100 τὰ λεπτὰ χρόνια ἀλγήματα, πρὸς ὑποχόνδριον ῥιπτόμενα, ἀποσιτικὰ, ἅμα πυρετῷ, τουτέοισιν ἐς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν κτείνει ὀξέως τρόπον σπασμώδεα. 8 " Τὰ ἐπιρριγοῦντα καὶ ἐς νύκτα 101 μᾶλλόν τι παροξυνόμενα, ἄγρυπνα, φληδονώδεα ὄντα, ἐν τοῖς ὕπνοις ἔστιν, ὅτε οὖρα ὑφ' ἑωυτοὺς χαλῶντα ἐς σπασμοὺς ἀποτελευτᾷ κωματώδεας.

20 XIV. " Οἱ ἐξ ἀρχῆς ἐφιδροῦν- 102 τες, οὔροισι πέποσι καυσικοὶ, ἀκρίτως περιψύχοντες, διαταχέων περικαέες, νωθροὶ, κωματώδεες, σπασμώδεες, ὀλέθριοι. 2 " Τῇσιν ἐπι- 103 φόροισι κεφαλαλγικὰ, καρώδεα μετὰ βάρεος γινόμενα, φλαῦρα. 3 ἴσως δὲ τοιαύτῃσι καὶ σπασμῶδές τι παθεῖν ὀφείλει. 4 " Τὰ ἐν φά- 104 ρυγγι ἰσχνὰ ἀλγήματα πνιγώδεα

ἔχει

nente, perniciosæ. 13 Lateris dolor, ex sputis biliosis, citra rationem si euanuerit, mente mouentur.

XIII. Ex oculi dolore, soporoso, sudanti, aluus inflata, si sane ad necessitatem liquida demiserit, infuso immisso ' sub- 148 luta: ex his ea quæ biliosa non sunt supprimuntur. 2 Talia vero si seruentur retenta, longius ægrotat. 3 Num itaque proluuia quæ biliosa non sunt, meliora sunt? & flatuoso tumori profuerint? 4 Alui circumtensio, ad necessitatem liquida demittens, cito intumescens, habet quid conuulsorium, velut etiam Aspasii filio. 5 Superrigere his perniciosum. 6 Ex his conuulsus factus ac inflatus, ' ubi diutius 149 ægrotasset, ori putrefactio viridis superuenit. 7 Quibus circa lumbos tenues diuturni dolores, ad præcordium se reuoluentes, & ciborum fastidium inducentes una cum febre: his ad caput dolor intentus progressus, repente conuulsorio modo occidit. 8 Affectiones insuper rigentes, & quæ ad noctem aliquanto magis exacerbantur, cum vigiliis, & delirio ' in somnis, ali- 150 quando urinas inuoluntarie emittentes, in conuulsiones soporosas desinunt.

XIV. A principio exudantes urinis concoctis, ardentes qui citra iudicationem perfrigerantur, breui circumcirca ardentes: torpidi item, soporosi, perniciose affecti sunt. 2 Uterum gerentibus capitis dolores, soporosi, cum grauitate orientes, mali sunt. 3 Fortassis autem his etiam ' conuulsorium quid pati 151 contingit. 4 In faucibus gracilibus dolores strangulatorii, habent

ἔχει τι σπασμῶδες, ἄλλως τε καὶ ἀπὸ κεφαλῆς ὁρμώμενα· οἷον καὶ τῇ Θρασύνοντος ἀνεψιῇ. 5 Τὰ τρομώδεα σπασμώδεα γινόμενα ἐφ' ἱδρῶσι, φιλυπόστροφα. 6 τούτοις ἡ κρίσις ἐπιῤῥιγώσασιν. 7 ἐπιῤῥιγέουσι περὶ κοιλίην καύματι παρακληθέντες. 8 Ὀσφύος πόνος κεφαλαλγικῷ καὶ καρδιαλγικῷ μετὰ ἀναχρέμψιος βιαίης, ἔχει τι σπασμῶδες. 9 Τὸ ὑπόφοβον ἅμα κρίσει ῥῖγος.

XV. 1 Ἀπὸ κοιλίης ὑποπέλια, ταραχώδεα· 2 καὶ οὖρα λεπτὰ καὶ ὑδατώδεα, ὕποπτα. 3 Φάρυγξ τρηχυνθεῖσα ἐπ' ὀλίγον, καὶ κοιλίη διαβορβορύζουσα κενῇσιν ἐξαναστάσεσι, καὶ μετώπου ἀλγήματα, ψηλαφώδεες, κοπιώδεες, ἐν στρώμασι καὶ ἱματίοισιν ὀδυνώδεες. 4 τὰ ἐκ τουτέων αὐξανόμενα, δύσκολα. 5 ὕπνος πουλὺς ἐν τουτέοισι σπασμώδης, καὶ τὰ ἐς μέτωπον ἀλγήματα βαρέα, καὶ οὔρησις δυσκολαίνουσα. 6 Οὔρου ἐπίσχεσις, οἷσι ῥίγεα, καὶ ἐπὶ τοῖσι σπασμώδεσι· 7 οἷον καὶ αὐτὴ φρίξασα ἐφίδρωσεν. 8 Αἱ ἐς ἄκρητα τελευτῶσαι καθάρσιες, ἐν πᾶσι παροξυντικαί. 9 τουτέοισι δὲ καὶ πάνυ. ἐκ τουτέων καὶ τὰ παρ' οὖς ἀνίσταται. 10 Αἱ ταραχώδεες θρασύταται ἐπεγέρσιες σπασμώδεες· ἄλλως τε καὶ μεθ' ἱδρῶτος. 11 [Σπασμώδεες δὲ] καὶ αἱ τραχήλου καὶ αἱ μεταφρένου καταψύξιες δοκέουσαι, [ἀτὰρ] καὶ ὅλου τοῦ σώματος, 12 ἐν τουτέοισι καὶ ἀφρώδεες οὐρήσιες. 13 Ὀμμάτων ἀμαύρωσις ἅμα ἀψυχίῃ σπασμὸν ἐγγὺς σημαίνει. 14 Πήχεος ἀλγήματα μετὰ τραχήλου, σπασμώδεα. 15 ἀπὸ προσώπου δὲ ταῦτα. 16 καὶ κατὰ φάρυγγα, ὠχροί, ἰσχνοί, σιαλίζοντες. 17 ἐν τοῦ-

bent quid convulsorium, tum alias, tum à capite oborti: velut etiam Thrasynontis consobrinæ. 5 Tremores convulsorii, contingentes in sudoribus, reverti solent. 6 Judicatio his fit ubi supertiguerint. 7 Supertigent hi ardore circa ventrem provocati. 8 Lumborum dolor, & capitis dolor, & oris ventriculi dolor, cum exscreatione violenta, convulsorium quid habet. 9 [Submetuendum cum crisi rigor.]

XV. A ventre sublivida, turbulenta: 3 & lotia tenuia ac aquosa, suspecta. 4 Fauces exasperatæ parum, & venter murmurans inanibus ad egerendum surrectionibus, & frontis dolores, & palpantes, delassati, in stragulis ac vestimentis dolorosi. Quæ ex his augentur, difficilia sunt. 5 Somnus multus in his convulsorius, & dolores in frontem graves, & mictio difficilis. 6 Urinæ suppressio quibus rigores, & in convulsoriis affectionibus: 7 velut & ipsa ubi inhorruit, sudavit. 8 Meracæ desinentes purgationes, omnibus quidem exacerbatoriæ sunt. 9 His vero etiam valde. Ex talibus etiam circa aurem abscessus exurgunt. 10 Turbulentæ ferocissimæ è somno excitationes, convulsoriæ sunt tum alias, tum cum sudore. 11 Et colli, & dorsi perfrigerationes apparentes, sed & per totum corpus. 12 In his etiam spumosæ mictiones, una cum animi deliquio, 13 & oculorum obscuratio, convulsionem prope adesse significant. 14 Cubiti ac colli dolores, convulsorii. 15 A facie autem hi. 16 In faucibus sonitus frequentes, cum salivæ sputatione. 17 In his in somnis

τελέουσιν ἐν ὕπνοισι ἱδρῶτες, ἀγαθοί. 18 ἦ ἆρά γε καὶ τῷ ἱδρῶτι ἐκφλίξαι τοῖς πλείστοις οὐ πονηρόν; 19 οἱ ἐς τὰ κάτω πόνοι τελέουσιν εὔφοροι.

40 XVI. Οἱ ἐν πυρετοῖσιν ἐφιδρῶντες, κεφαλαλγέες, κοιλίην ἀπολελαμμένοι, σπασμώδεες. 2 Τὰ ὑποψάθυρα ὑγρὰ διαχωρήματα περιψύχοντα, ἐκ ἀκρισίης, φλαῦρα. 3 τὰ ἐπὶ τελέουσι ῥίγεα, κύστιν καὶ κοιλίην ἐπιλαμβάνοντα, ὀδυνώδεα. 4 ἦ ἆρα τὸ κωματῶδες τελέουσιν ἔχει τι σπασμῶδες; οὐκ ἂν θαυμάσαιμι. 5 Τὰ ἐν ὀξέσι ἐμετώδεως ἑλκόμενα, φλαῦρα. 6 καὶ αἱ λευκαὶ διαχωρήσιες δύσκολοι. 7 ἆρ' ἰγλισχρα ἐκ τούτων διεξελθόντα, ἐξίσταται καύματι πολλῷ; 8 45 οἱ ἐκ τούτων κωματώδεες νωθροὶ ἀπογίνονται; 9 τὰ ἐκ τοιούτων μακροτέρως ἐπιδιδοῖ. 10 ἦ ἆρα περὶ κρίσιν οὗτοι ξηρώδεες δύσπνοοι; 11 Τὰ ἐξ ὀσφύος ἐς τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα καὶ παραλύσαντα παραπληκτικὸν τρόπον, σπασμώδεα [καὶ] παρακρουστικά. 12 ἦ ἆρά γε καὶ λύεται τὰ τοιαῦτα σπασμῷ; 13 ἐκ τῶν τοιούτων ποικίλως διανοσέουσι, διὰ τῶν αὐτῶν ἰόντες.

XVII. Οἱ ἐν ὑστερικοῖσιν ἀπύρως σπασμοί, εὐχερέες, οἷον καὶ Δορκάδι. 2 Κύστις ἀπολειφθεῖσα, ἄλλως τε καὶ μετὰ κεφαλαλγίης, 412 ἔχει τι σπασμῶδες. 3 τὰ ναρκώδεως ἐν τελέουσιν ἐκλυόμενα δύσκολα, οὐ μὴν ὀλέθρια. 4 ἦ ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον; 5 Ἦ ἆρά γε καὶ κροτάφων ὀστέων διακοπαὶ σπασμὸν ἐπάγουσιν; 6 ἢ τὸ μεθύοντα πληγῆναι; 7 ἢ τὸ ῥυῆναι αἷμα ἐκ φύσιος ἐν ἀρχῇσιν ἐς τὸ ποιεῖ σπασμώδεα; 8 Ἐν ἱδρῶτι πτύελα παραφ-

somnis sudores, boni. 18 Num & sudore levari, plurimis non malum est? 19 Dolores ad infernas partes, his toleratu faciles.

XVI. In febribus exudantes 115 caput dolentes, alvo intercepta, convulsi fiunt. 2 Subfriabiles liquidæ alvi egestiones, perfrigerantes non sine febre, malæ 116 sunt. 3 Rigores ex his vesicam & ventrem occupantes, dolorosi. 4 Promde soporem his habere aliquid convulsorii, non 180 sane mirum apud me fuerit. 5 Quæ in acutis vomitorio modo 117 trahuntur, mala sunt. 6 Et albæ alvi egestiones, difficiles. 7 Num viscosa ex his progressa, cum multo ardore ad mentis emotionem perveniunt. 8 Num ex his soporosi torpidi fiunt? 9 Morbi ex talibus diutius durant. 10 Num circa judicationem hi arescentes difficulter spirantes? 11 Quæ ex lumbis ad collum ac 185 caput progressa sunt, & levis 118 syderationis modo resolvaerunt, convulsoria fiunt & mentem emoventia. 12 Num & solvuntur talia convulsione? 13 Ex talibus variè ægrotant; & per eadem progressi.

XVII. Convulsiones in his 119 quæ ab utero strangulantur sine febre, faciles sunt, velut etiam Dorcadi. 2 Vesica intercepta tum 120 alias, tum cum capitis dolore, 190 habet quid convulsorium. 3 Quæ in his cum torpore exolvuntur, difficilia sunt, non tamen perniciosa. 4 Num id quod tale est, 121 etiam mentem emovet? 5 Num & ossium circa tempora dissectiones convulsionem accersunt? 6 aut si quis ebrius verberetur; 7 aut sanguis multus effluat in principiis, num hoc facit con- 122 vulsionem? 8 In sudore sputa

ἐπιῤῥέοντα πυρετώδει ἐόντι, εὐήθεα. 9 ἦ ῥά γε τελέουσιν ἐπί τινας ἡμέρας κοιλίαι καθυγραινόμεναι; οἴομαι. 10 ἦ ῥά γε τελέουσιν ἐς ἄρθρον ἀπόστημα ἔσται; 11 Τὰ ἐπ' ὀλίγον θρασέως παρακρούοντα, μελαγχολικά. 12 ἢν δὲ ἀπὸ γυναικείων ᾖ, θηριώδεα. 13 ἐπὶ πλεῖον δὲ ταῦτα συμπίπτει. 14 ἦ ῥά γε καὶ σπασμώδεες αὗται; 15 ἦ ῥά γε καὶ αἱ μετὰ κάρου ἀφωνίαι σπασμώδεες; 16 οἷον τῇ τοῦ σκυτέως θυγατρί. 17 [ἣ] ἤρξατο γυναικείων παρεόντων πυρέττειν.

XIIX. Οἷσιν ἐν σπασμώδεσιν ὀφθαλμοὶ ἐκλάμπουσιν ἀτενέως, οὔτε παρ' ἑωυτοῖσίν εἰσιν, διανοσέουσί τε μακροτέρως. 2 Τὰ ἀνάπαλιν αἱμορραγεῦντα, κακόν. 3 οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ δεξιοῦ ῥυέντα, καὶ τὰ καθ' ὑποχόνδριον ὡσαύτως. 4 ἐφ' ἱδρῶτι δὲ κάκιον. 5 Τὰ ἐκ ῥινέων μικροῖς ἱδρῶσι περιψυχόμενα, κακοήθεα. 6 Μεθ' αἱμορραγίην μελάνων δίοδος, κακόν. 7 πονηρὰ δὲ καὶ τὰ ἐξέρυθρα σφόδρα. 8 ἦ ῥά γε τεταρταίοισι ταῦτα αἱμορραγεῖ; 9 κωματώδεες ἐκ τούτων σπασμωθέντες τελευτῶσιν. 10 ἦ ῥα μελάνων προδιελθόντων καὶ κοιλίης ἐπαρθείσης; 11 Τὰ αἱμορραγεῦντα ἐφιδροῦντα τρώματα, κακοήθεα. 12 οὗτοι διαλεγόμενοι λαθραίως τελευτῶσι. 13 Μεθ' αἱμορραγίην βραχείην καὶ μελάνων διαχώρησιν ἐν ὀξέσι κώφωσις, κακόν. 14 αἱματώδης διαχώρησις ἐν τουτέοισιν ὀλέθριον. 15 κώφωσιν δὲ λύει. 16 Ἐν ὀσφύϊ ἐπωδύνῳ καρδιαλγικὰ προσπίπτοντα σημεῖα αἱμορροώδεα. 17 οἴομαι δὲ καὶ

defluentia febricitanti, levia sunt. 9 Num ad dies aliquot alvi humectantur? arbitror. 10 Num his ad articulos abscessus fiet? 11 Quæ modice crociter mentem emovent, atrabiliaria sunt. 12 Si vero à muliebrium purgationum retentione fuerint, ferina. 13 Hæc vero sæpius accidunt. 14 Num & convulsæ fiunt hæ? 15 Num & vocis interceptiones cum sopore, convulsoriæ sunt? 16 velut coriarii filiæ, 17 quæ muliebribus purgationibus præsentibus affici cœpit.

XIIX. Quibus convulsis oculi intente relucent, neque apud seipsos sunt, & diutius ægrotant. 2 Sanguinis eruptiones ex contrario, malæ sunt: 3 velut in splene magno, si ex dextra nare fluat. Et circa præcordia eodem modo res se habet. 4 Verum cum sudore hoc pejus est. 5 Ex naribus erumpente sanguine, cum exiguis sudoribus, perfrigescentia maligna ac prava. 6 Post sanguinis eruptionem nigrorum per alvum transitus, malus. 7 Prava sunt etiam valde rubra. 8 Num vero quarto die hæc sanguinis eruptio contingit? 9 Soporosi ex his convulsione moriuntur. 10 Num nigris prægressis, & ventre tumefacto? 11 Vulnera sanguinem fundentia, exudantia, maligna. 12 Sic affecti loquentes latenter moriuntur. 13 Post modicam sanguinis eruptionem, & nigrorum egestionem, in acutis surditas malum. 14 Sanguinis egestio in his perniciosa. 15 Verum surditatem solvit. 16 Lumbis dolentibus oris ventriculi dolores accedentes, signa hæmorrhoidum fluxionis futuræ sunt. 17 Arbitror autem & hos prægressæ hæ-

καὶ προηγησάμενον σημεῖον.

XIX. 131 ¹ Τὰ περιοδικῶς χρόνοισιν αἱμοῤῥαγεῦντα, διψώδεα, δύσκολα, ἐκλυόμενα, μὴ αἱμοῤῥαγήσαντα, ἐπιληπτικὰ 20 τελευτᾷ. 132 ² Τὰ ἐξ ὕπνου παραχώδεα, ἄγρυπνα, ἀποστάζοντα, ἐκλύεται κεφαλαίοντα, νύκτα πονήσαντα, ἐς τὴν αὔριον ἐφιδρώσαντα, κατενεχθέντα, παρακρούσαντα αἱμοῤῥαγήσει λάβρως. ³ ἦρά γε τὸ ὑδατῶδες οὖρον τοιοῦτόν τι σημαίνει; 133 ⁴ Οἷσιν αἱμοῤῥαγίαι πλέονες, προαλλαχθέντος χρόνου κοιλίαι πονηρεύονται, ἢν μὴ τὰ οὖρα πεπαίνῃ. 134 ⁵ Αἱ ἐν κρισίμοισι περιψύξιες [οὐκ] τῶν αἱμοῤῥαγιῶν νεανικαὶ, κάκισται. 135 ⁶ Οἱ καρηβαρικοὶ, καὶ βρέγμα ὀδυνώδεες, ἄγρυπνοι, αἱμο- 25 ῤῥαγικοί. ⁷ ἄλλως τε καὶ, ἢν τι ἐν τραχήλῳ συντείνῃ. 136 ⁸ Τὰ ἀγρυπνήσαντα ἐξαίφνης ἀλυσμῷ αἱμοῤῥαγεῖ. ⁹ ἄλλως τε καὶ, ἢν μή τι προεῤῥυήκῃ. ¹⁰ ἦρά γε φρίξαντα; 137 ¹¹ Τραχήλου ὀδυνώδεα, ὄμματα ἐξέρυθρα, αἱμοῤῥαγικά. 138 ¹² Οἷσι κοιλίης ἐπιστάσης αἱμοῤῥαγέει, καὶ ἐπιῤῥιγέει, ἦ που κοιλίη λειεντεριώδης καὶ ἐπισπληνος, ἢ ἀσκαρίδες, ἢ ἀμφότερον;

XX. 139 ¹ Οἷσιν ἐξ ὀσφύος [ἀλγήματος] ἀναδρομὴ ἐς κεφαλὴν, καὶ χεῖρες ναρκώδεις, καρδιαλγικοὶ, ἠχώδεες, αἱμοῤῥαγέουσι λάβρως καὶ κοι- 30 λίη δὴ καταῤῥήγνυνται. ² τουτέοισι γνώμη ταραχώδεες ὡς ἐπὶ τὸ πολύ. 140 ³ Οἷσιν ἐφ' αἱμοῤῥαγίῃ λάβρως πυκνῇ μελάνων

hæmorthoidum eruptionis signum esse.

XIX. ¹ Sanguinis eruptiones statis temporibus contingentes, siticulosæ, difficiles ac exolventes, si sanguinem non effuderint, in comitialem morbum finiunt. ² Morbi qui statim turbulenti sunt, insomnes, sanguinem de naribus stillantes, sexta die allevati, noctu affixerunt, postridie exudarunt, in somnumque delati mentem emoverunt, hi large sanguinem fundunt. ³ Num & aquosa urina tale quid significat? ⁴ Quibus sanguinis eruptiones plures, his temporis progressu alvi male afficiuntur, si non urinæ concoctæ fuerint. ⁵ In judicatoriis perfrigerationibus, sanguinis eruptiones fortes pessimæ sunt. ⁶ Capite gravati, juxta sinciput dolentes, insomnes, sanguinem profundunt, ⁷ tum alias, tum si quid ad collum contendat. ⁸ Vigilis infestati, derepente cum inquieta jactatione, sanguinem fundunt, ⁹ tum alias, tum si quid antea profluxerit. ¹⁰ Num ubi inhorruerunt? ¹¹ Colli dolores, oculi valde rubicundi, sanguinis eruptionem significant. ¹² Quibus alvo suppressa sanguinis eruptio fit, & insuper rigent: num alvus intestinorum lævitate corripitur, & obdura fit, aut ascarides insunt, aut utrunque?

XX. ¹ Quibus ex lumbis recursus fit ad caput, & manus, hi torpidi, os ventriculi dolentes, sauiosi ac serosis humoribus pleni, large sanguinem profundunt. Sed & alvus his turbulentis erumpit. ² [His mens plerumque perturbata]. ³ Quibus ex sanguinis eruptione larga ac

λάνων συχνῶν διαχώρησις, ἐπιστάσης δὲ αἱμοῤῥαγοῦσιν; ἆρά γε οὗτοι κοιλίας ὀδυνώδεες, ἅμα δὲ περιφύσησιν, εὔφοροι. 4 ἦ ἆρα οἱ τοιοῦτοι ψυχροῖσιν ἐφιδροῦσι πολλοῖσιν; 5 τὸ ἀναταρασσόμενον ἐν τούτοισιν οὖρον οὐ πονηρὸν, οὐδὲ τὸ ὑφιστάμενον γονοειδές. 6 ἐπίσυχνον δὲ οὗτοι ὑδατώδεα οὐρέουσιν. 7 Οἷσιν ἀπὸ ῥινῶν ἐπὶ κωφώσει καὶ νωθρίῃ μικρὰ ἡ ἀπόσταξις, ἔχει τι δύσκολον. 8 ἔμετος τούτοισι συμφέρει, καὶ κοιλίης ταραχή. 9 Ἦσιν ἐκ ῥίγεος πυρετοὶ κοπιώδεες, γυναικεῖα κατατρέχει. 10 τράχηλος δὲ ἐν τούτοισιν ὀδυνώδης, αἱμοῤῥαγικόν. 12 Τὰ σείοντα κεφαλὴν, καὶ τὰ ἠχώδεα, αἱμοῤῥαγέει ἢ γυναικεῖα καταβιβάζει. 13 ἄλλως τε καὶ ἢν κατὰ ῥάχιν καῦμα παρακολουθέῃ. 14 ἴσως δὲ καὶ δυσεντερικόν. 15 Οἱ κατὰ κοιλίην παλμοὶ, ὑποχονδρίου ἐντάσει ὑπομήκεα, ὀγκώδεα, αἱμοῤῥαγικοί. 16 Φρικώδεες δὲ τοι.

XXI. Τὰ ἐκ ῥινῶν λάβρα, βίαια, πολλὰ ῥυέντα, ἔστιν ὅτε ἐς σπασμοὺς προσάγεται. 2 Φλεβοτομίη λύει. 3 Αἱ πυκναὶ καὶ κατὰ μικρὸν ἐπαναστάσιες, ὑπόξανθοι, γλίσχραι, ἔχουσαι μικρὰ κοπρώδεα, μεθ' ὑποχονδρίου ἀλγήματος καὶ πλευροῦ, ἰκτερώδεες. 4 ἦ ἆρα δὲ ἐπιστάντων αὐτῶν οὗτοι ἐκλύονται; 5 οἶμαι τε καὶ αἱμοῤῥαγεῖ. 6 τὰ γὰρ ἐς ὀσφὺν ἀλγήματα ἐν τούτοισιν, αἱμοῤῥαγικά. 7 Ὑποχονδρίου ἔντασις μετὰ καρη-

frequenti, nigrorum multorum fit egestio, hi suppressa alvo dolorosi sanguinem profundunt. Cum quadam vero fluxione, facile ferunt. 4 Num hi multos frigidos sudores excludunt? 5 Conturbata in his urina, non mala, neque id quod geniturae simile in ipsa residet. 6 Verum frequenter hi aquosa mingunt. 7 Quibus in surditate & torpore parva est à naribus destillatio, ea habet quid difficultatis. 8 Vomitus his confert, & alvi perturbatio. 9 Quibus ex rigore febres cum lassitudine; his menses muliebres decurrunt. 10 At collum in his dolorosum, sanguinis eruptionis è naribus signum est. 11 Et per nares sanguinem effundere spes est ea 12 quae caput concutiunt; & quae aurium sonitum faciunt, sanguinem profundunt, aut menses deducunt, 13 tum alias, tum si juxta spinam ardor consequetur, 14 Fortassis autem & dysenteriam facient. 15 Et circa ventrem palpitationes cum praecordii intensione sublonga ac tumente, sanguinis eruptionem significant. 16 Inhorrescunt autem hi.

XXI. Quae larga, violenta, multa ex naribus fluxerint, aliquando ad convulsiones adducunt. 2 Venae sectio solvit. 3 Frequentes & paulatim contingentes ad egerendum surrectiones, subflavae, viscosae, modica stercoracea habentes, cum praecordii ac lateris dolore, morbo regio participant. 4 Num autem his suppressis hi exolvuntur? 5 arbitror sane: & sanguinem profundunt? 6 His tensio lumborum, & dolores in his, sanguinis eruptionem significant. 7 Praecordii tensio, cum capitis

καρηβαρίης καὶ κωφώσιος, καὶ τὰ πρὸς αὐγὰς ὀχλέοντα, αἱμοῤῥαγικά. [8] Αἱ ἐνδεκαταῖαι στάξιες δύσκολοι· ἄλλως τε κἢν ἐπιστάξῃ. [9] Τὰ ἐν φρίκῃσιν ἅμα ἱδρώσαντα κρισίμως, ἐς δὲ τὴν αὔριον φρίξαντα παραλόγως, ἀγρυπνέοντα, αἱμοῤῥαγῆσαι οἴομαι πεπηγνόμενα. [10] Οἷσιν ἐξ ἀρχῆς αἱμοῤῥαγίαι λάβροι, ῥῖγος ἵστησι. [11] Τὰ ἐξ αἱμοῤῥαγίης ῥίγεα, πονηρά. [12] Οἷσι κεφαλαλγίαι καὶ τραχήλου πόνος, καὶ ὅλου δέ τις ἀκρασίη τοῦ σώματος τρομώδης, αἱμοῤῥαγίαι λύουσιν. [13] ὥσπερ καὶ οὕτω χρόνῳ λύονται. [14] Οὖρα τοῖσι περὶ τὰ ὦτα ταχὺ καὶ ἐπ' ὀλίγον πεπηνόμενα, φλαῦρα. [15] καὶ τὸ καταψύχεσθαι ὧδε πονηρόν.

XXII. Τὰ ὑποκαρώδεα καὶ ἰκτερώδεα, οὐ πάνυ αἰσθανόμενα, [2] οἷσι λύγγες, κοιλίη καταῤῥήγνυται. [3] ἴσως καὶ ἐπιστάσης, οὗτοι ἐκλοιῶνται. [4] ἦ ἄρα τούτοισι καὶ τὰ παρὰ τὰ ὦτα; [5] Τὰ ἐπισχόμενα μετὰ ῥίγεος οὖρα, πονηρά· [6] ἄλλως τε καὶ προκαρωθέντα τὰ πρὸ τοῦ. [7] ἦ ἄρα ἐπὶ τούτοισιν ἐλπίς; [8] Ἐκ στροφώδεος ὑπόστασις ἰλυώδης, ὑποπέλιος, κακόν. [9] ἦ ἄρα γε τῶν τοιούτων ὑποχόνδριον ὀδυνᾶται; δοκέω δὲ δεξιόν. [καὶ] ἐκλοιῶνται. [10] ἦ ἄρα τὰ παρ' ὦτα τουτέοισιν ὀδυνώδεα ἐπ' ὀλίγα; [11] κοιλίη καταῤῥαγεῖσα τούτοισιν, ὀλέθριον. [12] Ἐν τοῖσι καυσώδεσι τὰ παρ' οὖς μάλιστα. [13] Τὰ ἐπὶ κοιλίησι δυσώδεσι πυρετῷ ὀξεῖ, ὑποχονδρίῳ μετεώρῳ, χρονιωτέρῳ, τὰ

capitis gravitate ac surditate, & quæ ad hæc consequenter divexant, sanguinis eruptionem indicant. [8] Undecimo die sanguinis stillicidia difficilia, tum alias, tum si superstillaverint. [9] Qui in horroribus simul judicatorie exudarunt, postridie vero postquam inhorruerunt præter rationem vigilant, eos sanguinem effusuros esse arbitror. [10] Quibus ab initio largæ sanguinis eruptiones, rigor fluxionem sistit. [11] Ex sanguinis eruptione, rigores longi. [12] Quibus capitis dolores, ac colli dolores, & totius corporis impotentia quædam, sanguinis eruptiones solvunt. [13] Sed & tempore sic solvuntur. [14] Urinæ quæ in his qui juxta aures abscessus habent, cito & modice concoquuntur, malæ sunt. [15] Et perfrigerari hoc modo malum est.

XXII. Subsoporati, morbo regio affecti, non valde sentientes, [2] quibus singultus, his alvus erumpit, [3] fortassis & suppressa est. Hi exolvuntur. [4] Num his etiam abscessus juxta aures fiunt? [5] Suppressæ cum rigore urinæ, malæ, [6] tum alias, tum si antea sopor apprehenderit. [7] Num juxta aures abscessus parotides dictos, in his fore spes est? [8] Ex torminoso subsidentia limosa sublivida, mala est. [9] Num ex præcordiis dolet? puto dexterum, & exolvitur. [10] Num abscessus juxta aures talibus parum dolorosi? [11] Alvus erumpens his in omnibus perniciosa est [12] In anxiosis quibusdam vigiliis abscessus circa aures maxime. [13] Ex volvulis graveolentibus in febre acuta, præcordiis sublimibus diutius per-

τὰ παρ' οὖς ἐπαρθέντα κλίνει. 14 Ἐκ κωφώσιος ἠπίως τὰ παρ' ὦτα· 15 ἄλλως τε καὶ ἢν ἀσῶδές τι ἐπιγένηται, καὶ τοῖσι κωματώδεσιν, ἐπὶ τούτοισι μᾶλλον. 16 Τὰ παρ' ὦτα φλαῦρα τοῖσι παραπληγικοῖσι.

XXIII. Τὰ σπασμώδεα τρόπον παροξυνόμενα κατόχως, τὰ παρ' οὖς ἀνίστησι. 2 Τὸ σπασμῶδες, τρομῶδες, ἀσῶδες, κατόχως, μικρὰ παρ' οὖς ἐπιπαροξύνομενα. 3 Ἦ ῥά γε οἷσι τὰ παρ' ὦτα, κεφαλαλγικοί εἰσιν; 4 ἦ ῥά γε καὶ ἐφιδροῦσι τὰ ἄνω; 5 ἦ ῥά τι καὶ ἐπιρριγέουσιν; εἶτα καὶ κοιλίη καταρρήγνυται, καί τι κωματῶδες; 6 ἦ ῥά γε καὶ ὑδατώδεα οὖρα, ἐναιωρεύμενα λευκοῖσι, καὶ ποικίλως ἔκλευκα, δυσώδεα, ποιέει τὰ παρ' οὖς; 7 ἦ ῥά γε, οἷσι τὰ τοιαῦτα οὖρα, στάξιες πυκναί; 8 ἦ ῥά γε καὶ γλῶσσα τουτέοισι λείη; 9 Οἷσι πνευματώδεσιν ἐοῦσιν ἴκτεροι, καὶ πυρετοὶ ὀξέες, μεθ' ὑποχονδρίων σκληρῶν καταψυχθεῖσι, τὰ παρ' ὦτα μεγάλα ἵστανται. 10 Τὰ κωματώδεα, ἀσώδεα, ὑποχόνδρια ὀδυνώδεα, ἐμετώδεα μικρά, ἐν τούτοισι τὰ παρὰ τὰ οὖς ἐπανίστανται· 11 πρόσθεν δὲ καὶ τὰ περὶ τὸ πρόσωπον.

XXIV. Κοιλίης μελαίνας κοπρώδεα διεούσης, κῶμα ἐπιφανὲν, τὰ παρ' οὖς ἀνίστησι. 2 Βηχία μετὰ πτυαλισμοῦ ὄντα, τὰ παρ' οὖς λαπάσσει. 3 Ἐκ κεφαλαλγίης κῶμα καὶ κώφωσις παρ' οὖς τι ἐξερεύγεται. 4 Ὑποχονδρίου σύντασις

κῶ

permanentibus, abſceſſus circa aures oborti occidunt. 14 Ex ſurditate leniter abſceſſus circa aures fiunt, 15 tum alias, tum ſi anxioſum quippiam ſuccedat, & ſoporoſis inter hos adhuc magis. 16 Abſceſſus juxta aures leviter ſyderatis mali ſunt.

XXIII. Quæ convulſorio modo exacerbantur, cum ſtuporis detentione, abſceſſus juxta aures producunt. 2 Convulſio, tremor, anxietas, cum ſtuporis detentione, parvos circa aures abſceſſus exacerbant. 3 Num quibus abſceſſus ſunt juxta aures, capitis dolore affecti ſunt? 4 Num & ſupernis partibus exudan? 5 Num inſuper rigent quoque aliquo modo? Deinde & alvus erumpit, & ſoporoſum quippiam habent? 6 Num & aquoſæ urinæ alba innatantia habentes, & quæ varie exalbidæ ſunt, ac fœtidæ, abſceſſus juxta aures faciunt? 7 Num quibus tales urinæ, frequentes ſanguinis è naribus ſtillæ profluunt? 8 num & lingua his lævis eſt? 9 Quibus magnum & frequentem ſpiritum habentibus morbus regius, & febres acutæ cum præcordiis duris perfrigeratæ ſunt, num his abſceſſus magni ad aures conſiſtunt? 10 Soporoſa, anxioſa, præcordia dolentia, vomitoria parva ſymptomata: In his abſceſſus juxta aures oboriuntur. 11 Antea vero & ea quæ circa faciem fiunt.

XXIV. Alvo nigra ſtercoracea egerente, ſopor inſuper apparens, abſceſſum juxta aures producit. 2 Tuſſiculæ quæ ſunt cum ſputatione, abſceſſum circa aurem ſubmovent. 3 In capitis dolore ſopor & ſurditas, circa aurem abſceſſum aliquem eructat. 4 Præcordii diſtentio cum

ſopo-

μετὰ κώματος ἀσώδεος καὶ κεφαλαλγίης, τὰ παρ' οὖς ἐπαίρει. [5] Τὰ ἐπώδυνα παρ' οὖς ἀκρίτως καταμαλαχθέντα, φλαῦρα. 170

sopore anxioso, ac capitis dolore, abscessus circa aurem attollit. [5] Dolorosi aurium abscessus, citra judicationem dissipati, mali sunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΤΙΚΟΝ τὸ δεύτερον.

HIPPOCRATIS PRÆDICTORVM liber secundus.

Basil. græc. Foesius sect. II, 63. 83. Basil. lat.

ΤΩΝ ἰητρῶν προῤῥήσιες ἀπαγγέλλονται συχναί τε καὶ καλαὶ καὶ θαυμασταί. [2] οἵας ἐγὼ μὲν οὔτ' αὐτὸς προεῖπον, οὔτ' ἄλλου τευ ἤκουσα προλέγοντος. [3] εἰσὶ δ' αὐτῶν αἱ μὲν τοιαίδε. [4] ἄνθρωπον δοκέειν ὀλέθριον εἶναι καὶ τῷ ἰητρῷ τῷ μελεδαίνοντι αὐτὸν, καὶ τοῖσιν ἄλλοισιν. [5] ἐπεισιόντα δὲ ἰητρὸν ἕτερον εἰπεῖν, ὅτι ὁ μὲν ἄνθρωπος οὐκ ἀπολεῖται, ὀφθαλμῶν δὲ τυφλὸς ἔσται. [6] καὶ παρ' ἕτερον, δοκέοντα πάγκακως ἔχειν, ἐσελθόντα προειπεῖν, τὸν μὲν ἄνθρωπον ἀναστήσεσθαι, χεῖρα δὲ χωλὴν ἕξειν. [7] καὶ ἄλλῳ τῳ, δοκέοντι οὐ περιέσεσθαι, εἰπεῖν, αὐτὸν μὲν ὑγιέα ἔσεσθαι, τῶν δὲ ποδῶν τοὺς δακτύλους μελανθέντας ἀποσαπήσεσθαι. [8] καὶ τἄλλα τοιουτότροπα προῤῥήματα λέγεται ἐν τοιουτέῳ τῷ εἴδει. [9] ἕτερος δὲ τρόπος προῤῥήσιος ὠνεωμένοισί τε καὶ διαπρηγματευομένοισι προειπεῖν, τοῖσι μὲν θανάτους, τοῖσι δὲ μανίας, τοῖσι δὲ ἄλλας νούσους. [10] ἐπὶ πᾶσι τούτοισί τε καὶ τοῖσι προτέροισι χρόνοισι προφητεύειν, καὶ πάντα ἀληθεύειν. [11] ἄλλο δὲ σχῆμα προῤ-

MEDICORUM prædictiones narrantur multæ, & variæ & admirandæ, [2] quales ego quidem neque ipse prædixi, neque alium aliquem prædicere audivi. [3] Sunt autem aliquæ ex ipsis hujuscemodi. [4] Hominem perniciose affectum esse, & medico ipsum curanti, & aliis videri. [5] Verum medicum alterum supervenisse ac dixisse, non peribit hic homo, verum cæcus evadet. [6] Item ad alium qui omnino male habere videbatur, ingressum prædixisse, hominem quidem evasurum esse, verum manum claudam habiturum: [7] & ad alium quendam qui similiter superstes fore non putabatur, dixisse, ipsum quidem sanum fore, verum pedum digitos nigrefactos putrefactione corrumpendos esse. [8] Et aliæ hujuscemodi prædictiones in tali prædictionis specie dicuntur. [9] Alius autem prædictionis modus est, ementibus ac negociationes tractantibus prædicere, aliis mortem, aliis insaniam, aliis alios morbos: [10] & ad hæc omnia, etiam ea quæ prioribus temporibus facta sunt prædicere, ac omnia vera narrare. [11] Alia porro

προρρήσιων τόδε λέγεται· τοὺς ἀθλητὰς γινώσκειν, καὶ τοὺς τῆς νούσου εἵνεκα γυμναζομένους τε καὶ ταλαιπωρέοντας, [12] ἤν τι ἢ τοῦ σιτίου ἀπολίπωσιν, [13] ἢ ἑτεροῖόν τι φάγωσιν, [14] ἢ ποτῷ πλέονι χρήσωνται, [15] ἢ τοῦ περιπάτου ἀπολίπωσιν, [16] ἢ ἀφροδισίων τι πρήξωσι. [17] τούτων πάντων οὐδὲν λανθάνει, οὐδ᾽ εἰ 40 σμικρόν τι εἴη ἀπειθήσας ὥνθρωπος, οὕτως ἐξηκρίβωνται. [18] οὗτοι πάντες οἱ τρόποι λέγονται τῶν προρρήσιων.

II. [1] Ἐγὼ δὲ τοιαῦτα μὲν οὐ μαντεύσομαι· [2] σημεῖα δὲ γράφω, οἷσι χρὴ τεκμαίρεσθαι τούς τε ὑγιέας ἐσομένους τῶν ἀνθρώπων, καὶ τοὺς ἀποθανουμένους· [3] τούς τε ἐν ὀλίγῳ χρόνῳ ἢ ἐν πολλῷ ὑγιέας ἐσομένους, ἢ ἀπολευμένους. 4 [4] γέγραπται δέ μοι καὶ περὶ 5 ἀποστασίων, ὡς χρὴ ἐπισκέπτεσθαι ἑκάστας. [5] δοκέω δὲ καὶ 6 τοὺς προειπόντας περί τε τῶν χωλώσιων 45 καὶ τῶν ἄλλων τῶν τοιουτέων, [6] ἤδη ἀποστηριζομένου τοῦ νοσήματος προειπεῖν, καὶ δήλου ἐόντος, ὅτι οὐ παλινδρομήσει ἡ ἀπόστασις, [7] εἰ περὶ νόον εἶχον· [8] πολὺ μᾶλλον ἢ πρὶν ἄρχεσθαι τὴν ἀπόστασιν γινομένην. [9] ἐλπίζω δὲ καὶ τἄλλα 7 προειρῆσθαι ἀνθρωπινώτερον ἢ ὡς ἀπαγγέλλεται· [10] ἃ δὴ τοῖσιν ὠνεομένοισί τε καὶ πρηγματευομένοισι λέγεται προειρῆσθαι θανάτους τε καὶ νοσήματα καὶ μανίας. [11] ταῦτα δέ μοι δοκεῖ τοιαῦτα γενέσθαι, καὶ οὐδέν τι χαλεπὸν εἶναι προειπεῖν τῷ βουλομένῳ περὶ τὰ τοιάδε διαγωνίζεσθαι. [12] πρῶτον μὲν 8 γὰρ τοὺς ὑδρώπας τε καὶ φθινώδεας τίς οὐκ ἂν γνοίη; [13] ἔπειτα τοὺς παραφρονήσοντας ἐπὶ μὴ

adhuc forma prædictionum est, athletas & eos qui morborum causa exercentur ac se fatigant cognoscere, [12] si quid aut circa cibum deliquerint, [13] aut alteratum quippiam ederint, [14] aut potu uberiore usi fuerint, [15] aut deambulationem intermiserint, [16] aut res venereas quasdam exercuerint. [17] Horum omnium nihil illos latet, adeo ut etiam minima quæque, in quibus non 23 paruerit homo, exacte cognoscant. [18] Hi omnes prædictionum modi esse feruntur.

II. Ego vero talia quidem non vaticinabor. [2] Verum signa scribam, ex quibus & sanos futuros homines, & morituros conjectare oportet; [3] & tum brevi tempore, tum longiore, sanos futuros, aut perituros. [4] Scriptum est autem à me & de abscessibus, quomodo singulos considerare conveniat. [5] Arbitror autem & eos qui de clau- 24 dicationibus prædixerunt, aliisque ejusmodi, [6] confirmato jam morbo prædixisse, & quum jam manifestum esset, quod abscessus non esset recursurus, [7] si modo intelligentiam habuerunt: [8] multo sane magis quam priusquam abscessus fieri inciperet. [9] Spero item & alia prædixisse, magis humano more quam refertur [10] (quæ videlicet ementibus & negociationes tractanti- 25 bus prædixisse dicuntur) mortes, & morbos, & insanias. [11] Atque hæc mihi videntur talia facta esse; & nulla mihi videtur esse difficultas prædicendi, si quis circa talia studium ac curam adhibere velit. [12] Primum etenim aqua inter cutem laborantes, & tabidos quis non cognoverit? [13] Deinde deliraturi non diu latere possunt,

μὴ πολὺ λανθάνειν, εἴ τις εἰδείη, οἷσι τὸ νόσημα τοῦτο ἢ ξυγγενές ἐστιν, ἢ πρόσθεν ποτ' ἐμάνησαν. 14 εἰ γὰρ οὗτοι οἱ ἄνθρωποι οἰνοφλυγοῖεν, ἢ κρεηφαγοῖεν, ἢ ἀγρυπνοῖεν, ἢ τῷ ψύχει ἢ τῷ θάλπει ἀλογίστως ὁμιλοῖεν, 15 πολλαὶ ἐλπίδες, ἐκ τουτέων τῶν διαιτημάτων παραφρονῆσαι αὐτούς. 16 τούς τε αἱμοῤῥοΐδας ἔχοντας, εἴ τις ὁρώη τοῦ χειμῶνος πολυποτέοντάς τε καὶ εὐχρόους ἐόντας, ἔστι προειπεῖν ἀμφὶ τούτων. 17 ἐς γὰρ τὸ ἔαρ καταῤῥαγῆναι τὸ αἷμα, πολλαὶ ἐλπίδες· 18 ὥστε ἀχρόους τε καὶ ὑδαλέους ὑπὸ τὴν θερείην τούτους εἶναι.

III. Ἀλλὰ χρὴ προλέγειν καταμανθάνοντα πάντα ταῦτα, ὅστις τῶν τοιουτέων ἐπιθυμέει ἀγωνισμάτων. 2 ἔστι γὰρ ἐκ τῶν γεγραμμένων προειπεῖν καὶ θάνατον, καὶ μανίην, καὶ εὐεξίην. 3 εἴποιμι δ' ἂν καὶ ἄλλα πάμπολλα τοιαῦτα· 4 ἀλλὰ τὰ εὐγνωστότατα ἔδοξέ μοι γράψαι. 5 συμβουλεύω δὲ ὡς σωφρονεστάτους εἶναι, ἔν τε τῇ ἄλλῃ τέχνῃ, καὶ ἐν τοῖσι τοιούτοισι προῤῥήμασι· 6 γινώσκοντας ὅτι, ἐπιτυχὼν μὲν ἄν τις τοῦ προῤῥήματος, θαυμασθείη ὑπὸ τοῦ ξυνιέντος ἀλγέοντος· 7 ἀποτυχὼν δ' ἄν τις, πρὸς τῷ μισηθῆναι, τάχ' ἂν καὶ μεμηνέναι δόξειεν. 8 ὧν δὴ ἕνεκα κελεύω, σωφρόνως τὰ προῤῥήματα ποιέεσθαι, καὶ τἄλλα πάντα καὶ ταῦτα. 9 καίτοι γε ἀκούω καὶ ὁρῶ, οὔτε κρίνοντας ὀρθῶς τοὺς ἀνθρώπους τὰ λεγόμενά τε καὶ ποιεύμενα ἐν τῇ τέχνῃ, οὔτ' ἀπαγγέλλοντας.

IV. Ἀμφὶ δὲ τῶν γυμναζομένων καὶ ταλαιπωρεόντων, τὰς μὲν ἀπαγγελίας τὰς λεγομένας, ὡς ἐλέγχουσιν οἱ λέγοντες, οὔτε ἀληθέας εἶναι,

possunt, si quis noverit quibus his morbus cognatus est, aut prius aliquando insaniverunt. 14 Si enim hi homines ebriosi fuerint, aut carnes voraverint, aut vigilaverint, aut in frigore aut calore inconsiderate versati fuerint, 15 multus timor est ex tali victus ratione ipsos deliraturos esse. 16 Et eos qui hæmorrhoidas habent, si quis hyeme multo potu uti viderit, & bono colore præditos, de his prædicere licet; 17 quod ad ver multa spes sit sanguinis eruptionis, 18 ut & decolores & aquatici sub æstatem fiant.

III. Verum omnia hæc addiscere ac prædicere oportet, si quis in talibus studiis palmam ferre expetat. 2 Licet enim ex scriptis prædicere, & mortem, & insaniam, & bonam habitudinem. 3 Possem autem referre & alia multa hujusmodi, 4 sed quæ facillima cognitu sunt visum est mihi scribere. 5 Consulo autem ut quam prudentissime agant, tum in reliqua arte, tum in hujusmodi prædictionibus, 6 illius probe memores: quod si cui successerit prædictio, is apud ægrotum intelligentia præditum in admiratione fuerit. 7 Si vero quis aberrarit, supra hoc quod odio habetur, fortasse etiam insanire videbitur. 8 Quapropter jubeo, ut tum alias omnes, tum has prædictiones prudenter faciant: 9 quanquam sane & audiam, & videam, neque judicare recte homines ea quæ dicuntur ac fiunt in arte, neque narrare.

IV. Cæterum de his qui exercentur ac laboribus se fatigant, eas asseverationes quas afferunt hi qui ipsas afferunt, neque esse

εἶναι, οὔτ' εἴ τις δοκέει, κωλύω δοκέειν. [2] ἀπὸ σημείου μὲν γὰρ οὐδενὸς βλάπτεται τὰ ὑπονοήματα, οὔτε καλοῦ, οὔτε κακοῦ, [3] ᾧ χρή τις σύνοιδεν εἰδέναι, εἴτε ὀρθῶς ἀπήγγελται, εἴτε μή. [4] ἄλλως δὲ ἐκποιέει τῷ βουλομένῳ πιστεύειν· οὐ γὰρ ἐμποδὼν ἵσταμαι. [5] δοκέω δὲ αὐτῶν εἴ τι ἀληθὲς λέγεται, ἢ τῶνδε τῶν περὶ τοὺς γυμναζομένους, ἢ ἐκείνων τῶν πρότερον γεγραμμένων, [6] πρῶτον μὲν τῶν σημείων τεκμήρασθαι τοῦτον γνόντα, [7] ἔπειτα ἐνδοιαστῶς τε καὶ ἀνθρωπίνως προειπεῖν· [8] ἅμα δὲ καὶ τοὺς ἀπαγγέλλοντας τερατωδεστέρως διηγεῖσθαι ἢ ὡς ἐγένοντο. [9] ἐπεὶ οὐδὲν τῇσι νούσοισιν εὐπετές γινώσκειν τὰ ἁμαρτήματα, [10] καί τοι κατακειμένων τῶν ἀνθρώπων, καὶ διαιτημένων ὀλιγοτρόφοισι χρέονται. [11] ὥστε μὴ πάμπολλα δεῖ ὁρέεσθαι ἀποσκεπτόμενον τὸν μελεδαίνοντα. [12] οἱ μὲν γὰρ πίνουσι μόνον, οἱ δὲ πρὸς τῷ πίνειν, ἢ ῥόφημα, ἢ σιτίον βέλτιστον ἐπιφέρονται.

V. Ἀνάγκη οὖν ἐν τῷ τοιούτῳ τοὺς μὲν τῷ ποτῷ πλέονι χρησαμένους δυσπνοωδεστέρους γίνεσθαι, καὶ οὐρέοντας πλέον φαίνεσθαι. [2] τοὺς δὲ τῷ ῥοφήματι ἢ τῷ σιτίῳ πλεονάσαντας, διψῆν τε μᾶλλον καὶ πυρεταίνειν. [3] εἰ δέ τις ἀμφοτέροις, καὶ τῷ ποτῷ καὶ τοῖσι περὶ τὰ σιτία ἀμέτρως χρήσαιτο, [4] πρὸς τῷ πυρεταίνειν καὶ δυσπνοέειν καὶ τὴν γαστέρα περιτεταμένην καὶ μείζω ἔχειν. [5] ἔξεστι δὲ καὶ ταῦτα καὶ τὰ ἄλλα πάντα κάλλιστα βασανίζειν, καὶ τὰ ἄλλα τοῖσι δοκιμίοισι, οἷσιν ἔχομέν τε καὶ χρεόμεθα ὀρθῶς πάντα. [6] πρῶτον μὲν γὰρ τῇ γνώμῃ τε καὶ τοῖσιν ὀφθαλμοῖσιν ἄνθρωπον κατακείμενον ἐν τῷ αὐτῷ, καὶ ἀτρεκέως διαιτώμενον ῥᾷόν ἐστι γνῶναι, ἢν τι ἀπρηθήσῃ, ἢ περιοδοιπορέοντα, καὶ πάμπολλα ἐσθίοντα. [7] ἔπειτα τῇσι χερσὶ

puto, neque si quis putat prohibeo. [2] A nullo enim signo, neque bono, neque malo, læduntur suspiciones, [3] cui signo fido habita quis sciat, an recte pronunciatum sit, aut secus: [4] alioqui per me licet ut si quis velit credat. Non enim ego impedimento sum. [5] Arbitror autem si quid veri ab ipsis dicitur, aut his qui de his qui exercentur asseverant, aut illis qui prius scripti sunt: [6] primum quidem hunc qui cognovit, ex signis conjectasse: [7] deinde vero ambigue & humano more prædixisse, [8] & simul eos qui id narrant, monstrosius quam factum fuit recensere. [9] Nam neque in morbis facile est peccata cognoscere, [10] etiamsi decumbant homines, & victu parum nutriente utantur, [11] ut non adeo multa intueri opus sit eum qui hæc considerandi curam suscepit. [12] Alii enim bibunt solum: alii ad hoc quod bibunt, aut sorbitionem, aut cibum paucissimum assumunt.

v. Necesse igitur est eos qui uberiore potu usi sunt, magis difficulter spirare, & plus urinæ ejicere. [3] Si vero quis utrisque, & potu & cibo, immodice usus fuerit, [4] ad hoc quod febrit, & difficulter spirat, etiam ventrem circumtentum & majorem habebit. [5] Licet porro & hæc, & alia omnia experimentis optime explorare, quæ & habemus, & omnibus recte utimur. [6] Primum equidem & intelligentia, & oculis cognoscere facile est, hominem in eodem loco decumbentem, & exacta victus ratione utentem, si non paruerit, aut obambulando, aut multa edendo. [7] Deinde qui manibus contrecta-

χερσὶ ψαύσαντα τῆς γαστρός τε καὶ τῶν φλεβῶν, ἧσσον ἔστιν ἐξαπατηθῆναι, ἢ μὴ ψαύσαντα. [8] Αἵ τε ῥῖνες, ἐν μὲν τοῖσι πυρεταίνουσι, πολλά τε καὶ καλῶς σημαίνουσιν. [9] Αἱ γὰρ ὀδμαὶ μέγα διαφέρουσιν. [10] Ἐν δὲ τοῖσι ἰσχύουσί τε καὶ ὀρθῶς διαιτωμένοισιν οὐκ οἶδα, ὅ, τι ἂν χρησαίμην, ἐν τούτῳ τῷ δοκιμίῳ. [11] Ἔπειτα τοῖσιν ὠσὶ τῆς φωνῆς ἀκούσαντα καὶ τοῦ πνεύματος ἔστι διαγινώσκειν, ἃ ἐν τοῖσιν ἰσχύουσιν οὐχ ὁμοίως ἐστὶ δῆλα, ἀλλ' οἵως πρόσθεν.

VI. [1] Ἢν τὰ ἤθεα τῶν νοσημάτων τε καὶ τῶν ἀλγεόντων ἐκμάθῃ ὁ ἰητρὸς, οὐ χρὴ προλέγειν οὐδέν. [2] Οὐ γὰρ ἂν δυσπειθέστερος ἄνθρωπος γένοιτο, ἔτι πλανωμένης τῆς νούσου, καὶ πυρετοῦ τυχὼν ὀξυτέρου πυρὸς, καὶ ἡ γαστὴρ ἐπιλάβοιτο. [3] Ὥστε διὰ ταῦτα οὐκ ἀσφαλὲς προλέγειν πρόσθεν, πρὶν ἂν καταστῆναι λαβεῖν τὸ νόσημα. [4] Μετὰ δὲ τοῦτον τὸν χρόνον, ἅ, τι ἂν παρὰ λόγον γένηται, λέγειν χρή. [5] Δῆλα δὲ τὰ διὰ τὴν ἀπειθείην γινόμενα κακά. [6] Αἵ τε γὰρ δύσπνοιαι, καὶ πολλὰ τοιαῦτα τῇ ὑστεραίῃ πεπαυμένα γίνεται, ἢν δι' ἁμαρτάδα γένηται. [7] Ἢν οὖν τις ταύτην τὴν κρίσιν προειδὼς λέγῃ, οὐχ ἁμαρτήσεται. [8] Ἐγὼ μὲν νῦν τόνδε τὸν τρόπον ἐσηγέομαι τῶν ἐπισκέψιων, καὶ περὶ τῶν οἴκοι μενόντων, εἴ τι ἐξαμαρτάνουσιν, καὶ περὶ τῶν γυμναζομένων τε καὶ τῶν ἄλλων πάντων. [9] Τὰς δ' ἀκριβείας κείνας ἀκούω τε καὶ καταγελῶ τῶν ἀπαγγελλόντων. [10] Σμικρῶν μὲν γὰρ ἀπειθεόντων τῶν ἀνθρώπων, οὐκ οἶδ', ὅπως ἂν ἐλέγξαιμι. [11] Εἰ δὲ εἴη μείζονα τὰ ἁμαρτήματα, ὅντινα τρόπον ὑποσκέπτεσθαι χρὴ, γράφω.

trectavit ventrem ac venas, minus falli potest, quam qui non contrectavit. [8] Et nares in febrientibus quidem, & multa & bene significant. [9] Odores enim multum inter se differunt. [10] At vero in sanis & recto victu utentibus, haud scio qua re vel in hoc experimento faciendo uti possim. [11] Postea audiendo vocem & spiritum auribus cognoscere datur, quæ in sanis non similiter sunt manifesta, sed qualiter etiam antea.

VI. Quod si etiam mores morborum ac ægrotorum didicerit medicus, non tamen quicquam prædicere oportet. [2] Non enim difficilius spirabit homo, morbo adhuc errante, & febriet acutiore febre, & venter intentus fuerit. [3] Quare propter hæc non tutum est prædicere, priusquam statum accipiat morbus. [4] Verum post hoc tempus, quicquid præter rationem acciderit, dicere oportet. [5] Manifesta vero sunt mala, quæ propter ægri inobedientiam fiunt. [6] Nam & spirandi difficultates, & alia hujusmodi postridie sedabuntur, si ob peccatum fiunt. [7] Si igitur quis hanc judicationem considerans dixerit, non delinquet. [8] Atque ego quidem hunc considerandi modum nunc consulo, tum de his qui domi manent, tum de his qui exercentur, itemque de aliis omnibus, qualia peccata committant. [9] At exactam illam narrantes rationem & audio, & derideo. [10] Quum enim parum inobedientes fuerint homines, haud scio quomodo id deprehendere possim. [11] Si vero majora fuerint peccata, quem in modum considerare oporteat scribam.

VII. Χρὴ δὲ πρῶτον μὲν τὸν ἄνθρωπον, ἐν ᾧ μέλλει τις γνώσεσθαι τὰ ἀπειθεόμενα, ἐπισκοπεῖν ἡμέρην ὅλην, ἐν τῷ αὐτῷ τε χωρίῳ, καὶ τὴν αὐτὴν ὥρην, μάλιστα δὲ ἅμα ἡλίῳ νέον ἀνίσχοντι. τοῦτον γὰρ τὸν χρόνον ὑποκεκενωμένος τε ἂν εἴη, καὶ νῆστις μὴν ἔτι ἐστὶ, καὶ ταλαιπωρηκὼς οὐδὲν, πλὴν τῶν ὀρθρινῶν περιπάτων, ἐν οἷς ἥκιστα ἀπειθεῖ, ἤν γε ἀπεγερθεὶς ἄνθρωπος ἐς τὴν περίοδον καταστῇ. ὥστε ἀνάγκη τὸν δικαίως διαιτώμενον μάλιστα ταύτην τὴν ὥρην, ὁμαλῶς ἔχειν τῆς καταστάσιος τῶν χρωμάτων τε καὶ τοῦ ξύμπαντος σώματος. διὸ δὲ ὁ ἐπιμελεόμενος ὀξύτατος τ' ἂν εἴη καὶ τὸν νόον καὶ τοὺς ὀφθαλμοὺς, ἀπὸ τούτου τοῦ χρόνου. ἐνθυμέεσθαι δὲ χρὴ καὶ τοῦ ἀνθρώπου τὴν γνώμην, καὶ τοὺς τρόπους, καὶ τοῦ σώματος τὴν δύναμιν. ἄλλοι γὰρ ἄλλα ῥηϊδίως ἐπιτελέουσι τῶν προστασσομένων, καὶ χαλεπῶς. πρῶτον μὲν οὖν ὁ λιμαγχεόμενος, ἐς πλείονα φάγῃ τε καὶ πίῃ, τούτοισι δῆλος ἔσται, καὶ ὀγκηρότερον αὐτοῦ τὸ σῶμα φανεῖται, καὶ λιπαρώτερον καὶ εὐχρούστερον ἔσται, ἢν μὴ κακῶς διακεχωρήκῃ τὰ ἀπὸ τῆς γαστρὸς αὐτῷ. ἔσται δὲ καὶ εὐθυμότερος ἐν τῇ ταλαιπωρίῃ. σκεπτέον δὲ καὶ, ἤν τι ἐρυγγάνῃ, ἢ ὑπὸ φύσης ἔχηται. ταῦτα γὰρ προσήκει γίνεσθαι τοῖσιν ὧδε διακειμένοισιν ἐπὶ ταύτῃ τῇ ἁμαρτάδι.

VIII. Ἢν δὲ ἐσθίειν τὰ ἤδη ἀναγκαζόμενος συχνὰ, καὶ ταλαιπωρεῖν ἰσχυρῶς, ἢ τὸ σιτίον μὴ καταφάγῃ, ἢ θωρηχθῇ, ἢ μὴ περιπατῇ ἀπὸ τοῦ δείπνου συχνοῦ, ὧδε ὑποσκέπτεσθαι. τὸ μὲν δεῖπνον εἰ μὴ καταφάγοι, περιπατήσῃ δὲ τὰ μεμαθη-

VII. Oportet autem primum hominem, in quo quis per inobedientiam admissa cognoscere volet, per totum diem intueri, & in eodem loco, & eadem hora, sole præsertim recens orto, hoc enim tempore subevacuatus fuerit, & adhuc jejunus est, & nullo labore fatigatus est, præterquam matutinis deambulationibus, in quibus minime inobediens est, si sane ubi de somno surrexit homo, ad deambulandum prodierit. Quare necesse est eum qui justa victus ratione utitur, hac hora maxime æqualiter habere, & coloris, & totius corporis constitutionem. Quapropter & is qui hujus considerationis curam gerit, acutissimus fuerit & mente, & oculis, eo tempore. Contemplari præterea oportet hominis mentem, & mores, & corporis vires. Alii enim alia facilius aut difficilius imperata faciunt. Primum igitur is cui inedia imperata est, si plura comederit & biberit, per hæc manifestus fiet, & tumidius corpus ipsius apparebit, & plenius ac coloratius erit, si non excrementa alvi male ipsi processerint. Erit item animosior ad ferendum laborem. Considerandum etiam an ructum edat, aut à flatibus urgeatur. Hæc enim fieri solent, his qui ita affecti sunt, propter hoc peccatum.

VIII. Si vero dum edere multa cogitur, & fortiter laborare, aut cibum imperatum non ederit, aut ebrius factus fuerit, aut à cœna larga non obambulaverit, hoc modo explorare oportet. Siquidem cœnam non ederit, solito autem more deambula-

μεμαθηκότι, ἥδιόν τε ἂν προσιδεῖν, 15 ὀξύτερός τε καὶ ἐργατικώτερος, ἐν τοῖσι γυμνασίοισι. 3 ἡ δὲ διέξοδος σμικροτέρη τε καὶ ξυνεστηκὼς μάλιστ' ἂν τούτῳ γένοιτο. 4 ἢν δὲ τὸ δεῖπνον καταφαγὼν μὴ περιπατήσῃ, 5 ἐρυγγάνοι τ' ἂν, 6 καὶ φυσώδης εἴη, 7 καὶ πλῆθος οὐκ ἔλασσον φαίνοιτο, 8 καὶ ἱδρώη ἂν μᾶλλον ἢ πρόσθεν ἐν τῇ ταλαιπωρίῃ, 9 καὶ δύσπνοος ἂν εἴη, 10 καὶ βαρὺς, 11 αἵ τε διέξοδοι τῆς κοιλίης μέζονές τε καὶ ἧσσον γλίσχραι τουτέων γένοιντ' ἄν. 12 εἰ δὲ μήτε τὸ σιτίον καταναλώσεις, μήτε περιπατήσειε, νωθρότε-20 ρος ἂν εἴη καὶ ὀγκωδέστερος. 13 εἰ δὲ μεθυσθείη, ἱδρώη τ' ἂν μᾶλλον ἢ πρόσθεν, καὶ δύσπνοος ἂν εἴη, καὶ βαρύτερος αὐτὸς ἑωυτοῦ, καὶ ὑγρότερος. 14 εἴη δ' ἂν καὶ εὐθυμότερος, ἢν μή τι αὐτῷ ἡ κεφαλὴ ἐνοχλοίη. 15 γυναικὶ δὲ χρησάμενος ἅπαξ, ὀξύτερός τ' ἂν εἴη καὶ λελυμένος μᾶλλον. 16 εἰ δὲ πλειστάκις διαπρήξειε, σκληρότερος ἂν γένοιτο, καὶ αὐχμηρόν τι ἔχειν, καὶ ἀχρότερός τε καὶ κοπιώδης μᾶλλον.

IX. 1 Ἀποπάτους δὲ χρὴ διαχωρέειν τοῖσι ταλαιπωρέουσιν, ἐς μὲν 25 ὀλιγοσιτέωσί τε καὶ ὀλιγοποτέωσι, σμικρούς τε καὶ σκληρούς· ἀνὰ δὲ πᾶσαν ἡμέρην. 2 ἢν δὲ καὶ διὰ τρίτης, ἢ τετάρτης, ἢ διὰ πλείονος χρόνου [μὴ] διαχωρέῃ, κίνδυνος ἢ πυρετὸν ἢ διάῤῥοιαν ἐπιλαβεῖν. 3 ὅσα δὲ ὑγρότερα ἐστὶ τῶν διαχωρημάτων, ἢ ὥστε ἐκτυποῦσθαι ἐν τῇ διεξόδῳ, ταῦτα δὴ πάντα τοῖσι κακίω. 4 τοῖσι δὲ συχνὰ ἐσθίουσιν ἤδη, καὶ πολλὰ ταλαιπωρέουσι, τὴν διέξοδον χρὴ, μαλθακὴν ἔοῦσαν, ξηρὴν εἶναι, πλῆθός τε τῶν ἐσιόντων 30 κατὰ λόγον τῆς ταλαιπωρίης. 5 Διαχωρέε-

bulaverit, iucundiorem aspectum præ se feret, & vegetior ac operosior in exercitiis erit. 3 Verum alvi egestio modica & compacta maxime in hoc fuerit. 4 Si vero cœna sumpta non deambulaverit, 5 ructum utique edet, 6 & flatuosus fuerit, 7 & plenitudo non minor apparebit, 8 & inter laborandum magis quam antea sudabit, 9 & difficulter spirabit, 10 ac gravis erit, 11 & transitus alvi maiores ac minus viscosi his fuerint. 12 Quod si neque cibum consumpserit, neque deambulaverit, pigrior utique fuerit ac tumidior. 13 Si vero ebrius factus fuerit, sudabit magis quam antea, & difficulter spirabit, & ipse seipso gravior erit ac humidior. 14 Sed & lætior erit, si non caput ipsi affligatur. 15 Quod si uxore semel usus fuerit, vegetior utique erit, & magis solutus. 16 Si vero sæpius rem peregerit, durior evadet, & squallorem quendam habebit, & decoloratior ac magis lassatus erit.

IX. Porro egestiones alvi procedere oportet his qui laboribus exercentur, quamdiu parum ederint, ac parum potaverint, modicas & duras, atque hoc quotidie. 2 Si vero tertio quoque die, aut quarto, aut ex longiore intervallo prodierint, periculum est aut febri, aut alvi profluvio corripiendos esse. 3 Quæcunque vero egestiones liquidiores sunt, quam ut in transitu conformentur, hæc sane omnes peiores sunt. 4 At vero his qui multum edunt, & multum laborant, oportet egestionis transitum mollem, oportet esse siccum, & copiam ciborum ingestorum pro ratione laboris 5 Procedens

χωρέει δὲ ἀπὸ τῶν ἴσων σιτίων, τοῖσι μὲν ἐλάχιστα ταλαιπωρέουσι πλεῖστα, τοῖσι δὲ πλεῖστα ταλαιπωρέουσιν ἐλάχιστα· [6] σμικρὰ [δὲ,] ἢν ὑγιαίνωσί τε καὶ δικαίως διαιτῶνται. [7] ἀλλὰ πρὸς ταῦτα συμβάλλεσθαι. [8] αἱ δὲ ὑγρότεραι τῶν διαχωρήσιων καὶ ἄτερ πυρετῶν γινόμεναι, καὶ ἑβδομαῖαι, καὶ θᾶσσον κρινόμεναι, λυσιτελέες, ἢν ἅπαξ πᾶσαι γινόμεναι, καὶ μὴ ὑποστρέφωσιν. [9] ἢν δ' ἐπιπυρεταίνωσιν οἱ ἄνθρωποι, ἢ ὑποστρέφωσιν αἱ διάρροιαι, ἢν μακραὶ γίνωνται, πάντως πονηραί· [10] εἴτε χολώδεες ἔωσιν, εἴτε φλεγματώδεες, [11] εἴτε ὠμαί, καὶ διαιτημάτων τε ἰδίων προσδεόμεναι ἕκασται, καὶ φαρμακοποσίων ἄλλαι ἄλλων.

x. Οὖρον δὲ χρὴ κατὰ τὸ τοῦ πινομένου πλῆθος διουρέεσθαι, καὶ ἴσον αἰεί, καὶ ἀθρόον ὡς μάλιστα, καὶ ῥοπῇ ὀλίγον παχύτερον, ἢ οἷον ἐπόθη. [2] ἢν δὲ εἴη ὑδατῶδές τε, καὶ πλεῖον τοῦ προσταττομένου πίνεσθαι, σημαίνει μὴ πείθεσθαι τὸν ἄνθρωπον, ἀλλὰ πλείονι ποτῷ χρέεσθαι, ἢ οὐ δυνάσθαι ἀνατρέφεσθαι, ἔστ' ἂν τὰ τοιαῦτα ποιέῃ τὸ οὖρον. [3] ἢν δὲ κατ' ὀλίγον τρύζοι τὸ οὖρον, σημαίνει ἢ φαρμακοποσίης δεῖσθαι τὸν ἄνθρωπον, ἢ νόσημά τι τῶν περὶ κύστιν ἔχειν. [4] αἷμα δὲ οὐρῆσαι, ὀλιγάκις μὲν καὶ ἄτερ πυρετοῦ καὶ ὀδύνης, οὐδὲν κακὸν σημαίνει, ἀλλὰ κόπων λύσις γίνεται. [5] ἢν δὲ πολλάκις οὐρέοι, ἤ τι τούτων προσγίνοιτο, δεινόν. [6] ἀλλὰ προλέγειν, ἤν τε ξὺν ὀδύνῃσιν οὐρέηται, ἤν τε ξὺν πυρετῷ, πύον ἐπιδιουρήσειν, καὶ οὕτω παύεσθαι τὰ ἀλγόν-

cedunt autem ab æquali ciborum copia, his quidem qui minimum laborant, plurimæ egestiones, his vero qui plurimum laborant, [6] modicæ, si sani fuerint, & justa victus ratione utantur. [7] Nam ad hæc conjecturam facere oportet. [8] Liquidiores autem egestiones, & sine febribus contingentes, & quæ septima die, aut citius judicantur, commodæ sunt, si semel una vice omnes fiant, & non revertantur. [9] Si vero insuper febrierint homines, aut alvi profluvia redierint, si longa fuerint, penitus mala sunt, [10] sive biliosa fuerint, sive pituitosa, [11] sive cruda: & victus ratione propria, singula opus habent, itemque medicamentis alia aliis.

x. Cæterum urinam juxta potionis copiam mingere oportet, & semper æqualem, & quam maxime acervatim, & momento paulo crassiorem, quam id quod in potu acceptum fuit. [2] Si vero fuerit aquosa, & copiosior quam pro eo quod bibi imperatum est, significat hominem non obedire, sed copiosiore potu uti: aut non posse renutriri, quam diu talia urinam faciunt. [3] Si vero paulatim stridat urina, aut medicamentis hominem opus habere significat, aut morbum aliquem circa vesicam habere. [4] At sanguinem mingere, raro quidem & sine febre ac dolore, nihil mali significat, sed lassitudinum solutio fit. [5] Si vero sæpius mingat, & aliquid ex his accesserit, malum est. [6] Verum prædicere oportet, sive cum dolore mingatur, sive cum febre, fore ut insuper pus mingat, atque ita dolores ac afflictiones quies-

γράφειν. 7 Παχὺ δὲ οὖρον, λευκὴν ὑπόστασιν ἔχον, σημαίνει περὶ τὰ ἄρθρα τινὰ ὀδύνην καὶ ἔπαρσιν. 8 Αἱ δ' ἄλλαι ὑποστάσιες αἱ ἐν τοῖσιν οὔροισιν τῶν γυμναζομένων, πᾶσαι ἀπὸ τῶν νοσημάτων γίνονται τῶν περὶ τὴν κύστιν. 9 Δῆλον δὲ ποιήσουσι· ξὺν ὀδυνήσι τε γὰρ ἔσονται, καὶ δυσαπάλλακτοι. 10 Καὶ ταῦτα μὲν γράφω περὶ τούτων, καὶ λέγω τοιαῦτα ἕτερα. 11 Ὧν δὲ δι' ἀκριβείας καλλιγραφέοντες τῶν προῤῥήσιων, τοῖσι μὲν αὐτῶν αὐτὸς ξυνεγενόμην, τῶν δὲ παισί τε καὶ μαθητῆσιν ἐλεγχησάμενος, τὰ δὲ ξυγγράμματα ἔλαβον. 12 Ὥς τε δὴ εἰδὼς, οἷα ἕκαστος αὐτῶν ἐφρόνει, καὶ τὰς ἀκριβείας οὐδαμοῦ οὔσας, ἐπιχείρησα τάδε γράφειν.

XI. Περὶ δὲ τῶν ὑδρώπων τε καὶ φθισίων, καὶ τῶν ποδαγρῶν, τῶν τε λαμβανομένων ὑπὸ τῆς ἱερῆς νούσου καλεομένης, τάδε λέγω· 2 [καὶ] κοινὸν μέν τι περὶ πάντων τὸ αὐτό· 3 τὸν γὰρ ξυγγενέα τουτέων τῶν νοσημάτων ἔστιν εἰδέναι δυσαπαλλάκτως ἐόντα. 4 Τὰ δὲ ἄλλα καθ' ἕκαστον γράψω. 5 Χρὴ δὲ τὸν ὑπὸ τοῦ ὕδρωπος ἐχόμενον καὶ μέλλοντα περιέσεσθαι, 6 εὔσπλαγχνόν τε εἶναι, 7 καὶ ἀναλέγεσθαι, καὶ φαγεῖν ἅμα πέπτεσθαί τε εὐπετέως, 8 εὔπνοόν τε ὄντα 9 ἀνώδυνον εἶναι, 10 καὶ χλιαρὸν, [καὶ] ὁμαλῶς πᾶν τὸ σῶμα ἔχειν, 11 καὶ μὴ περιτετηκὸς περὶ τὰ ἔσχατα. 12 Κρέσσον δὲ, ἐπάρματα μᾶλλον ἔχειν ἐν τοῖσιν ἀκρωτηρίοισιν. 13 Ἄριστον δὲ, μηδὲ ἕτερον τούτων. 14 Ἀλλὰ μαλακά τε χρὴ καὶ ἰσχνὰ εἶναι

quiescant. 7 Crassa vero urina albam subsidentiam habens, aut circa articulos dolorem aliquem, aut tumorem significat. 8 Aliæ vero omnes subsidentiæ in urinis eorum qui exercentur, à morbis circa vesicam fiunt, 9 id quod ipsi manifestum facient. Cum doloribus enim erunt, & tales ut difficulter quis ab ipsis liberari possit. 10 Atque hæc quidem de his scribo, & huiusmodi alia dico. 11 Cæterum ex his qui exactam ac certam prædictionum rationem prædicant, cum aliquibus ipse conversatus sum, cum aliquorum vero filiis ac discipulis rem contuli, quorundam vero scripta accepi. 12 Quare quum probe sciam qualiter quisque ipsorum sentiat, & exactas certitudines nusquam compererim, hæc scribere aggressus sum.

XI. At vero de aqua inter cutem, & tabidis, & podagris, & his qui à morbo sacro appellato corripiuntur hæc dico. 2 Ex aliqua quidem parte de omnibus idem. 3 (Nam qui hos morbos congenitos habet, is ægre ab ipsis liberari potest.) 4 Reliqua vero singulatim scribam de singulis. 5 Eum qui ab hydrope, sive aqua inter cutem correptus est, & superstes esse volet, 6 bonis visceribus præditum esse oportet, 7 ita ut natura se exerat, simulque facile concoquat, 8 & bene spiret, 9 sitque sine dolore, 10 & totum corpus æqualiter tepidum habeat, 11 & non circa extremas partes colliquatum. 12 Melius est autem ut tumores potius habeat in extremis partibus. 13 Optimum vero est neutrum horum habere. 14 Nam molles ac graciles esse

con-

εἶναι τὰ ἀκρωτήρια, [15] καὶ τὴν γα-
10 στέρα μαλθακὴν ' εἶναι ψαυομέ-
νην. [16] " βῆχα δὲ μὴ προσεῖναι, [17] 47
μηδὲ δίψαν, [18] μηδὲ τὴν γλῶσ-
σαν ἐπιξηραίνεσθαι, ἔν τε τῷ ἄλλῳ
χρόνῳ, καὶ μετὰ τοὺς ὕπνους· [19] γίνεται
δὲ τοῦτο μάλιστα. [20] τὰ δὲ σιτία ἡ-
δέως δέχεσθαι, [21] καὶ ἐσθίοντα ἱκανὰ
μὴ πονέεσθαι. [22] τὴν δὲ κοιλίην
πρὸς μὲν τὰ φάρμακα ὀξέην εἶ-
ναι, τὸν δ' ἄλλον χρόνον διαχωρέειν
μαλθακὸν ἐκτετυπωμένον. [23] τὸ
δὲ οὖρον φαίνεσθαι περαινόμενον
" πρὸς τὰ ἐπιτηδεύματα καὶ τὰς οἴ- 48
νων τὰς μεταβολάς. [24] " τὴν δὲ 49
15 ταλαιπωρίην εὐπετῶς ' φέρειν, καὶ
ἄκοπον εἶναι. [25] ἄριστον μὲν οὕτω
πάντα διακεῖσθαι τὸν ἄνθρωπον, καὶ
ἀσφαλέστατ' ἂν οὕτως ὑγιαίνοι. [26] εἰ
δὲ μὴ, ὡς πλεῖστα τούτων ἐχέτω. [27]
ἐν ἐλπίσι γὰρ ἔσται περιγενέσθαι. [28]
ὃς δ' ἂν μηδὲν τούτων ἔχῃ, ἀλλὰ
τὰ ἐναντία, ἀνέλπιστον ἐστὶ εἰδέ-
ναι. [29] ὃς δ' ἂν τούτων ὀλίγα ἔχῃ,
ἃ φημὶ χρηστὰ εἶναι τῷ ὑδρωπιῶν-
τι προσεῖναι, ὀλίγαι ἐλπίδες αὐ-
τῷ. [30] " ᾧ δ' ἂν αἱμοῤῥαγέη πολ- 50
λὸν ἄνω καὶ κάτω, καὶ πυρετὸς ἐπι-
γένηται, ὕδατος ἐμπλησθῆναι
20 πολλαὶ ἐλπίδες ' τοῦτον. [31] καὶ τῶν
ὑδρώπων οὗτος ὀλιγοχρονιώτατός
τε καὶ ἐν τοῖσιν ἀφυκτοτάτοισιν.
[32] ἀλλὰ δὲ προσημαίνειν περὶ τού-
του. [33] " οἷσι δὲ οἰδήματα μεγά- 51
λα γενόμενα καταμαραίνεται, καὶ
αὖθις ἐπαίρεται, οὗτοι δὲ μᾶλλον πε-
ριγίνονται τῶν ἐκ τῆς αἱμάτων τῆς ἀ-
ναῤῥήξιος " ἐμπιπλαμένων. [34] 52
" ἐξαπατέουσι δὲ τοὺς ἀλγέοντας οὗ- 53
τοι οἱ ὕδρωπες, ὥς τε ποιέουσιν
αὐτοὺς ἀπιόντας τοῖσιν ἰητροῖσιν
ἀπόλλυσθαι.

XII. Περὶ δὲ τῶν φθινόντων, κατὰ
μὲν

' convenit extremas partes; [15] 16
itemque ventrem ad contactum
mollem. [16] Tussim vero adesse
non oportet, [17] neque sitim, [18]
neque linguam resiccari, tum
reliquo tempore, tum post som-
nos, [19] quando hæc valde fieri
solent. [20] At cibos libenter acci-
pere oportet, [21] & ubi multum
satis comedit, non affligi. [22]
Alvum vero ad medicamenta
quidem celerem habere, reliquo
autem tempore egerere recre-
mentum molle efformatum. [23]
' Urinam autem apparere conve- 165
nit, pro studiorum ratione, &
vinorum mutatione transeunte.
[24] Laborem vero ferre oportet
facile, & lassitudinis exortem
esse. [25] Ac optimum quidem est
hominem ita per omnia disposi-
tum esse, & sic securissime sanus
fieri poterit. [26] Sin minus, plu-
rima ex his habeat. [27] Nam spes
erit ut superstes evadat. [28] Qui
vero nihil horum habuerit, sed
contraria, eum desperatum esse
scito. [29] ' Qui autem pauca ho- 170
rum habuerit, quæ bona esse
dixi, si hydrópe laboranti adsint,
huic exiguæ spes restant. [30] Cui
vero multum sanguinis sursum
ac deorsum eruperit, & febris
insuper accesserit, eum multa
aqua repletum iri timor est, [31]
atque hic hydrops brevissimi ti-
moris est, & ex quo paucissimi
evadunt. [32] Verum de hoc alteri
prius significare oportet. [33] At
quibus magni tumores facti e-
marcescunt ' ac rursus attollun- 175
tur, hi magis convalescunt quam
illi qui ex sanguinis eruptione
implentur. [34] Verum fallunt hi
hydropes ipsos ægrotos, faciunt-
que ut ipsi á medicis discedant
ac pereant.

XII. De tabescentibus quod
ad

μετὰ τὸ πτύελον καὶ τὴν βῆχα, ταῦτα λέγω, ἅπερ περὶ τῶν ἐμπύων ἔγραφον. [2] Χρὴ γὰρ τὸ πτύελον τοῦ μέλλοντος καλῶς ἀπαλλάξειν, εὐπετέως τε ἀναβήσσεσθαι, καὶ εἶναι λευκὸν, καὶ ὁμαλὸν, καὶ ὁμόχροον, καὶ ἀφλέγμαντον. [3] Τὸ δὲ ἀπὸ τῆς κεφαλῆς καταῤῥέον, ἐς τὰς ῥῖνας τετράφθαι. [4] Πυρετὸν δὲ μὴ λαμβάνειν, ὥστε τῶν δείπνων μὴ κωλύεσθαι, μηδὲ διψῆν. [5] Ἡ δὲ γαστὴρ ὑποχωρέετω πᾶσαν ἡμέρην, καὶ τὸ ὑποχωρέον ἔστω σκληρὸν, πλῆθος δὲ κατὰ τὰ ἐσιόντα. [6] Τὸν δὲ ἄνθρωπον ὡς ἥκιστα λεπτὸν εἶναι. [7] Τὸ δὲ στῆθος ἐπαινέειν χρὴ τετράγωνόν τε ἐὸν καὶ λάσιον, [8] καὶ ὁ χόνδρος αὐτοῦ μικρὸς ἔστω, καὶ σεσαρκωμένος ἰσχυρῶς. [9] Ὅστις μὲν γὰρ ταῦτα πάντα ἔχει, περιεστικώτατος γίνεται. [10] Ὃς δ᾽ ἂν μηδὲν τούτων ἔχῃ, ὀλεθριώτατος.

XIII. [1] Ὅσοι δ᾽ ἂν ἔμπυοι γένωνται, νέοι ἐόντες, ἐξ ἀποσκήψιος, ἢ σύριγγος, ἢ ἀπ᾽ ἄλλου τινὸς τῶν τοιούτων, ἢ ἐκ παλινδρομίης ἀποστάσιος, οὐ περιγίνονται, [2] ἢν μὴ πολλὰ κάρτα αὐτοῖσιν ἐπιγένηται τῶν ἀγαθῶν σημείων. [3] Ἀπόλλυνται δὲ οἱ ἄνθρωποι οὗτοι ἐς τὸ φθινόπωρον. [4] Ἰσχυρῶς δὲ καὶ ἐκ τῶν ἄλλων νοσημάτων μακρῶν ἐς τὴν ὥρην ταύτην τελευτῶσιν οἱ πλεῖστοι. [5] Τῶν δ᾽ ἄλλων ἥκιστα περιγίνονται αἵ τε παρθένοι καὶ αἱ γυναῖκες, ἧσιν ἀπολήψει ἐπιμηνίων ἡ φθίσις γίνηται. [6] Εἰ δὲ μέλλοι τις περιέσεσθαι τῶν παρθένων ἢ τῶν γυναικῶν, τῶν τε ἄλλων σημείων τῶν ἀγαθῶν δεῖ πολλὰ ἐπιγενέσθαι, [7] καὶ τὰ ἐπιμήνια λαμπρῶς τε καὶ καθαρῶς ἐπιφαίνεσθαι. [8] Ἢ οὐδεμίη ἐλπίς.

XIV. Οἱ δὲ ἐκ τῶν αἱμάτων τῆς ἀναῤῥήξιος ἔμπυοι γενόμενοι τῶν τε ἐν-

ad sputum ac tussim attinet, eadem dico quæ de pectore suppuratis scripsi. [2] Oportet enim eum qui probe liberari volet, facile sputum per tussim rejicere, & id esse album, & æquale, & ejusdem coloris, & ab inflammatione alienum. [3] Quod vero à capite defluit, ad nares converti: [4] febrem autem non invadere, ut ne à cœnis prohibeatur, neque sitiat. [5] Venter autem egerat quotidie, & id quod egerit sit durum, copia pro ratione ciborum ingestorum. [6] Hominem vero quam minime tenuem esse oportet. [7] Pectus autem laudare convenit quadrangulum & hirsutum, [8] & os ipsius parvum sit, & robuste carnosum. [9] Quicunque enim hæc omnia habuerit, maxime superstes erit. [10] Qui vero nihil horum habet; interitui proximus.

XIII. Quicunque vero pectore suppurati facti fuerint, dum juvenes sunt, ex humorum illapsu, aut fistula, aut alio quopiam hujuscemodi, aut ex abscessus recursu, hi non evadunt, [2] nisi valde multa bona signa ipsis accesserint. [3] Pereunt autem homines hi ad autumnum. [4] Sed & ex aliis morbis longis plerique ad hoc tempus maxime moriuntur. [5] Cæterum ex aliis minime superstites manent & virgines, & mulieres, quibus ex suppressis mensibus tabes oborta est. [6] Si vero aliqua virgo, aut mulier evasura est, & aliorum signorum bonorum multa accedere oportet, [7] & menses splendide ac pure apparere, [8] aut nulla spes est.

XIV. Qui vero ex sanguinis eruptione, pectore suppurati

ἀνδρῶν καὶ τῶν γυναικῶν καὶ τῶν παρθένων, περιγίνονται μὲν οὐχ ἧσσον. [2] Τοῖσι δὲ σημείοισι χρὴ πᾶσιν ἀναλογισάμενον, τά τε περὶ τῶν ἐμπύων καὶ τῶν φθινόντων, προλέγειν τόν τε περιεσόμενον καὶ τὸν ἀπολλύμενον. [3] Μάλιστα δὲ περιγίνονται ἐκ τῶν αἵματος ἀναῤῥήξιων, οἷσιν οὖν ἀλγήματα ὑπάρχει μελαγχολικὰ ἔν τε τῷ νώτῳ καὶ ἐν τῷ στήθει, καὶ μετὰ τὴν ἀνάῤῥηξιν ἀνωδυνώτεροι γίνονται. [4] Βῆχές τε γὰρ οὐ κάρτα ἐπιγίνονται καὶ πυρετοί. [5] Οἱ [δὲ] πλεῖστοι διατελέουσιν ἐόντες δίψαν εὐπετέως φέροντες. [6] Ὑποστροφαὶ δὲ τῆς ἀναῤῥήξιος μάλιστα γίνονται τούτοισιν, ἢν μὴ ἀποστάσιες ἐπιγίνωνται. [7] Ἄρισται δὲ τῶν ἀποστασίων αἱ αἱματηρόταται. [8] Ὁκόσοισι δὲ ἐν τοῖσι στήθεσιν ἀλγήματα ἔνεστι, καὶ διὰ χρόνου λεπτύνονταί τε καὶ βήσσουσι, καὶ δύσπνοοι γίνονται, οὔτε πυρετῶν ἐπιλαμβανόντων, οὔτε ἐμπυημάτων ἐπιγινομένων, [9] τούτους ἐπανερέσθαι, ὁκόταν βήσσωσί τε καὶ δύσπνοοι ἔωσι, [10] καὶ ξυνεστραμμένον τι καὶ μικρὸν, ὀδμὴν ἔχον, ἐκβήσσωσι.

XV. Περὶ δὲ ποδαγριώντων τάδε. [2] Ὅσοι μὲν γέροντες περὶ τοῖσιν ἄρθροισιν ἐπιπωρώματα ἔχουσιν, ἢ τρόπον ταλαίπωρον ζῶσι καὶ κοιλίας ξηρὰς ἔχοντες, [3] οὗτοι μὲν πάντες ἀδύνατοι ὑγιέες γίνεσθαι ἀνθρωπίνῃ τέχνῃ, ὅσον ἐγὼ οἶδα. [4] Ἰῶνται μὲν τούτους, ἄριστα μὲν δυσεντερίαι, ἢν ἐπιγίνωνται. [5] Ἀτὰρ καὶ ἄλλαι ἐκτήξιες ὠφελέουσι κάρτα, αἳ ἐς τὰ κάτω χωρία ῥέπουσιν. [6] Ὅστις δὲ νέος ἐστὶ, [7] καὶ ἀμφὶ τοῖσιν ἄρθροισιν οὔπω ἐπιπωρώματα ἔχει, [8] καὶ τὸν τρόπον ἐστὶν ἐπιμελής τε καὶ φιλόπονος, [9] καὶ κοιλίας ἀγαθὰς ἔχων ὑπακούειν πρὸς τὰ ἐπιτηδεύματα, [10] οὗτος δὴ ἰητροῦ

fiunt, & viri, & mulieres, & virgines, non minus evadunt. [2] Verum signis omnibus tum suppuratorum, tum tabescentium collectis, & superstitem futurum, & periturum prædicere oportet. [3] Maxime vero evadunt ex sanguinis eruptione, hi quibus dolores sunt atrabilarii, & in dorso, & in pectore: & qui post eruptionem minus dolent. [4] Nam & tusses non valde insuper accedunt, & febres [5] pleræque perseverant, sitim facile ferentes. [6] At reversiones eruptionis sanguinis maxime fiunt his, si non abscessus succedant. [7] Optimi vero sunt abscessus sanguinolentissimi. [8] Quibus autem in pectoribus dolores insunt, & per tempus attenuantur, & tussiunt, ac difficulter spirant, neque febribus insuper corripientibus, neque suppurationibus succedentibus, [9] eos interrogare oportet, quum tussiant, & difficulter spirent, [10] an & compactum quiddam & modicum odorem habens tussiendo rejiciant.

XV. De podagricis hæc dico. [2] Quicunque aut senes sunt, aut circa articulos callos tofaceos concretos habent, aut ærumnose vivunt, ac siccam alvum habent: [3] hi omnes sani fieri non possunt humana arte, quantum ego novi. [4] Sanant quidem hos optime, dysenteriæ si successerint. [5] Sed & aliæ eliquationes valde prosunt, quæ ad infernos locos repunt. [6] Qui vero juvenis est, [7] & circa articulos nondum tofaceos callos concretos habet, [8] & accurate vivit, & laboris amans est, [9] & alvum bonam habet ad obediendum pro studiorum ratione, [10] hic sane medi-

ἰητροῦ γνώμην ἔχοντος ἐπιτυχὼν, ὑγιὴς ἂν γένοιτο.

XVI. Τῶν δ' ὑπὸ τῆς ἱερῆς νούσου λαμβανομένων, χαλεπώταται μὲν ἐξίστανται, ὁκόσοισιν ἂν ἀπὸ παιδὸς ξυμβαίνηται, καὶ ξυνανδρωθῇ τὸ νόσημα. 2 ἔπειτα δὲ, ὅσοισιν ἂν γένηται ἐν ἀκμάζοντι τοῦ σώματος τῆς ἡλικίης. 3 εἴη δ' ἂν ἀπὸ εἴκοσι καὶ πέντε ἐτέων ἐς πέντε καὶ τεσσαράκοντα ἔτεα. 4 μετὰ δὲ τούτους, ὅσοισιν ἂν γένηται τὸ νόσημα μηδὲν προσημαῖνον, ὁκόθεν ἄρχεται τοῦ σώματος. 5 οἷσι δὲ ἀπὸ τῆς κεφαλῆς δοκέει ἄρχεσθαι, ἢ ἀπὸ τοῦ πλευροῦ, ἢ ἀπὸ τῆς χειρὸς, ἢ ποδὸς, εὐπετέστεροι ἰᾶσθαι. 6 διαφέρει γὰρ καὶ ταῦτα. 7 τὰ γὰρ ἀπὸ τῆς κεφαλῆς τούτων χαλεπώτατα· 8 ἔπειτα τὰ ἀπὸ τοῦ πλευροῦ. 9 τὰ δὲ ἀπὸ τῶν χειρῶν τε καὶ τῶν ποδῶν μάλιστα οἷά τε ἐξυγιαίνεσθαι. 10 ἐπιχειρέειν δὲ χρὴ τουτέοισι τὸν ἰητρὸν, εἰδότα τὸν τρόπον τῆς ἰήσιος, ἢν ἔωσιν οἱ ἄνθρωποι νέοι τε καὶ φιλόπονοι. 11 πλὴν ὅσον αἱ φρένες τι κακὸν ἔχουσιν, ἢ εἴ τις ἀπόπληκτος γένηται· 12 αἱ μὲν γὰρ μελαγχολικαὶ αὗται ἐκστάσιες οὐ λυσιτελέες. 13 αἱ δὲ ἄλλαι, αἱ ἐς τὰ κάτω τρεπόμεναι, πᾶσαι ἀγαθαί. 14 ἄρισται δὲ καὶ ἐνταῦθα πολλῷ, αἱ αἱματηρόταται. 15 ὁκόσοι δὲ γέροντες ἤρξαντο λαμβάνεσθαι, ἀποθνήσκουσί τε μάλιστα· 16 καὶ, ἢν μὴ ἀπόλωνται, τάχιστα ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου, 17 ὑπὸ δὲ τῶν ἰητρῶν ἥκιστα ὠφελέονται. 18 οἷσι δὲ τῶν παιδίων ἐξαπίνης οἱ ὀφθαλμοὶ διεστράφησαν, 19 ἢ μεῖζόν τι κακὸν ἔπαθον, 20 ἢ φύματα ὑπὸ τὸν αὐχένα ἔφυ,

medicum intelligentiam habentem nactus, sanus fieri poterit.

XVI. Ex his porro qui à sacro morbo corripiuntur, difficillime quidem liberantur hi quibus à puero contigit morbus, & simul ad virilem ætatem pervenit: 2 deinde hi quibus corpore in vigore ætatis constituto factus est, 3 fuerit à viginti quinque annis, usque ad annum quadragesimum quintum. 4 Post hos autem, quibus factus fuerit morbus, nullam significationem præbens, ex qua corporis parte initium sumat. 5 At quibus ex capite initium capere videtur, aut à latere, aut à manu, aut pede, facilius curatur. 6 Verum differunt etiam hæc morbi genera. 7 Qui enim à capite initium sumunt, ex his gravissimi sunt: 8 deinde qui à latere. 9 Qui vero à manibus ac pedibus, maxime sanari possunt. 10 Cæterum horum curam aggredi oportet medicum, qui medendi modum novit, si homines fuerint juvenes, & laboris amantes, 11 nisi mens mali aliquid habuerit, aut quis stupore attonito sideratus fuerit. 12 Nam hæ atrabilariæ mentis emotiones, non sunt conducibiles. 13 Alii vero qui ad infernas partes convertuntur abscessus, boni sunt. 14 Longe vero optimi & hic sunt, qui sunt sanguinolentissimi. 15 Quicunque vero senes apprehendi incipiunt, maxime moriuntur. 16 Et si non pereant, statim celerrimeque per se liberantur, 17 à medicis autem minime opem ferunt. 18 At quibus pueris oculi repente distorti fuerunt, 19 aut majus quoddam malum perpessi sunt, 20 aut tubercula sub cer-

ἐφύη, 21 ἢ ἰσχνοφωνότεροι ἐγένοντο, 22 ἢ βῆχες ξηραὶ χρόνιαι προσέχουσιν, 23 ἢ ἐς τὴν γαστέρα μείζοσι γινομένοισιν ὀδύνη φοιτᾷ, καὶ οὐκ ἐκλαπάσσεται, 24 ἢ ἐν τοῖσι πλευροῖσι διαστρέμματα ἔχουσιν, 25 ἢ φλέβας παχείας περὶ τὴν γαστέρα κιρσώδεας, 26 ἢ ἐπίπλοον κατεβεβήκει, 27 ἢ ὄρχις μέγας γέγονεν, 28 ἢ χεὶρ λεπτὴ καὶ ἀκρατής, 29 ἢ πούς ἢ κνήμη ξύμπασα ἐχωλώθη, 30 ἄτερ προφάσιος ἄλλης· 31 τούτοισι πᾶσιν εἰδέναι, ὅτι ἡ νοῦσος προεγένετο πρὸ τούτων ἁπάντων. 32 καὶ οἱ μὲν πλεῖστοι τῶν τρεφόντων τὰ παιδία, ἐρωτώμενοι ὁμολογήσουσι· 33 τοὺς δὲ καὶ λανθάνει, καὶ οὔ φασιν εἰδέναι τοιοῦτον οὐδὲν γινόμενον.

XVII. Τὸν δὲ περὶ τῶν ἑλκέων μέλλοντα γνώσεσθαι, ὅκως ἕκαστα τελευτήσει, 2 πρῶτον μὲν χρὴ τὰ εἴδεα τῶν ἀνθρώπων ἐξεπίστασθαι, τά τε ἀμείνω πρὸς τὰ ἕλκεα, καὶ τὰ κακίω. 3 ἔπειτα τὰς ἡλικίας εἰδέναι, ὁποίῃσιν ἕκαστα τῶν ἑλκέων δυσαπάλλακτα γίνεται. 4 τά τε χωρία ἐπεσκέφθαι τὰ ἐν τοῖσι σώμασιν, ὅσον διαφέρει θάτερα θατέρων. 5 τά τε ἄλλα ὁκοῖα τὰ ἐφ' ἑκάστοισιν ἐπιγίνεται, ἀγαθά τε καὶ κακά, εἰδέναι. 6 εἰδὼς μὲν γὰρ αὐτά τις ταῦτα πάντα εἰδήσει καὶ, ὅκως ἕκαστα ἀποβήσεται. 7 μὴ εἰδὼς δὲ ταῦτα, οὐκ ἂν εἰδείη, ὅπως αἱ τελευταὶ ἔσονται ἀμφὶ τῶν ἑλκέων. 8 εἴδεα μὲν γὰρ ἀγαθά ἐστι τὰ τοιάδε· ἐλαφρά, καὶ ξύμμετρα, καὶ εὔσπλαγχνα, καὶ μήτε σαρκώδεα ἰσχυρῶς, μήτε σκληρά. 9 κατὰ δὲ χρῶμα ἔστω λευκόν, ἢ μέλαν, ἢ ἐρυθρόν. 10 ταῦτα γὰρ πάντα ἀγαθά, ἄκρητα ἐόντα. 11 εἰ δ' εἴη μιξόχλω-

vicem oborta sunt, 21 aut vocem graciliorem adepti sunt, 22 aut tusses siccæ diuturnæ adhærent, 23 aut majoribus factis dolor procedit ad ventrem, & non exturbatur, 24 aut in lateribus distortiones habent, 25 aut venas crassas circa ventrem varicosas, 26 aut omentum descendit, 27 aut testis magnus factus est, 28 aut manus tenuis & impotens, 29 aut pes aut tibia tota clauda facta est, 30 citra aliam causam: 31 his omnibus morbum antea factum fuisse, scire oportet præ his universis. 32 Et plurimi qui pueros educant, si interrogentur confitebuntur: 33 quosdam vero etiam res latet, negantque se scire quicquam tale factum esse.

XVII. Qui porro de ulceribus cognoscere volet, quomodo singula finient, 2 eum primum hominum species perscrutari oportet, tum eas quæ meliores sunt ad ulcera, tum quæ deteriores: 3 deinde ætates nosse, in quibus singula ulcera curatu difficilia existunt. 4 Locos item in corporibus perspectos habere, quantum alii ab aliis differunt. 5 Sed & alia qualia in singulis accedunt tum bona, tum mala, nosse oportet. 6 Si quis enim omnia hæc noverit, is sane sciet etiam quo modo singulorum eventus continget. 7 Qui vero non noverit hæc, non nosse poterit quales fines ulcerum erunt. 8 Species equidem bonæ sunt hæ: Leves, & commoderatæ, & bonis visceribus præditæ, & neque valde carnosæ, neque duræ. 9 Juxta colorem vero sit species alba, aut nigra, aut rubens. 10 Hæ enim omnes bonæ sunt, si puræ sunt. 11 Si vero pallidus color

ἢ ὑπόχλωρον, ἢ χλωρὸν, ἢ πελιδνὸν τὸ χρῶμα, κάκιον γίνεται. [12] τὰ δὲ εἴδεα, ὁπόσα τοῖσι προγεγραμμένοισιν ἐναντία πεφύκῃ, εἰδέναι χρὴ κακίω ἐόντα.

XIIX. Περὶ δὲ ἡλικιῶν, φύματα μὲν ἔμπυα γίνεται, καὶ τὰ χοιραδώδεα· ταῦτα πλεῖστα τῶν παιδίων ἴσχουσι, καὶ ῥᾷστα ἐξ αὐτέων ἀπαλλάσσονται. [2] τοῖσι δὲ γεραιτέροισί τε τῶν παιδίων, καὶ νεηνίσκοισι, φύεται μὲν ἐλάσσω, χαλεπώτερον δὲ ἐξ αὐτέων ἀπαλλάσσονται. [3] τοῖσι δὲ ἀνδράσι, τὰ μὲν τοιαῦτα φύματα οὐ πάνυ ἐπιγίνεται. [4] τὰ δὲ κηρία δεινὰ, [5] καὶ οἱ κρυπτοὶ καρκίνοι οἱ ὑποβρύχιοι, [6] καὶ οἱ ἐκ τῶν ἐπινυκτίδων ἕρπητες, [7] ἔστ' ἂν ἑξηκοντέτεα χρόνον ὑπερβάλλωσι. [8] τοῖσι δὲ γέρουσι, τῶν μὲν τοιουτοτρόπων φυμάτων οὐδὲν ἐπιγίνεται, [9] οἱ δὲ καρκίνοι οἱ κρυπτοὶ καὶ οἱ ἀκροπαθέες γίνονται, καὶ ξυναποθνήσκουσι. [10] τῶν δὲ χωρέων χαλεπώτερα ἐν τῇσι μασχάλῃσι, καὶ τῇσι λαπάρῃσί τε καὶ μηροῖσι. [11] ἀποστάσιές τε γὰρ ἐν αὐτοῖσι γίνονται, καὶ ὑποστροφαί. [12] τῶν δὲ ἄρθρων ἐπικινδυνότατοι οἱ μεγάλοι δάκτυλοι, καὶ μᾶλλον οἱ τῶν ποδῶν. [13] εἰσὶ δὲ τῆς γλώττης ἐν τοῖσι πλαγίοισιν ἕλκεα γινόμενα πολυχρόνια, καὶ χρὴ καταμαθεῖν τῶν ὀδόντων ἤν τις ὀξὺς τῇ κατ' αὐτό.

XIX. Τὰ δὲ τρώματα τὰ θανατωδέστερα μὲν τὰ ἐς τὰς φλέβας τὰς παχείας, [2] τὰς [τε] ἐν τῷ τραχήλῳ τε καὶ τοῖς βουβῶσιν. [3] ἔπειτα [τὰ] ἐς τὸν ἐγκέφαλον, καὶ ἐς τὸ ἧπαρ. [4] ἔπειτα τὰ ἐς τὸ ἔντερον καὶ ἐς κύστιν. [5] ἔστι δὲ ταῦτα πάντα ὀλέθρια ἐόντα ἰσχυρῶς, οὐχ ὥστε ἄφυκτα, ὡς δοκεῖ. [6] τά τε γὰρ χωρία ὀνόματα ἔχοντα ταῦτα μέγα διαφέρει, καὶ οἱ αὐτοὶ τρόποι.

7 πα-

color ammixtus fuerit, aut color ipse pallidus aut lividus fuerit, pejus est. [12] Species vero quæ præscriptis contrariæ sunt, eas deteriores esse scito.

XIIX. At vero quod ad ætates attinet, tubercula quidem suppurata fiunt, & strumosa: 250 hæc plurimos pueros occupant, & facillime ex ipsis liberantur. [2] Senioribus vero pueris & adolescentibus, minus quidem oriuntur, verum difficilius ab ipsis liberantur. [3] Viris autem talia quidem tubercula non valde fiunt, [4] verum ceria Græcis dicta, ad modum favi concreta, horrenda: [5] & cancri occulti submersi, [6] & ex pustulis nocturnis herpetes, [7] donec sexaginta annos transmiserint. [8] Senibus autem nihil talium tuberculo- 255 rum accedit, [9] verum cancri & occulti, & summas partes occupantes, & commoriuntur. [10] Cæterum ex locis subalares difficiliores curatu sunt, & laterum mollitudines, ac femora. [11] Nam & moræ in ipsis fiunt, & recidivæ. [12] Ex articulis periculo maxime obnoxii sunt magni digiti, & præsertim pedum. [13] Quibus autem in obliqua linguæ parte ulcus fit diuturnum, in his dentes considerare oportet, an quis 260 juxta illam ulceris partem acutior sit.

XIX. Vulnera magis lethalia sunt, quæ in venas crassas [2] in collo ac inguinibus infliguntur: [3] deinde quæ in cerebrum, & in hepar: [4] postea quæ in intestinum & vesicam. [5] Sunt autem hæc omnia perniciosa valde, non tamen ita ut nemo ex his evadat, velut putatur. [6] Nam & loci qui hæc nomina habent, multum inter se differunt, & iidem modi.

 7 Mul-

[7] πολλὸν δὲ διαφέρει καὶ αὐτοῦ τοῦ ἀνθρώπου τοῦ σώματος ἡ παρασκευή. 5 [8] ἔστι μὲν γὰρ ὅτε οὔτ' ἂν πυρετήνειεν, οὔτε φλεγμήνειεν τρωθείς· [9] ἔστι δ' ὅτε καὶ ἄνευ προφάσιος ἐπιπυρετήνειεν ἄν, καὶ φλεγμανθείη τι τοῦ σώματος πάντως. [10] ἀλλ', ἢν ὁ τὸ ἕλκος ἔχων παραφρονέῃ, ῥηϊδίως τε φέρῃ τὸ τρῶμα, ἐγχειρέειν χρὴ τῷ τρώματι ὡς ἀποβησομένων κατὰ λόγον τῆς ἰητρείης τε καὶ τῶν ἐπιγινομένων. [11] ἀποθνήσκουσι μὲν γὰρ οἱ ἄνθρωποι ὑπὸ τρωμάτων παντοίων. [12] πολλαὶ μὲν γὰρ φλέβες εἰσὶ, καὶ λεπταὶ, καὶ παχεῖαι, αἵ τινες αἱμοῤῥαγέουσαι 10 ἀποκτείνουσιν, ἢν αὐτῷ τύχωσιν ὀργῶσαι. [13] ἃς ἐν ἑτέρῳ καιρῷ διακόψαντες, ὠφελήσεις τὰ σώματα.

XX. Πολλὰ δὲ τῶν τρωμάτων ἐν χωρίοισί τε εἶναι εὐήθεσι καὶ οὐδὲν τι δεινὰ φαινόμενα, οὕτως ὀδυνήσει ἡ πληγὴ, ὥστε μὴ δύνασθαι ἀναπνεῦσαι μηδὲ ἀναπνεῦσαι. [2] ἄλλοι δὲ ὑπὸ τῆς ὀδύνης τοῦ τρώματος, οὐδὲν δή τι δεινοῦ ἐόντος, τὸ μὲν πνεῦμα ἀνήνεγκαν, παρεφρόνησαν δὲ, καὶ πυρετήναντες ἀπέθανον. [3] ὅσοι γὰρ ἂν ἢ τὸ σῶμα πυρετῶδες ἔχωσιν, ἢ τὰς 15 γνώμας θορυβώδεας, τὰ τοιαῦτα πάσχουσιν. [4] ἀλλὰ χρὴ μήτε ταῦτα θαυμάζειν, μήτε ὀῤῥωδέειν κεῖνα, εἰδότας, ὅτι αἱ ψυχαί τε καὶ τὰ σώματα πλεῖστον διαφέρουσιν αἱ τῶν ἀνθρώπων, καὶ δύναμιν ἔχουσι μεγίστην. [5] ὅσα μὲν οὖν τῶν τρωμάτων καιροῦ ἔτυχεν, ἢ σώματός τε καὶ γνώμης τοιαύτης, ἢ ὀργῶντος τοῦ αἵματος, ἢ μέγεθος τοσαῦτα ᾖ, [6] ὥστε μὴ δύνασθαι πεισθῆναι τὸν ἄνθρωπον ἐς τὴν ἰητρείην καταφρονέοντα, [7] τούτοισι μὲν ἐξίστασθαι χρὴ, ὁποῖα ἂν ᾖ, [8] πλὴν τῶν ἐφημέρων λειποθυμιῶν· [9] τοῖσι

[7] Multum etiam differt corporis ipsius hominis structura. [8] Aliquando enim neque febricitat, neque inflammatur sauciatus. [9] Aliquando etiam citra causam febricitat, & aliqua corporis pars omnino inflammatur. [10] At quando is qui ulcus habet delirat, & facile fert vulnus, tunc vulnus aggredi oportet, velut juxta medicinæ & accedentium rationem, eventum habiturum. [11] Moriuntur enim homines ab omnis generis vulneribus. [12] Multæ enim venæ sunt & tenues, & crassæ, quæ sanguinem fundentes occidunt, si turgescere ac eo ferri ipsas contigerit: [13] quas alia temporis occasione si quis pertundat, corporibus prodesse sentiat.

XX. Multa vero vulnera in locis vilibus ac non malis esse, & nulla re gravia videntur, & tamen sic dolore affligit plaga, ut respirare non possit. [2] Alii vero præ vulneris dolore, quod sane grave nulla re erat, spiritum quidem duxerunt, verum delirarunt, & febrientes mortui sunt. [3] Quicunque enim aut corpus febricitans habent, aut mentem turbatam, talia patiuntur. [4] Sed neque hæc admirari oportet, neque formidare, illud expendendo, quod & animæ & corpora hominum plurimum differunt, & vim maximam habent. [5] Quæcunque igitur vulnera tempus nanciscuntur, aut corpus & mentem hujusmodi: aut ita gliscentem sanguinem, aut magnitudine tanta fuerint, [6] ut homo ad curationem adduci ab ejus contemptu non possit, [7] ab his quidem discere oportet, qualiacunque tandem fuerint, [8] diariis animi deliquiis exceptis: [9] alia

9 τοῖσι δ' ἄλλοισι πᾶσιν ἐπιχειρέειν, προσφάτοισιν ἐοῦσιν, 10 ὡς ἂν τούς τε πυρετοὺς διαφεύγωσιν οἱ ἄνθρωποι, καὶ τὰς αἱμοῤῥαγίας τε καὶ τὰς νομὰς, προεστεωμένων. 11 ἀτρεκέστατα δὲ καὶ ἐπὶ πλεῖστον χρόνον τὰς φυλακὰς αἰεὶ τῶν δεινοτάτων ποιέεσθαι· 12 καὶ γὰρ δίκαιον οὕτως.

XXI. Αἱ δὲ νομαὶ θανατωδέσταται μὲν, ὧν αἱ σηπεδόνες βαθύταται, καὶ μελάνταται, καὶ ξηρόταται. 2 πονηραὶ δὲ καὶ ἐπικίνδυνοι, ὅσαι μέλαιναν ἰχῶρα ἀναδιδοῦσιν. 3 αἱ δὲ λευκαὶ καὶ μυξώδεες τῶν σηπεδόνων, ἀποκτείνουσι μὲν ἧσσον, ὑποστρέφουσι δὲ μᾶλλον, καὶ χρονιώτεραι γίνονται. 4 οἱ δὲ ἕρπητες ἀκινδυνότατοι πάντων ἑλκέων ὅσα νέμεται· 5 δυσαπάλλακτοι δὲ μάλιστα, κατά γε τοὺς κρυπτοὺς καρκίνους. 6 ἐπὶ πᾶσι δὲ τοῖσι τοιούτοισι πυρετόν τε ἐπιγίνεσθαι ξυμφέρει μίαν ἡμέρην, καὶ πύον ὡς λευκότατον καὶ παχύτατον. 7 λυσιτελεῖ δὲ καὶ σφακελισμὸς νεύρου, ἢ καὶ ὀστέου, ἢ καὶ ἀμφοῖν, ἐπὶ τῇσι βαθείῃσι σηπεδόσι καὶ μελαίνῃσι. 8 πύον γὰρ ἐν τοῖσι σφακελισμοῖσι ῥέει πουλὺ, καὶ λύει τὰς σηπεδόνας.

XXII. Τῶν δ' ἐν κεφαλῇ τρωμάτων θανατωδέστατα μὲν τὰ ἐς τὸν ἐγκέφαλον, ὡς καὶ πρόσθεν γέγραπται. 2 δεινὰ δὲ καὶ τὰ τοιάδε πάντα· ὀστέον ψιλὸν μέγα, ὀστέον ἐμπεφλασμένον, ὀστέον κατεῤῥωγός. 3 ἢν δὲ καὶ τὸ στόμα τοῦ ἕλκεος σμικρὸν εἴη, ἡ δὲ ῥωγμὴ τοῦ ὀστέου ἐπὶ πουλὺ παρακέηται, ἐπικινδυνότερόν ἐστι. 4 ταῦτα δὲ πάντα δεινότερα γίνεται, καὶ κατὰ ῥαφάς τε ὄντα, καὶ τὴν χωρίην αἰεὶ τὴν ἐν τοῖσιν ἀνωτάτω

9 alia vero omnia aggredi, quæ recens sunt incussa, 10 quo & febres effugiant homines, & sanguinis eruptiones, & nomas ulcerum proserpentes, hi qui evadent. 11 Exactissime vero & ad plurimum tempus, eorum quæ gravissima sunt custodiam facere oportet. 12 Nam ita facere justum est.

XXI. At vero nomæ lethalissimæ sunt, quarum putredines profundissimæ & nigerrimæ ac siccissimæ existunt. 2 Pravæ etiam sunt ac periculosæ, quæ nigram saniem remittunt. 3 Albæ vero ac mucosæ putredines, minus quidem occidunt, magis autem, revertuntur, & diuturniores sunt. 4 Herpetes autem minime omnium ulcerum quæ depascendo proserpunt, periculosi sunt, 5 verum maxime difficulter submoveri possunt, quemadmodum cancri occulti. 6 In omnibus autem talibus febrem supervenire una die confert, & pus quam albissimum ac crassissimum. 7 Commodat & corruptio nervi, aut etiam ossis, aut etiam amborum, tum in profundis, tum in nigris putredinibus. 8 Nam in corruptionibus pus multum fluit, & putredines solvit.

XXII. Porro ex capitis vulneribus lethalissima sunt quæ ad cerebrum pertingunt, velut etiam antea scriptum est. 2 Gravia sunt & hujusmodi omnia, os nudum magnum, os infractum, os diffractum. 3 Si vero etiam osculum ulceris parvum fuerit, fissura vero ossis aliquandiu permanserit, periculosius est. 4 Hæc autem omnia graviora fiunt, si & juxta suturam sunt; & ex locis semper periculosiores summi

τάτω τῆς κεφαλῆς. 5 πυνθάνεσθαι δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀξίοις λόγου τρώμασιν, 6 ἢν ἔτι νεώτεραι αἱ πληγαὶ ἔωσιν, 7 ἢ βλήματα ἔῃ, 8 ἢ καταπέσῃ ὥνθρωπος, 9 ἢ ἐς ἐκαρώθη. 10 ἢν γὰρ τι τούτων ᾖ γεγονὸς, φυλακῆς πλείονος δεῖται, ὡς τοῦ ἐγκεφάλου ἐπαισθομένου τοῦ τρώματος. 11 εἰ δὲ μὴ νεότρωτος εἴη, ἐς τἄλλα σημεῖα σκέπτεσθαι καὶ βουλεύεσθαι. 12 ἄριστον μὲν οὖν, μήτε πυρεταίνειν τὸν τὸ ἕλκος ἔχοντα ἐν τῇ κεφαλῇ, 13 μήθ' αἷμα ἐπιπερραγμένον αὐτῷ, 14 μήτε φλεγμονήν, 15 μήθ' ἅμα μηδεμίην ὀδύνην ἐπιγίνεσθαι. 16 ἢν δέ τι τούτων ἐπιφαίνηται, ἐν ἀρχῇσί τε γίνεσθαι ἀσφαλέστατον, καὶ ὀλίγον χρόνον παραμένειν.

XXIII. Ξυμφέρει δὲ ἐν τῇσιν ὀδύνῃσι καὶ τὰς φλεγμονὰς τὰς ἐπὶ τοῖσιν ἕλκεσιν ἐπιγίνεσθαι· 2 τῇσι δ' αἱμορραγίῃσι, πύον ἐπὶ τῇσι φλεψὶ φαίνεσθαι. 3 τοῖσι δὲ πυρετοῖσιν, ἃ ἐν τοῖσιν ὀξέσι νουσήμασιν ἔγραψα, ξυμφέρει ἐπὶ τούτοισι γίνεσθαι ταῦτα· 4 καὶ ἐνθάδε λέγω ἀγαθὰ εἶναι, τὰ δ' ἐναντία, κακά. 5 ἄρξασθαι δὲ πυρετὸν ἐπὶ κεφαλῆς τρώματι τεταρταίῳ, ἢ ἑβδομαίῳ, ἢ ἑνδεκαταίῳ, θανατῶδες μάλλον. 6 κρίνεται δὲ τοῖσι πλείστοισιν, ἢν μὲν τεταρταίου ἐόντος τοῦ ἕλκεος πυρετὸς ἄρξηται, ἐς τὴν ἑνδεκάτην· 7 ἢν δ' ἑβδομαῖος ἐὼν πυρετήνῃ, ἐς τὴν τεσσαρεσκαιδεκάτην ἢ ἑπτακαιδεκάτην· 8 ἢν δὲ τῇ ἑνδεκάτῃ ἄρξηται πυρεταίνειν, ἐς τὴν εἰκοστὴν, ὡς ἐν τοῖσι πυρετοῖσι διαγέγραπται, τοῖσιν ἄνευ προφασίων ἐμφανέων γινομένοισι. 9 τῇσι δ' ἐν ἀρχῇσι τῶν πυρετῶν

ἢ

mi in capite existunt. 5 Cæterum in omnibus memorabilibus vulneribus interrogare oportet, 6 si adhuc recentes fuerint plagæ, 7 aut etiam jactus fuerint, 8 an conciderit homo, 9 aut an in soporem altiorem collapsus sit. 10 Si enim horum quippiam factum fuerit, ampliore custodia opus habet, nimirum quum cerebrum vulnus tunc perceperit. 11 Si vero non recens sauciatus fuerit, ad alia signa respicere oportet, ac consilium capere. 12 Optimum quidem igitur est, neque febrire eum qui ulcus in capite habet, 13 neque sanguinem insuper ipsi erupisse, 14 neque inflammationem, 15 neque simul ullum aliquem dolorem accessisse. 16 Si vero quid horum apparuerit, securissimum est ut in principio fiat, & modico tempore permaneat.

XXIII. Conducit autem in doloribus, etiam inflammationes ex ulceribus accedere; 2 in sanguinis autem eruptionibus, pus in venis apparere. 3 Quæ vero in acutis morbis conferre febribus scripsi, ea etiam in his fieri conducit, 4 & eadem hic quoque bona esse assero, contraria vero mala. 5 At incipere febrem in capitis vulnere quarta die aut septima, aut undecima, valde lethale est. 6 Judicatur autem plerisque, si quidem quarta vulneris die febris inceperit, ad undecimam. 7 Si vero septima die febris inchoarit, ad decimamquartam, aut decimamseptimam. 8 Si vero undecimo febrire inceperit, ad vigesimam: quemadmodum in febribus descriptum est, quæ absque manifestis causis fiant. 9 Cæterum in principiis febrium,

sive

ἤν τε παραφροσύνη ἐπιγένηται, ἤν τε ἀπόπληξις τοῦ μέλεος τινὸς, εἰδέναι τὸν ἄνθρωπον ἀπολλύμενον. [10] ἢν μὴ παντάπασιν ἐκ τῶν καλλίστων τι σημεῖον ἐπιγένηται, ἢ ὁ σώματος ἀρετὴ ὑποκέηται. [11] ἀλλ' ὑποσκέψασθαι τὸν τρόπον. [12] τῷ δ' ἀνθρώπῳ γὰρ ἔτι αὖ τις ἐλπὶς γένεται σωτηρίης. [13] χωλὸν δὲ γενέσθαι τὸ ἄρθρον, ἐς ὃ ἀπεστήριξεν, ἀναγκαῖόν ἐστιν, ἢν ὅμως καὶ περιγένηται ὁ ἄνθρωπος.

XXIV. Τὰ δὲ τρώματα τὰ ἐν τοῖσιν ἄρθροισι, μεγάλα μὲν ὄντα καὶ τελέως ἀποκόπτοντα τὰ νεῦρα τὰ συνέχοντα, σύνδηλον, ὅτι χωλὰς ἀποδείξει. [2] εἰ δὲ ἐνδοιαστὸν εἴη ἀμφὶ τῶν νεύρων ὅπως ἔχοι, ὀξέος μὲν ἐόντος τοῦ βέλεος τοῦ τρώσαντος, ὀρθὸν τὸ τρῶμα εἶναι ἄμεινον ἐπικαρσίου. [3] εἰ δὲ εἴη βαρύ τε καὶ ἀμβλὺ τὸ τρῶσαν, οὐδὲν διαφέρει. [4] ἀλλ' ἐς τὸ βάθος τε τῆς πληγῆς σκέπτεσθαι, καὶ τἄλλα σημεῖα. [5] ἔστι δὲ τάδε. πύον ἢν ἐπιγένηται ἐπὶ τὸ ἄρθρον, σκληρότερον ἀνάγκη γενέσθαι. [6] ἢν δὲ καὶ οἰδήματα ξυνδιαμένῃ, σκληρὸν ἀνάγκη πουλὺν χρόνον τοῦτο τὸ χωρίον γίνεσθαι. [7] καὶ τὸ οἴδημα, ὑγιέος ἐόντος τοῦ ἕλκεος, παραμένειν ἀνάγκη, [8] συγκάμπτεσθαί τε καὶ ἐκτείνεσθαι [βραδέως,] ὁκόσα ἂν, τοῦ ἄρθρου καμπύλου ἐόντος, θεραπεύηται. [9] οἷσι δ' αὖ καὶ νεῦρον δοκέει ἐκπεπτωκέναι, ἀσφαλεστέρως τὰ περὶ τῆς χωλώσιος προλέγειν, ἄλλως τε καὶ ἢν [τι] τῶν κάτωθεν νεύρων ᾖ τὸ ἐκλυόμενον. [10] γνώσῃ δὲ τοῖσι νεῦρον μέλλον ἐκπίπτειν. [11] πύον λευκόν τε καὶ παχὺ, καὶ πουλὺν χρόνον ὑπορρέει, [12] ὀδύναι τε καὶ φλεγμοναὶ γίνονται περὶ τὸ ἄρθρον ἐν ἀρχῇσι. [13] τὰ δ' αὐτὰ ταῦτα γίνεται, καὶ ὀστέα μέλλοντος ἐκπεσεῖσθαι.

XXV. Τὰ δὲ ἐν τοῖσιν ἀγκῶσι

fiue delirium accesserit, sive alicujus membri sideratio, periturum hominem sciendum est, [10] si non omnino aut ex optimis signis aliquod accedat, aut corporis vires adsint. [11] Verum considerabis modum. [12] Nam homini adhuc spes salutis est, [13] sed claudum fieri articulum in quem incubuit necesse est, etiamsi superstes maneat homo.

XXIV. Porro vulnera in articulis, quæ quidem magna sunt & nervos conjungentes penitus præsecant, clarum est quod claudos efficient. [2] Si vero ambiguum fuerit de nervis, quomodo se habeant, siquidem fuerit acutum telum quod rectum vulnus fecit, melius est obliquo. [3] Si vero grave & obtusum fuerit id quod vulneravit, nihil refert. [4] Sed plagæ profunditatem & alia signa considerare licebit. [5] Sunt autem hæc. Pus si insuper accedat ad articulum, duriorem fieri necesse est. [6] Si vero etiam tumores simul permanserint, hunc locum ad multum tempus durum esse necesse est: [7] & quum sanum jam est ulcus, tumorem permanere necessarium est, [8] simulque flecti ac extendi, quæcunque dum articulus incurvus est, curantur. [9] Quibus vero etiam nervus elapsus esse videtur, securius de claudicatione prædicere licet, tum alias, tum si inferiorum nervorum aliquis fuerit exolutus. [10] Ex his autem cognosces nervum qui excidet. [11] Pus album & crassum, multo tempore defluit, [12] doloresque ac inflammationes circa articulum in principiis fiunt. [13] Eadem fiunt etiam si os elabetur.

XXV. At vero dissectiones in cubiti

διαπυήσιας, ἐν φλεγμονῇ μάλιστα ἐόντα, ἐς διαπύησιν ἀφίκηται), καὶ τομάς τε καὶ καύσιας.

XXVI. Ὁ δὲ νωτιαῖος μυελὸς 133 ἢν νοσέῃ, ἤν τε ἐκ πτώματος, ἤν τε ἐξ ἄλλης τινὸς προφάσιος, ἤν τε ἀπ' αὐτομάτου, [2] τῶν τε σκελέων ἀκρατὴς γίνεται ὁ ἄνθρωπος, ὥστε μηδὲ θιγγανόμενος ἐπαΐειν, [3] καὶ τῆς γαστρὸς καὶ τῆς κύστιος, ὥστε τοὺς μὲν πρώτους χρόνους μήτε κόπρον μήτε οὖρον διαχωρέειν, ἢν μὴ πρὸς ἀνάγκην. [4] Ὅταν δὲ παλαιότερον γένηται τὸ νόσημα, οὐκ 134 ἐπιόντι τοῦ ἀνθρώπου ἥ τε κόπρος διαχωρέει, καὶ τὸ οὖρον. [5] Ἀποθνήσκει δὲ 135 μετὰ ταῦτα, οὐ πολλῷ ὕστερον χρόνῳ.

XXVII. Ὧν δὲ ἐμπίπλαται 136 αἵματος ἡ φάρυγξ, πολλάκις τῆς ἡμέρης τε καὶ τῆς νυκτὸς ἑκάστης, [2] οὔτε κεφαλὴν προαλγήσαντι, [3] οὔτε βηχὸς ἐχούσης, [4] οὔτε ἐμέοντι, [5] οὔτε πυρετῷ λαμβανομένῳ, [6] οὔτε ὀδύνης ἐχούσης, οὔτε τοῦ στήθεος, οὔτε τοῦ μεταφρένου, [7] τούτῳ κατιδεῖν ἐς τὰς ῥῖνας καὶ τὴν φάρυγγα, [8] ἢν ἕλκος τι ἔχων φαίνηται ἐν τῷ χωρίῳ τούτῳ, [9] ἢ βδέλλαν.

XXIIX. Ὀφθαλμοὶ δὲ λημῶντες 137 ἄριστα ἀπαλλάττουσιν, ἢν τό τε δάκρυον, καὶ ἡ λήμη, καὶ τὸ οἴδημα ἄρξηται ὁμοῦ γινόμενα. [2] ἤν τε τὸ μὲν δάκρυον τῇ λήμῃ μεμιγμένον ᾖ καὶ μὴ θερμὸν ἰσχυρῶς, ἡ δὲ λήμη λευκή τε ᾖ καὶ μαλθακή, τό τε οἴδημα ἐλαφρόν τε καὶ λελυμένον. [3] εἰ γὰρ οὕτω ταῦτ' ἔχοι, ξυμπλάσσοιτ' ἂν ὁ ὀφθαλμὸς ἐς τὰς νύκτας, ὥστε ἀνώδυνος εἶναι· [4] καὶ ἀκινδυνότατον οὕτως ἂν εἴη, καὶ ὀλιγοχρονιώτατον. [5] εἰ δὲ τὸ δάκρυον χωρέει πουλὺ 138 καὶ θερμὸν ξὺν ὀλιγίστῃ λήμῃ καὶ σμικρῷ οἰδήματι, εἰ μὲν ἐκ τοῦ ἑτέρου τῶν ὀφθαλμῶν, χρόνιον μὲν κάρτα γίνεται,

cubiti gibbis, præsertim quæ sunt cum inflammatione, ad suppurationem perveniunt, ad sectionesque ac ustiones.

XXVI. Medulla vero spinæ si ægrotarit, sive ex lapsu, sive ex alia aliqua causa, sive sua sponte, [2] homo & cruribus impotens fit, ut neque si tangatur percipiat, [3] & ventre ac vesica, ut circa prima tempora, neque stercus, neque urinam egerat, nisi ad necessitatem. [4] Quum autem vetustior factus fuerit morbus, non urgente homine, & stercus prodit, & urina. [5] Moritur autem postea, non multo interposito tempore.

XXVII. Quod si vero cuipiam fauces implentur sanguine sæpe singulis diebus ac noctibus, [2] cui neque caput antea doluit, [3] & qui neque tussim habuit, [4] neque vomuit, [5] neque febre correptus fuit, [6] neque dolorem habuit, nec pectoris, nec dorsi, [7] hujus considerandæ sunt nares, & fauces, [8] an ulcus aliquod habere compareat in hoc loco, [9] aut hirudinem.

XXIIX. Oculi porro lippientes optime permutantur, si & lachryma, & sordes, & tumor, simul fieri inceperint. [2] Si vero lachryma sordi fuerit permixta, & non valde calida: Sordes autem alba fuerit & mollis, & tumor levis solutus. [3] Si ita hæc se habuerint, oculus conglutinabitur ad noctes, ut doloris exors sit, [4] atque hoc modo res minime periculosa fuerit, ac minime diuturna. [5] Si vero lachryma procedit multa & calida, cum paucissima sorde, ac parvo tumore, atque hoc ex altero oculo tantum, tunc diuturnum valde fit malum, verum non peri-

ται, ἀκίνδυνον δὲ καὶ ἀνώδυνος οὗτος ὁ τρόπος. [6] ἐν τοῖσι μάλιστα τήνδε κρίσιν ὑποσημαίνεσθαι, τὴν μὲν πρώτην, ἐς τὰς εἴκοσιν ἡμέρας. [7] ἢν δὲ ὑπερβάλλῃ τοῦτον τὸν χρόνον, ἐς τὰς τεσσαράκοντα περιδέχεσθαι. [8] ἢν δὲ μηδ' ἐν ταύτῃσι παύηται, ἐν τῇσιν ἑξήκοντα κρίνεται. [9] παρὰ πάντα δὲ τὸν χρόνον τοῦτον ἐνθυμεῖσθαι τὴν λήμην, ἢν τῷ δακρύῳ μίσγηται, καὶ λευκή τε καὶ μαλθακὴ γίνηται, μάλιστα δὲ ὑπὸ τοὺς χρόνους τοὺς κρισίμους. [10] ἢν γὰρ μέλλῃ παύεσθαι, ταῦτα ποιήσει. [11] εἰ δὲ οἱ ὀφθαλμοὶ ἀμφότεροι ταῦτα πάσχοιεν, ἐπικινδυνότεροι γίνονται ἑλκωθῆναι. ἡ δὲ κρίσις ἐλάσσονος χρόνου ἐστί. [12] αἱ λῆμαι δὲ ξηραὶ ἐπώδυνοι γίνονται, κρίνονται δὲ ταχέως, ἢν μὴ τρῶμα λάβῃ ὁ ὀφθαλμός. [13] οἴδημα δὲ ἢν μέγα ᾖ, ἀνώδυνόν τε καὶ ξηρὸν, ἀκίνδυνον. [14] εἰ δὲ εἴη ξὺν ὀδύνῃ, κακὸν μὲν, ξηρὸν ἐὸν, καὶ ἐπικίνδυνον ἑλκῶσαί τε τὸν ὀφθαλμὸν καὶ ξυμφῦσαι. [15] δεινὸν δὲ καὶ ξὺν δακρύῳ τὸ οἴδημα καὶ ὀδύνῃ. [16] εἰ γὰρ δάκρυον χωρέει θερμὸν καὶ ἁλμυρὸν, κίνδυνος τήν τε κόρην ἑλκωθῆναι, καὶ τὰ βλέφαρα. [17] εἰ δὲ τὸ μὲν οἴδημα καταπέσῃ, δάκρυον δὲ πουλὺ ἐπιχέηται πουλὺν χρόνον, καὶ λῆμαι ἔωσι, [18] τοῖσι μὲν ἀνδράσι βλεφάρων ἐκτροπὴν προλέγειν, τῇσι δὲ γυναιξὶ καὶ τοῖσι παιδίοισιν ἑλκώσιας καὶ τῶν βλεφάρων ἐκτροπήν. [19] ἢν δὲ λῆμαι χλωραὶ ἢ πελιδναὶ ἔωσι, καὶ δάκρυον πουλὺ καὶ θερμὸν, καὶ ἐν τῇ κεφαλῇ καῦμα ᾖ, καὶ διὰ τῶν κροτάφων ὀδύναι ἐς τὸν ὀφθαλμὸν κατασκήπτωσι, καὶ ἀγρυπνίη τουτέοισιν ἐπιγένηται, [20] ἕλκος ἀνάγκη γενέσθαι ἐν τῷ ὀφθαλμῷ. ἐλπὶς δὲ καὶ ῥαγῆ-

periculosum, & doloris exors est hic modus. [6] Et judicationem in his maxime expectare oportet, primam quidem ad vigesimam diem. [7] Si vero hoc tempus transmittat, ad quadragesimam expectanda est. [8] Si vero neque in his diebus sedetur, in sexaginta judicatur. [9] Per totum autem tempus hoc sordem considerare oportet, an in digito misceatur, & alba ac mollis fiat, maxime sub judicationis tempus. [10] Si enim desinet, hæc faciet. [11] At si utrique oculi hæc perpetiantur, in majori periculo sunt, ne ulcerentur. Verum judicatio brevioris temporis erit. [12] Sordes autem siccæ, valde dolorosæ sunt, sed cito judicantur, si non vulnus acceperit oculus. [13] Si vero tumor magnus fuerit, dolorisque exors & siccus, periculo vacat. [14] Si vero cum dolore fuerit, malus est si siccus sit, & periculum est ne ulceretur oculus ac concrescat. [15] Sed & gravis est tumor, si lachrymam conjunctam habeat, itemque dolorem. [16] Si enim lachryma procedit calida ac salsa, periculum est & pupillam exulcerari, & palpebras. [17] Si vero tumor consederit, sed lachryma multa multo tempore effundatur, & sordes fuerint, [18] viris quidem palpebrarum eversionem prædicere oportet, mulieribus autem & pueris exulcerationem ac eversionem palpebrarum. [19] At si sordes pallidæ aut lividæ fuerint, & lachryma multa ac calida, & in capite ardor fuerit, & de tempore dolores in oculum decubuerint, & vigiliæ his accesserint, [20] necesse est ulcus in oculo factum esse, & timor est

quo-

ῥαγῆναι τὸ τοιῦτον. ²¹ ὠφελέει δὲ καὶ πυρετὸς ἐπιγινόμενος, ἢ ὀδύνη ἐς τὴν ὀσφὺν σηρίξασα. ²² προλέγειν δὲ δεῖ τούτοισι τὰ ἐσόμενα, ἔς τε τὸν χρόνον σκεπτόμενον, ἔς τε τὰ ἐκ τῶν ὀφθαλμῶν ῥέοντα, [καὶ] ἐς τὰς ὀδυνωδυνίας τε καὶ ἀγρυπνίας. ²³ ἐπὴν δὲ καὶ τὸν ὀφθαλμὸν οἷόν τε ᾖ καθιδεῖν, ἣν μὲν εὑρεθῇ ἐῤῥωγώς τι καὶ διὰ τῆς ῥωγμῆς ὑπερέχῃ ἡ ὄψις, πονηρὸν καὶ χαλεπὸν καθιδρύσαι. ²⁴ εἰ δὲ καὶ σηπεδὼν ὑπῇ τῷ τοιούτῳ, τελέως ἄχρηστος ὁ ὀφθαλμὸς γίνεται. ²⁵ τοὺς δ' ἄλλους τρόπους τῶν ἑλκέων ἐς τὰ χωρία σκεπτόμενος προλέγειν, καὶ τάς τε σηπεδόνας καὶ βαθύτητας. ²⁶ ἀναγκάζονται γὰρ κατὰ τὴν ἰσχὺν τῶν ἑλκέων τὰς οὐλὰς γίνεσθαι. ²⁷ οἷσι μὲν ῥήγνυνται οἱ ὀφθαλμοί, καὶ μετὰ ὑπερέχουσιν, ὥστε ἔξω τῆς χώρης τὴν ὄψιν εἶναι, ἀδύνατοι ὠφελέεσθαι καὶ χρόνῳ καὶ τέχνῃ ἐς τὸ βλέπειν. ²⁸ αἱ δὲ σμικραὶ μεταπαρακινήματα τῆς ὄψιος οἷαί τε καθιδρύσασθαι, ἣν μήτε κακὸν ἐπιγένηται μηδὲν, ὅς τε ἄνθρωπος νέος ᾖ. ²⁹ αἱ δὲ ἐκ τῶν ἑλκέων οὐλαὶ, οἷσιν ἂν μὴ κακόν τι ἄλλο προσέῃ, πᾶσαι οἷαί τε ὠφελέεσθαι καὶ ὑπὸ τοῦ χρόνου καὶ ὑπὸ τῆς τέχνης, μάλιστα δὲ αἱ νεώταται τε καὶ ἐν τοῖσι νεωτέροισι τῶν σωμάτων. ³⁰ τῶν δὲ χωρίων μάλιστα μὲν αἱ ὄψιες βλάπτονται ἑλκόμεναι, ἔπειτα τὸ ὑπεράνω τῶν ὀφρύων, ἔπειτα δὲ καὶ ὅ,τι ἂν ἄγχιστα ᾖ τούτων τῶν τόπων. ³¹ αἱ δὲ κόραι γλαυκούμεναι, ἢ ἀργυροειδέες γενόμεναι, ἢ κυάνεαι, οὐδὲν χρηστόν. ³² τούτων δὲ ὀλίγον ἀμείνους, ὁκόσαι ἢ σμικρότεραι φαίνονται, ἢ εὐρύτεραι, ἢ γωνίας ἔχουσαι, εἴτ' ἐκ προφάσιος τοιαῦται γενοίατο, εἴτ' αὐτόματοι. ³³ ἀχλύες, καὶ νεφέλαι, καὶ αἰγίδες ἐκλευκαινόμεναι

quoque ut talis rumpatur. ²¹ Prodest autem febris accedens, aut dolor ad lumbos innixus. ²² Prædicere vero his futura oportet, ita ut respectus & ad tempus habeatur, & ad ea quæ ex oculo fluunt, & ad dolores itemque vigilias. ²³ Postquam vero & oculum contueri datum fuerit, siquidem compertus fuerit ruptus, & per fissuram prominuerit oculus, malum est & difficile ut sedetur. ²⁴ Si vero & putredo tali suberit, penitus inutilis oculus redditur. ²⁵ At vero alios ulcerum modos prædicere oportet, locos considerando, & putredines, & profunditates. ²⁶ Necessarium enim est juxta ulcerum vehementiam cicatrices fieri. ²⁷ Quibus igitur rumpuntur oculi, & postea prominent, ut extra locum oculus sit, his & tempore, & arte, opem ferre non datur, ad hoc ut videant. ²⁸ Parvæ vero oculorum transmotiones sedari possunt, si nihil mali accesserit, & homo juvenis fuerit. ²⁹ At ulcerum cicatrices, quibus nihil aliud mali affuerit, omnes, & a temporibus, & ab arte opem ferre posse putandum est, maxime recentissimas, & in juvenum corporibus. ³⁰ Cæterum ex locis maxime oculi læduntur, si exulcerantur; deinde pars quæ est supra supercilia, postea quicquid vicinissimum his locis fuerit. ³¹ Pupillæ vero glaucescentes, aut argenti speciem referentes, aut cærulæ, non bonæ sunt. ³² His autem paulo meliores sunt, quæ aut minores apparent, aut ampliores, aut angulos habentes, sive ex causis tales factæ fuerint, sive sua sponte. ³³ Caligines & nubeculæ, & cicatrices subalbicantes,

ὠχρά τε καὶ ἀφανίζονται, 34 ἢν μὴ τρῶμά τι ἐπιγένηται ἐν τούτῳ τῷ χωρίῳ, ἢ πρόσθεν τύχῃ ἕλκος ἔχων ἐν τῷ χωρίῳ τούτῳ, ἢ πτερύγιον. 35 ἢν δὲ περίλαμψις γένηται, ἀπολαμβάνει τι τοῦ μέλανος μέρεός τι. 36 [ὡς] εἰ πουλὺν χρόνον παραμείνωσι, καὶ τρηχεῖαι τε καὶ παχεῖαι ἔωσι, καὶ μνημόσυνον ἀποκαταλιπεῖν.

XXIX. Αἱ δὲ κρίσιες, ὡς ἐν τῇσι πυρετοῖσιν ἔγραψα, οὕτω καὶ ἐνθάδε ἔχουσιν. 2 ἀλλὰ χρὴ τὰ σημεῖα ἐκμαθόντα προλέγειν τὰς μὲν διαφορὰς τῶν ὀφθαλμιῶν· 3 ὅταν τὰ κάκιστα τῶν σημείων ἐπιγένηται, τὰς μὲν πολυχρονίας τῶν ὀφθαλμιῶν, ὡς διαγέγραπται ἐφ' ἑκάστῃσιν. 4 τὰς δὲ ὀλιγοχρονίας, ὅταν τὰ σημεῖα προφαίνηται τὰ ἄριστα. 5 τότε προλέγειν ἑβδομαίας παύσεσθαι, ἢ ἐγγὺς τούτων, καὶ ἄλλως ἀσφαλῶς νομίζειν ἔχειν. 6 τὰς δὲ ὑποστροφὰς προσδέχεσθαι, οἷσιν ἂν ῥᾳστῶναι γένωνται, μήτ' ἐν ἡμέρῃσι κρισίμοισι, μήτε σημείων ἀγαθῶν ἐπιφανέντων. 7 πάντων δὲ χρὴ μάλιστα τὰς καταστάσιας τῶν ὡρέων ἐν τοῖσι περὶ τοὺς ὀφθαλμοὺς ἐνθυμεῖσθαι. 8 οἱ γὰρ καιροὶ ὀξέες.

XXX. Αἱ δὲ δυσεντερίαι, 2 ξὺν πυρετῷ μὲν ἢν ἐπίωσιν, 3 ἢ ποικίλοισί τε διαχωρήμασιν, 4 ἢ ξὺν φλεγμονῇ ἥπατος, ἢ ὑποχονδρίου, ἢ γαστρός, 5 ἢ ὅσαι ἐπώδυνοι, 6 ἢ ὅσαι τῶν σιτίων ἀπολαμβάνουσι, δίψαν τε παρέχουσιν, 7 αὗται μὲν πᾶσαι πονηραί· 8 καὶ ὃς ἂν πλεῖστα ἔχῃ τούτων τῶν κακῶν, τάχιστα ἀπολεῖται. 9 ᾧ δ' ἂν ἐλάχιστα τῶν τοιούτων προσῇ, πλεῖσται αὐτῷ ἐλπίδες. 10 ἀποθνήσκουσι δὲ ὑπὸ ταύτης τῆς νούσου μάλιστα παιδία τὰ πα-

tes, læuigantur ac delentur, 34 si non vulnus aliquod in eo loco accesserit, aut prius cicatricem habuerit in hoc loco, aut unguem pterygion dictum. 35 Si vero splendicans cicatrix in nigra oculorum parte fiat, partem aliquam nigredinis dealbat, 36 adeo ut si multo tempore permaneat, & aspera & crassa, etiam memoriam sui relinquat.

XXIX. Porro iudicationes quemadmodum in febribus scripsi, ita & hic se habent. 2 Verum signa edoctum, iuxta differentias lippitudinum prædictionem facere oportet, 3 quum pessima signa accesserint, diuturnarum lippitudinum, velut de singulis perscriptum est: 4 quum vero apparuerint optima signa, breuium. 5 Tunc enim septima die desituras esse prædicendum est, aut prope hoc tempus, & alioqui securas esse putandum est. 6 Recidiuas autem expectare oportet his, quibus melius habere contingit, neque in diebus iudicatoriis, neque signis bonis conspectis. 7 Omnium vero maxime urinæ statum in oculorum affectionibus considerare oportet. 8 Nam temporum occasiones repentinæ sunt.

XXX. Dysenteriæ siquidem 2 cum febre inuaserint, 3 aut variis alui egestionibus, 4 aut cum hepatis inflammatione, aut præcordii, aut ventris: 5 aut quæ dolorosæ fuerint, 6 aut quæ cibos intercipiunt, sitimque inducunt: 7 hæ omnes malæ sunt. 8 Et qui sane plurima horum malorum habuerit, citissime peribit: 9 cui vero paucissima talium affuerint, huic plurimæ spes sunt. 10 Moriuntur autem ex hoc morbo maxime pueri quinquennes, &

πυκνότερα, καὶ μακρότερα· ἔς τε τὰ δεκαπέντε· αἱ δ' ἄλλαι ἡλικίαι ἧσσον. [11] ὅσαι δὲ τῶν δυσεντεριῶν λυσιτελέες, τὰ μὲν κακὰ ταῦτα οὐκ ἐμποιέουσιν· [12] αἷμα δὲ καὶ ξύσματα διαχωρήσαντα, ἐπαύσαντο ἑβδομαῖα, ἢ τεσσαρεσκαιδεκαταῖα, ἢ εἰκοσταῖα, ἢ τεσσαρακονθήμερα, ἢ ἐντὸς τούτων τῶν χρόνων. [13] τὰ τοιαῦτα γὰρ διαχωρήματα καὶ ὑπάρχοντα πρόσθεν ἐν τοῖσι σώμασι, νοσήματα ὑγιάζει· τὰ μὲν παλαιότερα, ἐν πλέονι χρόνῳ· τὰ δὲ νεώτερα διαιτᾶται καὶ ἐν ὀλίγῃσιν ἡμέρῃσιν ἀπαλλάσσει. [14] ἐπεὶ καὶ ἐν γαστρὶ ἐχούσῃσι καὶ αὐταὶ προσγενόμεναι, μᾶλλον ἐς τοὺς τόκους τε καὶ ἐκ τῶν τόκων, καὶ τὰ ἔμβρυα διασώζουσιν, [15] αἵματός τε καὶ ξύσματος διαχωρεόντων, καὶ πολλοὺς μῆνας· [16] ἢν μή τις ὀδύνη αὐτῇσι προσῇ, ἢ ἄλλο τι τῶν πονηρῶν ὧν ἔγραψα σημείων εἶναι ἐν τῇσι δυσεντερίῃσιν, ἐπιγένοιτο. [17] ἐς δέ τι κείνων ἐπιφαίνοιτο, τοῦ τε ἐμβρύου ὄλεθρον σημαίνει, καὶ τῇ ἐχούσῃ κίνδυνον, [18] ἢν μὴ μετὰ τῆς ἐμβρύου τὴν ἀποφυξιν καὶ τῆς ὑστέρης τὴν ἀπόλυσιν, ἡ δυσεντερίη παύσηται αὐθημερὸν, ἢ μετ' ὀλίγον χρόνον.

XXXI. Αἱ δὲ λειεντερίαι, [2] ξυνεχέες μὲν καὶ πολυχρόνιοι, [3] καὶ πᾶσαν ὥρην, ξύν ψόφοισί τε καὶ ἄνευ ψόφων, ἐκταρασσόμεναι, [4] καὶ ὁμοίως νυκτός τε καὶ ἡμέρης ἐπικείμεναι [5] καὶ τοῦ διαχωρήματος ὑπιόντος, ἢ ὠμοῦ ἰσχυρῶς, ἢ μέλανός τε καὶ λείου καὶ δυσώδεος, [6] αὗται μὲν πᾶσαι πονηραί. [7] καὶ γὰρ δίψαν παρέχουσι, καὶ τὸ ποτὸν οὐκ ἐς τὴν κύστιν τρέπουσιν, ὥστε διουρέεσθαι· [8] καὶ τὸ στόμα ἐξελκοῦσι, [9] καὶ ἐρεύθος ἐξηνθημένον ἐπὶ τοῦ προσώπου ποιέουσι, καὶ ἐφήλιδας παντοίας χρώματα ἐχού-

seniores adhuc, decennes: reliquæ vero ætates minus. [11] At quæ dysenteriæ commodæ sunt, hæc mala, hæc non inducunt. [12] Verum sanguine & ramentis egestis, desiverunt septima die, aut decimaquarta, aut vigesima, aut quadragesima, aut intra hæc tempora. [13] Hujusmodi enim egestiones, etiam eos qui prius sunt in corporibus, morbos sanant, antiquiores quidem diutiore tempore, recentiores autem in paucis diebus submovere possunt. [14] Nam & quæ uterum gestant, etiam ipsæ evadunt superstites magis ad partum, & ex partu, & fœtus conservant: [15] sanguine & ramentis egestis, etiam per multos menses: [16] nisi dolor ipsis affuerit, aut aliud quoddam malum signum ex his quæ in dysenteriis fieri scripsi, accesserit. [17] Si vero aliquod illorum apparuerit: & fœtui perniciem significat, & prægnanti periculum, [18] si non post fœtus effugium, & secundæ exolutionem, ipsa dysenteria eadem die, aut post modicum tempus desinat.

XXXI. Lævitates porro intestinorum, lienteriæ Græcis appellatæ, [2] quæ quidem sunt continuæ & diuturnæ, [3] & per omnem horam, & cum strepitibus, & sine strepitibus exturbantur, [4] & similiter noctu ac interdiu incumbentes, [5] & egestione subeunte aut valde cruda, aut nigra, & lævi ac graveolente: [6] hæ omnes malæ sunt. [7] Nam & sitim inducunt, & potum non ad vesicam promovent, ut per urinam ejiciatur: [8] & os exulcerant, [9] & ruborem elevatum in facie efficiunt, & maculas solares varios colores haben-

ἰσχνότης. [10] ἅμα δὲ καὶ τὰς γαστέρας ὑποξυμένας τε καὶ ῥυτιδώδεας ἀποδεικνύουσι, καὶ ῥυπώδεας. [11] ἐκ δὲ τῶν τοιούτων ἐσθίειν τε ἀδυνατώτεροι γίνονται οἱ ἄνθρωποι, καὶ τῇσι περιόδοισι χρέεσθαι, καὶ τἄλλα τὰ προσήκοντα ποιέειν. [12] τὸ δὲ νόσημα τοῦτο, ἰσχυρότατον μὲν τοῖσι πρεσβυτέροισιν, ἰσχυρὸν δὲ γίνεται καὶ τοῖσιν ἀνδράσι· τῇσι δὲ ἄλλῃσιν ἡλικίῃσι πολλῷ ἧσσον. [13] ὅστις δὲ μήτε ἐν τῇσιν ἡλικίῃσίν ἐστι ταύτῃσιν, ἅς φημι ὑπὸ τοῦ νοσήματος τούτου κακῶς περιέπεσθαι, ἐλάχιστά τε τῶν σημείων ἔχει τῶν πονηρῶν, ἃ ἔγραψα εἶναι, ἀσφαλέστατα διάκειται οὗτος. [14] θεραπείης δὲ ὧδε δεῖται ἡ νοῦσος αὕτη, [15] ἕως τ' ἂν τό, τε οὖρον χωρέῃ τοῦ πινομένου κατὰ λόγον, [16] καὶ τὸ σῶμα τῶν σιτίων ἐσιόντων αὔξηται, [17] καὶ τῶν χροιῶν τῶν πονηρῶν ἀπαλλαχθῇ.

XXXII. Αἱ δὲ ἄλλαι διαῤῥοιαι, ὅσαι ἄνευ πυρετῶν, καὶ ὀλιγοχρόνιοί τε καὶ εὐήθεις, [2] ἢ κλυσθεῖσαι πεπαύσονται, ἢ ἀπὸ τοῦ αὐτομάτου. [3] προσαγορεύειν δὲ χρὴ παύεσθαι τὴν ὑπέξοδον, [4] ὅταν τῇ τε χειρὶ ψαύοντι τῆς γαστρὸς μηδεμίη κίνησις ὑπῇ, [5] καὶ φῦσαι διέλθῃ ἐπὶ τελευτῇ τοῦ διαχωρήματος. [6] Ἕδραι δὲ ἐκτρέπονται, ἀνδράσι μὲν, οὓς ἂν διαῤῥοίη λάβῃ ἔχοντας αἱμοῤῥοΐδας· [7] παιδίοισι δὲ, λιθιῶσί τε, καὶ ἐν τῇσι δυσεντερίῃσι τῇσι μακρῇσί τε καὶ ἀκρήτοισι· [8] πρεσβυτέροισι δὲ, οἷς ἂν συμπήγματα μύξης ἐνῇ.

XXXIII. Τῶν δὲ γυναικῶν ὅσαι μᾶλλον καὶ ἧσσον ἐν γαστρὶ λαμβάνειν πεφύκασιν, ὧδε ὑποσκέπτεσθαι. [2] πρῶτον μὲν τὰ εἴδεα· σμικραί τε γὰρ μεζόνων ἀμείνονες ξυλλαμβάνειν, λεπταὶ παχειῶν, λευ-

habentes. [10] Simul autem & ventres emollitos, & sordidos ac rugosos reddunt. [11] Ex talibus autem homines impotentes fiunt, ad cibum capiendum, ad deambulandum, & ad faciendum alia quæ facere debent. [12] Estque morbus hic gravissimus senioribus. Vehemens est etiam viris. Reliquis autem ætatibus multo minor. [13] Quisquis autem neque in ætatibus his est, quas male tractari ab hoc morbo dixi, & paucissima ex signis habet, quæ mala esse scripsi, hic securissime dispositus est. [14] Indiget autem curatione hic morbus, [15] donec & urina pro ratione ejus quod in potu acceptum est, procedat, [16] & corpus ab ingestis cibis augmentum capiat, [17] & à malis coloribus liberatum fuerit.

XXXII. At vero alia profluvia alvi, quæ sine febre sunt, & brevi tempore durant, & mitia existunt. [2] Aut enim eluta sedabuntur, aut sua sponte. [3] Prædicere autem oportet excretionem subtus erumpentem desituram esse, [4] quum tangenti ventrem manu nullus motus occurrerit, [5] & in fine egestionis flatus penetrarit. [6] Sedes autem evertuntur ac procidunt, viris quidem, quos ubi hæmorrhoidas habent, alvi profluvium corripit: [7] pueris autem calculo laborantibus, & in dysenteriis longis ac meracis: [8] senibus vero quibus muci agglutinati insunt.

XXXIII. Porro ex mulieribus, quæ magis aut minus in utero concipere solent, ita considerationem facere convenit: [2] primum quidem specierum. Parvæ enim ad conceptionem præstantiores sunt majoribus, tenues crassis,

λευκαὶ ἐρυθρῶν, μέλαιναι πελιδνῶν. 3 [καὶ] φλέβας ὅσαι ἐμφανέας ἔχουσιν, ἀμείνονες, ἢ ὅσῃσι μὴ καταφαίνονται. 4 στέρνον δὲ ἐπίθρεπτον ἔχειν, πρεσβυτικὸν πονηρόν· 5 μαζοὺς δὲ ὀγκηρούς τε καὶ μεγάλους, ἀγαθόν. 6 ταῦτα μὲν πρὸς τὴν ὄψιν δῆλά ἐστι. 7 πυνθάνεσθαι [δὲ] χρὴ καὶ περὶ τῶν καταμηνίων, 8 εἰ πάντας μῆνας φαίνονται, 9 καὶ εἰ πλῆθος ἱκανόν, 10 καὶ εἰ εὔχροά τε, 11 καὶ ἴσα ἐν ἑκάστοισι τοῖσι χρόνοισι, 12 καὶ ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τῶν μηνῶν. 13 οὕτω γὰρ ταῦτα γίνεσθαι ἄριστον. 14 τὸ δὲ χωρίον, ἐν ᾧ ἡ σύλληψίς ἐστιν, ὃ δὴ μήτρην ὀνομάζομεν, 15 ὑγιές τε χρὴ εἶναι, καὶ ξηρόν, καὶ μαλθακόν. 16 καὶ μήτ' ἀνεσπασμένον ἔστω, μήτε προπετές. 17 μήτε τὸ στόμα αὐτοῦ ἀπεστράφθω, μήτε ξυμμεμυκέτω, μήτ' ἐκπεπλήχθω. 18 ἀμήχανον γάρ, ὅπου ἂν ᾖ τῶν τοιούτων κωλυμάτων, σύλληψιν γενέσθαι. 19 Ὁκόσαι μὲν οὖν τῶν γυναικῶν μὴ δύνανται ἐν γαστρὶ λαμβάνειν, φαίνονται δὲ χλωραί, μήτε πυρέσσουσαι, μήτε τῶν σπλάγχνων αἰτίων ἐόντων, 20 αὗται φήσουσι κεφαλὴν ἀλγέειν, 21 καὶ τὰ καταμήνια πονηρῶς τέ σφισι καὶ ἀκρίτως γίνεσθαι, 22 καὶ ὀλίγως τε καὶ πολλῷ χρόνῳ. 23 ἢν τῇσιν οὕτω διακειμένῃσιν ἀφανέα ᾖ, αἱ μῆτραι καθάρσιος ταύτῃσι προσχρῄζουσιν. 24 ὁκόσαι δὲ εὔχροοί τέ εἰσι, καὶ σάρκα πολλήν τε καὶ πιαρὴν ἔχουσι, καὶ φλέβια κεκρυμμένα, 25 ἀνώδυνοί τέ εἰσι, καὶ τὰ καταμήνια ταύτῃσιν ἢ παντάπασιν οὐ φαίνεται, ἢ ὀλίγα τε καὶ ἀκρίτως γίνεται, 26 τῶν τρόπων οὗτος ἐν τοῖσι χαλεπωτάτοισίν ἐστι καταναγκάσαι, ὡς ἐν γαστρὶ λαμβάνειν. 27 ἢν δὲ ἐπιφαινομένων τῶν καταμηνίων ἀπροφασίστως,

crassis, albæ rubicundis, nigræ lividis. 3 Quæ item venas conspicuas habent, meliores sunt quam quibus non apparent. 4 Carnem autem uberiorem habere, aniculæ malum est: 5 mammas autem tumidas ac magnas; bonum. 6 Atque hæc quidem ad visum exposita sunt. 7 Verum interrogare oportet etiam de menstruis purgationibus, 8 an omnibus mensibus compareant, 9 & an copia satis magna, 10 & an boni coloris sint, 11 & æquales in singulis temporibus, 12 & in iisdem mensium diebus. 13 Sic enim has fieri optimum est. 14 Locum vero in quo conceptio fit, quem sane uterum nominamus, 15 sanum esse oportet, & siccum, ac mollem. 16 Sit item neque retractus, neque pronuus, 17 neque os ipsius sit aversum, neque conclusum, neque eversum. 18 Fieri enim non potest ut conceptio fiat, quodcunque eius tandem talium impedimentorum affuerit. 19 Quæcunque igitur mulieres in utero concipere non possunt, verum pallidæ apparent, neque febre, neque visceribus in causa existentibus, 20 hæ capite se dolere dicent, 21 & menses sibi male ac meracos prodire. 22 Sive autem brevi, sive longo tempore, 23 ipsis sic affectis menses non comparuerint, uteri in his purgatione opus habent. 24 Quæcunque vero bene coloratæ sunt, & carnem multam ac pinguem habent, & venulas occultatas, 25 & dolore carent, & menses his aut omnino non apparent, aut modici & meraci prodeunt: 26 hic modus difficilimus est ad cogendum ut concipiant. 27 Si vero mensibus comparentibus inculpate, & mulier

sit

γως, τό, τε σῶμα ὧδε διάκειται ἡ γυνὴ, καὶ μὴ συλλαμβάνῃ, τὸ χωρίον, ἐν ᾧ ἡ μήτρη, αἴτιον, ὥστε μὴ δύνασθαι γένεσθαι ἔκγονα. 28 ἢ γὰρ ἀνεσπασμένον ἐστὶν, ἢ ἐκπεπλησμένον. 29 τὰ γὰρ ἄλλα καὶ γενόμενα ἐνθαῦθα, ξὺν ὀδύνῃσί τε γίνεται, καὶ ἀχροίῃσί τε καὶ τήξει.

XXXIV. 1 Ἦσι δ᾽ ἂν ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν, 2 εἴτε ἐκ τόκου, 3 εἴτε ἐκ φύματος, 4 εἴτε ἐξ ἄλλης τινὸς προφάσιος, 5 πυρετούς τε καὶ βουβῶνας τούτῃσιν ἀνάγκη ἐπιγίνεσθαι, 6 καὶ ὀδύνας ἐν τοῖσι χωρίοισι τούτοισιν. 7 ἢν δὲ καὶ τὰ λοχεῖα συναπολειφθείη, ταῦτα ὑπάρχοντα κακὰ πάντα ἂν ἀκρατέστερά τε καὶ χρονιώτερα. 8 καὶ πρὸς τούτοισιν ὑποχονδρίων τε καὶ κεφαλῆς ὀδύναι. 9 ἕλκεος δὲ γενομένου, καὶ ἐξυγιασθέντος, τὸ χωρίον τοῦτο ἀνάγκη λειότερον καὶ σκληρότερον γίνεσθαι, καὶ ἧσσον δύνασθαι ἐν γαστρὶ λαμβάνειν. 10 εἰ δὲ μοῦνον ἐν τοῖσιν ἐπ᾽ ἀριστερὰ γένοιτο ἕλκος, ἡ δὲ γυνὴ ἐν γαστρὶ λάβοι, εἴτε τὸ ἕλκος ἔτι ἐχούσης, εἴτε λοιπὸν ἤδη ὑγιὲς ἐούσης, ἄρσεν μᾶλλον τεκεῖν αὐτὴν ἐλπίς ἐστιν. 11 εἰ δὲ ἐν τοῖσιν ἐπὶ δεξιὰ τὸ ἕλκος γένοιτο, ἡ δὲ γυνὴ ἐν γαστρὶ ἔχοι, θῆλυ μᾶλλον τὸ ἔκγονον χρὴ δοκέειν ἔσεσθαι. 12 ἢν δὲ πυρετοὶ γένωνται μὴ δυναμένῃ ἐν γαστρὶ λαβεῖν, καὶ λεπτῆς βαιὸν ἐχούσης, 13 πυνθάνεσθαι χρὴ, μή τι αἱ μῆτραι ἕλκος ἔχουσιν, ἢ ἄλλο τι τῶν πονηρῶν ὧν ἔγραψα. 14 εἰ γὰρ ἐν τῷ χωρίῳ τούτῳ μηδὲν ὑπεὸν κακὸν φαίνοιτο αἴτιον τῆς λεπτότητός τε καὶ τοῦ μὴ συλλαμβάνειν δύνασθαι, 15 αἷμα ἐμέσειν τὴν γυναῖκα προσδόκιμον, 16 καί τε καταμήνια τῇ τοιαύτῃ ἠφανίσθαι ἀνάγκη. 17 ἢν δὲ ὁ πυρετὸς λυθῇ ὑπὸ τῆς ῥήξιος τοῦ αἵματος, καὶ τὰ καταμ-

sic corpore disposita fuerit, & non conceperit, locus in quo est uterus in causa est, ut fœcunda fœtu fieri non possit. 28 Aut enim revulsus est, aut eversus. 29 Nam & alia quæ isthic fiunt, cum doloribus decoloratioŋeque ac colliquatione fiunt.

XXXIV. Quibus porro ulcus factum fuerit in utero, 2 sive ex partu, 3 sive ex tuberculo, 4 sive ex alia quadam causa, 5 his febres & inguinum tumores succedere necesse est, 6 & dolores in his locis. 7 (Si vero & puerperii purgamenta simul fuerint intercepta, hæc mala si fuerint, omnino meraciora sunt & diuturniora.) 8 Et ad hæc præcordiorum ac capitis dolores. 9 Ulcere autem facto & sanato, locum hunc læviorem ac duriorem fieri necesse est, & minus concipere posse. 10 Si vero solum in sinistra parte fiat ulcus, & mulier in utero concipiat, sive dum adhuc habet ulcus, sive ubi jam sana est, masculum magis enixuram esse spes est. 11 Si vero in dextra parte ulcus fiat, & mulier concipiat, fœmineum magis fore fœtum expectandum est. 12 At si febres corripiant concipere non potentem, & attenuata sit muliercula, 13 interrogare oportet, an uteri ulcus aliquod habeant, aut aliud quippiam ex malis de quibus scripsi. 14 Si enim in hoc loco nihil mali subesse apparuerit, quod causa sit attenuationis, & quod concipere non possit, 15 sanguinem vomituram esse mulierem expectandum est, 16 menses autem tali necessario evanuerunt. 17 Si vero febris soluta fuerit à sanguinis eruptione, & menses com- pa-

καταμήνια φανῇ, ἐν γαστρὶ λήψεται. [18] ἢν δὲ περὶ τῆς γαστρὸς, πρὶν ἢ τὸ αἷμα ἀναῤῥαγῆναι, ὑγρὰ χωρήσῃ πονηρὸν τρόπον, κίνδυνος ἀπολέσθαι τὴν γυναῖκα ἢν ἐμεσθῆναι, ἢ τὸ αἷμα ἐμέσαι.

XXXV. [1] Ὁκόσαι δὲ ἐν γαστρὶ 188 δοκέουσιν ἔχειν, οὐκ ἔχουσαι, [2] καὶ πολλοὺς μῆνας ἐξαπατῶνται, τῶν καταμηνίων οὐ φαινομένων, [3] καὶ τὰς γαστέρας ὁρῶσιν αὐξανομένας τε καὶ κινεομένας, [4] αὗται κεφαλὴν τε ἀλγέουσι, καὶ τράχηλον, καὶ ὑποχόνδρια. [5] καὶ ἐν τοῖσι τιτθοῖσι γάλα 512 οὐκ ἐγγίνεταί σφισιν, εἰ μὴ ὀλίγον τι καὶ ὑδαρές. [6] ἐπὴν δὲ τὸ κύρτωμα τὸ τῆς γαστρὸς ἀπολυθῇ, καὶ λαπαραὶ γένωνται, αὗται ἐν γαστρὶ λήψονται, ἢν μή τι ἄλλο κώλυμα γένηταί σφισιν. [7] ἐπεὶ τὸ πάθος γε τοῦτο ἀγαθόν ἐστι μεταβολὴν ποιήσασθαι ἐν τῇ ὑστέρῃ, ὥστε μετὰ τοῦτον τὸν χρόνον ἐν γαστρὶ λαμβάνειν. [8] τῇσι δ᾽ ἐχούσῃσιν ἐν γαστρὶ τὰ ἀλγή- 5 ματα ταῦτα οὐ γίνεται, [9] ἢν μὴ ξυνήθεα ἔωσι, καὶ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται. [10] τὰς δὲ 189 ὑπὸ τῶν ῥόων τῶν πολυχρονίων ἐχομένας ἐρωτᾷν, εἰ κεφαλὴν ἀλγέουσι, καὶ ὀσφὺν, καὶ τὸ κάτω τῆς γαστρός. [11] ἐρωτᾷν δὲ καὶ περὶ αἱμωδίας, καὶ ἀμβλυωσμοῦ, καὶ ἤχων. [12] ὁκόσαι δὲ νήστιες ἐοῦσαι ὑπόχολα ἐμέουσι πολλὰς ἡμέρας, μήτε ἐν γαστρὶ ἔχουσαι, μήτε πυρεταίνουσαι, πυνθάνεσθαι ἕλμινθας στρογγύλας εἰ ξυνεμέουσι. [13] ἢν γὰρ 10 μὴ ὁμολογέωσι, προλέγειν αὐτῇσι τοῦτο ἔσεσθαι. [14] γίνεται δὲ μάλιστα μὲν τῇσι γυναιξὶ τὸ νόσημα τοῦτο· ἔπειτα δὲ καὶ παρθένοισι· τοῖσι δ᾽ ἄλλοισιν ἀνθρώποισιν ἧσσον.

pariturae, in utero concipiet. [18] Si vero priusquam sanguis erumpat, alvi excrementa liquida facta fuerint pravo modo, periculum est perituram esse mulierem antea quam sanguinem vomat.

XXXV. Quaecunque in utero se concepisse putant, & non conceperunt, [2] & per multos menses falluntur, menstruis purgationibus non apparentibus, [3] & ventres augeri ac moveri vident: [4] hae & caput dolent, & collum, & praecordia, [5] & in mammis lac ipsis non est, nisi 185 modicum quiddam, atque id aquosum. [6] Postquam vero ventris tumiditas exoluta fuerit, ac molles factae fuerint, in utero concipient, si non aliud quoddam impedimentum ipsis fiat. [7] Nam haec affectio bona est ad mutationem in utero faciendam, ut post hoc tempus in utero concipiant. [8] At his quae conceperunt, dolores hi non fiunt, [9] nisi familiares his fuerint capitis dolores, & lac in mammis gi- 190 gnitur. [10] At vero eas quae a diuturnis fluxionibus vexantur, interrogare oportet an caput doleant, & lumbos, & infimam ventris partem. [11] Interrogandae sunt etiam de dentium stupore, & visus hebetudine, & aurium sonitu. [12] Quaecunque autem dum jejunae sunt, subbiliosa vomunt per multos dies, quum neque uterum gestent, neque febricitent, eas interrogare oportet an lumbricos rotundos simul vomant. [13] Si enim hoc non 195 confitentur, praedicendum est ipsis futurum esse. [14] Fit autem hic morbus maxime quidem mulieribus: deinde vero etiam virginibus, aliis autem hominibus minus.

XXXVI. [1] Ὅσαι δὲ αὐταὶ ἄνευ πυ- 190 ρετῶν ὀδύναι γίνονται, θανάτους μὲν οὐκ ἐξεργάζονται, [2] πολυχρόνιοι δὲ αἱ πλείους εἰσὶ καὶ πολλὰς μεταστάσιας ἔχουσι καὶ ὑποστροφάς. [3] οἱ δὲ τρόποι, πρῶτον μὲν τῶν περὶ τὴν κεφαλὴν ἀλγημάτων, τὰ μὲν σύνηθες, τὰ δὲ χαλεπώτερα πολλῷ. [4] χρὴ δὲ ὑποσκέπτεσθαι ἑκάτερα αὐτῶν ὧ- 191 15 δε. [5] ὁκόσοι δὲ αὐτῶν ἀμβλυώσ- 192 σουσι, καὶ ἔρευθός τι ἐπὶ τῶν ὀφθαλμῶν γίνεται, καὶ κνησμὸς ἔχει τὸ μέτωπον, [6] τούτοισιν ἀρήγει αἷμα ῥυὲν ἀπὸ τοῦ αὐτομάτου καὶ ἐξ ἀνάγκης. [7] ἁπλοῦς οὗτος ὁ τρόπος. [8] οἷσι δὲ ὀ- 193 δύναι περὶ τὴν κεφαλὴν καὶ τὸ μέτωπον, ἔκ τε τῶν ἀνέμων τῶν μεγάλων γίνονται καὶ ἐκ τῶν ψυχέων, ὅταν θερμανθῶσιν ἰσχυρῶς, [9] τούτοις δὲ κόρυζαι μὲν τελέως μάλιστα ἀπαλλάσσουσιν, ὠφελέουσι τε καὶ πταρμοὶ, καὶ βλένναι ἐν τῇσι ῥισὶ γινόμεναι [10] 20 μᾶλλον μὲν ἀπὸ τοῦ αὐτομάτου· εἰ δὲ μὴ, ἐξ ἀνάγκης. [11] κόρυζαι [δὲ] γί- 194 νονται τελέως, ὥστε καὶ βῆχας ἐπιγενέσθαι. [12] οἱ δὲ πταρμοὶ ἐπιγινόμενοι τὰς ὀδύνας ἢν μὴ παύσωσι, φύματα ἀνάγκη ἐπιγενέσθαι καὶ ἀχροίας τούτοισιν. [13] ὁκόσοισι δὲ ὀδύναι 195 αὐταὶ προφάσιός τε γίνονται καὶ πολυχρόνιοι, καὶ ἐν πάσῃ τῇ κεφαλῇ, ἰσχναί τε εἰσὶ καὶ ἀμενηνοῖσι προσ- 196 ορᾶται, τούτοισι τὸ νόσημα πολλῷ χαλεπώτερον τοῦ προτέρου. [14] ἢν δὲ καὶ ἐς τὸν τράχηλόν τε καὶ ἐς τὸ νῶτον ἡ ὀ- 25 δύνη καταβαίνῃ τὴν κεφαλὴν ἀπολιποῦσα, καὶ αὖθις παλινδρομέῃ ἐς τὴν κεφαλὴν, καὶ ἔτι χαλεπώτερον γίνεται. [15] τὸ πονηρότατον πάντων δυοῖν τουτέων, ἐς ξυντείνει ἐκ τῆς κεφαλῆς ἐς τὸν τράχηλόν τε καὶ τὸ νῶτον. [16] τὰς δὲ ὠφελείας τελέας προσδέχεσθαι ἐξ ἀποστάσιων ἔσεσθαι, [17] ἢ πύον βήσσουσι. [18] ἢ αἱμορ-

XXXVI. Quibuscunque vero sine febribus dolores fiunt, mortem quidem non inducunt, [2] verum plerique diuturni sunt, & multas mutationes ac recidivas habent. [3] Modi autem hi sunt. Primum quidem ex capitis doloribus aliqui sunt leves, aliqui multo [1] graviores. [4] Utrosque vero hoc modo considerare oportet. [5] Quicunque hebetem visum habent, & rubor quidam ipsis fit in oculis, & pruritus frontem vexat, [6] his sanguis sua sponte manans opitulatur. [7] Atque hic modus necessario simplex est. [8] Quibus vero dolores circa caput & frontem, ex magnis ventis fiunt, & ex frigoribus quum vehementer calfacti fuerint, [9] eos gravedines quidem maxime [2] perfecte liberant: prosunt autem & sternutationes, & muci in naribus oborti, [10] magis quidem sua sponte: sin minus, coacte. [11] Gravedines autem fiunt perfecte, adeo ut tusses succedant: [12] & sternutationes succedentes si dolores non sedaverint, necesse est tubercula & decolorationes his succedere. [13] Quibus autem dolores sine manifestis causis fiunt, & diuturni, & in toto capite, suntque ipsi & graciles, & [3] debiles, his prædicendum est morbum longe graviorem priore esse. [14] Si vero etiam ad collum, & ad dorsum dolor descendat, caput relinquens, & rursus ad caput recurrat, adhuc gravior fit. [15] Verum omnium horum gravissimus est: si ex capite ad collum ac dorsum tendat. [16] Utilitates autem his ex abscessibus fore expectandum est, [17] aut ubi pus per tussim rejecerint, [18] aut hæ-

 mor-

αἱμοῤῥοΐδας ἔχουσιν, 19 ἢ ἐξανθήματα ἐν τοῖσι σώμασι. 20 λυσιτελέει δὲ καὶ πιτυρωθεῖσα ἡ κεφαλή.

XXXVII. Νάρκαι δὲ καὶ κνιδώσιες οἷσι διὰ τῆς κεφαλῆς διαΐσσουσι, τότε μὲν διὰ πάσης, τότε δὲ διὰ μέρεός τινος, 2 πολλάκις δὲ καὶ ψυχρόν τι δοκέει αὐτοῖσιν διεξιέναι διὰ τῆς κεφαλῆς, 3 τούτους ἐπανέρεσθαι, εἰ καὶ ἐς τὴν γλῶσσαν ἄκρην ἀφικνέεται ἡ κνίδωσις. 4 εἰ γὰρ τοῦτο ποιέοι, τέλεον τὸ νόσημα γίνεται, καὶ χαλεπώτερον ἀπαλλάξαι. 5 εὐπετέες δὲ ἄνευ τούτου. 6 οἱ δὲ τρόποι τῶν ὠφελειῶν ἐξ ἀποστασίων, ὥσπερ προγέγραπται. 7 ἧσσον μέν τοι ἐπιγίνονται ἀποστάσιες ἐπὶ τούτοισιν ἢ ἐκείνοισιν.

XXXIIX. Ὁκόσους δὲ ξὺν ὀδύνῃσιν σκοτόδινοι λαμβάνουσι, δυσαπάλλακτον καὶ μανικόν. 2 γέρουσι δὲ ὁ τρόπος οὗτος μάλιστα γίνεται. 3 αἱ δὲ ἄλλαι νοῦσοι αἱ ἀμφὶ κεφαλὰς ἀνδράσι τε καὶ γυναιξὶν ἀσφαλῶς ἰσχυρόταται καὶ πολυχρονιώτεραι. 4 γίνονται δὲ καὶ νεανίσκοισί τε καὶ παρθένοισι τῇσιν ἐν ἡλικίῃ, καὶ μάλιστα τῶν καταμηνίων ἐς τὴν πρόοδον. 5 τῇσι δὲ γυναιξὶν ἐν τῇσι κεφαλαλγίῃσι τὰ μὲν ἄλλα πάντα γίνεται, ἃ καὶ τοῖσιν ἀνδράσι. 6 αἱ κνιδώσιες δὲ καὶ τὰ μελαγχολικὰ τούτῃσιν ἧσσον ἢ τοῖσιν ἀνδράσιν, 7 ἢν μὴ τὰ καταμήνια τελέως ἠφανισμένα ᾖ.

XXXIX. Οἷσι δὲ τὰ χρώματα νέοισιν ἐοῦσι πονηρά ἐστι πουλὺν χρόνον, ξυνεχέως δὲ, μὴ ἰκτεριώδεα τρόπον, 2 οὗτοι καὶ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν κεφαλὴν ἀλγέουσι, 3 καὶ λίθους τε καὶ γῆν

morrhoidas habent, 19 aut pustulas in corporibus enatas. 20 Confert etiam caput furfures habens.

XXXVII. Torpores & puncturæ pruriginosæ velut ab urtica, quibus per caput discurrunt, aliquando per totum, aliquando per aliquam partem: 2 sæpe vero & frigiditas aliqua ab ipsis sentiri putatur, velut per caput discurrere: 3 hos interrogare oportet, an etiam ad summam linguam punctura illa procedat. 4 Si enim hoc fecerit, perfectus morbus fit, & qui difficilius submoveri possit. 5 Verum absque hoc facilis est. 6 Modi vero utilitatum consequendarum ex abscessibus contingent, veluti antea scriptum est. 7 Sed tamen abscessus minus in his succedunt, quam in illis.

XXXIIX. Quoscunque vero una cum doloribus vertigines corripiunt, malum ægre exolubile ac furiosum existit. 2 Senibus autem maxime hic modus fit. 3 At alii morbi circa caput, & viris, & mulieribus, cum securitate vehementissimi sunt, & diuturniores: 4 fiunt autem & adolescentibus, & virginibus in ea pubertatis ætate, & maxime circa mensium progressum. 5 Mulieribus vero in capitis doloribus, alia quidem omnia fiunt, quæ & viris. 6 Verum puncturæ illæ pruriginosæ & affectiones atrabilariæ, his minus quam viris, 7 si non menses penitus aboliti fuerint.

XXXIX. Quibus colores, dum juvenes sunt, pravi sunt ad multum tempus & continenter, non tamen morbi regii modo: 2 hi sive viri sint, sive fœminæ, caput dolent, 3 & lapides ac terram

γλῶσσαν τρώγουσι, [4] καὶ αἱμοῤῥοΐδας ἔχουσι. [5] τὰ δὲ χλωρὰ χρώματα ὅσα χρόνιά ἐστι, καὶ μὴ ἰσχυροὶ ἴκτεροι ἔστι, τὰ μὲν ἄλλα τὰ αὐτὰ ποιεῖν αὐτοῖσι ξυμβαίνει. [6] ἀντὶ δὲ τῶν λίθων τά τε καὶ τῆς γῆς τρώξιος, τὰ ὑποχόνδρια λυπέει μᾶλλον ἢ τοὺς ἑτέρους. [7] ὁκόσοι δὲ πουλὺν χρόνον ὠχροὶ φαίνονται, καὶ τὰ πρόσωπα ἐπηρμένα ἔχοντες, [8] εἰδέναι χρὴ τούτους, τὴν κεφαλὴν ὀδυνωμένους, ἢ περὶ τὰ σπλάγχνα ἀλγήματα ἔχοντας, [9] ἢ ἐν τῇ ἕδρῃ κακόν τι, [10] ἢ ἐν ἑωυτοῖσι. [11] πλείστοισι δὲ τῶν τοιούτων φαινομένων, οὐχ ἕν τι τούτων τῶν κακῶν φαίνεται, ἀλλ' ἔστιν ὅτε πολλὰ, ἢ καὶ πάντα.

XL. [1] Οἱ δὲ τὰς νύκτας ὁρῶντες, οὓς δὴ νυκτάλωπας καλέομεν, [2] ἤτοι ἁλίσκονται ὑπὸ τοῦ νοσήματος νέοι, ἢ παῖδες, ἢ καὶ νεηνίσκοι· [3] καὶ ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου, οἱ μὲν τεσσαρακονθήμεροι, οἱ δὲ ἑπτάμηνοι. περὶ δὲ καὶ ἐνιαυτὸν ὅλον παραμένει. [4] σημαίνεσθαι χρὴ περὶ τοῦ χρόνου, ἔς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρῶντας, ἔς τε τὴν ἡλικίην τοῦ νοσέοντος. [5] αἱ δὲ ἀποστάσιες ὠφελέουσι μὲν τούτους ἐπιφαινόμεναί τε καὶ ἐς τὰ κάτω ῥεπόμεναι. [6] ἐπιγίνονται δὲ οὐ κάρτα, διὰ τὴν νεότητα. [7] αἱ δὲ γυναῖκες οὐχ ἁλίσκονται ὑπὸ τοῦ νοσήματος τούτου, οὐδὲ παρθένοι, ᾗσι τὰ ἐπιμήνια φαίνονται. [8] οἷσι δὲ ῥεύματα δακρύων πολυχρόνια, ἢ νυκτάλωπες γίνονται, τούτους ἐπανερωτᾷν, ἢν τὴν κεφαλὴν προηλγηκότες ἔωσι πρὸ τοῦ ἀποκηρύγματος τούτων. [9] Ὁκόσοι δὲ μήτε πυρεταίνοντες, μήτε ἄχροοι ἐόντες, [10] ἀλγέουσι πολλάκις τήν τε κορυφὴν καὶ τοὺς κροτάφους, [11] ἢν μὴ τὴν ἄλλην φανερὴν ἔχωσιν ἀπόστασιν ἐν τῷ προσώπῳ,

[12] ἢ

ram comedunt, [4] & hæmorrhoidas habent. [5] Pallidi vero cum virore colores qui diuturni sunt, & morbus regius vehemens non est, alia quidem eadem facere solent: [6] verum pro lapidum ac terræ esu, præcordia hos magis affligunt quam alteros. [7] Quicunque vero multo tempore pallidi apparent, & facies in tumorem elevatas habent, [8] eos caput dolere sciendum est, aut circa viscera dolorem habere, [9] aut in sede malum aliquod [10] in seipsis. [11] Ex his autem apparentibus, plerisque non unum aliquod horum malorum apparet, sed plerunque multa, aut etiam omnia.

XL. Qui nocte vident, quos sane nyctalopas vocamus, [2] hi morbo corripiuntur juvenes, aut pueri, aut etiam adolescentes, [3] & liberantur sua sponte, aliqui in quadraginta diebus, aliqui septimo mense: quibusdam vero & per totum annum permansit. [4] Quapropter de tempore conjectare oportet, ita ut & ad morbi robur, & ad ægri ætatem respicias. [5] Abscessus autem his prosunt insuper apparentes, & ad infernas partes fluentes. [6] Verum non valde accedunt, propter juventutem. [7] At mulieres non corripiuntur ab hoc morbo, neque virgines quibus menses comparent. [8] Quibus autem lachrymarum fluxiones diuturnæ fuerint, & hi nyctalopes fiunt, eos interrogare oportet an caput doluerint, antea quam hæc revelarunt. [9] Quicunque dum neque febricitant, neque decolores sunt, [10] sæpe & verticem & tempora dolent, [11] si non alium manifestum habuerint abscessum in facie,

[12] aut

[12] ἢ βαρὺ φθέγγωνται, [13] ἢ ὀδόντες ἀλγέωσι, [14] τούτοισιν αἱμοῤῥαγῆναι διὰ τῶν ῥινῶν προσδέχεσθαι.

XLI. Οἷσι δὲ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγεῖ, δοκέουσιν οἱ δ' ὑγιαίνειν τὰ ἄλλα. [2] τούτους δὲ ἢ σπλῆνα εὑρήσεις ἐπηρμένον ἔχοντας, [3] ἢ τὴν κεφαλὴν ἀλγέοντάς τε καὶ μαρμαρυγῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαινόμενόν σφισι. [4] τοῖσι δὲ πλείστοισι τούτων ἅμα καὶ τὰ ἀπὸ τῆς κεφαλῆς οὕτως ἔχοντα φαίνεται, καὶ τὰ ἀπὸ τοῦ σπληνός.

XLII. Οὖλα δὲ πονηρὰ καὶ στόματα δυσώδεα, οἷσι σπλῆνες μεγάλοι. [2] ὁκόσοι δὲ ἔχουσι σπλῆνας μεγάλους, μήτε αἱμοῤῥαγίαι γίνονται, μήτε στόμα δυσῶδες, τουτέων αἱ κνῆμαι ἕλκεα πονηρὰ ἔχουσι, καὶ οὐλὰς μελαίνας. [3] ἢν δ' ἄλλην φανερὴν ἔχωσιν ἀπόστασιν ἐν τῷ προσώπῳ, ἢ βαρὺ φθέγγωνται, ἢ ὀδόντες ἀλγέωσι, τουτέοισιν αἱμοῤῥαγίην διὰ ῥινῶν προσδέχεσθαι. [4] οἷσι δὲ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἐπαείρεται ἰσχυρῶς, τούτους σπλῆνας μεγάλους εὑρήσεις ἔχοντας. [5] ἢν δὲ καὶ ἐν τοῖσι ποσὶν οἰδήματα προσγίνονται, καὶ ὕδως φανήσονται ἔχοντες. [6] ἀλλὰ καὶ τὴν γαστέρα καὶ τὴν ὀσφὺν ἐπισκέπτεσθαι. [7] τὰ δὲ ἐν τοῖσι προσώποισι παραστρέμματα, ἢν μηδενὶ ἄλλῳ τοῦ σώματος ἐπικοινωνέῃ, ταχέως παύεται, καὶ αὐτόματα καὶ πρὸς ἀνάγκας. [8] οἱ δ' ἄλλοι ἀπόπληκτοι, οἷσι μετὰ τοῦ μὴ δύνασθαι κινέειν, λεπτύνεται τὸ νοσηρὸν τοῦ σώματος, οὔτοι ἀδύνατοι ἐς τὸ ὑγιὲς καταστῆναι. [9] οἷσι δὲ ξυντήξιες μὴ ἐπιγένωνται, οὗτοι δὲ ἔσονται ὑγιέες.

XLIII. Περὶ δὲ τοῦ χρόνου, ὁπότε ἔσονται, προλέγειν ἐς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρῶντα, καὶ ἐς τὸν χρόνον, καὶ ἐς τὴν ἡλικίην τοῦ ἀνθρώπου, καὶ ἐς τὴν ὥρην, [2] εἰδότα ὅτι τὰ παλαιότερα τῶν

[12] aut graviter loquantur, [13] aut dentes doleant, [14] his sanguinem per nares erupturum esse expectandum est.

XLI. Quibus vero ex naribus sanguis fluit, hi alioqui sani esse videntur, [2] hos autem vel splenem in tumorem elevatum habere comperies, [3] vel caput dolere, & splendicans quiddam ipsis ob oculos obversatur. [4] Plerisque vero horum simul & caput & splen hoc modo se habere apparent.

XLII. Gingivæ vitiatæ, & ora graveolentia his sunt quibus splenes magni. [2] Quicunque vero habent splenes magnos, & neque sanguinis eruptiones ipsis contingunt, neque oris graveolentia, horum tibiæ ulcera prava habent, & cicatrices nigras. [4] Quibus partes sub oculis vehementer attolluntur, eos magnos habere lienes comperies. [5] Si vero etiam in pedibus tumores accesserint, aquam etiam habere videbuntur. [6] Verum & ventrem, & lumbos inspicere oportet. [7] At vero distortiones in facie, si nulli alii corporis parti communicent, cito sedantur, aut sua sponte, aut ad necessitatem coactæ: [8] reliqui vero syderati fiunt. Quibus una cum hoc quod movere non possunt, morbosa corporis pars attenuatur, hi in sanitatem restitui non possunt. [9] Quibus autem colliquationes non accesserint, hi sani evadent.

XLIII. Cæterum de tempore quando sani erunt prædicendum est, respectu habito ad vim morbi, & ad tempus, & ad ætatem hominis & ad anni tempus, [2] ita ut ejus rei memor sis,

quod

τῶν νοσημάτων, καὶ τὰ κάκιστα, καὶ [τὰ] κυλινδεόμενα, βαρύτατα ὑπακούει, ³ καὶ τὰ ἐν τοῖσι γεραιτάτοισι τῶν σωμάτων. ⁴ ἔστι δὲ καὶ τὸ φθινόπωρόν τε καὶ ὁ χειμὼν τοῦ ἦρός τε καὶ τοῦ θέρεος ἀνεπιτηδειότερος ταῦτα τὰ νοσήματα ἀφιέναι.

XLIV. Αἱ δὲ ἐν τοῖσιν ὤμοισι γινόμεναι ὀδύναι, ὁκόσαι μὲν ἐς τὰς χεῖρας ἐπικαταβαίνουσι, νάρκας τε καὶ ὀδύνας παρέχουσιν, ² ταύτῃσιν ἀποστάσιες μὲν οὐκ ἐπιγίνονται, ὑγιάζονται δὲ μέλαινας χολὰς ἐμέοντες. ³ ὁκόσαι δὲ αὐτοῦ μένουσι ἐν τοῖσιν ὤμοισιν, ἢ καὶ ἐς τὸ νῶτον ἀφικνέονται, τούτους πύον ἐμέσαντες ἐκφυγγάνουσιν, ἢ μέλαιναν χολήν. ⁴ καταμανθάνειν δὲ περὶ τούτων ὧδε. ⁵ ἢν μὲν γὰρ εὔπνοοι ἔωσι καὶ ἰσχνοὶ, μέλαιναν χολὴν αὐτοὺς μᾶλλον ἐλπὶς ἐμέσαι. ⁶ εἰ δ' αὖ δυσπνοώτεροι καὶ ἐπὶ τὸ πρόσωπον ἐπιτρέχει τι αὐτοῖσι χρῶμα, ὃ πρόσθεν οὐκ ἐπεγένετο, εἴτε ἐρυθρὸν, εἴτε μέλαν, τούτους πύον ἐλπὶς μᾶλλον πτύσαι. ⁷ σκέπτεσθαι δὲ περὶ τούτοισι, καὶ εἰ ἐν τοῖσι ποσὶν οἰδήματα ἔνεστι. ⁸ καὶ γὰρ τοῦτο τὸ σημεῖον τούτοισιν ὁμολογέονται. ⁹ τὸ δὲ νόσημα τοῦτο τοῖσιν ἀνδράσι προσγίνεται ἰσχυρότατον, τοῖσιν ἀπὸ τεσσαράκοντα ἐτέων ἐς τὰ ἑξήκοντα.

XLV. Τὴν ἡλικίην δὲ ταύτην μάλιστα ἰσχιάδες βιάζονται. ² σκέπτεσθαι δὲ δεῖ ὧδε περὶ ἰσχιάδων. ³ ὁκόσοισι γὰρ τῶν γεραιτέρων αἵ τε νάρκαι ἰσχυρόταται, ⁴ καὶ καταψύξιες τῆς ὀσφύος τε καὶ τῶν σκελέων, ⁵ καὶ τὸ αἰδοῖον ἐπαίρειν ἀδυνατέουσι, ⁶ καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ πρὸς ἀνάγκην, ⁷ καὶ κοπρώδης μύξα πολλὴ διεξέρχεται, ⁸ τουτέοισι χρονιώτατον τὸ νόση-

quod vetustissimi morbi, & pessimi, & qui revolvuntur, gravissime obediunt; ³ itemque hi qui sunt in vetustissimis corporibus. ⁴ Sed & autumnus, & hyems, ad tales morbos submovendos minorem commoditatem exhibent quam ver & æstas.

XLIV. Dolores porro in humeris oborientes, qui quidem ad manus descendunt, torporesque ac dolores inducunt, ² his abscessus non succedunt, verum nigram bilem vomentes sanantur. ³ Qui vero isthic in humeris manent, aut etiam ad dorsum progrediuntur, eos puris, aut atræ bilis vomitu effugiunt. ⁴ Verum de his ita considerationem facere oportet. ⁵ Siquidem enim facile spiraverint, ac graciles fuerint, atram bilem ipsos vomituros esse spes est. ⁶ Si vero difficilius spiraverint, & in faciem ipsis color incurrit, qui prius non erat, sive rubicundus sive niger, eos magis pus sputuros esse sperandum est. ⁷ Ad hæc vero considerandum est etiam, an in pedibus tumores sint, ⁸ Nam & hoc signum in his consentit. ⁹ Atque hic morbus viris vehementissimus esse solet, à quadragesimo anno usque ad sexagesimum.

XLV. Quæ ætate etiam coxendicum morbus maxime affligit. ² Porro de coxendicum morbo sic considerationem facere oportet. ³ Quibuscunque senioribus & torpores vehementissimi sunt, ⁴ & perfrigerationes tum lumborum, tum crurum: ⁵ & qui pudendum arrigere non possunt: ⁶ & quibus alvus non egerit, nisi ad necessitatem coacta, ⁷ & prodit ipsis multus stercoraceus mucus: ⁸ his maxime diuturnus

νόσημα ἔσται· [9] καὶ προλέγειν, ἐνιαυτὸν τὸ ἐλάχιστον, ἀφ' οὗ χρόνου ἤρξατο τὸ νόσημα, γίνεσθαι· [10] καὶ τὰς ὠφελείας ἐς τὸ ἔαρ τε καὶ τὸ θέρος προσδέχεσθαι. [11] τοῖσι δὲ νεωτέροισιν, ἐπώδυνοι μὲν οὐχ ἧσσον αἱ ἰσχιάδες, βραχύτεραι δέ. [12] καὶ γὰρ τεσσαρακονθήμεροι ἀπαλλάσσονται. [13] ἀλλ' οὔτε αἱ νάρκαι ἐπιγίνονται ἰσχυραὶ, οὔτε αἱ καταψύξιες τῶν σκελέων τε καὶ τῆς ὀσφύος.

XLVI. Οἷσι δὲ τὸ νόσημα τοῦτο ἔστι μὲν ἐν τῇ ὀσφύϊ καὶ τῷ σκέλει, βιάζεται δὲ οὐχ οὕτως ὥστε κατακέεσθαι, [2] ξυστρέμματα σκέπτεσθαι μὴ ἤ που ἐν τῷ ἰσχίῳ, [3] καὶ ἐπανερέσθαι, εἰ ἐς τὸν βουβῶνα ἡ ὀδύνη ἀφικνέεται. [4] ἢν γὰρ ταῦτ' ἔχῃ ἄμφω, χρόνιον τὸ νόσημα γίνεται. [5] ἐπανερέσθαι δὲ καὶ, εἰ ἐν τῷ μηρῷ νάρκαι ἐγγίνονται, καὶ ἐς τὴν ἰγνύην ἀφικνεῦνται. [6] καὶ ἢν φῇ, αὖθις ἐρέσθαι, ἢν καὶ διὰ τῆς κνήμης ἐπὶ τὸν ταρσὸν τοῦ ποδός. [7] ὁκόσοι δ' ἂν αὐτέων τὰ πλεῖστα ὁμολογέωσιν, εἰπεῖν αὐτοῖσιν, ὅτι τὸ σκέλος σφιν τοτὲ μὲν θερμὸν γίνεται, τοτὲ δὲ ψυχρόν. [8] ἡ δὲ νοῦσος αὕτη, ὁκόσοισι μὲν τὴν ὀσφὺν ἐκλείπουσα ἐς τὰ κάτω τρέπεται, θαρσύνειν· [9] ὁκόσοισι δὲ τά τε ἰσχία καὶ τὴν ὀσφὺν μὴ ἐκλείπουσα ἐς τὰ ἄνω τρέπεται, προλέγειν δεινὰ εἶναι.

XLVII. [1] Οἷσι δὲ περὶ τὰ ἄρθρα ὀδύναι τε γίνονται καὶ ἐπάρσιες, καὶ καταπαύονται, οὐκ ἐν τῷ ποδαγρικῷ τρόπῳ, [2] εὑρήσεις τά τε σπλάγχνα μεγάλα, καὶ ἐν τῷ οὔρῳ λευκὴν ὑπόστασιν. [3] καὶ τοὺς κροτάφους, ἢν ἐπανέρῃ, φήσει πολλάκις ἀλγέειν. [4] φήσει δὲ καὶ ἱδρῶτας αὐτῷ γίνεσθαι νυκτε-

morbus erit, [9] prædicendumque est annum ut minimum duraturum esse morbum, ab eo tempore quo incepit, [10] & opem ad ver & æstatem expectandam esse. [11] At vero juvenibus non quidem minus doloris inducit coxendicum morbus, verum brevior est: [12] nam quadragesimo die liberantur. [13] Sed neque torpores vehementes accedunt, neque perfrigerationes crurum ac lumborum.

XLVI. Quibus autem hic morbus est quidem in lumbis ac cruribus, non autem affligit adeo ut decumbant, [2] considerare oportet an alicubi sint collectiones in coxa, [3] & interrogare an ad inguen dolor progrediatur. [4] Si enim ambo hæc habet, diuturnus fit morbus. [5] Interrogandum insuper est, an in femore torpores insint, & ad poplitem progrediantur; [6] & si hoc confiteatur, rursus interrogandum, an & per tibiam ad summum pedem procedant. [7] Quicunque enim pleraque horum confessi fuerint, his dicendum est, quod crura ipsis aliquando calida, aliquando frigida fiant. [8] Quod si morbus hic lumbos relinquens, aliquibus ad infernas partes vertatur, eos confidentes esse jube. [9] Quibuscunque vero coxas & lumbos non relinquens, ad supernas partes convertitur, malum id esse prædicendum est.

XLVII. At quibus circa articulos dolores fiunt, & tumores, & sedantur, non podagrico modo: [2] in his comperies viscera magna, & in urina subsidentiam albam. [3] Et talis si tempora elevarit, dicet se sæpe dolere, [4] dicet etiam sudores sibi nocturnos

νοσηρενής. [5] ἢν δὲ μήτε ὑπὸ τῷ οὔρῳ ὑφίστηται ἡ ὑπόστασις αὕτη, μήτε οἱ ἱδρῶτες γένωνται, [6] κίνδυνος ἢ χωλωθῆναι τὰ ἄρθρα, [7] ἢ, ὃ δὴ μελικηρίδα καλέουσι, γενέσθαι ὑπ' αὐτοῖσι. [8] γίνεται δὲ τὸ νόσημα τοῦτο, οἷσιν ἐν τῇ παιδείῃ τε καὶ νεότητι ξυνήθεες ἐὸν αἷμα ῥεῖν ἐκ τῶν ῥινῶν, πέπαυται. [9] ἐπανερέσθαι οὖν δεῖ τὴν τοῦ αἵματος ῥῆξιν, εἰ ἐγένετο ἐν τῇ νεότητι· [10] καὶ αἱ κνιδώσιες ἔν τε τῷ στήθει καὶ τῷ μεταφρένῳ εἰ ἐνέσι. [11] καὶ ὁκόσοις αἱ κοιλίαι ἰσχυρὰς ὀδύνας παρέχουσιν ἄνευ ἐκταράξιος, καὶ ὁκόσοισιν αἱμορροΐδες γένωνται. [12] αὕτη γὰρ ἡ ἀρχὴ τῶν νοσημάτων τούτων. [13] ἢν δὲ κακόχροοι οἱ ἄνθρωποι οὗτοι φαίνωνται, ἐπανερέσθαι καὶ κεφαλὴν εἰ ὀδυνῶνται· φήσουσι γάρ.

nos oboriri. [5] Si vero neque in urina subsidet talis subsidentia, neque sudores fiunt, [6] periculum est ne aut claudi fiant articuli, [7] aut affectio abscessus humore melli similis, quem melicerida vocant, sub ipsis nascatur. [8] Fit autem hic morbus his quibus in pueritia & juventute sanguis ex naribus fluere solitus desiit. [9] Proinde interrogandum est de sanguinis eruptione, an in juventute facta fuerit; [10] & an pruriginosæ velut ab urtica puncturæ, & in pectore, & in dorso insint: [11] & quibus alvi dolores fortes inducant, citra exturbationes: & quibus hæmorrhoides fiant. [12] Hoc enim horum morborum principium est. [13] Si vero etiam malo colore præditi sint hi homines, interrogandum est an caput doleant. Hoc enim fatebuntur.

XLIIX. Τούτων δὲ, ὁκόσοισιν αἱ κοιλίαι ἐπώδυνοι εἶεν τοῖς δεξιοῖσιν, τὰ ἀλγήματα ἰσχυρότερα γίνεται· [2] καὶ μάλιστα, ὅταν αὐτοὺς τὰ ὑποχονδρίου κατὰ τὸ ἧπαρ τὸ ὑπόλειμμα τῆς ὀδύνης ᾖ. [3] ὠφελεῖ δὲ ταύτας τὰς ὀδύνας τὸ παραυτίκα ψόφος ἐν τῇ γαστρὶ γινόμενος. [4] ὁκόταν δὲ ἡ ὀδύνη παύσηται, τὸ οὖρον παχὺ καὶ χλωρὸν οὐρέουσιν. [5] ἔστι δὲ θανατώδης μὲν οὐδαμῶς ὁ τρόπος οὗτος, χρόνιος δὲ κάρτα. [6] ὁκόταν δὲ παλαιὸν ἤδη ᾖ τὸ νόσημα, ἀμβλυώσσουσιν οἱ ἄνθρωποι ὑπ' αὐτοῦ. [7] ἀλλ' ἐπανερέσθαι περὶ τοῦ αἵματος, εἰ νέῳ ἐόντι ἐρράγη, καὶ περὶ τοῦ ἀμβλυωσμοῦ, [8] καὶ περὶ τοῦ οὔρου τῆς κενώσιος χλωρότητος, [9] καὶ ἀμφὶ τῶν ψόφων, εἰ ἐγγίνονταί τε καὶ ὠφελέουσιν ἐπιγινόμενοι. [10] φήσουσι γὰρ πάντα ταῦτα.

XLIIX. Quibus vero ex his alvi dolores in dextris fuerint, dolores his vehementiores fiunt, [2] & præsertim quum ad præcordium juxta hepar, reliquiæ doloris fuerint. [3] His autem doloribus prodest strepitus statim in alvo obortus [4] Postquam autem dolor quieverit, urinam crassam ac enim virore pallidam mingunt. [5] Atque hic modus nequaquam lethalis est, verum valde diuturnus. [6] Quum autem jam vetustus fuerit morbus, homines ab ipso cæcutiunt. [7] At de sanguine interrogare oportet, an in juventute fluxerit, & de visus hebetudine, [8] & de urinæ evacuationis pallore, [9] itemque de strepitibus an insint, & succedentes prosint. [10] Hæc enim omnia fatebuntur.

XLIX. Λειχῆνες δὲ καὶ λέπραι καὶ

XLIX. Impetigines & lepræ, &

καὶ λεῦκαι, οἷσι μὲν νέοισιν ἢ παισὶν ἐοῦσιν ἐγένετό τι τούτων, ἢ κατὰ μικρὸν φανὲν αὔξεται ἐν πολλῷ χρόνῳ, ² τούτοισι μὲν οὐ χρὴ ἀπόστασιν νομίζειν τὸ ἐξάνθημα, ἀλλὰ νόσημα. ³ οἷσι δὲ ἐγένετο τούτων τι πολύ τε καὶ ἐξαπίνης, τοῦτο μὲν εἴη ἀπόστασις. ⁴ γίνονται δὲ λεῦκαι μὲν ἐκ τῶν θανατωδεστάτων νοσημάτων, οἷον καὶ ἡ νοῦσος ἡ φοινικίη καλεομένη. ⁵ αἱ δὲ λέπραι καὶ οἱ λειχῆνες ἐκ τῶν μελαγχολικῶν. ⁶ ἰῆσθαι δὲ τουτέων εὐπετέστεραί ἐστιν, ὅσαι (30) νεωτάτοισί τε γίνεται καὶ νεώτατά ἐστι, ⁷ καὶ τῆς σώματος ἐν τοῖσι μαλθακωτάτοισί τε καὶ σαρκωδεστάτοισι φύεται.

& vitiligines albæ, leucæ appellatæ, quibus quidem juvenibus aut pueris ¹ aliquid horum factum est, aut paulatim conspectum in multo tempore augescit: ² his non putare oportet abscessum esse eam papularum eruptionem, sed morbum. ³ Quibus vero horum aliquid factum est multum & derepente, hoc sane fuerit abscessus. ⁴ Fiunt autem leucæ quidem ex lethalissimis morbis, qualis est & morbus tabidus appellatus: ⁵ Lepræ vero & impetigines, ex morbis ab atra bile factis. ⁶ Ex ¹ his autem facilius sanantur eæ quæ in maxime juvenibus fiunt, & quæ recentissima sunt, ⁷ & in mollissimis ac carnosissimis corporis partibus producuntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΩΑΚΑΙ ΠΡΟΓΝΩΣΕΙΣ.

HIPPOCRATIS COACÆ PRÆNOTIONES.

Basil. græc. Foesius sect. II. 100, 115. Basil. lat.

pag. 424 ΟἹ ἐκ ῥίγεος περιψυχόμενοι, κεφαλαλγέες, τράχηλον ὀδυνώδεες, ἄφωνοι, (35) ἐφιδρώσαντες, ἐπαναενέγκαντες, θνήσκουσι. ² Αἱ μετὰ καταψύξιος δυσφορίαι κάκισται. ³ Κατάψυξις μετὰ σκληρυσμοῦ, ὀλέθριον. ⁴ Ἐκ καταψύξιος φόβος καὶ ἀθυμίη ἄλογος, ἐς σπασμὸν ἀποτελευτᾷ. ⁵ Αἱ ἐκ καταψύξιος οὔρων ἀπολήψιες, κάκιστον. ⁶ Μετὰ ῥίγεος ἄγνοια, κακόν. ⁷ κακὸν δὲ καὶ λήθη. ⁸ Τὰ κωματώδεα ῥίγεα ὑπολέθρια. ⁹ καὶ τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶ-

QUI ex rigore perfrigerantur, caput ac collum dolentes, voce destituti, insuper exudantes, postquam se recollegerint, moriuntur. ² Moleste ferre morbum cum perfrigeratione, pessimum est. ³ Perfrigeratio cum duricia, perniciosa est. ⁴ Ex perfrigeratione timor, & tristitia præter rationem, in convulsionem finit. ⁵ Ex perfrigeratione urinas intercipi, pessimum est. ⁶ Ignorantia cum rigore, malum. ⁷ Malum item oblivio. ⁸ Soporosi rigores aliquatenus perniciosi, ⁹ & flammeus in facie color, cum sudo-

ἱδρῶτος ἐν τούτοισι κακοήθεες. [10] ἐπὶ τουτέοισι ψύξις τῶν ὄπισθεν σπασμὸν ἐπικαλέεται. [11] καὶ ὅλως δὲ ψύξις τῶν ὄπισθεν σπασμώδης. [12] Αἱ ἐκ νώτου φρίκαι πυκναί, καὶ ὀξέως μεταπίπτουσαι, δύσφοροι. [13] οὔρου γὰρ ἀπόληψιν καὶ ἐπώδυνον σημαίνουσι. [14] τὸ ἐφιδροῦν τούτοισι κάκιστον. [15] Ῥῖγος ἐν συνεχές, τοῦ σώματος ἀσθενέος ἤδη ἐόντος, θανάσιμον. [16] Οἱ πυκνὰ ἐφιδροῦντες καὶ ἐπιρριγέοντες, ὀλέθριον. [17] καὶ ἐπὶ τῇσι τελευτῇσιν ἀναφαίνονται ἐμπύημα ἔχοντες καὶ κοιλίας ταραχώδεας. [18] Τὰ ἐκ νώτου ῥίγεα δυσφορώτερα. [19] ὅσοι δ' αὖ, ἑπτακαιδεκάτῃ ῥιγώσαντες, τετάρτῃ καὶ εἰκοστῇ ἐπιρριγῶσι, δύσκολον. [20] Οἱ φρικώδεες, κεφαλαλγικοί, ἐφιδροῦντες, κακοήθεες. [21] Οἱ φρικώδεες ἐφιδροῦντες πολλῷ, δύσκολοι. [22] Τὰ πολλὰ νωθρώδεα ῥίγεα, κακοήθεα. [23] Οἷσιν ἑκταίοισι ῥίγεα γίνεται, δύσκριτα. [24] Ὁκόσοισι φρίκαι πυκναὶ ὑγιαίνουσιν, οὗτοι ἐξ αἵματος ῥύσιος ἐκπυΐσκονται. [25] Τὸ φρικῶδες καὶ τὸ δύσπνοον ἐν τοῖσι πόνοισι, σημεῖα φθινώδεα. [26] Ἐξ ἐμπυήσιος πλεύμονος τὰ κατὰ κοιλίην ἐνίοτε ἀλγήματα καὶ κληῗδα, καὶ τὸ ὑπορέγχειν ἀσώδεα, σημαίνει πτυέλου πλῆθος ἐν τῷ πλεύμονι. [27] Οἱ φρικώδεες, ἀσώδεες, κοπιώδεες, ὀσφυαλγέες, κοιλίας καθυγραίνονται. [28] Τὰ ἐπιρριγέοντα ἐς νύκτα μᾶλλόν τι παροξυνόμενα, ἄγρυπνα, φληναρώδεα, ἐν τοῖσιν ὕπνοισιν οὖρον ὑφ' ἑωυτοὺς χαλῶντα, ἐς σπασμὸν ἀποτελευτᾷ. [29] Τὰ ξυνεχέα ῥίγεα

ἐς

sudore, in his malignus est. [10] In his frigiditas posteriorum partium convulsionem accersit. [11] Et in summa, posteriorum partium frigiditas convulsoria est. [12] Ex dorso horrores frequentes, & cito transeuntes, ægre tolerari possunt. [13] Urinæ enim interceptionem dolorosam significant. [14] Insuper exudare, his pessimum est. [15] Rigor continenter vexans, corpore jam debili existente, lethalis est. [16] Qui frequenter exudant, ac insuper rigent, perniciosum hoc est, [17] & in fine suppurationem habere comperiuntur, ventresque perturbatos. [18] Rigores ex dorso, molestiores sunt. [19] Qui vero decimaseptima die rigorem habuit, & quarta ac vicesima insuper riguerit, malignum hoc est. [20] Horrore affecti, caput dolentes, exudantes, malignum id est. [21] Horrore affecti, multum insuper exudantes, difficili malo implicantur. [22] Rigores multi torpidi, maligni sunt. [23] Quibus sexta die rigores fiunt, hi ægre judicantur. [24] Quibus sanis horrores frequentes sunt, hi ex sanguinis fluxione suppurantur. [25] Horror & spirandi difficultas in doloribus, signa tabis sunt. [26] Ex pulmonis suppuratione, & circa ventrem aliquando ac claviculam dolores, & anxie stertere, sputi copiam in pulmone significat. [27] Horrore affecti, anxii, delassati, lumbos dolentes, alvos humectas habent. [28] Affectiones insuper rigentes, & quæ ad noctem aliquanto magis exacerbantur, cum vigiliis ac delirio in somnis, aliquando urinas involuntarie emittentes, in convulsionem desinunt. [29] Continui rigores

in

ἐν ὀξέσι, πονηρόν. 30 Αἱ ἐκ ῥίγεος μετὰ κεφαλαλγίης ἐκλύσιες, ὀλέθριον. 31 Τὰ αἱματώδεα οὖρα ἐν τούτοισι πονηρόν. 32 Ῥῖγος ὀπισθοτονῶδες κτείνει. 33 Τὸν φρικώσαντα καὶ ἅμα ἱδρώσαντα κρισίμως, ἐς δὲ τὴν αὔριον φρίξαντα παραλόγως, μὴ ἀγρυπνοῦντα, μήτε πεπαινόμενον, αἱμοῤῥαγήσειν οἴομαι. 34 Τὰ μετὰ ῥίγεος ἐπισχόμενα οὖρα, πονηρὰ καὶ σπασμώδεα· 35 ἄλλως τε καὶ προκαρωθέντι. 36 Ἐλπὶς δὲ ἐπὶ τούτοισι καὶ τὰ παρὰ τὰ ὦτα. 37 Τριταιοφυέα ῥίγεα, ἐν μέσῳ παροξυνόμενα, πυρετοῦ ἀτάκτου, πάνυ κακοήθεα. 38 Τὰ ἐναντία δὲ παροξυνόμενα τῶν σπωμένων, τῶν μετὰ ῥίγεος καὶ πυρετοῦ, ὀλέθριον. 39 Αἱ ἐκ ῥίγεος ἀφωνίαι, τρόμῳ λύονται. 40 Καὶ τοὺς ἐπιῤῥιγέοντας τρομώδεα γινόμενα κρίνει. 41 Οἱ ἐκ ῥίγεος μετὰ κεφαλαλγίης ἐκλυόμενοι, σφαλεροί. 42 Τὸ αἱματῶδες οὖρον τουτέοισι κακόν. 43 Οἷσι ῥῖγος, οὔρων ἐπίστασις. 44 Σπασμὸς ἐν πυρετῷ, χειρῶν καὶ ποδῶν πόνοι, κακοήθεες. 45 Κακοήθεες δὲ καὶ ἐκ μηροῦ ὁρμὴ ἀλγήματος. 46 Ἀλλ᾽ οὐδὲ γουνάτων πόνος, χρηστόν. 47 Ἀτὰρ καὶ γαστροκνημιῶν πόνοι, κακοήθεες, καὶ γνώμης παράφοροι· ἄλλως τε, καὶ οὖρον ἢν ἐναιωρηθῇ. 48 Οἱ ἐξ ὑποχονδρίων ἀλγήματος πυρετοὶ, κακοήθεες. 49 Τὸ καρῶδες ἐπὶ τούτοισι, κάκιστον. 50 Οἱ μὴ διαλείποντες ἐφιδροῦντες πυκνὰ μετὰ ὑποχονδρίου ἐντάσιος, ὡς ἐπὶ τὸ πολὺ κακοήθεες 51 καὶ ἐς ἀκρώμιον καὶ κλεῖδα στηρίζοντα ἀλγήματα, ἐν τούτοισι πονηρά.

in acutis, pravi sunt. 30 Ex rigore, cum capitis dolore exolutiones, perniciosæ. 31 Cruentæ in his urinæ, pravæ. 32 Rigor cum distentione nervorum in posteriora, occidit. 33 Qui inhorruerunt & exudarunt judicatorio modo, & postridie præter rationem horruerunt, si quis non vigiliis infestetur, neque concoxerit, ei sanguinem erupturum esse puto. 34 Urinæ cum rigore suppressæ, malæ & convulsoriæ, 35 tum alias, tum si quis antea gravi sopore pressus fuit. 36 Spes autem in his est abscessus retro aures fore. 37 Rigores velut in febre tertiana, si in media inordinata febre exacerbentur, valde maligni sunt. 38 Si vero contrario convellentibus modo exacerbentur, cum rigore & febre, perniciosum est. 39 Vocis interceptiones ex rigore, solvuntur tremore. 40 Et insuper rigentes tremores succedentes judicant. 41 Qui ex rigore cum capitis dolore exolvuntur, in periculo versantur. 42 Cruenta urina his mala est. 43 Quibus rigor, his urinæ suppressio. 44 Convulsio in febre, manuum ac pedum dolores, maligni sunt. 45 Malignus est & doloris ex femore progressus. 46 Neque genuum dolor bonus est. 47 Sed & surarum dolores maligni sunt, mentemque emovent, tum alias, tum si urinæ subsidentia in medio innatet. 48 Febres ex præcordiorum dolore malignæ sunt. 49 sopor in his pessimus est. 50 Qui frequenter exudare cum præcordii intensione non cessant, plerunque maligne habent, 51 & dolores in summum humerum ac claviculam incumbentes, in his pravi sunt.

νηρά. 52 Οἱ τριταιοφυέες ἀρρώδεες πυρετοὶ, κακοήθεες. 53 Αἱ ἐν πυρετῷ ἀναυδίαι, κακόν. 54 Κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, κωματώδεες, ἐφιδροῦντες ἀναθερμαινόμενοι, κακόν. 55 Οἱ κοπιώδεες μετὰ φρίκης ἐφιδρώσαντες κρισίμως, ἀναθερμανθέντες ἐν ὀξεῖ, κακόν. 56 ἄλλως τε καὶ ἢν αἷμα ἐπιστάζωσι περὶ ταῦτα. 57 Ἰκτερώδεες καταχρέες, θνήσκουσι. 58 λευκὸν [δὲ] διαχώρημα τούτοισι προεξέρχεται. 59 Οἱ τριταιοφυέες πλανώδεες, ἐς ἀρτίας μεταπεσόντες, δύσκολοι. 60 Οἱ ἐν κρισίμοισιν ἀλυζόμενοι αὖθι ἱδρῶτος περιψυχόμενοι, καὶ ἅπαντες δὲ οἱ ἄνευ ἱδρῶτος περιψυχόμενοι ἀκρίτως, κακόν. 61 Καὶ οἱ ἐπιρριγώσαντες ἐκ τούτων, ἐμέσαντες ἄκρητα, ἀσώδεες, τρομώδεες ἐν πυρετῷ, κακόν. 62 καὶ ἀφωνίη ἐκ ῥίγεος. 63 Τὰ δὲ ἐκ ῥιγῶν μικροῖσιν ἱδρῶσι περιψύχοντα, κακόν. 64 Οἱ ἐφιδροῦντες, ἀναθερμαινόμενοι, κακόν. 65 Οἱ ἐφιδροῦντες ἐν πυρετῷ, κακοήθεες. 66 Οἷσι, χολώδεος διαχωρήσιος ἐόντος, περὶ στῆθος δῆξις καὶ πικρότης, κακόν. 67 Ἐν πυρετοῖσι, κοιλίης ἐμφυσωμένης, πνεῦμα μὴ διεκπίπτον, κακόν. 68 Κοπιώδεες, λυγγώδεες, κάτοχοι, κακοί. 69 Ἐκ νώτου πυκνοῖσι καὶ λεπτοῖσι φρίκησιν ἐφιδροῦντες, δύσφοροι. 70 οὔρου [γὰρ] ἀπόληψιν ἐπώδυνον σημαίνει. 71 τὸ ἐφιδροῦν τούτοισι κακόν. 72 Τὸ παρὰ τὸ ἔθος ποιέειν τι, οἷον προθυμέεσθαί τι πρότερον μὴ εἰθισμένον, ἢ τἀναντία, πονηρὸν, καὶ πλησίον παρα-

sunt. 52 Febres tertianæ naturam referentes, cum anxietudine, malignæ sunt. 53 Vocis interceptiones, in febre malæ sunt. 54 Lassati, caligantes, vigilantes, soporosi, exudantes, recalescentes, male habent. 55 Lassati cum horrore si exudarunt judicatorio modo, recalfacti in morbo acuto, male habent, 56 tum alias, tum si circa hæc sanguis de naribus stillarit. 57 Et regio morbo abunde colorati, moriuntur, 58 alba vero alvi egestio in his præcedit. 59 Febres tertianæ naturam referentes erroneæ, in pares dies translapsæ, difficiles sunt. 60 Anxietudines in diebus judicatoriis, si in his sine sudore perfrigerentur, & omnes qui sine sudore perfrigerantur citra judicationem, male habent. 61 Et qui insuper riguerunt ex his, ubi vomuerunt meraca, anxii, tremuli in febre, malum. 63 Qui ex rigoribus parvis sudoribus perfrigerantur, malum. 64 Exudantes, vigilantes, recalescentes, malum. 65 Qui insuper exudant in febre, maligne habent. 66 Quibus biliosa est alvi egestio, his circa pectus morsus & amaritudo, malum est. 67 In febribus inflata alvo flatus non erumpere, malum. 68 Lassati, singultientes, stupore detenti, mali. [69 Ex dorso crebris & parvis horroribus leviter insudantes, difficile habent. 70 Urinæ enim interceptionem plus nimio dolentem significat. 71 His leviter insudare, malum.] 72 Præter consuetudinem quid facere, velut est, proponere sibi aliquid, & expectare aliquid, prius non consuetum, aut contrarium, malum est, & mentis emotioni proxi-

παραμηνυτής. 73 Τὰ ἐν πονηροῖσι σημείοισι κουφίζοντα, καὶ τὰ ἐν χρηστοῖσι μὴ ἐνδιδόντα, δύσκολα. 74 Οἱ ἐφιδροῦντες καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσι ὑποδυσφοροι, κακόν. 75 ἄλλως τε καὶ ἐπ' οὔροισι μέλασι. 76 καὶ τὸ θολερὸν ἐπὶ τούτοισι πνεῦμα, κακόν. 77 Ἄκρεα ταχὺ ἐπ' ἀμφότερα μεταπίπτοντα, [πονηρόν.] 78 καὶ δίψα δὲ ἡ τοιαύτη, πονηρόν. 79 Ἐκ κοσμίου θρασεῖα ἀπόκρισις, [κακόν.] 80 κακὸν [δὲ] φωνὴ ὀξεῖα. ὑποχόνδρια [δὲ] τουτέοισιν εἴσω εἰρύαται. 81 Τὰ ἐκ καταψύξιος ἱδρώδεος ταχὺ ἀναθερμαινόμενα, κακόν. 82 Οἱ ἐν ὀξέσιν ἐφιδροῦντες ὑποδυσφοροι, κακόν. 83 Οἱ παραλόγως, κενεαγγείης μὴ ἐούσης, ἐκλύονται, κακόν. 84 Ἐν πυρετῷ ἕλξις οἷον ἀπ' ἐμέτου, ἐς ἀνάχρεμψιν τελευτῶσα, κακόν. 85 Νάρκη ἐς ἀμφότερα ταχὺ μεταπίπτουσα, κακόν. 86 Στάξιες αἱ ἐλάχισται, κακαί. 87 Κακὸν δὲ πάντως ἐν ὀξεῖ δίψα παραλόγως λυθεῖσα. 88 Οἱ πρὸς χεῖρα ἀναΐσσοντες, κακοί. 89 Οἷσιν ἅμα πυρετῷ καυσώδει οἰδήματα ὑπνώδεα ναρκούμενα, ἐς πλευρὸν ὀδύνη ἐπελθοῦσα παραπληκτικῶς κτείνει. 90 Πνιγμὸς ἐν ὀξέσιν, ἰσχνοῖσιν, ὀλέθριον. 91 Ἐπὶ τοῖσιν ἤδη ὀλεθρίοισι τὰ σμικρὰ τρομώδεα, καὶ ἰώδης ἔμετος [θανάσιμα.] 92 οἱ ἐν τοῖσι ποτοῖσιν ὑποψοφέοντες καὶ ὑποβορβορύζοντες ξηροῖσι, καὶ οἱ χαλεπῶς καταρροχθίζοντες πνεύματι βηχώδει, ὀλέθριοι ἐν ὀξέσι καταψυχομένοισι. 93 Τὰ ἐν χερσὶ καὶ ποσὶν ἐρυθήματα, ὀλέθρια. 94 Οἱ ἐκ φυσῶντες καὶ ἀνακεκλασμένοι ἐν τοῖσιν ὕπνοισιν ὑποβλέποντες ἰκτερώ-

proximum. 73 Qui morbi in malis signis levantur, & qui in bonis non remittunt, difficiles sunt. 74 Qui exudant, & maxime capite, in morbis acutis submoleste ferentes, malum, tum alias, tum si urinæ sunt nigræ, 76 & turbidus spiritus in his, malus. 77 Extremæ partes si in utranque partem cito transmutentur, malum est. 78 Sed & sitis hujusmodi mala est. 79 Ex moderato ferox responsio, malum. 80 Vox acuta, malum. Præcordia his intro trahuntur. 81 Qui ex perfrigeratione sudorosa cito recalescunt, malum. 82 Qui in acutis exudant submoleste ferentes, malum. 83 Qui præter rationem nulla existente vasorum evacuatione, impotentes fiunt, malum. 84 In febre tractus velut à vomitu, in screationem desinens, malum. 85 Torpor in utranque partem cito transtabens, malum. 86 Sanguinis stillæ pusillæ, malæ. 87 In acuto morbo sitis præter rationem soluta, malum. 88 Qui ad manum exiliunt, male habent. 89 Quibus cum febre ardente, tumores somnolenti, torpidi fiunt, his dolor in latus superveniens levis siderationis ac resolutionis modo occidit. 90 Suffocatio in acutis, ægris attenuatis, perniciosa. 91 In perniciosis jam parvi tremores, & vomitus æruginosus. 92 Qui in potibus substrepunt, & submurmurant in siccis: & qui difficulter deglutiunt spiritu tussiente, perniciose habent in acutis perfrigeratis. 93 Rubores in manibus ac pedibus, perniciosi. 94 Efflantes & refracti, in somnis leviter suspicientes, morbo regio abunde colorati morium-

ἰκτερώδεες καὶ ξηρέες θνήσκουσι. 95 λευκὸν διαχώρημα τούτοισι προέρχεται. 96 Αἱ ἐν πυρετοῖσιν ἐκστάσιες σιγῶσαι μὴ ἀφώνῳ, ὀλέθριαι. 97 Τὰ πελιδνὰ γινόμενα ἐν πυρετῷ, συντόμως θανατον σημαίνει. 98 Οἷσιν ἐν πυρετῷ, ἀλγήματος πλευρέου γινομένου, κοιλίη ὑδατόχολα πολλὰ διαδιδοῦσα ῥηίζει. 99 [Οἷσι] δὲ ἀσιτίῃσι παρακολουθοῦσι, καὶ ἱδρῶτες μετὰ προσώπου εὐχροίης καὶ κοιλίης ὑγρῆς, καί τοι καὶ καρδιαλγέες, ἤτοι μακροτέρως νοσέοντες, περιπλευμονικῶς τελευτῶσι. 100 Πυρέσσοντι ἐν ἀρχῇ μέλαινα χολὴ ἄνω ἢ κάτω διελθοῦσα, θανάσιμον. 101 Οἱ μετὰ καταψύξεων οὐκ ἀπύρων ἐφιδροῦντες ἄνω, δύσφοροι, φρενιτικοί τε καὶ ὀλέθριοι ἐν ὀξέσι. 102 Τὰ ἐπ' ὀλίγον ὀξέα ἀλγήματα ἐς κληῖδα καὶ τὰ ἄνω πίπτοντα, ὀλέθρια. 103 Ἐν μακροῖσιν ὀλεθρίοισιν ἕδρης ἄλγημα, θανάσιμον. 104 Τοῖσιν ἀσθενέως ἤδη διακειμένοισι μὴ βλέπειν, ἢ μὴ ἀκούειν, ἢ διαστρέφεσθαι χεῖλος, ἢ ὀφθαλμὸν, ἢ ῥῖνα, θανάσιμον. 105 Ἐν πυρετοῖσι βουβῶνος ἄλγημα νοῦσον χρονίην σημαίνει. 106 Αἱ ἐν πυρετοῖσιν ἀκρισίαι, χρόνους μὲν ἐμποιέουσιν, οὐ πάνυ δὲ ὀλέθριαι. 107 Οἱ ἐξ ἀλγημάτων ἰσχυρῶν πυρετοὶ, πολυχρόνιοι. 108 Αἱ τρομώδεες, ψηλαφώδεες παρακρούσιες, φρενιτικαί. 109 καὶ οἱ μετὰ γαστροκνημίην πόνοι ἐν τούτοισι, γνώμης παράφοροι. 110 Ὅσοι ἐν ξυνεχεῖ ἄφωνοι κείμενοι μύοντες σκαρδαμύσσουσιν, ἢν, ἐπιμαίνοντος μυκτῆρος ἐκ ῥινῶν, ἐμέσωσιν

moriuntur, 95 alba alvi egestio in his prædecit. 96 In febribus mentis emotiones taciturnæ, in eo qui voce privatus non est, perniciosæ sunt. 97 Livores oborientes in febre, brevi mortem affore significant. 98 Quibus in febre dolore lateris oboriente, alvus multa aquosa ac biliosa egerit, hi allevantur. 99 Quibus vero inediæ consequenter accedunt, ac sudores, cum bono faciei colore, & alvo liquida, ita ut adsit etiam aliquis cordis, seu potius oris ventris dolor, hi ubi longius ægrotarunt, peripneumonicorum modo moriuntur. 100 Febrienti si atra bilis in principio, sursum aut deorsum proderit, lethale est. 101 Qui cum perfrigerationibus, non sine febre, superne exudant, moleste ferentes & phrenitici, in acuto morbo perniciose habent. 102 Dolores modice acuti, ad claviculam ac sursum transeuntes, perniciosi. 103 In longis perniciosis morbis, sedis dolor lethalis est. 104 Si debiliter jam affecti, non videant, aut non audiant, aut labium, aut oculus, aut nasus ipsis distorqueatur, lethale est. 105 In febribus inguinis, & glandularum dolor, morbum diuturnum significat. 106 In febribus judicationes impeditæ ac sublatæ, temporis quidem diuturnitatem inducunt, non autem perniciosæ sunt. 107 Febres ex doloribus vehementibus diuturnæ. 108 Mentis emotiones tremulæ, palpatoriæ, phreniticæ sunt, & dolores circa suram, in his mentem emovent. 110 Quicunque in febre continua, voce destituti jacentes, oculis conniventes nictant, hi si postquam fan-

σιν ἢν φθέγξωνται, καὶ παρ' ἑωυτοῖσι γένωνται, σώζονται. 111 Μὴ γινομένων δὲ τούτων, δύσπνοοι γενόμενοι, θνήσκουσι συντόμως. 112 Οἱ λωφήσαντες, ἐς τὴν αὔριον παροξυνθέντες, κακόν. 113 Τρίτην ἐπισχόντες, τετάρτην παροξυνθέντες, κακόν. 114 Ἦ ἄρα καὶ φρενιτικοὶ οἱ τοιοῦτοι παροξυσμοί. 115 Ὁκόσοισιν ἐκλείπουσιν οἱ πυρετοὶ μὴ ἐν κρισίμοις, ὑποστροφικόν. 116 Οἱ ἐν ἀρχῇ λεπτοὶ μετὰ κεφαλῆς σφυγμοῦ καὶ οὔρου λεπτοῦ, πρὸς κρίσιν παροξυνόμενοι. 117 Θαῦμα δὲ οὐδὲν, εἰ καὶ παρακοπὴ καὶ ἐπ' ἀγρυπνίῃ γένοιτο. 118 Ἐν ὀξέσι κίνησις, ῥιπτασμὸς, ὕπνος ταραχώδης, σπασμὸν ἐνίοισι σημαίνει. 119 Αἱ ταραχώδεες θρασύτητι ἐγέρσιες παράφοροι, πονηρὸν, καὶ σπασμώδεες. 120 ἄλλως τε καὶ μεθ' ἱδρώτων. 121 σπασμώδεες δὲ καὶ τραχήλου καὶ μεταφρένου δοκέουσι ψύξιες, ἀτὰρ καὶ ὅλου τοῦ σώματος. 122 ἐν τούτοισιν ὑμενώδεες οὐρήσιες. 123 Αἱ ἐν κώματι παρακρούσιες, σπασμώδεες. 124 Αἱ ἐπ' ὀλίγον θρασεῖαι παρακρούσιες, θηριώδεες. 125 καὶ σπασμοὺς δὲ ἐπισημαίνουσιν. 126 Ἐν τοῖσι μακροῖσι κοιλίης ἄλογοι ἐπάρσιες, σπασμώδεες. 127 Τὰ εὐθὺ ταραχώδεα, ἄγρυπνα, ἐπιστάζοντα ἐκ ῥινῶν, ἑκταῖα κουφισθέντα νύκτα, πονήσαντα ἐς τὴν αὔριον, ἱδρώσαντα, καταπεχθέντα, παρακρούσαντα, αἱμορροεῖ λάβρως, καὶ λύει τὰ τοιαῦτα. 128 τὸ ὑδατῶδες οὖρον τοιαῦτα σημαίνει. 129 Μετὰ τοῦ εἰρημένου, τῶν ἐξισταμένων μελαγχολικῶς, οἱ τρομώδεες γινόμενοι, κακοήθεες. 130 Παραφρο-

sanguis ipsis ex naribus fluxit, & ubi vomuerunt loquantur, & ad seipsos redeant, servantur. 111 Si vero hæc non fiant, difficulter spirantes facti brevi moriuntur. 112 Qui melius habuerunt, si postridie exacerbentur, malum est. 113 Si tertia die cohibiti, quarta exacerbentur, malum est. 114 Num & tales exacerbationes phreniticæ sunt? 115 Quibuscunque desinunt febres, non in diebus judicatoriis, his recidivæ fiunt. 116 Qui in principio tenues, cum capitis pulsu, & urina tenui, ad judicationem acerbantur, 117 his nihil miri est si & mentis emotio insuperque vigiliæ accedant. 118 In morbis acutis, motus, jactatio, somnus turbulentus, quibusdam convulsionem significat. 119 Turbulentæ cum ferocia excitationes mentem emoventes, malæ sunt itemque convulsoriæ, 120 tum alias tum cum sudoribus. 121 Convulsoriæ etiam videntur colli ac dorsi perfrigerationes, imo etiam totius corporis. 122 In his mictiones sunt pelliculosæ. 123 Deliria cum sopore, convulsoria. 124 Mentis emotiones modici feroces, ferinæ sunt, 125 sed & convulsiones significant. 126 In morbis longis, ventris præter rationem tumores, convulsorii. 127 Affectiones statim turbulentæ, vigilias inducentes, sanguinem de naribus stillantes, sexta die allevantes per noctem, postridie rursus affligentes, exudantes in somnum delatæ, mentem emoventes, large sanguinem fundunt, & morbos solvunt. 128 Aquosa urina talia significat. 129 Qui cum relatis, ab atra bile mente moti, tremuli fiunt, maligne habent. 130 Delirium

φροντὶς ἐν πνεύματι καὶ ἱδρῶτι, θανατώδης. 131 Θανατώδης δὲ καὶ ἐν πνεύματι, καὶ λυγμῷ. 132 Ἐνύπνια τὰ ἐν φρενίτιδι ἐναργῆ, ἀγαθόν. 133 Ἐν φρενίτιδι διαχωρήσιες λευκαὶ καὶ νωθρότης, κακόν. 134 ῥῖγος τουτέοισι κάκιστον. 135 Ἐν τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇσι τὰ ἐπιεικέως ἔχοντα, πυκνά τε μεταπίπτοντα, κακόν. 136 Τῶν ἐξισταμένων μελαγχολικῶς, οἷσι τρόμοι ἐπιγίνονται, κακόν. 137 Οἱ ἐξιστάμενοι μελαγχολικῶς, τρομώδεες γενόμενοι, καὶ πτυαλίζοντες, ἦ ἄρα γε φρενιτικοί; 138 Οἱ ἐκστάντες, ὀξέως ἐπιπυρέξαντες, φρενιτικοὶ γίνονται. 139 Οἱ φρενιτικοὶ βραχυποτέοντες, ψόφου καθαπτόμενοι, τρομώδεες ἢ σπασμώδεες. 140 Τὰ ἐν φρενιτικοῖσι πανικῶς τρομώδεα, θανάσιμα. 141 Αἱ περὶ ἀναγκαῖα παραφροσύναι, κάκισται. 142 αἱ ἐκ τούτων παροξυνόμεναι, ὀλέθριοι. 143 Αἱ παρακρούσιες, φωνὴ κλαγγώδης, γλῶσση σπασμώδης, καὶ αὐταὶ τρομώδεες γενόμεναι, ἐξίστανται. 144 ἐκλευκασμὸς τουτέοισιν ὀλέθριον. 145 Αἱ τῶν ἐξαδυναστούντων παραφροσύναι, κάκισται. 146 Τὰ ἐν φρενιτικοῖσι πυκνὰ μεταπίπτοντα, σπασμώδεα. 147 Οἱ ἐν φρενιτικοῖσι μετὰ καταψύξιος πτυαλίζοντες, μέλανα ἐμέειν δηλοῦσι. 148 Τοῖσι ποικίλως διαγνοέουσι, καὶ παρακρούουσι, πυκνὰ κωματώδεσι, προσδέχεσθαι χρὴ μέλανα ἐμέτον. 149 Τὰ παροξυνόμενα τρόποι σπασμώδεα, κάτοχα. 150 Τὰ παρ' οὖς ἐπάρματα ἐν μακροῖσι μικρά. 151 αἱ μορφώδεα καὶ σκοτώδεα ἐπιφαινόμενα, ὀλέθρια. 152 Οἱ ἰλιγγώδεες πυρετοὶ, καὶ ἄνευ εἰλέων καὶ μετ' εἰλέων, ὀλέθριοι. 153 Τοῖσι

rium in spiritu & sudore, lethale est. 131 Lethale est & in spiritu ac singultu. 132 Insomnia in phrenitide evidentia, bona sunt. 133 In phrenitide egestiones alvi albæ, & torpor, malum. 134 Rigor his pessimus est. 135 In phreniticis in principiis affectiones mansuetæ, ac frequenter transmutationem habentes, malæ sunt. 136 Quibus ab atra bile mente motis tremores fiunt, malum est. 137 Qui ab atra bile mente moti, tremuli fiunt, ac salivam fundunt, num sane phrenitici sunt? 138 Mente moti, acute insuper febrientes, phrenitici fiunt. 139 Phrenitici parum bibentes, strepitum valde percipientes, tremuli, aut convulsi. 140 In vehementer phreniticis, tremores lethales sunt. 141 Deliria, circa necessaria, pessima. 142 Quæ ex his exacerbantur, lethalia sunt. 143 Mentis perculsiones, voce clangorosæ, linguæ convulsione tremulæ, & voces tremulæ factæ, mentem alienant. 144 Duricies in his perniciosa est. 145 Prædebilitatorum deliria, pessima. 146 Affectiones in phreniticis frequenter transmutationem habentes, convulsoriæ, pravæ. 147 Phrenitici cum perfrigeratione salivam fundentes, vomitum nigrum indicant. 148 Qui varie ægrotant, & frequenter soporosi mente moventur, his nigrum vomitum expectandum esse dicito. 149 Quæ convulsorio modo exacerbantur, stupefactoria sunt. 150 Tumores juxta aurem, in morbis longis parvi sunt. 151 Sanguinis fluxiones ac vertigines insuper apparentes, perniciosæ. 152 Febres vertiginosæ, & cum volvulis, & sine volvulis, perniciosæ. 153 Anhelosis

πυρετὸς ὕστερον ὀξύς. 154 Μετὰ ὑποχονδρίου ξυντόνου καταψυχθεῖσι, παρ' οὖς μέγα ἔπαρμα. 155 Οἷσιν ἐν πυρετῷ ὀδύναι γινόμεναι περὶ ὀσφὺν καὶ τὰ κάτω χωρία, φρενῶν ἅπτονται, ἐκλείπουσαι τὰ κάτω, ὀλέθριαι· ἄλλως τε κἢν ἄλλο τι σημεῖον προσγένηται πονηρόν. 156 Ἢν δὲ τἄλλα σημεῖα μὴ πονηρὰ γένηται, ἔμπυον γενήσεσθαι ἐλπίς. 157 Παιδίοισιν ὀξὺς πυρετὸς καὶ κοιλίης ὑπόστασις μετὰ ἀγρυπνίης, καὶ τὸ ἐκλακτίζειν, καὶ τὸ χρῶμα μεταβάλλειν, καὶ ἴσχειν ἔρευθος, σπασμῶδες. 158 Τὰ αὐτίκα ταραχώδεα, ἄγρυπνα, μέλανα δὲ καὶ σπώδεα, αἱμοῤῥοεῖ ἔνια. 159 Τὰ ἀγρυπνητικὰ ἐξαίφνης ἀλυσμῷ, αἱμοῤῥοεῖ· ἄλλως τε καὶ ἤν τι προεῤῥυήκῃ. 160 ἦ ἆρά γε καὶ μετρίως φρίξαντες οἱ ἐπ' ὀλίγον περιψυχθέντες; 161 Περὶ δὲ τοὺς παροξυσμοὺς βήσσοντες, καὶ ἐφιδροῦντες μικρὸν, κακοήθεες. 162 Ἐς πλευροῦ ὀδύνης καὶ πνιγμοῦ προσγενομένου, ἤτοι ἐμπυοῦνται. 163 Οἷσιν ἐν συνεχέσι φλυζάκια κατὰ πᾶν τὸ σῶμα ἐκφύει, θανάσιμον, μὴ γενομένου πυώδεος ἀποστήματος. 164 μάλιστα δὲ εἰώθασι γίνεσθαι τούτοισι παρ' οὖς. 165 Ἐν ὀξεῖ, τὰ μὲν ἔξωθεν περιψύχεσθαι, τὰ δὲ εἴσωθεν καίεσθαι, καὶ διψῆν, κακόν. 166 Οἱ συνεχέες διὰ τρίτης ἐπιτείνοντες, ἐπικίνδυνοι. 167 Οἷσιν δὲ ἂν ποτε πυρετὸς διαλείπῃ, ἀκίνδυνον. 168 Ἐν μακροῖσι πυρετοῖσιν, ἢ φύματα, ἢ ἐς ἄρθρα πόνοι ἐγγίνονται. 169 καὶ ἢν γένωνται, οὐκ ἀχρήσιοι. 170 Κεφαλαλγίη ἐν ὀξεῖ, ὑποχόνδριον ἀνεσπασμένον, μὴ ῥυέντος

helosis febris postea acuta. 154 Cum præcordio intento perfrigeratis, magnus circa aurem tumor. 155 Quibus in febre dolores circa lumbos & infernas partes oborti, septum transversum contingunt, infernas partes relinquentes, perniciosi sunt, tum alias, tum si aliud quoddam signum pravum accedat. 156 Si vero alia signa non fuerint prava, suppuratum fore timor est. 157 Pueris febris acuta, & alvus suppressa, cum vigiliis, & calcitrare, & colorem mutare, & ruborem habere, convulsorium est. 158 Affectiones statim turbulentæ, vigilias inducentes, & nigra compacta egerentes, partim sanguinem fundunt. 159 Affectiones cum vigiliis & anxietudine repentina, sanguinem fundunt, tum alias, tum si quid etiam antea profluxerit. 160 Num & qui modice perfrigerati postea horruerunt? 161 At qui circa exacerbationes tussiunt, & parum exudant, maligne habent. 162 Ad latus dolore ac suffocatione accedente, hi suppurantur. 163 Quibus in febribus continuis pustulæ per totum corpus erumpunt, lethale, si non purulentus abscessus fiat, 164 maxime autem circa aurem his fieri solet. 165 In morbo acuto externas partes perfrigerari, internas autem ardere, & sitire, malum est. 166 Febres continuæ per tertiam diem augescentes, periculosæ. 167 Quibus febris aliquando intermittit, periculo vacat. 168 In febribus longis, aut tubercula, aut dolores, in articulis fiunt: 169 & si facti fuerint, non sunt inutiles. 170 Capitis dolor in morbo acuto, præcordium revulsum,

ῥυέντος αἵματος ἐκ ῥινέων, ἐς φρενιτικὸν περιΐσταται. 171 Τὰ 120 λειπυρικὰ, μὴ χολέρης γενομένης, οὐ λύεται. 172 Ἴκτερος 121 περὶ μὲν τῆς ἑβδόμης ἡμέρης ἐπιγενόμενος, κακόν. 173 ἑβδόμη δὲ, καὶ ἐνάτη, καὶ ἑνδεκάτη, καὶ τεσσαρεσκαιδεκάτη, κρίσιμον, μὴ σκληρεόντων ὑποχονδρίων· ἢν δὲ μὴ, ἐνδοιαστόν. 174 Αἱ πυκναὶ διὰ τῶν αὐτῶν 122 ὑποστροφαὶ, περὶ κρίσιν αἱματώδεες, μελάνων ἐμέτων ποιέουσι· 15 γίνονται δὲ καὶ τρομώδεες. 175 Τὰ ἐν τριταίοισι πυρετοῖσιν 123 ἀλγήματα παροξυνόμενα τριταιοφυῆ ποιέεται, καὶ θρομβώδεα αἵματα διαχωρέει. 176 Ἐν 124 πυρετοῖσι κατὰ φλέβα τὴν ἐν τῷ τραχήλῳ σφυγμὸς καὶ πόνος, ἐς δυσεντερίην ἀποτελευτᾷ. 177 Τὸ μεταβάλλον πολλάκις χρῶμα 125 ἐς θερμασίην, χρήσιμον. 178 Τοῖσι χολώδεσι πνεῦμα 126 μέγα, καὶ πυρετὸς ὀξὺς μετὰ ὑποχονδρίου ἐντάσιος, παρ' ὃ ἀφίστησιν. 179 Οἱ ἐκ μακρῶν 127 ἀναλαμβάνοντες σιτίοισι, μηδὲν 20 ἐπιδιδόντες, ἐπιστρέφουσι κακοήθως. 180 Οἷσιν ἐν πυρετοῖσι φλέβες 128 αἱ ἐν κροτάφοισι σφυγματώδεες, καὶ πρόσωπον ἐῤῥωμένον, καὶ ὑποχόνδριον μὴ λαπαρὸν, χρόνιον, 181 καὶ οὐ παύονται χωρὶς αἵματος ῥύσιος ἐκ ῥινέων πολλῆς, ἢ λυγμοῦ, ἢ σπασμοῦ, ἢ ὀδύνης ἰσχίων. 182 Ἐν καύσῳ κοιλίη κα- 129 ταῤῥαγεῖσα, θανάσιμον. 183 Ἐκ κοιλίης ἀλγήματος ἐπι- 130 πόνως πυρετὸς καυσώδης, ὀλέθριον. 184 Ἐν τοῖσι καυσώ- 131 δεσιν ἤχων προσγινομένων μετὰ ἀμβλυωσμοῦ, καὶ κατὰ ῥῖνας βάρος, ἐξί-

vulsum, non profluente ex naribus sanguine, ad phrenitidem devenit. [171] Febres lypiricæ, bilis [1] sursum ac deorsum effu- 155 sione non accedente, non solvuntur. [172] Morbus regius ante septimum diem accedens, malum. [173] Septimo vero ac nono, & undecimo ac decimoquarto, judicatorius est, si non præcordia induret. Sin, minus, ambigua res est. [174] Frequentes per eadem recidivæ, circa judicationem sanguinolentæ, nigrorum vomitum faciunt, fiunt autem & tremulæ. [175] Dolores qui in tertianis [1] febribus exa- 160 cerbantur, tertianarum generis morbum faciunt, & grumosum sanguinem egerunt. [176] In febribus secundum venam quæ est in collo, pulsus ac dolor, in dysenteriam definit. [177] Color qui sæpe in calore transmutatur, utilis est. [178] In biliosis spiritus magnus, & febris acuta, cum præcordii intensione, juxta aurem abscessum facit. [179] Qui ex morbis longis se resocillantes bene cibum accipiunt, [1] & nihil 165 proficiunt, hi maligne recidivam incidunt. [180] Quibus in febribus venæ in temporibus pulsant, & facies sana est, & præcordium non molle, diuturnum morbum significat, [181] & non desinentem citra multi sanguinis ex naribus fluxum, aut singultum, aut convulsionem, aut coxendicum dolorem. [182] In febre ardente, si alvus eruperit, mortale est. [183] Ex alvi dolore laborioso, febris ardens, perniciosa. [184] In [1] febri- 170 bus ardentibus, si aurium sonitus accedant, cum visus hebetudine, & gravitate secundum nares, melancholico modo ab

 atra

ἐξίστανται μελαγχολικῶς μὴ αἱμοῤῥαγήσαντες. 185 Τοὺς ἐν καυσώδεσι τρόμους παράκρουσις λύει. 186 Ἐν καύσῳ ῥύσις ἐκ μυκτήρων τεταρταίῳ, κακὸν ἢν μή τι ἄλλο ἀγαθὸν ξυμπέσῃ· πεμπταίῳ δὲ ἧσσον κινδυνῶδες. 187 Οἱ ἐν τοῖσι καυσώδεσιν ὑποπεριψύχουσι, διαχωρήμασιν ὑδατώδεσι χολώδεσι [τε καὶ] συχνοῖσιν, ὀφθαλμοὶ [ἰλλόμενοι,] κακόν· ἄλλως τε, κἢν κάτοχοι γένωνται]. 188 Καῦσος, ῥίγεος ἐπιγενομένου, λύεται]. 189 Καῦσοι ὑποστροπιάζειν εἰώθασι, καὶ ἡμέρας τέσσαρας ἐπισημήναντες, ἔπειτα ἐφιδροῦσι· εἰ δὲ μή, τῇ ἑβδόμῃ καὶ ἑνδεκάτῃ. 190 Τοὺς καυσώδεας διακρίνουσιν αἱ τεσσαρεσκαίδεκα ἡμέραι, κουφίζουσαι ἢ ἀναιροῦσαι. 191 Ἐκ καύσου, μὴ γενομένου πυώδεος παρ᾽ οὖς ἀποστήματος, οὐ πάνυ σώζονται. 192 Οἱ ληθαργικοί, τρομώδεες ἀπὸ χειρῶν, ὑπνώδεες, δύσχροοι, οἰδηματώδεες, σφυγμοῖσι νωθροῖσι, καὶ μετέωρα τὰ ὑποφθάλμια, καὶ ἱδρῶτες ἐπιγίνονται, καὶ κοιλίαι χολώδεες καὶ ἀκρατέες. 193 Ἢν δὲ κοιλίας ξηρὰς ἔχωσιν, οὖρα καὶ διαχωρήματα ὑπιέναι] λαθραίως· 194 τὸ [δὲ] οὖρον ὑποζυγιῶδες· 195 πιεῖν τε οὐκ αἰτέουσιν, οὐδὲ ἕτερον οὐδέν. 196 ἔμφρονες δὲ γενόμενοι, τὸν αὐχένα ἐπώδυνον φασὶν ἔχειν, καὶ διὰ τῶν ὤτων ἤχους διιέναι. 197 Ὁκόσοι δὲ σώζονται τῶν ληθαργικῶν, ἔμπυοι ὡς ἐπὶ τὸ πολὺ γίνονται. 198 Ὁκόσοισιν ἐν πυρετοῖσιν ἀκρίτως τὰ τρομώδεα παύεται, τελευτῶσι χρόνῳ ἐς ἄρθρα ἀπόστασις ὀδυνώδης ἐκπυΐσκει, καὶ κύστις ἐπώδυνος. 199 Τῶν πυρεσσόν-

atra bile mente moventur, sanguine ipsis non erumpente. 185 Tremores in febribus ardentibus, mentis perculsio solvit. 186 In febre ardente fluxio sanguinis ex naribus quarta die, mala est, si non aliud quid boni coinciderit: verum quinta, minus periculosa est. 187 Qui ex febribus ardentibus aliquantulum perfrigerantibus, cum egestionibus alvi aquosis ac biliosis laborant, oculis malum est, tum alias, tum si stupidi fiant. 188 Febris ardens rigore superaccedente solvitur. 189 Febres ardentes recidivare solent, & ubi per dies quatuor significationem de se præbuerunt, postea exudant: sin minus, septima die. 190 Febres ardentes quatuordecim dies dijudicant, aut allevantes, aut perimentes. 191 Ex febre ardente, abscessu purulento circa aurem non oborto, non valde servantur. 192 Lethargici, tremuli ex manibus, somnolenti, discolores, tumidi, pulsibus tardi sunt, & partes sub oculis elevatas habent, & sudores insuper accedunt, & alvos biliosas, intemperatas & subrumidas habent. 193 Si vero obaridas habuerint, urinæ & egestiones alvi latenter ipsis progrediuntur: 194 urina velut jumentorum est; 195 potum non expetunt, neque aliud quicquam. 196 Postquam vero resipuerint, collum dolorosum se habere dicunt, & sonitus per aures transire. 197 Qui vero ex lethargicis servantur, plerunque pectore suppurati fiunt. 198 Quibuscunque in febribus tremores citra judicationem cessant, his temporis progressu, abscessus dolorosus suppuratus in articulos fit, & vesica dolorosa. 199 Febrientibus

quidem & aliquid mentis emotorium, 274 verum circa judicationem pituita his acervatim copiosa cum dolore penetrat. 275 Post alvum suppressam, præcordia sublevata in tumorem, mala sunt, 276 maximè tabescentibus jam diu, & quibus alvi humectantur. 277 Anxietatem in præcordio sentientibus, tumores circa aurem oborti, ipsos occidunt. 278 Duricies circa ventrem cum dolore, in febrientibus cum horrore, cibum aversantibus, si alvo insuper parum humectata, purgationem non faciant; ad suppurationem pervenient. 279 Dolor supra umbilicum, & lumborum dolor, si medicamentis non solvantur, in hydropem siccum desinunt.

III. Dolores ex lumbis diuturniores, qui febre tertianæ generis modo exacerbantur, grumosum sanguinem egerere faciunt. 2 Dolores in lumbis, sanguinis fluxionem inducunt. 3 Ex lumborum dolore sanguinis fluxiones largæ fiunt. 4 Quibus ex lumborum dolore, recursus ad caput, & manus torpidæ, & oris ventriculi dolores, & aurium sonitus, his sanguis large profluet. 5 Sed & alvi his deorsum erumpunt, & mens turbata est utplurimum. 6 Ex dorsi dolore ægritudinis principia difficilia sunt. 7 In lumborum dolore pertinaci, & ampliore alvi subductione, à veratro vomere spumosa multa prodest. 8 Spinæ distortionem ac spirandi difficultatem, sanguinis fluxio solvit. 9 In lumbis dolentibus oris ventriculi dolores insuper accedentes, signa sanguinis fluxionis sunt, etiam prægressæ. 10 Affectiones ex lumbis ad collum & caput

παραλύονται παραπληκτικὸν τρόπον, σπασμώδεα, παρακρουστικά. [11] ἦ ἄρα γε καὶ λύεται τὰ τοιαῦτα σπασμοῖσιν; [12] ἐκ τῶν τοιούτων ποικίλως διαχωρέουσι διὰ τὸ αὐτῶν ἐόντες. [13] Ἐξ ὀσφύος ἀναδρομῆς πόνου, ὀφθαλμῶν ἰλλώσιες, κακόν. [14] Πόνος ἐς στῆθος ἱδρυνθεὶς καθρόττηται, κακόν. [15] ἐπὶ πυρετῷ ἤτοι ὀξέως ἀπόλλυνται. [16] Ἐξ ὀσφύος ὑπαλγήματος ἀναδρομαὶ ἐς καρδίην πυρετώδεες, φρικώδεες, ἀνεμέοντες λεπτὰ ὑδατώδεα, παρενεχθέντες, ἄφωνοι, ἐμέσαντες μέλανα, τελευτῶσι. [17] Τὰ κατ᾽ ὀσφὺν καὶ τὸ λεπτὸν χρόνια ἀλγήματα, καὶ περὶ ὑποχόνδρια πόνοι, ἀπόσιτοι ἅμα πυρετῷ, τούτοισιν ἐς κεφαλὴν ἄλγημα συντόνως ἐλθὸν, κτείνει ὀξέως τρόπον σπασμώδεα. [18] Οἷσιν ὀσφύος ἄλγημα, οὗτοι κακοί. [19] ἦ ἄρα τούτοισι τρομώδεα γίνεται, καὶ φωΐδες ἐν ῥίγει; [20] Ἦ ἄρα τοῖς ὀσφυαλγέσιν, ἀσώδεσιν, ἀνεμέτοισιν, ὀλιγαθυμέως παρακρούουσιν, ἐλπὶς τὰ μέλανα ἐλθεῖν; [21] Ὀσφύος πόνος καρδιαλγικὸς, μετὰ ἀναχρέμψιος βιαίης, ἔχει τι σπασμῶδες. [22] Ὑπέρωνον ἅμα κρίσει ῥῖγος. [23] Ὀσφύος ἄλγημα αὐτὸ ἀπροφάσιστον, πυκνὰ ἐπιφοιτέον, κακοήθεος ἀρρωστίης σημεῖον. [24] Ὀσφύος ἄλγημα μετὰ καύματος ἀσώδεος, πονηρόν. [25] Ὀσφύος συντάσιες ἐκ γυναικείων πλήθεος, ἐκπυητικόν. [26] καὶ τὰ ποικίλως ἰόντα, γλίσχρα, δυσώδεα, πνιγώδεα ἐπὶ τοῖσι προειρημένοισιν, ἐκπυητικόν. [27] οἴομαι δὲ καὶ διαχωρέειν τι τὰς τοιαύτας. [28] Οἱ-

caput transeuntes; levis sideraṫionis modo resolventes, convulsoriæ, mentis emotoriæ sunt. [11] Num tales etiam solvuntur convulsionibus? [12] Aut talium alvi ægrotant per eadem prodeuntia? [13] Ex lumborum doloris recursu, oculorum distortio, malum. [14] Dolor in pectus firmatus torpore; malus [15] in febre est. Hi repente pereunt. [16] Ex lumborum dolore recursiones ad os ventriculi febriculosæ, horrorem inducentes: sic affecti revomentes tenuia aquosa, menti moti, voce destituti, nigrorum vomitu facto moriuntur. [17] Diuturni circa lumbos, & tenue intestinum dolores, & ad præcordia dolores, si ægri cibos aversentur una cum febre, his dolor intentus ad caput progressus, repente ipsos occidit convulsorio modo. [18] Quibus lumborum dolor est, hi male habent. [19] Num his tremores fiunt, & circuli rubicundi in tibiis in rigore? [20] Num lumbos dolentibus, cibos fastidientibus, non vomentibus, modice ferociter mente motis, spes est nigra proditura esse? [21] Lumborum dolor in ventriculi os dolente, cum exscreatione violenta, habet quid convulsorium. [22] Rigor una cum judicatione aliquatenus horrendus est. [23] Lumborum dolor sine causa manifesta sæpe impetens, maligni morbi signum est. [24] Lumborum dolor cum sopore anxioso, malus est. [25] Lumborum distentio ex muliebrium mensium multitudine, ad suppurationem tendit: [26] & varie prodeuntes viscosi, graveolentes, strangulatorii menses ex prædictis, ad suppurationem tendunt. [27] Arbitror autem tales etiam aliquantum delirare. [28] Qui-

28 Οἷσιν ὀσφύος ἄλγημα καὶ πλευροῦ ἄνευ προφάσιος, ἰκτερώδεες γίνονται. 29 Αἱ ἐν κρισίμοισιν ἐκ τῶν αἱμοῤῥαγιῶν περιψύξιες νεανικαὶ, κάκισται. 30 Τὸ ἀνάπαλιν αἱμοῤῥαγέειν, πονηρόν· 31 οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ τῶν δεξιῶν. 32 καὶ καθ' ὑποχόνδριον ὡσαύτως. 33 Τὰ αἱμοῤῥαγεῦντα ἐπιῤῥιγοῦντα, τρώματα, κακοήθεα. 34 [Οὗτοι] διαλεγόμενοι λαθραίως τελευτῶσι. 35 Τὰ πεμπταῖα αἱμοῤῥαγεῦντα λάβρως, ἕκτῃ ἐπιῤῥιγώσαντα, ἑβδόμῃ περιψυχθέντα ὀξέως, τούτοισι κοιλίαι πονηρεύονται. 36 Μετ' αἱμοῤῥαγίην μελάνων διαχώρησις, κακόν. 37 πονηρὸν δὲ καὶ τὰ ἐξέρυθρα ἰώδεα. 38 τεταρταῖοισιν αἱ τοιαῦται αἱμοῤῥαγίαι. 39 κωματώδεες ἐκ τοιούτων σπασθέντες θνήσκουσι, μελάνων προδιελθόντων, καὶ κοιλίης ἐπαρθείσης. 40 Μετ' αἱμοῤῥαγίας καὶ μελάνων διαχωρήσιας ἐν ὀξέϊ κώφωσις, κακόν. 41 αἱματώδης διαχώρησις τούτοισιν ὀλέθριον· 42 κώφωσις δὲ λύει. 43 Οἷσιν αἱμοῤῥαγίαι πλείους, προϊόντος χρόνου κοιλίαι πονηρεύονται, ἐὰν μὴ οὖρον πέπον ἔλθῃ. 44 ἦ ἄρα γε τὰ ὑδατώδεα οὖρα τοιοῦτόν τι σημαίνει; 45 Οἷσιν ἐπὶ αἱμοῤῥαγίῃ λάβρῳ πυκνῇ μελάνων συχνὴ διαχώρησις, [πονηρόν.] 46 ἐπιστάσης δὲ κοιλίης αἱμοῤῥοοῦσιν οὗτοι [καὶ] ὀδυνώδεες· 47 ἅμα δὲ πνεύμασι φύσῃσιν, εὐφορεῖ. 48 ἦ ἄρα οἱ τοιοῦτοι ἐφιδροῦσι πολλοῖσι ψυχροῖσι; 49 τὸ ἀναταρασσόμενον οὖρον ἐν τούτοισιν οὐ πονηρόν, 50 οὐδὲ τὸ ἐφιστάμενον γονοειδές. 51 ἐπὶ πολὺ δὲ ὑδατώδεα

28 Quibus lumborum dolor, & lateris, sine causa manifesta, hi regium morbum incurrunt. 29 Perfrigerationes ex sanguinis eruptionibus in diebus iudicatoriis vehementes, pessimæ sunt. 30 Vice versa sanguinem erumpere, malum est: velut in splene magno ex dextris 31 & circa præcordia eodem modo se res habet. 32 Vulnera sanguinem fundentia, insuper rigentia, maligna. 33 Sic affecti loquentes latenter moriuntur. 34 Affectiones quæ quinta die sanguinem large fundunt, sexta insuper riguerunt, septima perfrigeratæ fuerint, & repente recalefactæ, in his alvi male afficiuntur. 35 Post sanguinis eruptionem, nigrorum per alvum egestio, mala. 36 Mala autem sunt & rubicunda valde & æruginosa. 37 Quarta die tales fiunt sanguinis eruptiones. 38 Soporosi ex talibus convulsi moriuntur, nigris prægressis, & ventre tumefacto. 39 Post sanguinis eruptiones, & nigrorum egestiones, in acuto surditas, malum. 40 Sanguinis egestio his perniciosa. 41 Surditas autem solvit. 42 Quibus sanguinis eruptiones plures, his temporis progressu alvi male afficiuntur, si non urina concocta prodierit. 43 Num & aquosa urina tale quid significat? 44 Quibus ex sanguinis eruptione larga frequenti, multa fit alvi cum nigris egestio, 45 ea autem suppressa, sanguinis fluxiones: hi alvum dolent, 46 una vero cum quibusdam flatibus, facile tolerant. 47 Num tales multis frigidis sudoribus exudant? 48 Conturbata in his urina, mala non est: 49 neque id quod geniture simile in ipsa residet, 50 verum plerunque hi aquosa

ὑρέουσιν. 51 Οἷσιν ἐκ ῥινῶν ἐπὶ κωφώσει καὶ νωθρότητι μικρὸν ἀποστάζει, ἔχει τι δύσκολον. 52 ἔμετος τούτοισι συμφέρει καὶ κοιλίης ταραχή. 53 Αἱ ἐν ἀρχῇσι μεγάλαι αἱμοῤῥαγίαι περὶ ἀνακομιδὴν κοιλίας καθυγραίνουσι. 54 Τὰ ἐκ ῥινῶν λάβρα βίη ἀπολαμφθέντα, ἔσθ' ὅτε σπασμὸν ἐπικαλεῖται· 55 φλεβοτομίη [δὲ] λύει. 56 Αἱ ἐνδεκαταῖαι στάξιες, δύσκολοι, ἄλλως τε κἢν τις ἐπιστάξῃ. 57 Ἐπὶ αἵματος ῥύσει πολλῇ ἢ λυγμὸς ἢ σπασμὸς, κακόν. 58 Τοῖσι νέοις ἑπτὼν ἑβδόμων ἀθυμιῇ μετὰ ἀχροίης, καὶ πνεῦμα ἀλιζόμενον ἐν τῇσιν ὁδοῖσι, καὶ γῆς ἐπιθυμίη, αἵματος φθορὴν καὶ ἔκλυσιν σημαίνει. 59 Ἐν τοῖσι μακροῖσι τὰ μικρὰ ἐπιφαινόμενα αἱμοῤῥοώδεα, ὀλέθρια. 60 Τὰ σκοτώδεα ἐξ ἀρχῆς αἱμοῤῥοίη [ἐκ] ῥινὸς λύει. 61 Τὰ ἐκ ῥινῶν σμικροῖσιν ἱδρῶσι περιψυχόμενα, κακοήθεα. 62 Αἵματος ἀφαίρεσις ἐν καταψύξει νενωθρωμένη, κακόν. 63 Ὅσοι κοιλίης ἐπιστάσης αἱμοῤῥοέουσι, καὶ ἐπιῤῥιγέουσι, κακόν. 64 ἢ ὡς ἐκ τῶν αἱμοῤῥοεῖν τούτοις κοιλίην λειεντεριώδεα ποιέει, καὶ ἐπίσκληρον, καὶ ἀσκαρίδας, ἢ ἀμφότερα. 65 Τὰ τεταγμένοισι χρόνοισιν αἱμοῤῥοώδεα, διψώδεα, μὴ αἱμοῤῥαγήσαντα, ἐπιληπτικῶς θνήσκει. 66 Ἐξ αἱμοῤῥοΐδος, ὅσον μικρὸν καὶ ἐπ' ὀλίγον ἐπιφανείσης, σκοτώδεα ἐλθόντα, παραπληκτικόν [τι] σημαίνει. 67 λύει φλεβοτομίη. 68 καὶ πᾶν τὸ οὕτως ἐπιφαινόμενον,

aquosa mingunt. 51 Quibus de naribus in surditate ac torpore pauca destillant, habent quid difficultatis. 52 Vomitus his conducit, & alvi perturbatio. 53 Magnæ in principiis sanguinis eruptiones, circa refectionem alvos humectant. 54 Fluxiones ex naribus largæ per vim suppressæ, quandoque convulsionem provocant. 55 Venæ sectio solvit. 56 Undecima die contingentes sanguinis stillationes, difficiles sunt, tum alias, tum si bis superstillaverint, & rursus stillaverint. 57 In sanguinis fluxione multa, aut singultus, aut convulsio, mala est. 58 In his qui decolores usque ad septem annos vires recolligunt, & spiritus in viis acervatus, & terræ concupiscentia, sanguinis corruptionem ac exolutionem significat. 59 In morbis longis parvæ comparentes sanguinis fluxiones, perniciosæ sunt. 60 Vertigines ab initio sanguinis narium fluxio solvit. 61 Ex naribus erumpente sanguine, cum exiguis sudoribus perfrigescentia, maligna sunt. 62 Sanguinis detractio in perfrigeratione torpida, mala est. 63 Qui alvo suppressa sanguinem effundunt, & una cum sanguinis effusione insuper rigent, 64 his alvum velut ex intestinorum lævore lubricam hæc faciunt, itemque duram, & ascaridas, aut ambo. 65 Sanguinis fluxiones statis temporibus contingentes, siticulosæ, si sanguinem non effuderint, comitialis morbi mortem inducunt. 66 Ex hæmorrhoide parum apparente, vertigines obortæ, parvam ac modicam siderationem significant: 67 solvit venæ sectio. 68 & quicquid hoc modo apparuerit,

τον κακόν τι σημαίνει. 69 Οἱ παλμώδεες δι' ὅλου, ἆρα καὶ ἄφωνοι τελευτῶσι; 70 Τὰ τρομώδεα, σπασμώδεα γινόμενα, ἐφιδροῦσι, φιλυπόστροφα. 71 τούτοισι κρίσις ἐπιῤῥιγώσασιν. 72 ἐπιῤῥιγοῦσι δὲ οὗτοι ἐπὶ κοιλίην καύματι προσκληθέντες. 73 ὕπνος πολὺς ἐν τούτοισι σπασμώδης, καὶ τὰ ἐς μέτωπον βάρεα, καὶ οὔρησις δυσκολαίνουσα. 74 Οἱ ἐν ὑστεραλγίῃσιν ἄπυροι σπασμοὶ, εὐχερέες. 75 Τὰ σπασμώδεα ἀνιδρῶντα πτύελα παραῤῥέοντα, πυρεταίνοντι, εὐήθεα. 76 τούτοισι ἔπειτα κοιλίαι καθυγραίνονται, τάχα δέ τι καὶ ἐς ἄρθρα ἀποστήσεται. 77 Οἷσιν ἐν σπασμώδεσιν ὀφθαλμοὶ ἐκλαμπρύνουσιν ἀτενέες, οὔτε παρ' ἑωυτοῖσίν εἰσι, διανοσέουσί τε μακροτέρως. 78 Τὰ σπασμώδεα τρόπον παροξυνόμενα κατόχως, τὰ παρ' οὖς ἐπαίρει. 79 Τρομώδεσιν, ἀσώδεσι, μικρὰ τὰ παρ' οὖς ἐπάρματα σπασμὸν σημαίνει, κοιλίης πονηρευομένης. 80 Τὰ σπασμώδεα καὶ τετανώδεα πυρετὸς ἐπιγενόμενος λύει. 81 Σπασμὸς ἐπὶ τρώματι, θανάσιμον. 82 Σπασμὸς ἐπὶ πυρετῷ γινόμενος, ὀλέθριον· ἥκιστα δὲ παιδίοισιν. 83 Οἱ πρεσβύτεροι ἑπτὰ ἐτέων ἐν πυρετῷ οὐχ ἁλίσκονται ὑπὸ σπασμοῦ· εἰ δὲ μὴ, ὀλέθριον. 84 Σπασμὸν λύει πυρετὸς ἐπιγενόμενος ὀξὺς, μὴ πρότερον γεγονώς· εἰ δὲ καὶ πρότερον γεγονὼς, παροξυνθείς. 85 ὠφελέει δὲ καὶ οὔρων διέξοδος ὑαλοειδὴς πολλὴ, καὶ ῥύσις κοιλίης, καὶ ὕπνοι. 86 τοὺς δὲ ἐξαπίνης σπασμοὺς λύει πυρετὸς, [καὶ] κοιλίης ῥύσις. 87 Ἐν τοῖσι σπασμοῖσιν ἀφωνίη ἐπὶ πολὺ, κακόν. 88 τὸ δὲ ἐπὶ μικρὸν, ἤτοι γλώσσης ἀποπληξίην, ἢ βραχίονος

rit, mali aliquid significat. 69 Palpitantes per totum, num etiam voce intercepta moriuntur? 70 Tremores convulsorii oborientes in sudoribus, reverti solent. 71 Judicatio his fit, ubi superriguerint. 72 Superrigent autem hi ardore circa ventrem provocati. 73 Somnus multus in his convulsorius, & ad frontem gravitates, & mictio difficilis. 74 Convulsiones antea non cognitæ in strangulatis ab utero, faciles sunt. 75 Convulsoria sine sudore sputa defluentia in febriente, levia sunt. 76 His insuper alvi aliquantum humectantur: fortassis autem & ad articulos aliquid abscedet. 77 Quibus convulsis oculi intente relucent, neque apud seipsos sunt, & diutius ægrotant. 78 Quæ convulsorio modo exacerbantur, cum stuporis detentione, abscessus juxta aurem excitant. 79 Tremulis, anxiosis, parvi juxta aurem tumores convulsionem significant, alvo male affecta. 80 Convulsiones & tetanicas distentiones febris accedens solvit. 81 Convulsio ex vulnere lethalis est. 82 Convulsio in febre contingens, perniciosa est: minime vero pueris. 83 Seniores septem annis in febre non corripiuntur convulsione: sin minus, perniciosum est. 84 Convulsionem solvit febris superveniens acuta, quæ prius non fuit: si vero fuit prius, jam exacerbata. 85 Prodest & urinæ transitus vitri speciem referens, copiosus, & alvi fluxus, & somni. 86 At repentinas convulsiones solvit febris, alvi fluxus. 87 In convulsionibus vocis interceptio diu durans, mala est: 88 parva autem, aut linguæ siderationem, aut brachii, aut

νος καὶ τῶν ἐπὶ δεξιὰ σημεῖόν. 89 Λύουσι δὲ οὔρησιν ἐξαπίνης ἐλθοῦσαι πολλοῖσιν ἀθρόοισιν. 90 Ἱδρῶτες δὲ, οἱ μὲν κατὰ μικρὸν, ὠφελέουσιν· 91 οἱ δὲ ἀθρόοι, 92 καὶ αἱ τῶν αἱμάτων ἀφαιρέσιες αἱ ἀθρόαι, βλάπτουσιν. [360]

93 Ἐν τοῖσι τεταμένοισι καὶ ἐπιπόνοισι χρόνιες λυόμεναι, θανάσιμον. 94 θανάσιμον δὲ καὶ ἱδροῦν ἐν ἐπιτεταμένῳ, καὶ τὸ σῶμα διαλύεσθαι, καὶ ἀκρημεῖν διὰ ῥινῶν, ἢ ἐξ ἀρχῆς ἄφωνον ἐόντα βοᾷν, ἢ φλυηρεῖν. ἐς γὰρ τὴν ὑστεραίην θανάτου σημεῖον. [361]

95 Πυρετώδεα ἐπιτετανώδεα γονοειδέες οὐρήσιες λύουσι. [362]

96 Αἱ κυναγχικαὶ μήτε ἐν τῷ τραχήλῳ μήτε ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ποιέουσαι, πνιγμὸν δὲ νεανικὸν καὶ δύσπνοιαν παρέχουσαι, αὐθημερὸν καὶ τριταῖαι κτείνουσι. [363]

97 Αἱ δὲ ἐπαείρουσαι καὶ ἐρύθημα ἐν τῷ τραχήλῳ λαμβάνουσαι, τὰ μὲν λοιπὰ παραπλήσιαι, χρονιώτεραι δέ. [364]

98 Ὅσοισι δὲ ξυνεξερευθείη ἡ φάρυγξ, καὶ ὁ αὐχὴν, καὶ τὸ στῆθος, χρονιώτεραι. 99 καὶ μάλιστα ἐξ αὐτῶν σώζονται, ἢν μὴ παλινδρομέῃ τὸ ἐρύθημα [εἴσω.] 100 ἢν δὲ ἀφανίζηται, μήτε φύματος ξυστραφέντος ἔξω, μήτε πύον ἀναχρεμπτομένου ῥηϊδίως καὶ ἀπόνως, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὀλέθριαι γίνονται· 101 ἢ ἔσω ἔμπυοι γίνονται. 102 ἀσφαλέστατον δὲ τὸ ἐρύθημα καὶ ἀπόστασιν ὅτι μάλιστα ἔξω τρέπεσθαι. [365]

103 Ἐρυσίπελας ἔξωθεν μὲν ἐπιγίνεσθαι, ξυμφέρον· ἔσω δὲ τρέπεσθαι, θανάσιμον. 104 τρέπεται δὲ, ὅταν, ἀφανιζομένου τοῦ ἐρυθήματος, [366]

aut dextrarum partium significat. 89 Solvitur autem urinis multis acervatis derepente prodeuntibus. 90 Sudores autem paulatim oborientes prosunt: 91 acervati vero, 92 itemque sanguinis detractiones acervatæ lædunt. 93 In distentionibus & ante & retro contingentibus, & in tergum solum contingentibus, si maxillæ solvantur, lethale est. 94 Lethale est etiam sudare in distentione in dorsum contingente, & corpus dissolvi, & in eadem affectione revomere per nares, aut clamare, aut nugari, si ab initio vox intercepta fuit. In posteram enim diem mortem significat. 95 Febriles in dorsum distentiones, urinæ geniture similes solvunt. 96 Anginæ quæ neque in collo, neque in faucibus, quicquam conspicuum faciunt, verum suffocationem vehementem ac spirandi difficultatem inducunt, eadem die & tertia occidunt. 97 Quæ vero tumores & ruborem in collo accipiunt, in cæteris quidem consimiles sunt, verum diuturniores. 98 Quibuscunque vero & fauces, & cervix, & pectus, simul rubuerint, diuturniores sunt: 99 & ex ipsis maxime servantur, si non recurrerint tubores. 100 Si vero dissipentur, neque tuberculo foras converso ac collecto, neque pure leniter ac sine dolore exscreato, neque in diebus judicatoriis, perniciosæ fiunt. 101 Num etiam suppurati fiunt? 102 Securissimum autem est ruborem & abscessum quam maxime foras verti. 103 Erysipelas vero foris quidem accedere, commodum est, intro autem converti, lethale: 104 Convertitur autem intro, quum dispa-

μαῖος, βαρύνεται τὸ στῆθος, καὶ δυσπνοώτερος γίνεται. [105] Οἷσι δὲ 367 κυνάγχη ἐς τὸν πλεύμονα τρέπεται, οἱ
35 μὲν ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται· [106] οἱ δὲ διαφυγόντες, ἔμπυοι γίνονται, μὴ γενομένης αὐτοῖς ἀναγωγῆς φλεγματώδεος. [107] Οἷσι 368 διὰ σφοδρότητα πνιγμοῦ κόπριον ἐξαπίνης διαχωρέει, θανάσιμον. [108] Ἐν τοῖσι κυναγχικοῖσι τὰ ὑπόξηρα πτύσματα ἰσχνῶν, κακόν. 369 [109] Τὰ κυναγχικὰ ἐν γλώσσῃσιν οἰδήματα, ἀσήμως ἀφανιζόμενα, 370 ὀλέθρια. [110] καὶ τὰ ἀλγήματα ἀφανιζόμενα χωρὶς προφάσιος, ὀλέθρια. [111] Ἐν τοῖσι κυναγχι- 371
40 κοῖσιν οἱ μὴ ταχὺ [illegible] ἀναπτύοντες πέπονα, ὀλέθριοι. [112] Ἐν κυνάγχῃ 372 ἀσήμως ἐς κεφαλὴν ἀλγήματα μετὰ πυρετοῦ, ὀλέθρια. [113] Ἐν κυνάγχῃ 373 ἀσήμως ἐς σκέλη ἀλγήματα μετὰ πυρετοῦ, ὀλέθρια. [114] Ἐκ κυναγχικῶν ἀκρίτως προκαρδίου ἄλγημα, μετὰ ἀκρασίης καὶ νωθρότητος γινόμενον, κτείνει λαθραίως, εἰ καὶ πάνυ δοκοῖεν ἐπιεικῶς ἔχειν. [115]
45 Ἐκ κυναγχικῶν ἀσήμως ἰσχναν- 375 θέντων ἐς στῆθος ἄλγημα καὶ ἐς κοιλίην ἐλθὸν συντόνως, ποιεῖ πύον διαχωρέειν, ἄλλως δὲ λυόμενον τοιοῦτον. [116] Ἐκ κυναγχικῶν 376 πάντα ὀλέθρια, ὅσα μὴ ἔκδηλον ποίησεν ἄλγημα. [117] ἀτὰρ καὶ ἐς σκέλεα ἀλγήματα χρόνια φοιτᾷ, καὶ ἐκπυοῦται δυσκόλως. [118] Τὰ ἐκ 377 κυνάγχης πτύσματα γλίσχρα, παχέα, ἔκλευκα, βιαίως ἀναγόμενα, κακόν. [119] καὶ πᾶς ὁ τοιοῦτος πεπασμὸς, κακόν. [120] κάθαρσις πολλὴ κάτω τοὺς τοιούτους [illegible] ἀποπληκτικῶς ἀπόλλυσιν. [121] Ἐκ κυνάγχης 378 ὑπόξηρα πυκνὰ πτύελα, βηχώδεα, πλευροῦ ὀδυνώδεα, ὀλέθρια. [122] καὶ

rente rubore pectus gravatur, & difficilem spirationem habet. [105] Quibus vero anginæ ad pulmonem vertuntur, partim in septem diebus pereunt, [106] partim evadentes suppurati fiunt, si non eductio pituitosa sursum ipsis fiat. [107] Quibus per pulsationis venarum vehementiam, stercus derepente per alvum secedit, lethale est. [108] In anginis sputa gracilium subarida, malum. [109] Anginosi in linguis tumores, citra signa disparentes, perniciosi: [110] & dolores disparentes citra manifestam causam, perniciosi sunt. [111] In anginis, qui non brevi concocta exspuunt, perniciose habent. [112] In angina dolores ad caput, citra notas, cum febre, perniciosi. [113] In angina dolores ad crura, citra notas, cum febre, perniciosi. [114] Ex anginis citra judicationem præcordii dolor, cum impotentia ac torpore oboriens, occidit occulte, etiamsi valde mansuete se habere putent. [115] Ex anginosis citra notas attenuatis, dolor ad pectus & ad alvum progressus concitatus, pus egerere facit: alias autem ejus qui exolvitur tale est. [116] In anginis omnia perniciosa sunt, quæ non manifestum dolorem faciunt. [117] Sed & ad crura dolores diuturni procedunt, & difficulter suppurantur. [118] Ex angina sputa viscosa, crassa, valde alba, quæ violenter educuntur, mala sunt. [119] Et omnis ejusmodo maturatio, mala. [120] Purgatio multa deorsum, tales levis siderationis modo permit. [121] Ex angina, subaridi frequentia sputa, cum tussi, lateris dolorem inducentia, perniciosa: [122] item-

122 καὶ τὰ ἐν τοῖσι πνεύμοσιν ὑποβήσσοντα, καὶ καταπόσις βιαίη, πονηρόν. 123 Τῶν πλευριτικῶν οἷσιν ἐν 379 ἀρχῇ παμποίκιλα καὶ πτύσιες, τριταῖοι θνήσκουσιν, ἢ πεμπταῖοι. 124 Φυγόντες δὲ ταύτας, μὴ πολὺ ῥᾷον ἔχοντες, τῇ ἑβδόμῃ ἢ ἐννάτῃ ἢ ἑνδεκάτῃ ἄρχονται ἐμπυοῦσθαι. 125 Οἷσι 380 τῶν πλευριτικῶν γίνεται ἐν τῷ νώτῳ ἔρευθος, καὶ οἱ ὦμοι θερμαίνονται, καὶ κοιλίη ταράσσεται χολώδεα καὶ δυσώδεα, εἰκοστῇ καὶ μιῇ κινδυνεύουσι· 5 φυγόντες δὲ ταύτας, σώζονται. 126 Αἱ ξηραὶ τῶν πλευριτίδων καὶ ἄ- 381 πτυστοι, χαλεπώταται. 127 Φοβεραὶ δὲ ἐν οἷσιν ἄνω τὰ ἀλγήματα. 128 Αἱ ἄνευ σπασμάτων πλευρίτι- 382 δες χαλεπώτεραι τῶν μετὰ σπασμάτων. 129 Τῶν πλευριτικῶν οἷσιν 383 ἐν ἀρχῇ γλῶσσα χολώδης γίνεται, ἑβδομαῖοι κρίνονται· οἷσι δὲ τρίτη ἢ τετάρτη, περὶ τὴν ἐννάτην. 130 Πομ- 384 φόλυγος δὲ ὑποπελίου γενομένης ἐπὶ τῆς γλώσσης ἐν ἀρχῇ, οἷη σιδηρίου βαφέντος ἐς ἔλαιον, χαλεπωτέρη ἡ 10 ἀπόλυσις γίνεται. 131 καὶ ἡ μὲν κρίσις ἐς τὴν τεσσαρεσκαιδεκάτην ἀφικνεῖται, αἷμα δὲ ὡς ἐπὶ τὸ πολὺ πτύουσι. 132 Πτύαλον δὲ ἐν τοῖσι πλευριτικοῖσι τριταῖον μὲν ἀρχόμενον πεπαίνεσθαι καὶ πτύεσθαι, θάσσους ποιέει τὰς ἀπολύσιας· ὕστερον δὲ, βραδυτέρας. 133 Τὰ δὲ ἀλγήματα τὰ ἐν ἀπο- 386 στάσεσι τῇσι πλευρίτισιν ὡς ἐπὶ τὸ πολὺ, κουφίζει μεθ᾽ ἡμέρην μᾶλλον, ἢ νύκτωρ. 134 Τοῖσι πλευριτικοῖσι χρήσιμον, κοιλίην μαλάσσεσθαι, πτύαλα χρωματίζεσθαι, ψόφους ἐν τῷ στήθει μὴ γίνεσθαι, τὸ οὖρον διοδεῖν· 135 τὰ δὲ τούτων ἐναντία, δυσχερέα· 136 καὶ πτύαλον γλυκαινόμενον. 137 Αἱ δὲ χολώδεες ἅμα καὶ αἱματώ- 387 15 δεες πλευρίτιδες, ὡς ἐπὶ τὸ πολὺ κρί-

122 itemque ea quæ inter po- 215 tandum per tussim subemergunt: & deglutitio violenta, mala. 123 Pleuritici quibus in principio sputationes penitus purulentæ sunt, tertia die moriuntur, aut quinta. 124 Si vero has effugerint, non multo melius habentes, septima, aut nona, aut undecima suppurari incipiunt. 125 Quibus supra aurem rubor, & similiter veluti pleuritici calescunt, & alvus biliosis ac graveolentibus exturbatur, hi vigesima ac 220 quadragesima die periclitantur. Ubi vero has effugerint, servantur. 126 Pleuritides siccæ ac sine sputo, difficillimæ sunt. 127 Horrendæ quoque hæ in quibus dolores superne sunt. 128 Pleuritides sine convulsionibus, graviores sunt his quæ cum convulsionibus fiunt. 129 Quibus pleuriticis in principio lingua biliosa fit, hi septima die judicantur: quibus autem tertia aut quarta die, circa no- 225 nam. 130 Bulla sublivida oriente in lingua, in principio, qualis est ferri tincti in oleum, difficilior solutio contingit: 131 & judicatio quidem ad decimumquartum diem pervenit, sanguinem autem plerunque spuunt. 132 Sputum in pleuriticis tertia die maturari ac exspui incipiens, citiores solutiones facit; verum posterius, tardiores. 133 In doloribus 134 pleuriticorum commodum est alvum molliri, sputa colorari, 230 strepitus in pectore non fieri, urinam bene procedere: 135 (His autem contraria, difficilia:) 136 itemque sputum dulce fieri. 137 Biliosæ simul & sanguineæ pleuritides, plerunque nona aut

κρίνονται ἑνδεκαταῖαι ἢ ἑνδεκαταῖαι, καὶ μάλιστα ὑγιάζονται. [138] οἷσι δὲ τῶν πλευριτικῶν ἐν ἀρχῇ μὲν οἱ πόνοι μαλθακοὶ, πέμπτῃ δὲ ἢ ἕκτῃ παροξύνονται, μᾶλλον πρὸς τὰς δυωδεκάτας ἀφικνέονται, καὶ οὐ πάνυ σώζονται. [139] κινδυνεύουσι δὲ μάλιστα ἑβδομαῖοι καὶ δυωδεκαταῖοι. [140] τὰς δὲ δὶς ἑπτὰ φυγόντες, σώζονται. [141] Ὅσοισι τῶν πλευριτικῶν ψόφος 388 τοῦ πτυάλου πολὺς ἐν τῷ στήθεϊ, καὶ πρόσωπον κατηφὲς, καὶ ὀφθαλμὸς ἰκτερώδης καὶ ἀχλυώδης, ἀπόλλυνται. [142] Οἱ ἐκ πλευριτικῶν 389
20 ἐμπυοῦμενοι, ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσιν ἀνακαθαίρονται ἀπὸ τῆς ῥήξιος. [143] Πτύαλον δὲ 390 χρὴ [ἐπὶ] πᾶσι τοῖσι πλευριτικοῖσι καὶ περιπλευμονικοῖσιν εὐπετέως τε καὶ ταχέως ἀναπτύεσθαι, μεμίχθαι τε τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυάλῳ. [144] τὸ δὲ πολλῷ ὕστερον τῆς ὀδύνης ἀναγόμενον ξανθὸν, ἢ μὴ μεμιγμένον, καὶ πολλὴν βῆχα παρέχον, πονηρόν. [145] πονηρὸν δὲ πάντως καὶ τὸ ξανθὸν ἄκρητον, καὶ τὸ γλίσχρον, καὶ τὸ στρογγύλον, καὶ τὸ χλωρὸν σφόδρα, καὶ τὸ ἀφρῶδες, καὶ
25 τὸ πελιῶδες, καὶ τὸ ἰῶδες. [146] χεῖρον δέ τι τὸ οὕτως ἄκρητον, ὥστε μέλαν φαίνεσθαι. [147] αἵματι δὲ μὴ πολλῷ ξυμμεμιγμένον τὸ ξανθὸν, ἐν ἀρχῇ μὲν σωτήριον, ἑβδομαίῳ δὲ ἢ πρεσβυτέρῳ ἧσσον ἀσφαλές. [148] αἱματῶδες δὲ λίην ἢ πελιὸν εὐθέως ἐν ἀρχῇ, κινδυνῶδες. [149] πονηρὰ δὲ καὶ τὰ ἀφρώδεα, καὶ τὰ ξανθὰ, καὶ μέλανα, καὶ ἰώδεα, καὶ ἰξώδεα, καὶ ὅσα ταχέως χρωματίζεται. [150] τὰ δὲ μυξώδεα καὶ λιγνυώδεα καὶ χρωματίζεται ταχέως, καὶ ἔστιν ἀσφαλέστερα. [151] τὰ δ' ἐντὸς πέμπτης ἐς
30 πέψιν χρωματιζόμενα, βελτίω. [152] Πᾶν

aut undecima die judicantur, & maxime sanantur. [138] Quibus autem pleuriticis in principio quidem dolores molles sunt, quinta vero aut sexta die exacerbantur, hi magis ad duodecimam perveniunt, & non valde 33 servantur: [139] periclitantur autem maxime septima die ac duodecima. [140] Ubi vero bis septem dies effugerint, servantur. [141] Quibus pleuriticis strepitus sputi multus in pectore est, & facies tristis, & oculus morbi regii colore infectus, ac caliginosus, hi pereunt. [142] Qui ex pleuritide suppurati fiunt, in quadraginta à ruptione diebus expuunt. [143] Sputum in omnibus pleuriticis ac peripneumonicis facile ac 34 cito expui convenit, & flavum sputo ammixtum esse. [144] Quod vero longe post dolorem educitur flavum, aut non mixtum, & multam tussim inducens, malum est. [145] Pravum autem penitus est flavum meracum, & viscosum, & album, & rotundum, & cum virore pallidum valde, & spumosum, & lividum, & æruginosum. [146] Pejus autem aliquanto est id quod ita meracum est, ut nigrum appareat. 35 [147] At sanguine non multo permixtum flavum, in principio quidem salutare est, septima vero die, aut posterius, minus tutum. [148] Sanguineum vero valde, aut lividum, statim in principio periculosum est. [149] Prava sunt etiam sputa spumosa, & flava, & nigra, & æruginosa ac viscosa, & quæcunque cito colorantur. [150] At mucosa ac fuliginosa, & cito colorantur, & securiora sunt. [151] Quæ vero intra quintum diem ad coctio- 37 nem colorantur, meliora sunt. [152] Omne

[152] " Πᾶν δὲ πτύαλον μὴ λῦον τὴν 391 ὀδύνην, πονηρόν· λῦον δὲ, χρήσιμον. [153] " Ὅσοι δὲ μετὰ τῶν χολωδέος πυώδεις ἀνάγουσιν, ἢ χωρὶς, ἢ μεμιγμένον, ὡς ἐπὶ τὸ πολὺ τεσσαρεσκαιδεκαταῖοι θνήσκουσιν, [154] ἢν μή τι κακὸν ἢ ἀγαθὸν ἐπιγένηται τῶν προγεγραμμένων· εἰ δὲ μὴ, κατὰ λόγον. [155] μάλιστα δὲ οἷσιν ἑβδομαίοισιν ἄρχεται τὸ τοιοῦτον πτύαλον. [156] " Ἔστι δὲ ἀγαθὸν μὲν καὶ τούτοισι καὶ 393 πᾶσι τοῖσι περὶ πλεύμονα, φέρειν ῥηϊδίως τὸ νόσημα, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύαλον εὐπετέως ἀνάγειν, εὔπνοον εἶναι, καὶ ἄδιψον, τὸ σῶμα ἅπαν ὁμαλῶς θερμαίνεσθαι καὶ μαλθακὸν εἶναι· [157] καὶ πρὸς τούτοισιν ὕπνους, ἱδρῶτας, οὖρον, διαχώρησιν, χρηστὰ γίνεσθαι. [158] κακὰ δὲ τὰ ἐναντία τούτων. [159] εἰ μὲν οὖν πάντα προσγένοιτο τῷ πτύσματι τούτῳ τὰ χρήσιμα, σώζοιτ' ἄν. [160] εἰ δὲ τὰ μὲν, τὰ δὲ μὴ, οὐ πλείους τῶν τεσσαρεσκαίδεκα βιώσας ἀπόλοιτ' ἂν ὁ ἄνθρωπος. [161] τῶν δὲ ἐναντίων σημείων ἐπιγενομένων, συντομώτερον. [162] " Ὅσαι δὲ τῶν 394 ἀλγημάτων ἐν τοῖσι τόποισι τούτοισι μὴ παύονται, μήτε πρὸς τὰς ἀναπτύσιας, μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ διαίτας, ἐμπυοῦνται. [163] " Ὅσοισι δὲ ἐκ περιπλευμονίης ἀποστάσιες παρὰ τὰ ὦτα ἢ ἐς τὰ κάτω γίνονται, καὶ ἐκπυοῦσί τε καὶ ἐκσυριγγοῦνται, οὗτοι περιγίνονται. [164] [γίνονται]] δὲ, οἷσιν ἂν ὅ, τε πυρετὸς καὶ ὁ πόνος παραμείνῃ· καὶ τὸ πτύαλον [οὐ] χωρῇ κατὰ λόγον, μήτε χολώδεες αἱ διαχωρήσιες, εὔλυτοί τε καὶ ἄκρητοι γίνωνται, μήτε οὖρον παχύ τε σφόδρα καὶ πολλὴν ὑπόστασιν ἔχον, τά τε ἄλλα σωτηρίας ἔχοιεν. [165] γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω, οἷσιν ἂν περὶ

[152] Omne porro sputum non solvens dolorem, malum est: solvens autem, bonum. [153] Quicunque vero cum bilioso purulentum educunt, aut seorsim, aut permixtum, plerunque decimaquarta die moriuntur, [154] si non mali aut boni quippiam ex præscriptis superveniat: sin minus, pro ratione, [155] maxime autem his quibus ejusmodi pus septima die incipit. [156] Bonum vero est & in 'his & in omnibus 35 circa pulmonem morbis, facile ferre morbum, à dolore liberatum esse, sputum facile educere, bene spirare, & sine siti esse, & totum corpus æqualiter calescere, ac molle esse. [157] Et ad hæc somnos, sudores, urinas, alvi egestiones, bonas esse. [158] Mala autem sunt his contraria. [159] Siquidem igitur omnia bona ad hoc sputum accesserint, servari homo poterit. [160] Si vero partim affuerint, partim non, non 'ultra decimumquartum vitam 40 producta peribit. [161] Quod si contraria signa accedant, citius etiam. [162] Quicunque vero dolores in his locis non sedantur, neque ad exspuitiones, neque ad venarum sectiones, ac victus rationes, suppurantur. [163] Quibuscunque autem ex peripneumonia abscessus circa aurem, aut ad inferna partes fiunt, & suppurantur ac fistulantur, hi superstites evadunt. [164] Fiunt autem his quibus & febris, & 'dolor affuerit, & sputum pro ratione non prodierit, neque biliosæ alvi egestiones, solutæque faciles ac meracæ fiunt, neque urina crassa valde, & multam subsidentiam habens: & alia salutaria habuerint. [165] Fiunt autem ad infernas quidem partes, his

περὶ ὑποχόνδρια φλεγμονὴ γίνεται· [166] αἱ δ' ἐς τὰ ἄνω, οἷσιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον ἦ, δύσπνοοι δέ τινα χρόνον γενόμενοι, παύσωνται χωρὶς προφάσιος. [167] Αἱ δ' ἐς τὰ σκέλεα τῶν ἀποστασίων ἐν τῇσιν ἐπικινδύνοισι περιπλευμονίῃσι, λυσιτελέες μὲν πᾶσαι· [168] βέλτισται δ' αἱ τοῦ πτυέλου πυώδεος ἀντὶ ξανθοῦ γενομένου. [169] μὴ χωρέοντος δὲ τοῦ πτυέλου κατὰ λόγον, μήτε τοῦ οὔρου χρηστὴν ὑπόστασιν ἔχοντος, κίνδυνος χωλωθῆναι τὸν ἄνθρωπον, ἢ καὶ πολλὰ πρήγματα παρασχεῖν. [170] ἢν δὲ παλινδρομέωσιν αἱ ἀποστάσιες, πυρετοῦ παρακολουθέοντος, καὶ τοῦ πτυέλου μὴ χωρέοντος, κίνδυνος θανεῖν καὶ παραφρονῆσαι. [171] Ὅσοι δὲ τῶν περιπλευμονικῶν μὴ ἀνεκαθάρθησαν ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλὰ παρακόψαντες διέφυγον τὰς τεσσαρεσκαίδεκα, κίνδυνος ἐμπύους γενέσθαι. [172] Τῶν περιπλευμονιῶν αἱ ἐκ πλευριτικοῦ μεθιστάμεναι, τῶν ἐξ ἀρχῆς γενομένων ἀσφαλέστεραι. [173] Τῶν δὲ σωμάτων τὰ γεγυμνασμένα καὶ πυκνὰ θᾶσσον ὑπὸ τῶν πλευριτικῶν καὶ περιπλευμονικῶν ἀπόλλυται τῶν ἀγυμνάστων. [174] Κορύζαι καὶ πταρμοὶ τοῖσι περιπλευμονικοῖς [νοσήμασι] καὶ προγενέσθαι καὶ ἐπιγενέσθαι, πονηρόν. [175] τοῖσι δὲ λοιποῖσι πταρμὸς οὐκ ἀλυσιτελής. [176] Τοῖσι περιπλευμονικοῖσιν, οἷσι γλῶσσα πᾶσα λευκὴ καὶ τρηχεῖα γίνεται, ἀμφότερα φλεγμαίνει τὰ μέρεα τοῦ πλεύμονος· οἷσι δὲ τὸ ἥμισυ ἕν, καθ' ὃ φαίνεται. [177] Καὶ οἷσι μὲν πρὸς τὴν μίην κλεῖδα ὁ πόνος γίνεται, ἡ ἄνω πτέρυξ τοῦ πλεύμονος ἡμίσεα νοσέει. [178] οἷσι δὲ πρὸς ἄμφω τὰς κληῗδας ὁ πόνος γίνεται, αἱ ἄνω πτέρυγες τοῦ πλεύμονος ἄμφω νοσέουσιν.

his quibus circa præcordia inflammatio fit: [166] ad supernas vero, quibus præcordium molle & doloris exors fuerit, & ubi per tempus aliquod difficulter spiraverint, ac citra manifestam causam cessaverint. [167] At abscessus ad crura in periculosis inflammationibus pulmonis, omnes quidem commodi sunt, [168] optimi autem, sputo purulento pro flavo evadente. [169] Non procedente vero sputo secundum rationem, neque urina bonam subsidentiam habente, periculum est claudum fore hominem, aut multum molestiarum exhibitura res est. [170] Si vero recurrerint abscessus, febre consequente, & sputo non procedente, periculum est ne moriatur ac deliret. [171] Quicunque vero peripneumonici non purgati sunt judicatoriis diebus, sed mente moti quatuordecim dies effugerunt, eos periculum est suppuratos fieri. [172] Peripneumoniæ ex pleuritide transmutatæ, securiores sunt his quæ ab initio fiunt. [173] Corpora exercitata ac densa citius à pleuriticis ac peripneumonicis morbis pereunt quam inexercitata. [174] Gravedines & sternutationes in morbis circa pulmonem, & antecessisse, & succedere, malum est. [175] Reliquis autem sternutatio non incommoda est. [176] Peripneumonicis quibus lingua tota alba ac aspera fit, ambæ pulmonis partes inflammatæ sunt: quibus vero dimidium, una, juxta quam apparet. [177] Et quibus ad unam claviculam dolor fit, his superna pulmonis ala una ægrotat. [178] Quibus autem ad ambas claviculas dolor fit, ambæ supernæ pulmonis alæ ægrotant.

σιέουσιν. [179] οἷσι δὲ κατὰ μέσην τὴν πλευρὴν, ἡ μέση. [180] οἷσι δὲ πρὸς τὴν διάζωσιν, ἡ κάτω. [181] οἷσι δὲ πᾶν τὸ ἓν μέρος πονέει, πάντα τὰ κατὰ τοῦτο μέρος νοσέει. [182] ἢν μὲν οὖν σφόδρα φλεγμήνωσιν αἱ ἀορταὶ, ὥστε προσκεῖσθαι πρὸς τὸ πλευρὸν, παραλύονται τὰ κατὰ τοῦτο τὸ μέρος τοῦ σώματος, καὶ πελιώματα περὶ τὴν πλευρὴν ἔξω γίνεται. [183] τούτους δὲ ἐκάλεον οἱ ἀρχαῖοι βλητούς. [184] ἢν δὲ μὴ σφόδρα φλεγμήνωσιν, ὥστε μὴ προσκεῖσθαι, ἀλγηδὼν μὲν γίνεται περὶ ὅλον, οὐ μὴν παραλύονταί γε, οὐδὲ πελιώματα ἴσχουσιν. [185] Οἷσι δ' ἅπας ὁ πλεύμων φλεγμήνῃ μετὰ τῆς καρδίης, ὥστε καὶ προσπεσεῖν πρὸς τὴν πλευρὴν, παραλύεται πᾶς ὁ νοσέων, καὶ κεῖται ψυχρός τε καὶ ἀναίσθητος. [186] θνήσκει δὲ δευτεραῖος, ἢ τριταῖος. [187] ἢν δὲ καὶ χωρὶς τῆς καρδίης ξυμβῇ, καὶ ἧσσον, πλείονα χρόνον ζῶσιν· ἔνιοι δὲ καὶ διασώζονται. [188] Τοῖσιν ἐμπύοισι γενομένοισι, μάλιστα δὲ ἐκ πλευριτικοῦ καὶ περιπλευμονικοῦ, [189] θέρμαι παρακολουθοῦσι, τὴν μὲν ἡμέρην λεπταὶ, τὴν δὲ νύκτα συντονώτεραι, [190] καὶ πτύουσιν οὐδὲν ἄξιον λόγου, [191] ἱδροῦσί τε περὶ τράχηλον καὶ κληῖδα· [192] καὶ τοὺς μὲν ὀφθαλμοὺς κοιλαίνονται, τὰς δὲ γνάθους ἐρεύθονται. [193] χειρῶν δὲ, θερμαίνονται μὲν δακτύλους ἄκρους, καὶ τρηχύνονται, γρυποῦνται δὲ ὄνυχες, καὶ καταψύχονται, [194] περί τε τοὺς πόδας ἐπάρματα ἴσχουσι, [195] καὶ κατὰ τὸ σῶμα φλυκταινίδια, [196] σίτων τε ἀφίστανται. [197] τὰ μὲν οὖν χρονίζοντα τῶν ἐμπυημάτων ἴσχει τάδε τὰ σημεῖα. [198] τὰ δὲ συντόμως ῥηγνύμενα σημαίνεται τούτων τοῖσιν ἐπιγινομένοισί τε, καὶ τοῖσιν ἐν ἀρχῇ πόνοισι, ἅμα δὲ καὶ, ἢν τι δυσπνοώτερος γίνεται. [199] ῥήγνυ-

tant. [179] Quibus juxta mediam costam, media. [180] Quibus ad discriminationem, inferna. [181] At totam unam partem dolentibus, omnia juxta hanc partem dolent. [182] Siquidem igitur aortæ appellatæ, utrinque appendentes pulmonis partes, valdè inflammatæ sunt, ut ad latus assideant, hac corporis parte resolvuntur, & livores foris circa costam habent. [183] Hos autem veteres ictos, sive syderatos vocabant. [184] Si vero non valde inflammatæ sunt, ut non assideant: dolor quidem fit per totum, non tamen resolvuntur, neque livores habent. [185] Quibus vero totus pulmo inflammatus fuerit, una cum corde, ut ad latus allabatur, hi toti resolvuntur, & jacet æger frigidus, sensus exors. [186] Moriturque secunda aut tertia die. [187] Si vero etiam sine corde contigerit, minus diu vivunt. Quidam autem etiam servantur. [188] Qui suppurati fiunt maxime ex pleuritide ac peripneumonia, [189] eos calores comitantur, interdiu tenues, noctu vehementiores, [190] & nihil memoratu dignum spuunt, [191] & circa collum ac claviculam sudant, [192] & oculi cavi fiunt, maxillæ vero rubent, [193] digiti summi deterius calescunt ac asperantur, ungues curvantur, ac perfrigerantur, [194] & circa pedes tumores habent, [195] & circa corpus pustulas, [196] & abstinent à cibis. [197] Diuturnæ igitur suppurationes, signa hæc habent. [198] Quæ vero brevi rumpuntur, ex notis ad eas consequentibus cognoscere oportet, & ex doloribus in principio, simul autem & si aliquanto difficilius spiraverit homo.

199 ῥήγνυνται δὲ τὰ πλεῖστα τῶν ἐμπυημάτων, τὰ μὲν εἰκοσταῖα, [τὰ δὲ τριακοσταῖα,] τὰ δὲ τεσσαρακοσταῖα, τὰ δὲ περὶ τὰ ἑξήκοντα. 200 οἷσι μὲν οὖν ὁ
30 πόνος ἐν ἀρχῇ ἔχει συντόνως, καὶ δύσπνοια, καὶ βὴξ μετὰ πτυαλισμοῦ, περὶ τὰς εἴκοσιν ἢ καὶ συντομώτερον προσδέχου τὴν ῥῆξιν. 201 οἷσι δὲ ἐλαφρότερα ταῦτά ἐστι, κατὰ λόγον. 202 λογίζεσθαι δὲ τὸν χρόνον ἀφ' οὗ πρῶτον ἤλγησεν, ἢ ἐβαρύνθη, ἢ ἐπύρεξεν, ἢ εἴποτε ῥῖγος ἔλαβε. 203 προσγίνεσθαι δὲ ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυαλισμὸν, πρὸ τῆς ῥήξιος. 204 οἷσι μὲν οὖν ὅ τε πυρετὸς εὐθέως ἀπογίνεται μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ἐπιθυμέουσι, 205 καὶ τὸ πύον ἀνάγεται ῥηϊδίως, λευ-
35 κὸν ἐὸν, καὶ ἄνοσμον, καὶ λεῖον, καὶ ὁμόχροον, καὶ ἀφλέγμαντον, 206 κοιλίη τε σμικρὰ συνεστηκότα ὑποχωρέει, ὡς ἐπὶ τὸ πολὺ σώζονται συντόμως. 207 οἷσι δὲ πυρετοί τε παρακολουθέουσι, καὶ δίψα, καὶ ἀποσιτίη, καὶ τὸ πύον πέλιον, ἢ χλωρὸν, ἢ φλεγματῶδες, ἢ ἀφρῶδες, κοιλίη τε ἐφυγρασμένη, τελευτῶσι. 208 οἷσι δὲ τὰ μὲν ἐπιγίνεται ἐκ τῶν προειρημένων, τὰ δὲ μὴ, τούτων οἱ μὲν ἀποθνήσκουσιν, οἱ δὲ πολλῷ χρόνῳ σώζονται. 209 Οἱ δὲ μέλλοντες ἔμπυοι γίνεσθαι, 403
40 πτύουσι τὸ μὲν πρῶτον ἁλμυρὸν, εἶτα γλυκύτερον. 210 Οἷσι δ' ἐν 404 πλεύμονι φύματα γίνεται, τὸ πύον ἀνάγουσιν ἐς τεσσαράκοντα ἡμέρας μετὰ τὴν ῥῆξιν. 211 ταύτας δὲ ὑπερβάλλοντες, ὡς τὰ πολλὰ φθισικοὶ γίνονται. 212 Ἐπὶ πλευροῦ ἀλ- 405 γήματι στάξις ἀπὸ ῥινῶν αἵματος, κακόν. 213 Οἷσιν ἐμπυοῖσιν, ἐπιει- 406 κέστερον ἔχουσιν, δυσωδίαι τῶν πτυσμάτων παρακολουθέουσι, τούτους ὑποστροφὴ κτείνει. 214 Οἱ ἐν 407 πλευριτικοῖσιν ἀναπτύοντες πυώδεα,

199 Rumpuntur autem plurimæ ſuppurationes, partim vigeſima die, partim quadrageſima, partim ſexageſima. 200 Quibus igitur dolor in principio incumbit intentus, & 'ſpirandi difficultas; 305 & tuſſis cum ſputatione, ad vigeſimum diem, aut citius, eruptionem expecta. 201 Quibus autem leviora hæc ſunt, juxta rationem. 202 Supputare autem oportet tempus, à quo primum doluit, aut gravatus fuit, aut febriit, aut ſi quando rigor corripuit. 203 Neceſſe eſt autem præcedere & dolorem, & ſpirandi difficultatem, & ſputationem, ante ruptionem. 204 Quibus igitur & febris ſtatim poſt ruptionem decedit, ' & cibum 310 appetunt, 205 & pus facile educitur album, inodorum, leve, ejuſdem coloris, & à pituita liberum, 206 & alvus parva compacta egerit, plerunque brevi ſervantur. 207 Quos vero & febres ſequuntur, & ſitis, & cibi faſtidium, & pus lividum, aut cum virore pallidum, aut pituitoſum, aut ſpumoſum, & alvus inſuper liquida fit, moriuntur. 208 At quibus aliqua ex prædictis acceſſerint, aliqua non, horum aliqui ' pereunt, aliqui multo 315 tempore ſervantur. 209 Qui ſuppurati futuri ſunt, primum ſalſuginoſum ſpuunt, deinde dulcius. 210 Quibus in pulmone tubercula fiunt, pus educunt ad dies quadraginta poſt ruptionem. 211 Has vero tranſgredientes plerunque tabidi fiunt. 212 In lateris dolore, ſtillatio ſanguinis de naribus, mala eſt. 213 Quos ſuppuratos mitius habentes, ſputorum graveolentiæ ſequuntur, eos ' recidiva occidit. 214 Qui 320 ex pleuriticis exſpuunt purulenta,

δεα, ὑπόχολα, στρογγύλα, ἢ πυώδεα ὕφαιμα, προεληλυθότος χρόνου, ὀλέθριοι. 215 ὀλέθριοι δὲ καὶ οἱ τὰ μέλανα λιγνυώδεα πτύοντες, ἢ οἷσιν [οἷον] ἀπὸ οἴνου μέλανος γίνεται πτύσματα. 216 Ὅσοι αἷμα ἀφρῶδες πτύουσι, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσι, καὶ οἱ πολλοὶ ἀπόλλυνται. 217 Οἷσι σειομένοισι πῦον βορβορῶδες ἔρχεται καὶ δυσῶδες, ἀπόλλυνται ὡς τὰ πολλά. 218 Οἷσιν ἀπὸ τοῦ πύου ἡ μήλη χρωματίζεται, καθάπερ ἀπὸ πυρὸς, ἀπόλλυνται ὡς τὰ πολλά. 219 Μετὰ πλευροῦ ἀλγήματος, μὴ πλευριτικοῦ δὲ, καὶ ταραχωδέων λεπτῶν ἐπιεικέων, οὗτοι φρενιτικοὶ ἀποβαίνουσι. 220 Ἐν τοῖσι κατὰ πλεύμονα αἱ λίην ἐξέρυθροι ἀποστάξιες, πονηρόν. 221 Μετὰ βράγχου πτύελα γλίσχρα, ἁλμυρώδεα, κακόν. 222 Ἢν δέ τι καὶ ἐπαείρηται κατὰ στῆθος, ἐπὶ τουτέοισι κακόν. 223 Τὰ ἐς τράχηλον ἀλγήματα, τουτέων ἰσχνανθέντων, ὀλέθρια. 224 Βράγχος μετὰ βηχὸς καὶ κοιλίης ὑγρῆς, πύον ἀνάγει. 225 Οἷσιν ἐν περιπλευμονίῃ οὖρα παχέα ἐν ἀρχῇ, εἶτα πρὸ τῆς τετάρτης λεπτύνεται, θανάσιμον. 226 Οἱ ἐν ξηροῖσι περιπλευμονικοῖσιν ὀλίγα πέπονα ἀνάγοντες, φοβεροί. 227 Τὰ ἐν τοῖσι στήθεσιν ἐρυθήματα ὑποπλατέα, γίνεται τοῖσι τοιούτοισιν ὀλέθρια. 228 Πλευροῦ ἄλγημα ἐν πτύσει χολώδει ἀλόγως ἀφανισθὲν, ἐξίστησι. 229 Οἱ δ' ἐμπυήσιν πυρετοὶ διαλείποντες, ἐφιδροῦντες οἱ πολλοί εἰσι. 230 Τοῖσιν ἐμπυόισι κώφωσις γινομένη, αἱματώδεα διαχώρησιν σημαίνει. 231 τούτοισι πρὸς τὴν τελευτὴν μέλανα διαχωρεῖ. 232 Πλευροῦ ἄλγημα μετὰ πυρετοῦ χρονίου σημαίνει πύον ἀνάξειν.

ta, ſubbilioſa, rotunda: aut purulenta ſubcruenta progreſſo tempore, pernicioſe habent. 215 Pernicioſe item qui nigra fuliginoſa ſpuunt, aut quibus velut à vino nigro ſputa fiunt. 216 Quicunque ſanguinem ſpumoſum ſpuunt, dextrum præcordium dolentes, de hepate ſpuunt, & multi pereunt. 217 Quibus dum concutiuntur, pus cœnoſum & graveolens prodit, plerunque pereunt. 218 Quibus à pure ſpecillum coloratur, velut ab igne, plerunque pereunt. 219 Cum lateris dolore, non tamen pleuritico, & turbulentis tenuibus lenibus, hi phrenitici evadunt. 220 In morbis pulmonis valde rubicundæ ſanguinis ſtillæ, malæ ſunt. 221 Cum raucedine, ſputa viſcoſa, falſuginoſa, mala. 222 Si vero etiam quid attollatur juxta pectus, in his malum eſt. 223 Dolores ad collum his attenuatis, pernicioſi. 224 Raucedo cum tuſſi, & alvo liquida, pus educit. 225 Quibus in peripneumonia urinæ craſſæ in principio, deinde ante quartum diem attenuantur, lethale eſt. 226 Qui in peripneumoniis ſiccis pauca concocta educunt, horrenda res eſt. 227 Rubores in pectoribus ſublati, talibus pernicioſi ſunt. 228 Lateris dolor in ſputo bilioſo, præter rationem evaneſcens, mentem emovet. 229 Febres intermittentes ob ſuppurationem, pleræque ſudorificæ ſunt. 230 Suppuratis ſurditas oborta, cruentam egeſtionem ſignificat. 231 His ad finem nigra prodeunt. 232 Lateris dolor cum febre diuturna, puris eductionem fore ſigni-

ἀνάξηρ. 233 "Οἱ φρικώδεες πυκνὰ ἐς ἐμπύησιν ἔρχονται. ἀτὰρ καὶ πυρετοὶ τῶν τοιούτων ἄγουσιν ἐς ἐμπύησιν. 234 "Οἷσιν ἐκ πλευροῦ ἀλγήματος ἀσιτίαι παρακολουθοῦσιν, ὑπό τι καρδιαλγικοὶ, ἱδρώδεες, ἔχοντες δὲ προσώπου ἄνθη, καὶ κοιλίης ὑγροτέρης, ἐκπυήματα κατὰ πλεύμονα ἴσχουσι. 235 "Τὰ ὀρθοπνοϊκὰ ποιέει ὑδρωπιώδεα σκληρά. 236 "Τὰ σπασμάτων μὲν πάντων ὀχληρὰ γίνεται, καὶ πόνους τὸ ἐν ἀρχῇ συντόνους παρέχει, καὶ ἐξ ὑστέρου ἐνίους ὑπομιμνήσκει. 237 δυσκολώτατα δὲ τὰ περὶ θώρηκα. 238 "Μάλιστα δὲ κινδυνεύουσιν, οἷσιν ἔμετος αἵματος, πυρετὸς πολὺς, καὶ πόνος περὶ μαζὸν, καὶ θώρηκα, καὶ μετάφρενον. 239 οἷσι γὰρ γίνεται πάντα ταῦτα, συντόμως θνήσκουσιν· οἷσι δὲ μὴ πάντα, μηδὲ σφοδρὰ, βραδύτερον. 240 φλεγμαίνουσι δὲ τὸ μακρότατον ἡμέρας τεσσαρεσκαίδεκα. 241 "Τοῖσιν αἷμα πτύουσιν ἀπυρέτοισιν εἶναι ξυμφέρει, καὶ βήσσειν καὶ πονέειν ἐλαφρῶς, καὶ τὸ πτύαλον παχύνεσθαι περὶ τὰς δὶς ἑπτά. 242 πυρέσσειν δὲ, καὶ βήσσειν, καὶ πονέειν συντόνως, καὶ αἷμα πρόσφατον αἰεὶ πτύειν, ἀσύμφορον. 243 "Ὅσοισι τὸ πλευρὸν μετέωρον καὶ θερμότερον, ὅπεν ἐγκεκλιμένοισιν ἐπὶ θάτερον βάρος ἐξηρτῆσθαι δοκέει, τούτοισι τὸ πύον ἐκ τοῦ ἑνὸς μέρεός ἐστιν. 244 Τοῖσιν ἐμπύοισι τὸν πλεύμονα κατὰ κοιλίην πύον ὑποχωρέειν, θανάσιμον. 245 "Ὅσοι τρωθέντες ἐς τὸν θώρηκα, τὸ μὲν ἐκτὸς τοῦ τρώματος ὑγιάσθησαν, τὸ δ' ἐντὸς μὴ, κινδυνεύουσιν ἔμπυοι γενέσθαι. 246 ὅσοις δ' αὖ ἀσθενὴς ἔνδοθεν ἡ οὐλὴ γένηται, ῥηιδίως ἀναῤῥήγνυται. 247 "Ἀπόλλυνται δὲ ἐκ μὲν τῶν περιπλευμονικῶν ἐμπυημάτων

significat. 233 Horrore affecti frequenter ad suppurationem deveniunt. Sed & febris tales ad suppurationem perducit: 234 Quos ex lateris dolore cibi fastidia sequuntur, oris ventriculi dolore ac sudore aliquantulum vexantur. Facie flores habente, & alvo liquidiore, suppurationes circa pulmonem habent. 235 Erectæ cervicis spirationes facit hydrops siccus. 236 Convulsiones omnes quidem molestæ sunt, & dolores in principio intentos inducunt, & postea quoque aliquos commonefaciunt. 237 Verum difficillime sunt circa thoracem, 238 & maxime periculosæ. Quibus est vomitus sanguinis, febris multa, & dolor circa mammam, thoracem & dorsum: 239 quibus hæc omnia fiunt, brevi moriuntur. Quibus autem non omnia, neque valde, tardius. 240 Inflammati autem sunt diebus quatuordecim ad summum. 241 Sanguinem spuentibus confert, ut sint sine febre, & tussiant, ac doleant leviter, & ut sputum tenue fiat ad dies bis septem. 242 Febrire vero & tussire, ac dolere pertinaciter, & sanguinem recentem semper spuere, incommodum est. 243 Quibus latus sublevatum in tumorem ac calidius est, & inclinatis in alterum, gravitas aliqua impendere videtur, his pus ex una parte est. 244 Suppuratis pulmonem per alvum pus secedere, lethale est. 245 Quicunque vulnerati in thoracem, externa vulneris parte sanati sunt, interna non, periclitantur ne suppurati fiant. 246 Quibus autem debilis inducta est intus cicatrix, facile refringitur. 247 Ex peripneumonicis suppurationibus seniores

τῶν

niores

τῶν οἱ γεραίτεροι μᾶλλον, ἐκ δὲ τῶν λοιπῶν οἱ νεώτεροι. 248 Τῶν ἐμπύων οἷσι σειομένοισιν ἀπὸ τῶν ὤμων πολὺς γίνεται ψόφος, ἔλασσον ἔχουσι πύον, ἢ οἷσιν ὀλίγος· δυσπνοώτεροι εἰσι, καὶ εὐχροώτεροι. 249 οἷσι δὲ ψόφος μὲν μηδεὶς ἐγγίνεται, δύσπνοιαι δὲ ἰσχυραὶ καὶ ὄνυχες πελιοί, πλήρεες οὗτοί εἰσι πύου, καὶ ὀλέθριοι. 250 Ὅσοι ἀφρῶδες αἷμα ἐμέουσι, πόνου μὴ ἐόντος κάτω τοῦ διαφράγματος, ἀπὸ τοῦ πλεύμονος ἐμέουσι. 251 καὶ οἷσι μὲν ἡ μεγάλη φλὲψ ἐν αὐτῷ ῥήγνυται, πολύ τε ἐμέουσι καὶ εἰσὶν ἐπικίνδυνοι· οἷσι δὲ ἡ ἐλάσσων, ἔλασσόν τε ἀνάγουσι, καὶ εἰσὶν ἀσφαλέστεροι. 252 Τῶν φθισικῶν οἷσιν ἐπὶ τοῦ πυρὸς ὄζει τὸ πτύαλον κνίσσης βαρὺ, καὶ αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν, ἀπόλλυνται. 253 Τῶν φθισικῶν οἷσιν ἐπὶ θάλασσαν πτύουσιν ἐς τὸν πυθμένα βαδίζει τὸ πύον, ὀλέθριον σημεῖον. 254 ἔστω δὲ ἐν χαλκῷ ἡ θάλασσα. 255 Ὅσοισι τῶν φθισικῶν αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν, ὑπὸ διαρροίης ἀπόλλυνται. 256 καὶ ὅσοισι φθισικοῖσιν ἐπιγίνονται διάρροιαι, θνήσκουσιν. 257 Αἱ ἐν φθινώδεσιν ἐπισχέσιες πτυάλων ἐξιστᾶσι ληρωδῶς. 258 αἱμορροΐδας τούτοισιν ἐλπὶς ἐπιφανῆναι. 259 Φθίσιες ἐπικινδυνόταται, αἵ τε ἀπὸ ῥήξιος φλεβῶν τῶν παχέων, καὶ ἀπὸ καταῤῥόου τοῦ ἀπὸ κεφαλῆς. 260 Τῶν δὲ ἡλικιῶν ἐπικινδυνόταται πρὸς φθίσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων, μέχρι πέντε καὶ τριάκοντα. 261 Τὰ κνησμώδεα σώματα μετὰ κοιλίης στάσιν ἐν φθισικοῖσι, κακόν. 262 Ἐπὶ τῇσι φθινώδεσιν ἕξεσι μετὰ πυρετοῦ ἐς οὖλα καὶ ὀδόντας ῥεύματα ἐπιφαινόμενα, κακόν. 263 Ἐπὶ πᾶσιν ὑποχόνδρια μετέωρα,

niores magis pereunt, ex reliquis juniores. 248 Quibus suppuratis dum concutiuntur, multus strepitus de humeris fit, minus puris habent hi, quam quibus paucis, sed difficilius spirent & meliorem colorem habeant. 249 Quibus autem strepitus quidem nullus fit, verum difficultas spirandi fortis, & ungues lividi, hi pleni sunt pure, & perniciose habent. 250 Qui spumosum sanguinem vomunt, dolore infra septum transversum non existente, de pulmone vomunt. 251 Et quibus quidem magna in ipso vena rumpitur, multum vomunt & in periculo versantur: quibus vero minor, minus educunt, & securiores sunt. 252 Quibus tabidis sputum in igne gravem nidorem olet, & capilli de capite fluunt, pereunt. 253 Quibus tabidis in mare expuentibus, pus ad fundum sidit, brevi pereunt. 254 Sit autem mare in æneo vase. 255 Quibus tabidis capilli ex capite defluunt, à profluvio alvi moriuntur. 256 Et quibus tabidis alvi profluvia accedunt, moriuntur. 257 In tabescentibus sputa suppressa, mentem ad nugas garriendas emovent. 258 His spes est hæmorrhoidem apparere posse. 259 Tabes periculosissimæ sunt, à ruptione venarum crassarum, & à defluxu de capite. 260 Ætates periculosissimæ sunt ad tabem, ab anno decimooctavo, usque ad trigesimumquintum. 261 Pruriginosa corpora post alvum suppressam, in tabidis mala sunt. 262 In habitibus tabescentibus cum febre, fluxiones ad gingivas & dentes comparentes, malæ sunt. 263 In omnibus in tumorem elevata præcordia, mala sunt,

μετέωρα, κακόν· 264 ἥκιστον δὲ ἐπὶ τοῖσι φθισικοῖσιν. 265 Ἐπὶ [δὲ] τοῖσιν [ἐκ] τῶν μακρῶν τετηκόσιν, ὀλέθριον. 266 ἔνιοι περὶ τῶν τελευτέων ἐπιρριγοῦσι. 267 Τὰ ἀμυχώδεα ἐξανθήσματα φθίσιν ἕξιος σημαίνει. 268 Οἱ δὲ δύσπνοοι συζέοντες, πολλὰ ἄπεπτα ἀνάγοντες ἐν φθίσει, ὀλέθριοι. 269 Οἷσιν ἡπατικοῖσι πολὺ πτύαλον αἱματῶδες, εἴτε ὑπόσαπρον, εἴτε χολῶδες ἄκρητον, ὀλέθριον αὐτίκα. 270 Ἐφ' ἡπατικοῖσι τῆξις ἅμα βράγχῳ, κακὸν ἄλλως τε κἢν ὑποβήσσῃ. 271 Οἱ καθ' ἧπαρ ὀδυνώδεες, καρδιαλγικοὶ, καρώδεες, ῥιγώδεες, κοιλίας ταραχώδεες, λεπτὰ, ἀπόσιτοι, ἐφιδροῦντες πολλῷ, πυώδεα κατὰ κοιλίην διεχώρησαν. 272 Τοῖσιν ἧπαρ ἐξαπίνης περιοδυνέουσι, πυρετὸς ἐπιγενόμενος λύει. 273 Ὅσοι δὲ ἀφρῶδες αἷμα πτύουσι, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσι, καὶ θνήσκουσιν. 274 Οἷσιν ἧπαρ καυθεῖσιν οἷον ἀμόργη ἔρχεται, θανάσιμον. 275 Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων ἐπίπονοι γίνονται καὶ ὀλέθριοι. 276 ἄρχονται δὲ, οἱ πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. 277 τοῖσι μὲν οὖν ἀπὸ τῶν κενεώνων ἀρχομένοισιν οἱ πόδες οἰδέουσι, καὶ διάρροιαι πολυχρόνιοι παρακολουθέουσιν, οὐ λαπάσσουσαι κοιλίην, οὐδὲ τὰς ὀδύνας λύουσαι τὰς ἐξ ὀσφύος καὶ κενεώνων. 278 ὅσοισι δὲ ἀπὸ τοῦ ἥπατος, βήξ τε καὶ θυμὸς ἐγγίνεται, καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ κοιλίη σκληρὰ διαδίδωσι καὶ πρὸς ἀνάγκην, οἰδήματά τε περὶ αὐτὴν γίνεται, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δ' ἐπ' ἀριστερὰ, καὶ πάλιν καθίσταται,

sunt, 264 in tabidis autem pessima. 265 Ex his qui diutina tabe perniciose consumpti sunt, 266 aliqui ante finem rigore apprehenduntur. 267 Pustularum eruptiones velut ferro lancinatæ, habitus tabem significant. 268 Difficulter spirantes ex putredine, multa cruda educentes in tabe, perniciose habent. 269 Quibus hepaticis multum est sputum cruentum, sive subputridum, sive biliosum meracum, statim perniciosum est. 270 In hepatico colliquatio cum raucedine, malum, tum alias, tum si aliquantum tussiat. 271 Hepar dolentes, os ventriculi dolentes, soporosi, rigorem habentes, & alvum turbatam, tenues, cibum aversantes, multum exsudantes, purulenta per alvum egerunt 272 Hepar derepente circumcirca dolentibus, febris accedens dolorem solvit. 273 Qui sanguinem spumosum spuunt, præcordium dextrum dolentes, de hepate spuunt, & moriuntur. 274 Quibus hepar ustis, velut amurca prodit, lethale est. 275 Hydropes ex morbis acutis dolorosi fiunt, ac perniciosi. 276 Incipiunt autem plerique à laterum mollitudine, aliqui etiam ab hepate. 277 His igitur quibus à laterum mollitudine initium sumunt, pedes tument, & alvi profluvia diuturna sequuntur, alvum non mollientia, neque dolores ex lumbis & laterum mollitudine solventia. 278 Quibus vero ab hepate, tussis adhuc prompte oboritur, & pedes tument, & alvus dura egerit, eaque ad necessitatem coacta, & tumores circa ipsam fiunt, partim in dextera, partim in sinistra, & rursus sedantur.

ται. 279 Ἐπὶ τοῖσι ξηροῖσι ὑδρωπιώδεσι τὰ στραγγουριώδεα, μοχθηρά. 280 Φλαῦρα δὲ καὶ τὰ μικρὰς ὑποστάσιας ἔχοντα. 281 Τοῖσιν ὑδρωπιώδεσιν ἐπιληπτικὰ ἐπιγενόμενα, ὀλέθρια· 282 ἄλλως τε [καὶ ἐπὶ] σημείων μοχθηρῶν καὶ κοιλίης ἐξυγραινομένης. 283 Ἐν τοῖσι χολώδεσι κοιλίη ταραχώδης, διαδιδοῦσα σμικρὰ γονοειδέα μυξώδεα, καὶ πόνοι περὶ ἦτρον ἐμποιέοντα, καὶ οὖρα μὴ εὐλύτως ἰόντα, ἐς ὕδρωπα ἀποτελευτᾷ ἐκ τῶν τοιούτων. 284 Ὑδεριῶντι πυρετώδει οὖρον μικρὸν καὶ τεταραγμένον, ὀλέθριον. 285 Ἐπὶ δὲ ὕδερῳ ἀρχομένῳ διάρροια γινομένη ὑδατώδης, χωρὶς ἀπεψίης, λύει τὸ νόσημα. 286 Τοῖσι ξηροῖσιν ὑδρωπιώδεσι προσημαίνουσι στρόφοι περὶ τὸ λεπτὸν ἐμπίπτοντες, κακόν. 287 Τὰ ἐξ ὑδρωπικῶν ἐπιληπτικὰ, ὀλέθρια. 288 Ὕδερος πρὸς θεραπείην ἐνδιδοὺς καὶ παλινδρομέων, ἀνέλπιστος. 289 Τοῖσιν ὑδρωπιώδεσι, κατὰ φλέβας ἐς κοιλίην ῥαγέντος τοῦ ὕδατος, λύσις. 290 Δυσεντερίη ἀκαίρως ἐπισχεθεῖσα ἀπόστασιν ἐν πλευροῖσιν, ἢ σπλάγχνοισιν, ἢ ἐν ἄρθροισι ποιέει. 291 Ἆρα ἡ μὲν χολώδης ἐν ἄρθροισιν, ἡ δὲ αἱματώδης ἐν πλευροῖσιν ἢ σπλάγχνοισι; 292 Δυσεντεριακοῖσιν ἔμετος χολώδης ἐν ἀρχῇ, κακόν. 293 Οἷσιν ἐκ δυσεντερίης ὀξείης ἐς πυῶδες ἥκει, τὸ ὑγρὸν τὸ ἐφιστάμενον ἔκλευκον ἔσται καὶ πολύ. 294 Τὰ δυσεντεριώδεα, ὑπέρυθρα, ἰλυώδεα, λάβρα διαχωρήματα, ἐπὶ φλογώδεσιν ἐξερύθροισι χρώμασι λυόμενα, ἐλπὶς ἐκμανῆναι. 295 Δυσεντερίη σπληνώδεσι μὴ μακρὴ, χρήσιμον· μακρὴ δὲ, πονηρόν. 296 ληγούσης γὰρ, εἰ ὕδρωπες ἢ λειεντερίαι

VI. Alvi egestio optima est mollis, cohærens ac compacta, subfulva, non valde graveolens, [2] prodiens hora consueta, [3] copia pro ratione ciborum ingestorum. [4] Spissum autem fiat ad judicationem. [5] Commodum est & lumbricos rotundos exire simul, ubi ad judicationem tendit. [6] In acutis spumosa, circumbiliosa alvi egestio, mala est. [7] Mala item valde alba. [8] Adhuc vero pejor est quæ farinæ ac sterquilinii speciem refert. [9] 325 Sopor in his malus est, & cruenta egestio, & vasorum vacuatio præter rationem. [10] Alvi interceptio parva nigra, velut caprarum stercora, ad necessitatem coacta emittens, nasus his erumpens, malum. [11] Viscosa meraca, aut alba alvi egestio, mala est. [12] Mala est & abunde multum fermentata, subpituitosa. [13] Prava item ex compactis quibusdam

σὺν ὑποστάσει ὑπεπελίῳ, ἰλυώδης μετὰ χολώδεος. [14] Αἷμα λαμπρὸν 605 διαχωρεῖν, κακὸν ἄλλως τε κἢν 30 τις ὀδύνη παρῇ. [15] Τὸ ἀφρῶ- 606 δες περίχολον διαχώρημα, φλαῦρον. [16] καὶ ἰκτεριοῦνται δὲ ἐκ τοιούτων. [17] Ἐπὶ τοῖσι χολώδεσι τὸ 607 ἀφρῶδες ἐπάνθισμα, κακόν. [18] μάλιστα δὲ ὀσφὺν πεπονηκότι καὶ παρενεχθέντι. [19] ἦ ἆρα δὲ τούτοισι τὰ ἀλγήματα; [20] Λεπτὸν 608 ἔπαφρον διαχώρημα, ὑδατόχολον ἔχον ὑπόστασιν, πονηρόν. [21] πονηρὸν δὲ καὶ τὸ πυῶδες. [22] καὶ τὸ μέλαν αἱματῶδες πονηρὸν σὺν πυρετῷ, καὶ ἄλλως. [23] καὶ τὸ ποικίλον κατακορὲς διαχώρημα, φλαῦρον· [24] καὶ χεῖρον ὅσῳ φοβε- 35 ρώτερον τῇ χροιῇ, πλὴν ἐν φαρμακείῃσιν. [25] ἐν γὰρ ταύτῃσιν ἀκίνδυνον, μὴ πλήθει ὑπερβάλλον. [26] καὶ τὸ ψαφαρὸν μαλθακὸν ἐν πυρετῷ διαχώρημα, [φλαῦρον.] [27] φλαῦρον δὲ καὶ τὸ ξηρόν, ψαθυρόν, ἄχροον· [28] καὶ ἄλλως, καὶ ἢν κοιλίην καθυγραίνῃ. [29] μελάνων δὲ προδιελθόντων, κτείνει. [30] Ὑ- 609 γρὸν διαχώρημα, καὶ ἀθρόον, καὶ κατὰ μικρόν, κακόν. [31] τὸ μὲν γὰρ ἀγρυπνίην, τὸ δὲ ἔκλυσιν τάχ' ἂν ποιήσῃ. [32] Ἔνυγρον ὑποψάφαρον 610 διαχώρημα περιψυχόμενον μὴ ἀ- 40 πύρως, φλαῦρον. [33] τοῖσι τούτοισι ῥίγεα κύστιν καὶ κοιλίην ἐπιλαμβάνει. [34] ὑδατῶδες δὲ σφόδρα διαχώρημα μὴ παυόμενον ἐν ὀξέσι, κακόν· [35] καὶ μᾶλλον εἰ καὶ ἄδιψος. [36] Ἐξέρυθρον ἐν περιπλύσει δια- 611 χώρημα, φλαῦρον. [37] φλαῦρον δὲ καὶ τὸ σφόδρα χλωρόν, ἢ λευκόν, ἢ ἀφρῶδες, ἢ ὑδαρές. [38] καὶ τὸ μικρόν τε καὶ γλίσχρον, καὶ λεῖον καὶ ὑπόχλωρον, κακόν. [39] καὶ τὸ κωμα-

busdam innatantibus, subsidentia sublivida, purulenta, cum 330 biliosa. [14] Sanguinem splendidum egerere, malum est, tum alias, tum si quis dolor affuerit. [15] Spumosa, circumbiliosa alvi egestio, mala est. [16] Sed & morbum regium ex talibus incurrunt. [17] In biliosis alvi egestionibus spumosa florulenta, mala est, [18] maxime et cui lumbi doluerint, & mente motus fuerit. [19] Num autem his dolores? [20] Tenuis spumosa alvi egestio, aquosam cum virore pallidam habens subsidentiam, mala est. 335 [21] Mala etiam purulenta: [22] & nigra cruenta, mala, cum febre, & alias: [23] & varia, abunde bile colorata egestio, mala est, [24] tantoque deterior quantum colore magis horrenda est, prærterquam in medicamentorum usu. [25] In hoc enim periculo vacat, si non copia excedat: [26] & tenuis, mollis egestio, in febre mala est. [27] Mala quoque sicca friabilis, decolor, [28] tum alias, tum si alvum humectet. [29] Nigris vero antea egressis occidit. 340 [30] Liquida alvi egestio, & acervatim, & paulatim contingens, mala est; [31] altera enim vigilias, altera exolutionem facere poterit. [32] Liquida subtenuis alvi egestio perfrigescens, non sine febre, mala est. [33] Rigores in his vesicam & ventrem corripiunt. [34] Aquosa vero valde non desinens in acutis, mala: [35] & magis si etiam sitim non habuerit. [36] Valde rubicunda egestio in alvi profluvio, mala est. [37] Mala quoque valde cum virore 345 pallida, aut alba, aut spumosa, aut aquosa: [38] & parva, & viscosa, & levis, & cum virore subpallida, mala est. [39] Et sopo-

καὶ μελιώδεσι νεναρκωμένοισιν ὑγρὸν διαχώρημα, κάκιστον. 40 θανατῶδες δὲ καὶ αἱμοῤῥοεῖν αἱματώδεα 45 πολυθρομβώδεα. 41 λευκόν τε καὶ ὑγρὸν μετὰ κοιλίης μετεώρου. 42 Διαχώρημα μέλαν οἷον αἷμα, 612 καὶ σὺν πυρετῷ, καὶ ἄνευ πυρετοῦ, πονηρόν. 43 καὶ πάντα τὰ ποικίλα, καὶ τὰ χολοχρόα πονηρά. 44 Τὰ 613 ἐς ἀφρώδεα ἄκρητα τελευτῶντα διαχωρήματα, παροξυντικὰ μὲν πᾶσι, τοῖσι δὲ σπασμώδεσι καὶ πάνυ. 45 ἐκ τοιούτων τὰ παρ' οὖς ἀνίσταται. 46 τὰ δὲ ἐξυγραινόμενα, καὶ πάλιν συνιστάμενα, ἄκρητα, κοπρώδεα, μήκεος νούσου σημαντικά. 47 τὸ δὲ ἐξέρυθρον ἐν πυρετῷ, παραφρονητικόν. 48 τὸ δὲ λευ-444κὸν κοπρῶδες, ἰκτέρῳ δύσκολον. 49 τὸ δὲ ὑγρὸν ἐν τῷ τεθῆναι λαβὸν ἔρευθος. 50 Αἱμοῤῥαγέσι 614 γλίσχρον διαχώρημα μέλασι διαποίκιλον, κακοήθες· 51 μάλιστα δὲ ἐκλεύκοις. 52 Ἔκλευ-615 κον διαχώρημα ἐν πυρετῷ οὐκ εὔκρινές. 53 Κοιλίη ταραχώδης 616 σμικρῇσι πυκνῇσιν ἐπαναστάσεσι, σιηγόνας ἐντείνει. 54 λύει δὲ καὶ ἐπὶ προσώπου γινόμενα ἐρυθήματα. 55 Κοπρώδης μετὰ τό-617 5 νου διαχώρησις, κοιλίης πονηρίην σημαίνει. 56 φλεγματώδης δὲ ὀξέως μετὰ καρδιωγμοῦ, δυσεντερίην. 57 τάχα δὲ καὶ ὀσφυαλγίην. 58 τοῖσι τοιούτοισι κοιλίης περιστάσεσιν πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα ταχὺ ὀγκουμένη, ἔχει τι σπασμῶδες. 59 τὸ ἐπιῤῥιγοῦν τούτοισιν ὀλέθριον. 60 Οἷσι μέλανα διαχωρεῖ, ἱδρῶσι ψυχροῖσι. 618 61 Οἷσι κοιλίη 619 κατ' ἀρχὰς ταράσσεται, τὰ δὲ οὖρα μικρά, προϊόντων [δὲ] κοιλίη μὲν

rosis torpefactis liquida egestio, pessima est. 40 Lethale autem & alvum sanguine manare, multa grumosa egestione, 41 itemque alba ac liquida, cum ventre in tumorem elevato. 42 Egestio alvi nigra velut sanguis, & cum febre, & sine febre, mala est. 43 Malæ item omnes 'variæ, 350 abunde ex bile coloratæ. 44 Egestiones desinentes in spumosas meracas, omnes quidem exacerbant, convulsos autem etiam valde. 45 Ex talibus abscessus juxta aurem emergunt. 46 At quæ valde liquidæ fiunt; & rursus compactæ, meracæ, stercoraceæ egestiones, longitudinem morbi significant. 47 Valde rubicunda in febre, delirium. 48 Alba stercoracea in morbo regio difficilis est, 49 itemque liquida quæ 'seposita ruborem capit. 50 355 In sanguinis eruptionibus viscosa egestio nigris variegata, maligna est, 51 maxime autem valde albidis. 52 Valde alba egestio in febre, non bene judicat. 53 Alvus turbulenta parvis frequentibus ad egerendum progressibus, maxillis intendit. 54 Solvit etiam rubores in facie obortos. 55 Stercoracea cum contentione egestio, alvi afflictionem significat. 56 Pituitosa vero acute cum 'oris ventriculi 360 dolore, dysenteriam: 57 fortassis autem & lumborum dolorem. 58 Talibus alvi circumtensio ad necessitatem liquida demittens, citius restitans, habet quid convulsorium 59 Insuper rigere his perniciosum est. 60 Quibus nigra per alvum prodeunt, frigidum sudorem excludunt. 61 Quibus alvus ab initio turbatur, urinæ vero paucæ sunt, & progressu temporis alvus quidem

μὴ ξηραίνῃ, τὸ ῆ ὖρον πάνυ λεπτὸν, τέτοισιν ἀποςάσιες ἐς ἄρθρα. 62 Αἱ κ῀ μικρὸν ἀναχωρέουσαι, ῥιγώδεις. 63 ἧς εἰσὶ φλαῦροι ἀλγήματα, δυσεκλύτως τεταρταίζουσιν ἀρχόμενοι. 64 Αἱ ἐπιπυκνῷ κ῀ μικρὸν ἀναχωρέουσαι ὑπόγλισχροι, ἔχουσιν μικρὸν κοπρῶδες, μετ' ὑποχονδρίου καὶ πλευρῆς ἀλγήματα, ἰκτερώδεες. 65 ἧς ἐκ ἐπισιωπῶν ἆρα ἐπιχλωρίη; 66 αἷμα ἧς αἱμοῤῥοΐδες τέτοις. 67 τὰ δ' ἐς ὀσφὺν ἀλγήματα ἐν τέτοισιν αἷμα ἐκμορροεῖ. 68 Οἷσιν αἷμα διαχωρέει λαμπρὸν, τὸ μὲν κάρα καὶ κεφαλαλγίης ἐπιγινομένης, ἐλεῖσθαι. 69 Τὰ γλίσχρα χολώδεα μᾶλλον ἐν τοῖς ἀποςάσεσι παρ' ὖς ποιέει. 70 Ὅσαι κοιλίαι κατὰ χύςιν ὠχρότερον οἷον ἐπαίρονται μετεωρίζῃ μετ' ἀλγήματος, κακόν. 71 κοιλίας δ' ἐπισάσης, ἀλλ' ἐκ ἐπὶ τὸ μὴ νεωτερίζειν, ταχέως ἐκρήγνυται, καὶ κακοηθέςερον. 72 τὰ ἐμέσματα ἐπὶ τέτοισι πονηρὰ καὶ ὑποληθέα. 73 Οἷσιν ἐπὶ φλογώδεσι καὶ ἐξερύθροις λυομένοις, ἐμετώδεες, λάθεες, ὑπερέρυθροι, ἐλάπις ἐκμαίνοιντο. 74 Ὁ αὐχμώδης χρῶς σημαίνει κοιλίην πονηρευομένην. 75 ἐπὶ τέτοισιν ἐξέρυθροι σαρκώματα μάλιστα διέσιν. 76 Ἐπὶ κοιλίῃ χολώδη, μαλθακὸν, κοπρώδη, ἀκρόματα ἐπιφανέντα, παρ' ὖς ἐπάρματα ποιέει. 77 Χολώδεα διαχωρήματα κώφωσιν παύει. 78 κώφωσιν δὲ παύει χολώδεα διαχώρημα. 79 Τὰ ἑρπυσμώδη περὶ βουβῶνας ἐπὶ λαγόνας κοιλίην χεῦμα σημαίνει κοιλίην πονηρευομένην. 80 Ἐκλύσιες ὀδυνέων λύουσαι κοιλίην

quidem siccatur, ' urina vero tenuis redundat, his abscessus ad articulos fiunt. 62 Progressus ad egerendum paulatim contingentes, horrorem ac rigorem inducunt: 63 & quibus larga fit egestio, difficilimum est quartanis incipientibus. 64 Frequentes ad egerendum progressus paulatim contingentes, pauca stercoracea subviscosa habentes, cum præcordii & lateris dolore, morbum regium denorant. 65 Num his suppressis hi cum virore ' pallidi fiunt? 66 Arbitror autem & hoc sanguinem effundere. 67 At dolores in lumbis, in his sanguinem fundentibus, 68 sanguinem egerunt splendidum. Cum sopore, & capitis dolore, calescere insuper, perniciosum est. 69 Viscosæ, biliosæ, magis abscessus juxta aurem faciunt. 70 Quicunque tumores alvo humecta elevantur, cum doloribus, malum. 71 Alvo vero suppressa, & nulla alia renovata, ' cito rumpuntur, & malignius est. 72 Vomitiones in his, malæ & ferinæ. 73 Quibus & flammeis & valde rubicundis solutis, graveolens, larga, subrubra fit, hi ne insaniant timor est. 74 Corpus squallidum alvum male affectam significat: 75 in his valde rubicundæ, infrat purulentæ caruncula, egestiones maxime prodeunt. 76 Ad alvum biliosam mollem stercoracea egerentem, ardores comparentes, ' tumorem juxta aurem faciunt. 77 Biliosas egestiones surditas sedat, 78 & surditatem sedat biliosa alvi egestio. 79 Pustulæ serpiginosæ supra inguina, ad larerum mollitudinem ac pubem oborientes, alvum male affectam significant. 80 Exolutio dolorem solvens, alvum

μάλα καθυγραίνει. 81 Τὰ καθ' ἕδρην ὀδυνώδεα ἐκπυήματα κοιλίην ἐπιταράσσει. 82 Θανατώδεα δ' ἐστὶ τῶν διαχωρημάτων τὸ λιπαρὸν, καὶ τὸ μέλαν, καὶ τὸ πελιὸν μετὰ δυσωδίης, 83 καὶ τὸ χολῶδες ἔχον ἐν ἑωυτῷ φακῶν ἢ ἐρεβίνθων ἐρέγμασι παραπλήσια, ἢ οἷον θρόμβους αἵματος εὐανθέας, καὶ τὴν ὀδμὴν ὁμοίως τῷ τῶν νηπίων, 84 καὶ τὸ ποικίλον, τὸ δ' αὐτὸ καὶ χρόνιον. 85 γίνεται δ' αὐτοῦ τοιοῦτον αἱματῶδες, ξυσματῶδες, χολῶδες, μέλαν, πρασοειδὲς, καὶ ὁμοῦ, καὶ ἐναλλάξ. 86 θανατῶδες δὲ καὶ πᾶν τὸ ἀναισθήτως διεξιόν. 87 Περὶ τῶν χαλεπῶς καταβροχθιζόντων πνεύματι βηχώδει ἐρυγμὸς ὑποσπώμενος, εἴσω κατειλεύμενος, σημαίνει πόνον κοιλίης. 88 μεθ' αἱμορραγίην μελάνων διαχώρησις, κακόν· 89 πονηρὸν δὲ καὶ ἐξέρυθρα ἰώδεα. 90 τεταρταίοισιν αἱ τοιαῦται αἱμορροίαι. 91 κωματώδεες ἐκ τούτων σπασμῷ τελευτῶσι μελάνων προδιελθόντων. 92 Οἷσι μέλανα διαχωρέει, ἐφιδροῦσι ψυχροῖς. 93 Αἱ ἐξαίφνης παράλογοι ἐκλύσιες κοιλίης, ἐν τοῖσι τηλικούτοισι χρονίοισιν, ἅμα ἀφωνίῃ τρομώδει ὀλέθριοι. 94 Αἱ λεπταὶ μελάνων διαχωρήσιες αἱ φρικώδεες, βελτίους τοῖσι τοιούτοισιν. 95 αἱ τοιαῦται ὠφελέουσι μάλιστα κατὰ τὴν ἡλικίην τὴν προακμάζουσι. 96 Πᾶσι τὰ κνησμώδεα μελάνων διαχώρησιν σημαίνει, καὶ ἔμετον θρομβώδεα. 97 καὶ τρομώδεα ξὺν δηγμῷ μετὰ κεφαλαλγίης, τὰ μέλανα διαχωρήματα. 98 πρὸ τῶν τοιούτων ἔμετος διέρχεται, καὶ ἐμέσασι συχνὰ τοιαῦτα προσκατασπᾶται. 99 Οἷσι δὲ ἐπὶ ταραχῇσι κοιλίης παροξύνεται περὶ κρίσιν, κάτω μέλανα διέρχεται. 100 Ἐπὶ κοι-

alvum maxime humectat. 81 Juxta sedem dolorosæ suppurationes alvum turbant. 82 Lethales egestiones sunt, pinguis, nigra, livida cum graveolentia, 83 & biliosa, habens in se simile quiddam ciceri aut fabis fresis, aut veluti floridos sanguinis grumos, & quæ odore similis est egestioni infantium, 84 & varia eademque diuturna. 85 Talis autem fuerit cruenta, ramentosa, biliosa, nigra, prasina, & simul, & permutatis vicibus. 86 Lethalis quoque omnis est quæ sensum ægri fugiens exit. 87 Qui potum difficulter deglutiunt spiritu tussiente, eructatio subtracta intro revoluta dolorem ventris significat. 89 Malæ sunt etiam egestiones valde rubræ æruginosæ 90 in quartanis. Et tales sanguinis fluxiones 91 soporosæ sunt: ex his convulsione moriuntur, nigris antea egressis. 93 Exolutiones alvi repentinæ præter rationem, in diuturnitate temporis consumptis, una cum vocis tremula interceptione, perniciose habent. 94 Tenues nigrorum egestiones horrificæ, meliores talibus sunt. 95 Tales prosunt maxime in ætate ante vigorem. 96 Pruriginosæ affectiones omnibus nigrorum egestionem significant; & vomitum grumosum. 97 Et tremulæ affectiones cum morsu ac capitis dolore, nigras egestiones significant. 98 Ante tales vomitus prodit: & ubi vomuerunt, multæ tales insuper detrahuntur, 99 Quibus in alvi turbatione exacerbatur morbus, circa judicationem nigra inferne prodeunt. 100 Ex alvo diutine affe-

κοιλίη μακρῇ ἐμετώδεσι, χολώδεσιν, ἀποσίτοισιν, ἱδρὼς πολὺς μετ᾽ ἀδυναμίης ἐξαπίνης, κτείνει. 101 Ἐν φαρμακείῃσιν ἐν περιρρόῳ λεπτῶν συχνῶς αἷμα ἐκτηκόμενον, φλαῦρον. 102 Τὰ κατὰ κοιλίην σκληρύσματα μετὰ πόνου πυρεσσόντων ἅμα φρικώδεσιν, ἀποσίτοισι, σμικρὰ ἐφυγραινομένης, κάθαρσιν ἢ διδόντα, ἴεται ἐς ἐμπύησιν. 103 Ἅμα πυρετῷ κοιλίη ταραχώδης τρόπον ἁλμυρώδεα, καρματώδεσι νωθροῖσιν οὐ πάνυ παρέπεται. 104 Ἐπὶ κοιλίῃ ὑγρῇ, κοπιώδει, κεφαλαλγικῷ, διψώδει, ἀγρύπνῳ, ἐξερύθρῳ χρώματι λυομένους ἐλπὶς ἐκμανῆναι, ἢν δύσπνοοι ἔωσι. 105 Πρὸς τὸ ἐγχλοιῶδες εὔπνοον, ἄπιστόν τι κοιλίης ἐπιπελαθούσης. 106 Τὰ καυματώδεα διαχωρήματα τόνον ἴσχοντα, κοιλίην πονηρευομένην σημαίνει. 107 Τοῖσι χολώδεσι κοιλίη ταραχώδης, μικρὰ πυκνὰ διαδιδοῦσα, τονώδεα μικροῖσι μυξώδεσι, πόνον περὶ τὸ λεπτὸν ποιέουσι, καὶ οὖρον οὐκ εὐλύτως ἰὸν ἐς ὕδρωπα ἐκ τοιούτων ἀποτελευτᾷ. 108 Αἱ τρομώδεες γλῶσσαι σημεῖον ἐνίοισι κοιλίης καταρραγησομένης. 109 Οἷσι καῦμα γίνεται, ἀφιδροῦσι δὲ ἐλθόντων, πυρετοὶ παροξύνονται. 110 Ἐπὶ κοιλίῃσιν ὑγρῇσι καταψύξιες μεθ᾽ ἱδρῶτος, φλαῦρον. 111 Ἐπὶ κοιλίῃσιν ὑγρῇσι τὸ ἀπὸ οὔλων αἷμα ἐπιρρυέν, θανατῶδες. 112 Διαχώρημα καθαρὸν ἐπιγινόμενον λύει πυρετὸν ὀξὺν μεθ᾽ ἱδρῶτος.

ᴄta, vomentibus, biliosis, cibum fastidientibus, sudor multus cum impotentia repentina, occidit. 101 In medicamentorum usu, in defluxione, tenuis abunde sanguis eliquescens, malum est. 102 Duricies circa ventrem cum dolore, in febribus cum horrore cibos aversantibus, alvo parum ad purgationem humectata, non suppurantur. 103 Una cum febre alvus turbata salsuginoso modo, soporosos, torpidos non valde comitatur. 104 Ex alvo liquida lassatos, caput dolentes, siticulosos, vigilantes, valde rubicunda egestione solutos, timor est ad insaniam deventuros esse, si difficulter spiraverint. 105 Ad hoc ubi quis cum virore pallescit, bene spirare noxium non est alvo insuper probe egerente. 106 Adustæ egestiones contentionem habentes, alvum male affectam significant. 107 Biliosis alvus turbata, parva, frequenter egerens distendentia cum paucis mucosis, dolorem circa tenue intestinum hæc faciunt, & urinam non facile prodeuntem, ex talibus ad hydropem desinunt. 108 Linguæ tremulæ quibusdam alvi eruptionis futuræ signum sunt. 109 Quibus ardor fit, & ad egressas egestiones alvi, insuper exsudant, his febris exacerbatur. 110 Ex alvis liquidis perfrigeratio cum sudore, mala. 111 Ex alvis liquidis, sanguis de gingivis defluens, lethalis est. 112 Alvi egestio pura superveniens, solvit febrem acutam cum sudore.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΟΔΟΝΤΟΦΥΙΗΣ.

HIPPOCRATIS DE DENTITIONE.

Basil. græc. Foesius sect. III. 49. 267. Basil. lat.

Τὰ φύσει εὔτροφα τῶν παιδίων οὐκ ἀνάλογον τῷ σαρκώσει καὶ τὸ γάλα θηλάζει. ² Τὰ βορὰ καὶ πολὺ ἕλκοντα γάλα οὐ πρὸς λόγον σαρκοῦται. ³ Τὰ πολὺ διουρέοντα τῶν θηλαζόντων, ἥκιστα ἐνιαύσια. ⁴ Ὁκόσοισι πολλὴ φέρεται ἡ κοιλίη, καὶ εὐπεπτέουσιν, ὑγιεινότερα. ⁵ Ὁκόσοισιν ὀλιγοδιαχωρέουσιν ἐοῦσι καὶ μὴ ἀνάλογον τρεφομένοισιν, ἐπίνοσα. ⁶ Ὁκόσοισι δὲ πολὺ γαλακτῶδες ἀπεμέεται, κοιλίη ξυνίσταται.

II. Ὁκόσοισιν ἐν ὀδοντοφυΐῃ ἡ κοιλίη πλείω ὑπάγει, ἧσσον σπῶνται, ἢ οἷσιν ὀλιγάκις. ² Ὁκόσοισιν ἐπὶ ὀδοντοφυΐῃ πυρετὸς ὀξὺς ἐπιγίνεται, ὀλιγάκις σπῶνται. ³ Ὁκόσα ὀδοντοφυέοντα εὔτροφα μένει, καταφορικὰ ἐόντα, κίνδυνος σπασμὸν ἐπιλαβεῖν. ⁴ Τὰ ἐν χειμῶνι ὀδοντοφυέοντα, τῶν ἄλλων ὁμοίων ἐόντων, βέλτιον ἀπαλλάσσει. ⁵ Οὐ πάντα τὰ ἐπὶ ὀδοῦσι σπασθέντα, τελευτᾷ· πολλὰ δὲ καὶ διασώζεται. ⁶ Τὰ μετὰ βηχὸς ὀδοντοφυέοντα, χρονίζει· ἐν δὲ τῇ διακεντήσει ἰσχναίνεται μᾶλλον. ⁷ Ὁκόσα ἐν τῷ ὀδοντοφυέειν χειμῶνας ἔχει, ταῦτα καὶ προσεχόντως ἠγμένα, ῥᾷον φέρει ὀδοντοφυΐαν. ⁸ Τὰ διουρέοντα πλέον ἢ διαχωρέοντα πρὸς λόγον, εὐτροφώτερα. ⁹ Ὁκόσοισιν οὐρέεται μὴ πρὸς λόγον, κοιλίη δὲ πυκνῶς ὠμὸν ἐκ παιδίων πειρηθῇ, ἐπίνο-

Pueri natura habitiores, non pro carnositatis ratione etiam lac sugunt. ² Voraces vero & multum lactis trahentes, non pro ratione carnosi fiunt. ³ Pueri sugentes si multum mingant, minime anniculi fiunt. ⁴ Quibus alvus multum profluit, & bene concoquunt, hi saniores sunt. ⁵ Quibus modice profluit, & voraces sunt, & non pro ratione similiter nutriuntur, morbosi. ⁶ Quibus multum lactosum revomitur, his alvus supprimitur.

II. Quibus in dentitione alvus amplius subducit, minus convelluntur, quam quibus parum. ² Quibus in dentitione febris acuta accedit, parum convelluntur. ³ Quicunque dentientes habitiores manent, & altiore somno utuntur, periculum est ne convulsione corripiantur. ⁴ Qui hyeme dentiunt, reliquis similibus existentibus, melius liberantur. ⁵ Non omnes, in dentitione convulsi, moriuntur, sed multi etiam servantur. ⁶ Qui cum tussicula dentiunt, tardius dentes producunt, in perpunctione autem magis gracilescunt. ⁷ Quicunque in dentiendo hyemem habent, si attente tractentur, dentitionem facilius ferunt. ⁸ Qui plus mingunt quam egerunt, pro ratione habitiores sunt. ⁹ Qui non pro ratione mingunt, verum alvus frequenter cruda à pueris egessit, mor-

ἐπίνουσι. 10 Τὰ εὔυπνα καὶ εὔτροφα πολὺ ἀναλαμβάνει, καὶ προσκέεται οὐχ ἱκανῶς διῳκημένον. 11 Τὰ προσεσθίοντα ἐν τῷ θηλάζειν, ῥᾷον φέρει ἀπογαλακτισμόν. 12 Τὰ πολλάκις παρηθεῦντα δίαιμα καὶ ἄπεπτα κατὰ κοιλίην, πλεῖστα τῷ ἐν πυρετῷ ὑπνώδεα. 13 Τὰ ἐν παρισθμίοισιν ἕλκεα ἄνευ πυρετῶν γινόμενα, ἀσφαλέστερα. 14 Ὁκόσοισιν ἐν τῷ θηλάζειν τῶν νηπίων βὴξ προσίσταται, σταφυλὴν εἴωθεν μείζονα ἔχειν.

III. Ὁκόσοισι ταχέως ἐν παρισθμίοις νομαὶ ὑφίστανται, τῶν πυρετῶν μενόντων καὶ βηχέων, κίνδυνος πάλιν γενέσθαι ἕλκεα παλινδρομήσαντα. 2 Ἐν ἰσθμίοις ἕλκεα τοῖσι νηπίοισι, κινδυνώδεα. 3 Τοῖσι παιδίοισιν ἀξιολόγοις ἕλκεσιν ἐν παρισθμίοισι, καὶ καταπίνειν δυναμένων, σωτηρίας ἐστίν. 4 Ὁκόσοι δὲ μᾶλλον τῶν πρότερον μὴ δυναμένων καταπίνειν ἐν παρισθμίοισιν ἕλκεσι, πολὺ τὸ χολῶδες ἀνεμέσαι, ἢ κατὰ κοιλίην ἐξελθεῖν, κινδυνῶδες. 5 Ἐν τοῖσιν ἐν παρισθμίοισιν ἕλκεσιν ἀραχνιῶδές τι ἐὸν, οὐκ ἀγαθόν. 6 Ἐν τοῖσι παρισθμίοισιν ἕλκεσι μετὰ τοὺς πρώτους χρόνους διαῤῥεῖν φλέγμα διὰ τοῦ στόματος, πρότερον οὐκ ἐὸν, χρήσιμον. 7 Ὅμως ἀνακλητέον. 8 Ἢν δὲ ἄρξηται [καὶ] ξυνδιδῷ πάντως, ἀσμενιστέον. 9 Τὸ δὲ μὴ οὕτως διαῤῥέον, εὐλαβητέον. 10 Ῥευματιζομένοις παρίσθμια κοιλίη καταρραχθεῖσα πλέον λύει τὰς ξηρὰς βῆχας. 11 Παιδίοισιν ἀνενεχθέν τι πεπεμμένον, πλέον λύει. 12 Τὰ πουλὺν χρόνον ἐν παρισθμίοισιν ἕλκεα ἀνὰ αὔξην μένοντα, ἀκίνδυνα πρὸ τῶν πέντε ἢ ἓξ ἡμερέων. 13 Τὰ πολὺ γάλα τῶν θηλαζόντων ἀνα-

morbosi sunt. 10 Qui bene dormiunt, & habitiores sunt, multum alimentum adsumunt, idque adjacet, non sufficienter distributum. 11 Qui dum sugunt interim cibum adsumunt, facilius ablactationem ferunt. 12 Qui sæpe cruenta ac cruda per alvum egerunt, plurimi in febre somniculosi sunt. 13 Ulcera in tonsillis citra febrem facta, securiora sunt. 14 Quibus infantibus in sugendo tussis instat, uvam majorem habere solent.

III. Quibus cito in tonsillis ulcera serpentia consident, febribus ac tussi permanentibus, periculum est rursus generanda esse ulcera recurrentia. 2 Ulcera tonsillarum in infantibus periculosa. 3 Pueris memorabilis magnitudinis, si ulcera in tonsillis sint, & deglutire possint, salutis signum est. 4 Quum vero majores prioribus deglutire in tonsillarum ulceribus non possunt, his multum bilem revomi, aut per alvum prodire, periculosum est. 5 In ulceribus tonsillarum si quid araneosum inest, non bonum. 6 In tonsillarum ulceribus post prima tempora, pituitam per os effluere, si prius non fuit, commodum est, 7 & tamen reducenda est. 8 Si verò incipiat, & omnino remittat, gaudendum est. 9 Si autem non sic effluat, vereri oportet. 10 Qui tonsillas destillatione vexatas habent, his alvus amplius subducta, siccas tusses solvit. 11 Verum pueris si quid concocti superne prodierit, amplius solvit. 12 Ulcera multo tempore in tonsillis circa argumentum manentia, ante quintum aut sextum diem periculosa non sunt. 13 Sugentes qui multum lactis adsu-

ἀναλαμβάνοντα, ὡς τὸ πολὺ ὑπνώδη. [14] τὰ μὴ εὐτροφέα τῶν θηλαζόντων ἄτροφα καὶ δυσανάληπτα. [15] ἕλκεα ἐν θέρει γινόμενα ἐν παρισθμίοισι χείρονα τῶν ἐν τῇσιν ἄλλῃσιν ὥρῃσι. τάχιον γὰρ νέμεται. [16] τὰ περὶ σταφυλὴν νεμόμενα ἕλκεα ἐν παρισθμίοισι, σωζομένοισι τὴν φωνὴν ἀλλοιοῖ. [17] τὰ περὶ φάρυγγα νεμόμενα ἕλκεα χαλεπώτερα καὶ ὀξύτερα, καὶ ἐπὶ πολὺ δύσπνοιαν ἐπιφέρει.

adsumunt, utplurimum somniculosi sunt. [14] Sugentes qui non probe aluntur, macilenti fiunt, & ægre vires recolligunt. [15] Ulcera in tonsillis æstate facta, pejora sunt quam aliis temporibus, citius enim proserpunt. [16] Ulcera in tonsillis circa uvam proserpentia in his, qui servantur, vocem alterant. [17] Ulcera proserpentia circa fauces, graviora & magis acuta, utplurimum spirandi difficultatem inducunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΤΡΟΦΗΣ.

HIPPOCRATIS DE ALIMENTO.

Basil. græc. Foesius sect. IV. 49. 380. Basil. lat.

543 pag. 110

ΤΡΟΦΗ, καὶ τροφῆς εἶδος, μία καὶ πολλή. [2] μία μὲν, ᾗ γένος ἕν· [3] εἶδος δὲ, ὑγρότητι καὶ ξηρότητι. [4] καὶ ἐν τουτέοισιν ἰδέαι, καὶ πόσον ἐστὶ, καὶ ἐς τίνα, καὶ ἐς τοσαῦτα. [5] αὔξει δὲ, καὶ ῥώννυσι, καὶ σαρκοῖ, καὶ ὁμοιοῖ, καὶ ἀνομοιοῖ τὰ ἐν ἑκάστοισι κατὰ φύσιν τὴν ἑκάστου καὶ τὴν ἐξ ἀρχῆς δύναμιν. [6] ὁμοιοῖ δὲ ἐς δύναμιν, ὁκόταν κρατέῃ μὲν ἡ ἐπιοῦσα, ἐπικρατέῃ δὲ ἡ προϋπάρχουσα. [7] γίνεται δὲ καὶ ἐξίτηλος, ὁτὲ μὲν ἡ προτέρη ἐν χρόνῳ ἀπολυθεῖσα ἢ ἐπιπροστεθεῖσα, [8] ὁτὲ δὲ ἡ ὑστέρη ἐν χρόνῳ ἀπολυθεῖσα ἢ ἐπιπροστεθεῖσα. [9] ἀμαυροῖ δὲ ἑκατέρας ἐν χρόνῳ καὶ μετὰ χρόνον ἡ ἔξωθεν συνεχὴς ἐπισωρευθεῖσα, [10] καὶ ἐπὶ πολλὸν χρόνον

ALIMENTUM & alimenti species, unum & multæ: [2] unum quidem, quatenus unum genus est. [3] Species vero humiditate ac siccitate finitur. [4] Et in his formæ, ac quantitas est, & ad quædam, & ad tot. [5] Auget autem, & corroborat, & incarnat, & assimilat, & dissimilia facit quæ in singulis sunt, juxta uniuscujusque naturam ac facultatem quæ ab initio adest [6] Assimilat autem pro viribus, quum id quod superingeritur superatur, id vero quod prius inest superat. [7] Exile autem fit aliquando quidem prius, in tempore dissolutum aut insuper appositum, [8] aliquando vero posterius, in tempore dissolutum aut appositum. [9] Destruit autem utrunque in tempore & post tempus id quod extrinsecus assiduo superingestum est, [10] & per multum

χρόνον στερεμνίως πᾶσι τοῖσι μέλεσι διαπεπλεγμένον· [11] καὶ τὴν μὲν ἰδίην ἰδέην ἐξεβλάστησε, τὴν δὲ ἀρχαίην, [11] ἔστιν ὅτε καὶ τὰς προτέρας, ἐξημαύρωσε.

II. Δύναμις δὲ τροφῆς ἀφικνέεται καὶ ἐς ὀστέον καὶ πάντα τὰ μέρεα αὐτοῦ, καὶ ἐς νεῦρον, καὶ ἐς φλέβα, καὶ ἐς ἀρτηρίην, καὶ ἐς μῦν, καὶ ἐς ὑμένα, καὶ σάρκα, [2] καὶ πιμελὴν, καὶ αἷμα, καὶ φλέγμα, καὶ μυελὸν, [3] καὶ ἐγκέφαλον, καὶ νωτιαῖον, καὶ τὰ ἐντοσθίδια, [4] καὶ πάντα τὰ μέρεα αὐτῶν· [5] καὶ δὴ καὶ ἐς θερμασίην, καὶ πνεῦμα, καὶ ὑγρασίην. [6] τροφῆς δὲ τὸ τρέφον τοῦτο τροφὴ, καὶ οἷον τροφὴ, καὶ τὸ μέλλον τροφή. [7] ἀρχὴ δὲ πάντων μία, καὶ τελευτὴ πάντων μία· [8] καὶ ἡ αὐτὴ τελευτὴ καὶ ἀρχή. [9] καὶ ὅσα κατὰ μέρος ἐν τροφῇ καλῶς καὶ κακῶς διοικέεται· [10] καλῶς μὲν, ὅσα προείρηται· [11] κακῶς δὲ, ὅσα τούτοις τὴν ἐναντίην ἔχει τάξιν.

III. Χυλοὶ ποικίλοι, [2] καὶ χρώμασι καὶ δυνάμεσι, [3] καὶ ἐς βλάβην καὶ ἐς ὠφελείην, [4] καὶ οὔτε βλάπτειν οὔτε ὠφελέειν, [5] καὶ πλήθει καὶ ὑπερβολῇ, καὶ ἐλλείψει, καὶ διαπλοκῇ· [6] ὧν μὲν, ὧν δ' οὔ, καὶ πάντων. [7] ἐς θερμασίην βλάπτει καὶ ὠφελεῖ. [8] ἐς ψύξιν βλάπτει καὶ ὠφελεῖ. [9] ἐς δύναμιν βλάπτει καὶ ὠφελεῖ. [10] δυνάμιος δὲ ποικίλαι φύσιες. [11] χυλοὶ φθείροντες καὶ ὅλον καὶ μέρος, [12] καὶ ἔξωθεν καὶ ἔνδοθεν, [13] αὐτόματοι καὶ οὐκ αὐτόματοι· [14] ἡμῖν μὲν αὐτόματοι, αἰτίῃ δὲ οὐκ αὐτόματοι. [15] αἰτίῃ δὲ οὐ

tum tempus omnibus membris solide implicatum est, [11] & propriam quidem formam producit, priorem vero, aliquando autem & priores, destruit.

II. Facultas porro alimenti pervenit & ad ossa, & ad omnes partes, & in nervum, & in venam, & in arteriam, & in musculum, & in pelliculam, & carnem, [2] & pinguedinem, & sanguinem, & pituitam, & medullam, & cerebrum, [3] & medullam spinalem, & interanea, [4] omnesque ipsorum partes, [5] & sane etiam in caliditatem, & spiritum, & humiditatem. [6] Alimenti vero & id quod hoc nutrit, alimentum est, & quod velut nutrimentum est, & quod nutrimentum futurum est. [7] Principium autem omnium unum est, & finis omnium unus. [8] & idem finis est atque principium. [9] & quæ particulatim in alimento probe & male distribuuntur. [10] Probe quidem quæ prædicta sunt. [11] Male vero, quæ contrarium his ordinem habent.

III. Succi varii, [2] & coloribus & viribus, [3] & in detrimentum, & in utilitatem, [4] & neque lædentes, neque commodantes, [5] & multitudine, & excessu, & defectu, & implicatione, [6] aliquorum quidem, aliquorum vero non. [7] Et omnium caliditatem lædunt ac juvant, [8] & frigiditatem lædunt ac juvant, [9] & facultatem lædunt ac juvant. [10] Facultatis autem variæ naturæ sunt. [11] Succi corrumpentes & totum & partem, [12] forinsecus ac intrinsecus, [13] spontanei & non spontanei [14] nobis quidem spontanei, causæ vero non spontanei. [15] Rursus autem

δ' αὖ τὰ μὲν δῆλα, τὰ δ' ἄδηλα· 16 καὶ τὰ μὲν δυνατὰ, τὰ δ' ἀδύνατα.

IV. 1 Φύσις ἐξαρκεῖ πάντα πᾶσιν. 2 ἐς δὲ ταῦτα ἔξωθεν μὲν κατάπλασμα, κατάχρισμα, ἄλειμμα, 3 γυμνότης καὶ σκέπη, ὅλου καὶ μέρεος, 4 θέρμη καὶ ψύξις κατὰ τὸν αὐτὸν λόγον, 5 καὶ στύψις, καὶ ἕλκωσις, καὶ δηγμὸς, καὶ λίπασμα· 6 ἔνδοθεν δὲ τινά τε τῶν εἰρημένων, 7 καὶ ἐπὶ τούτοισιν αἰτίη ἄδηλος, καὶ μέρει καὶ ὅλῳ, 8 τινί τε καὶ οὐ τινί. 9 ἀποκρίσιες κατὰ φύσιν, κοιλίης, οὔρων, ἱδρῶτος, πτυέλου, μύξης, ὑστέρης, καθ' αἱμοῤῥοΐδα. 10 θύμον, λέπρην, φῦμα, καρκίνωμα· 11 ἐκ ῥινῶν, ἐκ πνεύμονος, ἐκ κοιλίης, ἐξ ἕδρης, ἐκ καυλοῦ· 12 κατὰ φύσιν καὶ παρὰ φύσιν αἱ διακρίσιες τούτων, ἄλλοισι πρὸς ἄλλον λόγον, ἄλλοτε καὶ ἀλλοίως. 13 μία φύσις ἐστὶ ταῦτα πάντα, καὶ οὐ μία· 14 πολλαὶ φύσιές εἰσι ταῦτα πάντα, καὶ μία. 15 φαρμακείη ἄνω καὶ κάτω, καὶ οὔτε ἄνω οὔτε κάτω. 16 ἐν τροφῇ φαρμακείη, ἄριστον· ἐν τροφῇ φαρμακείη, φλαῦρον. 17 φλαῦρον καὶ ἄριστον πρός τι. 18 ἕλκος, ἐσχάρη, αἷμα, πύον, ἰχὼρ, λέπρη, πίτυρον, ἀχὼρ, λειχὴν, ἀλφὸς, ἔφηλις, 19 ὁτὲ μὲν βλάπτει, ὁτὲ δὲ οὔτε βλάπτει οὔτε ὠφελεῖ. 20 τροφὴ, οὐ τροφή. 21 ἢν μὴ οἷόν τε ᾖ τρέφεσθαι, ὄνομα τροφὴ, ἔργον δὲ οὐχί. 22 [ἢν δὲ οἷόν τε τρέφεσθαι,] ἔργον τροφὴ, ὄνομα δὲ οὐχί. 23 ἐς τρίχας τροφὴ, καὶ ἐς ὄνυχας, καὶ ἐς τὴν ἐσχάτην ἐπιφανείην ἔνδοθεν ἀφικνέεται. 24 ἔξωθεν τροφὴ ἐκ τῆς ἐσχά-

autem causæ, aliæ manifestæ, aliæ obscuræ, 16 & aliæ possibiles, aliæ impossibiles.

IV. Natura omnibus subvenit. 2 Ad hanc vero forinsecus quidem cataplasma, illitio, unguentum, 3 nuditas & totius & partis. 4 Caliditas & frigiditas, juxta eandem rationem 5 & adstrictio, & ulceratio, & morsus, & corrosio. 6 Intrinsecus vero & quædam ex prædictis, 7 & supra hæc caussa obscura, & parti & toti, 8 & alicui, & non alicui, 9 excretiones ventris secundum naturam, item urinarum, sudoris, salivæ, muci, uteri, juxta hæmorrhoidas, 10 verrucam, lepram, tuberculum, carcinoma, 11 ex naribus, ex pulmone, ex ventre, ex sede, ex cole, 12 secundum naturam, & præter naturam: discrimina horum aliis juxta aliam rationem, aliquando etiam aliter. 13 Una natura sunt hæc omnia, & non una. 14 Multæ naturæ sunt hæc omnia, & non una. 15 Medicina sursum & deorsum; & neque sursum neque deorsum. 16 In alimento medicina, optimum. In alimento medicina malum. 17 Malum & optimum ad aliquid. 18 Ulcus, crusta, sanguis, pus, sanies, lepra, furfur, ulcera capitis manantia, impetigo, vitiligo, lentigo, 19 aliquando lædit, aliquando prodest: aliquando neque lædit, neque prodest. 20 Alimentum, non alimentum. 21 Si nutrire non potest, nomen est alimentum, non opus. 22 Opus & res est alimentum, non nomen. 23 In pilos alimentum, & in ungues, & in extremam superficiem intrinsecus pervenit. 24 Forinsecus alimentum ex extrema-

ἐσχάτης ἐπιφανείης ἐνδόθεν ἀφικνέεται. [24] Ξύρροια μία, ξύμπνοια μία, ξυμπαθέα πάντα. [25] Κατὰ μὲν οὐλομελίην πάντα, κατὰ μέρος δὲ τὰ ἐν ἑκάστῳ μέρεϊ μέρεα πρὸς τὸ ἔργον. [26] Ἀρχὴ μεγάλη ἐς ἔσχατον μέρος ἀφικνέεται· ἐξ ἐσχάτου μέρεος ἐς ἀρχὴν μεγάλην ἀφικνέεται. [27] Μία φύσις, εἶναι καὶ μὴ εἶναι.

V. Νούσων διαφοραὶ, ἐν τροφῇ, ἐν πνεύματι, ἐν θερμασίῃ, ἐν αἵματι, ἐν φλέγματι, ἐν χολῇ, ἐν χυμοῖσιν, [2] ἐν σαρκὶ, ἐν πιμελῇ, [3] ἐν φλεβὶ, ἐν ἀρτηρίῃ, ἐν νεύρῳ, μυῒ, ὑμένι, ὀστέῳ, [4] ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ, στόματι, γλώσσῃ, στομάχῳ, κοιλίῃ, ἐντέροισι, φρεσὶ, περιτοναίῳ, ἥπατι, σπληνὶ, νεφροῖσι, κύστει, μήτρῃ, δέρματι. [5] Ταῦτα πάντα καὶ καθ' ἓν καὶ κατὰ μέρος. [6] Μέγεθος αὐτῶν μέγα καὶ οὐ μέγα. [7] Τεκμήρια· γαργαλισμὸς, ὀδύνη, ῥῆξις, γνώμη, ἱδρὼς, οὔρων ὑπόστασις, ἡσυχίη, ῥιπτασμὸς, ὄψιες, φαντασίαι, ἴκτερος, λυγμὸς, ἐπιληψίη, αἷμα ὁλοκληρὲς, ὕπνος. [8] Καὶ ἐκ τούτων καὶ ἐκ τῶν ἄλλων τῶν κατὰ φύσιν· [9] καὶ ὅσα ἄλλα τοιουτότροπα ἐς βλάβην καὶ ἐς ὠφελείην ὁρμᾷ. [10] Πόνοι ὅλου καὶ μέρεος. [11] Καὶ μεγέθεος σημεῖα, τῶν μὲν ἐς τὸ μᾶλλον, τῶν δὲ ἐς τὸ ἧσσον. [12] Καὶ ἀπ' ἀμφοτέρων ἐς τὸ μᾶλλον, καὶ ἀπ' ἀμφοτέρων ἐς τὸ ἧσσον. [13] Γλυκὺ, οὐ γλυκύ. [14] Γλυκὺ ἐς δύναμιν, οἷον ὕδωρ. [15] Γλυκὺ ἐς γεῦσιν, οἷον μέλι. [16] Σημεῖα ἑκατέρων, ἕλκεα, ὀφθαλμοὶ, γεύσιες. [17] Καὶ ἐν τούτοισι τὸ μᾶλλον καὶ τὸ ἧσσον. [18] Γλυκὺ ἐς τὴν ὄψιν, καὶ ἐν χρώμασι,

ma superficie, ad intima pervenit. [24] Confluxio una, conspiratio una. Consentientia omnia. [25] Juxta totius quidem corporis naturam omnia, juxta partem vero, partes in unaquaque parte ad opus. [26] Principium magnum ad extremam partem pervenit. Ex extrema parte ad magnum principium pervenit. [27] Una natura, esse, & non esse.

V. Morborum differentiæ, in alimento, in spiritu, in calore, in sanguine, in pituita, in bile, in humoribus, [2] in carne, in pinguedine, [3] in vena, in arteria, in nervo, musculo, pellicula, osse, [4] cerebro, medulla spinali, ore, lingua, stomacho, sive gula, ventre, intestinis, septo transverso, peritonæo membrana alvum ac intestina amplectente, hepate, splene, renibus, vesica, utero, cute. [5] Hæc omnia & singulatim & particulatim. [6] Magnitudo ipsorum magna, & non magna. [7] Signa, titillatio, dolor, ruptura, mens, sudor, urinarum subsidentia, quies, jactatio, visus, imaginationes, morbus arquatus, singultus, morbus comitialis, sanguis integer, somnus: [8] & ex his, & ex aliis naturalibus [9] & quæcunque alia hujusmodi ad detrimentum & utilitatem procedunt. [10] Labores totius & partis. [11] Et magnitudinis signa, alterius ad majus, alterius ad minus, [12] & ab utrisque ad majus, & ab utrisque ad minus. [13] Dulce non dulce: [14] dulce ad potentiam, velut aqua: [15] dulce ad gustum, velut mel. [16] Signa utrorumque, ulcera, oculi, & gustus: [17] & in his magis & minus. [18] Dulce ad visum, & in coloribus, & in

μασι, καὶ ἐν ἄλλῃσι μίξεσι. [19] γλυκὺ μᾶλλον καὶ ἧσσον.

VI. [1] Ἀραιότης σώματος ἐς διαπνοὴν [2] οἷσι πλέον ἀφαιρέεται, ὑγιεινότερον. [3] πυκνότης σώματος ἐς διαπνοὴν [4] οἷσιν ἔλαττον ἀφαιρέεται, νοσερόν. [5] οἱ διαπνεόμενοι καλῶς, ἀσθενέστεροι, καὶ ὑγιεινότεροι, καὶ εὐανάσφαλτοι. [6] οἱ διαπνεόμενοι κακῶς, πρὶν ἢ νοσέειν, ἰσχυρότεροι· [7] νοσήσαντες δὲ, δυσανάσφαλτοι. [8] ταῦτα δὲ καὶ ὅλῳ καὶ μέρει.

VII. [1] Πνεύμων ἐναντίην σώματι τροφὴν ἕλκει· [2] τὰ δ' ἄλλα πάντα τὴν αὐτήν. [3] ἀρχὴ τροφῆς πνεύματος, ῥῖνες, στόμα, βρόγχος, πνεύμων, καὶ ἡ ἄλλη διαπνοή. [4] ἀρχὴ τροφῆς ὑγρῆς καὶ ξηρῆς, στόμα, στόμαχος, κοιλίη. [5] ἡ δὲ ἀρχαιοτέρη τροφὴ, διὰ τοῦ ἐπιγαστρίου, ὀμφαλός. [6] ῥίζωσις φλεβῶν, ἧπαρ· [7] ῥίζωσις ἀρτηριῶν, καρδίη. [8] ἐκ τούτων ἀποπλανᾶται ἐς πάντα αἷμα καὶ πνεῦμα, [9] καὶ θερμασίη διὰ τούτων φοιτᾷ. [10] δύναμις μία καὶ οὐ μία, ᾗ ταῦτα πάντα καὶ τὰ ἑτεροῖα διοικέεται· [11] ἡ μὲν ἐς ζωὴν ὅλου καὶ μέρεος, ἡ δὲ ἐς αἴσθησιν ὅλου καὶ μέρεος. [12] γάλα τροφὴ, οἷσι τροφὴ κατὰ φύσιν, ἄλλοισι δὲ οὐχί. [13] ἄλλοισι δὲ, οἷσιν οἶνος τροφὴ, καὶ οἷσιν οὐ τροφή. [14] καὶ σάρκες, καὶ ἄλλαι ἰδέαι τροφῆς πολλαὶ, [15] καὶ κατὰ χώρην καὶ ἐθισμόν. [16] τρέφεται τὰ μὲν ἐς αὔξησιν καὶ ἐς τὸ εἶναι· [17] τὰ δὲ ἐς τὸ εἶναι μόνον, οἷον γέροντες· [18] τὰ δὲ πρὸς τούτοισι καὶ ἐς ῥώμην.

VIII. [1] Διάθεσις ἀθλητικὴ οὐ φύσει· [2] ἕξις ὑγιεινὴ κρείσσων ἐπὶ πᾶ-

aliis mixturis. [19] Dulce magis & minus.

VI. Raritas corporis ad perspirationem, [2] quibus amplius aufertur, saniores sunt. [3] Densitas corporis ad perspirationem, [4] quibus minus aufertur, morbidiores. [5] Qui probe perspirant, debiliores & saniores sunt, & à morbis facile reconvalescunt. [6] Qui male perspirant, priusquam ægrotent, fortiores sunt. [7] Ubi autem ægrotarunt, difficilius à morbis reconvalescunt. [8] Hæc autem & toti & parti.

VII. Pulmo contrarium corpori alimentum trahit, [2] reliqua vero omnia idem. [3] Principium alimenti spiritus, nares, os, guttur, pulmo, & reliqua respiratio. [4] Principium alimenti & humidi & sicci, os, gula, venter. [5] Verum antiquius & primordiale alimentum, per abdomen umbilicus. [6] Radicatio venarum hepar. [7] Radicatio arteriarum cor: [8] ex his aberrant in omnia sanguis & spiritus, [9] & calor per hæc meat. [10] Vis una, & non una, qua omnia hæc & alia gubernantur, [11] alia quidem ad vitam totius & partis, alia ad sensum totius & partis. [12] Lac nutrimentum, quibus videlicet secundum naturam alimentum est, aliis vero non. [13] Aliis autem vinum alimentum est, & quibusdam non alimentum. [14] Et carnes, & aliæ multæ alimenti species, [15] & juxta regionem & juxta consuetudinem [16] alunt, partim ad augmentum, & ad esse: [17] partim ad esse solum, velut in senibus. [18] Quædam vero supra hæc, etiam ad robur.

IIX. Dispositio athletica non est à natura. [2] Habitus sanus melior

πᾶσι. ³ Μέγα, τὸ ποσὸν ἀλόγως ἐς δύναμιν ξυναρμοσθέν. ⁴ Γάλα καὶ αἷμα τροφῆς πλεονασμός. ⁵ Περίοδοι ἐς πολλὰ σύμφωνοι, ἐς ἔμβρυον καὶ ἐς τὴν τούτου τροφήν. ⁶ Αὖθις δὲ ἄνω ῥέπει, ἐς γάλα, καὶ ἐς τροφὴν, καὶ ἐς βρέφος. ⁷ Ζωοῦται τὰ μὴ ζῶα, ζωοῦται τὰ ζῶα, ζωοῦται τὰ μέρεα τῶν ζώων. ⁸ Φύσιες πάντων ἀδίδακτοι. ⁹ Αἷμα ἀλλότριον ὠφέλιμον· αἷμα ἴδιον ὠφέλιμον. ¹⁰ Αἷμα ἀλλότριον βλαβερόν· αἷμα ἴδιον βλαβερόν. ¹¹ Χυμοὶ ἴδιοι βλαβεροί· χυμοὶ ἀλλότριοι βλαβεροί. ¹² Χυμοὶ ἀλλότριοι ξυμφέροντες· χυμοὶ ἴδιοι ξυμφέροντες. ¹³ Τὸ ξύμφωνον διάφωνον· τὸ διάφωνον ξύμφωνον. ¹⁴ Γάλα ἀλλότριον ἀστεῖον· γάλα ἴδιον βλαβερόν. ¹⁵ Γάλα ἀλλότριον βλαβερόν· γάλα ἴδιον ὠφέλιμον.

IX. Σιτίον, νέοισιν ἀκροσαπὲς, γέρουσι δὲ ἐς τέλος μεταβεβλημένον, ἀκμάζουσιν ἀμετάβλητον. ² Ἐς τύπωσιν τριήκοντα πέντε ἥλιοι, ἐς κίνησιν ἑβδομήκοντα, ἐς τελειότητα διηκόσιοι καὶ δέκα. ³ Ἄλλοι φασὶν ἐς μορφὴν τεσσαράκοντα πέντε, ἐς κίνησιν ἑβδομήκοντα ἕξ, ἐς ἔξοδον διηκόσιοι καὶ δέκα. ⁴ Ἄλλοι πεντήκοντα ἐς ἰδέην, ἐς πρῶτον ἅλμα ἑκατὸν, ἐς τελειότητα τριακόσιοι. ⁵ Ἄλλοι ἐς διάκρισιν τεσσαράκοντα, ἐς μετάβασιν ὀγδοήκοντα, ἐς ἔκπτωσιν διηκόσιοι καὶ τεσσαράκοντα. ⁶ Οὐκ ἔστι καὶ ἔστι. ⁷ Γίνεται γὰρ ἐν τούτοισι καὶ πλείω καὶ ἐλάσσω, ⁸ καὶ ὅλον καὶ κατὰ μέρος. ⁹ Οὐ πολλὸν δὲ πλείω ἢ ἐλάσσω,

lior in omnibus. ³ Magna res est quantitas ad vires solerti ratiocinatione adaptata. ⁴ Lac & sanguis alimenti sunt redundantia. ⁵ Circuitus ad multa consoni sunt, ad foetum ejusque alimentum. ⁶ Rursus autem sursum repit in lac, & in alimentum, & ad infantem. ⁷ Vivificantur non animalia; vivificantur animalia, vivificantur partes animalium. ⁸ Naturæ omnium nullo doctore usæ sunt. ⁹ Sanguis alienus utilis, sanguis proprius utilis. ¹⁰ Sanguis alienus nocivus, sanguis proprius nocivus. ¹¹ Humores proprii nocivi, humores alieni nocivi. ¹² Humores alieni conducibiles, humores proprii conducibiles. ¹³ Consonans dissonans est. Dissonans consonans est. ¹⁴ Lac alienum bonum, lac proprium nocivum. ¹⁵ Lac alienum nocivum, lac proprium commodum.

IX. Cibus juvenibus facile ac leviter putrefactus: senibus vero ad summum transmutatus: his qui in vigore ætatis consistunt impermutabilis. ² Ad figurationem, soles triginta quinque: ad motum, septuaginta: ad perfectionem, ducenti & decem. ³ Alii tradunt: ad formam, quadraginta quinque: ad motum, septuaginta sex: ad exitum, ducenti & decem. ⁴ Alii sic: ad formam, quinquaginta: ad primum saltum, centum: ad perfectionem, trecenti. ⁵ Alii sic: ad discriminationem, quadraginta; ad transitum, octoginta: ad elapsum, ducenti quadraginta. ⁶ Non est; & est. ⁷ Gignuntur autem in his & plures & pauciores, ⁸ secundum totum, & secundum partes. ⁹ Non multo autem plures aut pauciores;

σαι. [10] τὰ δὲ ἐλάσσω τοσαῦτα, καὶ ὅσα ἄλλα τούτοισιν ὅμοια.

X. Ὀστέων τροφὴ ἐκ κατήξιος· [2] ῥινὶ δὶς πέντε· [3] γνάθῳ, καὶ κληῖδι, καὶ πλευρῇσι, διπλάσιαι· [4] πήχει τριπλάσιαι, [5] κνήμῃ καὶ βραχίονι τετραπλάσιαι· [6] μηρῷ πενταπλάσιαι· [7] καὶ εἴ τι ἐν τούτοισι δύναται πλέον ἢ ἔλασσον. [8] αἷμα ὑγρὸν, καὶ αἷμα στερεόν. [9] αἷμα ὑγρὸν ἀστεῖον· αἷμα στερεὸν φλαῦρον. [10] πρός τι πάντα, φλαῦρα καὶ ἀστεῖα. [11] ὁδὸς, ἄνω, κάτω, μία. [12] δύναμις τροφῆς κρέσσων ἢ ὄγκος· ὄγκος τροφῆς κρέσσων ἢ δύναμις· [13] καὶ ἐν ὑγροῖσι καὶ ἐν ξηροῖσιν. [14] ἀφαιρεῖ καὶ προστίθησι τὸ αὐτό. τῷ μὲν ἀφαιρεῖ, τῷ δὲ προστίθησι τὸ αὐτό. [15] φλεβῶν διασφύξιες καὶ ἀναπνοὴ πνεύματος καθ' ἡλικίην καὶ ξύμφωνα καὶ διάφωνα· [16] καὶ νούσου καὶ ὑγείης σημήϊα· [17] καὶ ὑγείης μᾶλλον ἢ νούσου, καὶ νούσου μᾶλλον ἢ ὑγείης.

XI. Τροφὴ γὰρ καὶ πνεῦμα. [2] ὑγρὴ τροφὴ εὐμετάβλητος μᾶλλον ἢ ξηρή· [3] ξηρὴ τροφὴ εὐμετάβλητος μᾶλλον ἢ ὑγρή. [4] ἡ δυσαλλοίωτος, δυσεξανάλωτος· ἡ εὐπρόσθετος, εὐεξανάλωτος. [5] καὶ ὁκόσοι ταχείης προσθέσιος δέονται, ὑγρὸν ἴημα ἐς ἀνάληψιν δυνάμιος κράτιστον. [6] ὁκόσοι δὲ ἔτι ταχυτέρης, δι' ὀσφρήσιος. [7] ὁκόσοι δὲ βραδυτέρης προσθέσιος δέονται, στερεὴ τροφή. [8] μύες στερεώτεροι, δυστηκτότεροι τῶν ἄλλων, πλὴν ὀστέου καὶ νεύρου.

XII. Δυσμετάβλητα τὰ γεγυμνασμένα κατὰ γένος αὐτὰ αὐτῶν ἰσχυρότερα τοῦ ἔθεος· [2] διὰ τοῦτο

ciores: [10] pauciores vero tot, & quæcunque alia his similia.

X. Ossium alimentum ex confractione. [2] Naso bis quinque. [3] Maxilla & claviculæ, & costis duplicia: [4] cubito triplicia. [5] Tibiæ & brachio quadruplicia: [6] femori quintuplicia. [7] Et si quod in his plus aut minus potest. [8] Sanguis humidus, & sanguis solidus. [9] Sanguis humidus, bonus: sanguis solidus, malus. [10] Ad aliquid omnia mala & bona sunt. [11] Via sursum deorsum una. [12] Potentia alimenti melior quam moles. Moles alimenti melior quam potentia. [13] Et in humidis & in siccis [14] detrahit & apponit idem: & alteri quidem aufert, alteri vero apponit idem. [15] Venarum pulsationes, & respiratio spiritus, juxta ætatem, & consonantia & dissonantia sunt, [16] & morbi & sanitatis signa: [17] & sanitatis magis quam morbi, & morbi magis quam sanitatis.

XI. Alimentum enim etiam spiritus est. [2] Humidum alimentum facilius transmutatur quam siccum. [3] Siccum alimentum facilius transmutatur quam humidum. [4] Alimentum quod ægre alteratur, ægre consumitur. Quod facile apponitur, facile consumitur. [5] Et quicunque veloci appositione opus habent, his humidum ad reficiendas vires medicamen optimum. [6] Quicunque vero adhuc velociori indigent, per olfactum. [7] Qui autem tardiore appositione opus habent, solido alimento utantur. [8] Musculi solidiores ægre magis quam alia colliquescunt, excepto osse & nervo.

XII. Quæ denudata sunt, ægre transmutantur, & secundum genus ipsa seipsis fortiora sunt quam pro reipsa. [2] propterea ipsa

τοῦτο αὐτὰ ἑωυτῶν δυστηκτότερα. ³ πύον τὸ ἐκ σαρκὸς, πυῶδες τὸ ἐξ αἵματος, καὶ ἐξ ἄλλης ὑγρασίης. ⁴ πύον, τροφὴ ἕλκεος. ⁵ πύον, τροφὴ φλεβὸς, ἀρτηρίης. ⁶ μυελὸς, 5 τροφὴ ὀστέου. ⁷ διὰ τοῦτο ἐπιπωροῦται. ⁸ δύναμις πάντα αὔξει, καὶ τρέφει, καὶ βλαστάνει. ⁹ ὑγρασίη, τροφῆς ὄχημα.

ipsa seipsis ægrius colliquescunt. ³ Pus ex carne, purulentum ex sanguine, & ex alia humiditate. ⁴ Pus ulceris alimentum. ⁵ Pus alimentum venæ, arteriæ. ⁶ Medulla alimentum ossis, ⁷ propterea callo obducuntur. ⁸ Facultas & potentia omnia auget & nutrit, & germinare facit. ⁹ Humiditas alimenti vehiculum est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΥΓΡΩΝ ΧΡΗΣΙΟΣ.

HIPPOCRATIS DE HUMIDORUM USU.

Basil. græc. Foesius sect. IV. 96. 424. Basil. lat.

ΥΔΩΡ ποτὸν, ἁλμυρὸν, θάλασσα. ² ποτὸν μὲν καὶ ἰητρεῖον κράτιστον. ³ καὶ γὰρ σιδηρέοισι καὶ χαλκέοισι κράτιστον. ⁴ καὶ φαρμάκοισι τοῖσι πλείστοισι παλαιουμένοισι κοινότατον. ⁵ ἐς δὲ χρῶτα γινώσκειν δεῖ, ὅτι τοῦτο ἢ τέγγει, ἢ ψύχει, ἢ θερμαίνει. ⁶ ἄλλως δὲ οὐδενὶ ὠφελέει ἢ βλάπτει ποτόν. ⁷ ὅπου ὀλίγω ποτοῦ σπόγγω χρέη, ἄριστον ὀφθαλμοῖσιν. ⁸ αὐτὸ τὸ δέρμα ἐφήλκωται θερμοῦ αἰονήσει. ⁹ πυρίη τοῦ σώματος ἅπαντος ἢ μέρεος. ¹⁰ δέρματος σκληροῦ μάλθαξις, ¹¹ ξυντεταμένου χάλασις, ¹² νεύρων πάρεσις, ¹³ σαρκῶν [ἀραίωσις, ¹⁴ χυμῶν] ἐκχύμωσις, ¹⁵ ἱδρῶτες ἄφοδος. ¹⁶ ὑγρῆναι, ἀποπλῦσαι, οἷον ῥῖνας, κύστιν. ¹⁷ φύσας σαρκῶσαι, ἀπαλῦναι, τῆξαι, μινυθῆσαι. ¹⁸ χροιὴν ἀνακαλέσαι, χροιὴν ἀποσκεδάσαι. ¹⁹ ὑπνικὸν καὶ κατὰ κεφαλῆς καὶ ἄλλων, σπασμῶν [καὶ] τετάνων παρηγορικόν. ²⁰ ὀδύνας κωφοῖ,

AQUA potabilis, salsuginosa, mare. ² Potabilis quidem in officina medica optima. ³ Nam & ferramentis & æramentis optima, ⁴ & medicamentis plurimis inveteratis communissima. ⁵ Verum ad corpus nosse oportet, quod hæc aut madefacit, aut frigefacit, aut calefacit. ⁶ Aliter vero nulli commodat, aut detrimento est potata. ⁷ Ubi modica potabili in spongia uteris, optimum oculis est. ⁸ Cutis ipsa superne exulceratur calidæ aspersione. ⁹ Fomentum corporis totius aut partis. ¹⁰ Cutis duræ mollitio, ¹¹ distentæ laxatio, ¹² nervorum, ¹³ carnium, ¹⁴ humorum sub cutem effusio, ¹⁵ sudoris secretio. ¹⁶ Humectare prolutione, velut nares, vesicam, ¹⁷ flatus. ¹ Incarnare, attenuare, liquefacere, minuere, ¹⁸ colorem revocare, colorem dispergere. ¹⁹ Somniferum & in caput, & in alia: convulsionum, tensionum, ²⁰ mitigativum dolores

κωφοῖ, ὦτα, ὀφθαλμοὺς καὶ ὅσα τοιαῦτα. [21] τὰ ψυχρὰ θερμαίνει, οἷον φῦσαι· [22] ἕλκεσιν, πλὴν τοῖσιν αἱμοῤῥαγέουσιν, ἢ μέλλουσι. [23] κατήγμασιν, ἐκπτώμασι, τοῖσιν ἄλλοισιν, οἷσιν αἱ ὀθόναι ἰητρός. [24] καρηβαρίῃ. [25] τὸ μέτριον ἑκάστῳ, μὴ πρόσω, οἷον μὲν βασανίζειν· [26] οἷον, τὸ θερμὸν τῷ χρωτὶ ἐξ ὑπερβολῆς ἐφ' ἑκάτερα. [27] ὡς ἀμφοῖν μὴ ἁμαρτάνῃ, σημαινόμενος τῇσι βλάβαις, ἢ οὐκ ὠφελείαις· οἷον χλιαροῦ. [28] δεῖ γὰρ τῇσι βλάβῃσιν, ἢ τῇσιν ὠφελείῃσιν, καὶ ὥστε, χρέεσθαι μέχρι τοῦ ὠφελέοντος ἢ μέχρι τοῦ βλάπτοντος.

II. Τέγξις μὲν οὖν, ἀσθενές· [2] ψύξις δὲ καὶ θάλψις, ἰσχυρόν. ὡς ἐξ ἡλίου. [3] τὸ δὲ ψυχρὸν, θερμὸν ἐὸν, ὡς ποτὸν ἀσθενέοντι. [4] ἀλλὰ τὸ μὲν θερμὸν, μὴ πρόσω καίειν. [5] κρίνει δ' αὐτός [6] πλὴν τοῖσιν ἀφώνοισιν, ἢ παραπληγικοῖσιν, ἢ νεναρκωμένοισιν, ἢ οἷα ἐπὶ τρώμασι καταψυχομένοισιν, ἢ ὑπεροδυνέουσι· [7] τούτοισι γὰρ ἀναισθησίη. [8] λάθοις γὰρ ἂν καταχαύσας. [9] καὶ τὰ ἐκπτώματα δὲ, τὰ βαθέα καὶ τὰ μεγάλα. [10] ἤδη καὶ πόδες ἀπέπεσον καταψυχθέντες ἐκ καταχύσιος θερμοῦ. [11] ἀλλὰ τούτοισιν ὁ τοῦ καταχέοντος χρὼς κριτής· καὶ ψυχροῦ δὲ ὡσαύτως. [12] τούτων δ' αὐτῶν τὸ ὀλίγον ἑκατέρου, ἀσθενές· τὸ δὲ πολὺ, ἰσχυρόν. [13] ἀλλὰ μὴν ἐᾶν, μέχρι γίνηται, οὗ ἕνεκα ποιέεται. [14] τὸ ἔσχατον προσποιέειν, πρὶν γενέσθαι.

III. Ταῦτα δὲ ἑκάτερον βλάπτει. [2] βλάπτει δὲ ταῦτα τὸ θερμὸν πλέον χρεομένοισι· σαρκῶν ἐκ-

stupefacit auris, oculorum, & quæcunque talia: [21] frigida calefacere, velut pix [22] ulceribus, præterquam à quibus sanguis erumpit, aut erupturus est, [23] fractis, luxatis, reliquis quibus linteola sunt medicus, [24] capitis gravitati. [25] Moderatio in unoquoque, ne ultra torqueamus: [26] velut calida corpori, ex excessu in utranque partem, [27] ut ab utraque non aberret, conjectatione ex detrimento, aut inutili facta, velut in tepida. [28] Oportet enim detrimentis aut utilitatibus etiam si sint uti, usque quo juvent, aut donec lædant.

II. Madefactio itaque & humectatio, debile quid est. [2] Frigefactio vero & calefactio, forte: velut ex sole. [3] Verum frigida calida existens, velut potabilis aqua, debile quid est. [4] Calida autem ne ulterius pergat, ut urat. [5] Judicat autem de his ipse ægrotus, [6] exceptis mutis, aut leviter syderatis, aut stupefactis, aut velut in vulneribus perfrigeratis, aut nimio dolore vexatis: [7] his enim hæc sensu non percipiuntur. [8] Nam non sentiunt hi perusti. [9] Itemque profundæ ac magnæ luxationes. [10] Jam vero etiam pedes deciderunt perfrigerati, ex calidæ perfusione. [11] Sed his corpus perfusi judex est, similiter etiam frigidæ. [12] Harum aut utrarumque paucitas, debile quid est; multitudo vero, forte: [13] veruntamen sinere oportet, donec fiat id cujus gratia fiunt: [14] antea vero quam postremum fiat, cessandum est.

III. Harum porro utraque lædit: [2] & calida quidem amplius ea utentibus has læsiones

ἐκθήλυνσιν, νεύρων ἀκρασίην, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας. [3] ταῦτα ἐς θάνατον· [4] τὸ δὲ ψυχρὸν, σπασμοὺς, τετάνους, μελασμοὺς, ῥίγεα πυρετώδεα. [5] ἡ μὲν μετριότης ἐκ τούτων· [6] τὰ δὲ ἄλλα βλάπτει καὶ ὠφελεῖ τὰ εἰρημένα, ἡδονῇσι καὶ εὐφροσύνῃσι, ἢ ἀχθηδόσι καὶ δυσφροσύνῃσιν, [7] ὡς καθ' ἓν ἕκαστον αὐτῶν ὁμολογεῦσι φαίνονται ὑγιέες. [8] σῶμα τὸ μὲν ἐν σκέπῃ εἰθισμένον, ὅ, τι ἄηθες, ὅ, τι προσωτάτω τοῦ οἰκείου θάλπεος, ἐγγυτάτω δὲ τοῦ ἀλλοτρίου ψύχεος, [9] διὰ ταῦτ' ἄρα τῷ θερμῷ ἥδεται, καὶ φέρειν δύναται.

IV. [1] Ἐγκέφαλος, καὶ ὅσα ἀπὸ τούτου, ψυχρῷ μὲν ἄχθεται, θερμῷ δὲ ἥδεται, [2] καὶ ἢν ἄρα ἢ ψυχρότερον καὶ στερεώτερον φύσει, [3] καὶ πορρωτάτω τοῦ οἰκείου θάλπεος καὶ πλεῖστα αὐτῶν. [4] διὰ τοῦτο ὀστέοισιν, ὀδοῦσι, νεύροισι, τὸ ψυχρὸν πολέμιον, τὸ δὲ θερμὸν φίλιον· [5] ὅτι ἀπὸ τούτων σπασμοὶ, τέτανοι, ῥίγεα πυρετώδεα· [6] ἃ, τὸ μὲν ψυχρὸν ποιέει, τὸ δὲ θερμὸν παύει. [7] διὰ τοῦτο καὶ ἀπὸ τοῦ θερμοῦ ἡδοναὶ καὶ προσκλήσιες, ἀπὸ δὲ τοῦ ψυχροῦ ἀλγηδόνες καὶ ἀποτρέψιες. [8] διὰ τοῦτο ὀσφὺς, στῆθος, νῶτον, ὑποχόνδρια, μᾶλλον ψυχρῷ ἄχθεται, θερμῷ δὲ ἥδεται καὶ φέρειν δύναται. [9] διὰ τοῦτ' ἄρα ὀσφὺς, νῶτον, στῆθος, ὑποχόνδρια, τὰ ἐναντία πέπονθεν, ὅτι ἐναντία. [10] διὰ τοῦτ' ἄρα τούτῳ τῷ χωρίῳ ἀσώδεος ἐνταῦθα γενομένοισι τῷ θερμῷ, τὸ δὲ ψυχρὸν παύει. [11] διὰ τοῦτ' ἄρα πιτῷ ψυχρῷ ἥδεται. [12] διὰ τοῦτ' ἄρα βρώμασι τοῖσι θερμοῖσιν ἥδεται. [13] διὰ τοῦτ' ἄρα καὶ κατὰ ἀκρέων ἐν λειποθυμίῃσι τὸ

inducit, carnium effœminationem, nervorum debilitatem, mentis stuporem, [2] sanguinis eruptiones, animi deliquia: [3] hæc ad mortem. [4] Frigida vero convulsiones, tensiones, nigrores, rigores, febriles. [5] Mediocritas quidem extra noxam est. [6] Reliqua vero lædunt ac prosunt, velut relatum est. Voluptatibus, & jucunditatibus, & doloribus ac molestiis, [7] prout singula ex ipsis conveniunt, ita sani apparent. [8] Corpus tegi ac velari adsuetum, quicquid insuetum est, quicquid longissime à familiari calore abest, & peregrino frigori propinquissimum, id ipsum aversatur: [9] & propterea sane calida gaudet, & ferre potest.

IV. Cerebrum & quæ ab hoc oriuntur, frigida quidem tristantur, calida vero gaudent, [2] si sane frigidius & solidius à natura fuerit. [4] Propterea ossibus, dentibus, nervis frigida inimica, calida vero amica: [5] quia ab illa convulsiones, tensiones, rigores febriles, [6] quæ sane frigida facit, calida vero sedat. [7] Ob id etiam à calida voluptates, & illecebræ, à frigida vero dolores & aversationes. [8] Ideoque spina, pectus, dorsum, præcordia, magis frigida aggravantur, calida vero gaudent, & ferre ipsam possunt: [9] propterea sane spina, pectus, dorsum, præcordia, contraria perpessi sunt, quia sunt contraria. [10] Propterea sane in hoc loco anxietatem ex calida obortam, frigida sedat: [11] propterea sane frigidæ potu gaudet: [12] propterea sane cibis calidis delectatur: [13] propterea sane & in animi deliquiis frigidam extre-

τὸ ψυχρὸν καταχεόμενον ὠφελέει.

V. Ὅτι δὲ τὰ ὄπισθεν τῶν ἔμπροσθεν τὸ θερμὸν μᾶλλον ἀνέχεται, τὰ εἰρημένα αἴτια. [2] ὅτι δὲ καὶ τὰ ψυχρὰ ὀρθῶς [3] [ἀνέχεται] τά τε ἄκρεα, [καὶ τὰ] ἔμπροσθεν, καὶ [τὰ] οὐκ ἐν σκέπῃ εἰθισμένα. [4] ὥσπερ τὸ ἔνδον τοῦ ἔξω. [5] μνηστέον δὲ καὶ ὅτι ἑκάτερον ἐφ' ἑκατέρου τοῦ σώματος κρέσσον. [6] τοῦ δέρματος τοῦ ἔσω, ὅτι συνεχές τε ἑωυτῷ καὶ νεύρῳ ἐναίμῳ, διὰ τὸ ἔξω τοῦ οἰκείου θερμοῦ ἐν τῷ ἔξω ψυχρῷ εἶναι, ἐπ' ἀμφοῖν πυκνὰ κρατέεται, καὶ ἑκατέρων πυκνὰ δέεται· [7] πυκνὰ δὲ μᾶλλον θερμοῦ ἐς ἡδονήν. [8] πάσχει δὲ καὶ ἄκρεα τοιοῦτο, ὥστε ταχέως ἐπαισθέειν πολλῶν, βραδέως δὲ πρῶτον ἐπαείρεται. [9] καὶ φλεβῶν δῆλον αἱ πρότερον καὶ ὕστερον. [10] οὕτως πάντα φαίνεται, ὅκου τε ψύχεται ἄκρεα, ὅκου τε θερμαίνεται. [11] ἐν κενεαγγείῃσιν, ἐν λειποθυμίῃσι, καὶ κατὰ λόγον. [12] εἰκότως ἄρα φλέβας καὶ τὰ ἀπὸ τουτέων ἕπεται, καὶ θερμαίνει πρῶτον τὸ θερμὸν, οἷον τῶν χειρῶν τὰ εἴσω. [13] τὰ δὲ ἕλκεα θερμῷ ἥδεται ὁμολογουμένως, ὅτι ἐν σκέπῃ εἴθισται. [14] εἰκότως ἄρα τῷ ἑτέρῳ ἄχθεται. [15] εἰκότως ἄρα καὶ αὗται αἱ φλέβες, ὅτι ἐν θερμῷ εἰσιν. [16] εἰκότως ἄρα καὶ αὐτὸς ὁ θώρηξ, καὶ αὐτὴ ἡ κοιλίη, κρατεομένη ὑπὸ τοῦ ψυχροῦ, μάλιστα ἀγανακτέει καὶ θανατοῖ, ὅτι μάλιστα ἀήθεα, καὶ πλεῖστον ἀπέχει τοῦ παθεῖν. [17] τοῦτο γὰρ ἐγγύτατα τοῦτο τὸ δεῖσθαι. [18] εἰκότως ἄρα πόσει ψυχροῦ ἥδεται. [19] οὕτω ὁμολογέει

mis partibus affundere prodest.

V. Quod autem posteriores partes calidam magis sufferunt quam anteriores, quæ relata sunt in causa sunt. [2] Quod vero etiam frigidæ, recte habet. [3] Nam & extremæ partes anteriores sunt, & tegi non adsuetæ: [4] velut etiam interna pars se habet ad externam. [5] Cogitandum autem quod utraque in unoquoque corpore potior est [6] externa cute, quæ & sibiipsi, & nervo sanguineo continua ac cohærens, eo quod extra proprium calorem, in externo frigore est, ab utrisque frequenter superatur, & utrisque frequenter opus habet, [7] frequentius autem calida ad voluptatem. [8] Perpetiuntur autem & extremæ partes tale quid, quare cito multa percipiunt, tarde autem primum attolluntur. [9] Et venæ quoque aliæ prius, aliæ posterius. [10] Atque sic omnia apparent, & ubi frigesiunt extremæ partes, & ubi calefiunt, [11] in vasorum evacuationibus, in animi deliquiis. Et juxta rationem [12] merito etiam venas sequuntur, ea quæ ab his eveniunt. Et calefacit primum calida, velut in manibus, internas partes. [13] At ulcera calida gaudent ex confesso, quia tegi adsueta sunt. [14] Merito itaque ex altera gravatur. [15] Merito igitur & ipsæ venæ, quia sunt in calido. [16] Merito etiam ipse thorax, & ventriculus ipse à frigida superatus, moleste fert, & mortem minatur, quia maxime desuetus est. Verum plurimum abest ab eo ut patiatur: [17] propinquissima autem inter se sunt, egere & pati. [18] Merito igitur frigidæ potu delectatur. [19] Et sic consentiunt

γὰρ ταῦτα πάντα. [20] ἔτι δὲ μάλιστα πάντα τὰ ἀποσυρόμενα καὶ τὰ ἐπικαιόμενα ἐπιπολῆς, οὐ μάλιστα ἐθισθέντα ἐν σκέπῃ, μάλιστα ἐν ψυχρῷ ἀγανακτεῖ, εἰκότως· [21] τάχιστα γὰρ κρατέεται. [22] καὶ τὰ βαθύτατα, εἰ κρατοῖτο, μάλιστ' ἂν ἄχθοιτο. [23] ἔπειτα καὶ τῆς φύσιος τῆς νευρώδεος μετέχει.

VI. Ὅτι ὑπογάστριον ἥδεσθαι δοκέει θερμῷ, [1] σκεπτέον τὸ χωρίον. [2] καὶ μετέχει [σκέπης] [2] καὶ ἔσχατα, καὶ κύστις, καὶ γονή. [3] καὶ ἄλλως [3] γόνος ὁ γυμνὸς ἐστὶ τῇ φύσει ψυχρότερος, ἢ ὥς τις οἴεται. [4] ἄνω γάρ, οὐ κάτω, θερμὸν ἀΐσσει. [5] διὰ ταῦτα ἥδεται, ὅτι μετὰ τὸ θερμὸν ψύχεται τὸ σῶμα διὰ ψυχθὲν μᾶλλον, μετὰ δὲ τὸ ψυχρὸν ἀναθερμαίνεται μᾶλλον συστελέν. [6] οἷον καὶ τὰ ὕδατα ψυκτέα, θερμαντέα, διὰ λεπτότητα, [7] [7] ὅτι μετὰ τὸ θερμὸν σκληρύνεται μᾶλλον ἐπιξηρανθέν· [8] οἷον ὀφθαλμοὶ μετὰ τὸ ψυχρόν. [9] τὸ μὲν γὰρ ὅμοιον τῷ περιέχοντι, τὸ δὲ οὔ.

VII. Θάλασσα δὲ τοῖσι κνησμώδεσι καὶ δακνώδεσι, καὶ [1] λούειν καὶ πυριῆν θερμῇ. [2] τοῖσι μὲν [τοι] ἀήθεσιν [2] ὑπολυμαίνονται. [3] πρὸς ἕλκεα δὲ πυρίκαυτα, καὶ ἀποσυρόμενα, καὶ ὅσα τοιαῦτα, πολέμιον. [4] ἐπιτήδειον δὲ τοῖσι καθαροῖσιν. [5] ἀγαθὸν καὶ ἰσχναίνειν δεῖ ὡς τὰ τῶν ἁλιέων ἕλκεα. [6] ταῦτα γὰρ οὐδ' ἐκπυεῖ, ἢν μὴ ψαύῃ. [7] [7] καὶ πρὸς ὑποδερματίδας. [8] καὶ τὰ νεμόμενα παύει καὶ ἵστησιν, ὡς ἅλες, καὶ ἁλμυρίδες, καὶ λίτρον. [9] πάντα δὲ ταῦτα σμικρῷ μὲν χρεωμένῳ ἐρεθιστικά· [10] πρὸς νικῶντα δὲ ἀγαθά,

sentiunt inter se omnia hæc. [20] Quod vero omnia desquamata & ambusta in superficie, non valde tegi adsueta, maxime frigidam moleste ferunt, par est. [21] Citissime enim superantur. [22] Et [1] profundissima si superentur, maxime utique graventur: [23] deinde etiam natura nervosa participant.

VI. Quoniam imus venter calida delectari videtur, considerandus locus est: [2] & postea extremæ partes, & vesica, & genitales partes: [3] & virilis membri glans natura frigidior est, quam quis putat. [4] Sursum enim non deorsum exilit caliditas: [5] & propterea calida delectatur. Considerandum etiam, quod post calidam frigescit corpus [1] magis perfrigeratum: post frigidam vero recalescit magis contractum: [6] velut etiam aquæ frigefaciendæ & calefaciendæ sunt, propter tenuitatem: [7] Et quod post calidam durescit corpus magis resiccatum, [8] velut oculi post frigidam. [9] Altera enim similis est aeri ambienti, altera non.

VII. Mare pruriginosis, & qui ab acribus humoribus vellicantur prodest, ut & lavent, & foveant ex calido. [2] Qui vero non adsueti sunt, aliquantum læduntur. [3] [1] Verum ad ulcera, & ambusta, ac desquamata, & quæcunque talia, contrarium est. [4] Aptum est autem puris. [5] Bonum est & ad attenuandum, & ad piscatorum ulcera. [6] Hæc enim neque suppurantur, si non vellices: [7] & ad ulcera cuniculosa, [8] & depascentia prohibendo sedat, ac sistit, velut sal, falsugo, nitrum. [9] Omnia autem hæc si quis parum utatur, irritant: [10] si excellenter, bona sunt.

γαθέ. [17] βέλτιον δὲ θερμὴ πρὸς τὰ πλεῖστα.

VIII. Ὄξος [1] δὲ χροῒ μὲν καὶ ἄρθροισι παραπλήσιον θαλάσσῃ, καὶ δυνατώτερον, καταχέειν, καὶ πυριῆν. [2] καὶ ἕλκεσι τοῖσι νεοτρώτοισι, [3] θρόμβοισιν, [4] ἐν μελασμοῖσιν αἰδοίων, [5] κλύσις ὠτίων ἢ καὶ ὀδόντων. [6] θερμῷ δὲ ταῦτα, τά τε ἄλλα, [7] καὶ τῇ ὥρῃ ξυντεκμαίρεσθαι. [8] ἐκτήκει ὥσπερ ἅλες καὶ πρὸς ἄλλα δὲ ὅσα λειχῆσιν, λέπρῃσιν, ἀλφοῖσι, παχυνθὲν ἐν ἡλίῳ θερμῷ. [9] μάλιστα δὲ ὄνυξι λεπρώδεσι. [10] κρατέει γὰρ μετὰ χρόνον. [11] μυρμηκίας ἀπολεαίνει, [12] καὶ τὰς ἐν ὠσὶν ἰῆται ῥύπους. [13] μαλάσσει δὲ καὶ χρῶτα. [14] πολλαχῇ δὲ καὶ ἄλλῃ, εἰ μὴ ὀδμὴ ἔβλαπτε καὶ μάλιστα γυναῖκας. [15] ἐθελήσει δὲ καὶ ποδάγρῃ, εἰ μὴ ὁ χρὼς ἐπιτρώσκεται. [16] ταῦτα καὶ τρὺξ ὄξεος ποιέει.

IX. Οἶνος δὲ γλυκὺς, ὅσα χρόνια τρώματα, συνεχέως χρωμένῳ αὐταρκής. [2] ἀτὰρ καὶ ἐς φαρμακοποσίην. [3] αὐστηρὸς δὲ ὁ λευκὸς καὶ μέλας οἶνος ψυχρὸς ἐπὶ τὰ ἕλκεα ἐνδέχεται. [4] ψυχρὸς, διὰ τὴν θέρμην. [5] εἴρια δὲ, ὅσα μὲν ψύξιος εἵνεκα, ἢ καταχέεται, ἢ ἐνδέεται, ἢ ἐμβάπτεται, ὡς ὕδωρ ψυχρότατον. [6] ὅσα δὲ στύψιος, ὁ μέλας οἶνος καὶ εἴρια καταῤῥαίνει· οἷον καὶ φύλλα τεύτλων, ἢ ὀθόνια βάπτεται ἐπὶ τὰ πλεῖστα. [7] ὅσα δ' ἔνι στύψις, οἷον κισσοῦ φύλλα τοῦ λευκοῦ. [8] καὶ ὅσα στρυφνότερα, ἢ ψαθυρώτερα, οἷον κισσός τε καὶ βάτος, ῥοῦς σκυτοδεψικὴ, ἐλελίσφακος. [9] καὶ ὅσα μαλθάσσειν δεῖ, οἷον ἄλητον ἑφθόν.

X. Τὸ

sunt. [17] Melius autem est calidum ad plurima.

VIII. Acetum [1] ad corpus & articulos, simile est mari, & potentius, ad perfundendum & ad fomentum: [2] & ad ulcera recens vulneratis, [3] & ad sanguinis grumos, [4] ubi nigredines sunt in pudendis, [5] collutio est ad aures, & ad dentes. [6] Calido autem hæc fiunt, & alia, [7] sed & ex tempore conjecturam facere oportet. [8] Eliquat velut sal, & ut alia quæ impetigini, lepris ac vitiliginibus conducunt, affusum ad calidum solem: [9] maxime vero conducit unguibus leprosis. [10] Superat enim post tempus: [11] verrucas formicarias attenuat, [12] & sordes in auribus sanat. [13] Mollit autem & corpus, [14] & multos alios locos, si non odor offenderet, & maxime mulieres. [15] Valuerit & ad podagram, si non corpus vulneraretur. [16] Eadem etiam fex aceti facit.

IX. Vinum dulce ad diuturna vulnera commodum est assidue utenti. [2] Sed & ad medicamentorum potionem. [3] Austerum autem & album, & nigrum vinum, frigidum ad ulcera commodum est, [4] frigidum propter caliditatem. [5] Lanæ quæ frigiditatis gratia, aut perfunduntur, aut induuntur, aut intinguntur, aquam frigidissimam postulant. [6] Quæ vero adstrictionis gratia, vinum nigrum etiam lanas aspergere potest, velut etiam betarum folia, aut linteola intinguntur, in plurima [7] quibus adstrictio inest, velut sunt hederæ albæ folia, [8] & quæ acerbiora sunt, aut friabiliora, velut hedera & rubus, rhus coriarius, salvia: [9] & in ea quæ mollire oportet, velut farina cocta.

X. Aqua

x. Τὸ ψυχρὸν ὠφελέει τὰ ἐρυθρὰ, οἷα ἄλλη καὶ ἄλλη ἐκθύει ὑποπλάτη, [2] οἷα δὲ τὰς σπλῆνας ἐξέρυθρα ἀνίσχουσιν. [3] ἐν σαρκώδεσι δὲ καὶ ἁπαλοσάρκοισιν ὑπέρυθρα. [4] μέλασι δὲ καὶ οἷα στρογγύλα ἐόντα, [5] δοθιῆνας λέγουσι, [6] καὶ ἐν αὐτῇσι τῇσι θερμολουσίῃσιν ἀνιστάμενα, [7] καὶ γυναιξὶν ἐκ γυναικείων ἀναδρομῆς ὑπὸ χρῶτα, [8] καὶ ὑπὸ ἐρεθισμῶν δέρματος, [9] ἢ ἱματίων τρηχέων ἀήθει φορῇ, [10] καὶ ἐξ ἱδρώτων ἐξόδου, [11] ἢ ἐκ ψύχεος ἐξαίφνης πρὸς πῦρ ἐλθόντι ἢ λουτρὰ θερμά. [12] ταῦτα ἢν ὕστερον ποιῇ, ἔτι ἀδυναμεῖ ἐκθύειν. [13] ἐπεὶ ὅσα γε ἐκ ψύχεος γίνεται, ἢ ὅσα τρηχύνεται κεγχρώδεα, εἶτα ἑλκοῦται, τὸ μὲν ψυχρὸν βλάπτει, τὸ δὲ θερμὸν ὠφελέει. [14] τὰ ἐν ἄρθροισιν οἰδήματα καὶ [ἀλγήματα] ἄτερ ἕλκεος, [καὶ] ποδαγρικὰ, καὶ σπάσματα, τούτων τὰ πλεῖστα τὸ ψυχρὸν πολλὸν καταχεόμενον ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην ναρκοῖ. [15] νάρκη δὲ μετρίη ὀδύνης λυτική.

XI. Καὶ τὸ θερμὸν ἰσχναίνει καὶ μαλθάσσει. [2] τοῖσι δὲ ποδαγρικοῖσι, παρέτοισι, τετάνοισι, σπασμοῖσι, τὰ τοιαῦτα. [3] συντάσιες, τρόμοι, παραπληγίαι, τὰ τοιαῦτα, χωλῶσι, [4] νάρκαι, ἀναυδίαι, τὰ τοιαῦτα. [5] κάτωθεν ἀπολήψιες. [6] φυλάσσεσθαι δὲ ἐν τῇ ψυχρῇ χρήσει, ψυχροῖσι χρεόμενος μᾶλλον, ἢ πλείονι. [7] τὰ δὲ ἐς τὰ ἄρθρα ἐσκληρυσμένα, ἢ ὑπὸ φλεγμονῆς ἐκ τε γιγνομένης, ἢ ἀσκύλης, συνέργα ἰᾶσθαι, ἐς ἀσκίον θερμὸν ἐγχέοντας, τὴν χεῖρα ἐμπαδῆσαι. [8] καὶ ὀμμάτων, δακρύα πηρησ-

x. Aqua frigida prodest papulis rubicundis, quales alia atque alia parte sublatæ erumpunt, [2] quales per splenia attractoria emergunt. [3] In carnosis vero & tenera carne præditis subrubicundæ sunt: [4] in nigris autem rotundæ, [5] dothienes hoc est furunculi appellati, [6] & quales in ipsis calidis lavacris oboriuntur, [7] & mulieribus ex mensium sub cutem recursu fiunt, [8] & ab irritamentis cutis, [9] aut insolita vestimentorum asperorum gestatione, [10] & ex sudoris exitu, [11] aut ubi quis ex frigore, derepente ad ignem, aut calida lavacra accessit. [12] Nam si hæc posterius fecerit, nequaquam amplius erumpunt. [13] Alioqui quæ ex frigore fiunt, aut quæ exasperantur instar milii, deinde exulcerantur, eas frigida lædit: calida vero prodest. [14] Tumores in articulis, & dolores sine ulcere, ac podagricos, & convulsa, plurima ex his frigida multa affusa levat ac extenuat, & dolorem torpefacit. [15] Torpor autem moderatus, dolorem solvit.

xi. Sed & calida aqua attenuat ac mollit. [2] Podagricis resolutis, ante ac retro distentis, convulsis, talia accedunt, [3] distentiones, tremores, leves siderationes: talibus laxatis, [4] claudicationes, torporis, vocis interceptiones, ad talia, [5] excretiones per infernas partes suppressæ. [6] Cavendum autem est in frigidæ usu, ne modum excedamus. [7] Articulos induratos, aut ab inflammatione aliquando oborta, aut a distortione, operæprecium est sanare, aqua calida in utriculum infusa. Manum deligare, [8] & oculos, lachrymas

ἐρυθηματικὸν καὶ ἀλέξφονται. πρὸς τὰ δριμέα λίπος ἐπιχέοντες, ὥστε μὴ ἅπτεσθαι τὸ ἁλμυρῶδες, [9] καὶ τοῖσι βοθρίοισι διάνιψις, καὶ πλήρωσις ἐς φύσιν ἄγουσι. [10] ὀφθαλμοῖσι θερμὸν, ὀδυνῇσιν, ἐμπυήσεσιν, δακρύων δακνωδέων ξηροῖσιν ἅπασι. [11] τὸ ψυχρὸν, ἀνωδυνοῖσιν, ἐξερυθροῖσι, [12] τοῖσί τε εἰθισμένοισι συστροφὰς κατὰ φλέβας ποιέειν, οἷα χοιραδώδεα, κατὰ θώρηκα καὶ ἄλλα σκληρά. [13] ἀρχῷ δὲ καὶ ὑστέρῃσιν οὐ πάνυ ἐνδέχεται, [14] [οὐδὲ] αἷμα ἐν ψύχει οὐρέουσιν. [15] ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, ὀδυνώδεα ἀνεκπύητα ποιέει, πελιαίνει, μελαίνει, ῥίγεα πυρετώδεα, σπασμοὺς, τετάνους. [16] ἔστι δὲ ὅκου ἐπὶ τετάνῳ ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις θέρμης ἐπανάκλησιν ποιέει. [17] θέρμη δὲ ταῦτα ῥύεται. [18] τὸ θερμὸν ἐκπυητικὸν, οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφαλείην. [19] δέρμα μαλθάσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων, σπασμῶν, τετάνων παρηγορικόν. [20] τὴν δὲ ἐν κεφαλῇ καρηβαρίην λύει. [21] πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι, μᾶλλον δὲ τοῖσιν ἐψιλωμένοισι. [22] τούτων δὲ μάλιστα τοῖσιν ἐν κεφαλῇ τρώμασιν ἑκουσίοισι καὶ ἀκουσίοισιν. [23] καὶ ὁκόσα ὑπὸ ψύχεος ἢ θνήσκει ἢ ἑλκοῦται. [24] ἐπὶ ἑλκώμασι δὲ ἑκουσίοισί τε καὶ ἀκουσίοισιν. [25] οἷσιν ἀποσύρματα, ἕρπησιν ἐσθιομένοισι, μελαινομένοισιν, ἢ ἐν οὔλοισιν, ἢ ἐν ἀκοῇ, ἢ ἐν ἕδρῃ, ἢ [ἐν] ὑστέρῃ. [26] τὰ-

mas lenit, ita ut ad acres, stillamentum lene infundat quis, ut ne salsuginosa contactu lædat. [9] Et fossulis ulceribus oculorum elotio prodest, & repletio ad naturam reducens. [10] Calida oculis convenit, doloribus, suppurationibus, lachrymis mordacibus, siccis omnibus. [11] Frigida doloris exortibus, valde rubicundis, [12] & qui collectiones tuberculorum juxta venas habere solent, qualia sunt ulcuscula capitis manantia, circa thoracem, & alia dura. [13] Verum podici & utero, non valde commoda est, [14] neque sanguinem in frigore mingentibus. [15] Ulceribus quidem frigida mordax, cutem obdurat, dolorosa non suppurari facit, liquefacit, nigrefacit, rigores febriles facit, convulsiones, ante ac retro distentiones. [16] Quandoque vero in hac distentione, sine ulcere, juveni carnoso, media æstate, multæ frigidæ aquæ affusio, caloris revocationem facit. [17] Calor autem hæc solvit. [18] Calida suppuratoria est, non in omni ulcere, maximum signum ad securitatem, [19] cutem mollit, attenuat, dolorem eximit, rigores, convulsiones, ante ac retro distentiones lenit, [20] capitis gravitatem solvit, [21] plurimum autem conducit ossium fracturis, magis autem denudatis, [22] & ex his maxime his qui in capite ulcera habent, [23] & quæcunque præ frigore, aut moriuntur, aut ulcerantur; [24] itemque in ulcerationibus voluntariis ac involuntariis, [25] qualia sunt desquamata: herpetibus serpendo adedentibus, denigratis aut in gingivis, aut in aure, aut in sede, aut utero. [26] His

[26] τούτοισι πᾶσι τὸ [μὲν] θερμὸν φίλιον καὶ κρῖνον. [27] τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον. [28] πλὴν ὁκόσοισι αἱμοῤῥαγέειν ἐλπίς. [29] οὕτω καταχύσεσιν ὑγρῶν, ἐπιχρίσεσιν ἀλειπτῶν, ἐπιθέσεσι φύλλων ἢ ὀθονίων, καταπλάσεσιν, [30] ὁκόσοισι ἢ ψύξις ἢ θέρμη ὠφελέει ἢ βλάπτει.

[26] His omnibus calida amica est ac judicatoria. [27] Frigida vero inimica & occidens, [28] præterquam in quibus sanguinem fluxurum esse timor est. [29] Atque hoc modo utendum est liquidorum perfusionibus, inunctilium illitionibus, foliorum impositionibus, aut linteorum cataplasmatis, [30] quæcunque aut frigiditate, aut caliditate prosunt, aut nocent.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΦΑΡΜΑΚΩΝ.

HIPPOCRATIS DE PVRGANTIBVS.

Basil. græc. Foesius fine edit. ult. Basil. lat.

Τὰ περὶ φαρμάκων οὐχ, οἷα νομίζεται, ἐστί. [2] τῷ γὰρ αὐτῷ φαρμάκῳ καθαίρονται καὶ οὐ καθαίρονται. [3] ἔσθ' ὅτε δὲ ἄλλα καθαίρει, ἢ οἷα εἴωθε. [4] ἔσθ' ὅτε δὲ ὑπερκαθαίρει. [5] ἔστι δὲ ὅτε τὰ δέοντα ἐποίησεν. [6] ὥστε οὐχ οἷόν τε πεποιθότα τοῖσι φαρμάκοισιν, εἰκῆ διδόναι. [7] ὑπολαμβάνειν γὰρ χρὴ καὶ τὰ σιτία τὰ τρέφοντα ἡμᾶς, φάρμακα εἶναι, ἧσσον δὲ ἐκείνων. [8] οἱ γὰρ ἄνθρωποι ταῦτα ὀρθῶς μὲν σιτεόμενοι ὑγιαίνουσι· [9] μὴ ὀρθῶς δὲ, καθαίρονται μὲν ὥσπερ ἀπὸ τῶν εἰλικρινέων φαρμάκων· ἧσσον δὲ καὶ βραδύτερον τῶν εἰλικρινέων φαρμάκων. [10] δῆλον οὖν, ὅτι ἐστὶ καὶ ταῦτα φάρμακα. [11] ὅμως δὲ ταῦτα βραδύτερα, καὶ ξυνήθη ἐόντα ἡμῖν, ἑκάστην ἡμέραν ἐσιόντα ἐς τὸ σῶμα, εἰκῆ καὶ

MEDICAMENTORUM purgantium res non ita se habet, quemadmodum vulgo putatur. [2] Eodem enim medicamento purgantur & non purgantur. [3] Quandoque vero alia purgat quam quæ purgare solet: [4] aliquando nimium purgat: [5] aliquando ea quæ debet facit. [6] Quare fieri non potest ut quis medicamentis confisus, ea temere exhibeat. [7] Nam & cibos nos alentes, medicamenta esse putandum est, verum minus quam illa. [8] Homines enim qui his recte in cibo utuntur, sani sunt: qui non recte, ægrotant: [9] qui vero modum excedunt, purgantur quidem velut à sinceris medicamentis, verum minus & tardius quam à sinceris medicamentis. [10] Clarum igitur est, quod & hi medicamenta existunt. [11] At vero hi tardiores, qui & familiares nobis sunt, & quotidie in corpus ingrediuntur, si temere & negligenter exhi-

καὶ ἀμελῶς διδόμενα, ταράσσει τοὺς ἀνθρώπους, καὶ νοσοποιεῖ πως. [12] καὶ τὰ εἰλικρινέα καὶ τὰ ὀξέα, ἢν ἀμαθῶς καὶ ἀπεριεσκέπτως διδῷ τις, οὐ μάλα διαπρήξεσθαί τι ξύμφορον.

II. Χρὴ οὖν πρῶτον διδόναι τοῖσι μὲν χολώδεσιν, ὅ, τι χολὴν καθαίρει, [2] τοῖσι δὲ φλεγματώδεσιν, ὅ, τι φλέγμα, [3] τοῖσι δὲ ὑδρωπώδεσιν, ὅ, τι ὕδωρ, [4] τοῖσι δὲ μελαγχολώδεσιν, ὅ, τι μέλαιναν χολήν. [5] ἢν δὲ τούτων ἔξω καθαίρῃς, τὰ μὲν δέοντα οὐ καθαρεῖς· [6] τὰ δὲ μὴ δέοντα κενώσεις· [7] ὥστ' ἐς ἀμφότερα ἁμαρτάνειν.

III. Ὅταν οὖν μέλλῃς τινὶ φάρμακον διδόναι, ἤν τε κάτω, ἤν τε ἄνω, [2] ἐπερωτῆν αὐτὸν χρή, [3] εἰ δή τι ἔπιε φάρμακον, [4] καὶ πότερον ἡ κοιλίη ἐν τοῖσι κατωτερικοῖσι φαρμακείοισιν ὀξεῖα, καὶ ὑπακούει ταχέως, ἢ σκληρή. [5] καὶ ἢν φῇ ὀξεῖαν καὶ εὔλυτον εἶναι, μαλακωτέρων τε καὶ ἐλασσόνων τῶν φαρμάκων δέεται· [6] ἢν δὲ σκληρὴ ᾖ, ἰσχυροτέρων. [7] ὁ αὐτὸς δὲ τρόπος καὶ πρὸς τὰ ἀνωτερικά. [8] ἢν δὲ μηδέποτε φῇ, μήτε ἄνω, μήτε κάτω κεκαθάρθαι, ἢ πεπωκέναι φάρμακον, [9] ἐγγνωκέναι χρή, εἰ πρὸς τὰ ἐσιόντα ὑγιαίνοντι εὔλυτος ἡ κοιλίη πρὸς τὰ κάτω, ἢ εὔεμετος πρὸς τὰ ἄνω· [10] καὶ εἰ πρὸς τὴν πλησμονήν τινα ῥοώμενος, ἢ διάρροια ἐπεγένετο αὐτῷ. [11] ταῦτα πάντα ἐπερέσθαι χρή, ὡς ἂν θεραπεύῃς ὀρθῶς βελτίω. [12] αἰσχρὸν γὰρ ξυμφορὴ, φάρμακον διδόντα ἀνθρώπῳ, ἀποκτεῖναι.

IX. Ὁκόσοι μὲν οὖν ὑπὸ πυρετῶν ἰσχυρῶν λαμβάνονται, οὐ χρὴ τούτο-

exhibeantur, temere homines turbant, & quodammodo morbos inducunt. [12] Quin & sinceros & acidos cibos si quis citra delectum ac inconsiderate exhibeat, nihil commodi perficient.

II. Oportet igitur primum biliosis dare quod bilem purgat: [2] pituitosis quod pituitam: [3] hydropicis quod aquam: [4] atrabilariis quod bilem atram. [5] Si vero extra hæc purgaveris, quæ quidem purgari debent, non purgabis: [6] quæ vero non debent, ea evacuabis. [7] Quare in utranque partem peccabis.

III. Quum itaque pharmacum alicui dare voles, sive deorsum sive sursum purgans, [2] interrogare ipsum oportet, [3] an prius biberit medicamentum, [4] & an alvus ex deorsum purgantibus cita sit; & celeriter obediat, aut dura. [5] Et si citam ac facilem solutu esse dixerit, mollioribus & paucioribus medicamentis opus habet: [6] si vero dura fuerit, fortioribus indiget. [7] Idem modus in sursum purgantibus requiritur. [8] At si nunquam neque sursum, neque deorsum se purgatum esse dixerit, neque medicamentum bibisse, [9] cognoscere oportet an ad ea quæ sanus in corpus ingessit, alvus deorsum solutu facilis fuerit, aut sursum versus apposita ad vomitionem, [10] & an ad repletionem aliquam alvi profluvium ipsi successerit. [11] Hæc omnia interrogare oportet, quo recte consulere possis. [12] Turpis enim est calamitas, medicamento purgante dato hominem occidere.

IV. Quicunque igitur à febribus fortibus corripiuntur, his medi-

πυρέτοισι φάρμακα διδόναι καθαρτήρια, ἐς τ' ἂν μεθῇ ὁ πυρετός. 2 εἰ δὲ μή, μὴ ἐντὸς τεσσάρων καὶ δέκα ἡμερῶν. 3 θερμαὶ γὰρ αἵ τε σάρκες ἐοῦσαι αὐτέων καὶ αἱ κοιλίαι, ἀναλαμβάνουσι τὸ φάρμακον, καὶ ἀποκαθαίρονται οὐδέν. 4 καὶ τότε πυρετὸς γίνεται πλείων, καὶ τὸ χρῶμα ἐκτρέπεται, καὶ ἰκτερώδεες γίνονται. 5 κινηθείσης γὰρ τῆς χολῆς, καὶ μὴ καθαρθείσης, οὔτε ῥοφέειν θέλει, οὔτε πίνειν, ἀλλὰ πάντα βδελύσσεται, καὶ ὡς τὰ πολλὰ ἀπόλλυνται.

V. Ἢν δὲ κατέχῃ τὸ φάρμακον, τὸ μὲν πρὸ μέσου ἡμέρης οὐδὲν καθαίρεται· 2 ἐκ μέσου δὲ ἡμέρης καθαιρόμενος, ὑπέρινος γίνεται, καὶ ἀπόλλυται. 3 ἢν δὲ τούτων τῶν ἡμερέων περιγίνεται, καὶ ἅμα τῇ καθάρσει μεθῇ ὁ πυρετός, ὑγιὴς γίνεται. 4 οὐκοῦν οὐ χρὴ τοῖς ἰσχυροῖς τῶν πυρετῶν φάρμακα καθαρτήρια προσφέρειν· 5 ἀλλ' ἤν τι δέῃ, ὑποκλύζειν χρή, ὁποσάκις ἂν βούλῃ. 6 ἀκινδυνότερον γάρ. 7 κατὰ τὸν αὐτὸν λόγον, καὶ ἐν τῇ θερινῇ ὥρῃ, 8 [μάλιστα] ἀπὸ κυνὸς ἀνατολῆς ἡμέρας πεντήκοντα φυλάσσεσθαι χρή, καὶ μὴ διδόναι φάρμακον, 9 ἀλλὰ κλυσμοῖσι χρέεσθαι· 10 ὁ γὰρ αὐτὸς κίνδυνος.

medicamenta purgatoria dare non oportet, donec remiserit febris: 2 sin minus, saltem non intra quatuordecim dies. 3 Carnes enim ipsorum & ventres quum calidi sunt, medicamentum assumunt, & nihil depurgantur, 4 & febris major fit, & color evertitur, & morbi regii speciem præ se ferunt. 5 Commota enim bile, & non purgata, non sorbere vult æger neque bibere, sed omnia abominatur, & plerunque perit.

V. Si vero detinet medicamentum, ante meridiem nihil purgatur: 2 à meridie vero nimium purgatur, & perit. 3 At si hac die superstes maneat, & una cum purgatione remittat febris, sanus fit. 4 Quapropter in febribus vehementibus medicamenta purgatoria exhibere non oportet. 5 Verum si alicui opus fuerit, infusum per clysterem adhibere potes, quotiescunque volueris. 6 Hoc enim minoris periculi est. 7 Juxta eandem rationem etiam tempore æstatis, 8 à canis ortu, per dies quinquaginta vitare oportet, & non dare medicamentum, 9 sed infusis per clysterem uti. 10 Idem enim periculum imminet.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΕΛΛΕΒΟΡΙΣΜΟΥ.

HIPPOCRATIS DE VERATRI VSV.

Basil. græc. Foesius VIII. 20. 1287. Basil. lat.

Τοῖσι μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα πλείονι τροφῇ καὶ ἀναπαύσει. [2] ἐπὴν δὲ πίῃ [τις] ἐλλέβορον, πρὸς τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν ἢ πρὸς ὕπνους. [3] δηλοῖ δὲ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει. [4] ἐπὴν οὖν βούλῃ μᾶλλον ἄγειν ἐλλέβορον, κίνει τὰ σώματα. [5] ἐλλέβορος ἐπικίνδυνος τοῖς σάρκας ὑγιέας ἔχουσιν. [6] ὅσοι ἐν τῇσι φαρμακοποσίῃς μὴ διψῶσι, καθαιρόμενοι οὐ παύονται, πρὶν ἢ διψήσωσι. [7] σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον. [8] ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος, κακόν. [9] ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν, οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσιν· εἰ δὲ μὴ, τοὐναντίον. [10] ὡς δὲ ἔφην ἐν τῷ προγνωστικῷ, κάθαρσις δὲ δεῖ ἡ ἄνω ἐπ' ἀπυρέτω. ἀσιτίη, ἢ καρδιωγμὸς, ἢ σκοτόδινος, ἢ στόμα ἐπίπικρον, καθόλου τοῖς ὑπὲρ τῶν φρενῶν ὀδυνώμενοις. [11] ἡ δὲ κάτω, ὅπου χωρὶς πυρετοῦ στρόφος, ὀσφύος ὀδύνη, γουνάτων βάρος, καταμήνια δυσπερηνιῶντα, ὀδύναι ἐν τοῖς ὑπὸ τὸ διάφραγμα. [12] φυλάσσεσθαι δὲ ἐν τῇσι φαρμακοποσίῃς τοὺς ἀστείους τὸ σῶμα· μάλιστα δὲ τοὺς μέλανας, καὶ ὑποσάρκους,

His qui non facile sursum purgantur, ante potionem corpora præhumectare oportet uberiore alimento & quiete. [2] Ubi vero quis bibit veratrum, ad motus corporum magis ducere, quam ad somnos. [3] Declarat autem navigatio, quod motus corpora turbat. [4] Cum veratrum magis ducere voles, corpora moveto. [5] Veratrum periculosum est sanas carnes habentibus. [6] Quicunque in pharmacorum potionibus non sitiunt, dum purgantur, non cessant purgari prius quam sitierint. [7] Convulsio ex veratro, lethale. [8] In nimia purgatione, convulsio aut singultus succedens, malum. [9] In turbationibus ventris, & vomitibus spontaneis, siquidem qualia purgari oportet, purgentur, conducit, & leviter ferunt: sin minus, vice versa. [10] Quemadmodum autem in Prænotionibus dixi, purgatio sursum versus commodat ei, in quo sine febre est cibi fastidium, aut stomachi punctura, aut vertigo, aut os amarum, & in summa doloribus supra septum transversum: [11] at deorsum versus, ubi sine febre est tormen, lumborum dolor, genuum gravitas, menses ægre prodeuntes, dolores in partibus sub septo transverso. [12] Vitare vero oportet in pharmacorum potionibus eos, qui bona habent corpora, maxime autem nigros,

σάρκας, καὶ τοὺς ὑποξήρους τε καὶ ψελλοὺς, καὶ τραυλούς. 13 ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῆς νούσου, ὡς ἔφην ἐν τῷ περὶ πτισάνης, αὐτέως ἐπιχειρέουσι λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου, καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιρέουσιν· 14 οὐ γὰρ ξυνενδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος· 15 τὰ δὲ ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιέα ξυντήκουσι, 16 ἀσθενέος δὲ τοῦ σώματος γενομένου, τὸ νόσημα ἐπικρατέει, καὶ ἀνιήτως ἔχουσι. 17 ἐλλεβορίζειν δὲ χρὴ οἷς ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα. 18 μὴ διδόναι δὲ ἐπὶ ἐμπύων. 19 μὴ φαρμακεύειν τοὺς ἀχρόους, 20 τοὺς βραγχώδεας, 21 τοὺς σπληνώδεας, 22 τοὺς ἀναίμους, 23 τοὺς πνευματώδεας, καὶ ξηρὸν βήσσοντας, 24 διψώδεας, 25 φυσώδεας, 26 ἐντεταμένους ὑποχόνδρια 27 καὶ πλευρὰς 28 καὶ μετάφρενα, 29 τοὺς ἀποναρκωμένους, 30 καὶ ἀμαυρὸν βλέποντας, 31 καὶ οἷς ἦχοι τῶν ὤτων, 32 καὶ τῆς οὐρήθρας ἀκρατεῖς· 33 μηδὲ τοὺς ἰκτερώδεας, 34 ἢ κοιλίην ἀσθενέας, 35 ἢ αἱμορροώδεας, 36 ἢ ἐν ἐμφυσήμασιν ἐόντας. 37 ἢν δὲ φαρμακεῦσαι δοκέῃ, ἐλλεβόρῳ ἀσφαλὲς ἄνω καθαίρειν, κάτω δὲ μή. 38 κράτιστον δὲ τούτοις διαιτῶν. 39 ὡς δὲ ἔφην ἐν τῷ προῤῥητικῷ, μὴ φαρμακεύειν μηδὲ τοὺς ἐπανεμέοντας μέλανα, 40 ἀποσίτους, 41 καὶ παραφόρους, 42 καθεύδειν μικρὰ 43 ὀδυνώδεας, 44 ὄμμα θρασὺ κεκλιμένον ἔχοντας, 45 ἀποιδέοντας 46 σκοτώδεας,

nigros, & humida carne prædi-tos, sed & subsiccos, & balbos, ac blæsos. 13 Quicunque vero inflammata in principio morbi, velut in libello de Ptisana dixi, statim medicamento soluere aggrediuntur, hi de eo quidem, quod distentum est & inflammatum, nihil auferunt 14 (neque enim remittit qui crudus est affectus) 15 ea vero quæ morbo resistunt, & sana sunt, consumunt. 16 Corpore vero debili fiente, morbus superat, & immedicabile malum habent. 17 Cæterum veratrum his dare oportet, quibus de capite fluxus fertur. 18 Non autem dandum est pectore suppuratis. 19 Neque medicamenta danda sunt decoloratis, 20 raucosis, 21 lienosis, 22 exsanguibus, 23 spirituosis & siccum tussientibus, 24 siticulosis, 25 flatuosis, 26 & his qui præcordia, 27 & latera, 28 ac dorsum distenta habent, 29 & torpentibus, 30 & obscure videntibus, 31 & quibus aurium sonitus sunt, 32 & urinæ meatus impotentibus: 33 neque item morbo regio laborantibus, 34 aut ventre debilibus, 35 aut his qui sanguinis eruptiones, 36 aut tubercula habent. 37 Si vero medicandum esse videbitur, veratro securus sursum purga, deorsum vero non. 38 Optimum autem his est victus rationem constituere. Quemadmodum autem in Prædictionibus dixi, 39 non sunt medicamenta danda his qui nigra evomunt, 40 neque cibum aversantibus, 41 neque deliris 42 & parum dormientibus, 43 neque dolore vexatis, 44 neque visum temerarium inclinatum habentibus, 45 neque tumefactis, 46 neque vertigino-

δέοις, 47 ἀχρόοις, 48 μηδὲ τοὺς ἐν πυρετῷ καυματώδεας, 49 κατακεκλασμένους. 50 ὡς δ' ἔφην περὶ πτισάνης, σησαμοειδὲς ἄνω καθαίρει. 51 ἡ πόσις ἥμισυ δραχμῆς ἐν ὀξυμέλιτι τετριμμένον. 52 ξυμμίσγεται δὲ καὶ τοῖς ἐλλεβόροις τὸ τρίτον μέρος τῆς πόσιος, καὶ ἧσσον πνίγει. 53 καθαίρει δὲ καὶ τοὺς ἐν χρονίοις τεταρταίοις, 54 καὶ τοὺς ἐν λειπυριώδει πυρετῷ χρονίως, 55 καὶ ὧν οὐκ ἔστι δίψος, 56 μηδὲ ἀπόκρισις. 57 τούτους δὲ μὴ πρότερον τῶν τριῶν ἑβδομάδων. 58 ποτὲ δὲ καὶ πλευριτικούς, 59 καὶ εἰλεώδεις. 60 ὡς δ' ἔφην ἐν τοῖς περὶ γυναικείων, καθαίρειν καὶ ἢν αἱ μῆτραι καθάρσιος δέωνται.

132 sis, neque decoloratis, 48 neque his qui in febre æstuosi sunt 133 49 ac confracti. 50 Sicut autem de ptisana dixi, Sesamoides sursum purgat: 51 potio ejus est drachma dimidia in aceto mulso trita. 52 Commiscetur etiam veratris tertia potionis pars, & minus suffocat. 53 Purgat item 35 quartanas diuturnas, 54 & diuturna febri lipyria vexatos: 55 & eos, in quibus non est sitis, 56 neque excretio 57 (hos vero non ante tres hebdomadas) 58 aliquando etiam pleuriticos, 59 ac volvulosos. 60 Et sicut in Muliebribus morbis dixi, purgandum est etiam, si uteri purgatione opus habuerint.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΝΤΙΔΟΤΟΣ,

ἐκ τῆς τοῦ

ΑΚΤΟΥΑΡΙΟΥ

Θεραπευτικῆς μεθόδου Ε. ϛ'.

ΑΝΤΙΔΟΤΟΣ Ἱπποκράτους, ᾗ χρησάμενος Ἀθήνησιν ἐς λοιμικὴν νόσον ἐστεφανώθη παρ' αὐτῶν. 2 αὕτη ὠφελέει καὶ [ἐς] κεφαλαλγίας ἐπιχριομένη κατὰ τοῦ μετώπου δι' οἴνου, 3 ἐς ὠταλγίαν δι' ἐλαίου, κροκίδι ἐντεθεῖσα. 4 ὡσαύτως ἐς τὴν τῶν ὀδόντων στόματος διακρατουμένη. 5 δίδου δὲ αὐτὴν δι' ὑδρομέλιτος, καρύου ποντικοῦ τὸ μέγεθος. 6 βηχικοῖς, σπληνικοῖς, ἡπατικοῖς, αἷμα ἀναπτύουσι, λιθιῶσι, πλευριτικοῖς, κυάμου αἰγυπτίου τὸ μέγεθος

HIPPOCRATIS ANTIDOTVM,

ex

ACTVARII

Methodi medendi v. 6.

Corn. Henr. Mathisio interprete.

ANTIDOTUM Hippocratis, quo usus corona Athenis est donatus, 2 fronti ex vino illitum capitis dolorem mitigat, 3 & aurium dolori prodest, ex oleo vestium flocco injectum, 4 nec secus ore detentum, ejus dolorem sedat. 5 Dandum est autem ex hydromelite, nucis avellanæ magnitudine, 6 tussientibus, lienosis, jecinorosis, sanguinem exspuentibus, calculosis, laterum inflammationibus, ægyptiæ fabæ magnitudine,

θος, μεθ' ὀξυμέλιτος ἀκράτου κυάθων τριῶν. 7 ἰσχιαδικοῖς, ἐντεροπονοῦσι, θέρμου τὸ μέγεθος, ἐν γάλακτι [ἢ] ἀφεψήματι γλυκυσίδης, ἀπὸ πρώτης σελήνης μέχρι ἐσχάτης. 8 δαιμονιζομένοις καρύου ποντικοῦ τὸ μέγεθος ἐν γάλακτι ὀνείῳ. 9 τεταρταΐζουσι μεθ' ὀξυμέλιτος, ληγούσης τῆς σελήνης.

11. Καλάμου ἀρωματικοῦ, σχοινάνθης, βράθυος, ἀνὰ οὐγ. δ'. ἄγνου σπέρματος οὐγ. δ'. καρδαμώμου, κυπέρου, κροκομάγματος, ἀνὰ οὐγ. ε'. νάρδου κελτικῆς οὐγ. ς'. ἀσπαλάθου οὐγ. ζ'. [ἀμμωνιακοῦ οὐγ.] σφαιρῶν κυπαρίσσου οὐγ. γ'. ῥόδων οὐγ. γ'. λαδάνου, σμύρνης, λιβάνου, ἀνὰ λίτρ. α'. ἀρκευθίδος μικρᾶς μ'. ταῦτα ὁμοῦ κόπτε ἰδίᾳ. ναρδοστάχυος οὐγ. ς'. [κόστου οὐγ. γ'. φύλλου οὐγ. η'.] ἀμώμου οὐγ. γ'. καὶ ταῦτα ἰδίᾳ κόπτε. μαστίχης οὐγ. δ'. τοῦτο ἰδίᾳ ἐν θυείᾳ τρίβεται. στύρακος οὐγ. ι'. ὁ στύραξ κατὰ μικρὸν ἐπιβάλλεται] τοῖς τραγήμασιν ἐν τῇ θυείᾳ, τερεβινθίνης λίτ. κ'. μέλιτος ἀττικοῦ λίτ. ε'. οἴνου παλαιοῦ τὸ ἀρκοῦν εἰς τὸ ἀποβρέξαι τὰ τραγήματα. σκεύαζε καθαρῶς καὶ ἐπιμελῶς ἀναλαμβάνων τῷ μέλιτι.

dine, ex oxymelite mero, cyathis tribus, 7 ischiadicis, intestinorum dolore vexatis, lupini magnitudine in decocto pæoniæ, à prima luna usque ad extremam: 8 à larvis dæmoniisque occupatis, nucis ponticæ magnitudine, in lacte asinino: 9 quartana laborantibus ex aceto mulso, desinente luna.

11. Calami aromatici, junci odorati, sabinæ, singulorum triens: seminis viticis, cardamomi, cyperi, crocomagmatis, singulorum quincunx, nardi celticæ selibra, aspalathi septunx, ammoniaci uncia, pilularum cupressi quadrans, [rosarum quadrans.] ladani, myrrhæ, thuris, singularum libra, baccæ juniperi minoris quadraginta: hæc simul privatim, fundito: spicæ nardi selibra, costi triens, folii bes, casiæ selibra, amomi quadrans, hæc quoque privatim tundito: mastiches triens, & hoc seorsum in mortario teritur: styracis dextans, styrax paulatim, bellariis in mortario adjicitur: terebinthinæ libræ tres, mellis attici libræ quinque, vini veteris quod ad bellaria maceranda satis est, munde & sedulo melle excipiens confice.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΝΤΙΔΟΤΟΣ,

ἐκ τῶν τοῦ

ΝΙΚΟΛΑΟΥ τοῦ ΑΛΕΞΑΝΔΡΕΩΣ

περὶ συνθέσιος φαρμάκων

Α. τοη'.

ΑΝΤΙΔΟΤΟΣ Ἱπποκράτους· 2 ποιοῦσα πρὸς πάντα πάθη, μάλιστα δὲ τοῖς φθισικοῖς, αἱμοπτυϊκοῖς, πλευριτικοῖς. 3 ἔχει κυμίνου ἑλληνικοῦ παλαιοῦ δραχ. αϛ'. πετροσελίνου μακεδονικοῦ, ὀπίου, καστορίου, ἀνὰ δραχ. α'· ἀσάρου, κρόκου, στύρακος καλαμίτου ἀνὰ δραχ. αϛ'. ναρδοστάχυος, κασσίας, ἀνὰ δραχ. α'. μέλιτος ἀττικοῦ ἢ σακχάρου τὸ ἀρκοῦν. 4 ἡ δόσις, τοῖς μὲν ἀπυρέτοις, μετ' οἴνου παλαιοῦ· τοῖς δὲ πυρέττουσι μεθ' ὕδατος εὐκράτου.

HIPPOCRATIS ANTIDOTUM,

ex

NICOLAI ALEXANDRINI.

de Comp. medic. 1.378.

Leonh. Fuchsio interprete.

ANTIDOTUM Hippocratis, faciens ad omnia mala: 2 præcipue vero ad tabidos, sanguinem spuentes, & pleuriticos. 3 Habet cumini græci veteris drachmam unam semis, petroselini macedonici, opii, castorii, singulorum drachmam unam, asari, croci, styracis calamitis, singulorum drachmam unam semis, spicæ nardi, casiæ, singulorum drachmam unam, mellis aut sacchari quod satis. 4 Datur carentibus febre cum vino veteri: febricitantibus autem cum aqua temperata.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΑΤ' ΙΗΤΡΕΙΟΝ.

HIPPOCRATIS OFFICINA MEDICI,

Basil, græc. Foesius sect. VI. 5. 740. Basil, lat.

pag 502

1 ὍΜΟΙΑ ἢ ἀνόμοια ἐξ ἀρχῆς, 2 ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥηΐστων, 2 ἀπὸ τῶν πάντη πάντως γιγνωσκομένων, 3 ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαι ἐστί. 4 ἃ καὶ 3 τῇ ὄψει, καὶ τῇ ἁφῇ, καὶ τῇ ἀκοῇ, καὶ τῇ ῥινί, καὶ τῇ γλώσσῃ, καὶ τῇ γνώμῃ ἐστὶν αἰσθέσθαι. 5 ἃ καὶ οἷς γιγνώσκο- 4 μεν πᾶσιν ἐστι γνῶναι. 6 τὰ δ' ἐς 25 χειρουργίην κατ' ἰητρεῖον· 7 ὁ ἀσθενέων, ὁ δρῶν, οἱ ὑπηρέται, 8 τὰ ὄργανα, 9 τὸ

AUT similia, aut dissimilia, à principio, 335 2 à maximis, à facillimis, ab his quæ pag 598 undiquaque penitus cognoscuntur: 3 quæ & videre, & tangere, & audire licet: 4 quæ & visu, & tactu, & auditu, & naribus, & lingua, & intelligentia sentire licet: 5 quæ & quibus cognoscuntur, omnibus co- 5 gnoscere licet. 6 Quæ vero ad chirurgiæ officinam: 7 ægrotans, agens, ministri, 8 instrumenta, 9 lu-

9 τὸ φῶς. 10 ὅκου, ὅκως, ὅσα. 11 οἷς, ὡς, ὁκότε. 12 τὸ σῶμα, τὰ ἄρμενα. 13 ὁ χρόνος, ὁ τρόπος, ὁ τόπος. 14 ὁ δρῶν, ἢ καθήμενος, ἢ ἑστὼς, ξυμμέτρως πρὸς ἑωυτὸν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν. 15 αὐγῆς μὲν οὖν δύο εἴδεα· τὸ μὲν κοινὸν, τὸ δὲ τεχνητόν. 16 τὸ μὲν οὖν κοινὸν οὐκ ἐφ' ἡμῖν, τὸ δὲ τεχνητὸν καὶ ἐφ' ἡμῖν. 17 ὧν ἑκατέρου διοσσαὶ χρήσιες· ἢ πρὸς αὐγὴν, ἢ ὑπ' αὐγήν. 18 ὑπ' αὐγὴν μὲν οὖν ὀλίγη τε ἡ χρῆσις, καταφανὴς τε ἡ μετριότης. 19 τὰ δὲ πρὸς αὐγὴν, ἐκ τῶν παρεουσέων, ἐκ τῶν ξυμφερουσέων αὐγέων, πρὸς τὴν λαμπροτάτην τρέπειν τὸ χειριζόμενον, 20 πλὴν ὁκόσα ἢ λαθεῖν δεῖ, ἢ ὁρῆν αἰσχρόν. 21 οὕτως δὲ τὸ μὲν χειριζόμενον ἐναντίον τῇ αὐγῇ, 22 τὸν δὲ χειρίζοντα ἐναντίον τοῦ χειριζομένου, πλὴν ὥστε μὴ ἐπισκιάζειν. 23 οὕτω γὰρ ἂν ὁ μὲν δρῶν ὁρῴη, τὸ δὲ χειριζόμενον οὐχ ὁρῷτο.

II. Πρὸς ἑωυτὸν δὲ, καθημένῳ 1 πόδες ἐς τὴν ἄνω ἴξιν κατ' ἰθὺ γουνάτων, διάστασιν δὲ ὀλίγον συμβεβῶτες. 2 γούνατα δὲ ἀνωτέρω βουβώνων, σμικρὸν διάστασιν, ἀγκῶσι θέσει καὶ παραθέσει. 3 ἱμάτιον εὐσταλέως, εὐκρινέως, ἴσως, ὁμοίως, ἀγκῶσιν, ὤμοισι. 4 πρὸς δὲ τὸ χειριζόμενον, τοῦ μὲν πρόσω καὶ ἐγγὺς, καὶ ἄνω καὶ κάτω, καὶ ἔνθα ἢ ἔνθα ἢ μέσον. 5 τοῦ μὲν πρόσω καὶ ἐγγὺς, ὅρος ἀγκῶνες, 6 ἐς μὲν τὸ πρόσθεν, γούνατα μὴ ὑπερβάλλειν. 7 ἐς δὲ τὸ ὄπισθεν, πλευράς. 8 τοῦ δὲ ἄνω, μὴ ἀνωτέρω μαζῶν ἄκρας χεῖρας

9 lumen. 10 ubi, quomodo; quot, 11 quomodo, quando; 12 corpus, vasa commoda. 13 Tempus, modus, locus. 14 Agens, aut sedens, aut stans, moderate ad seipsum, ad id quod tractatur, ad splendorem lucis. 15 Lucis igitur species duæ sunt, altera communis, altera artificialis. 16 Communis, in nobis non est: artificialis, etiam in nobis est. 17 Utriusque vero duplices usus sunt, aut ad lucem, aut sublucem. 18 Sub lucem, & modicus usus est, & moderatio manifesta. 19 Ad lucem vero, ex præsentibus, ex conferentibus luminibus, ad splendorem convertere oportet id quod tractatur, 20 exceptis his quæ aut latere oportet, aut videre turpe est: 21 ita ut id quod tractatur, ex adverso sit luci: 22 qui vero tractat, ex adverso ejus quod tractatur: verum tamen ut ne tenebras inducat. 23 Sic enim & qui agit videre poterit, & quod tractatur, non videtur.

II. Ad seipsum vero, siquidem sedeat, pedes secundum rectitudinem sursum versus è directo ad genua sint, distantia autem parva in consistendo intercedat. 2 Genua autem superiora sint inguinibus, modice distantia, pro commoda cubiti positione ac appositione. 3 Vestitus expedite, distincte, æqualiter, similiter, cubitis, humeris. 4 Ad id vero quod tractatur, ultra & prope, & sursum ac deorsum, & hac aut illac, aut in medio. 5 Ultra quidem & prope termini sunt cubitorum gibbi, 6 ita ut in anteriorem partem non excedant genua, 7 in posteriorem costas. 8 Sursum vero, ut non supra mammas, sum-

ὥστε ἔχειν. ⁹ Τὸ δὲ κάτω, μὴ κατωτέρω, ἢ ὡς τὸ στῆθος ἐπὶ γούνασιν ἔχειν ἄκρας χεῖρας ἐγγωνίους πρὸς βραχίονας. ¹⁰ τὰ μὲν κατὰ μέσον οὕτως. ¹¹ τὰ δὲ ἔνθα ἢ ἔνθα, μὴ ἔξω τῆς ἕδρης, ¹² κατὰ λόγον δὲ τῆς ἐπιστροφῆς προβαλλόμενον τὸ σῶμα καὶ τοῦ σώματος τὸ ἐργαζόμενον. ¹³ ἑστῶτα δὲ δεῖ καὶ ἀπ' ἀμφοτέρων βεβῶτα ἐξ ἴσου τῶν ποδῶν ἅλις· ¹⁴ δρᾶν δὲ τοῦ ἑτέρου ἐπιβεβηκότα, μὴ τοῦ κατὰ τὴν δρῶσαν χεῖρα, ¹⁵ ὕψος γούνατος πρὸς βουβῶνα, ὡς ἐν ἕδρῃ. ¹⁶ καὶ τὰ ἄλλα ὅρια τὰ αὐτά. ¹⁷ ὁ δὲ χειριζόμενος τῷ χειρίζοντι τῷ ἄλλῳ τοῦ σώματος μέρει ὑπηρετείτω, ἢ ἑστὼς, ἢ καθήμενος, ἢ κείμενος, ὅκως ἂν ῥήιστα ὧδε ὡς σχῆμα ἔχων διατελέῃ, ¹⁸ φυλάσσων ὑπόρρυσιν, ὑπόστασιν, ἔκστρεψιν, κατάντεαν, ¹⁹ ὡς, ὃ δεῖ, σώζεται καὶ σχῆμα καὶ εἶδος τοῦ χειριζομένου, ²⁰ ἐν παρέξει, ἐν χειρισμῷ, ἐν τῇ ἔπειτα ἕξει. ²¹ ὄνυχας μήτε ὑπερέχειν, μήτε ἐλλείπειν δακτύλων κορυφῆς. ²² ἐς χρῆσιν ἀσκέειν, δακτύλοισι μὲν ἄκροις, τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν· ²³ ὅλῃ δὲ καταπρηνέϊ· ²⁴ ἀμφοτέρῃσι δὲ ἐναντίῃσι. ²⁵ δάκτυλον εὐφυΐα μέγα τὸν ἐν μέσῳ τῶν δακτύλων, καὶ ὑπεναντίον τὸν μέγαν τῷ λιχανῷ. ²⁶ νοῦσος δὲ, δι' ἣν καὶ βλάπτονται, οἷσιν ἐν γενέτῃσιν [ἢ] ἐν τροφαῖς ἔθισται ὁ μέγας ὑπὸ τῶν ἄλλων δακτύλων κατέχεσθαι. ²⁷ τὰ ἔργα πάντα ἀσκέειν ἑκατέρῃσι δρῶντα, καὶ ἀμφοτέρῃσιν ἅμα. ²⁸ ὅμοιαι γάρ εἰσιν ἀμφό-

mas manus habeat. ⁹ Deorsum, ut non inferius quam ut ubi pectus ad genua habet, summas manus angulares ad brachia figuret, ¹⁰ & in medio quidem hoc modo se habet. ¹¹ Hac vero aut illac, ut non extra sedem: ¹² sed pro ratione conversionis & corpus, & operantem corporis partem producat. ¹³ Si vero stet, utrisque pedibus ex æquo insistere satis est. ¹⁴ Agere vero oportet ita ut altero pede inscendat, non eo qui est ad manum agentem, ¹⁵ genu ad inguen sublato, velut in sede, ¹⁶ sed & alii termini iidem sunt. ¹⁷ At qui tractatur, reliqua corporis parte tractanti inserviat, aut stans, aut sedens, aut decumbens, quo quam facillime ita velut figuram habens perseveret, ¹⁸ servans subfluxionem, subsidentiam, eversionem, declivitatem. ¹⁹ Sic quæ debet servatur & figura, & forma ejus qui tractatur, ²⁰ in exhibitione, in tractatione, in habitu postea sequente. ²¹ Ungues neque præminere oportet, neque deficere. ²² Digitorum vertices ad usum exercere, digitis quidem summis pleraque, indice ad magnum admoto. ²³ Tota vero manu prona, ²⁴ ambabus autem adversis. ²⁵ Digitos generose extendere cogit magnum quiddam in medio digitorum positum, & oppositum facere magnum digitum indici. ²⁶ Morbum autem esse manifestum est, per quem etiam læduntur hi quibus ex nativitate, & educatione, assuevit magnus digitus ab aliis contineri. ²⁷ Opera omnia exercere oportet utrisque seorsum agendo, & ambabus simul. ²⁸ Similes enim sunt, am-

ἀμφότερα. [29] ἐργαζόμενον ἀγαθῶς, καλῶς, ταχέως, ἀπόνως, εὐρύθμως, εὐπόρως.

III. Ὄργανα μὲν, καὶ ὅτε καὶ οἵως, εἰρήσεται. [2] ὅκου δεῖ, μὴ ἐμποδὼν τὸ ἔργον, μήτε ἐκποδὼν τῇ ἀναιρέσει. [3] παρὰ τὸ ἐργαζόμενον δὲ τοῦ σώματός ἐστι. [4] ἄλλος δὲ, ἢν διδῷ, ἑτοίμως ὀλίγῳ πρότερον ἔστω· [5] ποιείτω δὲ, ὅταν κελεύῃς. [6] οἱ δὲ περὶ τὸν ἀσθενέοντα, τὸ μὲν ἐργαζόμενον παρεχόντων ὡς ἂν δοκῇ, [7] τὸ δὲ ἄλλο σῶμα κατεχόντων ὡς ὅλον ἀτρεμέῃ, σιγῶντες, ἀκούοντες τοῦ ἐφεστῶτος. [8] ἐπιδέσιος δύο εἴδεα, ἐργασμένον καὶ ἐργαζόμενον. [9] ἐργαζόμενον μὲν, ταχέως, ἀπόνως, εὐπόρως, εὐρύθμως. [10] ταχέως μὲν, ἀνύειν τὰ ἔργα. [11] ἀπόνως δὲ, ῥηϊδίως δρῇν. [12] εὐπορίη δὲ ἐς πᾶν ἑτοίμη. [13] εὐρυθμίη δὲ, ὁρῆσθαι ἡδέως. [14] ἀφ' ὧν δὲ ταῦτα ἀσκημάτων, εἴρηται. [15] ἐργασμένον δὲ, ἀγαθῶς, καλῶς. [16] καλῶς μὲν, ἁπλῶς, διακρινέως· [17] ἢ ὅμοια ἢ ἴσα, ἴσως καὶ ὁμοίως, [18] ἢ ἄνισα καὶ ἀνόμοια, ἀνίσως καὶ ἀνομοίως.

IV. Τὰ δὲ εἴδεα ἁπλοῦν, εὔκυκλον, σκέπαρνον, σιμὸν, ὀφθαλμὸς, ῥόμβος, ὁ καὶ ἡμίτομον. [2] ἁρμόζον τὸ εἶδος τῷ εἴδει καὶ τῷ πάθει τοῦ ἐπιδεομένου. [3] ἀγαθῶς δὲ δύο εἴδεα τοῦ ἐπιδεομένου. [4] ἰσχὺς μὲν, ἢ πίεξει ἢ πλήθει ὀθονίων. [5] τὸ μὲν οὖν αὐτὴ ἡ ἐπίδεσις ἰῆται. [6] τὸ δὲ τοῖς ἰωμένοισιν ὑπηρετεῖ. [7] ἐς μὲν οὖν ταῦτα νόμος. [8] ἐν δὲ τουτέοισι μέγιστα

ambabus [29] conjectando bene, pulchre, cito, non laboriose, concinne, expedite.

III. Instrumenta quidem, & quando, & qualiter dicetur. [2] Ubi oportet, ut ne quid impediat opus, neque impedimento sit inter accipiendum [3] circa operantem corporis partem. [4] Si vero alius det, paulo prius paratus sit, [5] & faciat ubi jusseris. [6] Qui vero circa ægrotantem sunt, id quod tractatur exhibeant prout visum fuerit. [7] Reliquum autem corpus detineant, ut totum quiescat, tacentes, & præfecto obedientes. [8] Deligationis species duæ sunt, quæ facta est, & quæ adhuc fit. [9] Quæ adhuc fit, cito, non laboriose, expedite, concinne. [10] Cito quidem, perficiendo opera. [11] Non laboriose, facile agendo. [12] Expedito vero ad omnia parata est. [13] Concinnitas autem jucunda aspectu est. [14] Ex quibus vero exercitationibus hæc contingant, dictum est. [15] Quæ facta est, bene, pulchre. [16] Pulchre quidem, simpliciter, distincte: [17] aut similia ac æqualia, æqualiter ac similiter: [18] aut inæqualia ac dissimilia, inæqualiter ac dissimiliter.

IV. Species vero hæ sunt, simplex, rotunda in orbem, ascia, sima, oculus, rhombus, & semisecta: [2] ita ut species congrua sit speciei & affectioni ejus quod deligatur. [3] Ejus vero quod bene deligatur, duæ sunt species, [4] roboris quidem, aut compressione, aut copia linteolorum: [5] & partim quidem ipsa deligatio sanat, [6] partim curantibus inservit. [7] Ad hæc igitur lex hæc est. [8] In his autem ma-

μάλιστα ἐπίδεσις. [9] πίεξις μὲν, ὥστε τὰ ἐπικείμενα μὴ ἀφεστάναι, μηδὲ ἐρηρεῖσθαι· [10] ἀλλὰ ἡρμόσθαι μὲν, προσηναγκάσθαι δὲ μή. [11] ἧσσον μὲν τὰ ἔσχατα, ἥκιστα δὲ τὰ μέσα. [12] ἅμμα καὶ ῥάμμα νεμόμενον, μὴ κάτω, ἀλλ᾽ ἄνω, ἐν παρέξει, καὶ χρήσει, καὶ ἐπιδέσει, καὶ πιέξει. [13] ἀρχὰς βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ᾽ ἔνθα ἢ ἔνθα τὸ ἅμμα. [14] τὸ δὲ ἅμμα, μήτε ἐν τρίβῳ, μήτε ἐν ἔργῳ, μήτε ἐκεῖσε, ὅκου κενεόν. [15] ὡς μὴ ἐς τὸ κενεὸν κέσηται. [16] ἅμμα δὲ καὶ ῥάμμα μαλθακὸν, οὐ μέγα. [17] δεῖ γε μὴν ἐστὶ γνῶναι, ὅτι ἐς τὰ καταντὴ καὶ τὰ ἀπόξη φεύγει πᾶσα ἐπίδεσις· [18] οἷον κεφαλῆς μὲν τὸ ἄνω, κνήμης δὲ τὸ κάτω.

V. Ἐπιδεῖν δεξιὰ ἐπ᾽ ἀριστερὰ, καὶ ἀριστερὰ ἐπὶ δεξιὰ, [2] πλὴν τῆς κεφαλῆς. [3] ταύτην δὲ κατ᾽ ἴξιν. [4] τὰ δ᾽ ὑπεναντία, ἀπὸ δύο ἀρχέων. [5] ἢν δὲ ἀπὸ μιῆς, ἐφ᾽ ὅκου ὅμοιον ἐς τὸ μόνιμον· [6] οἷον τὸ μέσον τῆς κεφαλῆς, καὶ εἴ τι ἄλλο τοιοῦτον. [7] τὰ δὲ κινεύμενα, οἷον ἄρθρα, ὅπη μὲν συγκάμπτεται, ὡς ἥκιστα καὶ ἀτελέστατα περιβάλλειν· οἷον ἰγνύην. [8] ᾗ δὲ περιτείνεται, ἁπλᾶ τε καὶ πλατέα· οἷον ἡ μύλη. [9] προσπεριβάλλειν δὲ, καταλήψιος μὲν τῶν περὶ ταῦτα εἵνεκα· [10] ἀναλήψιος δὲ, τοῦ σύμπαντος ἐπιδέσμου, ἐν τοῖσιν ἀτρεμέουσι καὶ λαπαρωτέροισι τοῦ σώματος· οἷον τὸ ἄνω καὶ τὸ κάτω τοῦ γούνατος. [11] ὁμολογεῖ δὲ, ὤμου μὲν, ἡ περὶ τὴν ἑτέραν μασχά-

xima deligationis vis est. [9] Compressio quidem, ut incumbentia non abscedant, neque penitus innitantur: [10] sed sint quidem firmata, non autem coacta: [11] & minus quidem extrema, minime vero media. [12] Nexus & filum procedant non deorsum sed sursum, in exhibitione, & præparatione, & deligatione, & habitu postea sequente. [13] Initia non super ulcus injicere oportet, sed hinc aut illinc facere nexum. [14] Nexum vero neque in semita, neque in opere, neque illic ubi inane est, [15] ut ne in vanum jaceat. [16] Nexum autem & filum, mollia non magna. [17] Hoc tamen probe nosse convenit, quod omnis deligatio ad declivia & acuminata fugit, [18] velut in capite, ad partem supernam: in tibia, ad inferuam.

V. Deligare oportet dextras partes, in sinistras: & sinistras, in dextras: [2] excepto capite. [3] Hoc vero secundum rectitudinem. [4] Verum contraria ex duobus initiis. [5] Si vero ex uno, ad id quod simile est, ad subtilitatem: [6] velut est media pars capitis, & si quid aliud hujusmodi. [7] Quæ vero moventur, velut articuli, qua quidem parte inflectuntur, quam minimis ac expeditissimis linteis obvolvere oportet, velut poplitem: [8] qua vero circumtenduntur, expassis ac latis, velut est patella. [9] Circumdare quoque insuper oportet, comprehensionis quidem gratia eorum quæ circa hæc sunt, [10] appensionis vero universi deligamenti, in quiescentibus & depressioribus corporis partibus, qualis est & supra & infra genu. [11] Convenit autem in humero quidem, circumductio

μασχάλην περιβολή. 12 βουβῶνος δὲ, ἡ περὶ τὸν ἕτερον κενεῶνα. 13 καὶ κνήμης, ἡ ὑπὲρ 30 γαστροκνημίης μὲν, ὁκόσοισι μὲν ἄνω, ἡ φυγὴ, κάτωθεν ἡ ἀντίληψις· οἷσι δὲ κάτω, τοὐναντίον. 14 οἷσι δὲ μὴ ἔστιν, οἷον ἡ κεφαλὴ, τουτέων ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψιας ποιέεσθαι, 15 καὶ ἥκιστα λοξῷ τῷ ἐπιδέσματι χρέεσθαι, 16 ὡς τὸ 26 μονιμώτατον, ὕστατον περιβληθὲν τὰ πλανωδέστατα κατέχῃ. 17 ὁκόσοισι δὲ μὴ συγκαταλήπτως τοῖσιν ὀθονίοισι, μὴ δὲ συναναλήπτως ἔχει, 18 ῥάμμασι τὰς ἀναλήψιας ποιέεσθαι ἐκ καταβολῆς ἢ ξυῤῥαφῆς.

VI. Ἐπιδέσματα καθαρὰ, κοῦφα, μαλθακὰ, λεπτά. 2 35 ἐλίσσειν ἀμφοτέρῃσιν ἅμα, καὶ ἑκατέρῃσιν χωρὶς, ἀσκέειν. 3 τῇ προσφερούσῃ δὲ ἐς τὰ πλάτη καὶ τὰ πάχη τῶν ὀθονίων τεκ- 27 μαιρόμενον χρέεσθαι. 4 ἐλίξιος κεφαλαὶ σκληραὶ, ὁμαλαὶ, εὐκρινέες. 5 τὰ δὲ δὴ μέλ- 28 λοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντων. 6 τὰ δὲ μήτε πιέζειν, μήτε ἀποπίπτειν. 7 ὧν δὲ ἔχεται ἡ ἐπίδεσις, ἢ ὑπόδεσις, ἢ ἀμφότερα. 8 ὑπόδεσις μὲν αἰτίη, ὥστε ἢ ἀφεστῶτα προστεῖλαι, ἢ ἐκπεπτα- 29 μένα συστεῖλαι, ἢ ξυνεσταλμένα διαστεῖλαι, ἢ διεστραμ- 30 40 μένα διορθῶσαι, ἢ τἀναντία. 9 παρασκευάζειν δὲ ὀθόνια κοῦφα, λεπτὰ, μαλθακὰ, καθαρὰ, πλατέα, 10 μὴ ἔχοντα ξυῤῥαφὰς, μήτε ἐξάστιας, 31 11 καὶ ὑγιέα, ὥστε τάνυσιν φέρειν, καὶ ὀλίγῳ κρέσσω, 12 μὴ ξηρὰ, ἀλλ'

ctio circum, alteram alam: 12 in inguine vero, circum alte- 75 ram lateris mollitudinem: 13 in tibia, supra suram, & quibuscunque sursum contingit fuga, his inferne appensio convenit: quibus autem deorsum, vice versa. 14 Quibus vero non est, velut in capite, his in æqualissima parte comprehensiones facere oportet, 15 & minime obliquo deligamento uti. 16 Nam stabilissimum postremum, circumdatum, vel maxime vagabunda continet. 17 Quibuscun- 80 que autem neque comprehensio, neque appensio linteorum, commode se haber: 18 his per fila appensiones facere convenit, ex injectione, aut consutione.

VI. Deligamenta sint pura, levia, mollia, tenuia. 2 Obvolvere vero oportet ambabus simul, aut utrisque seorsum exercere. 3 Conveniente autem deligatione uti, conjectura ad latitudinem ac crassitudinem partium facta. 4 Obvolutionis capita dura, æqualia, distincta sint. 5 In quibus autem futu- 85 rum est ut decidant, ea pejora sunt, quam si cito decidant. 6 Quædam vero sint ejusmodi, ut neque comprimere, neque decidere oporteat. 7 Quæ vero spectat deligatio, aut subligatio, aut ambo, hæc sunt. 8 Subligatio quidem in causa est, ut aut disparata attrahantur, aut expassa contrahantur, aut contracta diducantur, aut distorta dirigantur, aut vice versa. 9 Præparare autem oportet lintea levia, tenuia, mollia, pura, lata, 10 non consuta, neque extuberantias habentia, 11 & sana, ut extensionem ferant, & paulo præstantiora, 12 non sicca, sed

ἀλλ' ἔγχυμα χυμῷ, ᾧ ἕκαστα ξυντρόφα. [13] ἀφεστῶτα μὲν, ὥστε τὰ μετέωρα τῆς ἕδρης ψαύειν μὲν, πιέζειν δὲ μή.

VII. Ἄρχεσθαι δὲ ἐκ τοῦ ὑγιέος [καὶ] τελευτᾶν πρὸς τὸ ἕλκος. [2] ὥστε τὸ μὲν ὑπεὸν ἐξαφέληται, ἕτερον δὲ μὴ ἐπιξυλλέγηται. [3] ἐπιδεῖν [δὲ] τὰ μὲν ὀρθὰ, ἐς ὀρθὸν· τὰ δὲ λοξὰ, λοξῶς· [4] ἐν σχήματι ἀπόνῳ, ἐν ᾧ μήτε ἀπόσφιγξις μήτε ἀπόστασις ἔσται τις. [5] ἐξ οὗ, ὅταν μεταλλάσσῃ ἐς ἀνάληψιν ἢ θέσιν, μὴ μεταλλάξουσιν, ἀλλ' ὅμοια τοιαῦτα ἕξουσι, μύες, φλέβες, νεῦρα, ὀστέα. [6] ἀναλελάμφθαι δὲ ἢ κέεσθαι ἐν σχήματι ἀπόνῳ τῷ κατὰ φύσιν. [7] ὧν δ' αὖ ἀποστῇ, τἀναντία. [8] ὧν δ' αὖ ἐκπεπταμένα συστεῖλαι, τὰ μὲν ἄλλα τὰ αὐτά· [9] ἐκ πολλοῦ δέ τινος δεῖ τὴν συναγωγὴν, καὶ ἐκ προσαγωγῆς τὴν πίεξιν, τὸ πρῶτον ἥκιστα, ἔπειτα ἐπὶ μᾶλλον, ὅρον τοῦ μάλιστα τὸ συμψαύειν. [10] ὧν δὲ συνεσταλμένα διαστεῖλαι· [11] σὺν μὲν φλεγμονῇ τἀναντία· [12] ἄνευ δὲ ταύτης, παρασκευῇ μὲν τῇ αὐτῇ, ἐπιδέσει δὲ ἐναντίῃ. [13] διεστραμμένα δὲ διορθῶσαι, τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά· [14] δεῖ δὲ, τὰ μὲν ἀπεληλυθότα ἐπαναγαγεῖν ἐπιδέσει, παρακολλήσει, ἀναλήψει· τὰ δὲ ἐναντία ἐναντίως.

VIII. Σπληνῶν μήκεα, πλάτεα, πάχεα, πλήθεα·

sed succo imbuta singulis affectionibus familiari: [13] ad ea quidem quæ disparata abscesserunt, ita ut sublimis sedem quidem contingant, non tamen comprimant.

VII. Initium autem sumere oportet ex sana parte, & ad ulcus desinere, [2] quo id quidem quod subest excoletur, aliud autem non amplius colligatur. [3] Deligare autem oportet recta quidem, in rectum: obliqua vero, oblique: [4] in figura doloris exorte, in qua neque constrictio, neque discessio contingat: [5] ex qua ubi translatio fit ad appensionem, aut positionem, non transmutent, sed similia habeant hæc, musculos, venas, nervos, ossa, & bene posita, & bene detenta. [6] Appensa vero aut posita esse convenit, in figura doloris exorte, quæ est secundum naturam: [7] in quibus vero discesserint, vice versa. [8] At quibus expassa sunt, contrahere oportet, quod ad alia quidem attinet eodem modo: [9] ex multo vero temporis spatio interposito contractionem facere oportet, & sensim progressu facto compressionem, primum minime, deinde magis, ita ut terminus quod maxime facta sit, mutuus contactus fiat. [10] Quibus vero contracta sunt, diducere: [11] cum inflammatione quidem vice versa: [12] sine hac autem, præparatione quidem ejusmodi, deligatione vero contraria. [13] Distorta vero dirigere oportet, quod ad alia quidem attinet, eodem modo. [14] Verum quæ quidem abierunt, ea reducere oportet, subligatione, agglutinatione, appensione. Contraria vero contrario modo.

VIII. Spleniorum longitudines, latitudines, crassitudines & mul-

θεα· [2] μῆκος, ὅσον ἡ ἐπίδεσις· [3] πλάτος τριῶν ἢ τεττάρων δακτύλων· [4] πάχος τρίπτυχα ἢ τετράπτυχα. [5] πλῆθος, κυκλεῦντας μὴ ὑπερβάλλειν, μηδὲ ἐλλείπειν. [6] οἷσι δὲ ἐς διόρθωσιν, μῆκος κυκλεῦντας, [7] πλάτος [δὲ] καὶ πάχος τῇ ἐνδείῃ τεκμαίρεσθαι, μηδὲ ἀθρόα πληρεῦντας. [8] τῶν δὲ ὀθονίων ὑποδεσμίδες εἰσὶ δύο. [9] ἡ τῇ πρώτῃ ἐκ τοῦ σίνεος ἐς τὰ ἄνω τελευτῶσα· [10] τῇ δὲ δευτέρῃ, ἐκ τοῦ σίνεος ἐς τὰ κάτω. [11] κατὰ τὸ σίνος πιέζειν μάλιστα, ἥκιστα τὰ ἄκρα, τὰ δὲ ἄλλα κατὰ λόγον. [12] ἡ δὲ ἐπίδεσις πολὺ τοῦ ὑγιέος συλλαμβανέτω. [13] ἐπιδέσμων δὲ πλῆθος, μῆκος, πλάτος. [14] πλῆθος μὲν, μὴ ἡσσᾶσθαι τοῦ σίνεος, μηδὲ νάρθηξιν ἐνερεῖσιν εἶναι, μηδὲ ἄχθος, μηδὲ περίῤῥεψιν, μηδὲ ἐκθήλυνσιν. [15] μῆκος δὲ καὶ πλάτος, τριῶν ἢ τεττάρων ἢ πέντε ἢ ἓξ πηχέων μὲν μῆκος, δακτύλων ἢ πλάτος. [16] καὶ παρερεισμάτων περιβολαὶ τοσαῦται, ὥστε μὴ πιέζειν. [17] μαλθακὰ δὲ, μὴ παχέα. [18] ταῦτα πάντα ὡς ἐπὶ μήκει καὶ πλάτει καὶ πάχει τοῦ παθόντος.

IX. Νάρθηκες δὲ λεῖοι, ὁμαλοὶ, σιμοὶ [2] κατ' ἄκρα σμικρῷ μείους ἔνθεν καὶ ἔνθεν τῆς ἐπιδέσιος· [3] παχύτατοι δὲ, ᾗ ἐξέρρεπε τὸ κάτηγμα. [4] ὁκόσα δὲ κυρτὰ καὶ ἄσαρκα φύσει, φυλασσομένων τῶν ὑπερεχόντων, οἷον τὰ κατὰ δακτύλους ἢ σφυρὰ, τῇ θέσει, ἢ τῇ βραχύτητι.

multitudines. [2] Longitudo, quanta est deligatio. [3] Latitudo, quatuor aut trium digitorum. [4] Crassitudo, ut triplices aut quadruplices sint. [5] Multitudo, ut dum circumdantur, non excedant, neque deficiant. [6] Quibus vero ad directionem, in longitudinem circumdando, [7] latitudinem ac crassitudinem defectu conjectare oportet, ita ut non acervatim expleamus. [8] At vero linteorum subligationes duæ sunt, [9] prima ex loco læso ad supernas partes desinit: [10] altera ex loco læso, ad infernas. [11] Juxta locum affectum maxime comprimere oportet: minime extremas partes: reliqua vero pro ratione. [12] Deligatio autem multam sani loci partem occupet. [13] Deligamentorum multitudo, longitudo, latitudo. [14] Multitudo quidem, ut ne superetur à loco læso, neque per ferulas illisio fiat, neque pondus, neque circumcirca inclinatio, neque effeminatio deligamenti contingat. [15] Longitudo vero & latitudo, trium aut quatuor, aut quinque aut sex cubitorum quidem longitudo, digitorum autem latitudo. [16] Et affulcimenti circumductiones tot sint, ut ne comprimant. [17] Mollia vero & non crassa [18] sint hæc omnia, pro longitudine, & latitudine, ac crassitudine partis affectæ.

IX. Ferulæ porro sint læves, æquales, [2] juxta extremitates simæ, hinc atque illinc paulo minores deligatione, [3] crassissimæ autem ea parte qua extat fractura. [4] Quæcunque vero partes incurvæ sunt & excarnes, in his quæ præminent cavendæ sunt, velut circa digitos & malleolos, aut positione, aut brevitate.

χέτην. ⁵ παρερείσματα δὲ ἁρμόζειν, μὴ πιέζειν τὸ πρῶτον. ⁶ κηρωτὴ μαλθακὴ καὶ λείη καὶ καθαρή. ⁷ ὕδατος θερμότης, πλῆθος. ⁸ θερμότης μὲν κατὰ τῆς ἑωυτοῦ χειρὸς καταχεῖν. ⁹ πλῆθος δὲ, χαλάσαι μὲν καὶ ἰσχνῶσαι, τὸ πλεῖστον ἄριστον. ¹⁰ σαρκῶσαι δὲ καὶ ἁπαλῦναι, τὸ μέτριον. ¹¹ μέτριον δὲ, ἐν τῇ καταχύσει, ἔτι μετεωριζομένου, δεῖ, πρὶν συμπίπτειν, παύεσθαι. ¹² τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται.

X. Θέσις δὲ μαλθακὴ, ὁμαλὴ, ἀνάῤῥοπος τοῖσιν ἐξέχουσι τοῦ σώματος, οἷον πτέρνῃ καὶ ἰσχίῳ· ² ὡς μήτε ἀνακλᾶται μήτε ἐκτρέπηται. ³ σωλῆνα παντὸς τοῦ σκέλεος ἢ ἡμίσεος. ⁴ ἐς τὸ πάθος δὲ βλέπειν καὶ τἄλλα, ὁκόσα βλάπτει δῆλα. ⁵ πάρεξις δὲ, καὶ διάτασις, καὶ ἀνάπλασις, καὶ τὰ ἄλλα κατὰ φύσιν. ⁶ φύσις δὲ ἐν μὲν ἔργοις, τοῦ ἔργου τῇ πρήξει, ὃ βούλεται, τεκμαρτέον. ⁷ ἐς δὲ ταῦτα, ἐκ τοῦ ἐλινύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος. ⁸ ἐκ μὲν τοῦ ἐλινύοντος καὶ ἀφειμένου, τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον τὸ τῆς χειρός. ⁹ ἐκ δὲ τοῦ κοινοῦ, ἔκτασιν, σύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα. ¹⁰ ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερον, οἷον σκέλεα ἔκτασιν. ¹¹ ἀπὸ τουτέων γὰρ ῥήϊστα πλεῖστον χρόνον ἔχοι ἂν μὴ μεταλλάσσοντα. ¹² ἐν δὲ τῇ μεταλλαγῇ ἐκ διατάσιος ὅμοια ταῦτα ἔξω-

vitate. ⁵ Affulcimentis autem fulcire ac firmare oportet, non comprimere primum. ⁶ Ceratum molle, & læve, & purum sit. ⁷ In aqua spectatur caliditas, multitudo. ⁸ Caliditas, ut supra suam ipsius manum medicus affundat. ⁹ Multitudo, ad laxandum quidem & attenuandum, plurima optima est. ¹⁰ Verum ad incarnandum ac molliendum, moderata. ¹¹ Moderatio autem in perfusione ea est, quod dum adhuc attollitur pars, priusquam concidat desistere oportet. ¹² Primum enim attollitur: postea vero attenuatur.

X. Positio sit mollis, æqualis, sursum vergens, in eminentibus corporis partibus, velut calcaneo, & coxa, ² ut neque refringatur, neque evertatur. ³ Canalem toti potius cruri quam dimidio adhibere oportet. ⁴ Ad affectionem tamen respicere oportet: & reliqua quæ lædere solent, manifesta sunt. ⁵ Exhibitio vero, & distentio, & restitutio, & reliqua, secundum naturam fiant. ⁶ Natura in operibus est: operis actione quid illa velit conjectandum est. ⁷ Ad hæc autem ex quiescente, ex communi, ex consuetudine. ⁸ Ex quiescente quidem ac remisso, rectitudines considerare oportet, velut in manus figura. ⁹ Ex communi vero, extensionem & inflexionem, veluti figura cubiti ad brachium, quæ prope ad angularem accedit. ¹⁰ Ex consuetudine, quod non alias figuras magis ferre possunt, velut crura extensionem. ¹¹ In hac enim figura plurimum tempus facillime durarint, nulla facta immutatione. ¹² In immutatione vero ex distentione, similia hæc

ἔχουσιν, ἐς ἕξιν ἢ θέσιν, μύες, 30 φλέβες, νεῦρα, ὀστέα, ἢ μάλιστα εὔθετα καὶ εὔοχα.

XI. Διάτασις, μάλιστα τὰ μέγιστα, καὶ πάχιστα, καὶ ὁμαλὰ, καὶ ὅκου ἀμφότερα. [2] δεύτερα, ὧν τὸ ὑποτεταγμένον [3] ἥκιστα, ὧν τὸ ἄνω. [4] μᾶλλον δὲ τοῦ μετρίου, βλάβη, πλὴν παιδίων. [5] "ἔχειν [δὲ] ἀνάντη σμικρόν. [6] "διορθώσιος παράδειγμα τὸ ὁμώνυμον, τὸ ὁμόζυγον, τὸ ὅμοιον, τὸ ὑγιές. [7] "ἀνάτριψις δύναται λῦσαι, "δῆσαι, σαρκῶσαι, μινυθῆσαι. [8] ἡ σκληρὴ, δῆσαι, [9] ἡ μαλακὴ, "λῦσαι. [10] ἡ πολλὴ, μινυθῆσαι. [11] ἡ μετρίη, παχῦναι. [12] ἐπιδεῖν δὲ, 35 τὸ πρῶτον "ὁ μὲν ἐπιδεδεμένος μάλιστα φάτω πεπιέχθαι κατὰ τὸ σίνος, ἥκιστα τὰ ἄκρα. [13] "ἡρμόσθαι δὲ, μὴ πεπιέχθαι "τῷ πλήθει ἢ ἰσχύϊ. [14] "τὴν δὲ ἡμέρην ταύτην καὶ νύκτα ὀλίγῳ μᾶλλον. [15] τὴν δ' ὑστέρην ἧσσον. [16] τρίτη, χαλαρά. [17] εὑρεθήτω δὲ τῇ μὲν ὑστεραίῃ ἐν ἄκροις οἴδημα μαλθακόν. [18] τῇ τρίτῃ δὲ τῇ ἐπιδέσει λυθὲν, ἰσχνότερον "παρὰ πάσας τὰς ἐπιδέσιας τοῦτο. [19] τῇ δὲ ὑστεραίῃ ἐπιδέσει, ἢν δικαίως ἐπιδεδεμένον φανῇ, μαθεῖν δεῖ. [20] "ἐντεῦθεν δὲ μᾶλλον καὶ ἐπὶ πλέοσι πιε-40 χθήτω. [21] τῇ δὲ τρίτῃ, ἐπὶ μᾶλλον καὶ ἐπὶ πλέοσι. [22] τῇ δὲ ἑβδόμῃ, ἀπὸ τῆς πρώτης ἐπιδέσιος, λυθέντα εὑρεθήτω ἰσχνὰ [καὶ] "χαλαρὰ τὰ ὀστέα. [23] "ἐς δὲ νάρθηκας δεθέντα, ἢν [μὲν] ἰσχνὰ καὶ ἀκνησμα καὶ ἀνέλκεα ἦ, ἐᾶν μέχρις εἴκοσιν ἡμερέων ἀπὸ τοῦ σίνεος. [24] ἢν δέ τι ὑποπτεύηται, λῦσαι ἐν τῷ μέσῳ, [καὶ] νάρ-

hæc habent, ad habitum aut positionem, musculos, venas, neruos, ossa, & bene posita, & bene detenta.

XI. Distentio fit maxime circa maxima, & crassissima, & æqualia, & ubi ambo ossa læsa sunt. [2] Secundo loco ubi subjectum, [3] minime ubi supernum. [4] Si vero magis moderato fiat, 49 detrimentum affert: pueris ex-50 ceptis. [5] Oportet autem ipsa paululum acclivia habere. [6] Dire-51 ctionis exemplum, æquivo-150 cum, conjugarum, simile, sa-52 num. [7] Defrictio potest solvere, ligare, incarnare, minuere: [8] 53 dura, ligare: [9] mollis, solvere: [10] multa, minuere: [11] moderata, crassefacere. [12] Deligare ve-54 ro oportet, primum ut is, qui deligatur, dicat maxime se com-55 pressum esse circa læsam partem, minime circa extremas: [13] & 56 firmatum se esse, non compres-57 sum, copia linteorum, non robore: [14] & hac die ac nocte paulo 'magis, [15] postridie minus, 155 [16] tertia laxe. [17] Reperiatur autem postridie in extremis partibus rumor mollis. [18] Tertia ve-58 ro die deligatum solutum gracilius fit, atque hoc per omnes deligationes. [19] Secunda vero deligatione an juste deligatum 59 apparuerit, discere oportet. [20] Hinc autem magis & pluribus comprimatur. [21] Tertia adhuc magis, itemque pluribus. [22] Septima vero a prima deligatio-60 ne soluta, inveniantur gracilia 61 ossa ac 'depressa. [23] At vero in 160 ferulas deligata, si gracilia & pruritus exortia, & sine ulcere fuerint, sinere oportet usque ad dies viginti a læsione. [24] Si vero quid suspectum sit, solvere in medio tempore, & ferulas tertio

κατέθηκας διὰ τρίτης ἐρείδειν.

XII. Ἡ ἀνάληψις, ἡ θέσις, ἡ ἐπίδεσις ὡς ἐν τῷ αὐτῷ ᾖ διαφυλάσσειν. [2] κεφάλαιον σχημάτων, ἔθη [καὶ] φύσιες ἑκάστου τῶν μελέων. [3] τὰ εἴδεα ἐκ τοῦ τρέχειν, ὁδοιπορέειν, ἑστάναι, κατακέεσθαι, ἐκ τοῦ ἔργου, ἐκ τοῦ ἀφεῖσθαι. [4] ὅτι χρῆσις κρατύνει, ἀργίη δὲ τήκει. [5] τήκει [καὶ] ἡ πίεξις, ἢ πλήθει, ἢ ἰσχύϊ. [6] ὁκόσα δὲ ἐκχυμώματα, ἢ φλάσματα, ἢ σπάσματα, ἢ οἰδήματα ἀφλέγμαντα ἐξερεύγεται αἷμα ἐκ τοῦ τρώματος, [7] ἐς μὲν τὸ ἄνω τοῦ σώματος τὸ πλεῖστον, βραχὺ δέ τι καὶ ἐς τὸ κάτω, [8] μὴ κατάντη τὴν χεῖρα ἔχοντα ἢ τὸ σκέλος. [9] τεθέμενον τὴν ἀρχὴν κατὰ τὸ τρῶμα, καὶ μάλιστα ἐρείδοντα, ἥκιστα τὰ ἄκρα, μέσως τὰ διὰ μέσου, τὸ ἔσχατον πρὸς τὰ ἄνω τοῦ σώματος νενεμημένον ἐπιδέσει, πιέξει. [10] ἀτὰρ καὶ ταῦτα πλήθει μᾶλλον, ἢ ἰσχύϊ. [11] μάλιστα δὲ τουτέοισιν ὀθόνια λεπτά, κοῦφα, μαλθακά, καθαρά, πλατέα, ὑγιέα, ὡς ἂν ἄνευ ναρθήκων, [12] καὶ καταχύσει χρέεσθαι πλείονι.

XIII. Τὰ δὲ ἐκπτώματα, ἢ στρέμματα, ἢ διαστήματα, [2] ἢ ἀποσπάσματα, ἢ ἀποκλάσματα, ἢ διαστρέμματα, [3] οἷα τὰ κυλλὰ τὰ ἑτερόρροπα, ἔνθεν μὲν ἐξέστη, ξυνδιδόντα, [4] ὅπῃ δὲ συντείνοντα, ὡς ἐς τἀναντία ῥέπῃ, ἐπιδεθέντα, [5] ἢ πρὶν ἐπιδεθῆναι σμικρῷ μᾶλλον, ἢ ὥστε ἐξ ἴσου εἶναι, [6] καὶ τοῖσιν ἐπιδέσμοισι, καὶ τοῖσι σπλήνεσι, καὶ ταῖ-

tertio quoque die firmare.

XII. Appensio, positio, deligatio, ut in eodem statu sint custodire oportet. [2] Figurarum summa hæc est, consuetudines, naturæ singulorum membrorum, [3] species ex currendo, ambulando, stando, decumbendo, ex opere, ex remittendo. [4] (Nam usus corroborat, ocium autem colliquat:) [5] aut compressione, aut copia linteorum. [6] Quæcunque vero effuso sanguine sugillationes, aut contusiones, aut vulsiones, aut tumores inflammationis exortes, ex vulnere oboriuntur, [7] ad supernam partem plurimum, ad infernam etiam parum deligare oportet, [8] ita ut manum aut crus non habeat in declive, [9] & initium supra vulnus ponat, ac maxime firmet, minime extremas partes, medio modo medias, ultimam partem ad supernas corporis partes distribuendo, deligatione, compressione. [10] Sed & hæc, copia magis quam robore. [11] Maxime autem his lintea tenuia, levia, mollia, pura, lata, sana debentur, utpote sine ferulis: [12] & uberiore perfusione uti oportet.

XIII. At vero elapsiones aut laxationes, aut tortiones, aut distantiæ disparatæ, [2] aut avulsiones, aut abruptiones, aut distortiones, [3] veluti mutilationes ad alteram partem vergentes, unde quidem excesserunt, remittendo deligare oportet: [4] quo vero excesserunt, intendendo deligamentum, ut ad contraria vergant deligata, [5] etiam priusquam fuerint deligata, paulo magis quam ut ex æquo sint, [6] & deligamentis, & splenis, & appensionibus, & figu-

τοῖσιν ἀναλήμμασι, καὶ τοῖσι σχήμασι, [7] κατατάσει, [a] ἀνατρίψει, διορθώσει, [8] τοῦτο καὶ καταχύσει πλείονι. [9] [b] Τὰ δὲ μινυθήματα πολὺ περιλαμβάνοντα τοῦ ὑγιέος, ἐπιδεῖν [c] ὡς ἂν ἐξ ἐπιδρομῆς τὰ συντηκόμενα πλείονα ἢ αὐτόματα ἐμινύθη, [10] [d] ἢ ἄλλῃ ἢ τῇ ἐπιδέσει παραλλάξαντα ἐκκλίνῃ ἐς τὴν αὔξησιν καὶ τὴν ἀνάπλασιν τῶν σαρκῶν ποιήσηται. [11] Βέλτιον δὲ καὶ τὰ ἄνωθεν, οἷον κνήμης [e] καὶ τοῦ μηροῦ, καὶ τὸ ἕτερον σκέλος τῷ ὑγιεῖ συνεπιδεῖν. [12] ὡς ὁμοιότερον ᾖ καὶ ὁμοίως ἐλινύῃ, καὶ ὁμοίως τῆς τροφῆς ἀποκλείηται καὶ δέχηται. [13] ὀθονίων πλῆθος μὴ ἐξ. [14] ἀνιέντα πρῶτον τὸ μάλιστα δεόμενον, [15] καὶ ἀνατρίψει χρώμενον σαρκῶσαι, [16] καὶ καταχύσει ἄνευ ναρθήκων.

XIV. Τὰ δὲ ἐρείσματα καὶ ἀποστηρίγματα, οἷον στήθει, πλευρῇσι, κεφαλῇ, καὶ τοῖσιν ἄλλοισιν ὅσα τοιαῦτα, [2] τὰ μὲν σφίγξιος εἵνεκεν, ὡς μὴ ἐνσείηται, [3] τὰ δὲ καὶ τῶν διεστώτων [a] τῶν κατὰ τὰς ἁρμονίας ἐν τοῖσι κατὰ τὴν κεφαλὴν ὀστέοισιν [b] ἐρεισμάτων χάριν, [4] ἐπί τε βηχέων, ἢ πταρμῶν, ἢ ἄλλης κινήσιος. [5] οἷον τὰ κατὰ τὸν θώρηκα καὶ κεφαλὴν ἀποστηρίγματα γίνεται. [6] τουτέων ἁπάντων αἱ αὐταὶ ξυμμετρίαι τῆς ἐπιδέσιος. [7] [c] ᾗ μὲν γὰρ τὰ σίνεα, μάλιστα πιέζειν. [8] ὑποτιθέναι οἷον εἴριον [ἢ] μαλθακόν τι ἁρμόζον τῷ πάθει. [9] ἐπιδεῖν δὲ μὴ μᾶλλον πιέζοντα, [d] ἢ ὥστε τοὺς σφυγμοὺς μὴ ἐνσείεσθαι, [10] [e] τάς τε διαστάσιας τῶν ἁρμονιῶν ψαύειν τι [f] ἔχοντα ἀλλήλων, [11] [g] μήτε ἀμφὶ τοῖσι πταρμοῖσι καὶ βηξίν,

figuris, [7] extensione, defrictione, directione: [8] & hic etiam uberiore perfusione. [9] Cæterum imminutiones multam sanam partem occupando deligare oportet, ut ex influxione, qua colliquata plus quam sua sponte imminuta sunt, [10] alia deligatione permutata, ad augmentum declinent, & carnium efformationem faciant. [11] Melius autem est ut & superna pars simul deligetur, velut tibiæ & femorum, & alterum crus cum sano crure, quo similius sit, & similiter quiescat, [12] & similiter alimentum excludant, & suscipiant. [13] Linteorum vero copia, non compressione utendum est, [14] remittendo primum id quod maxime opus habet, [15] & utendo defrictione incarnanre, [16] & perfusione absque ferulis.

XIV. Fulcimenta porro ac stabilimenta adhibere oportet, veluti pectori, costis, capiti, & aliis quæ ejusmodi sunt: [2] partim pulsuum gratia; ut ne concutiantur: [3] partim etiam distantiarum, disparatarum gratia, circa juncturas in ossibus capitis, quo firmentur. [4] Et in tussibus, aut sternutationibus, aut alio motu, [5] qualia fiunt circa thoracem & caput stabilimenta. [6] Horum omnium eædem sunt deligationis commoderationes. [7] Qua enim parte læsiones sunt, maxime comprimendum est. [8] Supponere igitur oportet lanam mollem, affectioni convenientem: [9] deligare vero non amplius comprimendo, ut ne pulsus concutiantur: [10] neque amplius quam ut distantium juncturarum extremitates mutuo se contingant. [11] Neque ut tusses & sternutatio-

ξιν, ἀλλ' ὥστε ἀποστήριγμα εἶναι, [12] καὶ μήτε διαναγκάζηται, μήτε ἐνσείηται.

nes fiant, sed ut prohibeantur, stabilimentum adhibeatur, quo [12] neque cogatur quid, neque concutiatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΔΙΑΙΤΗΣ ΥΓΙΕΙΝΗΣ.

Basil. græc. Foesius sect. XV. 3. 337.

pag 25

ΤΟΥΣ ἰδιώτας ὧδε χρὴ διαιτᾶσθαι. [2] τοῦ μὲν χειμῶνος ἐσθίειν ὡς πλεῖστα, πίνειν δ' ὡς ἐλάχιστα. [3] εἶναι δὲ [χρὴ] τὸ [μὲν] πόμα οἶνον ὡς ἀκρητέστατον. [4] τὰ δὲ σιτία, ἄρτον· [5] καὶ τὰ ὄψα, ὀπτὰ πάντα. [6] λαχάνοισι δὲ ὡς ἐλαχίστοισι χρῆσθαι κατὰ ταύτην τὴν ὥρην. [7] οὕτω γὰρ ἂν μάλιστα τὸ σῶμα ξηρόν τε εἴη καὶ θερμόν. [8] ὁκόταν δὲ τὸ ἔαρ ἐπιστῇ, τότε πόμα χρὴ πλέον πίνειν [καὶ] οἶνον ὑδαρέστερον καὶ κατ' ὀλίγον, [9] καὶ τοῖσι σιτίοισι μαλακωτέροισι χρῆσθαι καὶ ἐλάσσοσι, [10] καὶ τὸν ἄρτον ἀφαιρέοντα μᾶζαν προστιθέναι, [11] καὶ τὰ ὄψα κατὰ τὸν αὐτὸν λόγον ἀφαιρέειν, [12] καὶ ἐκ τῶν ὀπτῶν πάντα ἑφθὰ ποιέεσθαι, [13] καὶ λαχάνοισι διαχρέεσθαι τοῦ ἦρος ὀλίγοισιν, ἕως ἐς τὸ θέρος καταστήσεται ὁ ἄνθρωπος, [14] τοῖσί τε σιτίοισι μαλακωτέροισι χρεώμενος, καὶ τοῖσιν ὄψοισιν ἑφθοῖσι, καὶ λαχάνοισιν ἑφθοῖσι καὶ ὠμοῖσιν. [15] ὡσαύτως καὶ τοῖσι πόμασιν, ὡς ἔφην, ὑδαρεστάτοισι καὶ πλείστοισι. [16] ἀλλ', ὅκως μὴ μεγάλη ἡ μεταβολὴ ἔσται, κατὰ μικρὸν μὴ ἐξαπίνης χρεώμενος. [17] τοῦ δὲ θέρεος τῇ τε μάζῃ μαλακῇ τρέφεσθαι, καὶ τῷ ποτῷ ὑδαρεῖ καὶ πολλῷ, καὶ τοῖσιν ὄψοισι πᾶσιν ἑφθοῖσι. [18] καὶ ὅταν

HIPPOCRATIS DE SALUBRI DIÆTA.

Basil. lat. III 366 pag 37

IDIOTAS & privatos homines hac diæta uti oportet. [2] Hyeme quidem comedere quam plurima, bibere autem quam parcissime. [3] Sit potus vinum quam meracissimum: [4] cibi, panis, [5] & obsonia assata omnia. [6] Oleribus quam paucissimis hoc tempore utendum est. [7] Sic enim corpus maxime siccum ac calidum reddetur. [8] Ubi vero ver apprehenderit, tunc sane potum ampliorum assumere oportet, vinum dilutius & paulatim: [9] cibis quoque mollioribus ac paucioribus tum utendum est: [10] & ablato pane, mazam exhibere, [11] & juxta eandem rationem obsonia detrahere, [12] & ex assatis omnia cocta facere. [13] Oleribus vero paucis tunc uti oportet, donec ad æstatem perveniat homo, [14] cibis mollioribus utendo, & obsoniis coctis, & oleribus, tam crudis quam coctis, [15] similiterque potibus quam dilutissimis ac plurimis: [16] ita tamen ut paulatim non de repente his utatur, ne videlicet magna mutatio fiat. [17] At vero æstate maza molli nutriatur, & potu aquoso ac multo, obsoniis omnibus coctis. [18] Sic autem

οὕτω δεῖ χρέεσθαι τούτοισιν, ὅκως τὸ θέρος ᾖ, ὅκως ψυχρὸν εἴη τὸ σῶμα καὶ μαλακόν. [19] καὶ γὰρ ἡ ὥρη θερμή τε καὶ ξηρή, [20] καὶ ποιεῖ τὰ σώματα καυματώδεα καὶ αὐχμηρά. [21] δεῖ οὖν τοῖσιν ἐπιτηδεύμασι τούτοισιν ἀλέξασθαι. [22] κατὰ δὲ τὸν αὐτὸν λόγον, ὥσπερ ἐκ τοῦ χειμῶνος ἐς τὸ ἦρ, οὕτω καὶ ἐκ τοῦ ἦρος "ἐς τὸ θέρος καταστῆναι, [23] τῶν μὲν σιτίων ἀφαιρέων, τῷ δὲ
35 ποτῷ προστιθείς. [24] "καὶ 'οὕτω τὰ ἐναντία ποιέοντα καταστῆναι ἐκ τοῦ θέρεος ἐς τὸν χειμῶνα. [25] ἐν δὲ τῷ φθινοπώρῳ πάλιν, τὰ μὲν σιτία πλείω ποιεύμενον καὶ ξηρότερα, καὶ τὰ ὄψα κατὰ λόγον, τὰ δὲ ποτὰ ἐλάσσω τε καὶ ἀκρητέστερα. [26] οὕτω δὲ χειμὼν ἀγαθός ἐστιν, εἰ ὥνθρωπος διαχρήσεται τοῖσί τε πόμασιν ἀκρητεστέροισι καὶ ὀλίγοισι, καὶ τοῖσι σιτίοισιν ὡς πλείστοισί τε καὶ ξηροτάτοισιν. [27] οὕτω γὰρ ἂν καὶ ὑγιαίνοι μάλιστα, καὶ ῥιγώη ἥκιστα. [28] ἡ γὰρ ὥρη λίαν ψυχρή τε καὶ ὑγρή.

40 II. Τοῖσι δ' εἴδεσι τοῖσι σαρκώδεσι "καὶ μαλθακοῖσι καὶ ἐρυθροῖσι ξυμφέρει δὴ τὸν πλείονα χρόνον τοῦ ἐνιαυτοῦ ξηροτέροισι διαιτήμασι χρέεσθαι. [2] ὑγρὴ γὰρ ἡ φύσις τῶν εἰδέων τουτέων. [3] "τοὺς δὲ στρυφνοὺς καὶ προσεσταλμένους, καὶ πυῤῥοὺς καὶ ἰσχνοὺς καὶ μέλανας, τῇ ὑγροτέρῃ διαίτῃ χρὴ τὸ πλεῖον τοῦ χρόνου ἐνδιαιτᾶσθαι. [4] τὰ γὰρ σώματα τοιαῦτα ὑπάρχει ξηρὰ ἐόντα. [5] καὶ τοῖσι νέοισι τῶν σωμάτων ξυμφέρει μαλακωτέροισί τε καὶ ὑγροτέροισι χρέεσθαι τοῖσι διαι-
45 τήμασιν. [6] ἡ γὰρ ἡλικίη ξηρή, καὶ 'τὰ σώματα πέπηγεν ἔτι. [7] τοὺς δὲ πρεσβυτέρους τῷ ξηροτέρῳ χρὴ τρόπῳ τὸ πλεῖον τοῦ χρόνου διάγειν. [8] τὰ γὰρ σώματα ἐν ταύτῃ τῇ ἡλικίῃ ὑγρὰ καὶ μαλθακὰ καὶ ψυχρά. [9] δεῖ οὖν πρὸς τὴν ἡλικίην, καὶ τὴν ὥρην, καὶ τὸ ἔθος,

autem his ubi æstas fuerit uti 'oportet, ut frigidum sit cor- 15 pus & molle. [19] Tempus enim calidum est & siccum, [20] & facit corpora æstuosa ac squallida. [21] Quapropter tali studio auxiliari oportet. [22] Juxta eandem vero rationem, quemadmodum ex hyeme ad ver;
5 sic ex vere ad æstatem deducendus est, [23] cibo quidem
6 detracto, potu vero aucto. [24] Sic quoque contraria faciendo ex æstate ad hyemem perducatur. [25] In autumno vero rursus cibi plures 'exhibendi sunt 20 & sicciores, & obsonia juxta eandem rationem, potus vero pauciores & meraciores, [26] quo etiam hyems bona fiat, & homo in ipsa utatur potibus meracioribus ac paucis, cibis vero quam plurimis ac siccissimis. [27] Sic enim & maxime sanus fuerit, & minime frigore impetetur. [28] Nam tempus hoc valde frigidum ac humidum exi-
7 stit.

II. Porro habitibus corporum carnosis & mollibus ac rubris, 'plurimo anni tempore 25
8 siccioribus diætis uti conducit. [2] Humida enim est ipsorum natura. [3] Verum duros & graciles, fulvosque ac nigros, humidiore diæta majore temporis parte victitare oportet. [4] Corpora enim talia sicca existunt. [5] Sed & juvenibus corporibus, mollioribus & humidioribus diætis uti confert. [6] Nam ætas ipsorum sicca est, & corpora compacta sunt. [7] Seniores autem secciore victus modo, majori 'temporis 30 parte degere oportet. [8] Corpora enim in hac ætate humida sunt, & mollia ac frigida. [9] Oportet igitur & ad ætatem, & ad tem-

ἔθος, καὶ τὴν χώρην, καὶ τὰ εἴδεα, τὰ διαιτήματα ποιέεσθαι, [10] ἐναντιεύμενον τοῖσι καθισταμένοισι καὶ θάλπεσι καὶ χειμῶσι. [11] οὕτω γὰρ ἂν μάλιστα ὑγιαίνοιεν.

III. Καὶ ὁδοιπορέειν, τοῦ μὲν χειμῶνος, ταχέως χρή· [2] τοῦ δὲ θέρεος, ἡσυχῆ, ἢν μὴ διὰ καύματος ὁδοιπορέῃ. [3] δεῖ δὲ καὶ τοὺς σαρκώδεας θᾶσσον ὁδοιπορέειν· [4] τοὺς δὲ ἰσχνοὺς ὀλιγέστερον. [5] λουτροῖσι δὲ χρὴ πολλοῖσι χρέεσθαι τοῦ θέρεος, τοῦ δὲ χειμῶνος ἐλάσσοσι. [6] χρὴ δὲ τοὺς στρυφνοὺς μᾶλλον λούεσθαι τῶν σαρκωδέων. [7] ἠμφιέσθαι δὲ χρὴ τοῦ χειμῶνος καθαρὰ ἱμάτια· [8] τοῦ δὲ θέρεος ἐλαιοπινέα.

IV. Τοὺς δὲ παχέας χρή, καὶ ὅσοι βούλονται λεπτοὶ γενέσθαι, [2] τὰς ταλαιπωρίας ἁπάσας νήστιας ποιέεσθαι, [3] καὶ τοῖσι σιτίοισιν ἐπιχειρέειν ἔτι ἀσθμαίνοντας ἐκ τοῦ πόνου, καὶ μὴ ἀνεψυγμένους, [4] καὶ προπεπωκότας οἶνον κεκρημένον, [5] καὶ μὴ σφόδρα ψυχρόν· [6] καὶ τὰ ὄψα σκευάζειν σησάμοισιν, ἢ ἡδύσμασι, καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιουτοτρόποισι. [7] καὶ πίονα ἔστω τὰ προσφερόμενα ὄψα. [8] οὕτω γὰρ ἂν ἀπὸ ἐλαχίστων ἐμπιμπλαῖντο. [9] ἀλλὰ καὶ μονοσιτέειν, καὶ ἀλουτέειν, καὶ σκληροκοιτέειν, καὶ γυμνὸν περιπατέειν, ὅσον οἷόν τε μάλιστα ᾖ. [10] ὁκόσοι δὲ βούλονται, λεπτοὶ ἐόντες, παχέες γενέσθαι, τά τε ἄλλα ποιέειν τἀναντία κείνοισιν, οἷσιν ἔφην, [11] καὶ νήστιας μηδεμίην ταλαιπωρίην ποιέεσθαι.

V. Τοῖσι δὲ ἐμέτοισι χρὴ καὶ τοῖσι κατακλύσμασι τοῖσι τῆς κοιλίης ὧδε χρέεσθαι. [2] ἓξ μῆνας τοὺς χειμερινοὺς ἐμέειν. [3] οὗτος γὰρ ὁ χρόνος φλεγματωδέστερος τοῦ θερινοῦ, [4] καὶ τὰ νοσήματα γίνεται περὶ

pus anni, & ad corporum species ac habitus, diætas constituere, [10] ita ut consistentibus & caloribus, & frigoribus nos opponamus. [11] Sic enim maxime sani fuerint.

III. Quin & ambulandum hyeme quidem velociter est, [2] æstate autem leniter, nisi per solis æstum iter faciendum sit. [3] Oportet autem & carnosos citius ambulare, [4] graciles vero tardius. [5] Balneis quoque multis æstate utendum est, hyeme paucioribus. [6] Gracilibus autem magis expedit lavari, quam carnosis. [7] Vestes autem puras induere hyeme oportet: [8] oleo imbutas ac sordidas, æstate.

IV. Cæterum pingues, & qui graciles fieri volunt, [2] omnes labores jejuni facere debent, [3] & cibos assumere anhelantes adhuc ex fatigatione, & non refrigerari, [4] præpoto vino diluto, [5] & non valde frigido, [6] & obsonia præparata assumere ex sesamis, aut condimentis hortensibus, & aliis hujuscemodi. [7] Sint autem obsonia pinguia quæ offeruntur. [8] Sic enim à quam paucissimis impleri poterint. [9] Sed & semel in die cibum sumere, & illotum manere, & stratum durum habere, & nudum deambulare oportet, quantum ejus maxime fieri potest. [10] Quicunque vero graciles sunt, & pingues fieri volunt, tum alia his, quæ dixi, contraria facere, [11] tum jejunos nullum laborem subire oportet.

V. At vero vomitibus & alvi per infusa elotionibus hoc modo utendum est. [2] Sex menses hybernos vomendum est. [3] Hoc enim tempus pituitosius est æstivo, [4] & morbi circa caput fiunt,

περὶ τὴν κεφαλὴν, καὶ περὶ τὸ χωρίον τοῦτο τὸ ὑπὲρ τῶν φρενῶν. [5] Ὁκόταν δὲ ᾖ θάλπος, τοῖσι ἐγκλύσμασι χρέεσθαι. [6] ἡ γὰρ ὥρη καυματώδης, καὶ τὸ σῶμα χολωδέστερόν ἐστι, [7] καὶ βαρύτητες ἐν τῇ ὀσφύϊ καὶ τοῖς γούνασι, καὶ θέρμαι γίνονται, [8] καὶ ἐν γαστρὶ στρόφοι γίνονται. [9] δεῖ οὖν τὸ σῶμα ψύχειν, [10] καὶ τὰ μετεωριζόμενα κάτω ὑπάγειν ἐκ τῶν χωρίων τούτων.

VI. Ἔστω γε τὰ ἐγκλύσματα τοῖσι μὲν παχυτέροισι καὶ ὑγροτέροισιν, ἁλμυρότερα καὶ λεπτότερα· [2] τοῖσι δὲ ξηροτέροισι καὶ ἰσχνοτέροισι καὶ ἀσθενεστέροισι, λιπαρώτερα καὶ παχύτερα. [3] ἔστι δὲ τὰ ἐγκλύσματα λιπαρὰ καὶ παχέα, ὅσα ἀπὸ τοῦ γάλακτος, καὶ ἀπὸ ἐρεβίνθων ὕδατος ἑφθοῦ, καὶ τῶν ἄλλων τοιουτέων. [4] τὰ δὲ λεπτὰ καὶ ἁλμυρὰ, ἅλμη καὶ θάλασσα, καὶ τὰ τοιαῦτα.

VII. Τοὺς δὲ ἐμέτους ὧδε χρὴ ποιέεσθαι. [2] ὁκόσοι μὲν τῶν ἀνθρώπων παχέες εἰσὶ, καὶ μὴ ἰσχνοὶ, νήστιες ἐμεύντων δραμόντες ἢ ὁδοιπορήσαντες διὰ τάχεος κατὰ μέσον τῆς ἡμέρης. [3] ἔστω δὲ ἡμικοτύλιον ὑσσώπου τετριμμένον ἐν ὕδατος χοεῖ, καὶ τοῦτο ἐκπιέτω, ὄξος παραχέων, καὶ ἅλας παραβάλλων, ὅκως ἂν μέλλῃ ἥδιστον ἔσεσθαι. [4] πινέτω δὲ τὸ μὲν πρῶτον ἡσυχέστερον, ἔπειτα δὲ ἐπὶ θᾶσσον. [5] οἱ δὲ λεπτότεροι καὶ ἀσθενέστεροι ἀπὸ σιτίων ποιείσθωσαν τὸν ἔμετον, τρόπῳ τοιῷδε. [6] λουσάμενος θερμῷ, προπιέτω ἀκρήτου κοτύλην, [7] ἔπειτα σιτία παντοδαπὰ ἐσθιέτω, [8] καὶ μὴ πινέτω ἐπὶ τῷ σιτίῳ, μηδὲ ἀπὸ τοῦ σιτίου, [9] ἀλλ' ἐπισχέτω ὅσον δέκα στάδια διελθεῖν. [10] ἔπειτα δὲ ξυμμίξας οἴνους τρεῖς, αὐστηρὸν, γλυκὺν καὶ ὀξὺν, πίνειν διδόναι, [11] πρῶτον μὲν ἀκρητέστε-

fiunt, & regionem eam quæ est supra septum transversum. [5] Quum vero æstus ac calor fuerit, infusis utendum est. [6] Hora enim hæc æstuosa est, & corpus biliosius, [7] & lumbi ac genua gravantur, & calores oboriuntur, [8] & in ventre tormina fiunt. [9] Quapropter corpus perfrigerare oportet, [10] & quæ in sublime elevantur, inferne subducere ex istis locis.

VI. Sint autem infusa pro crassioribus ac humidioribus salsiora & tenuiora; [2] pro siccis vero & gracilibus ac debilioribus, pinguiora ac crassiora. [3] Crassa autem & pinguia infusa sunt quæ ex lacte fiunt, & cicerum decoctum, & alia hujusmodi. [4] Tenuia vero & salsa, sunt muria & aqua marina, & ejuscemodi.

VII. At vero vomitus sic facere oportet. [2] Quicunque homines crassi ac pingues sunt, & non graciles, jejuni vomant à cursu aut ambulatione cita, juxta meridiem. [3] Sit autem dimidia hemina hyssopi in aquæ congio contriti, atque hoc ebibat, affuso aceto & adjecto sale, quo jucundius evadat. [4] Bibat autem primum sensim ac lentius, postea amplius & citius. [5] Qui vero graciliores sunt ac debiliores, à cibis vomitum faciant hoc modo. [6] Lotus calida præbibat meri heminam, [7] deinde cibos omnigenos edat, [8] & neque dum cibum sumit, neque à cibo bibat, [9] sed contineat se donec quatuor stadia quis percurrat: [10] deinde vina tria permixta ipsi in potu offerantur, austerum, dulce, ac acidum, [11] primum quidem me-

ρον καὶ κατ' ὀλίγον καὶ διὰ πολλοῦ χρόνου, [12] ἔπειτα δὲ ὑδαρέστερον καὶ θᾶσσον καὶ κατὰ πολλόν. [13] ὅστις δὲ εἴωθε τοῦ μηνὸς δὶς ἐξεμέειν, ἄμεινον, ἐφεξῆς ποιέεσθαι τοὺς ἐμέτους ἐν δυσὶν ἡμέρῃσι μᾶλλον, ἢ διὰ πεντεκαίδεκα. [14] οἱ δὲ πᾶν τοὐναντίον ποιέουσιν.

VIII. Ὁκόσοισι δὲ ἐπιτήδειον ἀνεμέειν τὰ σιτία, [2] ἢ ὁκόσοισιν αἱ κοιλίαι οὐκ εὐδιέξοδοί εἰσι, [3] τούτοισι πᾶσι ξυμφέρει πολλάκις τῆς ἡμέρης ἐσθίειν, [4] καὶ παντοδαποῖσι βρώμασι χρέεσθαι, [5] καὶ ὄψοισι παντοίους τρόπους ἐσκευασμένοισι, [6] οἶνόν τε πίνειν δισσὸν καὶ τρισσόν. [7] ὁκόσοι δὲ ἀνεμέουσι τὰ σιτία, ἢ καὶ κοιλίας ἔχουσιν ὑγράς, τούτοισι πᾶσι τοὐναντίον τουτέου τοῦ τρόπου ξυμφέρει ποιέειν.

IX. Τὰ δὲ παιδία χρὴ τὰ νήπια βρέχειν ἐν τῷ θερμῷ ὕδατι ἐπὶ πουλὺν χρόνον, [2] καὶ πίνειν διδόναι ὑδαρέα τὸν οἶνον, καὶ μὴ ψυχρὸν παντάπασι. [3] τοῦτον δὲ διδόναι, ὃς ἥκιστα τὴν γαστέρα μετεωριεῖ καὶ φύσαν παρέξει. [4] ταῦτα δὲ ποιέειν, ὅκως οἵ τε σπασμοὶ ἧσσον ἐπιλαμβάνωσι, [5] καὶ μέζονα γίνηται, καὶ ἰσχυρότερα.

X. Τὰς δὲ γυναῖκας χρὴ διαιτᾶσθαι τῷ ξηροτέρῳ τῷ τρόπῳ. [2] καὶ γὰρ τὰ σιτία τὰ ξηρὰ ἐπιτηδειότερά ἐστι πρὸς τὴν μαλθακότητα τῶν γυναικείων σαρκῶν, [3] καὶ τὰ ἀκρητέστερα πόματα ἀμείνω πρὸς τὰς ὑστέρας, [4] καὶ τὰς κυοτροφίας.

XI. Τοὺς γυμναζομένους χρὴ, τοῦ χειμῶνος [μὲν] καὶ τρέχειν καὶ παλαίειν. [2] τοῦ δὲ θέρεος παλαίειν μὲν ὀλίγα, τρέχειν δὲ μή, περιπατέειν δὲ πολλὰ κατὰ ψύχος. [3] ὁκόσοι κοπιῶσιν ἐκ τῶν δρόμων, τούτους παλαίειν χρή, [4] ὁκόσοι δὲ παλαίοντες κοπιῶσι, τούτους

meracius, & paulatim, & per multum temporis spacium, [12] deinde vero dilutius & citius & multum, [13] Quicunque autem bis in mense vomere consuevit, huic melius est ut consequenter in duobus diebus vomat, quam per quintum & decimum. [14] Verum aliqui penitus contrarium faciunt.

VIII. Quibuscunque vero commodum est revomere cibos, [2] aut quibus alvi non probum transitum habent, [3] his omnibus conducit sæpe in die comedere, [4] & omnigenis eduliis uti, [5] & obsoniis variis modis præparatis, [6] vinumque bibere duplex aut triplex. [7] Qui vero revomunt cibos aut alvos habent humectas, his omnibus contrarium hujusmodi facere conducit.

IX. Cæterum puerulos infantes per multum tempus in aqua calida madefacere oportet, [2] & vinum bibendum dare aquosum, & non penitus frigidum. [3] Dandum est & id vinum, quod minime ventrem elevet ac inflet. [4] Hæc autem facere oportet, ut & convulsionibus minus corripiantur, [5] & majores fiant, ac meliorem colorem adipiscantur.

X. Mulieres porro siccioris modi diæta uti oportet. [2] Nam & cibi sicciores ad muliebrium carnium molliciem commodiores sunt, [3] & meraciores potus præstabiliores sunt ad uteros [4] ac fœtuum nutrimenta.

XI. Qui exercitiis utuntur, hyeme currere ac luctari debent. [2] Æstate vero luctari quidem parum, currere autem minime, sed multum deambulare secundum ventum ac frigus. [3] Quicunque ex cursibus fatigati fuerint, eos luctari oportet. [4] Qui vero ex lucta fatigantur,

τούτους χρὴ τρέχειν. [5] οὕτω γὰρ ἂν ταλαιπωρέειν τῷ κοπιῶντι τοῦ σώματος διαθερμαινομένῳ, καὶ ξυνιστῷτο καὶ διαναπαύοιτο μάλιστα. [6] ὁκόσους γυμναζομένους διάῤῥοιαι λαμβάνουσι, καὶ τὰ ὑποχωρήματα σιτώδεα καὶ ἄπεπτα, [7] τουτέοισι τῶν τε γυμνασίων ἀφαιρέειν μὴ ἔλασσον τοῦ τρίτου μέρεος, καὶ τῶν σιτίων τοῖσιν ἡμίσεσι χρέεσθαι. [8] δῆλον γὰρ, ὅτι ἡ κοιλίη ξυνθάλπειν οὐ δύναται, ὥστε πέσσεσθαι, τὸ πλῆθος τῶν σιτίων. [9] ἔστω δὲ τούτοισι τὰ σιτία, ἄρτος ὡς ἐξοπτότατος ἐν οἴνῳ ἐντεθρυμμένος, [10] καὶ ποτὰ ὡς ἐλάχιστα καὶ ἀκρητέστατα, [11] καὶ περιπάτοισι μὴ χρέεσθαι ἀπὸ τοῦ σιτίου. [12] μονοσιτέειν δὲ χρὴ ὑπὸ τοῦτον τὸν χρόνον. [13] οὕτω γὰρ ἂν μάλιστα ξυνθάλποιτο ἡ κοιλίη, καὶ τῶν ἐσιόντων ἐπικρατοίη. [14] γίνεται δὲ ὁ τρόπος οὗτος τῆς διαῤῥοίης τῶν σωμάτων τοῖσι πυκνοσάρκοισι μάλιστα, ὁκόταν ἀναγκάζηται ὁ ἄνθρωπος κρεηφαγέειν, τῆς φύσιος ὑπαρχούσης τοιαύτης. [15] αἱ γὰρ φλέβες πυκνωθεῖσαι οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν ἐσιόντων. [16] ἔστι δὲ αὕτη μὲν ὀξέη ἡ φύσις, καὶ τρέπεται ἐφ' ἑκάτερα, [17] καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξίη ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων. [18] τὰ δὲ ἀραιότερα τῶν εἰδέων καὶ δασύτερα καὶ τὴν κρεηφαγίην δέχεται, καὶ τὰς ταλαιπωρίας μᾶλλον ὑπομένει, [19] καὶ χρονιώτεραι γίνονται αὐτέοισιν αἱ εὐεξίαι.

XII. Καὶ ὁκόσοι τὰ σιτία ἀνερεύγονται τῇ ὑστεραίῃ, καὶ τὰ ὑποχόνδρια μετεωρίζεται αὐτέοισιν, ὡς ἀπέπτων τῶν σιτίων ἐόντων, [2] τουτέοισι καθεύδειν μὲν πλέονα χρόνον ξυμφέρει, [3] τῇ δὲ ἄλλῃ ταλαιπωρίῃ ἀναγκάζειν χρὴ αὐτῶν τὰ σώμα-

eos currere expedit. [5] Sic enim laborans, fatigata corporis parte vel maxime calefieri componique ac recreari queat. [6] Quoscunque exercitiis utentes alvi profluvia corripiunt, & recrementa ciborum speciem referentia ac cruda habent, [7] his exercitiorum non minus quam tertiam partem detrahere oportet, & ciborum dimidium saltem exhibere: [8] palam est enim quod ventriculus confovere non potest, quo ciborum multitudo concoquatur. [9] Sint autem his cibi, panis quam maxime assatus in vino intritus, [10] & potus quam parcissimi, ac meracissimi, [11] & deambulationibus à cibo ne utantur. [12] Oportet autem sub hoc tempus semel dumtaxat in die cibum sumere. [13] Sic enim quam maxime concalescit ventriculus, & ea quæ ingesta sunt exsuperaverit. [14] Fit hic profluvii alvi modus maxime his corporibus quæ densam carnem habent, quum ad carnium esum homo cogitur, natura ejusmodi existente. [15] Venæ enim densatæ cibos ingestos non suscipiunt. [16] Est autem hæc natura acuta, & in utranque partem vertitur, [17] & ad modicum tempus viget bona habitudo in talibus corporibus. [18] At vero rariores ac hirsutiores corporum species ac habitus, tum carnium esum suscipiunt, tum labores magis tolerant, [19] & bonæ habitudines ipsis fiunt diuturniores.

XII. Quicunque postridie cibos eructant, & præcordia ipsis elevantur, utpote cibis crudis & incoctis existentibus, [2] his longiori quidem tempore dormire conducit, [3] verum & aliis laboribus corpora ipsorum co-

στόμαχος, [4] καὶ τὸν οἶνον ἀκρητέστερον πίνειν καὶ πλείω, [5] καὶ τοῖσι σιτίοισιν ἐλάσσοσι χρέεσθαι ὑπὸ τοῦτον τὸν χρόνον. [6] δῆλον γὰρ, ὅτι ἡ κοιλίη ὑπὸ ἀσθενείης καὶ ψυχρότητος οὐ δυνάται τὸ πλῆθος τῶν σιτίων καταπέσσειν.

XIII. Ὁκόσους δὲ δίψαι λαμβάνουσι, τούτοισι τῶν τε σιτίων καὶ ταλαιπωριέων ἀφαιρέειν, καὶ τὸν οἶνον πίνειν ὑδαρέα τε καὶ ὅτι ψυχρότατον. [2] ὁκόσοισι δὲ ὀδύναι γίνονται ἐκ τῶν σπλάγχνων, ἢ ἐκ γυμνασίης, ἢ ἐξ ἄλλης τινὸς ταλαιπωρίης, [3] τούτοισι ξυμφέρει ἀναπαύεσθαι ἀσιτέουσι, [4] πόμασι δὲ χρέεσθαι, ὅ,τι, ἐλάχιστον ἐς τὸ σῶμα ἐσιὸν, πλεῖστον οὖρον διάξει, [5] ὅπως αἱ φλέβες αἱ διὰ τῶν σπλάγχνων πεφυκυῖαι, μὴ κατατείνωνται πληρεύμεναι. [6] ἐκ γὰρ τῶν τοιουτέων τά τε φύματα φύονται, καὶ οἱ πυρετοὶ γίνονται.

XIV. [1] Ὁκόσοισι δὲ νοῦσοι ἀπὸ τοῦ ἐγκεφάλου γίνονται, [2] ἀνάγκη πρῶτον ἴσχειν τὴν κεφαλὴν, καὶ οὐρέειν θαμινὰ, καὶ τἄλλα πάσχειν, ὁκόσα ἐπὶ στραγγουρίῃ. [3] ἔτος ἐφ' ἡμέρας ἐννέα ταῦτα πάσχει. [4] καὶ, ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ὕδωρ ἢ βλέννα, ἀπαλλάσσεται τῆς νούσου, καὶ τῆς στραγγουρίης παύεται. [5] οὐρέει δὲ πολὺ, καὶ ἀπόνως, καὶ λευκὸν, [6] ἐς τ' ἂν εἴκοσιν ἡμέρας παρέλθῃ, [7] καὶ ἐκ τῆς κεφαλῆς ἡ ὀδύνη ἐκλείπει τὸν ἄνθρωπον, [8] ἐσορέοντι δὲ κλέπτεταί οἱ ἡ αὐγή. [9] ἄνδρα δὲ χρὴ, ὅστις ἐστὶ συνετὸς, λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ἡ ὑγιείη, [10] ἐπίστασθαι ἐκ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι.

gere oportet. [4] Vinum autem meracius & amplius bibant, [5] & cibis paucioribus sub id tempus utantur. [6] Palam est enim quod ventriculus præ imbecillitate ac frigiditate, ciborum multitudinem concoquere non potest.

XIII. Quoscunque vero sitis corripuerit, his & cibi & labores detrahendi sunt, & vinum bibant aquosum & quam frigidissimum. [2] Quibuscunque autem dolores fiunt ex visceribus, sive ex exercitiis, sive ex aliquo alio labore, [3] his quiescere conducit cibis abstinentes, [4] potione autem utantur, quæ quam parcissime in corpus assumpta, plurimam urinam ducat, [5] quo venæ visceribus insitæ non distendantur repletæ. [6] Ex talibus enim tubercula oboriuntur ac febres.

XIV. Quibuscunque vero morbi à cerebro fiunt, [2] torpor primum caput occupat, & frequenter mingit æger, & reliqua velut in urinæ stillicidio perpetitur: [3] atque hæc fine ad dies novem patitur. [4] Et siquidem, erumpat per nares aut aures aqua sive mucus, à morbo liberatur, & urinæ stillicidium sedatur. [5] Mingit autem multum, & citra dolorem, idque album, [6] donec viginti præterierint dies, [7] & capitis dolor hominem relinquit. [8] Intendenti autem oculos splendor occultatur. [9] Porro virum prudentem id secum reputare oportet, quod res preciosissima est sanitas, [10] & proinde scire ut ex suo ipsius consilio in morbis utilitatem percipiat.

ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

Basil. græc. Foesius IV. 44. 375.

543 pag 106 ΠΕΡΙ δὲ τῶν τεκμηρίων τῶν ἐν τοῖσιν ὕπνοισιν ὅστις ὀρθῶς γινώσκει, μεγάλην ἔχοντα δύναμιν εὑρήσει πρὸς ἅπαντα. [2] ἡ γὰρ ψυχὴ ἐγρήγορεν. [3] ὅταν μὲν οὖν τῷ σώματι ὑπηρετέῃ, ἐπὶ πολλὰ μεριζομένη, οὐ γίνεται αὐτὴ ἑωυτῆς. 40 [4] ἀλλ' ἀποδίδωσί τι μέρος ἑκάστῳ τοῦ σώματος· [5] ἤγουν τοῖσιν αἰσθητηρίοισιν, ἀκοῇ, ὄψει, ψαύσει, ὁδοιπορίῃ, πρήξεσι, καὶ πάσῃ τῇ τοῦ σώματος διανοίῃ· [6] αὐτὴ δ' ἑωυτῆς ἡ διάνοια οὐ γίνεται. [7] ὁκόταν δὲ τὸ σῶμα ἡσυχάσῃ, ἡ ψυχὴ κινευμένη καὶ ἐπεξέρπουσα τὰ μέρη τοῦ σώματος, [8] διοικεῖ τὸν ἑωυτῆς οἶκον, καὶ τὰς τοῦ σώματος πρήξιας ἁπάσας αὐτὴ διαπρήσσεται. [9] τὸ μὲν γὰρ σῶμα καθεῦδον οὐκ αἰσθάνεται· [10] ἡ δὲ ἐγρηγορέουσα γινώσκει, καὶ ὁρῇ τε τὰ ὁρατὰ, καὶ τῶν ἀκουστῶν ἀκούει, βαδίζει, ψαύει, 45 λυπεῖται, ἐνθυμεῖται. [11] ἐν ὀλίγῳ, ὁκόσαι τοῦ σώματος ὑπηρεσίαι, ἢ τῆς ψυχῆς, ταῦτα πάντα ἡ ψυχὴ ἐν τῷ ὕπνῳ διαπρήσσεται. [12] ὅστις οὖν ἐπίσταται κρίνειν ταῦτα ὀρθῶς, μέγα μέρος ἐπίσταται σοφίης.

II. Ὁκόσα μὲν οὖν τῶν ἐνυπνίων θεῖά ἐστι, [2] καὶ προσημαίνει τινὰ συμβησόμενα ἢ πόλεσιν ἢ τοῖσιν ἰδιώτῃσι κακὰ, ἢ κακὰ ἢ ἀγαθὰ, [3] μὴ δι' αὐτῶν ἁμαρτίην, [4] εἰσὶν οἳ κρίνουσι περὶ τῶν τοιούτων ἀκριβῆ τέχνην ἔχοντες. [5] ὁκόσα δὲ ἡ ψυχὴ τοῦ σώματος παθήματα προσημαίνει, πλησμονῆς ἢ κενώσιος, [6] ὑπερβολὴν

D E ...
INSOMNIIS.

Basil. lat.

QUISQUIS de his, III quæ in somnis obveniunt, recte conjectat, 496 pag 156 is magnam habere vim ad omnia, ipsa reperiet. [2] Anima enim vigilat, [3] & quum quidem corpori inservit, in multas partes distributa, non sui juris est, [4] sed partem aliquam singulis corporis partibus [5] sive 5 sensibus distribuit, auditui, visui, tactui, gressui, actioni, ac omni corporis facultati. [6] Ipsa autem animæ cogitatio sui juris non est. [7] Quum autem corpus quiescit, anima in motu est, & corporis partes perreptans, [8] domum suam gubernat, & omnes corporis actiones ipsa perficit. [9] Nam corpus dormiens non sentit, [10] ipsa vero vigilans cognoscit, 10 ac visibilia videt, & audibilia audit, vadit, tangit, tristatur, animadvertit. [11] In summa, quæcunque corporis aut animæ munia, ea omnia anima ipsa in somno obit. [12] Quicunque igitur hæc recte judicare novit, magnam sapientiæ partem novit.

II. Quæcunque quidem igitur somnia divina sunt, [2] & quædam eventura significant, aut urbibus, aut populo privato, sive bona, sive mala, [3] non ob ipsorum delictum, [4] de hu- 15 jusmodi sunt qui judicant certam artem habentes. [5] Quæcunque autem corporis affectiones sunt, & anima per ipsas repletionis aut evacuationis [6] rerum

βολῆς τῆς ξυμφύτου ἢ μεταβολῆς τῶν ἀηθέων, κρίνουσι μὲν καὶ ταῦτα. [7] καὶ τὰ μὲν τυγχάνουσι, τὰ δὲ ἁμαρτάνουσι, [8] καὶ οὐδέτερα τούτων γινώσκουσι, διότι γίνεται, [9] οὔθ' ὅ,τι ἂν ἐπιτύχωσιν, οὔθ' ὅ,τι ἂν ἁμάρτωσι. [10] φυλάσσεσθαι δὲ παραινέοντες, μή τι κακὸν λάβῃ, [11] οὐ διδάσκουσιν, ὡς χρὴ φυλάξασθαι, ἀλλὰ θεοῖσιν εὔξασθαι κελεύουσι. [12] καὶ τὸ μὲν εὔχεσθαι πρέπον, καὶ λίην ἐστὶν ἀγαθόν. [13] δεῖ δὲ καὶ αὐτὸν ξυλλαμβάνοντα τοὺς θεοὺς ἐπικαλέεσθαι. [14] ἔχει οὖν περὶ τούτων ταῦτα ὧδε.

III. Ὁκόσα τῶν ἐνυπνίων τὰς ἡμερινὰς πρήξιας τοῦ ἀνθρώπου ἢ διανοίας ἐς τὴν εὐφρόνην ἐνυπνιάζεται ὥσπερ ἐν ἡμέρῃ, [2] καὶ ἀποδίδωσι κατὰ τρόπον γινόμενα, ὥσπερ τῇσιν ἡμέρῃσιν ἐπρήχθη, ἢ ἐβουλεύθη ἐν δικαίῳ πρήγματι, [3] ταῦτα τῷ ἀνθρώπῳ ἀγαθά. [4] ὑγείην γὰρ σημαίνει. [5] διότι ἡ ψυχὴ παραμένει ἐν τοῖσιν ἡμερινοῖσι βουλεύμασιν, [6] οὔτε πλησμονῇ τινι κρατηθεῖσα, οὔτε κενώσει, οὔτε ἄλλῳ οὐδενὶ ἔξωθεν προσπεσόντι. [7] ὅταν δὲ πρὸς τὰς ἡμερινὰς πρήξιας ὑπεναντιῶται τὰ ἐνύπνια καὶ ἐγγίνηται περὶ αὐτέων ἢ μάχη, [8] ἠνίκα αὖ τοῦτο ξυμβαίνῃ, ταραχὴν σημαίνει ἐν τῷ σώματι. [9] καὶ, ἢν μὲν ἰσχυρὴ ᾖ, ἰσχυρὸν τὸ κακὸν, ἢν δὲ φαύλη, ἀσθενέστερον. [10] περὶ μὲν οὖν τῆς πρήξιος, εἴτε δεῖ ἀποτρέπειν, εἴτε μὴ δεῖ, οὐ κρίνω. [11] τὸ δὲ σῶμα τοῦ ἀνθρώπου θεραπεύεσθαι ξυμβουλεύω. [12] πλησμονῆς γάρ τινος ἐγγινομένης, ἀπόκρισις ἐγένετό τις, [13] ἥτις ἐτάραξε τὴν ψυχήν. [13] ἢν μὲν οὖν ἰσχυρὸν ᾖ τὸ ἐναντιωθὲν, ἐμέτῳ τε ξυμφέρει ποιήσασθαι, [14] καὶ τοῖσι σιτίοισι κού-
φοισι

à natura insitarum excessum, aut consuetorum mutationem præmonstrat, de his quidem itidem iudicant, [7] & partim assequuntur, partim aberrant, [8] & de neutris rectè sentiunt, cur nam fiant: [9] neque sciunt quando assequuntur, neque quando aberrant, [10] cavere admonentes ne quid mali accidat. [11] Atque hi non docent quomodo cavere oporteat, verum diis supplicare iubent. [12] Et supplicare quidem decorum ac valde bonum est. [13] Oportet autem etiam ipsum opitulari, & deos invocare, [14] De his igitur res hoc modo se habet.

III. Quæcunque insomnia mentis hominis in noctem per somnum offert de diurnis actionibus, & reddit quo modo facta sunt, [2] ea quæ seria ac iusta in re per diem facta sunt, [3] aut de iis quibus consilium initum est: [3] hæc homini bona sunt, [4] sanitatem enim significant, [5] propterea quod anima in diurnis consiliis perseverat, [6] neque repletione, neque evacuatione, neque aliqua alia forinsecus allapsa re, victa. [7] Quum autem insomnia diurnis actionibus adversantur, & de ipsis pugna oboritur, [8] quum fane hoc contigerit, turbationem in corpore significat. [9] Et siquidem fortis fuerit, forte est malum: si vero levis, debilius. [10] De actione quidem igitur, an avertenda sit, sive non, nihil decerno. [11] Verum corpus hominis curari consulo. [12] Repletione enim aliqua intus facta, secretio quædam contigit quæ animam perturbavit. [13] Si igitur fortis fuerit contrarietas, vomitum facere conducit, [14] & cibos leves ex-
hibere

φιζι προσάγειν ἐς ἡμέρας πέντε· [15] καὶ τοῖσι περιπάτοισι πολλοῖσι καὶ ὀξέσιν ἐκ προσαγωγῆς χρέεσθαι, [16] καὶ τοῖσι γυμνασίοισιν ἐπιγυμνάζεσθαι συμμέτροισι πρὸς τὴν προσαγωγὴν τῶν σιτίων. [17] ἢν δὲ ἀσθενέστερον τὸ ὑπεναντιωθὲν γένηται, ἀφελὼν τὸν ἔμετον, τὸ τρίτον μέρος ἄφελε τοῦ σίτου. [18] καὶ τοῦτο ἡσυχῇ προσάγου πάλιν ἐς τὰς πέντε ἡμέρας, [19] καὶ τοῖσι περιπάτοισι πιέζει, [20] καὶ τοῖσι τῆς φωνῆς πόνοισι χρέεσθω, [21] καὶ τοῖσι θεοῖσι εὐχέσθω· [22] καὶ καταστήσεται αὐτῷ ἡ ταραχή.

IV. Ἥλιον δὲ καὶ σελήνην, καὶ οὐρανὸν καὶ ἀστέρας, καθαρὰ καὶ εὐαγέα, κατὰ τρόπον ὁρώμενα ἕκαστα, ἀγαθά. [2] ὑγιείην γὰρ τοῦ σώματος σημαίνει ἀπὸ πάντων τῶν ὑπαρχόντων. [3] ἀλλὰ χρὴ διαφυλάσσειν ταύτην τὴν ἕξιν τῇ παρεούσῃ διαίτῃ. [4] εἰ δέ τι τούτων ὑπεναντίον γένοιτο, νοῦσόν τινα τοῦ σώματος σημαίνει· [5] ἀπὸ μὲν τῶν ἰσχυρῶν, ἰσχυροτέρην· ἀπὸ δὲ τῶν ἀσθενεστέρων, κουφοτέρην. [6] καὶ ἄστρων μὲν ἡ ἔξω περίοδος, ἡλίου δὲ ἡ μέση, σελήνης δὲ ἡ πρὸς τὰ κοῖλα. [7] ὅ, τι μὲν οὖν δοκοίη τούτων τῶν ἄστρων σίνεσθαι, ἢ βλάπτεσθαι, ἢ ἀφανίζεσθαι, ἢ ἐπίσχεσθαι τῆς περιόδου, καὶ αὐτὸ τὸ μέρος καὶ τὴν νοῦσον σημαίνει. [8] καὶ, ἢν μὲν ὑπὸ ἀέρος ἢ νεφέλης τι τῶν ἄστρων τούτων πάσχῃ, ἀσθενέστερον· [9] ἢν δὲ ὑπὸ ὕδατος ἢ χαλάζης, ἰσχυρότερον. [10] σημαίνει δὲ ἀπόκρισιν ἐν τῷ σώματι ὑγρὴν καὶ φλεγματώδεα γενομένην, ἐς τὴν ἔξω περιφορὴν ἐμπεπτωκέναι. [11] ξυμφέρει, τοιγαροῦν τούτῳ τοῖσί τε δρόμοισιν ἐν ἱματίοισι κεχρῆσθαι πολλοῖσιν, [12] ἐξ ὀλίγου προσάγοντα, ὅκως ἐξιδρώσῃ ὡς μάλιστα, [13] καὶ

hibere sensim adjiciendo aliquid ad dies quinque, [15] & deambulationibus multis ac velocibus sensim augescentibus uti, [16] & exercitiis exerceri moderatis, pro ciborum assumptorum ratione. [17] Si vero debilior fuerit contrarietas, detracto vomitu tertiam cibi partem adime, [18] atque hanc sensim rursus ad dies quinque adjice, [19] & deambulationibus preme. [20] Sed & vocis exercitiis utatur, [21] & diis supplicet, [22] & turbatio ipsi sedabitur.

IV. At vero solem & lunam, & cœlum ac stellas, pura atque agilia solito more videre, singula bona sunt. [2] Sanitatem enim corpori significant ab omnibus præsentibus. [3] Verum talem habitum præsenti diæta conservare oportet. [4] Si vero quid contrarium his fiat, morbum quendam corpori significat; [5] a fortibus quidem, fortiorem; à debilioribus vero, leviorem. [6] Et astrorum quidem exterior est in corpore circuitus, solis vero medius, lunæ autem ad cavitates. [7] Quodcunque igitur horum astrorum extingui, aut lædi, aut disparere, aut sisti à circuitu suo videtur, juxta illam ipsam partem morbum redundare significat: [8] & siquidem ab aere, aut nebula, aliquod ex ipsis astris pati quid horum videt, debiliorem: [9] si vero ab aqua, aut grandine, fortiorem. [10] Significat autem secretionem in corpore humidam ac pituitosam factam esse, & in externam circumferentiam allapsam esse. [11] Conducit itaque huic & cursibus in omni vestitu uti multis, [12] sensim augescentibus, ut quam maxime exudet.

[13] Item

13 καὶ τοῖσι περιπάτοισιν ἀπὸ τῶν γυμνασίων πολλοῖσί [τε] καὶ ἀναρίστοισι χρέεσθαι, 14 τῶν τε σιτίων ἀφελόμενον τὸ τρίτον μέρος προσάγειν ἐς πέντε ἡμέρας. 15 εἰ δὲ δοκοίη ἰσχυρότερον εἶναι, καὶ πυρίῃ χρέεσθαι. 16 τὴν γὰρ κάθαρσιν διὰ τῶν χρωμάτων ξυμφέρει ποιέεσθαι, διότι ἐν τῇ ἔξω περιφορῇ ἐστὶ τὸ βλάβος. 17 τοῖσι δὲ σιτίοισι χρέεσθαι ξηροῖσι, δριμέσιν, αὐστηροῖσιν, ἀκρήτοισι, 18 καὶ τοῖσι πόνοισι τοῖσι ξηραίνουσι μάλιστα.

V. Εἴ τι δὲ τούτων ἡ σελήνη πάσχοι, 2 εἴσω τὴν ἀντίσπασιν ποιέεσθαι ξυμφέρει, 3 ἐμέτῳ χρησάμενον ἀπὸ τῶν δριμέων καὶ ἁλμυρῶν καὶ μαλακῶν σιτίων. 4 τοῖσι δὲ τροχοῖσιν ὀξέσι, καὶ τοῖσι περιπάτοισιν ὀξέσι. 5 τοῖσι δὲ τῆς φωνῆς πόνοισι καὶ ἀναριστίῃσι, 6 καὶ τῶν σίτων τῇ ἀφαιρέσει καὶ προσαγωγῇ ὡσαύτως. 7 διὰ τοῦτο δὲ εἴσω ἀντισπαστέον, διότι πρὸς τὰ κοῖλα τοῦ σώματος βλαβερὸν ἐφάνη. 8 εἰ δὲ ὁ ἥλιος τοιοῦτό τι πάσχοι, ἰσχυρότερον τοῦτο ἤδη καὶ δυσεξαγωγότερον. 9 δεῖ δὲ ἀμφοτέρως τὰς ἀντισπάσιας ποιέεσθαι, 10 καὶ τοῖσι δρόμοισι τοῖσί τε καμπτοῖσι τροχοῖσι χρέεσθαι, καὶ τοῖσι περιπάτοισι, καὶ τοῖσιν ἄλλοισι πόνοισι πᾶσι. 11 τῶν δὲ σίτων τῇ ἀφαιρέσει, καὶ τῇ προσαγωγῇ ὡσαύτως. 12 ἔπειτα ἐξεμέοντα αὖθις προσάγειν πρὸς τὰς πέντε. 13 εἰ δὲ, αἰθρίης οὔσης, θλίβεται καὶ ἀσθενέα δοκέῃ εἶναι, ὑπὸ τῆς ξηρασίης καὶ τῆς περιόδου κρατέεσθαι, 14 σημαίνει κίνδυνον ἐς νοῦσον πεσεῖν. 15 ἀλλὰ χρὴ τῶν πόνων ἀφαιρέειν, 16 τῇ

13 Item deambulationibus ab exercitio multis citra prandium uti, 14 & detracta ciborum tertia parte, ad dies quinque sensim adjiciendo rursus exhibere. 15 Si vero fortius videatur malum esse, etiam fomentis uti: 16 nam per corporis cuticulam purgationem facere expedit, propterea quod in externa circumferentia offensa ac læsio existit. 17 Cibis vero utendum est siccis, acribus, austeris, meracis, 18 & laboribus maxime siccantibus.

V. Si vero quid horum luna patiatur, 2 revulsionem intro facere conducit, 3 utique vomitu ab acribus, & salsuginosis, ac mollibus cibis, 4 cursibus autem circularibus celeribus, & deambulationibus velocibus. 5 Utendum & vocis exercitus, & prandium auferendum, 6 cibique detractione, ac rursus appositione, eodem modo utendum est. 7 Ob id autem intro revellendum est, quia ad cavitates corporis offensa apparet. 8 Si autem sol tale quid pati videatur, fortius jam malum est, & difficilius exigi potest. 9 Oportet autem in utranque partem revulsiones facere, 10 & rectis cursibus, & curvis, & circularibus uti, & deambulationibus, & aliis laboribus omnibus. 11 Ciborum autem detractione, ac rursus appositione, eodem modo: 12 deinde vomere, & rursus sensim cibos augere, ad dies quinque. 13 Si vero serenitate existente premantur hæc, & debilia esse videantur, & præ siccitate à circuitu suo impediri, 14 periculum significant delabendi in morbum. 15 Verum opportet labores detrahere, 16 &

¹⁶ τῇ τε διαίτῃ ὑγροτέρῃ καὶ μαλακῇ χρέεσθαι, ¹⁷ καὶ λουτροῖσι καὶ ῥαθυμίῃ πλείονι, ¹⁸ καὶ ὕπνῳ πολλῷ, μέχρις ἂν καταστῇ.

VI. Εἰ δὲ πυρῶδες δοκοίη εἶναι τὸ ἐναντιούμενον καὶ θερμὸν, χολῆς ἀπόκρισιν σημαίνει. ² ἢν δὲ καὶ ἀφανίζῃ τὰ κρατεόμενα, κίνδυνος ἐς θάνατον ἐκ τῆς νούσου ἐλθεῖν. ³ ἢν δὲ τραφθῆναι δοκοίη, τραπῆναι ἐς φυγὴν τὸ ὑπάρχον. ⁴ φεύγειν δὲ ταχέως, τοὺς δὲ διώκειν, κίνδυνος μανῆναι τὸν ἄνθρωπον, ἢν μὴ θεραπευθῇ. ⁵ ξυμφέρει δὲ τούτοισι πᾶσι, κάλλιστα μὲν ἐλλεβόρῳ καθαρθέντας διαιτῆσθαι. ⁶ ἢν δὲ μὴ, τῇ πρὸς ὕδατος διαίτῃ χρέεσθαι ξυμφέρει, ⁷ οἶνον δὲ μὴ πίνειν· ⁸ ἢν δ' οὖν, λευκὸν, λεπτὸν, μαλακὸν, ὑδαρῆ· ⁸ ἀπέχεσθαι δὲ δριμέων, ξηραντικῶν, θερμαντικῶν, ἁλμυρῶν. ⁹ πόνοισι δὲ τοῖσι κατὰ φύσιν πλείστοισι χρέεσθαι, ¹⁰ καὶ δρόμοισιν ἐν ἱματίοισι πλείστοισι. ¹¹ τρίψις δὲ μὴ ἔστω, μηδὲ πάλη, μηδὲ ἀλινδήσις. ¹² ὕπνοισι μαλακευνείτω, ¹³ καὶ ῥαθυμείτω, πλὴν τῶν κατὰ φύσιν πόνων. ¹⁴ ἀπὸ δὲ τοῦ δείπνου περιπατείτω. ¹⁵ ἀγαθὸν δὲ καὶ πυριῆσθαι· ¹⁶ ἐμέειν δὲ ἐκ τῆς πυρίης. ¹⁷ τριήκοντα δὲ ἡμερέων μὴ πληρωθῇ. ¹⁸ ὅταν δὲ πληρωθῇ, δὶς ἐν τῷ μηνὶ ἐμεέτω ἀπὸ γλυκέων καὶ ὑδαρῶν καὶ κούφων.

VII. Ὁκόσα δὲ τούτων πλανᾶται ἄλλοτε ἄλλῃ μὴ ὑπ' ἀνάγκης, ² ψυχῆς τινα ταραχὴν σημαίνει ὑπὸ μερι-

¹⁶ & diæta humectiore ac molli uti, ¹⁷ & balneis ac ocio ampliori, ¹⁸ & somno longo ac multo, donec malum sedetur.

VI. Si autem igneum ac calidum esse videatur quod se illis opponat, bilis secretionem significat. ² Si vero superata hæc disfpareant ac evanescant, periculum est ad mortem perveniendi ex morbo. ³ Si vero versa ac mutata hæc esse videantur, præsentem statum in fugam verti significant. ⁴ Fugere autem ipsa celeriter, esseque qui ea persequantur, periculum denunciant futuræ insaniæ hominis, si non curatus fuerit. ⁵ Omnibus autem his conducit, ut veratro purgati, optimam victus rationem instituant: ⁶ sin minus, ut victu ad aquam tendente utantur: ⁷ vinum vero non bibant, aut omnino album, tenue, molle & aquosum. ⁸ Abstineant autem ab acribus, resiccantibus, calfacientibus, ac salsuginosis. ⁹ Laboribus secundum naturam plurimis utantur, ¹⁰ & cursibus in vestitu plurimis. ¹¹ Frictio vero ne fiat, neque lucta, neque volutatio in pulvere. ¹² Somnis utatur mollibus, ¹³ & in ocio degat, exceptis laboribus naturalibus, ¹⁴ à cœna deambulet. ¹⁵ Bonum est & fomentis uti, ¹⁶ à fomentis vero vomere: ¹⁷ per triginta vero dies non repleatur. ¹⁸ Quum autem repletus fuerit, bis in mense vomat à dulcibus & aquosis ac levibus.

VII. Quæcunque autem ex his alias alio præ nulla necessitate errant, ² animæ turbationem quandam præ cura significant.

μερίμνης. [3] ξυμφέρει δὲ τούτῳ ῥαθυμῆσαί τε [4] καὶ τὴν ψυχὴν τρέψαι πρὸς θεωρίαν, [5] μάλιστα μὲν πρὸς τὰς φερούσας γέλωτας. [6] εἰ δὲ μὴ, ὅ,τι μάλιστα ἡσθήσεται θεασάμενος, ἡμέρας δύο ἢ τρεῖς, καὶ καταστήσεται. [7] εἰ δὲ μὴ, κίνδυνος ἐς νοῦσον πεσεῖν.

IIX. Ὅ,τι δ' αὖ ἐκ τῆς περιφορῆς ἐκπίπτειν δοκέει τῶν ἄστρων, [2] ὁκόσα μὲν καθαρὰ καὶ λαμπρὰ καὶ πρόσω δοκεῖ φέρεσθαι, ὑγιείην σημαίνει. [3] ὅ,τι γὰρ ἐν τῷ σώματι καθαρὸν ἐὸν, ἐκκρίνεται ἐκ τῆς περιόδου κατὰ φύσιν ἀφ' ἑσπέρας πρὸς ἕω, ὀρθῶς ἔχει. [4] καὶ γὰρ τὰ ἐς τὴν κοιλίην ἀποκρινόμενα, καὶ τὰ ἐς τὴν σάρκα ἀπερευγόμενα, ἅπαντα ἐκ τῆς περιόδου ἐκπίπτει. [5] ὅ,τι δ' αὖ τούτων μέλαν καὶ ἀμαυρὸν καὶ πρὸς ἑσπέρην δοκέει φέρεσθαι ἢ ἐς τὴν θάλασσαν, ἢ ἐς τὴν γῆν, ἢ ἄνω, μᾶλλον ταῦτα σημαίνει τὰς νούσους. [6] τὰ μὲν ἄνω φερόμενα, ῥεῦμα κεφαλῆς ἐστι δηλοῦντα. [7] ὁκόσα δὲ ἐς θάλασσαν, κοιλίης νοσήματα. [8] ὁκόσα δὲ ἐς γῆν, ἐκφύματα μάλιστα σημαίνει, τὰ ἐν τῇ σαρκὶ φυόμενα. [9] τούτοισι ξυμφέρει τὸ τρίτον μέρος τοῦ σίτου ἀφελέσθαι. [10] ἐμέσαντα δὲ προσάγειν ἐς ἡμέρας πέντε. [11] ἐν ἄλλῃσι δὲ πέντε, κομίσασθαι τὰ σιτία πάντα, [12] καὶ ἐμέσαντα πάλιν προσάγεσθαι κατὰ τὸν αὐτὸν τρόπον.

IX. Ὅ,τι δ' αὖ τούτων οὐρανίοισιν ἐφίζεσθαι δόξει σοι, καθαρὸν καὶ ὑγρὸν ἐὸν, ὑγιείην σημαίνει. [2] διότι ἐκ τοῦ αἰθέρος ἐς τὸν ἄνθρωπον κατελθόν ἐστι. [3] τοιοῦτον δὲ ὁρῇ καὶ ἡ ψυχὴ, οἷόν περ ἀπῆλθε. [4] ὅ,τι δ' αὖ μέλαν ἢ καὶ

cant. [3] Confert autem huic ocium, [4] & animum converti ad spectacula, [5] maxime risum moventia: [6] quod si fieri non possit, ad id ex quo ad biduum aut triduum maxime voluptatem capiat, & sedabitur. [7] Sin minus, periculum est delabendi in morbum.

IIX. Quæcunque astra ex circumferentia excidere videntur, [2] suntque pura & splendida, & ultra ac prorsum ferri videntur, sanitatem significant. [3] Quicquid enim in corpore purum ex circuitu excernitur secundum naturam, à vespera in auroram, id ipsum recte habet. [4] Nam & quæ in ventre secernuntur, & quæ in carnem eructantur, omnia ex circuitu ac circumferentia excidunt. [5] Quæcunque vero nigra & obscura sunt, & ad vesperam ac occasum ferri videntur, aut in mare, aut in terram, aut sursum, ea magis morbos significant. [6] Et quæ quidem sursum feruntur, fluxum capitis significant. [7] Quæ vero in mare, ventris morbos. [8] Quæ in terram, tubercula maxime significant ex carne enascentia. [9] His conducit tertiam cibi partem detrahere, [10] & à vomitu, ad dies quinque eandem rursus sensim adjiciendo exhibere, [11] in aliis autem quinque diebus cibos omnes assumere, [12] & vomitu facto, rursus eodem modo cibus sensim auctus exhibeatur.

IX. Quæcunque vero ex his pura & candida in cœlo hærere videbuntur, sanum esse significant, [2] quia quod in hominem descendit, ex æthere est. [3] Tale autem videt anima, quale fuerit descenderit. [4] Quæ autem nigra fue-

καὶ μὴ καθαρὰ ἢ ἀφανέα, νοῦσον σημαίνει, [5] οὐ διὰ πλησμονὴν, οὐ διὰ κένωσιν, ἀλλ' ἔξωθεν ἐπεισαγομένης. [6] ξυμφέρει δὲ τούτῳ τροχοῖσιν ὀξέσι χρέεσθαι· [7] ὅκως συντήξις μὲν ὡς ἐλαχίστη τοῦ σώματος γένηται, [8] τῷ δὲ πνεύματι δὲ ὡς πυκνοτάτῳ χρησάμενος ἐκκρίνῃ τὸ παρελθόν· [9] ἀπὸ δὲ τῶν τροχῶν, περιπάτοισιν ὀξέσι· [10] ἡ δὲ δίαιτα μαλακὴ καὶ κούφη προσαχθήτω ἐς ἡμέρας τέσσαρας.

X. Ὅ, τι δ' ἂν λαμβάνειν παρὰ θεοῦ δοκέῃ καθαρὸν, ἀγαθὸν πρὸς ὑγείην. [2] σημαίνει γὰρ τὰ ἐσιόντα ἐς τὸ σῶμα εἶναι καθαρά. [3] ὅ, τι δ' ἂν τούτου τὸ ἐναντίον δοκέῃ ὁρῇν, οὐκ ἀγαθόν. [4] νοῦσον γὰρ ἐς τὸ σῶμα σημαίνει ἐληλυθέναι. [5] χρὴ οὖν, ὡς τὸ πρότερον, θεραπευθῆναι καὶ τοῦτον.

XI. Εἰ δὲ δοκέῃ ὕεσθαι ὕδατι μαλθακῷ ἐν εὐδίῃ καὶ μὴ σφόδρα βρέχεσθαι, μηδὲ δεινῶς χειμάζειν, ἀγαθόν. [2] σημαίνει γὰρ σύμμετρον καὶ καθαρὸν τὸ πνεῦμα ἐκ τοῦ ἠέρος ἐσεληλυθέναι. [3] εἰ δὲ τοὐναντίον, σφόδρα ὕεσθαι καὶ χειμῶνα καὶ ζάλην εἶναι, ὕδατί τε μὴ καθαρῷ, νοῦσον σημαίνει ἀπὸ τοῦ πνεύματος τοῦ ἐπεισενεχθέντος. [4] ἀλλὰ χρὴ καὶ τοῦτον ὡσαύτως διαιτηθῆναι, σιτίοισί τε ὀλίγοισι πάντως τούτους. [5] περὶ μὲν [οὖν] τῶν οὐρανίων σημείων οὕτω χρὴ γινώσκοντα προμηθέεσθαι, καὶ ἐκδιαιτῆσθαι, καὶ τοῖς θεοῖς εὔχεσθαι· [6] ἐπὶ μὲν τοῖσιν ἀγαθοῖσιν, Ἡλίῳ, Διὶ οὐρανίῳ, Διὶ κτησίῳ, Ἀθηναίῃ κτησίῃ, Ἑρμῇ, Ἀπόλλωνι· [7] ἐπὶ δὲ τοῖσιν ἐναντίοισι, τοῖσιν ἀποτροπαίοισι, καὶ Γῇ,

fuerint, & non pura, neque conspicua, morbum significant, [5] non propter repletionem, neque evacuationem, sed forinsecus inductum. [6] Huic confert cursibus circularibus velocibus uti, [7] quo quam minima corporis colliquatio fiat, [8] & spiritu quam densissimo utens, id quod inductum est excernat: [9] a cursibus autem deambulationibus celeribus utendum est. [10] Victus autem mollis & levis ad dies quatuor offeratur.

X. Quicquid porro a deo accipere quis sibi videtur purum, bonum est ad sanitatem. [2] Significat enim ea quæ in corpus ingesta sunt pura esse. [3] Quicquid vero huic contrarium videre quis putat, non est bonum. [4] Morbum enim in corpus venisse significat. [5] Oportet igitur velut priorem etiam hunc curari.

XI. Si quis se compluti putet clementi cœlo, aqua molli, & non valde madefieri, neque vehementem tempestatem ingruere, bonum est: [2] significat enim moderatum ac purum spiritum ex aere ingressum esse. [3] Si vero vice versa, valde complui quis sibi videatur, & tempestatem ac turbinem esse, idque aqua non pura, morbum designat a spiritu qui in ipso est. [4] Verum oportet etiam hunc simili diæta uti, & omnes hos pauco cibo ali. [5] De significationibus quidem igitur astrorum sic judicare oportet, provideréque ac diætam statuere, & diis supplicare, [6] in secundis quidem rebus Soli, Jovi cœlesti, Jovi possessori, Minervæ opulentæ, Mercurio, Apollini: [7] in contrariis vero, diis malorum aversoribus, & terræ,

γῇ, καὶ ἥρωσιν, ἀποτρόπαια γενέσθαι τὰ χαλεπὰ πάντα.

XII. Προσημαίνει δὲ καὶ τάδε περὶ ὑγιείης, [2] τῶν ἐπὶ γῆς ὀξὺ ὁρῆν καὶ ἀκούειν, [3] ὁδοιπορέειν τε ἀσφαλῶς, καὶ τρέχειν ἀσφαλῶς καὶ ἄτερ φόβου, [4] καὶ τὴν γῆν ὁρῆν λείην καὶ καλῶς εἰργασμένην, [5] καὶ τὰ δένδρεα θαλέοντα καὶ πολύκαρπα καὶ ἥμερα, [6] καὶ ποταμοὺς ῥέοντας κατὰ τρόπον καὶ ὕδατι καθαρῷ, μήτε πλείονι μήτε ἐλάττονι τοῦ προσήκοντος, [7] καὶ τὰς κρήνας καὶ τὰ φρέατα ὡσαύτως. [8] ταῦτα πάντα οὕτως ὁρώμενα σημαίνει ὑγιείην τοῦ ἀνθρώπου, [9] καὶ τὸ σῶμα πάσας τε τὰς περιόδους καὶ τὰς προσαγωγὰς καὶ τὰς ἀποκρίσιας κατὰ τρόπον εἶναι. [10] εἰ δέ τι τούτων ὑπεναντίον ὁρῷτο, βλάβος σημαίνει τι ἐν τῷ σώματι. [11] ὄψιος μὲν καὶ ἀκοῆς βλαπτομένων, περὶ τὴν κεφαλὴν νοῦσον σημαίνει. [12] τοῖσιν οὖν ὀρθρίοισι περιπάτοισι, καὶ τοῖσιν ἀπὸ δείπνου πλέοσι χρηστέον, πρὸς τῇ προτέρῃ διαίτῃ. [13] τῶν σκελέων δὲ βλαπτομένων, ἐμέτοισιν ἀντισπαστέον καὶ τῇ πάλῃ πλείονι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. [14] γῆ δὲ τρηχεῖα οὐ καθαρὴν τὴν σάρκα σημαίνει. [15] τοῖσιν οὖν ἀπὸ γυμνασίων περιπάτοισι πλείοσι πονητέον. [16] δένδρων δὲ ἡ ἀκαρπίη σπέρματος τοῦ ἀνθρωπίνου διαφθορὴν δηλοῖ. [17] ἢν μὲν οὖν φυλλοροέοντα ᾖ τὰ δένδρα, ὑπὸ τῶν ὑγρῶν καὶ ψυχρῶν βλάπτεται. [18] ἢν δὲ τεθηλημένα [μὲν,] ἄκαρπα δὲ ᾖ, ὑπὸ τῶν θερμῶν καὶ ξηρῶν. [19] τὰ μὲν οὖν τοῖσι διαιτήμασι χρὴ ξηραίνειν καὶ θερμαίνειν, τὰ δὲ ψύχειν καὶ ὑγραίνειν.

XIII. Ποταμοὶ δὲ μὴ κατὰ τρόπον γενόμενοι, αἵματος περίοδον σημαί-

terræ, & heroibus, quo mala ac gravia omnia avertant.

XII. Cæterum & hæc sanitatem præsignant. [2] Nimirum ea quæ in terra fiunt, acutè videre, & audire, [3] & secure iter facere, & secure ac citra timorem currere: [4] & videre terram lævem ac probe cultam, [5] & arbores florentes, fructuosasque ac sativas, [6] & flumina solito more fluentia, & aqua pura, neque copiosiore, neque pauciore quam conveniens est: [7] item fontes & puteos eodem modo. [8] Hæc omnia sic visa, sanitatem homini designant, [9] & corpus recte habere, omnesque circuitus, & exhibitiones ciborum, ac secretiones, integras esse. [10] Si vero quid his contrarium videatur, detrimentum aliquod in corpore significat. [11] Et visus quidem ac auditus læsus, morbum circa caput significat. [12] Itaque matutinis deambulationibus, itemque à cœna pluribus utendum est, ad superiorem diætam. [13] Cruribus vero læsis, vomitibus revellendum est, & lucta ampliore utendum, ultra superiorem diætam. [14] Terra autem aspera, carnem non puram significat: [15] quare deambulationibus ab exercitiis pluribus utendum est. [16] Arborum vero sterilitas, seminis humani corruptionem indicat. [17] Si igitur folia arboribus decidant, ab humidis ac frigidis corpus læditur. [18] Si vero floridæ sint arbores, verum infructuosæ, à calidis & siccis. [19] hæc igitur per diætam frigefacere ac humectare oportet, illa vero siccare ac calefacere.

XIII. Flumina autem non solito more fluentia, sanguinis circui-

σημαίνουσι. 2 πλέον μὲν ῥέοντες, ὑπερβολήν· ἔλαττον δὲ ῥέοντες, ἔλλειψιν. 3 δεῖ δὲ τῇ διαίτῃ, τὸ μὲν αὐξῆσαι, τὸ δὲ μειῶσαι. 4 μὴ καθαροὶ δὲ ῥέοντες, ταραχὴν σημαίνουσι. 5 καθαίρονται δὲ ὑπὸ τῶν τροχῶν καὶ τῶν περιπάτων, πνεύματι πυκνῷ ἀνακινούμενα. 6 Κρῆναι δὲ καὶ φρέατα θεώμενα, πνεύματα περὶ τὴν κύστιν σημαίνει. 7 ἀλλὰ χρὴ τοῖσιν οὐρητικοῖσιν ἐκκαθαίρειν. 8 Θάλασσα ταρασσομένη κοιλίης νοῦσον σημαίνει. 9 ἀλλὰ χρὴ τοῖσι διαχωρητικοῖσι καὶ κούφοισι καὶ μαλακοῖσιν ἐκκαθαίρειν.

XIV. Γῆ κινευμένη θεωρεομένη, ἢ οἰκίη, 2 ὑγιαίνοντι μὲν ἀνδρὶ ἀσθένειαν σημαίνει, 3 νοσεῦντι δὲ ὑγείην καὶ μετακίνησιν τοῦ ὑπάρχοντος. 4 τῷ μὲν οὖν ὑγιαίνοντι μεταστῆσαι τὴν δίαιταν ξυμφέρει. 5 ἐμεσάτω [δὲ] πρῶτον, [καὶ] ἐν περι(δέξῃ), αὖθις, καὶ μικρόν. 6 ἀπὸ γὰρ τῆς ὑπαρχούσης κινέεται ἅπαν τὸ σῶμα. 7 τῷ δὲ ἀσθενεῦντι ξυμφέρον, χρέεσθαι τῇ αὐτῇ διαίτῃ. 8 μεθίσταται γὰρ δὴ τὸ σῶμα ἐκ τοῦ παρεόντος. 9 Καταλυζομένην γῆν ὑπό τινος ὕδατος ἢ θαλάσσης ὁρῇν, νοῦσον σημαίνει, 10 ὑγρασίης πολλῆς ἐνεούσης ἐν τῷ σώματι. 11 ἀλλὰ χρὴ τοῖσιν ἐμέτοισι, καὶ τῇ ἀναριστίῃ, καὶ τοῖσι πόνοισι, καὶ τοῖσι ξηροῖσι διαιτήμασι χρέεσθαι. 12 ἔπειτα προσάγειν ἐξ ὀλίγων, καὶ ὀλίγοισιν.

XV. Ἀλλ' οὐδὲ, μέλαιναν γῆν ὁρῇν, οὐδὲ κατακεκαυμένην, δοκεῖ ἀγαθὸν, 2 ἀλλὰ κίνδυνος ἰσχυροῦ νοσήματος ἐντυχεῖν καὶ θανασίμου. 3 ξηρασίης γὰρ ὑπερβολὴν σημαίνει εἶναι ἐν τῇ σαρκί. 4 ἀλλὰ χρὴ τούς τε πόνους ἀφελεῖν,

ξ

circuitum significant, 2 & anctiora quidem fluentia, excessum: imminuta vero, defectum. 3 Oportet itaque per diætam hunc quidem augere, illum vero imminuere. 4 Non pura autem fluentia, turbationem significant, 5 quæ à cursibus circularibus & deambulationibus, corpore per densum 'spiritum moto, purgatur. 6 Fontes vero & putei commoti conspecti, flatus circa vesicam significant, 7 quos medicamentis urinam cientibus expurgare oportet. 8 Mare perturbatum, ventris morbum significat, 9 sed oportet alvum moventibus, levibusque ac mollibus expurgare.

XIV. Terram aut domum moveri videre, 2 sano quidem viro debilitatem significat, 3 ægrotanti vero sanitatem, & ex præsenti statu transmotionem. 4 Sano 'itaque transmutare diætam conducit. 5 Itaque primum vomat, & rursus, ubi paulatim cibum assumpsit: 6 à præsenti enim diæta totum corpus movetur: 7 debili vero eadem diæta uti conducit: 8 nam corpus ex præsenti statu transit. 9 Terram ab aqua aliqua aut mari inundatam videre, morbum significat, 10 humiditate multa in corpore existente. 11 Verum oportet vomitibus, & prandii detractione, & laboribus & sicco victu 'uti, 12 deinde sensim adjiciendo, ac modico cibo renutrire.

XV. Sed neque nigram, neque combustam terram videre bonum est, 2 sed periculum est delabendi in fortem ac lethalem morbum. 3 Siccitatis enim excessum in carne esse significat. 4 Verum oportet & labores detrahere,

τῶν τε σιτίων ὁκόσα ξηρά τε καὶ θερμὰ καὶ δριμέα καὶ οὐρητικά. [5] διαιτῆσθαι δὲ τῆς τε πτισάνης καθεφθῷ τῷ χυλῷ, [6] καὶ πᾶσι τοῖσι μαλακοῖσι καὶ κούφοισιν ὀλίγοισι. [7] ποτῷ [δὲ] χρέεσθαι ὑδαρεῖ λευκῷ πλείονι, [8] [καὶ] λουτροῖσι πολλοῖσι θερμοῖσιν. [9] ἀλλὰ μὴ ἄσιτος λουέσθω. [10] μαλακευνείτω [καὶ] ῥᾳθυμείτω. [11] ψύχος καὶ ἥλιον φυλασσέσθω. [12] εὔχεσθαι δὲ γῇ, καὶ Ἑρμῇ, καὶ τοῖσιν ἥρωσιν. [13] Εἰ δὲ κολυμβᾷν ἐν λίμνῃ, ἢ ἐν θαλάσσῃ, ἢ ἐν ποταμοῖσι δοκέῃ, οὐκ ἀγαθόν. [14] ὑπερβολὴν γὰρ ὑγρασίης σημαίνει. [15] ξυμφέρει δὲ τούτῳ, τῇ διαίτῃ ξηρῇ, τοῖσί τε πόνοισι χρέεσθαι. [16] πυρέσσοντι δὲ ἀγαθόν. [17] σβέννυται γὰρ τὸ θερμὸν ὑπὸ τῶν ὑγρῶν. [18] ὅ, τι δ' ἂν τις περὶ αὐτοῦ ὁρῇ κατὰ τρόπον γινόμενον πρὸς τὴν φύσιν τὴν ἑωυτοῦ, μήτε μέζω, μήτε ἐλάσσω, ἀγαθὸν πρὸς ὑγείην ἐστί. [19] καὶ ἐσθῆτα λευκὴν ἐνδεδύσθαι, καὶ ὑπόδεσιν τὴν καλλίστην, ἀγαθόν.

XVI. [1] Ὅ, τι δ' ἂν εἴη μέζον τῶν μελέων, οὐκ ἀγαθόν· [2] ἀλλ' οὐδ', ὅ, τι περ ἂν εἴη ἔλασσον. [3] καὶ χρή, τὸ μὲν αὔξειν τῇ διαίτῃ, τὸ δὲ μειοῦν. [4] τὰ δὲ μέλανα, νοσερώτερά τε καὶ ἐπικίνδυνα. [5] ἀλλὰ χρὴ μαλάσσειν καὶ ὑγραίνειν. [6] καὶ τὰ καινὰ μεταλλαγὴν σημαίνει. [7] τοὺς ἀποθανόντας ὁρῇν καθαροὺς ἐν ἱματίοισι λευκοῖσιν, ἀγαθόν. [8] καὶ λαμβάνειν τι παρ' αὐτῶν καθαρόν, ἀγαθόν. [9] ὑγείην γὰρ σημαίνει καὶ τῶν σωμάτων καὶ τῶν ἐσιόντων. [10] ἀπὸ γὰρ τῶν ἀποθανόντων αἱ τροφαὶ καὶ αὐξήσιες καὶ σπέρματα γίνονται. [11] ταῦτα δὲ καθαρὰ ἐσέρπειν ἐς τὸ σῶμα, ὑγείην σημαίνει. [12] ἢν δὲ τοὐναντίον τις

here, & cibos qui ficci & calidi, & acres ac urinam cientes funt: [5] nutrireque ptifanæ fucco decocto, [6] & omnibus mollibus ac levibus modicis: [7] & potu uti aquofo, albo, copiofiore: [8] & balneis multis calidis: [9] fed jejunus ne lavet, [10] molliter cubet ac dormiat, & in ocio degat: [11] frigus & folem vitet. [12] Supplicet autem Terræ, & Mercurio, & Heroibus. [13] Si vero in ftagno, aut in mari, aut in fluminibus natare quis fibi videatur, non eft bonum, [14] humiditatis enim exceffum fignificat. [15] Confert autem huic & diæta ficca, & laboribus uti: [16] febricitanti vero id bonum eft, [17] extinguitur enim caliditas ab humoribus. [18] Quicquid porro quis circa feipfum videt folito more fieri, ad naturam fui ipfius, neque majus, neque minus, bonum eft ad fanitatem. [19] Et veftitum album indutum effe, & calceamentum pulcherrimum, bonum eft.

XVI. Quicquid vero membris majus fuerit, bonum non eft: [2] fed neque quodcunque tandem fuerit minus: [3] oportet hoc quidem per diætam augere, illud vero minuere. [4] Nigra autem morbofiora funt, & periculofa. [5] Mollire itaque oportet & humectare. [6] Nova quoque transmutationem fignificant. [7] Mortuos videre puros in veftibus albis, bonum eft, [8] & accipere aliquid ab ipfis purum, bonum eft. [9] Sanitatem enim fignificat corporum, & falubritatem ingeftorum: [10] à mortuis enim nutrimenta, & incrementa, ac femina fiunt. [11] Hæc autem pura in corpus irrepere, fanitatem fignificat. [12] Si vero contra quis videat

τὰς ὁρῶν, ἢ γυμνοὺς ἢ μελανοείμονας, ἢ μὴ καθαρούς, ἢ λαμβάνοντάς τι, [12] ἢ φέροντας ἐκ τῆς οἰκίας, οὐκ ἐπιτήδειον. [13] σημαίνει γὰρ νοῦσον. [14] τὰ γὰρ ἐσιόντα ἐς τὸ σῶμα βλαβερά. [15] ἀλλὰ χρὴ τοῖσι τροχοῖσι [τε] καὶ τοῖσι περιπάτοισιν ἀποκαθαίρεσθαι, [16] καὶ τῇ τροφῇ τῇ μαλακῇ τε καὶ κούφῃ προσάγειν ἐμέοντα.

XVII. Ὁκόσα δὲ ἀλλόμορφα σώματα φαίνεται ἐν τοῖσιν ὕπνοισι καὶ φοβεῖ τὸν [1] ἄνθρωπον, [2] σιτίων ἀσυνήθων σημαίνει πλησμονὴν καὶ ἀπόκρισιν, καὶ χολέραν, καὶ νοῦσον κινδυνώδεα. [3] ἀλλὰ χρὴ ἐμέτῳ πειρήσασθαι, [4] καὶ προσαγαγεῖν ἐς ἡμέρας πέντε σιτίοισιν ὡς κουφοτάτοισι, μὴ πολλοῖσι, μηδὲ δριμέσι, μήτε τοῖσι ξηροῖσι, μήτε τοῖσι θερμοῖσι, [5] καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα, πλὴν τῶν ἀπὸ δείπνου περιπάτων. [6] χρέεσθαι δὲ καὶ λουτροῖσι καὶ θερμολουσίῃσι, καὶ ῥᾳθυμίῃσιν. [7] ἥλιον δὲ καὶ ψῦχος φυλάττεσθαι.

XIIX. Ἢν δὲ ἐν τῷ ὕπνῳ [1] ἐσθίειν δοκέῃ, ἢ πίνειν τῶν συνήθων σιτίων ἢ πομάτων, [2] ἔνδειαν σημαίνει τροφῆς, καὶ ψυχῆς ἀθυμίην. [3] κρέα δὲ, τὰ μὲν ἰσχυρότατα, μεγίστης ὑπερβολῆς· τὰ δὲ ἀσθενέστερα, ἧσσον. [4] ὥσπερ γὰρ ἐσθιόμενον ἀγαθὸν, οὕτω καὶ ὁρώμενον. [5] ἀφαιρέειν οὖν τῶν σιτίων ξυμφέρει. [6] τροφῆς γὰρ ὑπερβολὴν τοῦτο σημαίνει. [7] ἀλλὰ καὶ ἄρτοι τυρῷ καὶ μέλιτι πεποιημένοι καθ' ὕπνους ἐσθιόμενοι, ὡσαύτως σημαίνουσιν. [8] ὕδωρ δὲ καθαρὸν πινόμενον, ἀγαθόν. [9] τὰ δὲ ἄλλα πάντα βλαβερά.

videat ipsos nudos, aut [11] nigris vestibus indutos, aut non puros, aut aliquid accipientes, aut ex domo portantes, non est commodum. [13] Morbum enim significat: [14] quæ enim in corpus ingeruntur, nociva sunt. [15] Verum oportet cursibus circularibus & deambulationibus depurgari, [16] & alimento molli ac levi à vomitu sensim nutriri.

XVII. Quæcunque vero formæ peregrinæ corpora in somnis apparent, & hominem perterrent, [2] ciborum inconsuetorum repletionem, [1] & secretionem, & bilis superne ac inferne eruptionem, & morbum periculosum significant. [3] Verum oportet vomitum facere, [4] & ad dies quinque cibos quam levissimos non multos, neque acres, neque siccos, neque calidos sensim adjiciendo accipere, [5] & laboribus naturalibus maxime uti, exceptis deambulationibus à cœna. [6] Utendum etiam balneis ac calidis lavacris, & ocio. [7] Solem vero & frigus vitet.

XIIX. Si vero quis per [1] somnum edere aut bibere consuetos cibos ac potus sibi videatur, [2] inopiam alimenti significat, & animæ tristitiam. [3] Et si carnes robustissimas quis edere se putet, maximum alimenti excessum designat: si vero debilissimas, minorem. [4] Quemadmodum enim id quod editur bonum est, sic etiam id quod videtur. [5] Cibos igitur detrahere conducit. [6] Nam alimenti excessum hoc significat. [7] Sed & panes ex caseo ac melle [1] facti per somnum comesti, similiter significant. [8] Aquam autem puram bibere bonum est, [9] reliqua omnia nociva sunt.

45 XIX. [1] Ὁκόσα δὲ δοκέει ὁ ἄνθρωπος θεωρέειν τῶν συνήθων, ψυχῆς ἐπιθυμίην σημαίνει. [2] ὁκόσα δὲ φεύγει πεφοβημένος, ἐπίστασιν 41 τοῦ αἵματος σημαίνει ὑπὸ ξηρασίης. [3] ξυμφέρει δὲ ψύξαι καὶ ὑγρᾶναι τὸ σῶμα.

XX. Ὁκόσα δὲ ἢ μάχεται, ἢ κεντέεται, ἢ ξυνδέεται ὑπ' ἄλλου, [2] ἀπόκρισιν σημαίνει ὑπεναντίην τῇ περιόδῳ γεγενῆσθαι τοῦ σώματος. [3] ξυμφέρει οὖν ἐμέειν, καὶ ἰσχναίνειν, καὶ περιπατέειν, καὶ σιτίοισι κούφοισι χρέεσθαι, καὶ προσάγειν ἐκ τοῦ ἐμέτου ἐς ἡμέρας πέντε. [4] ἀλ-110 λὰ καὶ πλάναι καὶ ἀναβάσιες ἐν φαντασμάτων, χαλεπὰ ταῦτα σημαίνουσι.

XXI. Ποταμῶν διαβάσιες, καὶ ὁπλῖται καὶ πολέμιοι, καὶ τέρατα ἀλλόμορφα, νοῦσον σημαίνει, ἢ μανίην. [2] ξυμφέρει οὖν τοῖς ἐν τοιούτοισιν ἀλωμένοισι, σιτίοισιν ὀλίγοισι κούφοισί τε καὶ μαλακοῖσι χρέεσθαι, [3] καὶ ἐμέτοισι προσάγειν ἡσυχῇ ἐπὶ ἡμέρας πέντε. [4] καὶ τοῖσι πόνοισι τοῖσι κατὰ φύσιν πολ-5 λοῖσι χρέεσθαι, πλὴν ἀπὸ δείπνου. [5] θερμολουσίην δὲ, ῥαθυμίην, ψῦχος, ἥλιον φυλάσσεσθαι. [6] τούτοισι χρώμενος, ὡς γέγραπται, ὑγιαίνει τὸν βίον. [7] καὶ εὕρηταί μοι δίαιτα, ὡς δυνατὸν εὑρεῖν ἄνθρωπον ὄντα, ξὺν τοῖσι θεοῖσιν.

XIX. Quæcunque homo ex consuetis ac familiaribus se videre putat, ea animæ concupiscentiam significant. [2] Quæcunque vero fugit perterrefactus, sanguinem sisti ac præ siccitate coerceri significant. [3] Confert itaque frigefacere ac humectare.

XX. Quum vero quis pugnat, aut pungitur, aut ab alio ligatur, [2] secretionem circuitui corporis contrariam corpori contigisse significat. [3] Conducit igitur vomere, & attenuare ac deambulare, & cibis levibus uti, & à vomitu ad dies quinque sensim renutrire. [4] Quin & oberrationes & ascensus in somnis visi, gravia significant.

XXI. Fluminum transitiones, & hostes armati, monstra formæ peregrinæ, morbum aut insaniam significant. [2] Confert itaque his qui talibus insomniis vexantur, cibis modicis uti 190 levibusque ac mollibus, [3] itemque vomitibus, atque sic sensim rursus ad dies quinque cibum exhibere. [4] Utendum & laboribus naturalibus multis, præterquam à cœna. [5] Calida lavacra & ocium, frigusque ac solem vitent. [6] Qui igitur his, quemadmodum conscripta sunt, utetur, vitam sanus deget: [7] & inventa est sane à me hæc ipsa diæta, quantum possibile est humano ingenio excogitare, diis auxiliantibus.

ΙΠΠΟ-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΓΙΕΙΝΟΝ

πρὸς

Δημήτριον βασιλέα.

Basil. græc. Foesius sect. IV. 3. 337.

pag. 536 ΙΠΠΟΚΡΑΤΗΣ Κῷος βασιλεῖ Δημητρίῳ χαίρειν. [2] ἡμεῖς δὲ πρότερον σπουδάζοντες, ὦ βασιλεῦ, περὶ τῆς ἀνθρωπίνης φύσιος ἐν κεφαλαίῳ θεωρῆσαι τὰ μέρη, ταῦτα ξυγγράψαντες, καθάπερ ἠξίωσας, ἀπεστάλκαμεν. [3] νῦν δὲ, περὶ ὧν δεῖ μάλιστα σπουδάζειν τοὺς ἔμφρονας, ἡμεῖς, τὰ μὲν καὶ παρὰ τῶν πρότερον παρειληφότες, τὰ δὲ καὶ 10 νῦν αὐτοὶ προσεξευρίσκοντες, γεγράφαμέν σοι. [4] εἰ σὺ, τῶν προτέρων ἀῤῥωστημάτων σημείοις γινομένοις ἐπακολουθῶν καὶ χρώμενος πολλάκις, ἄνοσος ἂν εἴης τὸν ἅπαντα χρόνον. [5] ἔστι δὲ δύο γένη ἀῤῥωστιῶν ἐν πάντων ζώων· ἡ μὲν κατὰ γένος, ἡ δὲ κατὰ πάθος, ἀνόμοια. [6] τὰς δὲ ἐπιθυμίας τὰς κατὰ τὴν τροφὴν ἐκ τῶν ὑπεναντίων ὄψει [7] ἐνδεικνυμένας τῶν κενουμένων τὰ πλήρη, τῶν πληρούντων δὲ τὰ κενά. [8] τὰς δὲ νόσους ἁπάσας ἐξ ὑπεναντίων ὄψει καθεστηκυίας, [9] καὶ νόσους 15 ὑπὸ νόσων γενομένας. [10] ὑπὸ σπασμῶν πυρετὸς ἐπιγενόμενος, ἵστησι τὸ νόσημα. [11] κεφαλῆς δὲ πολλὰς ἀλγηδόνας αἷμα κατὰ τὰ ὦτα ῥαγὲν, ἢ κατὰ τὰς ῥῖνας. [12] σπασμοὶ, πᾶσι τοῖς μελαγχολικοῖς ἐπιγενόμενοι, παύουσι τὰς μελαγχολίας. [13] καὶ καθόλου μὲν ἐστὶ ῥίζα τῶν ἀνθρωπίνων νοσημάτων ἡ κεφαλή, [14] καὶ τὰ ἀῤῥωστήματα

τὰ

HIPPOCRATIS DE SANITATE TVENDA

ad DEMETRIUM regem.

Basil. lat.

HIPPOCRATES Cous Regi Demetrio salutem. [2] Nos equidem etiam prius, ô rex, studio habentes naturæ humanæ partes in summo considerare, has conscriptas quemadmodum voluisti demisimus. [3] Nunc autem ea, quorum maxime studiosos esse oportet prudentes, partim à prioribus transsumpta, partim nunc per nos ipsos compe ta, tibi conscripsimus. [4] Quæ si tu priorum morborum signis fientibus 5 sequutus, & iisdem sæpe usus fueris, per omne vitæ tempus morborum exsors esse poteris. [5] Duo sunt morborum universorum animalium genera, alterum secundum genus, alterum secundum affectionem inter se dissimilia. [6] At vero concupiscentias juxta alimentum, ex subcontrariis cognosces, [7] dum ea quæ evacuantur, indi- 150 cant ea quæ plena sunt: & quæ implent, conjecturam præbent eorum quæ vacua sunt. [8] Morbos autem omnes ex sub- 151 contrariis constitutos cognosces, [9] & morbos à morbis fieri. [10] In 152 convulsionibus febris succedens, sistit morbum: [11] capitis autem dolores, sanguis ex auribus erumpens, aut ex naribus. [12] 153 Convulsiones omnibus morbis atræ bilis succedentes, atram bilem sedant. [13] Et in summa, radix humanorum morborum est caput, [14] & maxime morbi

ex

τὰ μέγιστα ἐκ ταύτης παραγίνεται). 15 ἐπικείμενον γὰρ αὐτὴν τῷ στόματι, ὥσπερ σικύαν, τῶν εἰσφερομένων ἁπάντων συμβαίνει αὐτὴν ἕλκειν τὰ περιττώματα καὶ τοὺς λεπτομερεῖς χυμούς. 16 δεῖ δὲ προσέχειν τὸν νοῦν ἰδίως, ζῆν αὐτὸν παρασκευάσαντα ἐς ταῦτα τὰ μέρη· 17 ὅπως μηδεμίαν αὔξησιν λαμβάνοντα τὰ προσπίπτοντα τῶν ἀρρωστημάτων, διά τε τῆς ἐπιμελείης καὶ τῆς συντάξιος τῆς παρά σοι γινομένης, 18 καὶ μήτε ταῖς τῶν ἀφροδισίων ἀκρασίαις, 19 μήτε ταῖς τῶν διαφόρων ἐδεσμάτων, 20 μήτε τοῖς ὕπνοις τοῖς καρηβαρικοῖς, ἀγυμνάστου ὄντος τοῦ σώματος, χρώμενος, 21 ἀλλ' ἐπακολουθοῦντα τοῖς σημείοις τοῖς γινομένοις ἐν τῷ σώματι, διατηρεῖν τὴν κρᾶσιν ἑκάστου σώματος· 22 ὅπως ἂν φυλαξάμενος τὸ ἀρρώστημα τὸ μέλλον ἐπιφέρεσθαι, ταῖς θεραπείαις, αἷς ἂν ἐγὼ γράφω, χρώμενος, διατέλεος ἄνοσος ἐὼν [βιώσῃ ἔρρωσο.]

ex hoc accedunt. 15 Quum enim ori velut cucurbita medica incumbat, contingit, ut ipsum omnium eorum, quæ ingeruntur, superfluitates attrahat, & tenues humores. 16 Oportet autem animum advertere, & peculiariter vivere, ubi teipsum præparaveris in has partes, 17 quod morbi accidentes nullum augmentum capiant, per curam diligentem & per bonum ordinem apud te fientem: 18 ita ut neque rei veneriæ intemperantia, 19 neque diversorum eduliorum incontinentia, 20 neque somnis immodicis, inexercitato corpore utaris: 21 sed signa in corpore contingentia sequaris, & uniuscujusque corporis occasionem conserves: 22 quo morbum irruere parantem vites, & medelis, quas ego perscribo, utens, à morbis exsors perseveres. Vale.

HIPPOCRATIS
DE SANITATE TUENDA
ad Antiochum regem,
LARGIO DESIGNATIANO interprete.

Præfatio ad filios.

LEGI antehac Hippocratis Coi epistolam, medicinæ auctoris vel peritissimi, quam de tuenda valetudine ad Antiochum regem scripsisse fertur. 2 Cujus quia præcepta & monita vobis ad salutis custodiam nota cuperem, collegi, ut potui, quidquid seriem ejus continere memineram, eamque ore romano interpretans scripsi. 3 Cavi, fateor, ne ad verbum verba transferrem, quo minus pleraque linguarum diversitate congruerent, si parum ponderis in significationibus veris fieret: 4 ita que explicandæ rei adversus obscuritatem consului. 5 Igitur epistola talis est.

II. ANTIOCHO regi S. 2 Eam te in hoc regnandi munere & culmine reputans sustinere personam, ut rex magnus vitam multis utilem in longum provehere debeas, 3 ingentem simul providentiæ tuæ metiens curam, qua experientissimus rerum, mathesim quoque apprime adeptus es, 4 con-

venire talibus regalis peritiæ studiis arbitratus sum, domesticam quoque tuendi corporis & procurandæ valetudinis scientiam. [5] Super cujus observationibus ad te scribendum putavi, [6] ut, ex quibus causis morbi existerent, [7] & quibus prænoscerentur indiciis, [8] & qualibus inter exordia perimerentur medelis, ostenderem. [9] Nam fere, ut cœli turbulenta tempestas numquam nisi præcedentibus solet signis ingruere; [10] ita corporum imminentia pleraque incommoda ortus proprii significatione monstrantur.[11] Spondeo autem, pro ingenita docilitate, qua nostram quoque super iis rebus solertiam probas, [12] monitis meis auscultantem posse te reliquum vitæ tempus firma valetudine & plena incolumitate producere.

III. Corporis igitur humani fit à nobis quadripartita divisio: [2] cujus in partibus singulis valetudinum moderatio continetur. [3] Sunt autem partes hæ: [4] cum capite oris sublimitas, [5] pectoris latebra, [6] ventris receptaculum, [7] sentina vesicæ.

IV. Si capiti igitur evenit incommodum, [2] aut tenebræ offunduntur, [3] aut c etur dolor, [4] aut onusta quasi pondere supercilia sentiuntur, [5] aut fit temporum pulsus assiduus, [6] aut, tumescentibus mane oculis, caligat aspectus, [7] aut aures tinniunt, & accepto quodam interius tumultuantur sono. [8] His ergo signis existentibus, caput est purgatione curandum. [9] Sed super hujusmodi tamen leniore medela, hyssopi vel origani indici coma injecta defruto sive mulsæ, quæ septem vel plusculis diebus maceratur.[10] De quo liquore postmodum coagitato atque colato tepido heminæ dimidium aut ampliorem modum gargarizari oportet die calido vel sereno, [11] ita ut, resupinato ore, faucibus liquor ille contineatur aliquantulum, & agitetur alterna vice: [12] idque sæpius fiat, donec heminæ dimidium consumatur, vel cum phlegmate projiciatur. [13] Sed hæc jejuno adhibenda curatio est, [14] qua nulla capiti levior aut commodior repeti etur. [15] Hoc remedium qui neglexerit, & indicus supra scriptis non occurrerit, [16] necesse est sentiat aut oculorum vitia, [17] aut ulcera intimis auribus erumpentia, [18] aut strumas in confinio colli, [19] aut pulsus cerebri, [20] aut suffocationem, aut circa guttur anginam, aut uvæ distillationem: [21] glandulas quoque patietur, [22] & tabem fluentium capillorum, [23] & ulcera per caput effervescentia, [24] doloremque dentium creberrime.

V. Quod si à pectore morbus minatur, qui esse simplex & non violentissimus solet, iis præsentitur indiciis. [2] Primum pectoris sudor intimus testatur æstum stomachi laborantis, [3] splen erit quasi distensus & eminens, [4] sputamenta fellita, [5] scapulæ cum lateribus gravabuntur & improviso dolore marcescent, [6] assiduæ oscitationes ora diducent, [7] importunæ vigiliæ somnos fugabunt, [8] arctatus spiritus siti nocturna maxime inardescet, [9] exper-

gefactis mens erit tristis & nubila, [10] post soporem totius pene corporis pulsus, [11] tremor in brachiis vel in manibus, [12] sicca etiam tussis quatiet infirmum. [13] His igitur sapienter occurritur, si consuetudo fiat sine ullo medicamine post cœnam vomendi. [14] Utile autem est etiam jejunum vomere. [15] Magis enim humor noxius, qui stomacho insederit, egeritur. [16] Itaque, qui mane vomiturus est, debet minutatim rafani radices manducare, easque vel succum earum transmittere: [17] cardamum quoque, id est, nasturtium; sed & sinapi, & erucam devorare, [18] & aquam inde tepidam superbibere, ac digito vomitum provocare. [19] Qui ista contempserit, erit his obnoxius vitiis: [20] pulmonis labore vexabitur, [21] frenesin sustinebit, atræ bilis infesta commotio ad usque vesani eum furoris periculum trahet, [22] jactabitur febribus acutis, [23] inops somni agitabitur perniciosis vigiliis.

VI. Si quando autem morbus à ventre molitur, qui & ipse multiformi grassatur incommodo, hæc signa præmittit. [2] Torquetur alvus, & correptos cibos immoderatis fluoribus fundit. [3] Potus in amaritudinem vertitur, [4] membrorum omnium existunt dolores, causa latente grassantes: [5] nimiis fervet ruboribus corpus, & acutis atque occultis febribus inardescit. [6] Adversum hæc venter est molliendus sine grandi cura aut gravi medicamento. [7] Nam qui lapatho vel mercuriali herba usus fuerit, commode alvum temperabit. [8] Si parum proficiet hæc medela & supra dicta indicia perseverabunt, decoctus urticæ succus potui dabitur. [9] Utiliter accipiuntur & cymæ caulium, multa aqua vehementer excoctæ. [10] Etiam brassicæ humor, melle admixto & asperso sale temperatus, bibi debet ad heminarum quatuor modum. [11] Qui hæc adhibere cessaverit, iis patebit injuriis, ut aut cœliacus fiat, aut, meatibus ruptis, immoderato ventris fluore vexetur. [12] Hinc dysenteria oritur, & iliacus morbus, & ad superiora fimus redundans vomitibus, & empneumatis interficiet. [13] Hinc ischii passio erit, dolorque coxarum: [14] apoplexis etiam iis originibus existet. [15] Hinc & sanguinis per inferiores meatus, id est, per hæmorrhoidas fluor multus emanat. [16] Articulorum quoque morbus, quem Græci arthritim vocant, istinc creatur.

VII. Cum vero ex vesica imminet origo vitiorum, & ipsa non minus causis pluribus nocens, iis significationibus intelligitur. [2] Inflatio vesicæ adest. Solet enim in eam multus ex alvi meatu ventus immitti. [3] Inde assidua ructatio: inde incontinentes crepitus egeruntur: [4] inde gravis somnus: [5] inde urina sordida & diri odoris egeritur, [6] & circa genitalia tumor surgit. [7] His ergo animadversis, tali subveniendum medela. [8] Fœniculi & apii radices vino condito veteri & odorato injicies, &, cum se hæc confusa maceraverint, cum vini cyathis duobus tantundem miscebis aqua calida, & jejuno potui dabis. [9] Præterea

radices

radicis asparagi succus cum vino mixtus optime sumitur; [10] sed & ciceris albi, non arietini, decocti succus accipitur. [11] Ex hac valetudine, nisi in exordio curatio adhibita fuerit, per urinæ difficultatem & hydrops nascetur, & dolor jecoris, & vitia renum, & stranguria vesicæ, [&] ventrem molestissimi dolores vexabunt.

VIII. Hæc sunt de prænoscendis præveniendisque morborum causis. [2] Addidi etiam, quibus & quatenus per anni circulum, pro temporum vicissitudine, observatis incolumitas custodiatur. [3] Ab hiemo igitur salubrius fiet exordium; [4] Ex die VIII. calend. Januarias corporibus humor adcrescit usque veris æquinoctium, quod incipit VIII. calend. Aprilis. [5] Hoc ergo tempore utendum calidissimis cibis & optimis; vino aliquatenus indulgendum; usus etiam veneris minime respuendus. [6] Ex æquinoctio incipit phlegma crescere, id est, concretus humor & frigidus, usque in ortum Pleiadum, qui incipit pridie idus Majas. [7] Ergo tum adhibere convenit bene odoratos, sed & acres cibos. [8] Exhinc sanguis ardentior febribus augmenta suppeditat; nec minus humor obbibitur, usque ad æstivi temporis commutationem; quæ ad VIII. calend. Julias inchoatur; [9] à quo die venere abstinendum jejunandumque. [10] Ab octavo enim calend. Julias, æstiva progressio incrementa fellis exsuscitat, usque in autumni æquinoctium; quod est VI. calend. Octobris. [11] Erit igitur utendum frigidis & sapidis & bene olentibus cibis; parcius jejunandum, & à venerio usu ab VIII. calend. Julias, certe per dies duodecim, penitus abstinendum. [12] Post autumni æquinoctium, id est, post diem VI. calend. Octobris, acres biles vires & augmentum sortiuntur, usque in occasum Pleiadum, qui est IIII. Idus Novembris. humores etiam graves serpunt. [13] Erit igitur utendum acidis & acribus cibis venere quoque abstinendum; parcius etiam jejunandum. [14] Ab hoc rursus tempore, id est, à IIII. Idus Novembris, sanguis deficit. [15] Congruit igitur levioribus cibis uti, vino indulgere, nec usu veneris abstinere, in VIII. calend. Januarias, ex quo incipit tempus hibernum. [16] Hæc, ut dixi, observans incolumi sospitato vitæ spatia transcurres, nec ulla indigebis visitatione aut curatione medicorum.

HIPPOCRATIS DE SANITATE TUENDA ad Mecœnatem,

LARGIO DESIGNATIANO interprete.

QUEM roganti tibi libellum promisi, omni cura adhibita descriptum misi, ordinatissimum tuæ salutis custodem: [2] quem debebis tam diligenter intueri, quam scriptus est. [3] Ad curationem enim corporis tui omnia explorata sunt, quæ cum rerum effectu comperi, celeriterque complexus sum. [4] Intueri ergo omnem medicinæ rationem debebis. [5] Namque ego diligenti cura, licet summa brevitate, comprehendi singula curationum genera, sicut proxime in eo libello feci, quem Cęsari nostro coram te tradidi. [6] Quas curationes per temet ipse æstimare poteris. [7] Sapientibus enim ratio venire in consilium adsuevit.

II. Omne itaque corpus hominum & pecudum alitumque ex quatuor generibus constat, sed præcipue hominum; calido, frigido, sicco, & humido. [2] Frigido enim continentur viscera, unde spiramus. [3] Calore continetur anima, qua vivimus; id est, qua vivi sentimus. [4] Sicca sunt ossa, quæ vires faciunt ad sustinendum laborem. [5] Humidus est sanguis, quo alitur vita. [6] Per omnia enim viscera venæ currunt, quæ sanguinem vehunt. [7] Sanguis animam, anima vitam sustinet; spiritus autem aëris est. [8] Ossa, nervis munita, virtutem corpori præstant.

III. Sanguis, cum abundat, valetudinem vitiat. [2] Ex eo nascitur sanies, quam in vulneribus sectis videmus. [3] Nascitur & pituita, quæ nauseam facit. [4] Nascitur etiam bilis acida & amara, quæ dicitur mater morborum. [5] Bilis enim cum est, concitat calores. [6] De pituita perfrictio nascitur, quæ facit dolorem intestinorum, torsiones etiam inflationemque, quæ corpus extenuant. [7] Sanguis autem à nimio cibo, nimiaque potatione incipit abundare, & cruditate corrumpitur. [8] Qui cum evacuatur extra cursum naturæ, infert aliqua corpori vitia; & in quacunque parte corruptus incubuit, fatigat & lædit. [9] Nam sanguis animam quoque vitiat; & inde os hominis incipit fœtere. [10] Cum est ergo integer sanguis, animam sine dubio confirmat, ut possit frigus caloremque fortius sustinere. [11] At, cum abundat, cumque calore animæ corrumpitur, fit sanies: [12] tum & bilem atram concitabit, & calorem interdum ac frigus faciet, corporique universo languorem, animæque malum odorem vel anhelitum faciet.

IV. Quo facilius igitur commodis valetudinis fruamur, & incommoda vitemus, [2] prognostica, id est, præcurrentia vitia, signis naturalibus cognoscamus, cognitaque emendemus, ne mortifera fiant. [3] Quatuor igitur disponuntur corporis partes; cujus origo in capite est, & thorace; deinde venter sequitur & vesica. [4] Ita ergo locorum istorum sinceras notas cognoscemus.

V. Hominis sani urina mane alba erit, & ante prandium

rufa.

rufa. [2] Pransi rursus candida; item ante cœnam rufa. [3] Nec ego tamen necessitatem prandendi imposui, sed magis vicinam & tempora naturalia ostendi. [4] Candida enim urina debet esse, ubi cruditas non est, mane quieto corpore. [5] Deinde motus ipse & deambulatio urinam turbat, excitatque vesicam; ideoque coloratior fit. [6] Quod si mane urina mutaverit colorem, ostendit subesse vitium infirmitatis, [7] quod tamen propriis indiciis intelligimus.

VI. Cum enim à capite morbus oritur, solet capitis dolor comparere; [2] tunc & supercilia gravantur, tempora saliunt, aures sonant, oculi lacrymant, nares repletæ odorem non sentiunt. [3] Cum ex iis ergo aliquid accidit, caput purgari oportet hac ratione. [4] Hyssopi aut cunilæ bubulæ fasciculum cum aqua defervefacias; inde aquam ore continebis; [5] sed caput calide tractabis, ut fluat pituita. [6] Quod si quis negligit, capiet epiphoras oculorum, aut dentium vel aurium dolorem. [7] Interdum etiam strumæ parotidesque nascuntur, & alia vitia, quæ circa fauces cervicesque oriri solent. [8] Item distillatio aut gravedo narium erit. [9] Et interdum ulcera in capite nascuntur, aut etiam capilli defluunt.

VII. Cum autem à thorace morbus nascitur, [2] incipit caput sudare, linguaque fit crassior, aut os amarum, aut tonsillæ dolent. [3] Oscitatio erit frequens sine somno & quiete. [4] Torpor membrorum, animi dolor, subitaque tussis arida & inquieta nascetur. [5] Ex iis ergo cum aliquid acciderit, vitabis vitium grave, si vomueris, sive jejunus, sive post cœnam, vel in balneo. [6] Plus autem prodest, si jejunus bilem ejeceris. [7] Eam enim dicimus matrem morborum. [8] Sed, qui vomere nolunt, vel non possunt, quia stomacho laborant, decimoquoque die jejunando, omni cibo se abstineant. Quo facto vitium grande vitabunt. [9] Nam frequenter vomendo solet stomachus corrumpi.

VIII. Quod si à ventre morbus orietur, hæc erunt signa. [2] Venter vertetur atque turbabitur & sentiet crebros dolores; cibus & potio videbuntur amara; genua succident, & lumbi gravabuntur, interscapulium contrahetur, totumque corpus particulatim gravabitur, tardabuntur pedes, pigra fient crura, renes indolescent, & post hæc febriculæ incurrent. [3] His itaque cognitis, prima est abstinentiæ utilitas. [4] Tum etiam medicamentis alvum purgari oportebit, ut grave corpus levamentis adjuvetur. [5] Quod si morbus major premere videbitur, adjicies alterum diem abstinentiæ: si tamen vires patientur. [6] Sin minus, quam levissimum sumes cibum, ut ovum sorbile tantum, aut aliquod ovo simile accipias. [7] Hoc qui negligunt, fiunt cœliaci, torminosi, dysenterici: [8] etiam ex eo nascuntur tertianæ & quartanæ: [9] fiunt podagrici chiragricique; morbus etiam articularis hinc accidere solet. [10] Quidam etiam fiunt amentes: [11] quibusdam sanguis etiam erumpere è naribus solet. [12] Oportet igitur occurri tam gravibus

vibus

vibus malis, curatione supra dicta.

IX. A vesica qui nascuntur morbi, hæc dabunt signa. [2] Pleni videbuntur, & cibo cito saturari, quos gravabit. [3] Sequentur inflationes ventris, & crepitus crebri. [4] Videbuntur oscitare, nec oscitabunt, sed tantum os diducent. [5] Sequitur totius corporis stupor, somnusque gravis, quasi marcor. [6] Fiet urina livida & vix erumpens. [7] Tumescunt etiam veretra, & inde calculosi fiunt. [8] Hæc vitia sic emendantur. [9] Fœniculum & apium vino austero madefacito; vel etiam earum herbarum radices contere, & ex vini cyathis duobus, & tantundem aquæ calidæ accipe assidue. [10] vel dauci semen & myrtum ex aqua calida sume. [11] vel cicer album sume, non arietinum, madefactum vino, ut supra scripsi, ebibe. [12] vel radicem asparagi, vel ervum erraticum, vel serpyllum decoque, ejusque aquam vino mixtam bibe. [13] Quæ qui negligunt, fiunt hydropici. [14] Sequetur iis jocineris & renium & vesicæ dolor. [15] Fient quoque calculosi; stranguriam quoque sustinebunt, & ventris tumorem. [16] Intueri autem oportet ægri vires, quomodo possit sustinere medicinam, ut ita febri & cruditati ejus adhibeatur. [17] Fiunt ergo cataplasmata, adhibenturque, quæ apta sint capiti, ventri, vesicæ, cruditati, frigori, calori, prout tempus exegerit. [18] Uti autem ad hæc oportet rosa, acero, vino, oleo irino, [19] linguam quoque ægri asperam melle perfricari, vel mentæ folio. [20] Reliqua diligenti medico permittenda sunt: quia juxta morbos debet adhibere medicinam.

X. Quoniam ostendi corporis sani & imbecilli notas per urinam denunciari, & adjici curationum consilia: [2] nunc & compositiones medicamentorum adjiciam; unum, ne nascantur corpori vitia; alterum, ut emendatio sanitatem reducat. [3] Adversus autem omnes impetus morborum duo sunt remedia certissima. [4] Primum est, decimo quoque die ut te abstineas à cibo & potione. [5] Deinde, postero die lavabis, ciboque firmo uteris. [6] Qua re & observatione efficies, ne quid omnino vitii corpori tuo accidat, & perpetua sanitate sis tutus. [7] Est & potio salubris, quæ omne corporis vitium eliminat, & valetudinem confirmat. [8] Ejus potionis jam tecum habes compositionem. [9] Per annos autem complures, amicissime Mecœnas, cum Cæsare nostro pariter nos morari meministi; quo tempore hæc observando nunquam in ullum corporis languorem incidisti. [10] Quo tempore nec nostrum Augustum quidquam molestioris incommodi passum esse nosti. [11] Ita etiam me tecum habebis, si libellum meum legendo sæpius tractaris, [12] qui plenius tibi, me absente, præstare consilium in omnibus poterit. [13] Terentii Velpisti in ultimo libello leges dynames herbarum. [14] Quas ut crescentibus numeris Lunæ observes, dum tollis & componis, curato. [15] Si ita non feceris, & ad deminutionem

Lunæ

Lunæ sustuleris, minus valebunt. [26] Ipsum etiam mare per Lunam augeri & minui scimus. [27] Cerebra etiam hominum augentur crescente Luna. [28] Cum autem minuitur Luna, unaquæque res deminutionem sentit. [29] Quod licet recognoscas ex iis, quibus cotidie uteris; tamen &, per me admonitus, scies omnibus & minui augmentum & augeri per Lunam. [30] Quod si ita est, in herbis quoque legendis componendisque medicamentis vim ejus & potestatem nos observare debere, ne dubites.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ
τὸ πρῶτον.

HIPPOCRATIS POPVLARIVM
liber primus.

Basil. græc. Foesius sect. VII. II. 938. Basil. lat.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

ΚΑΤΑΣΤΑΣΙΣ πρώτη. [2] Ἐν Θάσῳ φθινοπώρου περὶ ἰσημερίην καὶ ὑπὸ πληϊάδα ὕδατα πολλά, ξυνεχέα, μαλθακά, ὡς ἐν νοτίοισι. [3] Χειμὼν νότιος· σμικρὰ πνεύματα βόρεια· αὐχμοί. [4] τὸ σύνολον εἰς γε χειμῶνα ἐοικότος ἦρ γίνεται. [5] Ἦρ δὲ νότιον, ψυχεινόν, μικρὰ ὕσματα. [6] Θέρος ὡς τὸ πολὺ ἐπινέφελον, ἀνυδρίαι, [7] ἐτησίαι ὀλίγαι σμικρὰ διεσπασμένως ἔπνευσαν. [8] Γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετ' αὐχμῶν. [9] Πρωῒ μὲν τοῦ ἦρος, ἐκ τῆς πρόσθεν καταστάσιος ὑπεναντίης καὶ βορείου γενομένης, [10] ὀλίγοισιν ἐγένοντο καῦσοι, καὶ τούτοισι πάνυ εὐσταθέες· [11] καὶ ὀλίγοισιν ἡμορράγησεν. [12] οὐδ' ἀπέθνησκον ἐκ τούτων. [13] ἐπάρματα δὲ παρὰ τὰ ὦτα πολλοῖσιν ἑτερόρροπα, καὶ ἐξ ἀμφοτέρων, τοῖσι πλείστοισιν ἀπύροισιν ὀρθοστάδην. [14] ἔστι δὲ οἷσι καὶ μικρὰ ἐπιθερ-

SECTIO PRIMA.

CONSTITUTIO temporis prima. [2] In Thaso autumni tempore circa æquinoctium & sub pleiadas, aquæ multæ assiduæ, molles, velut in austrinis: [3] Hyems austrina: parvi venti aquilonares: squalores: [4] & omnino hyems, quale ver fieri solet. [5] Ver autem austrinum, frigidum, pluviæ parvæ. [6] Æstas plerunque nubila, aquarum inopia. [7] Etesiæ parum, modice, sparsim spirarunt. [8] Quum autem totus hic aeris status ad austrina vergeret, ac cum siccitatibus fieret: [9] ante ver quidem ex priore statu, subcontrario & aquilonio emergente, [10] paucis obortæ sunt febres ardentes; atque his omnino boni status: [11] & paucis sanguis erupit, [12] neque ex his moriebantur. [13] Tubercula vero circa aurem alteram multis erant, plurimis ex utrisque, citra febrem erecte obambulantibus: [14] quibusdam vero etiam parum in-

ἀπεθερμαίνοντο. [15] καὶ ἐσβέσθη πᾶσιν ἀσινέως, οὐδ' ἐξεπύησεν οὐδενὶ, ὥσπερ τὰ ἐξ ἄλλων προφασίων. [16] ἦν δὲ ὁ τρόπος αὐτέων, χαῦνα, μεγάλα, κεχυμένα, οὐ μετὰ φλεγμονῆς, ἀνώδυνα, πᾶσιν ἀσήμως ἠφανίσθη. [17] ἐγένετο δὲ ταῦτα μειρακίοισι, νέοισιν, ἀκμάζουσι· [18] καὶ τούτων τοῖσι περὶ παλαίστρην καὶ γυμνάσια πλείστοισι. [19] γυναιξὶ δὲ ὀλίγῃσιν ἐγένετο. [20] πλείστοισι δὲ βῆχες ξηραὶ, καὶ φωναὶ βραγχώδεες οὐ μετὰ πολύ· τοῖσι δὲ καὶ μετὰ χρόνον. [21] φλεγμοναὶ μετ' ὀδύνης ἐς ὄρχιν ἑτερόῤῥοποι, τοῖσι δὲ ἐπ' ἀμφοτέρους. [22] πυρετοὶ, τοῖσι μὲν, τοῖσι δ' οὔ. [23] ἐπιπόνως ταῦτα τοῖσι πλείστοισι. [24] τὰ δ' ἄλλα, ὁκόσα κατ' ἰητρεῖον, ἀνόσως διῆγον.

[25] περὶ δὲ τὸ θέρος ἀρξάμενον, καὶ διὰ θέρεος, καὶ κατὰ χειμῶνα, πολλοὶ τῶν ἤδη πολὺν χρόνον ὑποφθινομένων, φθινώδεες κατεκλίθησαν. [26] ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι πολλοῖσιν ἐβεβαίωσε τότε. [27] ἔστι δ' οἷσιν ἤρξατο πρῶτον, τουτέοισιν ἔῤῥεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες. [28] ἀπέθανον δὲ πολλοὶ καὶ πλεῖστοι τουτέων. [29] καὶ τῶν κατακλιθέντων οὐκ οἶδ' εἴ τις καὶ μέτριον χρόνον διεγένετο. [30] ἀπέθνησκον δὲ ὀξυτέρως ἢ ὡς εἴθισται διάγειν τὰ τοιαῦτα· [31] ὡς τά γε ἄλλα, καὶ μακρότερα ἐν τοῖσι πυρετοῖσιν ἐόντα, εὐφόρως ἤνεγκαν, καὶ οὐκ ἀπέθνησκον. [32] περὶ ὧν γεγράψεται.

incalescebant. [15] Extincta sunt omnibus absque nocumento: neque cuiquam suppurarunt; quemadmodum ea quæ ex aliis causis sunt oborta. [16] Erat autem natura ipsorum hæc: laxa erant, magna, diffusa, non cum inflammatione, doloris exortia; omnibus obscure evanuerunt. [17] Fiebant autem hæc adolescentibus, juvenibus, in vigore constitutis, [18] & ex his plurimis qui circa palæstram & gymnasia exercebantur. [19] Mulieribus vero paucis fiebant. [20] Plurimis vero tusses siccæ, qui tussiebant & nihil rejectabant, & voces non longe postea raucosæ. [21] Quibusdam vero etiam interposito tempore inflammationes cum dolore, in altero testiculo; quibusdam in utroque. [22] Et aliis quidem febres, aliis non. [23] Hæc autem plurimis laboriose fiebant. [24] De cætero vero, quantum ad ea attinet quæ in officina medica ad chirurgiam pertinentia fiunt, sine morbo degebant.

[25] At vero ante æstatis initium, & per æstatem ac hyemen, multi ex his qui longo jam tempore subcorrupti erant, tabidi decubuerunt. [26] Nam & multis qui ambigui erant, tunc tabes confirmata est: [27] quibusdam vero primum cœpit: & his natura ad tabem vergebat. [28] Moriebantur autem multi & plurimi ex his. [29] Et de his qui decubuerunt, haud scio an quis etiam modico tempore supervixerit. [30] Moriebantur autem citius quam tales morbi transfigere solent. [31] Nam alios & longiores, & cum febribus conjunctos, facile ferebant, & non moriebantur. [32] De quibus paulo post scri-

φθεται. 33 μοῦνον γὰρ καὶ μέγιστον τῶν τότε γενομένων νοσημάτων τοὺς πολλοὺς τὸ φθινῶδες ἔκτεινεν. 34 Ἦν δὲ τοῖσι πλείστοισιν αὐτέων τὰ παθήματα τοιάδε. 35 "Φρικώδεες πυρετοὶ, ξυνεχέες, ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες. 36 ὁ δὲ τρόπος ἡμιτριταῖος· μίαν μὲν κουφότερον, τῇ δ' ἑτέρῃ ἐπιπαροξυνόμενοι· καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντες. 37 ἱδρῶτες δὲ αἰεὶ, οὐ δι' ὅλου. 38 ψύξις ἀκρέων πολλὴ, καὶ μόλις ἀναθερμαινόμενα. 39 κοιλίαι ταραχώδεες, "χολώδεες, ὀλίγαι, ἀκρήτοισι, λεπτῇσι, δακνώδεσι, πυκνὰ ἀνίστασθαι. 40 οὖρα δὲ ἦν λεπτὰ καὶ ἄχροα, καὶ ἄπεπτα, καὶ ὀλίγα, ἢ πάχος ἔχοντα καὶ μικρὴν ὑπόστασιν, οὐ καλῶς [δὲ] καθιστάμενα, ἀλλ' ὠμῇ τινι καὶ ἀκαίρῳ ὑποστάσει. 41 ἔβησσον δὲ μικρὰ καὶ πυκνὰ, 'πέπονα, καὶ ὀλίγα μόλις ἀνάγοντες. 42 οἷσι δὲ τὰ βιαιότατα ξυμπίπτοι, οὐδ' ἐς ὀλίγον πεπασμὸς ἦν, ἀλλὰ διετέλεον ὠμὰ πτύοντες. 43 "φάρυγγες δὲ τοῖσι πλείστοισι τούτων ἐξ ἀρχῆς καὶ διὰ τέλεος ἐπώδυνον εἶχον, 44 [καὶ] ῥεύματα σμικρὰ, λεπτὰ, δριμέα, 45 ταχὺ "τηκόμενοι καὶ κακούμενοι, 46 ἀπόσιτοι πάντων γευμάτων, 47 διὰ τέλεος ἄδιψοι, 48 καὶ παράληροι πολλοὶ περὶ θάνατον. 49 περὶ μὲν τὰ φθινώδεα, ταῦτα.

50 κατὰ δὲ [τὸ] θέρος ἤδη καὶ [τὸ] φθινόπωρον 'πυρετοὶ πολλοὶ καὶ ὀξέες, "οὐ βίαιοι, 51 "μακρὰ δὲ νοσέουσιν, οὐ δὲ περὶ τὰ ἄλλα δυσφόρως διάγουσιν. 52 ἐγένοντο [δὲ] κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι πάνυ εὐφόρως, καὶ οὐδὲν ἄξιον λόγου προσέβλαπτον.

scribetur. 33 Solus enim & maximus ex his qui tum vigebant, tabidus 'morbus multos occidit. 34 Erant autem plurimis ipsorum affectiones hujusmodi: 35 febres horridæ, continuæ, acutæ, in totum non intermittentes. 36 Modus autem erat femitertianus, una die leviores, altera amplius exacerbescentes, & in summa acutiores increbescentes. 37 Sudores vero semper, non per totum: 38 Frigiditas extremitatum multa & quæ vix recalesceret. 39 Alvi turbatæ, biliosæ, ex paucis, puris, tenuibus, 'mordacibus: frequenter ad exonerandos se surgebant. 40 Urinæ tenues, & crudæ, & decolores, & paucæ: aut crassitudinem habentes, & subsidentiam parvam, non probe desidentes, sed cum cruda quadam ac intempestiva subsidentia. 41 Tussiebant autem, pauca, condensata, concocta, paulatim vix educentes. 42 Quibus vero violentissima accidissent, his neque modice concoctio aderat, sed cruda spuere 'perseverabant. 43 Fauces autem plurimis horum ab initio, & perpetuo dolebant, ruborem habentes cum inflammatione: 44 fluxiones parvæ, tenues, acres. 45 Brevi colliquescebant, & affligebantur, 46 omnes cibos perpetuo fastidientes, 47 sitis exortes, 48 & plerique circa mortem deliri. 49 Et circa tabidos quidem hæc.

50 Cæterum æstate jam & autumno, febres multæ, continuæ, non violentæ, 51 diu quidem ægrotantibus, non autem alias ita male habentibus 52 oboriebantur. Plurimis alvi turbatæ, ita ut valde tolleranter ferrent, & nihil memorabile læde-bant.

πλῶν. [53] οὖρά τε τοῖσι πλείστοισιν εὔχροα μὲν καὶ καθαρά, λεπτὰ δὲ καὶ μετὰ χρόνον περὶ κρίσιν πεπαινόμενα. [54] βηχώδεες οὐ λίην, οὐδὲ τὰ βησσόμενα δυσκόλως. [55] οὐδ' ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. [56] τὸ μὲν ὅλον ὑπενόσεον οἱ φθινώδεες οὐ τὸν φθινώδεα τρόπον. [57] πυρετοῖσι φρικώδεσι, σμικρὰ ἐφιδροῦντες, ἄλλοτε ἀλλοίως παροξυνόμενοι πεπλανημένως. [58] τὸ μὲν ὅλον οὐκ ἐκλείποντες, παροξυνόμενοι δὲ τριταιοφυέα τρόπον. [59] ἐκρίνετο δὲ τούτων, οἷσι τὰ βραχύτατα γένοιτο, περὶ εἰκοστὴν ἡμέρην· τοῖσι δὲ πλείστοισι περὶ τεσσαρακοστήν· πολλοῖσι δὲ περὶ ὀγδοηκοστήν. [60] ἔστι δὲ οἷσιν οὐδ' οὕτως, ἀλλὰ πεπλανημένως τε καὶ ἀκρίτως ἐξέλιπον. [61] τούτων δὲ τοῖσι πλείστοισι, οὐ πολὺν διαλείποντες χρόνον, ὑπέστρεψαν οἱ πυρετοὶ πάλιν. [62] ἐκ δὲ τῶν ὑποστροφέων ἐν τῇσιν αὐτῇσι περιόδοισιν ἐκρίνοντο. [63] πολλοὶ δὲ αὐτέων ἀνήγαγον ὥστε καὶ ὑπὸ χειμῶνα νοσέειν. [64] ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει ταύτῃ μούνοισι φθινώδεσι θανατώδεα ξυνέπεσεν. [65] ἐπὶ τοῖσι δὲ ἄλλοισι πυρετοῖσιν οὐκ ἴσχυον.

bant. [53] Urinæ item plurimis boni quidem coloris & puræ; verum tenues, & post tempus circa judicationem concoctæ. [54] Tussiebant autem non valde, neque ea quæ per tussim rejectabantur, difficultatem exhibebant. [55] Neque cibum fastidiebant, sed etiam valde licebat ipsis offerre. [56] In summa subægrotabant tabidi, non tabido modo, [57] febribus horridis parum insudantes, alias alii, ut qui erroneo modo exacerbarentur, [58] febribus quidem in totum non intermittentibus, sed quæ juxta naturæ febris tertianæ morem exacerbarentur. [59] Judicabantur autem quibus inter hos brevissimæ essent, circa vigesimum diem, plurimis circa quadragesimum; multis circa octuagesimum. [60] Quibusdam neque sic, sed vago modo & citra judicationem deficiebant; [61] horum autem plurimis febres rursus non multum tempus intermittentes reversæ sunt. [62] Ex recidivis autem in iisdem circuitibus judicabantur. [63] Multis vero ipsorum producebantur, ut sub hyemem ægrotarent. [64] Ex omnibus porro in hac temporis constitutione descriptis, solis tabidis lethalia acciderunt. [65] In aliis autem febribus, nnn.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Κατάστασις δευτέρη. [2] ἐν Θάσῳ περὶ τοῦ φθινοπώρου χειμῶνες οὐ κατὰ καιρὸν, ἀλλ' ἐξαίφνης ἐν βορείοισι καὶ νοτίοισι πολλοῖσιν, ὑγροὶ καὶ προεκρηγνύμενοι. [3] ταῦτα δὲ ἐγένετο τοιαῦτα μέχρι πληιάδος δύσιος, καὶ ὑπὸ πληιάδα. [4] χειμὼν δὲ βόρειος· ὕδατα πολλά, λάβρα, μεγάλα· χιόνες· μιξαίθρια τὰ πλεῖστα. [5] ταῦτα δὲ

SECTIO SECUNDA.

Constitutio temporis secunda. [1] [2] In Thaso ante autumnum tempestive, sed derepente in aquilonis & austrinis multis, humidæ & præerumpentes. [3] Hujusmodi vero durabant usque ad pleiada, & sub pleiade. [4] Hyems autem aquilonia. Aquæ multæ, largæ, magnæ; nives. Plerunque mixta aeris serenitas; [5] & hæc

δὲ ἐγένοντο μὲν πάντα, οὐ λίην δὲ ἀκαίρως πρὸς τὸ ψυχεινόν. [6] ἤδη δὲ μεθ' ἡλίου τροπὰς χειμερινὰς καὶ ἡνίκα ζέφυρος πνεῖν ἄρχεται, [7] ὀπισθοχειμῶνες μεγάλοι, βόρεια πολλά, χιόνες καὶ ὕδατα ξυνεχέως πολλά, καὶ οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος. [8] ταῦτα δὲ ξυνέτεινε, καὶ οὐκ ἀνίει, μέχρις ἰσημερίης. [9] ἦρ δὲ ψυχρόν, βόρειον, ὑδατῶδες, ἐπινέφελον. [10] θέρος [δὲ] οὐ λίην καυματῶδες ἐγένετο. [11] ἐτησίαι ξυνεχέως ἐπέπνευσαν, ταχὺ δὲ περὶ ἀρκτοῦρον. [12] ἐν βορείοισι πολλὰ πάλιν ὕδατα. [13] γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου, κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα, περὶ δὲ τὸ ἦρ πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπιπόνως.

[14] Ἤρξαντο μὲν οὖν τὸ πρῶτον ὀφθαλμίαι ῥοώδεες, ὀδυνώδεες, ὑγραί, ἄπεπτοι· [15] σμικραὶ λῆμαι, πολλοῖσι δυσκόλως ἐκρηγνύμεναι, τοῖσι πλείστοισιν ὑπέστρεφον· [16] ἀπέλιπον δὲ περὶ τὸ φθινόπωρον. [17] κατὰ δὲ [τὸ] θέρος ἤδη καὶ τὸ φθινόπωρον, δυσεντεριώδεες, καὶ τεινεσμοί, καὶ λειεντεριώδεες, [18] καὶ διάρροιαι χολώδεες, λεπτοῖσι, πολλοῖσιν, ὠμοῖσι καὶ δακνώδεσιν· ἔστι δ' οἷσι καὶ ὑδατώδεες. [19] πολλοῖσι δὲ καὶ περίρροιαι μετὰ πόνου χολώδεες, ὑδατώδεες, ξυσματώδεες, πυώδεες, στραγγουριώδεες, οὐ νεφριτικά· [20] ἀλλὰ τούτοισιν ἀντ' ἄλλων ἄλλα. [21] ἔμετοι χολώδεες, φλεγματώδεες, καὶ σιτίων ἀπέπτων ἀναχωρήσιες, [22] ἱδρῶτες. [23] πᾶσι πάντοθεν πολλὰς ἐπλάδας. [24] ἐγένετο δὲ ταῦτα πολλοῖσιν ὀρθοστάδην ἀπύροισιν, πολλοῖσι δὲ πυρετοῖσι· περὶ ὧν γεγράψεται. [25] ἐν οἷσι δὲ ἐπεφαίνετο πάντα τὰ ὑπογεγραμμένα, μετὰ πόνου φθι-

hæc quidem fiebant omnia: frigora vero non admodum intempestiva. [6] Jam vero post brumale solstitium, & quando favonius spirare incipit, [7] posterior hyems magna erat, aquilonia multa. Nives & aquæ assidue multæ, & cœlum procellosum ac nubilum. [8] Hæc autem durabant & non remittebant usque ad æquinoctium. [9] Ver autem frigidum, aquilonium, aquosum, nubilum. [10] Æstas non valde æstuosa fiebat. [11] Etesiæ assidue spirarunt. Mox circa arcturum [12] in aquilonis, aquæ valde multæ. [13] Quum autem annus totus humidus & frigidus & aquilonius esset, per hyemem sano modo plerunque habebant: ante ver autem multi quidem, & plurimi morbide degebant. [14] Primum igitur cœperunt lippitudines fluidæ, dolorosæ, humidæ, crudæ. [15] Lemæ parvæ & multis difficulter erumpentes plurimis revertebantur: [16] defecerunt sero ad autumnum. [17] Æstate jam & autumno, lienteriæ, & dysenteriæ, & tenesmi, [18] & alvi profluvia ex biliosis, tenuibus, multis, crudis, & mordacibus: quibusdam vero etiam aquosis. [19] Multis autem & urinæ fluxiones cum dolore biliosæ, aquosæ, ramentosæ, purulentæ, cum stillicidio, non renales, [20] sed his alia pro aliis. [21] Vomitus pituitosi, biliosi, & ciborum crudorum rejectiones: [22] sudores. [23] Omnibus undiquaque multa humiditas. [24] Fiebant autem hæc multis erectis obambulantibus, non febrientibus: multis item febrientibus, de quibus paulo post scribetur. [25] In quibus autem omnia hæc præscripta apparebant cum do-

lore,

φθινώδεες. 26 ἤδη δὲ φθινοπώρου καὶ ὑπὸ χειμῶνα πυρετοὶ ξυνεχέες, 27 καὶ τοῖσιν αὐτῶν ὀλίγοισι καυσώδεες, ἡμερινοὶ, νυκτερινοὶ, ἡμιτριταῖοι, ἀκριβέες, τεταρταῖοι, πλανῆτες. 28 ἕκαστοι δὲ τῶν ὑπογεγραμμένων πυρετῶν πολλοῖσιν ἐγένοντο. 29 οἱ μὲν οὖν καῦσοι ἐλαχίστοισί τε ἐγένοντο, καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν. 30 οὔτε γὰρ αἱμοῤῥαγίαι, εἰ μὴ πάνυ σμικραὶ καὶ ὀλίγοισιν, οὔτε οἱ παράληροι, τά τε ἄλλα πάντα εὐφόρως. 31 ἐκρίνετο δὲ τουτέοισι πάνυ εὐτάκτως, τοῖσί [τε] πλείστοισι ξὺν τῇσι διαλειπούσῃσιν ἐν ἑπτακαίδεκα ἡμέρῃσιν. 32 οὐδὲ ἀποθανόντα οὐδένα οἶδα τότε ἐν καύσῳ, οὐδὲ φρενιτικὰ τότε γενόμενα. 33 οἱ δὲ τριταῖοι, πλείους μὲν τῶν καύσων καὶ ἐπιπονώτεροι, εὐτάκτως δὲ τουτέοισι πᾶσιν ἀπὸ τῆς πρώτης λήψιος τέσσαρας περιόδους, ἐν ἑπτὰ δὲ τελέως ἐκρίνοντο, οὐδ' ὑπέστρεψεν οὐδενὶ τούτων. 34 οἱ δὲ τεταρταῖοι, πολλοῖσι μὲν ἐξ ἀρχῆς ἐν τάξει τεταρταίου ἤρξαντο, μακρῇ δὲ καὶ, ὡς εἴθισται, τουτέοισι καὶ ἔτι μακρότερον ξυνέπιπτεν. 35 ἀμφημερινοὶ δὲ, καὶ νυκτερινοὶ, καὶ πλανῆτες, πολλοῖσι πολλοὶ καὶ πουλὺν χρόνον παρέμενον, ὀρθοστάδην τε καὶ κατακειμένοισι. 36 τοῖσι πλείστοισι τούτων ὑπὸ πληϊάδα καὶ μέχρι χειμῶνος οἱ πυρετοὶ παρείποντο. 37 σπασμοὶ δὲ πολλοῖσι, μᾶλλον δὲ παιδίοισιν ἐξ ἀρχῆς. 38 καὶ ἐπύρεσσον, καὶ ἐπὶ πυρετοῖσιν ἐγίνοντο σπασμοί. 39 χρόνια μὲν τοῖσι πλείστοισι τούτων, ἀβλαβέα δὲ,

lore, tabidi fiebant. 26 Jam vero autumno & sub hyemem, febres continuæ, 27 & quibusdam ipsorum paucis ardentes, diurnæ, nocturnæ, semitertianæ, tertianæ exactæ, quartanæ, erroneæ. 28 Singulæ vero prædictæ febres multis fiebant. 29 At ardentes & paucissimis obortæ sunt, & ex ægrotis hi minimum laboraverunt: 30 (neque enim sanguis erupit, nisi valde parum, & paucis:) neque delirabant: aliaque omnia tolerabilia erant. 31 Judicabantur autem plurimis valde bono ordine, cum intermittentibus in septem ac decem diebus. 32 Neque mortuum aliquem tunc in febre ardente novi, neque phrenitim tunc cuiquam factam scio. 33 At vero tertianæ plures quidem quam ardentes febres erant ac graviores, verum ordinate in his omnibus, à prima accessione quatuor circuitus habebant, in septem autem perfecte judicabantur, neque illi horum reversæ sunt. 34 Quartanæ vero multis quidem ab initio ex ordine quartanæ cœperunt. ~~Quibusdam autem non paucis, ex aliis febribus ac morbis abscessus ad quartanas fiebant: atque hos diu, quemadmodum solent, & ad huc diutius tenebant.~~ 35 Diurnæ vero quotidianæ, & nocturnæ, & erroneæ multæ, multis & multo tempore permanebant, & erecte obambulantibus, & decumbentibus. 36 Plurimos horum sub pleiada, & usque ad hyemem, febres consequebantur. 37 Multos convulsiones, magis autem pueros ab initio: 38 & febriebant, & in febribus convulsiones fiebant; 39 & erant hæc plerisque diuturna, verum innocua,

δὲ, "εἰ μὴ τοῖσι καὶ ἐκ τῶν ἄλλων 27
25 πάντων ὀλεθρίως ἔχουσιν. 40 ʹοἱ δὲ
ξυνεχέες μὲν τὸ ὅλον καὶ οὐδὲν ἐκ-
λείποντες, παροξυνόμενοι δὲ πᾶσι
"τριταιοφυέα τρόπον, μίαν ὑπο- 28
κουφίζοντες καὶ μίαν παροξυνόμε-
νοι, πάντων βιαιότατοι τῶν τότε
γινομένων, καὶ μακρότατοι, καὶ μετὰ
πόνων μεγίστων γινόμενοι. 41 πρη-
έως [γὰρ] ἀρχόμενοι, τὸ ὅλον ἐπιδι-
δόντες αἰεὶ, καὶ παροξυνόμενοι ἐν
κρισίμοισι, καὶ ἀνάγοντες ἐπὶ τὸ
κάκιον, 42 σμικρὰ διακουφίζον-
τες, καὶ ταχὺ πάλιν ἐξ ἐπισχέσιος
βιαιοτέρως παροξυνόμενοι, ἐν
30 κρισίμοισιν ὡς ἐπὶ τὸ πολὺ ʹκα-
κούμενοι. 43 ῥίγεα δὲ πᾶσι μὲν ἀτά-
κτως καὶ πεπλανημένως ἐγίνετο, ἐ-
λάχιστα δὲ καὶ ἥκιστα τουτέοισιν ἀλλ'
ἐπὶ τῶν ἄλλων πυρετῶν μέζω. 44
"ἱδρῶτες πολλοὶ, τουτέοισι δὲ ἐλά- 29
χιστοι· κουφίζοντες οὐδὲν, ἀλλ' ὑπε-
ναντίον βλάβας φέροντες. 45 ψύ-
ξις πολλὴ τουτέοισιν ἀκρέων, καὶ
μόλις ἀναθερμαινόμενα. 46 "οὐ- 30
δὲ ἄγρυπνοι τὸ ξύνολον μάλιστα
οὗτοι, καὶ πάλιν κωματώδεες. 47
"κοιλίαι πᾶσι μὲν ταραχώδεες καὶ 31
κακαὶ, πολὺ δὲ τουτέοισι κάκισται.
48 οὖρα δὲ τοῖσι πλείστοισι τούτων
35 ἢ ʹλεπτὰ καὶ ὠμὰ "καὶ ἄχροα, καὶ 32
μετὰ χρόνον σμικρὰ πεπαινόμενα
κρισίμως, 49 ἢ "πάχος μὲν 33
ἔχοντα, "θολερὰ δὲ καὶ οὐδὲν καθι- 34
στάμενα, οὐδ' ὑφιστάμενα, "οὐδὲ πε- 35
παινόμενα, 50 "ἢ σμικρὰ καὶ κακὰ 36
καὶ ὠμὰ τὰ ὑφιστάμενα. 51 κάκιστα
δὲ [εἰσι] ταῦτα πάντα. 52 " βῆχες 37
μὲν παρείποντο τοῖσι πυρετοῖσι.
γράψαι δὲ οὐκ ἔχω βλάβην οὐδ'
ὠφελείην γινομένην διὰ βηχὸς
τότε. 53 χρόνια μὲν οὖν καὶ δυσχε-
ρέα καὶ πάνυ ἀτάκτως καὶ πε-
πλανη-

nocua, nisi ʹad hæc, etiam ex 49
aliis omnibus pernicies adesset.
40 At continuæ quidem in totum,
& nihil intermittentes, exacer-
bescentes autem omnibus ad na-
turæ tertianæ modum, una die
sublevantes, & una exacerbe-
scentes, omnium quæ tunc fie-
bant violentissimæ erant, &
longissimæ, ac cum maximis
doloribus, 41 leniter auspican-
tes, & in totum semper auge-
scentes, & in judicatoriis diebus
exacerbescentes, & in pejus
ʹprocedentes, 42 parum alle- 45
vantes, & statim rursus ex inter-
missione violentius exacerbe-
scentes, in judicatoriis plerun-
que diebus pejores evadentes. 43
Rigores vero omnibus quidem
inordinate & erroneo modo fie-
bant, parcissime autem & mini-
me his. Verum in aliis febribus
majores. 44 Sudores multi, his
minimi, nihil allevantes, sed
subcontrario modo damna infe-
rentes. 45 Frigiditas extremita-
tum his multa, & vix recalescens.
46 ʹNeque somni in totum, ma- 50
xime vero hi etiam rursus sopo-
rosi. 47 Ventres autem omnibus
turbati & mali, hi autem longe
pessimi. 48 Urinæ vero plurimis
horum aut tenues, & crudæ, &
decolores, & post tempus parum
concoctæ judicatorio modo; 49
aut crassitudinem quidem haben-
tes, verum turbatæ, neque con-
sistentes, neque subsidentes,
neque concoctæ: 50 aut paucæ,
& crudæ, ac malæ, & subsiden-
tes. 51 Pessimæ ʹautem hæ om- 55
nes. 52 Et tusses quidem ad febres
comitabantur. Verum non ha-
beo quod scribam, an detrimen-
tum aut utilitas tunc ex tussi
contigerit. 53 Diuturna igitur &
molesta, & valde inordinate ac

πλανωμένως καὶ ἀκρίτως τὰ πλεῖ-
40 στα τουτέων διετέλει γενόμενα, καὶ
τοῖσι πάνυ ὀλεθρίως ἔχουσι, καὶ
τοῖσι μή. 54 εἰ γάρ τινας αὐτέων
διαλίποιεν σμικρὸν, ταχὺ πά-
λιν ὑπέστρεφον. 55 ἔστι δὲ οἷσιν 38
ἔκρινον αὐτέων ὀλίγοισιν· οἷσι τὰ
βραχύτατα γένοιτο, περὶ ὀγδοη-
κοστὴν ἐοῦσι. 56 καὶ τουτέων ἐνίοι-
σιν ὑπέστρεφον, ὥστε κατὰ χειμῶνα
τοὺς πλείστους αὐτέων ἔτι νοσέειν.
57 τοῖσι δὲ πλείστοισιν ἀκρίτως
ἐξέλιπεν. 58 ὁμοίως δὲ ταῦτα
ξυνέπιπτε τοῖσι περιγενομένοισι
καὶ τοῖσιν οὔ. 59 πολλῆς δέ τινος
γενομένης ἀκρισίης καὶ ποικίλης 39
45 ἐπὶ τῶν νοσημάτων, 60 καὶ με-
γίστου μὲν σημείου καὶ κακίστου δια-
τέλεος παρεπομένου τοῖσι πλεί-
στοισιν, 61 ἀποσίτους εἶναι πάν-
των γευμάτων, μάλιστα δὲ του-
τέων, οἷσι καὶ τἄλλα ὀλεθρίως ἔχοι.
62 διψώδεες [δὲ] οὐ λίην ἀκαί-
ρως ἦσαν ἐπὶ πυρετοῖσι τούτοισι. 63
γενομένων δὲ χρόνων μακρῶν, καὶ
πόνων πολλῶν, καὶ κακῆς ξυντή-
ξιος, ἐπὶ τουτέοισιν ἀποστάσιες 40
ἐγένοντο, 64 ἢ μείζους, ὥστε ὑπο-
φέρειν μὴ δύνασθαι, 65 ἢ μείους,
ὥστε μηδὲν ὠφελέειν, ἀλλὰ ταχὺ
παλινδρομέειν καὶ ξυνεπείγειν ἐπὶ
304 τὸ κάκιον. 66 ἦν δὲ τουτέοισι τὰ
γενόμενα δυσεντεριώδεα, καὶ τει-
νεσμοὶ, καὶ λειεντερίαι, καὶ ῥοώ- 41
δεες· ἔστι δ' οἷσι καὶ ὕδρωπες. 67
μετὰ τούτων καὶ ἄνευ τούτων ἅσσα. 42
68 ὅ, τι δὲ παραγένοιτο τούτων 43
βιαίως, ταχὺ ξυνήρει, ἢ πάλιν
ἐπὶ τὸ μηδὲν ὠφελέειν. 69 ἐξανθή-
ματα μικρὰ, καὶ οὐκ ἀξίως τῆς 44
περιβολῆς τῶν νοσημάτων, καὶ ταχὺ
πάλιν ἀφανιζόμενα. 70 ἢ παρὰ 45
τὰ ὦτα οἰδήματα μὴ λυόμενα καὶ
οὐδὲν

erroneo more, & citra judicationem, plurima horum perseverabant, tum his qui perniciose habebant, tum his qui non. 54 Si enim aliquos ipsorum paululum relinquerent, statim rursus revertebantur. 55 Quibusdam vero paucis ipsorum judicabantur, quibus brevissime adessent, circa octoagesimam diem: 56 & horum aliquibus reversa sunt, ut plurimi ipsorum per hyemem adhuc ægrotarint. 57 Plurimis autem citra judicationem defecerunt. 58 Hæc vero pariter acciderunt, & his qui superstites manserunt, & qui non. 59 Quum autem multa & varia fieret judicationis impeditio ex morbis, 60 maximum etiam ac pessimum signum perpetuo comitabatur, 61 quod plerique omnes cibos fastidirent, & ex his maxime hi, quibus etiam alia exitialia erant. 62 Siticulosi vero non adeo intempestive in his febribus erant. 63 Quum vero tempus produceretur, & dolores essent multi, ac colliquatio mala, his abscessus succedebant, 64 aut majores quam ut ferre possent, 65 aut minores quam ut quicquam prodessent: sed statim recurrerent & ad pejus courgerent. 66 Erant autem quæ his fiebant hæc: dysenteriæ, tenesmi, lienteriæ, & alvi profluvia: quibusdam etiam hydropes, 67 partim cum his, & partim absque his. 68 Quicquid autem ex his violenter accedebat, statim vires dejiciebat: aut rursus nihil proderat. 69 Papulæ parvæ, & non pro dignitate rationis excretiones morborum, & statim rursus evanescentes. 70 Aut juxta aures tumores, qui non solvebantur, & nullam de

se

οὐδὲν ἀποσημαίνοντα. 71 Ἔστι δ᾽ οἷσιν ἐς ἄρθρα, μάλιστα δὲ καὶ τὰ ἰσχία. 72 ὀλίγοισι κρισίμως ἀπολιπόντα, καὶ ταχὺ πάλιν ἐπικατελαμβανόμενα ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν.

73 Ἔθνησκον δὲ ἐκ πάντων μὲν, 74 πλεῖστον δὲ ἐκ τουτέων παιδία, ὅσα ἀπὸ γάλακτος ἤδη, καὶ πρεσβύτερα ὀκταετέα καὶ δεκαετέα, καὶ ὅσα πρὸ ἥβης. 75 ἐγίνετο δὲ τούτοισι ταῦτα οὐκ ἄνευ τῶν πρώτων γεγραμμένων, τὰ δὲ πρῶτα πολλοῖσιν ἄνευ τουτέων. 76 μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γενομένων σημείων, [ὃ] καὶ πλείστους ἐῤῥύσατο τῶν ὄντων ἐπὶ τοῖσι μεγίστοισι κινδύνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο, καὶ ἐς τοῦτο ἀποστάσιες ἐγίνοντο. 77 ξυνέπιπτε δὲ καὶ ἐν τοῖσι πλείστοισι τὸ στραγγουριῶδες τῇσιν ἡλικίῃσι ταύτῃσι γίνεσθαι μάλιστα. 78 ἐγίνετο δὲ καὶ τῶν ἄλλων πολλοῖσιν ὀρθοστάδην, καὶ ἐπὶ τῶν νοσημάτων. 79 ταχὺ δὲ καὶ μεγάλη τις ἡ μεταβολὴ τούτοισι πάντων ἐγίνετο. 80 κοιλίαι τε γὰρ, εἰ καὶ τύχοιεν ἐφυγρασμέναι, κακοήθεα τρόπον ταχὺ ξυνίσταντο, 81 γνώμη τε πᾶσιν ἡδέως εἶχεν, 82 οἵ τε πυρετοὶ πρηέες μετὰ ταῦτα. 83 χρόνια δὲ τουτέοισι τὰ περὶ τὴν στραγγουρίην καὶ ἐπιπόνως. 84 οὖρα δὲ τουτέοισιν ἦν πολλὰ, παχέα, καὶ ποικίλα, καὶ ἐρυθρὰ, μιξόπυα μετ᾽ ὀδύνης. 85 περιεγένοντο δὲ πάντες οὗτοι, καὶ οὐδένα τουτέων οἶδα ἀποθανόντα.

86 Ὁκόσα δὲ ἀκινδύνως, πεπασμοὺς τῶν ἀπιόντων πάντας πάντοθεν ἐπικαίρους, καὶ καλὰς [τε] καὶ κρισίμους ἀποστάσιας, σκοπεῖσθαι. 87 πεπασμοὶ ταχύτητα κρίσιος καὶ ἀσφαλείην ἐς ὑγιείην σημαίνουσιν. 88 ὠμὰ δὲ καὶ ἄπεπτα, καὶ ἐς κακὰς ἀπο-

se significationem ' præbebant. 71 Quibusdam in articulos, maxime vero in coxendicem, 72 paucis judicatorio modo cessantes, & statim rursus ad habitum ab initio invalescentes.

73 Moriebantur autem ex omnibus, 74 & plurimi ex his pueri jam ablactati, & majores natu, octennes ac decennes, & nondum puberes. 75 Fiebant autem hæc his, non fine prius scriptis. Priora vero multis fine his. 76 Solum vero bonum & maximum inter ea quæ fiebant ' signum, & quod plurimos in maximis periculis constitutos liberavit, quibus ad urinæ stillicidium convertebatur, & ad hoc abscessus fiebant. 77 Accidit autem plerisque urinæ stillicidium, maxime his ætatibus. 78 Fiebat & aliis multis, tum erecte obambulantibus, tum in morbis. 79 Statim vero etiam magna quædam mutatio omnium, his fiebat. 80 Alvi enim etiamsi humectæ essent, maligno modo mox sistebantur, 81 ' ciboque omnes libenter sumebant. 82 Et febres postea mites erant. 83 Verum urinæ stillicidium his diuturnum & laboriosum erat. 84 Urinæ vero his erant multæ: crassæ, variæ, rubræ, purulentæ cum dolore. 85 Atque hi omnes superstites manserunt, & nullum ex his mortuum novi.

86 Quæcunque vero non periculose fiunt, concoctiones excrementorum omnes undiquaque tempestivas aut bonas, & judicatorios abscessus, ' considerare oportet. 87 Concoctiones, celeritatem judicationis, & securitatem sanitatis significant. 88 Cruda vero & inconcocta, & in malos abscessus con-

versa,

ἀποστάσιας, τὰς γινομένας, ἀκρισίας, ἢ πόνους, ἢ χρόνους, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς. [89] ὅ, τι δὲ τελέων ἔσται μάλιστα, σκεπτέον ἐξ ἄλλων. [90] λέγειν τὰ προγενόμενα, γινώσκειν τὰ παρεόντα, προλέγειν τὰ ἐσόμενα. [91] μελετᾶν ταῦτα. [92] ἀσκεῖν περὶ τὰ νουσήματα δύο· ὠφελέειν ἢ μὴ βλάπτειν. [93] ἡ τέχνη διὰ τριῶν· τὸ νόσημα, ὁ νοσέων, καὶ ὁ ἰητρός. [94] ὁ ἰητρὸς, ὑπηρέτης τῆς τέχνης. [95] ὑπεναντιοῦσθαι [δὲ] τῷ νουσήματι τὸν νοσεῦντα μετὰ τοῦ ἰητροῦ χρή. [96] τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἀλγήματα καὶ βάρεα μετ' ὀδύνης, ἄνευ πυρετῶν καὶ σὺν πυρετοῖσι, φρενιτικοῖσι μὲν σπασμοὶ, ἐπὴν ἰώδεα ἐμέωσι, [97] καὶ ἔνιοι ταχυθάνατοι τούτων. [98] ἐν καύσοισι δὲ καὶ τοῖσιν ἄλλοισι πυρετοῖσιν, οἷσι μὲν τραχήλου πόνος, καὶ κροτάφων βάρος, καὶ σκοτώδεα περὶ τὰς ὄψιας, ἢ καὶ ὑποχονδρίου ξύντασις μετ' ὀδύνης γίνεται, τουτέοισιν αἱμοῤῥαγέει διὰ ῥινῶν. [99] οἷσι δὲ βάρεα μὲν ὅλης τῆς κεφαλῆς, καρδιωγμοὶ δὲ καὶ ἀσώδεές εἰσιν, ἐπανεμέουσι χολώδεα καὶ φλεγματώδεα. [100] τὸ πολὺ δὲ παιδίοισιν ἐν τουτέοισιν οἱ σπασμοὶ μάλιστα. [101] γυναιξὶ δὲ καὶ ταῦτα καὶ ἀπὸ ὑστερέων πόνοι. [102] πρεσβυτέροισι δὲ καὶ ὅσοισιν ἤδη τὸ θερμὸν κρατέεται, παραπληκτικὰ, ἢ μανικὰ, ἢ στερήσιες ὀφθαλμῶν.

[103] Κατάστασις τρίτη. ἐν Θάσῳ, πρὸ ἀρκτούρου ὀλίγον καὶ ἐπ' ἀρκτούρου, ὕδατα πολλὰ [καὶ] μεγάλα ἐν βορείοισι. [104] περὶ δὲ ἰσημερίην καὶ μέχρι πληϊάδος, νότια ὕσματα ὀλίγα, χειμὼν βόρειος, αὐχμοὶ, ψυχρὰ πνεύματα, μεγάλαι χιόνες.

versa, aut judicationis sublationem, aut dolores, aut diuturnitatem, aut mortem, aut eorundem recidivas. [89] Quod vero ex his potissimum futurum sit, ex aliis considerandum est. [90] Præterita dicito, præsentia cognoscito, futura prædicito. [91] Hæc tractato. [92] Exerceto circa morbos duo, ut juves, aut non noceas. [93] Ars ex tribus constat, morbo, ægroto, & medico [94] artis ministro. [95] Ægrotum cum medico adversari morbo oportet. [96] Capitis & colli dolores ac gravitates cum dolore, cum febribus, & sine febribus, phreniticis quidem convulsiones. Sed & virosa vomunt, [97] & quidam ex his subito moriuntur. [98] In ardentibus autem & aliis febribus, quibus colli dolor, & temporum gravitas, & caligo vertiginosa circa oculos, aut etiam præcordiorum distentio, non cum dolore fit, his sanguis per nares erumpit. [99] Quibus autem gravitates quidem totius capitis, oris autem ventriculi morsus adsunt, & nauseabundi sunt, hi biliosa & pituitosa vomunt. [100] Plerunque vero pueris in talibus afflictionibus convulsiones fiunt. [101] Mulieribus autem tum eadem, tum ab uteris dolores. [102] Senioribus autem & quibus jam calor superatur, paraplegiæ vocatæ, leves siderationes, aut insaniæ, aut oculorum privationes.

[103] Constitutio temporis tertia. In Thaso paulo ante arcturum, & sub arcturo, aquæ multæ, magnæ, in aquilonis. [104] Circa æquinoctium autem & usque ad pleiada, austrinæ pluviæ paucæ: hyems aquilonia: siccitates, frigidi venti, magnæ nives.

νες. 105 περὶ δὲ ἰσημερίην χειμῶνες μέγιστοι. 106 ἦρ βόρειον, αὐχμοί, ὕσματα ὀλίγα, ψυχρά. 107 περὶ δὲ ἡλίου τροπὰς θερινὰς, ὕδατα ὀλίγα, μεγάλα ψύχεα, μέχρι κυνός. 108 μετὰ δὲ κύνα, μέχρις ἀρκτούρου, θέρος θερμὸν, καύματα μεγάλα, οὐκ ἐκ προσαγωγῆς, ἀλλὰ συνεχέα καὶ βίαια, ὕδωρ οὐκ ἐγένετο, ἐτησίαι ἔπνευσαν. 109 περὶ [δὲ] ἀρκτοῦρον, ὕσματα νότια, μέχρις ἰσημερίης.

110 Ἐν τῇ καταστάσει ταύτῃ, κατὰ χειμῶνα μὲν ἤρξαντο παραπληγίαι, καὶ πολλοῖσιν ἐγένοντο, καί τινες αὐτέων ἔθνησκον διὰ ταχέων. 111 καὶ γὰρ ὅλως τὸ νόσημα ἐπιδήμιον ἦν, τἄλλα διετέλεον ἄνοσοι. 112 πρωῒ δὲ τοῦ ἦρος ἤρξαντο καῦσοι, καὶ διετέλεον μέχρι ἰσημερίης καὶ πρὸς τὸ θέρος. 113 ὅσοι μὲν οὖν, ἦρος καὶ θέρεος ἀρχομένου, αὐτίκα νοσέειν ἤρξαντο, οἱ πλεῖστοι διεσώζοντο, ὀλίγοι δέ τινες ἔθνησκον. 114 ἤδη δὲ, τοῦ φθινοπώρου καὶ τῶν ὑσμάτων γινομένων, θανατώδεες ἦσαν, καὶ πλείους ἀπώλλυντο.

115 Ἦν δὲ τὰ παθήματα τῶν καύσων, οἷσι μὲν καλῶς καὶ δαψιλέως ἐκ ῥινῶν αἱμοῤῥαγήσῃ, διὰ τούτου μάλιστα σώζεσθαι. 116 καὶ οὐδένα οἶδα, εἰ καλῶς αἱμοῤῥαγήσειεν, ἐν τῇ καταστάσει ταύτῃ ἀποθανόντα. 117 Φιλίσκῳ γὰρ καὶ Ἐπαμεινώνι καὶ Σιληνῷ τεταρταίῳ καὶ πεμπταίῳ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν, καὶ ἀπέθανον. 118 οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων περὶ κρίσιν ἐπεῤῥίγεον, καὶ μάλιστα οἷσι μὴ αἱμοῤῥαγήσαι [ἐγένετο.] 119 ἐπεῤῥίγουν δὲ καὶ ἔτι, καὶ ἐφίδρουν. 120 ἔστι δ' οἷσιν

ἴκτεροι

nives. 105 Circa æquinoctium hyemes maximæ. 106 Ver aquilonium, ſiccitates, pluviæ paucæ frigidæ. 107 Circa ſolſtitium æſtivum aquæ paucæ, magna frigora uſque ad canem. 108 Poſt canem uſque ad arcturum, æſtas calida, æſtus magni, non ex acceſſione augeſcentes, ſed continui ac violenti: aqua non elapſa eſt: eteſiæ ſpirarunt. 109 Circa arcturum pluviæ auſtrinæ uſque ad æquinoctium.

110 In hac autem conſtitutione, per hyemem quidem inceperunt reſolutiones ex ſideratione, & multos invaſerunt: & quidam ex ipſis ſubito moriebantur. 111 (Nam hic morbus ſatis popularis erat.) Cætera incolumes degebant. 112 Ante ver autem cœperunt febres ardentes, & uſque ad æquinoctium, & ad æſtatem durabant. 113 Quicunque igitur vere & æſtate ineunte ſtatim ægrotare cœperunt, plurimi ſervabantur: pauci vero quidam moriebantur. 114 In autumno jam & cum pluviæ fierent, lethales erant, & plures peribant.

115 Erant autem febrium ardentium affectiones. Quibus quidem bene ac large ſanguis per nares erupit, per hoc maxime ſervabantur. 116 & nullum novi qui in hac conſtitutione mortuus eſſet, ſi recte ipſi ſanguis profluxiſſet. 117 In Philiſco enim & Epaminone ac Sileno, quarta ac quinta die parum de naribus ſtillavit, & moriebantur. 118 Plerique igitur ægroti circa judicationem rigebant, maxime hi quibus ſanguis non erupiſſet. 119 Iidem vero etiam poſtea inſuper riguerunt, & exſudarunt. 120 Quibuſdam morbus re-

ἴκτεροι ἐκλείοισι. 121 ἀλλὰ τούτοισιν ἡ κατὰ κύστιν κάθαρσις, ἢ κοιλίη 'ἐκταραχθεῖσα'' ὠφέλησεν, ἢ δαψιλὴς αἱμοῤῥαγίη. 122 οἷον Ἡρακλείδης, ὃς κατέκειτο παρὰ Ἀριστοκύδη. καίτοι τούτῳ καὶ ἐκ ῥινῶν αἱμοῤῥάγησε, καὶ ἡ κοιλίη ἐπεταράχθη, καὶ τὰ κατὰ κύστιν ἐκαθήρατο. ἐκρίθη [δὲ] εἰκοσταῖος. 123 οὐχ οἷον ὁ Φαναγόρεω οἰκέτης, ᾧ οὐδὲν τοιοῦτον ἐγένετο, [καὶ] ἀπέθανεν. 124 '' αἱμοῤῥαγίαι δὲ τοῖσι πλείστοισι, μάλιστα δὲ μειρακίοισι καὶ ἀκμάζουσι. 125 καὶ ἔθνησκον πλεῖστοι τουτέων, ' οἷσι μὴ αἱμοῤῥαγῆσαι ἐγένετο. 126 πρεσβυτέροισι δὲ ἐς ἰκτέρους, ἢ κοιλίαι ταραχώδεες ἢ δυσεντεριώδεες· οἷον Βίωνι, τῷ '' παρὰ Σιληνὸν κατακειμένῳ. 127 '' ἐπεδήμησαν δὲ καὶ δυσεντερίαι κατὰ θέρος πολλαί. 128 καὶ '' τῶν διανοσησάντων οἷσιν αἱ αἱμοῤῥαγίαι ἐγένοντο, ἐς δυσεντεριώδεα ἐτελεύτησαν· οἷον ὁ Ἐράτωνος παιδὶ καὶ Μύλλῳ. 129 [οἱ] πολλῆς αἱμοῤῥαγίης γενομένης, '' ἐς δυσεντεριώδεα κατάστασιν περιεγένοντο. 130 '' πολλοῖς μὲν οὖν μάλιστα ὁ χυμὸς οὗτος '' ἐπεπόλασεν, ἐπεὶ καὶ οἷσι ' περὶ κρίσιν οὐκ ἡμοῤῥάγησεν, ἀλλὰ παρὰ τὰ ὦτα ἐπαναστάντα ἠφανίσθη. 131 τούτων δὲ ἀφανισθέντων, βάρος παρὰ τὸν κενεῶνα τὸν ἀριστερὸν, καὶ ἐς ἄκρον ἰσχίον. 132 '' ἀλγήματος δὲ μετὰ κρίσιν γενομένου, καὶ οὔρων λεπτῶν διεξιόντων, '' αἱμοῤῥαγέειν σμικρὰ ἤρξαντο. 133 περὶ δὲ εἰκοστὴν τετάρτην ἐγένοντο ἐς αἱμοῤῥαγίην ἀποστάσιες Ἀντιφῶντι τῷ Κριτοβούλου, ἐπαύσατο [δὲ] καὶ ἐκρί-

gius accidit sexta die. 121 Verum his purgatio per vesicam, aut alvus exturbata profuit, aut larga sanguinis eruptio. 122 Velut Heraclides qui decumbebat apud Aristocydem: nam huic & ex naribus sanguis erupit, & alvus turbata est, & per vesicam purgatus est. Vigesima die judicatus est: 123 non velut Phanagoræ servus, cui nihil ' tale factum est, & mortuus est. 124 Sanguis autem plurimis erupit, maxime adolescentibus & in vigore constitutis: 125 & talium plerique perierunt, quibus sanguis non erupit. 126 Senioribus vero ad morbum regium res devenit: aut alvi ipsis turbatæ sunt, aut dysenterici facti sunt. Velut Bioni apud Silenum decumbenti contigit. 127 Populariter grassabantur etiam dysenteriæ per æstatem: 128 & quibusdam qui ægrotarunt, ' quibusque etiam sanguis erupit, ad dysenteriam transitus factus est: velut Eratonis filio & Mylo, 129 qui multa sanguinis eruptione facta, in dysentericum statum delapsi superstites manserunt. 130 Multis igitur maxime hic humor redundavit. Nam & quibusdam circa judicationem sanguis non erupit, sed tubercula juxta aures excitata evanuerunt. 131 Quæ ubi evanuissent, juxta sinistri lateris ' mollitudinem, & ad summam coxam gravitas fuit. 132 Quum autem dolores post judicationem fierent, & urinæ tenues prodiissent, parum sanguinis profundere cœperunt. 133 Verum circa quartam & vigesimam, abscessus ad sanguinis eruptionem fiebant Antiphonti Critobuli filio, quæ sedata est, & perfecte judicatus

ἐκρίθη πλέως περὶ τεσσαρακοστήν. 134 Γυναῖκες δὲ ἐνόσησαν μὲν πολλαὶ, ἐλάσσους δὲ ἢ ἄνδρες, καὶ ἔθνησκον ἧσσον. 135 ἐδυστόκεον δὲ αἱ πλεῖσται, καὶ μετὰ τοὺς τόκους ἐπενόσεον. 136 καὶ ἔθνησκον αὗται μάλιστα· οἷον Τελεβούλου θυγάτηρ [ἣ] ἀπέθανεν ἑκταίη τόκου. 137 Τῇσι μὲν οὖν πλείστῃσιν ἐν τοῖσι πυρετοῖσι γυναικεῖα ἐπεφαίνετο. 138 ἔτι δὲ ἦσαν ἐκ ῥινῶν αἱμοῤῥαγίαι· καὶ παρθένοισι πολλῇσι τότε πρῶτον ἐγένετο, καὶ τὰ γυναικεῖά τισιν ἐπεφαίνετο. 139 οἷον τῇ Δαιθάρσεος θυγατρὶ παρθένῳ ἐπεφάνη τότε πρῶτον καὶ ἐκ ῥινῶν λάβρον ἐῤῥύη. 140 οὐδεμίην οἶδα ἀποθανοῦσαν, ἥτις τούτων τι καλῶς ἔσχεν. 141 ᾗσι δὲ ξυνεκύρησεν ἐν γαστρὶ ἐχούσῃσι νοσῆσαι, πᾶσαι ἐπέφθειραν, ὡς καὶ ἐγὼ οἶδα. 142 Οὖρα δὲ τοῖσι πλείστοισιν εὔχροα μὲν, λεπτὰ δὲ, ὑποστάσιας ὀλίγας ἔχοντα, διαχωρήμασι λεπτοῖσι καὶ χολώδεσι. 143 πολλοῖσι δὲ τῶν ἄλλως κεκριμένων ἐς δυσεντερίας ἐτελεύτα· οἷον Ξενοφάνει καὶ Κριτίᾳ. 144 Οὖρα ὑδατώδεα πολλὰ, καθαρὰ καὶ λεπτὰ, καὶ μετὰ κρίσιν, καὶ ὑποστάσιος πολλῆς γενομένης, καὶ τῶν ἄλλων καλῶς κεκριμένων, ἀναμνήσομαι οἷσιν ἐγένετο· Βίωνι, ὃς κατέκειτο παρὰ Σιληνὸν, Κρατίῃ τῇ παρὰ Ξενοφάνεος, Ἀρέτωνος παιδὶ, Μνησιστράτου γυναικί. 145 Μετὰ ταῦτα δυσεντεριώδεες ἐγένοντο πάντες. 146 Ἆρ' ὅτι οὔρησαν ὑδατώδεα; σκεπτέον.

147 Περὶ δὲ ἀρκτοῦρον ἐνδεκαταίοισι πολλοῖσιν ἐκρίνετο. 148 καὶ τούτοισιν οὐχ αἱ κατὰ λόγον γινόμεναι ὑποστροφαὶ ὑπέστρεφον.

149 ἦσαν

catus est circa quadragesimam. 134 Mulieres porro multæ quidem ægrotarunt, pauciores autem quam viri: & pauciores etiam mortuæ sunt. 135 Plurimæ vero graviter ex partu laborarunt, & post partus insuper ægrotarunt; 136 & hæ maxime perierunt; velut Telebuli filia, quæ sexta a partu die mortua est. 137 Plurimis itaque in febribus menses apparebant. 138 Quibusdam vero ex naribus sanguis erupit: & virginibus multis id primum factum est. Quibusdam & ex naribus sanguis, & menses proruperunt: 139 velut Dæarsei filiæ virgini apparuerunt tunc primum, & sanguis largus e naribus fluxit. 140 Neque ullam mortuam novi, ex his quibus aliquid probe factum esset. 141 Quibus autem prægnantibus contigit ægrotare, omnes fœtus perdiderunt, quas ego novi. 142 Urinæ vero plurimis boni quidem coloris, verum tenues & subsidentias modicas habentes, ex recrementis tenuibus ac biliosis. 143 Multis autem aliis judicatis ad dysenterias res devenit: velut Xenophani & Critiæ. 144 Urinæ aquosæ, multæ, puræ, tenues post judicationem, & subsidentia bona facta, & aliis probe judicatis. Mentionem faciam eorum quibus factæ sunt: Bioni qui apud Silenum decumbebat: Cratiæ quæ apud Xenophanem: Aretonis filiæ uxori Mnesistrati. 145 Postea vero omnes hi dysenterici facti sunt. 146 Num quod urinas minxerunt aquosas, considerandum est?

147 Circa arcturum autem multis undecima die judicatio facta est, 148 & bis recidivæ non pro ratione factæ reversæ sunt.

 149 Erant

[149] Ἦσαν δὲ κωματώδεες περὶ τὸν χρόνον τοῦτον· πλείω δὲ παιδία· καὶ ἔθνησκον ἥκιστα οὗτοι πάντων. [150] περὶ δὲ ἰσημερίην καὶ μέχρι πληϊάδος καὶ ὑπὸ χειμῶνα παρείποντο μὲν οἱ καῦσοι· [151] ἀτὰρ καὶ φρενιτικοὶ πλεῖστοι τηνικαῦτα ἐγένοντο· καὶ ἔθνησκον τούτων οἱ πλεῖστοι. ἐγένοντο δὲ καὶ κατὰ θέρος ὀλίγοι. [152] τοῖσι μὲν οὖν καυσώδεσιν ἀρχομένοισιν ἐπεσήμαινεν, οἷσι τὰ ὀλέθρια ξυνέπιπτεν. [153] αὐτίκα γὰρ ἀρχομένοισι πυρετὸς ὀξὺς, ἐπεῤῥίγεον σμικρὰ, ἄγρυπνοι, διψώδεες, ἀδήμονες, [154] ἀσώδεες· σμικρὰ ἐφίδρουν περὶ τὸ μέτωπον καὶ κληῖδας, οὐδεὶς δι' ὅλου· [155] πολλὰ παρέλεγον, φόβοι, δυσθυμίαι. [156] ἄκρεα ὑπόψυχρα, πόδες ἄκροι, μάλιστα δὲ καὶ τὰ περὶ χεῖρας. [157] οἱ παροξυσμοὶ ἐν ἀρτίῃσι. [158] τοῖσι δὲ πλείστοισι τεταρταίοισιν οἱ πόνοι μέγιστοι, καὶ ἱδρὼς ἐπὶ πλεῖστον ὑπόψυχρος, [159] καὶ ἄκρεα οὐκ ἔτι ἐθερμαίνοντο, ἀλλ' ἦσαν πελιδνὰ καὶ ψυχρά. [160] οὖρα τούτοις μέλανα, ὀλίγα, λεπτὰ, καὶ κοιλίαι ἐφίσταντο, [161] καὶ οὐδ' ἐδίψων ἐπὶ τούτοις, οὐδ' ἡμοῤῥάγησαν ἐκ ῥινῶν, οὐδέ τισι τοῦτο ξυνέπιπτε, ἀλλὰ σμικρὰ ἔσταξεν, [162] οὐδὲ ἐς ὑποστροφὴν οὐδενὶ τούτων ἦλθεν, ἀλλ' ἑκταῖοι ἀπέθνησκον ξὺν ἱδρῶτι. [163] τοῖσι δὲ φρενιτικοῖσι ξυνέπιπτε μὲν οὐ τὰ ὑπογεγραμμένα πάντα, ἐκρίνετο δὲ τουτέοισιν ὡς ἐπὶ τὸ πολὺ ἑνδεκαταίοισιν· ἔστι δ' οἷσι καὶ εἰκοσταίοισιν. [164] οἷσιν οὐκ εὐθὺς ἐξ ἀρχῆς ἡ φρενῖτις ἤρξατο, ἀλλὰ περὶ τρίτην ἢ τετάρτην ἡμέρην, μετρίως ἔχουσιν ἐν τῷ πρώτῳ χρόνῳ περὶ τὴν ἑβδόμην ἐς ὀξύτητα τὸ νόσημα μετέπεσε.

[165] Πλῆθος μὲν οὖν τῶν νοσημά-

[149] Erant autem ſoporoſi circa tempus hoc, plures autem pueri: & hi omnium minime moriebantur. [150] At vero circa æquinoctium, & uſque ad pleiada, & ſub hyemem, comitabantur quidem febres ardentes. [151] Sed & phrenitici plurimi tunc fiebant: (& plerique horum moriebantur) fiebant autem & per æſtatem pauci. [152] Quum igitur febres ardentes inciperent, ſignificationem de ſe præbebant, quibus pernicies immineret. [153] Statim enim ab initio febris acuta, parum inſuper rigebant, vigiles erant, ſiticuloſi, anxii, [154] parum exudantes circa frontem & claviculas, nullus per totum: [155] multum delirabant: tumores, triſtitiæ, [156] extremitates ſubfrigidæ, pedes ſummi, & maxime manuum ſummæ partes. [157] Exacerbationes in diebus paribus. [158] Plurimis autem quarta die dolores maximi, & ſudores plerunque ſubfrigidi, [159] & extremitates non amplius recaleſcentes, ſed lividæ, ſubfrigidæ: & neque ſitiebant. [160] Ad hæc urinæ his nigræ, paucæ, tenues, & alvi ſiſtebantur: [161] neque ſanguis è naribus erupit ulli ex his quibus hæc accidiſſent, ſed parum ſtillavit. [162] Neque ad recidivam ulli horum res devenit. Sed ſexta die mortui ſunt cum ſudore. [163] Phreniticis autem acciderunt præſcripta non omnia. Judicabantur autem his plerunque die undecima, quibuſdam vigeſima. [164] Quibus non ſtatim ab initio phrenitis cœpit circa tertiam aut quartam diem, ſed moderate habebant primo tempore, his circa ſeptimam morbus ad acumen tranſiit. [165] Magna itaque

erat

σημείων ἐγένετο. 166 ἐκ δὲ τῶν καμνόντων ἀπέθνησκον μάλιστα μειράκια, νέοι, ἀκμάζοντες, λεῖοι, λευκόχροοι, ἰθύτριχες, μελανότριχες, μελανόφθαλμοι, ἡσυχῇ καὶ ἐπὶ τὸ ῥᾴθυμον βεβιωκότες, ὑψόφωνοι, ἰσχνόφωνοι, τρηχύφωνοι, τραυλοί, ὀργίλοι. 167 γυναῖκες δὲ πλεῖσται ἐκ τούτου τοῦ εἴδεος ἀπέθνησκον. 168 ἐν δὲ τῇ καταστάσει ταύτῃ ἐπὶ σημείων μάλιστα τεσσάρων διεσώζοντο. 169 εἰσὶ γὰρ ἢ διὰ ῥινῶν καλῶς αἱμοῤῥαγήσαι, ἢ κατὰ κύστιν οὖρα πολλὰ καὶ πολλὴν ὑπόστασιν καὶ καλὴν ἔχοντα ἔλθοι, ἢ κατὰ κοιλίην ταραχώδεα χολώδεα ἐπικαίρως, ἢ δυσεντερικοὶ γένοιντο. 170 πολλοῖσι δὲ ξυνέπιπτε μὴ ἐφ' ἑνὸς κρίνεσθαι τῶν ὑπογεγραμμένων σημείων, ἀλλὰ διεξιέναι διὰ πάντων τοῖσι πλείστοισι, καὶ δοκέειν μὲν ἔχειν ὀχληρωτέρως. 171 διεσώζοντο δὲ πάντες, οἷσι ταῦτα ξυνέπιπτε. 172 γυναιξὶ δὲ καὶ παρθένοισι ξυνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα σημεῖα πάντα. 173 ἧσι δὲ ἢ τούτων τι καλῶς γένοιτο, ἢ τὰ γυναικεῖα δαψιλέως ἐπιφανείη, διὰ τούτων ἐσώζοντο, καὶ ἐκρίνε. 174 καὶ οὐδεμίαν οἶδα ἀπολομένην, ᾗσι τούτων τι καλῶς γένοιτο. 175 Φίλωνος γὰρ τῇ θυγατρὶ ἐκ ῥινῶν λαῦρον ἐῤῥύη, ἑβδομαίη δὲ οὔσῃ ἐδείπνησεν ἀκαιροτέρως, [καὶ] ἀπέθανεν.

176 Οἷσιν ἐν πυρετοῖσιν ὀξέσι, μᾶλλον καυσώδεσιν, ἀκούσια δάκρυα παραῤῥεῖ, τούτοισιν ἀπὸ ῥινῶν αἱμοῤῥαγίην προσδέχεσθαι, 177 ἢν μὴ καὶ τἄλλα ὀλεθρίως ἔχωσιν· ἐπὶ τοῖσί γε φλαύρως ἔχουσιν οὐχ αἱμοῤῥαγίην, ἀλλὰ θάνατον σημαίνει. 178 τὰ παρὰ τὰ

erat morborum multitudo. 166 Ex ægris autem maxime moriebantur adolescentes, iuuenes, in vigore 'ætatis constituti, leues, subalbicante cute, rectos itemque nigros capillos habentes, & oculos nigros, & qui in quiete & ocio vixerant, & alta voce, aut gracili, aut aspera præditi, balbi, iracundi: 167 & mulieres plurimæ ex hac specie moriebantur. 168 At in hac constitutione ex quatuor signis maxime seruabantur: 169 Quibus videlicet sanguis è naribus probe erupisset: aut urinæ multæ, & multam 'subsidentiam habentes per vesicam prodiissent: aut per ventrem turbata, biliosa tempestiue processissent: aut qui dysenterici facti essent. 170 Acciditque multis ut non 'ex uno præscriptorum signorum iudicarentur, sed per omnia percurrerent: & grauius quidem habere videbantur, 171 conseruabantur autem omnes, quibus hæc acciderent. 172 Mulieribus autem & virginibus accidebant item præscripta signa 'omnia. 173 Quibus autem vel horum quippiam bene accideret, aut menses large apparerent, per hæc seruabantur ac iudicabantur: 174 neque ullam interiisse novi, cui ex his aliquid accidisset. 175 Philonis enim filiæ sanguis ex naribus large fluebat: septima autem die intempestiuius cœnauit & mortua est. 176 Quibus in febribus acutis, magis ardentibus, lachrymæ inuitæ defluunt, his sanguinis à naribus eruptionem 'expectare oportet, 177 si etiam alia perniciose non habeant. Nam his qui male habent, non sanguinis eruptionem, sed mortem significant. 178 Tubercula iuxta aures

τὰ ὦτα ἐν πυρεταίνουσιν ἐπαιρόμενα μετ' ὀδύνης ἔστιν οἷσιν, ἐκλείποντος τοῦ πυρετοῦ, κρισίμως οὔτε καθίσταται, οὔτε ἐξεπύει, 179 τουτέοισι διάῤῥοια χολωδέων, ἢ δυσεντερίη, ἢ παχέων οὔρων ὑπόστασις γινομένη λύει· οἷον Ἑρμίππῳ τῷ Κλαζομενίῳ. 180 τὰ δὲ περὶ τὰς κρίσιας, ἐξ ὧν καὶ διαγινώσκομεν, ἢ ὅμοια ἢ ἀνόμοια· 181 οἷον οἱ δύο ἀδελφεοὶ, [οἳ] κατέκειντο παρὰ τὸ θέατρον Ἐπιγένεος, [καὶ] ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην νοσέειν. 182 τουτέων τῷ πρεσβυτέρῳ ἔκρινεν ἕκτη, τῷ δὲ νεωτέρῳ ἑβδόμη. 183 ὑπέστρεψεν ἀμφοτέροισιν ὁμοῦ τὴν αὐτὴν ὥρην, καὶ διέλιπεν ἡμέρας ἓξ μὲν τῷ ἑτέρῳ, τῷ δὲ ἑτέρῳ πέντε. 185 ἐκ δὲ τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ ξύμπαν ἑπτακαιδεκαταίοισιν. 183 ἔκρινε δὲ τοῖσι πλείστοισιν ἑκταίοισι, διέλιπον ἕξ, ἐκ δὲ τῶν ὑποστροφέων ἔκρινε πεμπταίοισιν. 186 οἷσι δὲ ἔκρινεν ἑβδομαίοισι, διέλιπεν ἑβδόμην· ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τρίτη. 187 οἷσι δὲ ἔκρινεν ἑβδομαίοισι, διαλιπόντος τὴν τρίτην ἔκρινεν ἑβδόμη. 188 οἷσι δὲ ἔκρινεν ἑκταίοισι, διαλιπόντος ἕκτην ἐλάμβανε τρίτη. 189 οἷσι δὲ ἔλιπε πρώτη, ἐλάμβανε καὶ ἔκρινε πρώτη· οἷον Εὐαγόντι τῷ Δαϊθάρσεος. 190 οἷσι δὲ ἔκρινεν ἕκτη, διέλιπεν ἑβδόμη. ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τετάρτη· οἷον τῇ Ἀγλαΐδου θυγατρί. 191 οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων ἐν τῇ

aures in febrientibus cum dolore oborta, quibusdam febre judicatorio modo deficiente, neque sedantur, neque supparantur: 179 hæc biliosum alvi profluvium, aut dysenteria, aut crassarum urinarum subsidentia solvit: velut Hermippo Clazomenio. 180 Judicationes autem ex quibus cognoscimus, aut similes sunt, aut dissimiles: 181 velut duo fratres, qui simul eadem hora ægrotare cœperunt. Decumbebant autem juxta theatrum Epigenis fratres. 182 Horum seniori sexta die judicatio facta est, juniori vero septima. 183 Recidiva facta est utrisque simul eadem hora. Intermisit dies quinque. 184 Ex recidiva judicatio facta est utrisque simul in totum, die decima septima. 185 Plurimis autem sexta die judicatio facta est, intermisit sex. Ex recidivis autem judicatio facta est quinta die. 186 Quibusdam vero septima judicatus est morbus, & septem diebus intermisit. Ex recidiva vero judicatus est tertia. 187 Quibusdam autem judicatus est quinta, intermisit septem, redit per tres, intermisit unam, insuperque unam rursus occupavit. 188 Aliquibus vero judicatus est sexta, intermisit sex, redit per tres, 189 intermisit unam, & una judicatus est: velut Euagonti Daipharsis filio. 190 Quibusdam autem judicatus est sexta, intermisit septem: ex recidiva vero judicatus est quarta: velut filiæ Aglaidæ. 191 Plerique igitur ex his qui ægrotarunt in hac con-

τῇ καταστάσει ταύτῃ τοῦτον τὸν τρόπον διενόσησαν. [192] καὶ οὐδένα οἶδα τῶν περιγενομένων, ᾧ τινι οὐχ ὑπέστρεψαν αἱ κατὰ λόγον αἱ ὑποστροφαὶ γενόμεναι. [193] καὶ διεσώζοντο πάντες, ὅσους ἐγὼ οἶδα, οἷσιν αἱ ὑποστροφαὶ διὰ τοῦ εἴδεος τούτου γένοιντο. [194] οὐδὲ τῶν διανοσησάντων διὰ τούτου τοῦ τρόπου οὐδενὶ οἶδα ὑποστροφὴν γενομένην πάλιν. [195] ἔθνησκον δὲ ἐν τοῖσι νοσήμασι τούτοισιν οἱ πλεῖστοι ἑκταῖοι· οἷον Ἐπαμινώνδας, καὶ Σιληνὸς, καὶ Φιλίσκος ὁ Ἀνταγόρεω. [196] οἷσι δὲ τὰ παρὰ τὰ ὦτα ἐγένετο, ἔκρινε μὲν εἰκοσταίοισι, κατέσβη δὲ πᾶσιν, οἷσιν οὐκ ἐξεπύησεν, ἀλλ' ἐπὶ κύστιν ἐτράπετο. [197] Κρατιστώνακτι, ὃς παρὰ Ἡρακλεῖ ᾤκει, καὶ Σκύμνου τοῦ γναφέως θεραπαίνῃ ἐξεπύησε· [καὶ] ἀπέθανον. [198] οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλειπεν ἐννέα, ὑπέστρεψεν, ἔκρινεν ἐκ τῆς ὑποστροφῆς τεταρταίοισιν. [199] οἷσι δὲ ἔκρινεν ἑβδομαίοισι, διέλειπεν ἓξ, εἶθ' ὑπέστρεψε, καὶ ἑβδομαίοισιν ἔκρινεν· οἷον Φανοκρίτῳ, ὃς κατέκειτο παρὰ Γνάθωνι τῷ γραφεῖ.

[200] Ὑπὸ δὲ χειμῶνα περὶ ἡλίου τροπὰς χειμερινὰς καὶ μέχρις ἰσημερίης, παρέμενον μὲν οἱ καῦσοι καὶ τὰ φρενιτικὰ, καὶ ἔθνησκον πολλοί. [201] αἱ μέντοι κρίσιες μετέπεσον. [202] καὶ ἐκρίνετο τοῖσι πλείστοισιν ἐξ ἀρχῆς πεμπταίοισι, διέλειπε τεταρταίοισιν, ὑπέστρεψεν. [203] ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε πεμπταίοισι, τὸ δὲ ξύμπαν τεσσαρεσκαιδεκαταίοισι. [204] ἔκρινε δὲ παιδίοισιν οὕτω τοῖσι πλείστοισιν, ἀτὰρ καὶ πρεσβυτέροισιν. [205] ἔστι δ' οἷσιν ἔκρι-

νεν

constitutione, hoc modo ægrotarunt: [192] & nullum novi ex his qui superstites manserunt, cui non redissent recidivæ secundum rationem factæ: [193] & servati sunt omnes quos ego novi, quibus hoc genus recidivæ factæ sunt. [194] Neque ægrotantium hoc modo ullum aliquem novi, quem recidiva iterum repetiisset. [195] Moriebantur autem in morbis his plurimi sexta die: velut Epaminondas, & Silenus, & Philiscus Antagoræ filius. [196] Quibus autem tubercula juxta aures facta essent, his judicatio facta est vigesima die. Restincta autem ac sedata sunt iis omnibus, & non suppurata sunt, sed ad vesicam conversa. [197] Cratistonacti qui apud Heracleum habitabat, & Scymni fullonis ancillæ suppuraverunt, & mortui sunt. [198] Quibus autem judicatus est septima die, intermisit novem, reversus est morbus. Judicatus est ex recidiva quarta die. Quibus autem judicatus est septima die, intermisit sex: deinde rediit, [199] & judicatus est septima, velut Phanocrito, qui decumbebat apud Gnathonem pictorem.

[200] Sub hyemem circa solstitium hybernum, & usque ad æquinoctium, perseverabant quidem & febres ardentes, & phrenitides, & multi moriebantur. [201] Judicationes tamen transmutatæ sunt, [202] & judicatio facta est plurimis ab initio die quinta, intermisit quarta, recidiva facta est: [203] ex recidiva vero judicatio facta est quinta die. In summa quatuordecim diebus. [204] Sic autem facta est judicatio pueris plurimis, imo etiam senioribus. [205] Quibusdam vero mor-

νεν ἐνδεκαταίοισιν, ὑπέστρεψε τεσσαρεσκαιδεκάτῃ, ἔκρινε τελέως εἰκοστῇ. [206] εἰ δέ τινες ἐπεῤῥίγεον περὶ τὴν εἰκοστὴν, τοῖσιν ἔκρινε τεσσαρακοστῇ. [207] ἐπεῤῥίγεον δὲ οἱ πλεῖστοι περὶ κρίσιν τὴν ἐξ ἀρχῆς. [208] οἱ δ' ἐπιῤῥιγώσαντες ἐξ ἀρχῆς περὶ κρίσιν, καὶ ἐν τῇσιν ὑποστροφῇσιν ἅμα κρίσει ἐπεῤῥίγεον. [209] ἐπεῤῥίγεον δὲ ἐλάχιστοι μὲν τοῦ ἦρος, θέρεος πλείους, φθινοπώρου ἔτι πλείους, ὑπὸ δὲ χειμῶνα πολὺ πλεῖστοι. [210] αἱ δὲ αἱμοῤῥαγίαι ὑπέληγον.

morbus judicabatur die undecima: revertebatur decimaquarta, judicabatur perfecte vigesima. [206] Si vero aliqui insuper riguissent circa vigesimam, his judicabatur quadragesima. [207] Superriguerunt autem plurimi circa judicationem ab initio. [208] Qui vero circa judicationem ab initio riguerunt, etiam in recidivis una cum judicatione riguerunt. [209] Riguerunt autem paucissimi vere, æstate plures, autumno adhuc plures, hyeme longe plurimi. [210] At sanguinis eruptiones cessabant.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

[1] Τὰ δὲ περὶ τὰ νοσήματα, ἐξ ὧν διαγινώσκομεν, μαθόντες [2] ἐκ τῆς κοινῆς φύσιος ἁπάντων καὶ τῆς ἰδίης ἑκάστου, [3] ἐκ τοῦ νοσήματος, ἐκ τοῦ νοσέοντος, [4] ἐκ τῶν προσφερομένων, ἐκ τοῦ προσφέροντος. [5] ἐπὶ τὸ ῥᾷον γὰρ καὶ χαλεπώτερον ἐκ τούτων. [6] ἐκ τῆς καταστάσιος ὅλης καὶ κατὰ μέρεα τῶν οὐρανίων καὶ χώρης ἑκάστης, [7] ἐκ τοῦ ἔθεος, ἐκ τῆς διαίτης, ἐκ τῶν ἐπιτηδευμάτων, ἐκ τῆς ἡλικίης ἑκάστου. [8] λόγοισι, τρόποισι, σιγῇ, διανοήμασιν, ὕπνοισιν, οὐχ ὕπνοισιν, ἐνυπνίοισι ποτε· [9] καὶ ὅτε τιλμοῖσι, κνησμοῖσι, δακρύοισιν. [10] ἐκ τῶν παροξυσμῶν διαχωρήμασιν, οὔροισι, πτυάλοισιν, ἐμέτοισι. [11] καὶ ὅσαι ἐξ οἵων διαδοχαὶ νοσημάτων, καὶ ἀποστάσιες ἐπὶ τὸ ὀλέθριον καὶ κρίσιμον. [12] ἱδρὼς, ψύξις, ῥῖγος. βὴξ, πταρμοὶ, λυγμοὶ, πνεύματα, ἐρεύξιες, φῦσαι σιγώδεες [ἢ] ψοφώδεες, αἱμοῤῥαγίαι, αἱμοῤῥοΐδες. [13] ἐκ τούτων καὶ ὅσα διὰ τούτων σκεπτέον.

[14] Πυρετοὶ ξυνεχέες, οἱ μὲν ἡμέρην ἔχουσι, νύκτα διαλείπουσιν· οἱ δὲ νύκτα ἔχουσιν, ἡμέρην

SECTIO TERTIA.

Morbos dignoscimus edocti, [2] ex communi omnium natura, & ex uniuscujusque propria, [3] ex morbo, ex ægroto, [4] ex his quæ offeruntur, ex eo qui offert. [5] (Ex his enim & breviores, & graviores redduntur) [6] ex tota ac partiali constitutione cœlestium, & uniuscujusque regionis, [7] ex victu, ex vitæ studiis, ex ætate cujusque, [8] sermonibus, moribus, taciturnitate, cogitationibus, somnis, vigiliis, insomniis, quibusdam [9] & quando, vellicationibus, pruritibus, lachrymis, [10] exacerbationibus, secessibus, urinis, sputis, vomitibus, [11] & quæ ex quibus, in quos, successiones morborum: & qui abscessus ad perniciem, & ad judicationem. [12] Sudor, rigor, frigiditas, tussis, sternutationes, singultus, spiritus, ructus, flatus silentes, strepentes, sanguinis eruptiones, hæmorrhoides. [13] Ex his autem, & quæ per hæc fiunt, considerandum.

[14] Febres quædam continuæ sunt, quædam interdiu tenent, noctu intermittunt: aut nocte tenent,

ρῶν διαλείπουσιν. [15] ἡμιτριταῖοι, τριταῖοι, τεταρταῖοι, πεμπταῖοι, ἑβδομαῖοι, ἐνναταῖοι. [16] " εἰσὶ δὲ ὀξύτατοι μὲν καὶ μέγιστοι καὶ χαλεπώτατοι νοῦσοι καὶ θανατωδέστατοι ἐν τοῖς ξυνεχέσι πυρετοῖς. [17] " ἀσφαλέστατος δὲ ' πάντων καὶ ῥήϊστος καὶ μακρότατος ὁ τεταρταῖος. [18] οὐ γὰρ μοῦνον αὐτὸς ἀφ' ἑωυτοῦ τοιοῦτός ἐστιν, " ἀλλὰ καὶ νοσημάτων μεγάλων ἄλλων ῥύεται. [19] ἐν δὲ τῷ ἡμιτριταίῳ καλεομένῳ ξυμπίπτει μὲν καὶ ὀξέα νοσήματα γίνεσθαι. [20] καὶ ἔστι τῶν λοιπῶν οὗτος θανατωδέστατος. [21] ἀτὰρ καὶ φθινώδεες καὶ ὅσοι ἄλλας μακροτέρας νούσους νοσέουσιν, ἐπὶ τούτῳ μάλιστα νοσέουσι. [22] νυκτερινὸς οὐ λίην θανατώδης, μακρὸς δέ. [23] ἡμερινὸς μακρότερος· ἔστι δὲ οἷσι ῥέπει καὶ ἐπὶ τὸ φθινῶδες. [24] ἑβδομαῖος ' μακρὸς, οὐ θανατώδης. [25] ἐνναταῖος μακρότερος καὶ οὐ θανατώδης. [26] " τριταῖος ἀκριβὴς ταχυκρίσιμος καὶ οὐ θανατώδης. [27] ὁ δέ γε πεμπταῖος πάντων μὲν κάκιστος. καὶ γὰρ πρὸ φθίσιος καὶ ἤδη φθίνουσιν ἐπιγενόμενος κτείνει. [28] " εἰσὶ δὲ τρόποι καὶ καταστάσιες καὶ παροξυσμοὶ τουτέων ἑκάστου τῶν πυρετῶν ὅμοιοι ξυνεχέων διαλειπόντων. [29] " αὐτίκα γὰρ ξυνεχὴς ἔστιν, οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει μάλιστα καὶ ἀνάγει ἐπὶ τὸ χαλεπώτερον, περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἀπολεπτύνεται. [30] ' ἔστι δὲ, οἷσιν ἄρχεται μαλακῶς δὲ ὑποβρύχιος, ἐπαναδιδοῖ δὲ καὶ παροξύνεται καθ' ἡμέρην ἑκάστην, περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἅλις ἐξέλαμψεν. [31] ἔστιν, οἷσιν ἀρχόμενος πρηέως ἐπιδιδοῖ καὶ παροξύνεται, καὶ μέχρι τινὸς ἀκμάσας πάλιν ὑφίησι μέχρι κρίσιος καὶ περὶ

tenent, die intermittunt. [15] Semitertianæ, tertianæ, quartanæ, quintanæ, ſeptimanæ, nonanæ. [16] Sunt autem acutiſſimi, & maximi ac graviſſimi morbi, & maxime lethales in continua febre. [17] Securiſſima vero omnium, & facillima ac ' longiſſima eſt quartana. [18] Non enim ſolum ipſa à ſeipſa talis eſt, ſed etiam ab aliis magnis morbis liberat. [19] At in ſemitertiana appellata, contingit quidem & acutos morbos fieri, [20] & eſt hæc præ cæteris maxime lethalis. [21] Sed & tabidi, & quicunque ex aliis longis morbis ægrotant, ex hac maxime ægrotant. [22] Nocturna non admodum lethalis eſt, verum longa. [23] Diurna longior. Quibuſdam autem & ad tabem vergit. [24] Septimana ' longa eſt, verum non lethalis. [25] Nonana adhuc longior, & non lethalis. [26] Tertiana exacta cito judicatur, & non eſt lethalis. [27] Quintana peſſima omnium eſt. Nam & ante tabem, & jam tabidis ſuperveniens occidit. [28] Sunt autem modi, & conſtitutiones, & exacerbationes ſingularum harum febrium, æque continuarum ac intermittentium. [29] Velut verbi cauſa: continua quibuſdam ab initio floret, & ' viget maxime, & ad deterius procedit: circa judicationem vero & una cum judicatione, imminuitur. [30] Quibuſdam vero molliter incipit & ſubmiſſe, augeſcit autem & exacerbatur quotidie: circa judicationem vero & una cum judicatione acervatim elucet. [31] Quibuſdam leniter auſpicata augeſcit & exacerbatur: & ubi aliquandiu in vigore fuit, rurſus remittit uſque ad judicationem, & circa judicatio-

περὶ κρίσιν. [32] ξυμπίπτει δὲ ταῦτα γίνεσθαι ἐπὶ παντὸς πυρετοῦ, καὶ παντὸς νοσήματος. [33] δεῖ δὲ τὰ διαιτήματα σκεπτόμενον ἐκ τούτων προσφέρειν. [34] πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα σημεῖα τούτοισίν ἐστιν ἀδελφιζόμενα· περὶ ὧν τὰ μέν που γέγραπται, τὰ δὲ γεγράψεται. [35] πρὸς ἃ δεῖ διαλογιζόμενον δοκιμάζειν καὶ σκέπτεσθαι, τίνι τουτέων ὀξὺ καὶ θανατῶδες ἢ περιεστηκός· [36] καὶ τίνι προσοιστέον ἢ οὔ· καὶ πότε, καὶ πόσον, καὶ τί τὸ προσφερόμενον ἔσται.

[37] Τὰ δὲ παροξυνόμενα ἐν ἀρτίῃ, κρίνεται ἐν ἀρτίῃσιν. [38] ὧν δὲ οἱ παροξυσμοὶ ἐν περισσῇσι, κρίνεται ἐν περισσῇσιν. [39] ἔστι δὲ πρώτη κρίσιμος τῶν περιόδων, ἐν [μὲν] τῇσιν ἀρτίῃσι κρινόντων, δ'. ς'. η'. ι'. ιδ'. κη'. λ'. λδ'. μη'. ξ'. π'. ρ'. [39] τῶν δὲ ἐν τῇσι περισσῇσι κρινόντων περιόδων, α'. γ'. ε'. ζ'. θ'. ια'. ιζ'. κα'. κζ'. λα'. [40] εἰδέναι δὲ χρή, ὅτι, ἢν [τι] ἄλλως κριθῇ ἔξω τῶν ὑπογεγραμμένων, ἐσομένας ὑποστροφὰς σημαίνοι, καὶ γένοιτ' ἂν ὀλέθρια. [41] δεῖ δὲ προσέχειν τὸν νόον καὶ εἰδέναι, ἐν τοῖσι χρόνοισι τούτοισι τὰς κρίσιας ἐσομένας ἐπὶ σωτηρίην ἢ ὄλεθρον, ἢ ῥοπὰς ἐπὶ τὸ ἄμεινον ἢ τὸ χεῖρον. [42] πλανῆτες δὲ πυρετοί, καὶ τεταρταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐναταῖοι, ἐν ᾗσι περιόδοισι κρίνονται, σκεπτέον.

Ἄρρωστος πρῶτος. [2] Φιλίσκος, [ὃς] ᾤκει [παρὰ] τὸ τεῖχος, κατεκλίθη. [3] τῇ πρώτῃ πυρετὸς ὀξύς, ἵδρωσεν ἐν νυκτὶ ἐπιπόνως. [4] δευτέρῃ πάντα παρωξύνθη· [5] ὀψὲ δὲ ἀπὸ κλυ-

cationem. [32] Atque hæc contingere solent in omni febre, & in omni morbo. [33] Oportet autem victus rationem ex horum consideratione offerre. [34] Multa vero etiam alia signa his sunt cogoata, de quibus partim scriptum est, partim scribetur. [35] Ad quæ ratiocinari oportet, examinareque ac considerare, cui horum acutus & lethalis sit morbus, aut à quo superstes sit futurus: [36] & cui offerendum sit, aut non, & quando, & quantum: & quid offerendum erit. [37] Quæ vero paribus diebus exacerbantur, paribus judicantur. Quorum autem exacerbationes in imparibus fiunt, ea in imparibus judicantur. [38] Est autem primus judicatorius, ex circuitibus diebus paribus judicantibus, IV. VI. VIII. X. XIV. XXVIII. XXX. XLVIII. LX. LXXX. C. [39] Ex circuitibus vero in imparibus diebus judicantibus, est I. III. V. VII. IX. XI. XVII. XXI. XXVII. XXXI. [40] At vero nosse expedit, si aliter judicatio fiat, extra præscriptos dies, recidivas fore significat, & fuerit sane perniciosa. [41] Oportet autem animadvertere & nosse, in his temporibus judicationes futuras esse, ad salutem, aut perniciem: aut inclinationes ad melius, aut deterius. [42] Erroneæ porro febres, & quartanæ, & quintanæ, & septimanæ, & nonanæ, in quibus circuitibus judicentur considerandum est.

Ægrotus primus. [2] Philiscus prope muros habitabat, decubuit. [3] Primo die febris acuta, sudavit, noctem laboriosam habuit. [4] Secundo die omnia exacerbata sunt. [5] Vesperi ab infuso per clysterem

κλυσματίου καλῶς διῆλθε· νύκτα δι' ἡσυχίης. 6 τρίτῃ πρωῒ καὶ μέχρι μέσου ἡμέρης ἔδοξε γενέσθαι ἄπυρος· 7 πρὸς δείλην δὲ πυρετὸς ὀξὺς, μετὰ ἱδρῶτος, 8 διψώδης, γλῶσσα ἐπεξηραίνετο· 9 μέλανα οὔρησε· 10 νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, πάντα παρέκρουσε. 11 τετάρτῃ πάντα παρωξύνθη, οὖρα μέλανα· 12 νύκτα εὐφορωτέρην, οὖρα εὐχροώτερα. 13 πέμπτῃ περὶ μέσον ἡμέρης μικρὸν ἀπὸ ῥινῶν ἔσταξεν ἄκρητον· 14 οὖρα δὲ ποικίλα, ἔχοντα ἐναιωρήματα στρογγύλα, γονοειδέα, διεσπασμένα, οὐχ ἱδρυτο. 15 προστεθέντος δὲ βαλάνου, φυσώδεα σμικρὰ διῆλθε. 16 νύκτα ἐπιπόνως, ὕπνοι σμικροὶ, λόγοι, λῆρος, ἄκρεα πάντοθεν ψυχρὰ καὶ οὐκ ἔτι ἀναθερμαινόμενα, οὔρησε μέλανα, ἐκοιμήθη σμικρά. 17 πρὸς ἡμέρην ἄφωνος, ἵδρωσε ψυχρὸν, ἄκρεα πελιδνά. 18 περὶ δὲ μέσον ἡμέρης ἑκταῖος ἀπέθανε. 19 τούτῳ πνεῦμα διὰ τέλεος ὥσπερ ἀνακαλουμένῳ, ἀραιὸν, μέγα. 20 σπλὴν ἐπήρθη περιφερεῖ κυρτώματι. 21 ἱδρῶτες ψυχροὶ διὰ τέλεος. 22 οἱ παροξυσμοὶ ἐν ἀρτίῃσιν.

Ἄρρωστος δεύτερος. 2 Σιληνὸν, [ὃς] ᾤκει ἐπὶ τοῦ Πλαταμῶνος πλησίον τῶν Εὐαλκίδου, 3 ἐκ κόπων καὶ πότων καὶ γυμνασίων ἀκαίρων πῦρ ἔλαβεν. 4 ἤρξατο δὲ πονέειν ἐξ ὀσφύος καὶ κεφαλῆς εἶχε βάρος, καὶ τραχήλου ξύντασις. 5 ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ χολώδεα, ἄκρητα, ἔπαφρα, κατακορέα, πολλὰ διῆλθεν· 6 οὖρα μέλανα [καὶ] μέλαιναν τὴν ὑπόστασιν ἔχοντα. 7 διψώδης, γλῶσσα ἐπίξηρος. 8 νυκτὸς οὐδὲν ἐκοιμήθη. 9 δευτέρῃ πυρετὸς ὀξὺς,

clysterem adhibito bene habuit, noctem quietam. 6 Tertio mane & usque ad meridiem, visus est à febre liber esse. 7 Ad vesperam febris acuta cum sudore, siticulosus erat, lingua resiccabatur, 8 nigra minxit, 10 noctem molestam habuit, non dormivit, omnino deliravit. 11 Quarto autem omnia exacerbata sunt, urinæ nigræ, 12 nox tolerabilior, urinæ melioris coloris. 13 Quinto circa meridiem parum de naribus stillavit non mixtum. 14 Urinæ variæ, quæ habebant innatantia quædam rotunda, geniture similia, dispersa, non subsidebant. 15 Subdita glande, flatuosa pauca prodierunt: 16 noctem habuit laboriosam, somni parvi, sermones, deliramenta, extremitates undique frigidæ, & non amplius recalescentes: minxit nigra, dormivit parum, 17 ad diem voce destitutus est, frigidum sudavit: extremitates lividæ. 18 Circa meridiem sexta die mortuus est. 19 Huic spiritus ad finem usque velut revocanti, rarus & magnus. 20 Splen elevatus est orbiculari gibbositate. 21 Sudores frigidi perpetuo. 22 Exacerbationes diebus paribus.

Ægrotus secundus. 2 Silenus habitabat in Platamone, prope filios Eualcidis. 3 Hunc ex lassitudinibus & potationibus, ac exercitiis intempestivis febris corripuit. 4 Cœpit autem ægrotare ex lumbis, & caput gravitas tenebat: & colli distentio erat. 5 Ab alvo prima die biliosa, mera, spumosa, abunde colorata, multa prodierunt. 6 Urinæ nigræ nigram subsidentiam habentes: 7 siticulosus, lingua resiccata, 8 nocte nihil dormivit. 9 Secunda die, febris acuta,

διαχωρήματα πλείω λεπτότερα ἔπαφρα, οὖρα μέλανα. [10] νύκτα δυσφόρως, μικρὰ παρέκρουσε. [11] τρίτῃ πάντα παρωξύνθη. [12] ὑποχονδρίου ξύντασις ἐξ ἀμφοῖν παραμήκης, πρὸς ὀμφαλὸν, ὑπολάπαρος. [13] διαχωρήματα λεπτὰ, ὑπομέλανα. [14] οὖρα θολερὰ, ὑπομέλανα. [15] νυκτὸς οὐδὲν ἐκοιμήθη, λόγοι πολλοὶ, γέλως, ᾠδὴ, κατέχειν οὐκ ἠδύνατο. [16] τετάρτῃ διὰ τῶν αὐτῶν. [17] πέμπτῃ διαχωρήματα ἄκρητα, χολώδεα, λεῖα, λιπαρά. [18] οὖρα λεπτὰ, διαφανέα. σμικρὰ κατενόει. [19] ἕκτῃ περὶ κεφαλὴν σμικρὰ ἐφίδρωσεν. [20] ἄκρεα ψυχρὰ, πελιδνά. [21] πολὺς βληστρισμός. [22] ἀπὸ κοιλίης οὐδὲν διῆλθεν. [23] οὖρα ἐπέστη. [24] πυρετὸς ὀξύς. [25] ἑβδόμῃ ἄφωνος. [26] ἄκρεα οὐκ ἔτι ἀνεθερμαίνετο. [27] οὔρησεν οὐδέν. [28] ὀγδόῃ ἵδρωσε δι' ὅλου ψυχρόν. [29] ἐξανθήματα μετὰ ἱδρῶτος ἐρυθρὰ, στρογγύλα, σμικρὰ, οἷον ἴονθοι [ἃ καὶ] παρέμενε [καὶ] οὐκ ἀφίστατο. [30] ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ σμικρῷ κόπρανα λεπτὰ, οἷα ἄπεπτα, πολλὰ διῄει μετὰ πόνου. [31] οὔρει μετὰ ὀδύνης δακνώδεα. [32] ἄκρεα σμικρὰ ἀνεθερμαίνετο. [33] ὕπνοι λεπτοὶ, κωματώδεες. [34] ἄφωνος. [35] οὖρα λεπτὰ διαφανέα. [36] ἐνάτῃ διὰ τῶν αὐτῶν. [37] δεκάτῃ ποτὰ οὐκ ἐδέχετο. [38] κωματώδης· οἱ δὲ ὕπνοι λεπτοί. [39] ἀπὸ δὲ κοιλίης ὅμοια. [40] οὔρησεν ἀθρόον, ὑπόπαχυ κείμενον. [41] ὑπόστασις κριμνώδης, λευκή. [42] ἄκρεα πάλιν ψυχρά. [43] ἑνδεκάτῃ ἀπέθανεν. [44] ἐξ ἀρχῆς τούτῳ καὶ διὰ τέλεος πνεῦμα μέγα, ἀραιὸν, ὑποχονδρίου παλμὸς ξυνεχής. [45] ἡλικίη ὡς περὶ ἔτεα εἴκοσι.

Ἀῤῥω-

secessus plures tenuiores, spumosi. Urinæ nigræ, [10] nox molesta, parum deliravit. [11] Tertia, omnia exacerbata sunt, [12] præcordii distentio utrinque oblonga, ad umbilicum submollis. [13] Secessus tenues, subnigri. [14] Urinæ turbatæ, subnigræ. [15] Nocte nihil dormivit, sermones multi, risus, cantus, continere se non potuit. [16] Quarta per eadem. [17] Quinta, secessus meri, biliosi, læves, pingues. [18] Urinæ tenues, pellucidæ: parum resipiscebat. [19] Sexta circa caput parum sudavit: [20] extremitates frigidæ, lividæ, [21] jactatio multa: [22] ab alvo nihil prodiit. [23] Urinæ suppressæ sunt, [24] febris acuta. [25] Septima die voce destitutus est: [26] extremitates non amplius recalescebant: [27] nihil minxit. [28] Octava sudavit frigidum per totum sudorem; [29] papulæ cum sudore rubræ, rotundæ, parvæ, velut vari permanebant, non abscedebant. [30] Ab alvo vero cum parva irritatione, stercora tenuia velut inconcocta, multa prodibant cum dolore. [31] Urinam reddebat cum dolore mordacem. [32] Extremitates parum recalescebant. [33] Somni tenues, soporosi. [34] Vox intercepta. [35] Urinæ tenues, pellucidæ. [36] Nona per eadem. [37] Decima potum non suscipiebat. [38] Soporosus erat, somni autem tenues. [39] Ab alvo similia. [40] Minxit acervatim subcrassum, depositum subsidens: [41] subsidentia crassæ farinæ similis, alba. [42] Extremitates rursus frigidæ. [43] Undecima mortuus est. [44] Ab initio huic & ad finem usque spiritus magnus rarus: præcordii palpitatio assidua. [45] Ætas erat circa annos viginti,

Ægro-

Ἄῤῥωστος τρίτος. ² Ἡροφῶντι πυρετὸς ὀξύς. ³ ἀπὸ κοιλίης ὀλίγα, τεινεσμώδεα κατ' ἀρχάς· ⁴ μετὰ δὲ ταῦτα λεπτὰ διῄει χολώδεα ὑπόσυχνα. ⁵ ὕπνοι οὐκ ἐνῆσαν. ⁶ οὖρα μέλανα λεπτά. ⁷ πέμπτῃ πρωῒ κώφωσις. ⁸ παρωξύνθη πάντα. ⁹ σπλὴν ἐπήρθη, ¹⁰ ὑποχονδρίου ξύντασις. ¹¹ ἀπὸ κοιλίης ὀλίγα μέλανα διῆλθε. ¹² παρεφρόνησεν. ¹³ ἕκτῃ ἐλήρει. ¹⁴ ἐς νύκτα ἱδρὼς, ψύξις. ¹⁵ λῆρος παρέμενεν. ¹⁶ ἑβδόμῃ περιέψυκτο. ¹⁷ διψώδης. ¹⁸ παρέκρουσε νύκτα, κατενόει, κατεκοιμήθη. ¹⁹ ὀγδόῃ ἐπύρεσσε. ²⁰ σπλὴν ἐμειοῦτο. ²¹ κατενόει πάντα. ²² ἤλγησε κατὰ βουβῶνα. ²³ ἔπαρμα τὸ πρῶτον σπληνὸς κατ' ἴξιν. ²⁴ ἔπειτα ἐπόνει ἐς ἀμφοτέρας κνήμας. ²⁵ νύκτα εὐφόρως. ²⁶ οὖρα εὐχροώτερα, ὑπόστασιν εἶχε σμικρήν. ²⁷ ἐνάτῃ ἵδρωσεν, ἐκρίθη, διέλειπεν. ²⁸ πέμπτῃ ὑπέστρεψεν. ²⁹ αὐτίκα δὲ σπλὴν ἐπήρθη, πυρετὸς ὀξὺς, κώφωσις πάλιν. ³⁰ μετὰ δὲ τὴν ὑποστροφὴν τρίτῃ σπλὴν ἐμειοῦτο, κώφωσις ἧσσον, σκέλεα ἐπωδύνως, νύκτα ἵδρωσεν. ³¹ ἐκρίθη ἑπτακαιδεκάτῃ. ³² οὐδὲ παρέκρουσεν ἐπὶ τῇ ὑποστροφῇ.

Ἄῤῥωστος τέταρτος. ² Ἐν Θάσῳ Φιλίνου γυναῖκα, θυγατέρα τεκοῦσαν, καὶ κατὰ φύσιν καθάρσιος γενομένης, καὶ τἆλλα κούφως διάγουσαν, τεσσαρεσκαιδεκάτην ἐοῦσαν μετὰ τὸν τόκον, πῦρ ἔλαβε μετὰ ῥίγεος. ³ ἤλγει δὲ ἀρχομένη καρδίην, καὶ ὑποχόνδριον δεξιὸν πόνοι. ⁴ γυναικείων κάθαρσις ἐπαύσατο. ⁵ προσθεμένῃ δὲ ταῦτα μὲν ἐκουφίσθη, κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνοι παρέμενον.

Ægrotus tertius. ² Herophonti febris acuta. ³ Ab alvo pauca ab initio velut in tenesmo: ⁴ postea vero tenuia prodibant biliosa, frequentiora. ⁵ Somni non aderant. ⁶ Urinæ nigræ, tenues. ⁷ Quinta mane surditas. ⁸ Exacerbata sunt omnia. ⁹ Splen elevatus est. ¹⁰ Præcordii distentio. ¹¹ Ab alvo pauca, nigra prodierunt, ¹² deliravit. ¹³ Sexta delirabat: ¹⁴ ad noctem sudor, frigiditas: ¹⁵ delirus permanebat. ¹⁶ Septima perfrigerabatur: ¹⁷ siticulosus, ¹⁸ delirabat, noctu resipiscebat, obdormivit. ¹⁹ Octava febricitavit, ²⁰ splen minuebatur, ²¹ intelligebat omnia: ²² doluit juxta inguen, ²³ tumor primum è directo splenis: ²⁴ deinde dolebat utrasque tibias: ²⁵ nox tolerabilis. ²⁶ Urinæ coloris melioris parvam subsidentiam habebant. ²⁷ Nona sudavit, judicatus est morbus, intermisit. ²⁸ Quinta reversus est. ²⁹ Statim autem splen elevatus est, febris acuta, surditas rursum. ³⁰ Post recidivam tertia die splen minuebatur, surditas minor erat, crura dolebant, noctu sudavit. ³¹ Judicatus est die septimadecima. ³² Neque deliravit in recidiva.

Ægrotus quartus. ² In Thaso Philini uxorem, quæ filiam pepererat, qoum purgatio secundum naturam facta esset, & alias leviter degeret, decimaquarta à partu die febris vehemens corripuit cum rigore. ³ Ab initio vero cor dolebat, & circa præcordium dexterum: ⁴ muliebrium partium dolores: purgatio cessavit. ⁵ Ubi vero glandem subdidisset, hæc quidem leviora facta sunt, capitis autem, colli & lumborum dolores permane-

μένον. [6] ὕπνοι οὐκ ἐνῆσαν. [7] ἄκρεα ψυχρά. [8] διψώδης· κοιλίη ξυνεκαύθη, σμικρὰ διῄει. [9] οὖρα λεπτὰ ἄχροα κατ᾽ ἀρχάς. [10] ἕκτη ἐς νύκτα παρέκρουσε πολλὰ, καὶ πάλιν κατενόει. [11] ἑβδόμῃ διψώδης· [12] διαχωρήματα χολώδεα εὐχροία. [13] ὀγδόῃ ἐπεῤῥίγωσε, πυρετὸς ὀξύς, [14] σπασμοὶ πολλοὶ μετὰ πόνου· πολλὰ παρέλεγεν. [15] ἐξανίστατο βάλανον προστιθεμένην· πολλὰ διῆλθε μετὰ περιῤῥόου χολώδεος. [16] ὕπνοι οὐκ ἐνῆσαν. [17] ἐνάτῃ σπασμοί. [18] δεκάτῃ σμικρὰ κατενόει. [19] ἑνδεκάτῃ ἐκοιμήθη, πάντων ἀνεμνήσθη, ταχὺ δὲ πάλιν παρέκρουσεν. [20] οὔρει δὲ μετὰ σπασμῶν ἀθρόον πολὺ, ὀλιγάκις ἀναμιμνησκόντων, [καὶ] παχὺ λευκὸν, οἷον γίνεται ἐκ τῶν καθισταμένων, ὅταν ἀναταραχθῇ, κείμενον πολὺν χρόνον οὐ καθίστατο, χρῶμα καὶ πάχος ἴκελα ὑποζυγίου. [21] τοιαῦτα οὔρει, οἷα κἀγὼ εἶδον. [22] περὶ δὲ τεσσαρεσκαιδεκάτην ἐοῦσῃ παλμοὶ δι᾽ ὅλου τοῦ σώματος, λόγοι πολλοί· [23] σμικρὰ κατενόει, διὰ ταχέως δὲ πάλιν παρέκρουσε. [24] περὶ δὲ ἑπτακαιδεκάτην ἐοῦσα ἦν ἄφωνος. [25] εἰκοστῇ ἀπέθανεν.

Ἄῤῥωστος πέμπτος. [2] Ἐπικράτεος γυναῖκα, ἣ κατέκειτο παρὰ Ἀρχηγέτην, περὶ τόκον ἤδη ἐοῦσαν ῥῖγος ἔλαβεν ἰσχυρῶς, οὐκ ἐθερμάνθη, ὡς ἔλεγον. [3] καὶ τῇ ὑστεραίῃ τὰ αὐτά. [4] τρίτῃ δὲ ἔτεκε θυγατέρα, καὶ τἄλλα πάντα κατὰ λόγον ἦλθε. [5] δευτέρῃ μετὰ τόκον, ἔλαβε πυρετὸς ὀξύς. [6] καρδίης πόνος, καὶ γυναικείων. [7] προστεθεμένη δὲ τούτων μὲν ἐκουφίσθη, κεφα-

bant. [5] Somni non aderant. [7] Extremitates frigidæ. [8] Siticulosa erat: alvus combusta, pauca egerebat. [9] Urinæ tenues, ab initio decolores. [10] Sexta die ad noctem multum deliravit, & rursus resipiscebat. [11] Septima siticulosa: [12] secessus biliosi, abunde colorati. [13] Octava superriguit: febris acuta, [14] convulsiones multæ cum dolore: multum delirabat. [15] Glande subdita exurgebat, multaque cum fluxione biliosa prodibant. [16] Somni non aderant. [17] Nona convulsiones. [18] Decima parum resipiscebat. [19] Undecima dormivit: omnium recordata est: statim autem rursus deliravit. [20] Urinam autem reddebat cum convulsionibus, acervatam, multam: illis autem parum admonentibus, crassam albam: qualis est ex his quæ subsiderunt, ubi multo tempore sita, fuerint conturbata: non subsidebat: color & crassitudo talis, qualis est in urinis jumentorum. [21] Talia mingebat, quæ & ego vidi. [22] Circa decimumquartum diem palpitationes per totum corpus, sermones multi; [23] parum resipiscebat, verum statim rursus delirabat. [24] Circa decimum septimum voce destituebatur. [25] Vigesima mortua est.

Ægrotus quintus. [2] Epicratis uxorem, quæ decumbebat apud Archegetem, partui jam propinquam, rigor fortiter corripuit: non incaluit, velut dicebant. [3] Et postridie eadem erant. [4] Tertia die peperit filiam, & alia omnia juxta rationem venerunt. [5] Postridie à partu febris acuta eam invasit, [6] cordis dolor & muliebrium partium. [7] Ubi vero glandem subdidisset, hæc

κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνος. 8 ὕπνοι οὐκ ἐνῆσαν. 9 ἀπὸ δὲ κοιλίης ὀλίγα χολώδεα λεπτὰ διῄει ἄκρητα. 10 οὖρα λεπτὰ ὑπομέλανα. 11 ἀφ' ἧς δὲ ἐλάμβανεν ἕκτῃ πῦρ, ἐς νύκτα ἐκλαίη παρέκρουσεν. 12 ἑβδόμῃ πάντα παρωξύνθη, ἄγρυπνος, παρέκρουσε, διψώδης, διαχωρήματα χολώδεα κεχρωσμένα. 13 ὀγδόῃ ἐπερρίγωσεν, ἐκοιμήθη πλείω. 14 ἐνάτῃ διὰ τῶν αὐτῶν. 15 δεκάτῃ σκέλεα ἐπιπόνως ἤλγει, καρδίης πάλιν ὀδύνη, καρηβαρίη, οὐ παρέκρουσεν, ἐκοιμᾶτο μᾶλλον, κοιλίη ἐπέστη. 16 ἑνδεκάτῃ οὔρησεν εὐχροώτερα, σύχνην ὑπόστασιν ἔχοντα· διῆγε κουφότερον. 17 τεσσαρεσκαιδεκάτῃ ἐπερρίγωσε· πυρετὸς ὀξύς. 18 πεντεκαιδεκάτῃ ἤμεσε χολώδεα, ξανθά, ὑπόσυχνα· 19 ἵδρωσεν ἄπυρος. 20 ἐς νύκτα δὲ πυρετὸς ὀξύς. 21 οὖρα πάχος ἔχοντα, ὑπόστασις λευκή. 22 ἑξκαιδεκάτῃ παρωξύνθη πάντα, ἐδυσφόρει. 23 οὐχ ὕπνωσε, παρέκρουσεν. 24 ὀκτωκαιδεκάτῃ διψώδης, γλῶσσα ἐπικεκαυμένη, οὐχ ὕπνωσε, παρέκρουσε πολλά, σκέλεα ἐπωδύνως εἶχε. 25 περὶ δὲ εἰκοστὴν πρωῒ σμικρὰ ἐπερρίγωσε, καρώδης, δι' ἡσυχίης ὕπνωσε, ἤμεσε χολώδεα ὀλίγα μέλανα. 26 ἐς νύκτα κώφωσις. 27 περὶ δὲ πρώτην καὶ εἰκοστὴν πλευροῦ ἀριστεροῦ βάρος δι' ὅλου μετ' ὀδύνης, σμικρὰ ἐπέβησσεν. 28 οὖρα δὲ πάχος ἔχοντα, θολερά, ὑπέρυθρα, κείμενα οὐ καθίστατο. 29 τὰ δ' ἄλλα κουφοτέρως· οὐκ ἄπυρος. 30 αὕτη ἐξ ἀρχῆς φάρυγγα ἐπωδύνως εἶχε, ἔρευθος, 31 κίων ἀνεσπασμένος. 32 ῥεῦμα δριμύ, δακνῶδες, ἁλμυρῶδες διὰ τέλους παρέμενε. 33 περὶ δὲ εἰκοστὴν ἑβδόμην

ἄπυ-

hæc quidem leviora facta sunt, capitis autem & colli ac lumborum dolor. 8 Somni non aderant. 9 Ab alvo modica biliosa, tenuia, pura prodibant. 10 Urinæ tenues, subnigræ. 11 Sexta die à quo febris ipsam corripuit, ad noctem deliravit. 12 Septima, omnia exacerbata fuerunt: vigilans deliravit: siticulosa fuit: secessus omnes biliosi abunde colorati. 13 Octava superriguit, plus dormivit. 14 Nona per eadem. 15 Decima crura laboriose dolebat. Cordis dolor rursus: capitis gravitas: non deliravit: magis dormivit: alvus restitit. 16 Undecima sudavit: minxit melius colorata, multam subsidentiam habentia: levius degebat. 17 Decimaquarta superriguit: febris acuta. 18 Decimaquinta vomuit biliosa, flava, satis multa. 19 Sudavit sine febre. 20 Ad noctem febris acuta. 21 Urinæ crassæ subsidentiam albam habentes. 22 Decima sexta ad noctem exacerbata est, & cum molestia, 23 non dormivit, deliravit. 24 Decimaoctava, siticulosa, lingua combusta est: non dormivit: multum deliravit: crura dolebat. 25 Circa vigesimam mane parum riguit, soporosa, quiete dormivit: vomuit biliosi, pauca, nigra. 26 Ad noctem surditas. 27 Circa vigesimam primam lateris sinistri gravitas, per totum cum dolore: parum insuper tussiit. 28 Urinæ crassæ, turbatæ, subrubræ, quæ depositæ non subsidebant. 29 Cætera leviora: non sine febre. 30 Statim ab initio fauces dolebat, rubor aderat, 31 columella revulsa, 32 fluxio acris, mordax, salsa, perpetuo perseverabat. 33 Circa vigesimam

ἄπυρος, [33] οὔροισιν ὑπόστασις, πλευρὸν ἤλγεεν. [34] περὶ δὲ τριηκοστὴν καὶ τριακοστὴν πῦρ ἔλαβε, κοιλίη χολώδεσιν ὑπεταράχθη. [35] ἤμεσε τῇ τεσσαρακοστῇ ὀλίγα χολώδεα. [36] ἐκρίθη, τελέως ἄπυρος τῇ ὀγδοηκοστῇ.

[1] Ἄρρωστος ἕκτος. [2] Κλεωνακτίδην, ὃς κατέκειτο ἐπάνω τοῦ Ἡρακλέους, πῦρ ἔλαβε πεπλανημένως, [3] ἤλγει δὲ καὶ κεφαλὴν ἐξ ἀρχῆς καὶ πλευρὸν ἀριστερόν, καὶ τῶν ἄλλων πόνοι, κοπιώδεα τρόπον. [4] οἱ πυρετοὶ παροξυνόμενοι ἄλλοτε ἀλλοίως ἀτάκτως. [5] ἱδρῶτες, ὁτὲ μὲν, ὁτὲ δ' οὔ. [6] τὰ μὲν πλεῖστα ἐπεσημαίνοντο οἱ παροξυσμοὶ, ἐν κρισίμοισι μᾶλλον. [7] περὶ δὲ εἰκοστὴν τετάρτην χεῖρας ἄκρας ἐψύχετο, [8] ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχνα, μετ' ὀλίγον δὲ ἰώδεα. [9] πάντων ἐκουφίσθη. [10] περὶ δὲ τριηκοστὴν ἐόντι ἤρξατο ἀπὸ ῥινῶν αἱμοῤῥαγεῖν ἐξ ἀμφοτέρων, καὶ ταῦτα πεπλανημένως [κατὰ] κατ' ὀλίγον μέχρι κρίσιος. [11] οὐκ ἀπόσιτος δὲ, οὐδὲ διψώδης παρὰ πάντα τὸν χρόνον, οὐδὲ ἄγρυπνος. [12] οὖρα δὲ λεπτὰ, οὐκ ἄχροα. [13] περὶ δὲ τεσσαρακοστὴν ἐὼν οὔρησεν ὑπέρυθρα, ὑπόστασιν πολλὴν, λίην ἐρυθρὴν ἔχοντα. [14] ἐκουφίσθη. [15] μετὰ δὲ ταῦτα ποικίλως τὰ τῶν οὔρων; ὁτὲ μὲν ὑπόστασιν εἶχεν, ὁτὲ δὲ οὔ. [16] ἑξηκοστῇ οὔροισιν ὑπόστασις πολλὴ καὶ λευκὴ καὶ λείη. [17] ξυνέδωκε πάντα. πυρετοὶ διέλιπον. [18] οὖρα λεπτὰ μὲν, εὔχροα δέ. [19] ἑβδομηκοστῇ ἄπυρος, διέλιπεν ἡμέρας δέκα. [20] ὀγδοηκοστῇ ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς ἔλαβεν, [21] ἵδρωσε πολλῷ, [22] οὔ-

septimam à febri libera; in urinis subsidentia: latus dolebat. [34] Circa primam & trigesimam febris corripiebat: alvus ex biliosis turbata est. [35] Quadragesima die vomuit pauca biliosa. [36] Iudicata est perfecte libera à febri die octogesima.

Ægrotus sextus. [2] Cleonactidem, qui supra Heracleum decumbebat, febris corripuit erroneo modo. [3] Dolebat autem caput ab initio, & latus sinistrum: & aliarum partium dolores aderant, lassatorum modo. [4] Febres exacerbabantur alias aliter inordinate. [5] Sudores quandoque, quandoque non. [6] Exacerbationes utplurimum in judicatoriis diebus magis accedebant. [7] Circa vigesimamquartam summas manus dolebat. [8] Vomuit biliosa, flava, satis multa: paulo post autem æruginosa. [9] Ab omnibus allevatus est, [10] Circa trigesimam sanguis ex utrisque naribus erumpere cœpit, atque hoc erroneo modo paulatim usque ad judicationem. [11] Non autem fastidiebat cibum, neque siticulosus erat per totum tempus, neque insomnis. [12] Urinæ tenues, non decolores. [13] Circa quadragesimam minxit subrubra, subsidentiam multam valde rubram habentia: [14] allevatus est: [15] post hæc autem urinæ variæ, quandoque subsidentiam habebant, quandoque non. [16] Sexagesima urinis subsidentia multa, & alba, & lævis. [17] Remiserunt omnia: febres intermittebant. [18] Urinæ tenues quidem, verum boni coloris. [19] Septuagesima à febre liber permansit diebus decem. [20] Octogesima riguit, febris acuta corripuit: [21] multum sudavit. [22] Uri-

22 οὔροισιν ὑπόστασις ἐρυθρὴ λείη. 23 τελέως ἐκρίθη.

1 Ἄρρωστος ἕβδομος. 2 Μέτωνα πῦρ ἔλαβεν, ὀσφύος βάρος ἐπώδυνον. 3 δευτέρῃ ὕδωρ πιόντι ὑπόσυχνον ἀπὸ κοιλίης καλῶς διῆλθε. 4 τρίτῃ κεφαλῆς βάρος, διαχωρήματα λεπτὰ χολώδεα ὑπέρυθρα. 5 τετάρτῃ πάντα παρωξύνθη. 6 ἐῤῥύη ἀπὸ δεξιοῦ μυκτῆρος αἷμα δὶς ὀλίγον. 7 νύκτα δυσφόρως. 8 διαχωρήματα ὅμοια τῇ τρίτῃ. 9 οὖρα ὑπομέλανα εἶχεν ἐναιώρημα ὑπομέλαν διεσπασμένον, οὐχ ἱδρύετο. 10 πέμπτῃ ἐῤῥύη λάβρον ἐξ ἀριστεροῦ ἄκρητον. 11 ἵδρωσεν. 12 ἐκρίθη. 13 μετὰ δὲ κρίσιν ἄγρυπνος, παρέλεγεν. 14 οὖρα λεπτὰ ὑπομέλανα. 15 λουτροῖσιν ἐχρήσατο κατὰ κεφαλῆς. 16 ἐκοιμήθη, κατενόει. 17 τούτῳ οὐχ ὑπέστρεψεν, 18 ἀλλ' ἡμοῤῥάγει πολλάκις καὶ μετὰ κρίσιν.

1 Ἄρρωστος ὄγδοος. 2 Ἐρασῖνον, ὃς ᾤκει παρὰ Βοώτου χαράδρην, πῦρ ἔλαβε μετὰ δεῖπνον. 3 νύκτα ταραχωδῶς. 4 ἡμέρην τὴν πρώτην δι' ἡσυχίης, νύκτα ἐπιπόνως. 5 δευτέρῃ πάντα παρωξύνθη. 6 ἐς νύκτα παρέκρουσε. 7 τρίτῃ ἐπιπόνως, παρέκρουσε πολλά. 8 τετάρτῃ δυσφορώτατα. 9 ἐς δὲ τὴν νύκτα οὐδὲν ἐκοιμήθη, ἐνύπνια καὶ λογισμοί: 10 ἔπειτα χείρω, μεγάλα καὶ ἐπίκαιρα φόβος, δυσφορίη. 11 πέμπτῃ πρωῒ κατήρτητο, καὶ κατενόει πάντα. 12 πουλὺ δὲ πρὸ μέσου ἡμέρης ἐξεμάνη· κατέχειν οὐκ ἠδύνατο. 13 ἄκρεα ψυχρὰ ὑποπέλια. 14 οὖρα ὑπέστη. 15 ἀπέθανε περὶ ἡλίου δυσμάς. 16 τούτῳ οἱ πυρετοὶ διὰ τέλεος ξὺν ἱδρῶτι, 17 ὑπο-

22 Urinis subsidentia rubra, lævis. 23 Perfecte judicatus est.

Ægrotus septimus. 2 Metonem febris vehemens corripuit, lumborum gravitas dolorosa. 3 Postridie ubi aquam bibisset satis multam, ab alvo probe prodiit. 4 Tertia, capitis gravitas: secessus tenues, biliosi, subrubri. 5 Quarta, omnia exacerbata sunt. 6 Fluebat à dextra nare bis sanguis modicus. 7 Noctem moleste tulit. 8 Secessus similes tertiæ diei. 9 Urinæ subnigræ, habebant quiddam in medio innatans, subnigrum, divulsum: non subsidebant. 10 Quinta, effluxit ex sinistra nare sanguis largus, merus. 11 Sudavit: 12 judicatus est. 13 Post judicationem insomnis, delirabat. 14 Urinæ tenues, subnigræ. 15 Capitis lotionibus usus est: 16 dormivit: resipiscebat. 17 Huic recidiva facta non est. 18 Sed sanguis erupit sæpe etiam post judicationem.

Ægrotus octavus. 2 Erasinum qui habitabat circa Bootæ torrentem, febris vehemens corripuit post cœnam: 3 nocte turbatus fuit: 4 diem primam quiete, noctem laboriose transegit. 5 Secunda, omnia exacerbata sunt, 6 ad noctem deliravit. 7 Tertia dolorose, multum deliravit. 8 Quarta, molestissime, 9 ad noctem nihil dormivit. Insomnia & ratiocinationes: 10 deinde pejora, & magna, & periculosa, timor, molestia. 11 Quinta, mane resipiscebat ac intelligebat omnia. 12 Verum ad meridiem multum insaniit: continere se non potuit. 13 Extremitates frigidæ, sublividæ. 14 Urinæ inconcoctæ. 15 Circa solis occasum mortuus est. 16 Huic febres perpetuo cum sudore

 17 præ-

17 ὑποχόνδρια μετέωρα, ξυντάσις μετ' ὀδύνης. 18 οὖρα δὲ μέλανα, ἔχοντα ἐναιωρήματα στρογγύλα, οὐχ ἱδρύετο. 19 ἀπὸ δὲ κοιλίης κόπρανα διῄει. 20 δίψα διὰ τέλεος, οὐ λίην [δέ.] 21 σπασμοὶ δὲ πολλοί, ξὺν ἱδρῶτι περὶ θάνατον.

Ἄῤῥωστος ἔννατος. 2 Κρίτωνι ἐν Θάσῳ ποδὸς ὀδύνης ἤρξατο ἰσχυρὴ ἀπὸ δακτύλου τοῦ μεγάλου ὀρθοστάδην περιϊόντι. 3 κατεκλίθη αὐθημερὸν, 4 φρικώδης, 5 ἀσώδης, μικρὰ ὑποθερμαινόμενος. 6 7 νυκτὸς παρεφρόνησε. 8 δευτέρῃ οἴδημα δι' ὅλου τοῦ ποδὸς καὶ περὶ σφυρὸν ὑπέρυθρον μετὰ ξυντάσιος, 9 φλυκταινίδια μέλανα, 10 πυρετὸς ὀξύς. 11 ἐξεμάνη. 12 ἀπὸ δὲ κοιλίης ἄκρητα χολώδεα ὑπόσυχνα διῆλθεν. 13 ἀπέθανεν ἀπὸ τῆς ἀρχῆς δευτεραῖος.

Ἄῤῥωστος δέκατος. 2 Τὸν Κλαζομένιον, ὃς κατέκειτο παρὰ τὸ Φρυνιχίδεω φρέαρ, πῦρ ἔλαβεν. 3 ἤλγει δὲ κεφαλὴν, τράχηλον, ὀσφὺν ἐξ ἀρχῆς. 4 αὐτίκα δὲ κώφωσις. 5 ὕπνοι οὐκ ἐνῆσαν. 6 πυρετὸς ὀξὺς ἔλαβεν. 7 ὑποχόνδρια ἐπῆρτο μετ' ὄγκου, οὐ λίην ξυντάσις. 8 γλῶσσα ξηρή. 9 τετάρτῃ ἐς νύκτα παρεφρόνησε. 10 πέμπτῃ ἐπιπόνως, καὶ πάντα παρωξύνθη. 11 περὶ δὲ ἑνδεκάτην σμικρὰ ξυνέδωκεν. 12 ἀπὸ δὲ κοιλίης ἐξ ἀρχῆς καὶ μέχρι τεσσαρεσκαιδεκάτης λεπτὰ πολλὰ ὑδατόχροα διῄει. 13 εὐφόρως τὰ περὶ διαχώρησιν διῆγε. 14 ἔπειτα κοιλίη ἐπέστη. 15 οὖρα διὰ τέλεος λεπτὰ μὲν, εὔχροα δὲ καὶ πολλὰ εἶχεν ἐναιωρήματα ὑποδιεσπασμένα· οὐχ ἱδρύετο. 16 περὶ δὲ ἑκκαιδεκάτην οὔρησεν ὀλίγῳ παχύτερα·

εἶχ-

17 præcordia sublimia: distenti cum dolore. 18 Urinæ nigræ habentes quædam in medio suspensa innatantia rotunda, non subsidebant. 19 Ab alvo stercora prodibant. 20 Sitis perpetuo, non valde. 21 Convulsiones multæ cum sudore, circa mortem.

Ægrotus nonus. 2 Critoni in Thaso erectè obambulanti, pedis dolor fortis à magno digito cœpit. 3 Decubuit eadem die 4 horridus, 5 anxius, 6 parum subcalescens: 7 nocte desipuit. 8 Secunda die tumor laxus per totum pedem, & circa malleolum subrubens, cum distentione. 9 Pustulæ nigræ: 10 febris acuta: 11 insanijt. 12 Ab alvo vero mera, biliosa, satis multa prodibant. 13 Mortuus est altera ab initio die.

Ægrotus decimus. 2 Clazomenium, qui ad Phrynichidæ puteum decumbebat, febris vehemens corripuit. 3 Dolebat autem caput, collum, lumbos ab initio. 4 Statim autem surditas. 5 Somni non aderant. 6 Febris acuta invasit. 7 Præcordium elevabatur cum tumore: distentio non valde: 8 lingua sicca. 9 Quarta, ad noctem desipuit. 10 Quinta, laboriose omnia exacerbata sunt. 11 Circa undecimam parum remiserunt. 12 Ab alvo vero ab initio & usque ad decimamquartam, tenuia multa aquei coloris prodibant. 13 Toleranter ea quæ ad secessum pertinent ferebat: 14 postea alvus restitit. 15 Urinæ perpetuo tenues quidem, verum boni coloris, & multa in medio suspensa habebant divulsa: non subsidebant. 16 Circa decimamsextam minxit paulo crassiora, habebant

ρα· εἶχε σμικρὴν ὑπόστασιν· [17] ἐκούφιζεν ὀλίγον, κατενόει μᾶλλον. [18] ἑπτακαιδεκάτῃ δὲ πάλιν λεπτά. [19] περὶ δὲ τὰ ὦτα ἀμφότερα ἐπήρθη ξὺν ὀδύνῃ· [20] ὕπνοι οὐκ ἐνῆσαν, παρελήρει· [21] περὶ δὲ τὰ σκέλεα ἐπωδυνέως εἶχε. [22] εἰκοστῇ ἄπυρος, ἐκρίθη· [23] οὐχ ἵδρωσε· [24] πάντα κατενόει. [25] περὶ δὲ ἑβδόμην καὶ εἰκοστὴν ἰσχίου ὀδύνη δεξιοῦ ἰσχυρῶς, διὰ ταχέων ἐπαύσατο. [26] τὰ δὲ περὶ τὰ ὦτα οὔτε καθίστατο οὔτε ἐξεπύει, ἤλγει δέ. [27] περὶ δὲ τὴν πρώτην καὶ τριηκοστὴν διάρροια πολλοῖσιν ὑδατώδεσι μετὰ δυσεντεριωδέων, [28] οὖρα παχέα οὔρει, [29] κατέστη τὰ περὶ τὰ ὦτα. [30] περὶ δὲ τὴν τεσσαρακοστὴν ὀφθαλμὸν δεξιὸν ἤλγει, ἀμβλύτερον ἑώρα· [31] κατέστη.

Ἄρρωστος ἑνδέκατος. [2] Τὴν Δρομεάδεω γυναῖκα, θυγατέρα τεκοῦσαν, καὶ τῶν ἄλλων πάντων γενομένων κατὰ λόγον, δευτεραίην ἐοῦσαν ῥῖγος ἔλαβε, πυρετὸς ὀξύς. [3] ἤρξατο δὲ πονέειν τὴν πρώτην περὶ ὑποχόνδριον, [4] ἀσώδης, [5] φρικώδης, [6] ἀλύουσα· [7] καὶ τὰς ἐχομένας οὐχ ὕπνωσε. [8] πνεῦμα ἀραιὸν, μέγα, αὐτίκα ἀνεσπασμένον. [9] δευτέρῃ, ἀφ' ἧς ἐρρίγωσεν, ἀπὸ κοιλίης καλῶς κόπρανα διῆλθεν. [10] οὖρα παχέα, λευκὰ, θολερὰ, οἷα γίνεται ἐκ τῶν καθισταμένων, ὅταν ἀναταραχθῇ κείμενα χρόνον πολλὸν· οὐ καθίστατο. [11] νύκτα οὐκ ἐκοιμήθη. [12] τρίτῃ περὶ μέσον ἡμέρης ἐπερρίγωσε· πυρετὸς ὀξύς· [13] οὖρα ὅμοια· [14] ὑποχονδρίου πόνος, ἀσώδης. [15] νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη. [16] ἵδρωσε δι' ὅλου ὑπόψυχρα· [17] ταχὺ δὲ πάλιν ἀνεθερμάνθη.

18 περὶ

bant subsidentiam parvam, [17] paululum allevarunt, resipiscebat magis. [18] Decimaseptima rursus tenuia. [19] Circa utrasque aures tubercula extiterunt cum dolore. [20] Somni non aderant: delirabat. [21] Circa crura dolebat. [22] Vigesima, à febre liber judicatus est: [23] non sudavit: [24] omnia intelligebat. [25] Circa vigesimamseptimam coxæ dextræ dolor fortis, cito quievit. [26] Tubercula vero juxta aures neque sedata sunt, neque suppurata, verum dolebant. [27] Circa trigesimam primam profluvium alvi ex multis aquosis, cum ejusmodi quæ in dysenteria prodire solent. [28] Urinas crassas mingebat. [29] Tubercula circa aures sedata sunt. [30] Circa quadragesimam oculum dextrum dolebat, obscurius videbat. [31] Restitutus est.

Ægrotus undecimus. [2] Dromeadæ uxorem, quæ filiam pepererat, & aliis omnibus secundum rationem factis, secunda die rigor corripuit: febris acuta. [3] Cœpit autem prima die dolere circa præcordia, [4] fastidiosa ac nauseabunda, [5] horrida, [6] anxia, [7] & sequentibus non dormivit. [8] Spiritus rarus, magnus, statim revulsus. [9] Altera a rigore die, stercora ab alvo bene prodibant. [10] Urinæ crassæ, albæ, turbatæ, qualis fit ex his quæ subsiderunt, ubi multo tempore sita, fuerint conturbata: non subsidebant: [11] nocte non dormivit. [12] Tertia circa meridiem superriguit. Febris acuta. [13] Urinæ similes: [14] præcordii dolor, fastidiosa ac nauseabunda, [15] nox molesta, non dormivit. [16] Sudavit per totum subfrigida. [17] Statim autem rursus recaluefacta est.

[18] τετάρτῃ περὶ μὲν ὑποχόνδρια μικρὰ ἐκουφίσθη, [19] κεφαλῆς δὲ βάρος μετ' ὀδύνης, [20] ὑπεκαρώθη, [21] ἔσταξε μικρὸν ἀπὸ ῥινῶν· [22] γλῶσσα ἐπίξηρος, διψώδης· [23] οὖρα λεπτὰ ἐλαιώδεα· [24] σμικρὰ ἐκοιμήθη. [25] πέμπτῃ διψώδης, ἀσώδης· οὖρα ὅμοια, ἀπὸ κοιλίης οὐδέν. [26] περὶ δὲ μέσον ἡμέρης πολλὰ παρέκρουσε, καὶ πάλιν ταχὺ σμικρὰ κατενόει, [27] ἀνισταμένη ὑπεκαρώθη, ψύξις μικρά. [28] νυκτὸς ἐκοιμήθη, παρέκρουσε. [29] ἕκτῃ πρωῒ ἐπερρίγωσε, ταχὺ δὲ διεθερμάνθη. [30] ἵδρωσε δι' ὅλου, [31] ἄκρεα ψυχρά, [32] παρέκρουσε. [33] πνεῦμα μέγα ἀραιόν· μετ' ὀλίγον· [34] σπασμοὶ ἀπὸ κεφαλῆς ἤρξαντο. [35] ταχὺ ἀπέθανεν.

Ἄρρωστος δωδέκατος. [2] Ἄνθρωπος θερμαινόμενος ἐδείπνησε καὶ ἔπιε πλέον· [3] ἤμεσε πάντα νυκτός, [4] πυρετὸς ὀξύς. [5] ὑποχονδρίου δεξιοῦ πόνος, φλεγμονὴ ὑπολάπαρος ἐκ τοῦ εἴσω μέρεος. [6] νύκτα δυσφόρως, [7] οὖρα δὲ κατ' ἀρχὰς πάχος ἔχοντα, ἐρυθρά, κείμενα οὐ καθίστατο. [8] γλῶσσα ἐπίξηρος. οὐ λίην δὲ διψώδης. [9] τετάρτῃ πυρετὸς ὀξύς, πόνοι πάντων. [10] πέμπτῃ οὔρησε λεῖον ἐλαιῶδες πουλύ· πυρετὸς ὀξύς. [11] ἕκτῃ δείλης πολλὰ παρέκρουσεν· οὐδὲ νύκτα ἐκοιμήθη. [12] ἑβδόμῃ πάντα παρωξύνθη, [13] οὖρα ὅμοια, [14] λόγοι πολλοί, κατέχειν οὐκ ἠδύνατο. [15] ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ ὑγρὰ ταραχώδεα διῆλθε μετὰ ἑλμίνθων. [16] νύκτα ὁμοίως ἐπιπόνως· [17] πρωῒ δὲ ἐρρίγωσε, πυρετὸς ὀξύς, [18] ἵδρωσε θερμῷ, ἄπυρος ἔδοξε γενέσθαι. [19] οὐ πολὺ ἐκοιμήθη· [20] ἐξ ὕπνου ψύξις, [21] πτυαλισμός. [22] δείλης πολλὰ παρέ-

[18] Quarta die circa præcordia parum allevata est. [19] Capitis gravitas cum dolore: [20] in soporem incidit: [21] parum de naribus stillavit: [22] lingua sicca, siticulosa. [23] Urinæ tenues, oleosæ: [24] parum dormivit. [25] Quinta, siticulosa, fastidiosa: urinæ similes: nihil ab alvo. [26] Circa meridiem multum deliravit, & statim rursus parum resipiscebat: [27] exurgens in soporem incidit: frigiditas parva: [28] nocte dormivit: deliravit. [29] Sexta mane superriguit, statim autem recalefacta est. [30] Sudavit per totum. [31] Extremitates frigidæ: [32] deliravit. [33] Spiritus magnus, rarus. [34] Paulo post convulsiones à capite cœperunt. [35] Statim mortua est.

Ægrotus duodecimus. [2] Homo quidam calefactus cœnavit, & bibit amplius. [3] Vomuit omnia noctu: [4] febris acuta. [5] Præcordii dextri dolor. Inflammatio submollis ex interna parte: [6] noctem moleste tulit. [7] Urinæ ab initio rubræ, crassæ, depositæ non subsidebant. [8] Lingua sicca: non valde siticulosus. [9] Quarta, febris acuta. Dolores omnium. [10] Quinta, minxit læve, oleosum, multum: febris acuta. [11] Sexta vesperi multum deliravit: nec dormivit. [12] Septima omnia exacerbata sunt. [13] Urinæ similes: [14] sermones multi: continere se non potuit. [15] Ab alvo cum irritatione prodierunt liquida turbata, cum lumbricis. [16] Nox laboriosa. [17] Mane riguit: febris acuta. [18] Sudavit calidum: à febre liber esse visus est: [19] non multum dormivit: [20] à somno frigiditas, [21] sputatio. [22] Vesperi multum

παρέκρουσε, 23 μετ' ὀλίγον δὲ ἤμεσε μέλανα ὀλίγα χολώδεα. 24 ἐνάτῃ ψύξις, παρελήρει πολλά, οὐχ ὕπνωσε. 25 δεκάτῃ σκέλεα ἐπωδύνως, πάντα παρωξύνθη, παρελήρει. 26 ἑνδεκάτῃ ἀπέθανεν. 188

Ἄρρωστος τρισκαιδέκατος. 189

2 Γυναῖκα, ἣ κατέκειτο ἐν ἀκτῇ, τρίμηνον αὐτὸς ἑωυτὴν ἔχουσαν, πῦρ ἔλαβεν, 3 αὐτίκα δὲ ἤρξατο πονέειν ὀσφύν. 4 τρίτῃ πόνος τραχήλου, κεφαλῆς, καὶ κατὰ κληῖδα [καὶ] χεῖρα δεξιήν. 5 Διὰ ταχέων δὲ 190 γλῶσσα ἠφώνει, 6 δεξιὴ χεὶρ παρελύθη μετὰ σπασμοῦ, παραπληκτικὸν τρόπον. 191 7 παρελήρει πάντα. 8 νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη. 9 κοιλίη ἐπεταράχθη 192 χολώδεσιν ἀκρήτοισιν ὀλίγοισιν. 10 τετάρτῃ γλῶσσα φωνῆς ἐλύθη, 11 σπασμοὶ τῶν αὐτῶν, 12 πόνοι πάντων παρέμενον, 13 κατὰ 193 τὸ ὑποχόνδριον ἔπαρμα ξὺν ὀδύνῃ, 14 οὐκ ἐκοιμᾶτο, 15 παρέκρουσε πάντα, 16 κοιλίη ταραχώδης, 17 οὖρα λεπτά, οὐκ εὔ- 194 χροα. 18 πέμπτῃ πυρετὸς ὀξύς, ὑποχονδρίου πόνος, παρέκρουσε πάντα, διαχωρήματα χολώδεα. 19 ἐς νύκτα ἵδρωσεν, ἄπυρος. 20 ἕκτῃ κατενόει, πάντων ἐκουφίσθη, 21 περὶ δὲ κληῖδα ἀριστερὴν πόνος παρέμενε, 22 διψώδης, 23 οὖρα λεπτά, 24 οὐκ ἐκοιμήθη. 25 ἑβδόμῃ τρόμος, 195 26 ὑπεκαρώθη, 27 σμικρὰ παρέκρουσεν, 28 ἀλγήματα κατὰ κληῖδα καὶ βραχίονα ἀριστερὸν παρέμενε, τὰ δ' 196 ἄλλα διεκουφίσθη, 29 πάντα κατενόει. 30 τρεῖς δὲ διέλι- 197 πεν ἄπυρος. 31 ἑνδεκάτῃ ὑπέστρεψεν, ἐπεῤῥίγωσε, πῦρ ἔλαβε.

multum deliravit. 23 Paulo post vomuit nigra, pauca, biliosa. 24 Nona, frigiditas: multum delirabat: non dormivit. 25 Decima, crura dolebat: omnia exacerbata sunt: deliravit. 26 Undecima mortuus est.

Ægrotus decimus tertius.

2 Mulierem, quæ decumbebat in littore, trimestri fœtu gravidam febris vehemens corripuit, 3 statimque lumbos dolere cœpit. 4 Tertia, dolor colli, capitis, juxta claviculam, & manum dexteram. 5 Statim lingua voce destituta est: 6 dextra manus resoluta est cum convulsione, velut his, qui aliqua siderantur parte, contingere solet. 7 Delirabat penitus: 8 noctem moleste tulit, non dormivit: 9 alvus turbata est, ex biliosis meris, paucis. 10 Quarta die lingua voce soluta est. 11 Convulsiones eorundem: 12 dolores omnium permanebant. 13 Juxta præcordia tumor cum dolore: 14 non dormiebat: 15 penitus delirabat: 16 alvus turbata. 17 Urinæ tenues, non boni coloris. 18 Quinta, febris acuta: præcordii dolor: plane delirabat: secessus biliosi: 19 ad noctem sudavit, à febre libera. 20 Sexta resipiscebat: ab omnibus allevata est: 21 verum circa sinistram claviculam dolor permanebat: 22 siticulosa. 23 Urinæ tenues: 24 non dormivit. 25 Septima tremor: 26 in soporem incidit: 27 parum deliravit: 28 dolores juxta claviculam, & sinistrum brachium permanserunt. Reliqua allevata sunt. 29 Omnia intelligebat. 30 Tres dies à febre libera mansit. 31 Undecima reversa est, superriguit, febris vehemens corripuit.

βε. 32 περὶ δὲ τεσσαρεσκαιδεκάτην ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχνα, 33 ἵδρωσεν, 34 ἄπυρος ἐκρίθη. 198

Ἄῤῥωστος τεσσαρεσκαιδέκατος. 199 2 Μελιδίη, ἣ κατέκειτο παρὰ τὸ τῆς Ἥρης ἱερὸν, ἤρξατο κεφαλῆς 200 καὶ τραχήλου καὶ στήθεος πόνος ἰσχυρός. 3 αὐτίκα δὲ πυρετὸς ὀξὺς ἔλαβε. 4 γυναικεῖα δὲ σμικρὰ ἐπεφαίνετο. 5 πόνοι τουτέων πάντων ξυνεχέες. 201 6 ἕκτη κωματώδης, ἀσώδης, φρικώδης, ἐρύθημα ἐπὶ γνάθου, 202 σμικρὰ παρέκρουσε. 7 ἑβδόμῃ ἵδρωσε, πυρετὸς διέλιπεν, οἱ πόνοι παρέμενον, 8 ὑπέστρεψεν, ὕπνοι σμικροί. 9 οὖρα διὰ τέλεος εὔχροα 203 μὲν, λεπτὰ δέ. 10 διαχωρήματα 204 λεπτὰ, χολώδεα, δακνώδεα, κάρτα ὀλίγα, μέλανα, δυσώδεα διῆλθεν. 11 οὔροισιν ὑπόστασις λευκὴ, λείη. 12 ἵδρωσεν. 13 ἐκρίθη τελέως ἑνδεκαταίη.

puit. 32 Circa decimamquartam vomuit biliosa, flava, satis multa: 33 sudavit. 34 A febre libera judicata est.

Ægrotus quartusdecimus. 2 Melidiæ, quæ decumbebat juxta Junonis templum, capitis & colli, & pectoris dolor fortis cœpit. 3 Statim autem febris acuta corripuit. 4 Menses pauci apparebant. 5 Dolores omnium 243 horum continui. 6 Sexta die, soporosa, anxia, horrida: rubor in maxilla: parum deliravit. 7 Septima, sudavit: febris dimisit: dolores permanebant: 8 rediit: somni pauci. 9 Urinæ perpetuo boni coloris, verum tenues. 10 Secessus tenues, biliosi, mordaces, valde pauci, nigri, graveolentes prodibant. 11 In urinis subsidentia alba, lævis. 12 Sudavit. 13 Judicata est perfecte undecima die.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ τὸ δεύτερον.

HIPPOCRATIS POPVLARIVM liber secundus.

Basil. græc. Foesius sect. VII. XI, 938. Basil. lat.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

pag 311 ΑΝΘΡΑΚΕΣ ἐν 1 Κρανῶνι θερινοί. 2 ὗεν ἐν καύμασιν ὕδατι λαύρῳ δι' ὅλου. 3 ἐγένοντο δὲ μᾶλλον νότω, 4 καὶ ἐπεγίνοντο μὲν ἐν τῷ δέρματι ἰχῶρες, ἐγκαταλαμβανόμενοι δὲ ἐθερμαίνοντο καὶ κνησμὸν ἐνεποίεον. 5 εἶτα φλυκταινίδες, ὥσπερ πυρίκαυστοι, ἀνίσταντο, καὶ ὑπὸ τὸ δέρμα καίεσθαι

SECTIO PRIMA.

CARBUNCULI in 1 Cranone æstivi. 2 pluebat in ardoribus aqua larga. 3 Contingebat hoc per totum, & maxime ab austro: 4 & subnascebantur quidem in cute sanies: dum autem intro concipiebantur, calescebant, & pruritum inducebant: 5 deinde pustulæ velut ab igne inustæ excitabantur; & sub cutem uri sibi videbantur,

θεῖ" ἐδόκεον. [6] ἐν καύμασιν ἀνυδρίαι. οἱ πυρετοὶ ἀνιδρῶτες τὰ πλεῖστα. [7] ἐν τούτοισι δὲ, ἢν ἐπιψεκάσῃ, ἱδρωτικώτεροι γίνονται κατ' ἀρχάς. [8] " ταῦτα δυσκριτώτερα μᾶλλον, ἢ ἄλλως. [9] ἀτὰρ ἧσσον, εἰ μὴ εἴη διὰ ταῦτα, ἀλλὰ διὰ τῆς νούσου " τὸν τρόπον. [10] " οἱ καῦσοι ἐν τῇσι θερινῇσι μᾶλλον γίνονται, ἢ ἐν τῇσιν ἄλλῃσιν ὥρῃσιν· ἐπιξηραίνονται δὲ μᾶλλον θέρεος.

[11] Φθινοπώρου μάλιστα " θηριώδεες, καὶ ἡ " καρδιαλγίη. [12] καίτοι καὶ αὐτὴ ἧσσον κακοεργός, αὐτοῦ τοῦ νοσήματος τοιούτου ἐόντος. [13] " αἱ ἀσκαρίδες δείλης, ὁμοίως τούτῳ. [14] καὶ ἐκεῖναι τηνικαῦτα ὀχλέουσι τῆς ἡμέρης τὰ πλεῖστα, " οὐ μόνον διὰ τὸ μᾶλλον ποιέειν, ἀλλὰ καὶ αὐταὶ διὰ σφᾶς ἑωυτάς. [15] " ἐν φθινοπώρῳ ὀξύταται νοῦσοι καὶ θανατωδέσταται " τὸ ἐπίπαν, ὁμοίως τῷ δείλης παροξύνεσθαι· [16] ὡς τοῦ ἐνιαυτοῦ περίοδον ἔχοντος τῶν νούσων, οἷον ἡ ἡμέρη τῆς νούσου. [17] " τοιοῦτον [τὸ] τῆς νούσου καὶ ἑκάστης καταστάσιος πρὸς ἀλλήλας, ὅταν μή τι νεωτεροποιηθῇ ἐν τῷ αὐτῷ εἴδει. [18] " εἰ δὲ μὴ, ἄλλης ταῦτα καταστάσιος αἱ ἀρχαί. [19] ὥστε καὶ τὸν ἐνιαυτὸν πρὸς ἑωυτὸν οὕτως ἔχειν.

[20] ἐν τοῖσι καθεστεῶσι καιροῖσιν ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν ἔτεσιν, εὐσταθέες καὶ εὐκρινέσταται αἱ νοῦσοι. [21] ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν ἀκατάστατοι καὶ δύσκριτοι. [22] ἐν γοῦν Περίνθῳ ὅταν τι ἐκλίπῃ ἢ πλεονάσῃ, ἢ πνευμάτων ἢ μὴ πνευμάτων, ἢ ὑδάτων ἢ αὐχμῶν, ἢ καυμάτων ἢ ψύ-

bantur, [6] in ardoribus ſiccitatis. Febres plerunque citra ſudorem. [7] In his vero ſi minutæ imbris guttæ deciderint, magis ſudatoriæ fiunt ab initio. [8] At hæc difficiliora judicatu manent, quam aliter. [9] Attamen minus, ſi non propter hæc fuerint, ſed propter morbi modum. [10] Febres ardentes ' in æſtivis magis fiunt, & in aliis temporibus: reſiccantur autem magis æſtate.

[11] Autumno maxime ferinum, & oris ventriculi dolor, [12] quamquam & ipſe minus maleficus fuerit, ipſo morbo tali exiſtente. [13] Aſcarides veſperi ſimiliter huic: [14] & illæ tunc infeſtant in die plerunque, non ſolum ideo quod magis affligunt, ſed etiam ipſæ per ſeipſas. [15] In autumno acutiſſimi morbi & maxime lethales: & omnino ſimilitudinem habent, eo quod veſperi exacerbantur: tanquam annus ipſe habeat circuitum morborum. [16] Quale eſt dies morbi, quale eſt veſpertinum tempus ad exacerbationem. [17] Tale eſt morbi, & uniuſcujuſque conſtitutionis inter ſe, ubi non quid in ſuperiori ſpecie fuerit innovatum [18] Sin minus, alia ſane conſtitutione hæc imperium obtinuerint. [19] Quare etiam annus ad ſeipſum hoc modo ſe habet.

[20] In quietis ac conſtantibus ' temporibus, & annis tempeſtive tempeſtiva præbentibus, boni ſtatus & judicatu facillimi morbi fiunt. [21] In inconſtantibus vero, inconſtantes, & qui difficulter judicantur: [22] quum ſane in Perintho defecerit aut abundaverit quid, ut aut venti ſint, aut non venti: aut aquæ, aut ſiccitates: aut ardores, aut frigo-

ψύξιων. 23 τὸ δὲ ἦαρ τὸ ἐπίπαν ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες.

24 "Πρὸς τὰς ἀρχὰς σκεπτέον τῶν 'νούσων, "εἰ αὐτίκα ἀνθεῖ. 25 δῆλον δὲ τῇ "ἐπιδόσει. 26 τὰς δὲ ἐπιδόσιας τῇσι περιόδοισι· 27 "καὶ αἱ κρίσιες ἐντεῦθεν δῆλαι· 28 καὶ τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισιν, εἰ ἐπὶ τὸ πρωϊαίτερον ἢ οὔ, καὶ εἰ ἐπὶ τὸ πλείονα χρόνον ἢ οὔ, καὶ εἰ μᾶλλον ἢ οὔ. 29 "πάντων δὲ τῶν ξυνεχέων ἢ διαλειπόντων ἢ χρονίων, καὶ τρωμάτων, καὶ "πτυέλων ὀδυνωδέων, καὶ φυμάτων φλεγμονῆς, καὶ ὅσα ἄλλα ἐπιφαίνονται ὕστερον. 30 "ἴσως δὲ καὶ ἄλλων πρηγμάτων κοινῶν τὰ μὲν θᾶσσον, βραχύτερα, τὰ δὲ 'βραδύτερον, μακρότερα, 31 καὶ "ἐν περιόδοισιν ἐπὶ τὸ πρωϊαίτερον, καὶ ἄλλης ἐπιδόσιος ἀπαυδώσης τῆς νούσου. 32 καὶ γὰρ τῶν παραχρῆμα ἀπολλυμένων "ταχύτεραι αἱ κρίσιες, ὅτι ταχέες οἱ πόνοι καὶ ξυνεχέες καὶ ἰσχυροί. 33 "τὰ δὲ κρίνοντα ἐπὶ τὸ βέλτιον, μὴ αὐτίκα ἐπιφαινέσθω.

34 "Τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. 35 "τὰ προκεκριμένα, ἢν ὠμῶς κριθῇ, ὑποστροφαί· ἢν δὲ μὴ, ἀκρισίαι. 36 γένοιτο δ' ἂν καὶ ὀλέθρια. 37 "τὰ μὴ σμικρὰ, ὅσα κρίσιμα σημεῖα 'γινόμενα, "τὰ αὐτά. 38 ταῦτα μὴ γινόμενα, δύσκριτα. 39 τὰ ἐναντία δὲ σημαίνοντα, κακόν· 40 οὐ μόνον, ἢν "παλινδρομέῃ, ἀλλὰ καὶ τῆς ἀρχαίης φύσιος τὰ

frigora. 23 Ver autem omnino saluberrimum, ac minime lethale.

24 Circa principia morborum 'considerandum, an statim florent. 25 Clarum autem hoc fit ex incremento. 26 Incrementa vero ex circuitibus: 27 & judicationes quoque hinc manifestæ fiunt, 28 itemque ex exacerbationibus in circuitibus, si citius accedant, aut non: & si diutius durent, aut non: & si magis affligant, aut non. 29 Ex omnibus autem continuis aut intermittentibus, & diuturnis, & vulneribus, & sputis, & doloribus. Itemque 'tuberculorum inflammationes, & quæcunque alia posterius apparent, 30 fortassis autem & ex aliis communibus rebus, quæ quidem citius fiunt, breviora sunt: quæ vero tardius, longiora: 31 quum etiam in circuitibus citiorem recursum, ac reliquum augmentum, morbus neget. 32 Nam & eorum qui statim pereunt, velociores sunt judicationes, quoniam & dolores, & continui ac fortes. 33 Quæ vero ad melius 'judicant, non statim apparent.

34 Judicatoria non judicantia, partim lethalia sunt, partim difficilis judicationis. 35 Quæ præjudicata sunt, si crude judicata fuerint, recidivæ fiunt: sin minus, judicationis impeditiones aut malæ judicationes. 36 Possunt etiam fieri perniciosa, 37 ea quæ non parva sunt. Quæcunque judicatoria signa fiunt, 38 eadem hæc si non fiunt, difficilis sunt judicationis. 39 Quæ 'vero contraria significant, malum: 40 non solum si recurrant, sed etiam primatiæ naturæ contraria repentia,

τὰ ἐναντία ῥέπονται, ὥσπερ καὶ τῶν κακῶν σημεῖον ἐπὶ τἀναντία ῥέπονται. 41 Θεωρεῖν δὲ οὕτω δεῖ, βρωμάτων, ξυμπιέσιων φλεβῶν, ὄγκων ὑποχονδρίων, ἀναῤῥοπέων, καταῤῥοπέων. 42 Πολλὰ δὲ καὶ τῶν τοιούτων· οἷον, ἀποφθειρουσέων οἱ τιτθοὶ συνισχναίνονται· οὐδὲ γὰρ ἐναντίον. 43 Αἱ δὲ βῆχες χρόνιαι, ὅτι ὄρχεος οἰδήσαντος παύονται. 44 Ὄρχιος οἴδησις ἀπὸ βηχέων, ὑπόμνημα κοινωνίης στηθέων, μαζῶν, γονῆς, φωνῆς.

45 Ἀποστάσιες ἢ διὰ φλεβῶν, ἢ δι' ὀστέων, ἢ νεύρων, ἢ δέρματος, ἢ ἐκτροπέων ἑτέρων. 46 Χρησταὶ δὲ αἱ κάτω τῆς νούσου· οἷον κιρσοὶ, ὀσφύος βάρεα ἐκ τῶν ἄνω. 47 Ἄρισται δὲ μάλιστα αἱ κάτω καὶ αἱ κατωτάτω κοιλίης καὶ προσωτάτω ἀπὸ τῆς νούσου, καὶ αἱ καθ' ἔκρυσιν· οἷον αἷμα ἐκ ῥινέων, πύον ἐξ ὠτὸς, πτύαλον, οὖρον, καθ' ἔκρυσιν. 48 Οἷσι μὴ ταῦτα, ἀποστάσιες· οἷον ὀδόντες, ὀφθαλμοὶ, ῥὶς, ἱδρώς. 49 Ἀτὰρ καὶ τὰ ὑπὸ δέρμα ἀφιστάμενα ἐς τὸ ἔξω φύματα· οἷον πανίαι, καὶ τὰ ἐκπυοῦντα, ἢ ἕλκος, καὶ τὰ τοιαῦτα ἐξανθήματα, ἢ λοποὶ καὶ μάδησις τριχῶν, ἀλφοὶ, λέπραι, ἢ τὰ τοιαῦτα, 50 ὅσα ἀποστάσιες μὲν εἰσιν ἀθρόως ῥέουσαι καὶ μὴ ἡμιῤῥόπως, καὶ ὅσα ἄλλα εἴρηται. 51 Καὶ ἢν μὴ ἀναξίως τῆς περιβολῆς τοῦ νόσου· οἷον τῇ Τημένεω ἀδελφιδῇ ἐκ νούσου ἰσχυρῆς ἐς δάκτυλον ἀπεστήριξεν· οὐχ ἱκανὸν δὲ δέξασθαι τὴν νοῦσον, ἐπαλινδρόμησε, [καὶ] ἀπέθανεν. 52 Ἀποστάσιες ἢ

pentia. Quemadmodum etiam malorum signum, ea quæ ad contraria repunt. 41 Considerare vero sic oportet, in cibis, compressionibus venarum, tumoribus præcordiorum, sursum vergentibus, deorsum vergentibus. 42 Sed & multa sunt ejuscemodi, velut abortientium mammæ graciles fiunt, neque enim contrarium est. 43 Neque tusses diuturnæ, quoniam ubi testis intumuit, cessant: 44 & testis tumor à tussi cessat & allevatur: quæ res commonefacit nos communionis pectorum, mammarum, genituræ, vocis.

45 Abscessus aut per venas, aut per ossa, aut nervos, aut cutem, aut alias emotiones. 46 Boni autem sunt qui infra morbum fiunt, velut varices, lumborum gravitates ex supernis. 47 Optimi vero potissimum sunt inferni, & longissime infra ventrem, & remotissimi à morbo: & qui per effluxionem fiunt, velut sanguis è naribus, pus ex aure, sputum, urina, quæ per effluxionem fiunt. 48 At abscessus quibus hæc non fiunt, sunt velut dentes, oculi, nasus, sudor. 49 Sed & quæ sub cutem abscedunt foras tubercula, velut putrescentia, & quæ suppurantur, aut ulcus, aut ejusmodi pustulæ, aut squamæ, aut defluvium capillorum, vitiligines, lepræ, aut ejusmodi 50 quæ abscessus sunt acervatim fluentes, & non semirepentes. & quæcunque alia dicta sunt: 51 & si non pro rationis excretionis morbi dignitate fiant, velut Temeni nepti, ex morbo forti ad digitum decubuit, qui quum non sufficeret ad suscipiendum morbum, recurrit; mortua est. 52 Abscessus aut

ἢ διὰ φλεβῶν, ἢ διὰ κοιλίης, ἢ διὰ νεύρων, ἢ διὰ δέρματος, ἢ κατὰ [τὰ] ὀστέα, ἢ κατὰ τὸν νωτιαῖον, ἢ κατὰ τὰς ἄλλας ″ ἐκροάς, στόμα, αἰδοῖον, ὦτα, ῥῖνας. 53 ″ ἐξ ὑστέρης ἐκλειπομένου τὰ τῶν κρίσεων τῇ ὑστεραίῃ ὡς ἐς τὴν ὀσφὺν, ἢ ἐς τὸν μηρὸν, ″ καὶ ἐς [τοὺς] ὄρχιας. 54 ἔστι δ' ὅτε ἐκ βηχέων, καὶ ὄρχις αὐτὸς ἐφ' ἑωυτοῦ. 55 βηχώδεες ἀποστάσιες, αἱ μὲν ἀνωτέρω τῆς κοιλίης, οὐχ ὁμοίως τελέως ῥύονται. 56 ″ αἱ μορραγίαι λάβροι ἐκ ῥινῶν ῥύονται πολλά· οἷον τῷ Ἡραγόρεω. 57 οὐ δ' ἐγίνωσκον οἱ ἰητροί.

58 ″ Τὰς φωνὰς οἱ τρηχέας φύσει ἔχοντες, καὶ αἱ γλῶσσαι ὑποτρηχέες. 59 καὶ, ὅσαι τρηχύτητες ὑπὸ νόσων, ὡσαύτως. 60 ″ αἱ μὲν ἔστι σκληραὶ τῇ φύσει, καὶ ἄνοσοι ταῦτ' ἔχουσιν. 61 αἱ δὲ μαλθακαὶ καὶ βραδύτεραι, ἐς ἁμαρτωλίην ἢ χρηστὸν, ἡ ἀρχαίη φύσις. 62 σκεπτέον καὶ τὰ ἀπὸ τῶν διαιτέων, τὰ μακροκέφαλα, καὶ μακραύχενα ἀπὸ τῶν ἐπικύψιων. 63 ″ καὶ τῶν φλεβῶν ἡ εὐρύτης ἀπὸ τοῦ αὐτοῦ, καὶ στενότητες, καὶ βραχύτητες καὶ λεπτότητες, ″ καὶ ἀπὸ τῶν ἐναντίων. 64 ὧν αἱ φλέβες εὐρεῖαι, καὶ αἱ κοιλίαι καὶ τὰ ὀστέα εὐρέα. 65 εἰσὶ δὲ οὗτοι οἱ λεπτοί· ″ οἱ δὲ πίονες τἀναντία τουτέων. 66 ″ καὶ ἐν τοῖσι λιμαγχικοῖσιν αἱ μετριότητες ἀπὸ τουτέων. 67 σκεπτέαι ″ αἱ προαυξήσιες ἑκάστω, ἃ μειοῦσι, καὶ αἱ μειώσιες, ἃ προαυξοῦσι, 68 καὶ τοῖσι προαυξήσεσιν ὁποῖα συμπροσαυξέεται, καὶ ὁποῖα συγκρατύνεται 69 ″ καὶ διασφάξιες ὁποῖαι κοιναὶ τῶν φλεβῶν.

70 ″ Αἱ τῶν ἥτρων ῥήξιες, αἱ μὲν ′ περὶ ἥβην, τὰ πλεῖστα ἀσι-

aut per venas, aut per alvum, aut per nervos, ′ aut per cutem, aut juxta ossa, aut secundum spinalem medullam, aut secundum alias effluxiones, os, pudendum, aures, 53 ex utero menses. Judicationes postridie fiunt, velut ad lumbos, aut ad femur, & ad testes. 54 Quandoque ex tussi, & testis ipse à seipso. 55 Tussiculosi abscessus, qui supra ventrem sunt, non similiter perfecte liberant. 56 Sanguinis eruptiones largæ ex naribus ′ plerunque liberant, velut Heragoræ, 57 quod medici non animadverterunt.

58 Qui voces asperas natura habent, his etiam linguæ subasperæ sunt, 59 & quæcunque asperitates à morbis similiter. 60 Quæ igitur duræ sunt linguæ à natura, etiam sine morbo hoc habent. 61 Molles vero tardiores sunt, & ad peccatum, & ad bonum, quam prior natura. 62 Consideranda sunt etiam longa capita, ex vivendi ratione, & ′ cervices longæ, ab inclinationibus: 63 & venarum amplitudo & crassitudo, ab eadem, & angustiæ, ac latitudines, & brevitates, ac tenuitates, ex contrariis. 64 Quorum venæ amplæ, & ventres, & ossa ampla, 65 hi sunt qui tenues sunt. Pingues vero his contraria habent: 66 & in his qui fame macerantur, mediocritates. 67 Ab his consideranda ea sunt quæ præpropera incrementa unicuique ′ detrahunt, & quæ diminutiones adaugent: 68 & ea quæ incrementa coadaugent, & quæ corroborant. 69 Et quæ sint communes venarum dissectiones.

70 Pectinum ruptiones quæ quidem circa pubem fiunt, ut pluri-

ἐοῦσαι τὸ παραυτίκα. 71 αἱ δὲ σμικρὸν ἄνωθεν τοῦ ὀμφαλοῦ ἐν δεξιοῖς, ὀδυνώδεες αὗται καὶ ἀσώδεες καὶ κοπριήμετοι· οἷον καὶ τῷ Πιττακῷ. 72 γίνονται δὲ αὗται ἢ ἀπὸ πληγῆς, ἢ σπάσιος, ἢ ἐμπηδήσιος ἑτέρου. 73 Οἷσι τὸ μεταξὺ τοῦ ἤτρου καὶ τοῦ δέρματος ἐμφυσᾶται καὶ οὐ καθίσταται, τὸ τῆς χροιῆς οἷον τὸ πολύχλωρόν τε, τὸ ἐκλευκόχλωρον, ὅτι ἀπὸ τοῦ ἥπατος πᾶν τὸ τοιοῦτον. 74 καὶ ἀπὸ τούτου ἡπατικὰ νοσήματα ἐν τούτοισι, καὶ ἴκτεροι οἱ ἀπὸ ἥπατος ἐς τὸ ὑπόλευκον, καὶ ὑδατούμενοι, καὶ οἱ λευκοφλεγματίαι. 75 οἱ δὲ ἀπὸ σπληνὸς μελάντεροι καὶ ὕδρωπες καὶ οἱ ἴκτεροι, καὶ αἱ δυσελκίαι. 76 τῶν ἐκλεύκων τῶν ὑποφακωδέων καὶ τὸ δέρμα καταρρήγνυται καὶ τὰ χείλεα· οἷος Ἀντίλοχος καὶ Ἀλεύας. 77 τὸ ἀπὸ τῶν χυμῶν τῶν ἐκ τοῦ σώματος τοῦ ἁλμώδεος, ὅτι ὑπὸ τὸ δέρμα μάλιστα καὶ ἀπὸ κεφαλῆς, ὅταν ἀπὸ τοῦ πλεύμονος διαθερμαίνηται. 78 Τὰς ἀφορμὰς, ὁπόθεν ἤρξατο κάμνειν, σκεπτέον, εἴτε κεφαλῆς ὀδύνη, εἴτε ὠτὸς, εἴτε πλευροῦ. 79 σημεῖον δὲ ἐφ' οἷσιν ὀδόντες, καὶ ἐφ' οἷσι βουβῶνες. 80 τὰ γινόμενα ἕλκεα καὶ κρίνοντα πυρετοὺς καὶ φύματα, οἷσι ταῦτα μὴ παραγίνεται, ἀκρισίαι. 81 οἷσι [δὲ] ἐγκαταλείπεται, βεβαιότεται ὑποστροφαὶ καὶ τάχισται. 82 τὰ ἄγαν διακεχυμένα καὶ ὑγρὰ κέγχρος στερεὸς ἐν ἐλαίῳ ἑφθὸς ἵστησιν· οἷον τὸ ναυτοπαίδιον καὶ ἡ Μυριοχαύνη.

plurimum statim sunt innoxiæ. 71 Quæ vero paululum supra umbilicum in dextra parte, hæ dolorosæ sunt & anxiosæ, & stercoris vomitum inducunt, velut etiam Pittaco accidit. 72 Fiunt autem hæ, aut à plaga, aut vulsura, aut alterius insultu. 73 Quibus id quod medium est inter abdomen & cutem inflatur, & non sedatur: color est velut qui multum pallidus est, & qui ex candicante pallet: quoniam omne hujusmodi ab hepate est, 74 & ex hoc sunt. hepatici in his morbi: & morbi regii ab hepate, ad subalbidum colorem vergunt: & qui ex aqua inter cutem, & ex pituita alba laborant. 75 Qui vero à splene sunt; tum hydropes, tum morbi regii, nigriores sunt. Sed & ulcera quæ ægre persananrur, 76 exalbidorum sunt, qui fere lentis colorem referunt: & cutis diffringitur ac labia, velut Antilochus habuit & Aleuas, 77 ab humoribus ex corpore salsuginoso, quod sub cute maxime, & à capite contingit, quum à pulmone fuerit calefactum. 78 Occasiones unde quis ægrotare cœpit, considerare oportet, sive capitis sit dolor, sive auris, sive lateris. 79 Signum autem sunt in quibusdam dentes, & in quibusdam inguinum tumores. 80 Ulcera oborientia ac judicantia febres, & tubercula: quibus hæc non fiunt, judicatio sublata est. 81 Quibus intus relinquuntur, certissimæ recidivæ ac celerrimæ. 82 Crudos ac liquidos secessus, milium solidum in oleo coctum sistit. Exemplo est nautæ puer, & Myriochaune.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

40 [1] Γυνὴ ἐπικαρδιάλγει καὶ ἐδὲν καθίστατο. [2] πάλην ἐς ῥοιῆς χυλὸν ἀλφίτων ἐπιπάσσουσα καὶ μονοσιτίη ἤρκεσε, καὶ οὐκ ἀνήμει, οἷα τὰ Χαρίωνος. [3] αἱ μεταβολαὶ ὠφελέουσιν, ἢν μὴ ἐς πονηρὰ μεταβάλλῃ. [4] οἷον ἀπὸ φαρμάκων ἐμέουσι πυρετῶν ἕνεκα. [5] αἱ ἐς ἀκρητέστερα τελευτῶσαι σῆψιν σημαίνουσιν· οἷον Δεξίππῳ.

[6] Ἡ Σεράπις ἐξ ὑγρῆς κοιλίης ᾤδησε. [7] κνησμοὶ δ' οὐκ οἶδα ποσταίη, οὐ πρόσω. [8] εἶχε δέ τι καὶ ἀπόστημα ἐν κενεῶνι, ὃ, περ μελανθὲν ἀπέκτεινε.

[9] Καὶ ἡ Στυμάργεω ἐκ 45 ταραχῆς ὀλιγημέρου πολλὰ στήσασα, καὶ παιδίου μεταστάσιν θήλεος ἀπὸ φθορῆς τετραμήνου ὑγιήνασα ᾤδησε.

[10] Μόσχῳ, λιθιῶντι ἰσχυρῶς, ἐπὶ τοῦ βλεφάρου τοῦ ἄνω κριθὴ ἐγένετο πρὸς τοῦ ὠτὸς μᾶλλον, ἔπειτα ἐξελκώθη ἔσω. [11] πεμπταίη καὶ ἑκταίη ἔσωθεν πύον ἐρράγη, τὰ κάτωθεν ἔλυσε, βουβῶν παρ' οὖς ἦν, καὶ κάτω ἐπὶ τοῦ τραχήλου κατ' ἴξιν τοῦ ἄνω βουβῶνος.

[12] Ὁ τῆς Ἀρισταίου γυναικὸς ἀδελφὸς χλιηνόμενος ἐταλαιπώρει ὁδῷ. [13] ἔπειτα ἐν κνήμῃ τέρμινθοι ἐγένοντο. [14] ἔπειτα ξυνεχὴς πυρετὸς ἐγένετο. [15] καὶ τῇ ὑστεραίῃ ἱδρὼς ἐγένετο, [ὃς] καὶ τὰς ἄλλας τὰς ἀρτίους ἐγένετο αἰεί· ἔτι δὲ ὁ πυρετὸς εἶχεν. [16] ἦν δὲ ὑπόσπληνος. αἱμορῥάγει

SECTIO SECVNDA.

1 Mulier cor, hoc eſt, os ventriculi dolebat, & nihil remittebat dolor. [2] Huic polentæ pollen in mali punici ſuccum inſperſus, & ſemel in die acceptus in cibo ſatis fuit, & non revomebat, velut Charioni contigit. [3] Mutationes proſunt, ſi non ad prava mutentur, [4] velut his qui à medicamentis vomunt febrium gratia [5] Fines in meraciora deſinentes, putrefactionem ſignificant, velut Dexippo.

[6] Serapis ex liquida alvo intumuit. [7] Pruritus autem haud ſcio quot diebus, non ultra. [8] Habebat autem & abſceſſum quendam in lateris mollitudine, qui nigrefactus occidit.

[9] Et Stymargi uxor ex ventris per paucos dies turbatione, ubi multum in ſiſtendo laboraſſet, & poſt pueri ſexus fœminei quadrimeſtris ex corruptione diſceſſum ſana facta eſſet, intumuit.

[10] Moſcho è calculo laboranti fortiter, in ſuperna palpebra hordeolum obortum eſt, magis ad aurem: deinde intro exulceratum eſt. [11] Quinta & ſexta die ex internis pus erupit. Infernas affectiones ſolvit. Glandularum tumor ac inflammatio circa aurem erat, itemque inferne in collo, è directo ſuperni tumoris.

[12] Ariſtæi uxoris frater fatigatus in via incaleſcebat: [13] deinde in tibia tumores fiebant terebinthi fructui ſimiles [14] Poſtea febris continua fiebat, [15] & poſtridie ſudor factus eſt, & aliis paribus diebus ſemper idem fiebat. Adhuc autem febris tenebat. [16] Erat autem ſublienoſus. Ex ſiniſtra

ῥάγη ἐξ ἀριστεροῦ· πυκνὰ καὶ κατ' ὀλίγον ἐκρίθη. 17 τῇ ὑστεραίῃ ἀριστερὸν παρ' οὖς οἴδημα. τῇ δὲ ὑστέρῃ καὶ παρὰ δεξιόν· ἧσσον δὲ τοῦτο καὶ ἐπιχλιαίνετο. ταῦτα καὶ ἐμαλάχθη καὶ οὐκ ἀπεπύησεν.

18 Ὁ παρὰ Ἀλκιβιάδεω ἐλθὼν ἐκ πυρετῶν ὀλίγων πρὸ κρίσιος ὄρχις ἀριστερὸς ᾤδησεν. 19 σπλῆνα δὲ μέγαν εἶχεν. 20 καὶ δὴ τότε ἐκρίθη ὁ πυρετὸς εἰκοστῷ. 21 ἠμέτει ὑπεχλιαίνετο ἄλλοτε καὶ ἄλλοτε, καὶ ἔπτυεν ὑπόχλωρον.

22 Ἡ χεὶρ ἡ δεξιή, σκέλος δὲ ἀριστερόν, ἐκ τῶν βηχωδέων βραχὺ οὐκ ἄξιον λόγου βηξάσῃ, παρελύθη παραπληκτικῶς, 23 ἄλλο δὲ οὐδὲν ἠλλοιώθη, οὔτε πρόσωπον, οὔτε γνώμην, οὐ μὴν ἰσχυρῶς ταύτῃ. 24 ἐπὶ τὸ βέλτιον ἤρξατο χωρέειν περὶ εἰκοστὴν ἡμέρην. 25 σχεδὸν ἐγένετο οἱ περὶ γυναικείων καταρρῆξιν, καὶ ἴσως τότε πρῶτα γενόμενα· παρθένος γὰρ ἦν.

26 Ἀπήμαντος, καὶ ὁ τοῦ τέκτονος παῖς, τὴν κεφαλὴν κατεαγότος, καὶ Νικόστρατος οὐκ ἐξέβησσον, ἦν δὲ ἑτέρωθι κατὰ νεφροὺς ἀλγήματα. 27 ἤρεον γὰρ αὐτοὺς αἰεὶ πληρεῖσθαι ποτοῦ ἢ σίτου.

28 Ὀδύνας τὰς ἰσχυροτάτας ὅτῳ τρόπῳ διαγνοίη ἄν τις ἰδών, ὁ φόβος, αἱ διαφυγαί, αἱ ἐμπειρίαι, καὶ αἱ δειλίαι. 29 ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον, αἰεὶ κουφότερον. 30 τὰ βρώματα καὶ τὰ πόματα πεῖραν δεῖ, εἰ ἐπὶ τὸ ἴσον μένει. 31 ῥητέον, ὅτι αἷμα ῥυὲν ἐκχλοιοῦται, καὶ ὅσα ἄλλα τοιαῦτα. 32 ὅτι πρὸς τὸ ὑγραίνειν, καὶ ξηραίνειν, καὶ θερμαίνειν, καὶ ψύχειν πολλὰ ἄν τις τοιαῦτα εὕροι. 33 τὸ ἑξηκονθήμερον ἀπόφθαρμα

sinistra nare sanguis erumpebat frequenter & paulatim. Iudicatus est. 17 Postridie iuxta sinistram aurem tumor. Sequenti die etiam circa dextram, sed hic minor: & insuper tepescebat. Hi euanuerunt, & non suppurati sunt.

18 Qui ab Alcibiade venit, ei ex febribus modicis ante iudicationem testis sinister intumuit. 19 Habebat autem splenem magnum: 20 & sane tunc iudicata est febris vigesima die: 21 deinde alias atque alias subincalescebat, & subfloridum spuebat.

22 Cuidam manus dextra, & crus sinistrum, quum ex tussi parum & nihil memorabile ejecisset, siderationis modo resoluta sunt: 23 alia vero nulla re alterata est, neque facie, neque mente: nec vero adeo fortiter illis partibus. 24 Cœpit ad melius procedere circa vigesimam diem. 25 Factum autem hoc est illi fere circa mensium eruptionem, & fortassis tunc primum apparebant. Erat enim virgo.

26 Apemantus & pater fabri illius qui caput fregit, & Nicostratus non extussiebant quicquam. Erant autem alibi circa renes dolores. 27 Interrogationes factæ sunt: dicebant ipsos semper repleri potu aut cibo.

28 Dolores fortissimos quo modo dignouerit quis conspicatus, fuga, tolerantiæ, experientiæ, & timiditates indicant. 29 Aqua quæ cito calescit, & cito frigescit, semper leuior est. 30 Cibi & potus experientia opus habent, an ad æqualitatem maneant. 31 Dicendum quod ubi sanguis effluxit, expallescunt, & quæcunque alia hujusmodi. 33 Abortus masculus sexa-

ginta

μα ἄρσεν. τόκων ἐν ἐπισχέσεσιν, ὑγιηρόν. 34 Ἡρακλεῖ ᾤδεε τοῦ κακοῦ ὀγδοαίῳ. 35 δυσεντεριώδης μᾶλλον, ὅστις ἄρα καὶ τεινεσμώδης. 36 Θηλαζούσῃ εἴτα ἐκθύματα ἀνὰ τὸ σῶμα πάντη εἶχεν· ἐπεὶ ἐπαύσατο θηλάζουσα, κατέστη θέρεος.

37 Τῇ τοῦ σκυτέως τεκούσῃ καὶ ἀπολυθείσῃ τελέως ἔδοξε τοῦ μὲν χορίου τι τὸ ὑμενῶδες ἀπέχειν· ἀπῆλθε τεταρταίη κακῶς· στραγγουριώδης γὰρ ἐγένετο. 38 αὐτίκα ξυλλαμβάνουσα ἔτεκεν ἄρσεν· πολλὰ δὲ ἔτεα ἤδη εἶχε τὰ ὕστερα, καὶ οὐδ' ἐπιμήνια ἦν. ὅτε τέκοι, διέλιπεν ἐπ' ὀλίγον ἡ στραγγουρίη.

39 Ἰσχίον δέ τις ἤλγει πρὶν ἴσχειν· ἐπεὶ δὲ ἔσχεν, οὐκ ἔτι ἤλγει. ἐπεὶ δὲ ἔτεκεν, εἰκοσταίη ἐοῦσα, αὖθις ἤλγησεν. ἔτεκεν οὖν ἄρσεν. 40 ἐν γαστρὶ ἐχούσῃ ἐν κνήμῃ κάτω δεξιῇ, ἢ τρίτῳ ἢ τετάρτῳ μηνὶ, ἐξανθήματα· 41 πρὸς ἃ τῇ μάννῃ χρώμεθα· καὶ ἐν χειρὶ δεξιῇ παρὰ μέγαν δάκτυλον. 42 οὐκ οἶδ' ὅ, τι ἔτεκε· κατέλιπον γὰρ ἑξάμηνον. ᾤκει δὲ, ὡς ἐγὼ οἶμαι, παρὰ Ἀρχελάου πρὸς τοῦ κρημνοῦ.

43 Ἡ Ἀντιγένεος ἡ περὶ τὸν Νικόμαχον, τέκε παιδίον, σαρκῶδες μὲν, ἔχον δὲ τὰ μέγιστα διακεκριμένα, μέγεθος δὲ ὡς τετραδάκτυλον, ἀνόστεον, ὕστερον δὲ παχὺ στρογγύλον. 44 αὕτη δὲ ἀσθματώδης ἐγένετο πρὸ τοῦ τόκου· ἔπειτα ἅμα τῷ τόκῳ πύον ἀνήμεσεν ὀλί-

ginta dierum, in partuum suppressionibus salubris. 34 Hercules intumescebat mali ipsius die octava. 35 Magis ex dysenteria laborat, quisquis sane etiam e tenesmo vexatur. 36 Quædam lactans pustulas per corpus ubique habebat. Postquam autem lactare cessavit, sedatæ sunt per æstatem.

37 Coriarii illius qui coriacea præparabat, uxori, quum peperisset & perfecte exoluta esset, visum est de secunda membranosum quiddam remanere: discessit autem quarta die male. Nam urinæ stillicidio vexabatur. 38 Statim concipiens peperit masculum. Habebat autem jam multos annos, & postremum neque menses prodibant. Quando autem peperisset, urinæ stillicidium paululum intermittebat.

39 Quædam priusquam conciperet, coxam dolebat. Postquam autem concepit, non amplius dolebat. Ubi vero peperit, vigesima rursus doluit. Peperit igitur masculum. 40 Prægnanti in tibia inferne dextera, tertio aut quarto mense pustulæ, 41 ad quas manna thuris utimur, itemque in manu dextera juxta magnum digitum: 42 haud scio an peperit, reliqui enim ipsam semestrem: habitabat autem velut ego puto, in ædibus Archelai ad rupem.

43 Antigenis uxor habitabat juxta Nicomachum, peperit puerum carnosum quidem, verum qui haberet maximas partes discretas, magnitudine vero esset quatuor digitorum, & sine ossibus: deinde crassus ac rotundus. 44 Hæc autem anhelosa erat ante partum: deinde simul cum partu pus revomuit modicum,

ὀλίγον ᾗ σεῖον ἐκ δοθιῆνος.

45 Θυγατέρας τεκούσης διδύμας καὶ δυστοκησάσης καὶ οὐ πάνυ καθαρθείσης ἐξῴδησεν ὑστέρη. 46 ἔπειτα ἡ γαστὴρ μεγάλη ἐγένετο, τὰ δ' ἄλλα ἐτακήθη. 47 καὶ ἐρυθρὰ ἦν μέχρι ἕκτου μηνός· ἔπειτα λευκὰ κάρτα πάντα ἤδη τὸν χρόνον. 48 πρὸς δὲ τὰ ἀφροδίσια οἱ ῥόοι ἐκώλυον, καὶ αἱ ἄκρητοι ἐρυθραὶ ἐπερρύησαν.

49 Τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη, πρόσθεν μηδέποτε γινομένη, σημεῖον χρηστόν· οἷον Δημαινέτῃ ἐγένετο. 50 ἴσως δ' ἐστὶ καὶ τεχνήσασθαι· καὶ γὰρ αἱ ταραχαὶ αἱ τοιαῦται ἀλλοιοῦσιν. 51 ἴσως δὲ καὶ ὀξυρεγμίαι λειεντερίην λύουσιν.

52 Ἰάθη ἐλλεβόρου πόσει Λυκίη, 53 τὰ ὕστατα σπλὴν μέγας καὶ ὀδύναι, 54 καὶ πυρετὸς, καὶ ἐς ὦμον ὀδύναι. 55 καὶ ἡ φλὲψ ἡ κατὰ σπλῆνα ἐπ' ἀγκῶνι ἐτέμνετο, καὶ ἔσφυζε μὲν πολλάκις. 56 ἔστι δ' ὅτε καὶ οὐκ ἐτμήθη, ἀλλ' ἅμα ἱδρῶτι διῆλθεν, ἢ αὐτόματον. 57 ἐξ οὗ δὲ ἰόντων ὁ σπλὴν τὰ δεξιὰ συνετείνετο, πνεῦμα ἐνεδιπλασιάζετο, οὐ μὴν μέγα παρεφέρετο, συνεστέλλετο. 58 φῦσα ἐνεοῦσα, οὐ διὰ κάτω οὐδὲν, οὐδὲ οὔρει. 59 ἀπέθανε πρὸ τοῦ τόκου. 60 τὰ ἀμφὶ φάρυγγα ἑτερόῤῥοπα ὁρμήσαντα οὐχ ἡλκώθη, ἐπὶ τὰ ἀριστερὰ μετῆλθεν. 61 ἐς σπλῆνα ὀδύνη ἦλθεν ἀκρίτως. 62 Ἱέρωνι ἐκρίθη πεντεκαιδεκαταίῳ. 63 τῇ Κῴου ἀδελφεῇ ἧπαρ ἐπήρθη

cum, velut ex furunculo vocato tuberculo.

45 Quæ filia peperit gemellas, & difficulter peperit, & non valde purgata est, tota intumuit: 46 deinde venter ipsi magnus fiebat. Reliqua vero reprimebantur: 47 & rubicunda prodibant usque ad sextum mensem: deinde alba valde per omne jam tempus. 48 Atque hæ fluxiones veneri officiebant, & mera rubicunda ipsi profluebant.

49 In diuturnis intestinorum levitatibus ructus acidus oboriens, antea nunquam factus, signum bonum, velut Demænetæ contigit. 50 Fortassis autem licet etiam arte parare. Nam turbationes ejusmodi alterant. 51 Fortassis autem & ructus acidi intestinorum lævitatem solvunt.

52 Sanata est veratri potione Lycia: 53 postremum splen magnus, & dolores, 54 & febris, & ad humerum dolores. 55 Et vena quæ in splene est, in cubito secabatur; & saliebat quidem sæpe. 56 Aliquando vero etiam non est facta, sed una cum sudore sanguis penetravit, aut sua sponte. 57 Ex quo autem prodibat, splen dextera parte intendebatur, spiritus intus duplicabatur, non tamen magnus: mente movebatur, contegebatur, 58 flatus inerat, non prodibat inferne quicquam, neque mingebat. 59 Mortua est ante partum. 60 Quæ circa fauces ad alterutram partem repentia processerunt, exulcerata non sunt, ad sinistra transiverunt, 61 ad splenem dolor venit citra judicationem. 62 Hieroni judicatio facta est decimaquinta die. 63 Coi sorori hepar elevatum est

θη σπληνικὸν τρόπον· ἀπέθανε δευτεραίη. 64 Βίων ἅμα τὸ οὖρον ὑπέρπολυ ἀνυπόστατον, καὶ αἷμα ἐξ ἀριστεροῦ. 65 ἦν γὰρ καὶ ὁ σπλὴν κυρτὸς καὶ σκληρὸς, καὶ ἄνω περιεγένετο· ὑποστροφή.

66 Ἦν δὲ τῶν κυναγχικῶν τὰ παθήματα τοιάδε. 67 τοῦ τραχήλου οἱ σπόνδυλοι ἔσω ἔρρεπον, τοῖσι μὲν ἐπὶ πλέον, τοῖσι δὲ ἐπ' ἔλαττον. 68 καὶ ἔξωθεν ἦν δῆλος κοῖλον ἔχων ὁ τράχηλος, καὶ ἤλγει ταύτῃ ψαυόμενος. 69 ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου ὀστοῦ, ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν· ἔστι δ' οἷσι καὶ πάνυ περιφερὲς μέζονι περιφερείῃ· εἰ μὴ ξὺν τῷ ὀδόντι καλεομένῳ. 70 φάρυγξ οὐ φλεγμαίνουσα, κειμένη δέ. 71 τὰ ὑπὸ γνάθους ὀγκηρὰ οὐ φλεγμαίνουσιν ἴκελα, οὐδὲ βουβῶνες οὐδενὶ ᾤδησαν. 72 ἀλλὰ φύσει μὲν καὶ γλῶσσαν οὐ ῥηϊδίως στρέφοντες, ἀλλὰ μείζων τε αὐτέοισιν ἐδόκει εἶναι καὶ προπετεστέρη, καὶ ὑπὸ γλώσσῃ φλέβες ἐμφανέες. 73 καταπίνειν δὲ οὐκ ἠδύναντο, ἢ πάνυ χαλεπῶς, ἀλλ' ἐς τὰς ῥῖνας ἐξέφευγεν, εἰ πάνυ ἐβίαζον. 74 καὶ διὰ τῶν ῥινῶν διελέγοντο. 75 πνεῦμα δὲ τουτέοισιν οὐ πάνυ μετέωρον. 76 ἔστι δ' οἷσι φλέβες αἱ ἐν κροτάφοισι καὶ ἐν κεφαλῇσι καὶ ἐπ' αὐχένι ἐπηρμέναι. 77 βραχὺ δέ τι τουτέων τοῖσι παλισκιάτοισι κρόταφοι θερμοὶ, εἰ καὶ τἄλλα μὴ πυρεταίνοιεν. 78 οὐ μάλα πνιγόμενοι οἱ πλεῖστοι, εἰ μὴ καταπίνειν προθυμέοιντο ἢ πτύαλον ἢ ἄλλο τι· οὐδ' οἱ ὀφθαλμοὶ ἐγκαθήμενοι. 79 οἷσι μὲν οὖν ἦν ἐς ὀρθὸν ἐξόγκωμα, μήτε ἐτερόρροπον· οὗτοι οὔτε παραπληκτικοὶ ἐγένοντο,

splenico modo. Mortua est secunda die. 64 Bion simul multum mingebat quod non subsidebat, & sanguis ex sinistra nare manabat. 65 Erat enim & splen sursum in gibbum elevatus, ac durus; superstes mansit: recidiva.

66 Erant autem anginosorum affectiones hæ. 67 Colli vertucula intro vergebant, quibusdam amplius, quibusdam prope. 68 Et collum forinsecus conspicuam cavitatem intro habebat, & hac parte ad contactum dolebat. 69 Erat autem & cuidam infra os dentis appellatum, quod non similiter acutum est: quibusdam vero etiam valde rotundum, majore circumferentia. Si non cum dente appellato, 70 fauces non inflammatæ, verum jacentes. 71 Partes sub maxilla tumidæ, non inflammatis similes. Neque glandulæ ulli intumuerunt: 72 sed magis secundum naturam: linguam non facile vertebant, ipsisque & major esse videbatur, & prominentior & sub lingua venæ conspicuæ: 73 deglutire non poterant, aut valde difficulter. Immo ad nares fugiebat, si valde cogerent: 74 & per nares loquebantur. 75 Spiritus autem his non valde sublimis. 76 Quibusdam vero venæ in temporibus, & in capitibus ac cervice elevatæ. 77 At recrudescentibus, ex his, parum quiddam tempora calida, etiamsi alias non febricitarent. 78 Non suffocabantur plurimi, nisi quum deglutire cupiebant, aut salivam, aut aliud quiddam. Neque oculi intus desidebant. 79 Quibus igitur tumor erat rectus, nec in alteram partem vergebat, hi neque leniter sideratorum

το, [οὔτε ἔθνησκον.] [80] ἀπελλύμενον. δὲ εἴπνα εἶδον, ἀναμνήσομαι ὡς δὲ οἶδα νῦν, περιεγένοντο. [81] ἦν δὲ τὰ μὲν τάχιστα ῥήξοντα, τὰ δὲ πλεῖστα καὶ ἐς τεσσαράκοντα ἡμέρας ἀφικνεῖ. [82] τούτω δὲ οἱ πλεῖστοι καὶ ἀπύρετοι. [83] πολλοὶ δὲ καὶ πάνυ ἐπὶ πουλὺν χρόνον εἶχόν τι μέρος τοῦ ἐξοιδήματος. [84] καὶ καταπόσεις καὶ φωνὴ ἐνσημαίνουσα, κίονές τε τηκόμενοι μινύθησίν τινα παρεῖχον πονηρὴν, οὐδὲν δοκέοντες κακὸν ἔχειν. [85] οἱ δὲ ἑτερόρροπα ἔχοντες, οὗτοι, ὁπόθεν αὖ ἐγκλιθείησαν οἱ σπόνδυλοι, ταύτῃ παρελύοντο, τὰ δ' ἐπὶ θάτερα εἵλκοντο. [86] ἦν δὲ ταῦτα ἐν προσώπῳ καταφανέα μάλιστα, καὶ τῷ στόματι, καὶ τῷ κατὰ γαργαρεῶνα διαφράγματι. [87] ἀτὰρ καὶ γνάθοι αἱ κάτω παρηλλάσσοντο κατὰ λόγον. [88] αἱ δὲ παραπληγίαι οὐ διὰ παντὸς τοῦ σώματος ἐγίνοντο, οἷον ἐξ ἄλλων, ἀλλὰ μέχρι χειρός. [89] τὰ ὑπὸ τοῦ κυναγχικοῦ πέπονα ἀνεπτύοντες, οὗτοι καὶ βραγχώδεες ἦσαν. [90] οἱ δὲ ἐς ὀρθὸν καὶ ἄπεπτον καὶ ξὺν πυρετῷ, οὗτοι πολλῷ μᾶλλον καὶ δύσπνοοι καὶ διαλεγόμενοι σιαλοχόοι. [91] καὶ φλέβες τουτέοισι μᾶλλον ἐπηρμέναι. [92] καὶ πόδες πάντων μὲν ψυχρότατοι, τούτων δὲ μάλιστα. [93] καὶ ὀρθοστάδην οὗτοι ἀδυνατώτεροι. [94] καὶ οἵτινες μὴ αὐτίκα ἔθνησκον. [95] οὓς δὲ ἐγὼ οἶδα, πάντες ἔθνησκον.

ratorum modo resolvebantur. [80] An vero aliquem periisse viderim, in memoriam revocabo. Quos autem nunc novi, superstites manserunt, [81] Erant autem partim celerrime allevantia. Plurima vero ad quadraginta dies devenieba̅t: [82] & in hoc plerunque etiam sine febre. [83] Multi vero etiam ad valde longum tempus, partem aliquam tumoris habebant. [84] Et deglutitio, & vox indicabat: & columellæ liquescentes significationem quandam pravam exhibebant, quamvis nullum gravius malum habere videbantur. [85] Qui vero tumores ad alteram partem vergentes habebant, hi unde verticula inclinata fuerunt, isthic resolvebantur. Atque inde ad alteram partem distrahebantur. [86] Erant autem hæc in facie maxime conspicua, & in ore & intersepto juxta gurgulionem. [87] Sed & maxime inferne pro ratione immutabantur. [88] Cæterum resolutiones leviter sideratorum modo, non per totum corpus fiebant veluti ex aliis, sed usque ad manum, [89] ab anginosa affectione. Atque hi & matura expuebant, eaque pauca ac difficulter. [90] Quibus autem in rectum tumor tendebat, itidem expuebant. Quibus vero, etiam cum febre, hi multo magis & difficulter spirabant, & aliena loquebantur, [91] & venæ his magis elevatæ. [92] Et pedes omnibus quidem frigidissimi erant, maxime autem his. [93] Et hi ad erecte standum impotentiores erant. [94] Et quidam non statim moriebantur. [95] Quos autem ego novi, omnes mortui sunt.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

1 Ἐς Πέρινθον περὶ ἡλίου τροπὰς ὀλίγον τὰς θερινὰς ἤλθομεν. 2 ἐγεγόνει δὲ ὁ χειμὼν εὔδιος [καὶ] νότιος. 3 τὸ δὲ ἔαρ καὶ τὸ θέρος πάνυ ἄνυδρον μέχρι πληϊάδων δύσιος. 4 εἰ γάρ τι καὶ ἐγένετο, ἦν οἷον ψεκάς. 5 καὶ ἐτησίαι οὐ κάρτα ἔπνευσαν· καὶ οἱ πνεύσαντες, διεσπασμένως. 6 τοῦ θέρεος καῦσοι ἐπεδήμησαν πολλοί. 7 ἦσαν δὲ ἀνήμετοι, καὶ κοιλίαι ταραχώδεες λεπτοῖσιν ὑδατώδεσιν ἀχόλοισιν· 8 ἐπ' ἀφρώδεσι πολλοῖσιν ἴσχοντα ἔστιν ὅτε καὶ ὑπόστασιν τεθέντα. 9 ἐξ οἵων δὴ καὶ ἐξαιθριαζόμενον τὸ ἴκελον. 10 ἴσα τῷ εἴδει διαχωρήματα διὰ παντὸς, κακόν. 11 ἐν τούτοισι πολλοὶ κωματώδεες ἦσαν καὶ παράφοροι. 12 οἱ δὲ ἐξ ὕπνων τοιοῦτοι ἐγίνοντο· ὅτε δὲ ἐγερθεῖεν, κατενόουν πάντα. 13 πνεύματα μετέωρα οὐ μὴν πάνυ. 14 οὖρα λεπτὰ μὲν τοῖσι πλείστοισι καὶ ὀλίγα, ἄλλως δὲ οὐκ ἄχροα. 15 αἱμορραγίαι ἐκ ῥινῶν οὐκ ἐγίνοντο, εἰ μὴ ὀλίγοισιν, οὐδὲ παρωτίδες· περὶ ὧν ὕστερον γράψω. 16 οὐδὲ σπλῆνες ἐπήροντο, οὐδὲ δεξιὸν ὑποχόνδριον οὐδ' ἐπώδυνον κάρτα οὐδ' ἐντεταμένον ἰσχυρῶς. 17 ἦν δέ τι συνσημαῖνον. 18 καὶ μάλιστα ἐκρίνετο πάντα, τὰ πολλὰ περὶ τεσσαρεσκαιδεκάτην, ὀλίγα ξὺν ἱδρῶτι, ὀλίγα ξὺν ῥίγει, καὶ πάνυ ὀλίγοισιν ὑποστροφαὶ ἐγίνοντο. 19 ὑπὸ δὲ τὰς ψεκάδας τὰς γενομένας ἐν τῷ θέρει ἐπιφαίνετο ἱδρώς. 20 ἐν τοῖσι πυρετ-

SECTIO TERTIA.

1 In Perinthum circa solstitium fere æstivum venimus, 2 facta autem est hyems clementi cœlo, austrina. 3 Ver & æstas valde sine aquis usque ad pleiadum occasum. 4 Nam si etiam quid aquæ cecidisset, id erat velut minutæ roris guttæ. 5 Et Etesiæ non valde spirarunt: & qui spirarunt, divulse id fecerunt. 6 Æstate febres ardentes populariter grassatæ sunt multæ. 7 Erant autem sine vomitu: & alvi turbatæ ex tenuibus, aquosis, non biliosis, 8 spumosis, multis, quæ aliquando deposita etiam subsidentiam habebant, 9 ex quibus sane etiam id quod sub dio noctu exponebatur, simile erat. 10 Æquales specie alvi secessus semper, malum. 11 In his multi soporosi erant, & mente moti: 12 hi vero ex somnis tales fiebant. Quum autem suscitati essent, omnia intelligebant. 13 Spiritus sublimes, non tamen valde. 14 urinæ tenues quidem plurimis & paucæ, alias autem non decolores. 15 Sanguinis eruptiones è naribus fiebant, nisi paucis: neque parotides juxta aures, de quibus postea scribam: 16 neque splenes attollebantur, neque dextrum præcordium, neque dolorosum valde, neque fortiter intentum erat. 17 Erat tamen quid quod judicationem faciebat, 18 Et maxime judicabantur omnia plerunque circa decimam quartam diem, pauca cum sudore, pauca cum rigore: & valde paucis recidivæ fiebant. 19 At vero sub minutas velut roris guttas quæ in æstate fiebant, apparebat sudor. 20 In febrici-tanti-

πυρέττουσι καί τινες αὐτίκα ἱδρῶτες ἐπ᾽ ἀρχῆς ἐγένοντο, οὐ μὴν κακοήθως καὶ τοῖσιν ὑπὸ τοῦτον τὸν χρόνον, καὶ ἐκρίθη ξὺν ἱδρῶτι. 21 ἐγένοντο καὶ ἐν τοῖσι θερινοῖσι πυρετοῖσι περὶ ἑβδόμην καὶ ὀγδόην καὶ ἐνάτην τρηχύσματα ἐν τῷ χρωτὶ κεγχρώδεα, [ἢ] τοῖσιν ὑπὸ κωνώπων γινομένοισι μάλιστα ἴκελα ἀναδήγμασιν, οὐ πάνυ κνησμώδεα. 22 ταῦτα διέμενε μέχρι κρίσιος. 23 ἄρσενι δὲ οὐδενὶ εἶδον τοιαῦτα ἐξανθήσαντα. 24 γυνὴ δὲ οὐδεμία ἀπέθανεν, ᾗ ταῦτα ἐγένετο. 25 βαρυήκοοι δὲ ἦσαν καὶ κωματώδεες. 26 πρόσθεν δὲ οὐ κάρτα ἦσαν κωματώδεες, ᾗσιν ἔμελλε ταῦτα ἔσεσθαι. 27 οὐ μὴν τὸ σύμπαν διετέλεον. 28 κωματώδεες δὲ καὶ ὑπνώδεες τὸ θέρος καὶ μέχρι πλειάδων δύσιος. 29 ὕστερα μὴν ἀγρυπνίαι μᾶλλον. 30 ἀτὰρ οὐδὲ τὸ σύμπαν ὑπὸ τῆς καταστάσιος ταύτης ἔθνησκον. 31 κοιλίην μὲν οὖν οὐκ ἐνεδέχετο οὐδὲ γενόμενον ἱστάναι, ἀλλὰ παρὰ λόγον ὥστε ἄν τις οἴοιτο ἰᾶσθαι ξυμφέρειν, καίτοι ὑπέρπολλά ἐστι. 32 οἷσι τὰ ἰόντα ἦν, τὸ ἐν ψύχει κεῖσθαι ὑποβεβλημένον. 33 ὡς ἑλκοῖ μὲν τὸ ψυχρὸν, θάλπει δὲ τὸ τοιοῦτον εἶδος ἐκ προαγωγῆς ἐστι μᾶλλον, ἐς τὸ μηδὲν τῇ φύσει πάθος γίνεσθαι. 34 ἐφ᾽ οἷσι δὲ καὶ ὁκοῖα τὰ σημεῖα πλέω ἢ μείω γενόμενα, χάσμη, βὴξ, πταρμὸς, σκορδινήματα, ἐρεύξεις, φῦσαι. 35 πάντα τὰ τοιαῦτα διαφθείρουσιν. 36 ἦσαν ἐν πυρετοῖσιν ἀσώδεσι φρικώδεσιν ἐρεύθονται πρόσωπα, κοπιώδεες, ὀμμάτων ὀδυνώδεες, καρηβαρίαι, παραπληγίαι. 37 καὶ γυναικεῖα ἦν ἐπιφαινη-

tantibus etiam quidam sudores statim ab initio fiebant, non tamen maligno modo: & 'quibusdam sub hoc tempus etiam judicatio facta est cum sudore. 21 Fiebant autem in febribus æstivis, circa septimam, octavam, & nonam diem, asprætudines in cute miliaceæ, culicum morsibus maxime similes, non valde pruriginosæ. 22 Hæ perseverabant usque ad judicationem. 23 Nulli equidem masculo tales erupisse vidi. 24 Mulier autem nulla mortua est, cui hæ fiebant. 25 Et gravi auditu 'præditæ & soporosæ erant: 26 Prius autem non valde soporosæ erant hæ, quibus illæ affuturæ essent. 27 Non tamen in totum durabant. 28 Verum soporosæ & somnolentæ erant per æstatem, & usque ad pleiadum occasum. 29 Postea vero magis vigiliæ aderant. 30 Sed neque in totum ab hac constitutione moriebantur. 31 Alvum igitur per cibos sistere non dabatur, imo præter rationem putasset 'quis mederi conducere etiamsi minus multa 32 quibusdam prodirent, per hoc quod in frigore quis jaceret strato supposito. 33 Nam ulcerat quidem frigidum, calefacit autem ejusmodi species sensim progrediendo adhuc magis, etiamsi nulla afflictio naturæ accedat: 34 & in quibus, & qualia signa, & plura aut pauciora contingentia, oscitatio, tussis, sternutatio, distentio cum oscitatione, eructatio, 'flatus: 35 omnia talia corrumpunt. 36 Quibus in febribus anxiosis, horridis, rubescunt facies, lassitudines, oculorum dolores, capitis gravitates, resolutiones leviter sideratorum modo, 37 & menses si appare-

φαίνηται· μάλιστα δὲ, ἦσι πρῶτον, ἀτὰρ καὶ παρθένοισι καὶ γυναιξὶν, ἦσι διὰ χρόνου, ἀτὰρ καὶ ἦσι μὴ ἐν ᾧ εἴθισται χρόνῳ, ἢ, ὡς δεῖ, ἐπιφαίνονται· ἔπειτα ἔξωχροι γίνονται. 38 μέγα δὲ ἐν ἅπασι τὸ καὶ ἑξῆς, καὶ ἐν ᾧ χρόνῳ, καὶ ἐφ' οἷσι, ὅλως οἷσι. 39 τοῖσι πάνυ χολώδεσιν ἐν πυρετοῖσι μάλιστα ἐπὶ σκέλεα ἡ κάθαρσις.

40 Φαρμάκων δὲ τρόπους ἴσμεν, ἐξ ὧν γίνεται ὁποῖα καὶ ὅσα. 41 οὐ γὰρ πάντες, ἀλλ' ἄλλοι ἄλλως σύγκεινται. καὶ ἄλλαι ὅτε πρωϊαίτερον ἢ ὀψιαίτερον ληφθέντα, καὶ οἱ διαχειρισμοί· 42 οἷον ξηρῆναι, ἢ κόψαι, ἢ ἑψῆσαι, καὶ τὰ τοιαῦτα. 43 ἐῶ δὲ τὰ πλεῖστα καὶ ὁκόσα ἑκάστῳ, καὶ ἐφ' οἷσι νοσήμασι, καὶ ὁπότε τοῦ νοσήματος, ἡλικίην, εἶδος, δίαιταν, ὁποίη ὥρη ἔτεος, καὶ ἥτις καὶ ὁκοίως ἀγομένη, καὶ τὰ τοιαῦτα.

44 Ζωΐλῳ τῷ παρὰ τὸ τεῖχος, ἐκ βηχὸς πεπείρης πυρετὸς ὀξὺς, καὶ προσώπου ἔρευθος, καὶ κοιλίη ἀπολελαμμένη, πλὴν πρὸς ἀνάγκην, πλευροῦ ὀδύνη ἀριστεροῦ, καὶ οὖς κατ' ἶξιν ὀδυνῶδες πάνυ, καὶ κεφαλὴ οὐ τοσοῦτο. 45 πτύων διὰ παντὸς ὑπόπυον ἐνόσει, ἀλλὰ τὰ ἄλλα ἐκρίθη. 46 καὶ κατὰ οὖς ἐῤῥάγη πύον πολὺ περὶ ὀγδόην ἢ ἐνάτην. 47 αἱ δ' ἀρχαὶ τῆς ἐνάτης ὀδύνης τοῦ ὠτὸς πέλος. 48 οὐκ οἶδ' ὅπως ἄνευ ῥίγεος ἡ κρίσις. 49 ἵδρωσε κεφαλὴν κάρτα. 50 καὶ αὐτὸς ἐμπεδούμενος ξύγκαυσις, καὶ ἀριστεροῦ πλευροῦ, ἄνω, ἅμα ὠτὶ, ἀνώδυνη, μάλιστα καὶ ἀμφὶ ὠμοπλάτην, ἀτὰρ καὶ ἔμπροσθεν. 51 πτύελα πολλὰ, καὶ ἀρχὰς πτυέν-

paruerint, maxime quibus primum, ſed & virginibus & mulieribus, quibus per tempus: ſed & quibus non in quo ſolet tempore, aut velut oportet apparent: deinde pallidæ fiunt. 38 Magnum autem in omnibus, id quod & conſequenter fit, & in quo tempore, & in quibus. 39 Valde bilioſis in febribus maxime, omnino quibuſdam ad crura purgatio.

40 Medicamentorum modos ſcimus, ex quibus qualia, & quæ fiunt. 41 Non enim omnes ſimiliter, ſed alii aliter componuntur. Et alibi citius, aut ſerius, in manuum tractationes aſſumunrur, 42 velut eſt aut ſiccare, aut tundere, aut coquere, & ejuſmodi. 43 Omitto plurima, quæ unicuique, & in quibus morbis, & quo tempore morbi, ætatem, ſpeciem, victum, qualis hora anni, & quæ, & qualiter procedat, & hujuſcemodi.

44 Zoilo juxta murum ex tuſſi matura, febris acuta, & faciei rubor, & alvus intercepta, præterquam ad neceſſitatem coacte, lareris ſiniſtri dolor, & auris è directo valde doloroſa, & caput non uſque adeo. 45 Spuens ſemper ſuppuratum ægrotabat. Sed alia judicata ſunt, 46 & juxta aurem pus multum erupit, circa octavam aut nonam diem. 47 Principia vero noni diei ex dolore auris. 48 Haud ſcio quomodo ſine rigore judicatio facta eſt. 49 Sudavit caput valde. 50 Et hic ſudor firmus erat, quod quidem ardor etiam ſiniſtri lateris eſſet. Superne una cum aure dolor ſedatus, maxime circa ſcapulas. Sed & ante 51 ſputa multa, ab initio florida reje-

πτυάλῳ ἀνθηρῷ, καὶ ἀμφὶ ἑβδόμην ἢ ὀγδόην, ἔπεστι ἐπίπονα. 52 κοιλίη ἐπέσχε μέχρις ἀμφὶ ἐνάτην. 53 ἀμφὶ δεκάτην δ' ἡ ὀδύνη ἀπέσβη, οἴδημα ἀνῆκε, καὶ ἱδρῶτες ἐγένοντο· οὐ μὴν ἔκρινε. 54 δῆλα δὲ ἦν καὶ ἄλλοισι καὶ τῇ ἐξόδῳ. 55 περὶ γὰρ ἀρχομένην τὴν τοῦ ὠτὸς ὀδύνην καὶ ἡ γαστὴρ ἐπεταράχθη. 56 ἐρράγη δὲ ἐκ τοῦ ὠτὸς ἐνάτῃ, καὶ ἐκρίθη τεσσαρεσκαιδεκάτῃ ἄνευ ῥίγεος ἡ νοῦσος. 57 ἀτὰρ τῇ αὐτῇ ἡμέρῃ καὶ τὸ πτύαλον λαμπρότερον ἦν, ἐπεὶ τὸ οὖς ἐρράγη καὶ πεπειρότερον. 58 ἱδρῶτες δὲ καὶ ἕρπης ἐπὶ πουλὺν χρόνον τῆς κεφαλῆς ἐγίνοντο· ἐξηράνθη [δὲ] ὡς τρίτη. 59 ὁπόσα ἀσήμως ἀφανίζεται, δυσκριτώδεα· οἷον καὶ τῇ τοῦ Πολεμάρχου παιδίσκῃ ἐρυσίπελας.

60 Οἱ ἐπὶ βουβῶσι πυρετοὶ κακοὶ, πλὴν τῶν ἐφημέρων. 61 καὶ οἱ ἐπὶ πυρετοῖσι βουβῶνες, κακίονες, ἐν τοῖσιν ὀξέσιν ἐξ ἀρχῆς παρακμάσαντες. 62 τὸ πνεῦμα ὑποχονδρίοισιν ἔπαρσις μαλθακή. 63 καὶ ἔντασις οὐδετέρη ἐπ' αὐτῶν, ἄνω στρογγύλον ἐν τοῖσι δεξιοῖσι, οἷον περιφέρεια ἀποπυητική. 64 ἄλλο μακρότερον ἐπὶ πλέον, ἄλλο κεχυμένον, ἄλλο κάτω ῥέπον, καὶ ἔνθεν καὶ ἔνθεν ξυνώσιος μέχρι τοῦ ὀμφαλοῦ. 65 ἐν πάσῃ τῇ ἄνω ἕξει, ἢν ἐπανέλθῃ καὶ ἐπανέλθῃ ἐς τὸ περιφερὲς, ἢν μὲν πνεῦμα ᾖ, ἀκρίτως λεπτύνεται θέρμη. 66 ἢν δὲ τοῦτο διαφύγῃ, ἐς ἐμπύησιν ὁρμᾷ. 67 πυκνὰ πνεύματα, σμικρὰ, μεγάλα, ἀραιὰ, ἔξωθεν ἔξω μέγα, ἔσω σμικρὸν, τὸ μὲν

rejecta, & circa septimam aut octauam diem. Deinde laboriosa. 52 Aluus restitit usque ad nonam 53 & decimam diem. Dolor extinctus est. Tumor remittebat, & sudores fiebant parui, non autem judicabant. 54 Manifesta autem erant hæc tum ex aliis, tum ex secessu. 55 Nam incipiente auris dolore, etiam venter turbatus est. 56 Erupit autem ex aure nona die, & judicatus est morbus decima quarta sine rigore 57 eadem die. Sed & sputum largius ibat, & maturius, postquam auris erupit. 58 Sudores autem, & serpentia ulcuscula ad multum tempus, in capite fiebant. Resiccata sunt tertia die. 59 Quæcunque sine signo judicationis judicatorio dispatent, male judicata sunt, velut erysipelas ancillæ Polemarchi.

60 In glandularum tumoribus febres, malum, exceptis diariis. 61 Et in febribus glandularum tumores, deteriores, qui in acutis ab initio vigorem remiserunt. 62 Spiritus, præcordiis elevatio mollis, 63 & intentio neutra, in ipsis superne rotundum, in dextris velut circumferentia suppuratoria, 64 aliud longius magis, aliud diffusum, aliud deorsum repens, & hinc atque hinc distentio usque ad umbilicum. 65 In omni sursum versus è directo latione si revocetur, & in rotunditatem concludatur, quatenus quidem spiritus fuerit, citra judicationem calor attenuatur. 66 Si vero hunc effugerit, ad suppurationem procedit. 67 Spiritus densi, parui: magni, rari: parui, rari: extra magnus, intra paruus, alius quidem extendens, alius

μένον ἐκλεῖπον, τὸ δὲ κατεπεῖγον. 68 διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσιν ἐν θερμῷ ψυχρόν. 69 ἐπίκελον ξυνεχέων χασμέων, μακρόπνους. 70 ἐν τοῖσιν ἀπότοισι, καὶ μόγις πίνουσι, βραχύπνους.

71 Καὶ ἴξιν, καὶ πλευρέων ἔντασις ὀδυνώδης, καὶ ἐντάσιες ὑποχονδρίων, καὶ σπληνὸς ἐπάρσιες, καὶ ἐκ ῥινῶν ῥήξιες. 72 τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν ὑποστροφώδεα. 73 τὸ γὰρ πρῶτον σπληνῶν ἐπάρσιες, ἢν μὴ ἐς ἄρθρα τελευτήσῃ, αἱμοῤῥαγίη γίνεται, 74 ἢ ὑποχονδρίου δεξιοῦ ἔντασις, ἢν μὴ διεξοδεύσῃ οὖρα. 75 αὕτη γὰρ ἡ κατάληψις ἀμφοῖν καὶ ὑποστροφαί. 76 ἀποστάσιας δὲ ποιέεσθαι αὐτῶν μὴ γινομένας· 77 τὰς δὲ παρακλίνειν ἤδη γινομένας· τὰς δὲ ἀποδέχεσθαι, ἢν ἴωσιν ἤδη, καὶ ὁποῖα δεῖ. 78 ὁκόσαι δὲ μὴ σφόδρα, ξυνδρᾷν. 79 τὰς δ' ἀποτρέπειν, ἢν πάνυ ἀσύμφοροι ἔωσι. 80 μάλιστα δὲ ταύτας μελλούσας· εἰ δὲ μὴ, ἄρτι ἀρχομένας. 81 αἱ τεταρταῖαι αἱμοῤῥαγίαι δύσκριτοι. 82 οἱ διαλείποντες μίαν τῇ ἑτέρῃ ἐπιῤῥιγέουσιν ἅμα κρίσει ἐς ἑβδόμην.

83 Σκόπῳ ἐκ κορυζωδέων χολωδέων καὶ φάρυγγος φλεγμονῆς φλαύρως διαιτηθέντι ἡ κοιλίη ἀπελήφθη, 84 καὶ πυρετὸς ξυνεχὴς ἐγένετο, καὶ γλῶσσα ἐξανθὴς, καὶ ἄγρυπνος. 85 ἥτρου ἔντασις ἰσχυρῶς ὁμαλῶς κατὰ σμικρὸν ἐς τὸ κάτω ἐν τοῖσι δεξιοῖσι. 86 πνεῦμα ὑπόπυκνον. 87 ὑποχόνδρια ἤλγει, καὶ ἀναπνέων, καὶ στρεφόμενος. 88 ἄνευ δὲ βηχὸς ἀνεχρέμπτετο ὑποπαχέα. 89 πέπλος δοθεῖσα ἀπὸ

alius vero urgens: 68 dupla intro revocatio, velut superinspirantibus: calidus, frigidus. 69 Medela assiduarum oscitationum spiratio longa. 70 Non potantibus, & vix, spiratio brevis.

71 E directo etiam laterum intentio dolorosa, & præcordiorum intentiones, & splenis elevationes, è naribus eruptiones. 72 Quæ relinquuntur post judicationem, recidivas facere solent. 73 Primum itaque lienis elevationes, si non ad articulos finierint, sanguinis è naribus eruptio fit, 74 aut præcordii dextri intentio, si non penetraverint urinæ. 75 Hæc enim est interceptio utrorunque, & recidivæ horum merito fiunt. 76 Abscessus igitur horum facere oportet si non fiant: eos vero qui jam fiunt declinare. 77 Eos autem excipere, si prodierint jam, & qualia oportet, & qua parte oportet. 78 Qui vero non valde, eos coadjuvare. 79 Eos vero avertere, si omnino incommodi fuerint, 80 maxime si hi affuturi sunt: sin minus, si jam veniunt. 81 Quarta die, contingentes sanguinis è naribus eruptiones ægre judicant. 82 Febres quæ una die intermittentes, altera superrigent, una cum judicatione, ad septimum circuitum durant.

83 Scopo ex mucosis, biliosis, & faucium inflammatione, malo victu uso alvus suppressa est, 84 & febris acuta facta, & lingua florida, & vigil sine somno. 85 Pectinis intentio fortiter, æqualiter, paulatim ad infernam partem in dextris. 86 Spiritus subdensus 87 præcordia dolebat, & respirans, & quum verteretur. 88 Sine tussi vero exscreabat subcrassa. 89 Peplus ipsi data, à præ-

ἀπὸ τοῦ ὑποχονδρίου μὲν ἀπῶσεν, ''ἐπεραιώθη δὲ οὐδέν. [90] τῇ δὲ ὑστεραίῃ βάλανοι δύο προστεθεῖσαι οὐκ ἐφάνησαν. [91] οὖρον δὲ παχὺ καὶ θολερόν, ὑπόστασις λείη καὶ ὁμαλή. [92] καὶ ἔστη κοιλίη ἐν θολερότητι, ἦν τε γαστὴρ μαλακωτέρη ἦν, καὶ [ὁ] σπλὴν ἐπηρμένος καὶ κατάρροπος ἐγένετο. [93] ποτῷ ἐχρῆτο ὀξυγλυκεῖ. [94] δεκάτῃ αἷμα ἐξ ἀριστερῆς ὑδαρὲς ὀλίγον ἦλθεν· οὐ πάνυ δέ τι ἄρρωστος αὐτὸ τοῦτο, [95] καὶ οὖρον ὑπόστασιν ἔχον· ἐν δὲ τῇ ὑποστάσει ὑπόλευκόν τι προσεχόμενον πρὸς 'τῷ ἀγγείῳ λεπτόν, οὔτε οἷον γονοειδές, οὔτε ἀνόμοιον, ἐρρύη [δὲ] τοῦτο βραχύ. [96] τῇ δὲ ὑστεραίῃ κριθείς, ἀπύρετος. [97] καὶ ὑπῆλθεν ὑπόγλισχρον τῇ ἑνδεκάτῃ· τὸ δέ τι περὶ ῥοῦν χολῶδες. [98] οὔρου δὲ κάθαρσις πολλὴ καὶ πλήθει καὶ ὑποστάσει, καὶ, 'πρὶν μὲν οἰνοποτέειν ἤρξατο, μικροῦ ''λάπη ὁμοίη. [99] ''διῆλθε δὲ τῇ δωδεκάτῃ, ὡς ὀλίγων ἐόντων, γλίσχρα καὶ κοπρώδεα θολερά. [100] τὸ δὲ τοιοῦτον ἐκρισίμως· ὅτι καὶ τὸ Ἀντιγένεος ἐν Περίνθῳ. [101] ''τὰ περὶ τὰς γλώσσας αἰρόμενα ξυστρέμματα 'καὶ ταπεινὰ ἐόντα, λιθίδια. [102] καὶ τὰ τοῖσι ποδαγρικοῖσιν ἀσθενέα περὶ ἄρθρα ἐκείνων ἐστί. [103] καὶ γὰρ ἡ ὀστέων φύσις καὶ τοῦ σκληρύνεσθαι τούτοις αἴτιον, καὶ τοῦ ξυντείνεσθαι.

[104] '' Τὸ τῆς Ἱπποστράτου ἐκ τεταρταίου ἐνιαυσίου ἀποκορύφωσις, [105] ὑπόψυχρος φανερῶς δοκέουσα ἔφοδος ἐπὶ πᾶν τὸ σῶμα καὶ ἱδρὼς ἐκρίθη τοιούτῃ· [106] καὶ μετὰ ταῦτα γυναικεῖα πλείω πλήθει καὶ χρόνῳ. [ἐς] τότε

præcordio quidem depulit, transivit autem nihil. [90] Postridie glandes duæ appositæ non apparuerunt. [91] Urina crassa & turbata. 'Subsidentia lævis & plana: [92] & restitit alvus in turbulentia, venterque mollior erat. Et splen elevatus, & deorsum vergens factus est. [93] Potu utebatur aceto mulso dulci, aut favorum cremore cocto. [94] Decima sanguis ex sinistra nare aquosus paucus venit: non autem valde infirmus erat ob hoc ipsum: [95] & urinæ subsidentiam habens. In subsidentia vero subalbum quiddam adhærens vasi, tenue, neque 'genituræ simile, neque dissimile. Defluxit hoc brevi. [96] Postridie judicatus est, à febre liber, [97] & subiit subviscosum undecima die. Hoc vero circa defluxum erat quid biliosum. [98] Urinæ vero purgatio multa, tum copia, tum subsidentia: & priusquam vinum bibere inciperet, fere pituitæ similis. [99] Penetravit autem undecima die, ut quæ non esset multa. Viscosa vero erant stercora & turbata. [100] 'Hujusmodi autem judicatorio modo fiebat. Nam & Antigenis in Perintho tale erat. [101] Quæ circa linguas elevantur collectiones, & humiles calculi, [102] & quæ podagricis fiunt, circa debiles illorum articulos sunt. [103] Nam ossium natura causa est, ut hæc & indurentur, & distendantur.

[104] Collectio Hippostrati uxori ex quartana annua ad fastigium elevata, [105] quum subfrigida palam esse 'videretur, impetus in totum corpus factus est, & sudor: judicata est hoc modo: [106] & postea menses plures copia & tempore. Tunc enim suppressi fuerant.

τότε γὰρ ἀπεῖχε. 107 μὴ ἑςάναι ἔδοξεν ἀπόστασις. 108 ἐν τοῖσι σφύζουσιν αἱμοῤῥαγέσι σχῆμα εὐρύ τε ὂν, καὶ τὸ ξύμπαν, εἰ ἐκ τοῦ πάνυ κατάντεος ἄναντες ποιοῦντα. 109 διὸ καὶ αἱ ἀποδέσιες, αἱ ἐν τῇσι φλεβοτομίῃσιν ὁρμῶσιν, αἱ δὲ ἰσχυραὶ κωλύουσιν αἷμα. 110 τὸ ἔναιμον καὶ τὸ ὑπόχολον ὀξυρεγμιῶδες· ἴσως δὲ ἐς μελαγχολικὰ τούτοισι τελευτᾷν. 111 ῥίγεα ἄρχεται γυναιξὶ μὲν μᾶλλον ἀπὸ ὀσφύος διὰ νώτου ἐς κεφαλήν. ἀτὰρ καὶ ἀνδράσιν ὄπισθεν μᾶλλον, ἢ τὰ ἔμπροσθεν τοῦ σώματος· οἷον [ἀπό τε] πηχέων [καὶ] μηρῶν. 112 ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν. δηλοῖ δὲ ἡ θρὶξ τῶν ζώων.

113 Ἧσιν οὐδὲν ἔσω τοῦ τεταγμένου, ἑκάστῃσι τὰ τικτόμενα ἀπόγονα γίνεται. 114 τὰ ἐπιφαινόμενα ἐν οἷσι μησὶ γίνεται. 115 οἱ πόνοι ἐν περιόδοισιν. 116 ὅ,τι ἐν ἑβδομήκοντα κινέεται, ἐν τριπλασίοισι τελέεται. 117 ὅ,τι μετὰ γυναικεῖα [τὰ μὲν] δεξιὰ, τὰ δὲ ἀριστερὰ χάσκει, [ὅτε μὲν ἄῤῥεν, ὅτε δὲ θῆλυ γίνεται.] 118 ὑγρότης διὰ τῶν ἀπιόντων, δίαιτης ξηροτάτης. 119 ὅ,τι [τὸ] θᾶσσον διακριθὲν, κινηθὲν αὖθις αὔξεται βραδύτερον. 120 ἐπὶ πλέονα χρόνον οἱ πόνοι περὶ τρίτην ἡμέραν περὶ τῇσι πεντήκοντα καὶ περὶ ἕκτην περὶ τῇσιν ἑκατόν· μηνιαῖοι, δευτεραίῳ καὶ τεταρταίῳ. 121 ἃ δεῖ εἰδέναι ἐς τὸν ἑπτάμηνον, ἢ ἀπὸ γυναικείων ἀριθμητέοι οἱ ἐννέα μῆνες, ἢ ἀπὸ τῆς ξυλλήψιος, καὶ ἐν ἑβδομήκοντα καὶ διηκοσίῃσιν οἱ ἑλληνικοὶ μῆνες γίνονται· καὶ εἴ τι περαιτέρω τούτοισι· καὶ ἤτοι τοῖσιν ἄρσεσιν ἢ καὶ τῇσι θηλείῃσι ταῦτα ποιέεται, ἢ τἀναντία. 122 τῶν βρωμάτων καὶ πομάτων οἱ ὦμοι καὶ οἱ μαστοὶ ἐμφυσῶνται. 123 καὶ τούτων

fuerant. 107 Abscessus non consistere visus est. 108 In pulsantibus sanguinem fundentibus figura ampla, & in totum si ex omnino declivi acclive fiat. 109 Quapropter etiam deligationes in venarum sectionibus impetum faciunt: fortes vero sanguinem impediunt. 110 Sanguineum & subbiliosum, ructum acidum facit. Fortassis autem ad atræ bilis morbum his desinet. 111 Rigores incipiunt mulieribus quidem magis à lumbis, per dorsum ad caput. Sed & viris posteriore corporis parte magis quam anteriore, velut cubitis, femoribus. 112 Sed & cutis rara. Indicat autem pilus animantium.

113 Quibus nihil intra constitutum tempus accidit, singulis partus vitales fiunt. 114 Apparentia in quibus mensibus fiunt. 115 Labores in circuitibus. 116 Quicquid in septuaginta movetur, in triplicitatibus perficitur. 117 Post menses, dextera & sinistra hiant. 118 Humiditas per prodeuntia, requirit diætam siccissimam. 119 Quod citius motum est ac discretum, rursus augescit etiam tardius, & ad longius tempus. 120 Labores, circa quinquagesimum tertium diem, & circa centesimum sextum. Labores tertio, quinto, septimo, nono mense, & secundo, ac quarto. 121 Quæ nosse oportet ad septimum mensem, aut à mensium fluxu numerandi sunt novem menses, aut à conceptione: & ad septuaginta ac ducentos dies Græci menses fiunt: & si quid amplius ultra hos est, & aut masculis, aut etiam fœmellis, hæc fiunt, aut contraria. A cibis & potibus humeri ac mammæ inflantur: 123 & impotentiæ,

τῶν ἐν ἀκρησίῃ καὶ τὰ ἐμφυσήματα ποιέουσιν ἐν τῇ κεφαλῇ αὐξήσιας, ἕως τ' ἂν τὰ ὀστέα στερεωθῇ. [124] τῶν ἐπιμηνίων περίοδος. [125] τὰ [γὰρ] περὶ τούτων βαρέα ἀδελφὰ τῶν ὀκταμηνιαίων πόνων. [126] πρωτοτόκοισι τὸ γάλακτα, τῆς μὲν τροφῆς μεταβαλλούσης, τῆς δὲ ὀκταμήνου ἀπαρτιζούσης. [127] διὸ τὰ ἐπιμήνια ἀδελφὰ τῶν ὀκταμήνων πρὸς δεκάμηνον τεινόντων γινόμενα, κακόν.

[128] Τραυμάτων ἢν ἰσχυρῶν ἐόντων οἴδημα μὴ φαίνηται, μέγα κακόν· τὰ χαῦνα, χρηστόν· τὰ ἄνω νεμόμενα, κάκιον. [129] οἷσιν οἰδήματα ἐφ' ἕλκεσι [φαίνεται ;] οὐ μάλα σπῶνται, οὐδὲ μαίνονται. [130] τουτέων δὲ ἀφανισθέντων ἐξαίφνης, οἷσι μὲν τὰ ὄπισθεν, σπασμοὶ μετὰ πόνων· [131] οἷσι δὲ ἐς τοὔμπροσθεν, ἢ μανίαι, ἢ ὀδύναι πλευρῶν ὀξεῖαι, ἢ δυσεντερίη, [ἢν] ἐρυθρὰ ᾖ τὰ οἰδήματα. [132] [οἰδήματα] παραλόγως ῥηΐζοντα, κίνδυνον· οἷον τῷ τοῦ Ἀνδρονίκου παιδίῳ τὸ ἐρυσίπελας ὑπαλινδρόμησεν· [133] ἢν μὴ ἐς τὸ αὐτὸ ἐλθόντα, χρηστόν τι σημαίνει. [134] τοῦτο ἐκ τῆς γενεᾶς περὶ τὸ ἐς πουβὰ ἧβην διεδόθη. [135] ἑτέρῳ τριταίῳ ἐκ γενεῆς γενομένῳ ὑπεπύησεν ἐνναταίῳ. ἐγίνετο [δὲ] ἔτος ἑβδομαῖος ὑγιής. [136] κακοηθέστερα τὰ ἀφανιζόμενα ἐξαίφνης.

tentiæ, & inflationes in capite incrementa faciunt, donec offa fuerint solida facta. [124] Menstruarum purgationum circuitus est. [125] Quæ ante has fiunt gravitates, similes sunt laboribus octimestribus. [126] Primipararum lac, alimento quidem transmutationem accipiente, octimestri vero perficiente. [127] Menstruæ purgationes similes octimestribus, in tendentibus ad decimum mensem contingentes, malum.

[128] Si in vulneribus fortibus, tumor non appareat magnus, malum. Laxi, bonum: sursum pascentes, pejus. [129] Quibus tumores in ulceribus, non valde convelluntur, neque insaniunt. [130] His antem derepente dissipatis, quibus quidem ad posteriores partes, convulsiones cum doloribus, [131] quibus autem ad anteriores, aut insaniæ, aut dolores lateris acuti, & dysenteria rubra. [132] Tumores præter rationem allevantes, pravum: velut Andronici filio erysipelas recurrit: [133] si non ad eundem locum rediens, bonum quid significet. [134] Hoc ex nativitate circa aurem, ad pubem distributum est. [135] Alteri tertia, ex nativitate die factum, suppuratum est nona. Hic septima die sanus evasit. [136] Maligniora sunt quæ derepente disparent.

ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

Περὶ Φλεβῶν.

[1] Ἡπατῖτις ἐν ὀσφύϊ μέχρι τοῦ μεγάλου σπονδύλου κάτωθεν, καὶ σπονδύλοισι προσδιδοῖ. [2] ἐντεῦθεν μετέωρος δι' ἥπατος καὶ διὰ φρενῶν ἐς καρδίην, καὶ ἡ μὲν ἰθεῖα ἐς κληΐδας· [3] ἐντεῦθεν δὲ, αἱ μὲν ἐς τράχηλον, αἱ δὲ ἐπ' ὠμοπλάτας.

SECTIO QVARTA.

De Venis.

Hepatitis in lumbis usque ad magnum verticulum, inferne etiam verticulis se ingerit: [2] hinc sublevata per hepar, & per septum transversum ad cor: & quæ quidem recta est, ad claviculas: [3] hinc aliæ quidem ad collum, aliæ vero ad scapulas, aliæ

τῆς, αἱ δὲ ἀποκαμφθεῖσαι κάτω παρὰ σπονδύλους καὶ πλευρὰς ἀποκλίνουσι. 4 Ἐκ δὲ ἀριστερῶν μὲν μία ἐγγὺς κληίδων, ἐκ δεξιῶν δὲ ἐπί τι αὐτῇ χωρίον. 5 ἄλλη δὲ σμικρὸν κατώτερον ἀποκαμφθεῖσα, ὅθεν μὲν ἐκείνη ἀπέλιπε, προσέδωκε τῇσι πλευρῇσιν, ἔστ' ἂν τῇ ἐπ' αὐτῆς τῆς καρδίης προστύχῃ ἐπικεκαμπτομένη ἐς τὰ ἀριστερά. 6 ἀποκαμφθεῖσα δὲ κάτω, ἐπὶ σπονδύλους καταβαίνει, ἔστ' ἀφίκηται, ὅθεν ἤρξατο μετεωρίζεσθαι, ἀποδιδοῦσα τῇσι πλευρῇσι τῇσιν ἐπιλοίποισιν ἁπάσῃσιν ἔνθεν καὶ ἔνθεν ἀποσχίσιας, παρ' ἑκάστην μία οὖσα. 7 ἀπὸ μὲν τῆς καρδίης ἐπί τι χωρίον ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον ἐοῦσα. 8 ἔπειτα ὑποκάτω τῆς ἀρτηρίης, ἔστ' ἂν καταναλωθῇ, καὶ ἔλθῃ, ὅθεν ἡ ἡπατῖτις ἐμετεωρίσθη. 9 πρότερον δὲ, πρὶν ἢ ἐνταῦθα ἐλθεῖν, παρὰ τὰς ἐσχάτας δύο πλευρὰς ἐδιαιρέθη, καὶ ἡ μὲν ἔνθα, ἡ δὲ ἔνθα τῶν σπονδύλων ἐλθοῦσα, κατηναλώθη. 10 ἡ δὲ ἰθεῖα ἀπὸ καρδίης πρὸς κληῖδα τείνουσα ἄνωθεν τῆς ἀρτηρίης ἐστί, καὶ ἀπὸ ταύτης, ὥσπερ καὶ παρ' ὀσφὺν κάτωθεν τῆς ἀρτηρίης, αἴσσει ἐς τὸ ἧπαρ, ἡ μὲν ἐπὶ πύλας καὶ λοβὸν, ἡ δὲ ἐς τὸ ἄλλο ἑξῆς ἀφορμήκει, σμικρὸν κάτωθεν φρενῶν. 11 φρένες δὲ προσπεφύκασι τῷ ἥπατι, ἃς οὐ ῥᾴδιον χωρίσαι. 12 διφυαὶ δὲ ἀπὸ κληίδων, αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν, ὑπὸ στῆθος ἐς ἦτρον. ὅπῃ δὲ ἐντεῦθεν, οὔπω οἶδα. 13 φρένες δὲ κάτω κατὰ τὸν σπόνδυλον τὸν κάτω τῶν πλευρῶν, ᾗ νεφροὶ ἐξ ἀρτηρίης, ταύτῃ ἀμφιβεβήκει. 14 αἱ ἀρτηρίαι δὲ ἐκ τουτέου ἐκπεφύκασιν, ἔνθεν καὶ ἔνθεν ἀρτηρίης τόνον ἔχουσαι. 15 ταύτῃ δέ πῃ παλινδρομήσασα ἀπὸ

aliæ deorsum deflectentes, ad verticula & costas declinant. 4 Et ex sinistris quidem, una prope claviculas: ex dextris vero ad quendam ipsarum locum. Alia vero utrinque deflexa. 5 Alia paulo inferius deflexa, ubi quidem illa deficit, costis se ingerit, donec ad venam in ipsum cor accesserit, ad sinistras deflexa. 6 Infra autem decurvata ad vertebras descendit donec perveniat, & inde incipit elevari, ingerens se costis reliquis omnibus, hinc atque hinc singulis ramulos præbens, quum sit una: 7 à corde quidem ad locum quendam à sinistris magis procedens: 8 deinde infra arteriam, donec consumpta fuerit, & venerit eo unde hepatitis sublevata est. 9 Priusquam autem eo venit, circa extremas duas costas divisa est, & partim ab hac, partim ab illa verticulorum parte progressa consumitur. 10 Quæ vero recta à corde ad claviculam tendit, supra arteriam est: & ab hac, velut etiam juxta lumbos infra arteriam, ad hepar insilit, partim in portas & pinnas, partim in reliquum deinceps procedit paulo infra septum transversum. 11 Septum autem transversum adhæret hepati, neque facile est ipsum separare. 12 Duplices porro venæ à claviculis, alteræ hinc, alteræ isthinc, sub pectus ad pectinem procedunt; quo vero hinc, nondum scio. 13 At septum transversum infra juxta verticulum quod est infra costas, qua renes ex arteria, ea parte consurgunt. 14 Verum arteriæ ex ipso rene oriuntur, hinc atque hinc ab arteria nervum habentes. 15 Atque hac parte alicubi in recurrente

ἀπὸ καρδίης ἡ ἡπατῖτις ἔληγεν. [16] Ἀπὸ δὲ τῆς ἡπατίτιδος διὰ τῶν φρενῶν αἱ μέγισται δύο, ἡ μὲν ἔνθεν, ἡ δὲ ἔνθεν, φέρονται μετέωροι, [17] πολυσχιδέες τε διὰ τῶν φρενῶν εἰσὶν ἀμφὶ ταύτας, αἷς καὶ πεφύκασιν. ἄνωθεν δὲ φρενῶν αὗται μᾶλλον ἐμφανέες. [18] δύο δὲ παχέες τόνοι ἀπ' ἐγκεφάλου ὑπὸ τὸ ὀστέον τοῦ μεγάλου σπονδύλου ἄνωθεν καὶ πρὸς τοῦ στομάχου μᾶλλον ἑκατέρωθεν τῆς ἀρτηρίης παρελθὼν ἑκάτερος ἐς ἑωυτὸν ἦλθεν, ἴκελος ἑνί. [19] ἔπειτα οὗ οἱ σπόνδυλοι καὶ αἱ φρένες πεφύκασιν, ἐντεῦθεν ἐτελεύτων. [20] καί τινες ἐνδοιαστοὶ πρὸς ἧπαρ καὶ σπλῆνα ἀπὸ τούτου τοῦ κοινωνήματος ἐδόκεον τείνειν. [21] ἄλλος τόνος ἑκατέρωθεν ἐκ τῶν κατὰ κληῖδα σπονδύλων παρὰ ῥάχιν παρέτεινεν ἐκ πλαγίου σπονδύλων, ἐς τὰς πλευρὰς ἀπένεμεν. [22] ὥσπερ [οἱ] αἱ φλέβες, οὕτως οὗτοι διὰ φρενῶν ἐς μεσεντέριόν μοι δοκέουσι τείνειν· ἐν δὲ τελευτῇ ἐξέλιπον. [23] αὖθις δ', ὅθεν φρένες ἐξεπεφύκεσαν, ἀπὸ τούτου, ξυνεχέες ἐόντες, κατὰ μέσον κάτωθεν ἀρτηρίης τὸ ἐπίλοιπον παρὰ σπονδύλους ἀπεδίδουν, ὥσπερ αἱ φλέβες, μέχρι κατανάλωσαν διελθόντες τὸ ἱερὸν ὀστέον.

[24] Ἐν Αἴνῳ ὀσπριοφαγέοντες ξυνεχέως, θήλειαι, ἄρσενες, σκελέων ἀκρατέες ἐγένοντο καὶ διετέλεον. [25] ἀτὰρ καὶ ὀροβοφαγέοντες γουναλγέες. [26] ἐπιτηδεύειν ὀξυθυμίην ἐμποιέειν, καὶ χρώματος ἀναλήψιος ἕνεκα, καὶ ἐγχυμώσιος, καὶ εὐθυμίης, καὶ φόβους, καὶ τὰ τοιαῦτα. [27] καὶ, ἢν μὲν τὸ ἄλλο σῶμα συννοσέῃ, ξυνιητρεύειν· εἰ δὲ μὴ, τοῦτο.

[28] Ἡ Στυμάργεω οἰκέτις ἡ Ἰδουμαίη ἐγένετο, ὡς ἔτεκε θυγατέρα, ἐπεστράφη [οἱ] τὸ στόμα τῶν αἰδοίων,

rente à corde Hepatitis desinit. [16] Cæterum ab hepatitide per septum transversum maximæ duæ, altera hinc, altera isthinc, sublimes feruntur, [17] multifidæque per septum sunt, & circa ipsum consistunt in superna parte, atque hæ magis sunt conspicuæ. [18] Duo vero nervi à cerebro sub os magni verticuli, ex supernis & ad gulam magis ab utraque arteriæ parte descendunt, & uterque in seipsum incidens, uni similis, [19] ubi verticula & septum sunt, ibi desinunt: [20] & quidam ambigui, ex hac societate ad hepar & splenem ipsos tendere putaverunt. [21] Alius nervus ab utraque verticulorum, & ad costas distribuitur: [22] & quemadmodum venæ, sic hi per septum, ad mesenterium mihi tendere videntur. Ubi autem hæ deficiunt, [23] rursus hinc ubi septum exoritur, ab eo cohærentes ac continui existentes, juxta medium infra arteriam, deinceps ad verticula distribuuntur, quemadmodum venæ, donec ad sacrum os progressi consumuntur.

[24] In Æno ex assiduo leguminum esu, fœminæ & masculi crurum impotentes facti sunt, ac vitam degerunt. [25] Sed & his qui ervo vescuntur, genua dolent. [26] Diligentia adhibenda est ut excandescentia inducatur, & coloris reparandi, & sanguinis in vasa subter cuticulam colligendi gratia: itemque lætitia, & timor, & hujusmodi: [27] & siquidem reliquum corpus simul ægrotarit, simul curare: sin minus, satis est.

[28] Stymargi famula Idumæa erat, quæ ubi filiam peperisset, conversum est ei uteri osculum;

ὀδύνη, καὶ ἐς ἰσχίον καὶ σκέλος ὀδύνη. 29 παρὰ σφυρὸν τμηθείσης ἐρρήισε. 30 καί τοι καὶ τρόμοι κατὰ σῶμα πᾶν κατεῖχον. 31 ἀλλ' ἐπὶ τὴν πρόφασιν διελθεῖν, καὶ τῆς προφάσιος τὴν ἀρχήν.

ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

Φυσιογνωμονίη.

Ὁκόσοι πυῤῥοί, ὀξύρινες, ὀφθαλμοὶ σμικροί, πονηροί. 2 ὁκόσοι πυῤῥοί, σιμοί, ὀφθαλμοὶ μεγάλοι, ἐσθλοί. 3 ὑδρωπιώδεες χαροποί, φαλακροί εἰσιν. 4 ἰσχνοφωνίην λύει κιρσὸς ἐς τὸν ἀριστερὸν καὶ τὸν δεξιὸν ὄρχιν· ἄνευ [δὲ] τουτέων θατέρου οὐχ οἷόν τε λύεσθαι. 5 μεγάλοι, φαλακροί, τραυλοί, ἰσχνόφωνοι, ἐσθλοί. 6 νοσήματα δὲ ἔχουσι τραυλός, ἢ φαλακρός, ἢ ἰσχνόφωνος, ἢ δασύς, ἰσχυρῶς μελαγχολικά. 7 νοσήματα δ' ἔχουσιν, ὅσοι τῇ γλώσσῃ παφλάζουσι. 8 χειλῶν μὴ ἐγκρατέες ἐόντες, ἀνάγκη λυομένων ἐμπύους γίνεσθαι. 9 ὀδύνην ἐν τοῖσι κάτω χωρίοισιν ἰσχυρὴν κωφότης λύει, καὶ αἷμα πολλὸν ἐκ τῶν ῥινῶν ῥυέν, ἢ μανίη. 10 ἢν λεχοῖ σπασμὸς ἐπιγένηται, πῦρ ποιέειν. 11 καὶ ἐς κύστιν κηρωτὴν ἐγχέειν πολλὴν χλιαρὴν κλύζειν. 12 ἢν τῆς κεφαλῆς τὸ ὀστέον καταγῇ, διδόναι γάλα καὶ οἶνον πίνειν, ἴσον ἴσῳ. 13 ἢν δὲ ἕλκος ᾖ, φλεβοτομέειν τὰς εἴσω, ἢν μὴ πυρέσσῃ. 14 ἢν δὲ παραφρονέῃ, τὴν κεφαλὴν καταβρέχειν, ἢν μὴ τὰ ὑποχόνδρια ἐπηρμένα ᾖ. 15 ἢν τὴν κεφαλὴν ἀλγέῃ, ἐς στῆθος ἔρχεται, ἔπειτα ἐς τὸ ὑποχόνδριον, ἔπειτα ἐς τὸ ἰσχίον. πάντα δὲ [ὁμοῦ] οὐχ οἷόν τε ἀλγέειν. 16 ἀνεμίην φλε-

& dolor ad coxam & crus. 29 Juxta malleolum secta vena liberata est, 30 & quidem quum etiam tremores totum corpus detinerent. 31 Verum ad causam devenire oportet, & ad causæ principium.

SECTIO QVINTA.

Naturæ indiciorum notio.

Quicunque fulvi, naso acuto, oculis parvis, mali. 2 Quicunque fulvi, simi, oculis magnis, boni. 3 Hydropici ravos oculos habent, & calvi sunt. 4 Vocis gracilitatem solvit varix, ad sinistrum & dextrum testem: absque horum altero fieri non potest ut solvatur. 5 Magni, calvi, balbi, gracili voce præditi, boni. 6 Morbos autem habent, balbus, aut calvus, aut gracili voce præditus, aut hirsutus, fortiter atrabilarios. 7 Qui lingua offendunt, 8 & labiorum non sunt potentes, eos necesse est dum illa solvuntur, suppuratos fieri. 9 Dolorem in locis infernis fortem, surditas solvit, itemque sanguis multus ex naribus erumpens. Insania, magni morbi ex more contingentis solutio. 10 Si puerperis convulsio fiat, febrem excitato: 11 & cerato multo tepido in vesicam immisso, ac per clysterem infuso colluito. 12 Si capitis os confractum fuerit, lac, & vinum ammixta aquæ pari mensura, bibenda dato. 13 Si vero ulcus fuerit, internas venas secato, si non febricitet. 14 Si autem desipiat, caput irrigato, si non præcordia fuerint elevata. 15 Si caput doluerit, ad pectus descendit: deinde ad præcordia, postea ad coxam: omnia vero ut doleant, fieri non potest. 16 Ventositatem

φλεβοτομεῖν. [17] παρὰ φαρμάκου τὸν ῥόον ἴσχε ἐπιπλέσφαν. [18] οὐδὲ γὰρ ὁ ῥόος ἐκ τῆς μεγάλης φλεβός. [19] ἢν δὲ αὐτόματος ῥέη πολλὸν, νηστευέτω, ἢ γάλα [πινέτω,] δύο ὑδατος, τέσσαρας γάλακτος. [20] πρὸς ὀργάνους πυριῆν καὶ φαρμακεύειν.

[21] Ὅσοι ἐξαπίνης ἄφωνοι ἀπύρετοί εἰσι, φλεβοτομεῖν. [22] Φλέγματος καταρρόους ἐκ τῶν μαζῶν ἕλκουσιν οἱ ὀφθαλμοὶ, καὶ ἐξερεύγεται κατὰ τὰς ῥῖνας ἐς τὸν πνεύμονα. [23] οἷσι βὴξ ξηρὴ, οὐ λύεται, ἢν μὴ ὀδύνη ἰσχυρὴ ἐς τὰ ἰσχία, ἢ ἐς τὰ σκέλεα, ἢ ἐς τὸν ὄρχιν. [24] ἢν ὑδρωπιῶντα βὴξ ἔχη, ἢν μὲν αὐτίκα λειποθυμέῃ, θερμαίνοισι πᾶσι διαχρήσθω· ἢν δὲ μὴ, θωρήξαι, καὶ σιτίων ἐμπλῆσαι. [25] τέμνειν δὲ τὰς ἔσω, [26] τοῦ νοσήματος τοῦ μεγάλου ἐν τῷ σῷ γινομένου λύσις, ἰσχίων ὀδύνη, ὀφθαλμῶν διαστροφαὶ, τύφλωσις, ὄρχιων οἴδησις, μαζῶν ἄρσις. [27] ἢν, πυρετοῦ ἔχοντος, τὸ πρόσωπον ἰσχνὸν ᾖ ἐν ἡμέρῃ γονίμῳ, τῇ ἐπιούσῃ λύσις. [28] ὕδρωψ, ἢν οἰδήματα ἔχῃ ἐν τοῖσι σκέλεσι, βήσσει. [29] ἢν τὸ οὖς ἀλγέῃ, τῷ γάλακτι διαχρήσθω. [30] ἢν μὴ ἐν τῇ γονίμῳ μεθῇ ὁ πυρετὸς, ὑποστροπιάζειν ἀνάγκη. [31] ᾯ ἂν ἡ φλὲψ ἡ ἐν τῷ ἀγκῶνι σφύζῃ, μανικὸς καὶ ὀξύθυμος· [32] ᾧ δ' ἂν ἀτρεμέῃ, τυφώδης. [33] τρώματα ἢν αἱμορραγέῃ, μὴ βρέχειν τὸ ἕλκος· τὴν κεφαλὴν δὲ βρέχειν θερμῷ. [34] ἢν καρδιώσσῃ, θερμὸν ἄρτον μετ' οἴνου ἀκρήτου διδόναι. [35] ἐμέτου λύσις, ὕδωρ θερμὸν διδόναι πίνειν, καὶ ἐμέτω. [36] ὅσοι σφακελίζουσι, ἀπολαβοῦσι τὴν φλέβα ἑλκῶσαι καὶ ὑγιῶσαι. [37] σπασμοῦ χειρὸς δακτύλων

fitatem flatuosam venæ sectione. [17] fluxionem pharmaco illito fistito. [18] Fluxus enim ex vena magna est. [19] Si vero sua sponte multum fluat, jejunet: aut aquæ partes duas, lactis quatuor bibat. [20] Infœcundas fomentis ac medicamentis curato.

[21] Quicunque derepente voce destituuntur, si fine febre fuerint, ipsis venam secato. [22] Pituitæ fluxiones ex mammis trahunt oculi, & eructant per nares ad pulmonem. [23] Quibus tussis sicca est, his non solvitur, nisi dolor fortis ad coxas, aut ad crura, aut ad testem irruat. [24] Si hydropicum tussis corripiat, siquidem statim animo linquatur, calidis omnibus utatur: sin minus, inebriato, & cibis ipsum impleto. [25] Venas autem internas secato. [26] dum morbus magnus in intentione est. Solutio coxarum dolor, oculorum distortiones, cæcitas: testium tumoris, mammarum elevatio. [27] Si febre tenente, partes circa faciem graciles fuerint, in die impari, sequenti die solvetur. [28] Hydropicus si tumorem in cruribus habens tussiat, malum. [29] Si auris doleat, lacte utatur. [30] Si non in die impari febris dimittat, recidivare necesse est. [31] Cui vena in cubito pulsarit, insanus & iracundus est: [32] cui vero quieverit, stupidus. [33] Vulnus si sanguinem fundat, ulcus ne madefacito, verum caput calida rigato. [34] Si os ventriculi doleat, panem calidum cum vino meraco exhibeto. [35] Vomitus solutio: aquam calidam bibendam dato, & vomat. [36] Quæcunque corrupta torpescunt, evulsa vena ulcerato, ac sanato. [37] In convulsione digitorum ma-

λων

λων ἄνευ πυρετοῦ φλέβα σχάσαι, ἢν μὴ τὴν κεφαλὴν ἀλγέῃ· εἰ δὲ μὴ, ὕδωρ θερμὸν καταχέειν. 38 " Ὀφθαλμῶν· σποδίου δωδέκατον, κρόκου πέμπτον, πυρῆνος ἓν, ψιμμυθίου ἓν, σμύρνης ἕν. 39 τὸ ὕδωρ κατὰ τῆς κεφαλῆς ψυχρὸν καταχέειν, καὶ διδόναι σκόροδα ξὺν μάζῃ. 40 " κιρσοὶ δὲ φαλακρῶν, ἢν μὴ μεγάλοι ἔωσι, μανιώδεες. 41 " Ἀλφοὺς καὶ λέπρας· τίτανον ἐν ὕδατι, ὡς μὴ ἑλκώσῃς. 42 " Χορίων κάθαρσις, ἢν ὑπερέχῃ· πταρμὸς πρὸς ῥῖνας προστιθέναι, 43 ὥστε πταρνυσθαι, καὶ ἐπιλαμβάνειν τὰς ῥῖνας τοῦ πταρνυμένου, καὶ τὸ στόμα.

nus citra febrem, venam secato, si non caput doleat: sin minus, aquam calidam affundito. 38 Ad oculos. Spodii partem duodecimam, croci quintam, nuclei olivæ unam, cerusæ unam, myrrhæ unam. 39 Aquam frigidam super caput fundito: & allia cum maza edenda dato. 40 Varices calvorum si non magni fuerint, furiosi sunt. 41 Ad vitiliginem & lepram. Calcem in aqua adhibeto, ut ne exulceres. 42 Secundarum purgatio, si non discedant. 43 Sternutatorium ad nares apponito, ut sternutet: & sternutantis nares ac os apprehendito.

ΤΜΗΜΑ ΕΚΤΟΝ.

" Φυσιογνωμονικόν.

1 Ἢν κεφαλὴ μεγάλη, καὶ οἱ ὀφθαλμοὶ σμικροὶ, τραυλοὶ, ὀξύθυμοι. 2 " οἱ μακρόβιοι πλείους ὀδόντας ἔχουσιν. 3 οἱ τραυλοὶ, ταχύγλωσσοι, μελαγχολικοὶ, " καταπικρόχολοι. 4 " ἀσκαρδαμύκται, ὀξύθυμοι. 5 μεγάλη κεφαλὴ, " ὀφθαλμοὶ μέλανες καὶ μεγάλοι, ῥῖνα παχεῖαν καὶ σιμὴν, ἐσθλοί. 6 χαροποὶ, μεγάλοι, " κεφαλὴ σμικρὴ, αὐχὴν λεπτὸς, στήθεα στενὰ, εὐάρμοστοι. 7 κεφαλὴ σμικρὴ, οὐδ' ἂν εἴη τραυλὸς, οὐδὲ φαλακρὸς, " ἢν μὴ γλαυκὸς εἴη. 8 " σπασμῶν φωνὴ ἐν περισσῇ λύεται, ἀπήλλακται τοῦ μεγάλου νοσήματος. 9 " λεχοῖ δὲ πυρεταινούσῃ καὶ ἀλγεούσῃ ὕδωρ καταχέειν, καὶ πτισάνην παχεῖαν διδόναι τρὶς τῆς ἡμέρης θερμήν. 10 " παιδίον τρέφεται ἑβδόμῳ μηνὶ ἢ ἐννάτῳ ἢ δεκάτῳ, καὶ ἵσταται τῇ φωνῇ, καὶ ἰσχὺς ἕπεται, καὶ τῶν χειρῶν κρατέει. 11 τῆς φωνῆς λυομένης πάντα λύεται· ἡ γὰρ λύσις τῇ φθέγξει ὁμοίη.

SECTIO SEXTA.

Naturæ indiciorum notio.

Caput magnum, oculi parvi, balbi, iracundi sunt. 2 Qui longæ vitæ sunt, plures dentes habent. 3 Balbi, celeri lingua prædiri, atræ bilis humori obnoxii, biliosique sunt, 4 oculis non nictantes, iracundi. 5 Magnum caput, oculi nigri & magni, nasum crassum & simum habentes. 6 Oculi ravi, magni, caput magnum, cervix tenuis, pectora angusta, congrue adaptati hominis sunt. 7 Caput parvum habens, neque balbus esse poterit, neque calvus, nisi fuerit glaucus. 8 In convulsionibus si vox in die impari solvitur, à magno morbo liberat. 9 Puerperæ febricitanti & dolenti aquam affundito, & ptisanam crassam ter in die calidam dato. 10 Puer nutritur septimo mense, aut nono, aut decimo, & voce firmatur, & robur sequitur, & manibus validus fit. 11 Dum vox solvitur, omnia solvuntur. Solutio enim similis est voci. Solvitur autem in

ὀμαίῃ. λύεται δὲ ἐν γονίμῃ. ¹² Ἢν αἱ φλέβες σφύζωσιν ἐν τῇσι χερσὶ, καὶ τὸ πρόσωπον ἐῤῥωμένον, καὶ ὑποχόνδρια μὴ λαπαρὰ ᾖ, χρονίη ἡ νοῦσος γίνεται [καὶ] ¹³ ἄνευ σπασμοῦ οὐ λύεται, ἢ αἵματος πολλοῦ ἐκ τῶν ῥινῶν, ἢ ὀδύνης ἐς τὰ ἰσχία. ¹⁴ Τοῦ λαιμοῦ ὕδωρ θερμὸν κατὰ τῆς κεφαλῆς καταχεῖν, ἢν μὴ ψῦχος ᾖ· ἢν δὲ μὴ, ἄλητον ὡς θερμότατον διδόναι, καὶ οἶνον ἄκρητον.

¹⁵ Ταραχῆς γαστρός· κυάμους ἑφθοὺς διδόναι, ἢν μὴ τὰ ἄνω χολώδεα ᾖ. ¹⁶ ἢ κύμινον διδόναι τρώγειν μετὰ τῶν κυάμων. ¹⁷ ἢ λίτρον αἰγύπτιον καὶ κορίανον καὶ κύμινον τρίβοντα ξὺν ἀλείφατι συναλείφειν. ¹⁸ Ἀπόληψις δὲ τοῦ νοσήματος οὐκ ἂν γένοιτο, εἰ μὴ ἐν γονίμῃ ἡμέρῃ. ¹⁹ οὐδ' ἂν ἀρχὴ γένοιτο, ἢν μὴ [ἐν] ἀγόνῳ ἡμέρῃ καὶ μηνὶ, ἔτει τε γονίμῳ. ²⁰ ὅστις θνήσκει, ἀνάγκη γονίμῳ ἡμέρῃ, καὶ γονίμῳ μηνὶ, καὶ γονίμῳ ἔτει. ²¹ προλέγειν δὲ ὀρθῶς, ἂν ἔχοι θανάτων ἢ ὀδύνας ἰσχυράς. ²² ὧν τὰ ὄμματα μὴ ἔῤῥωται, ὁ θάνατος ἐν τάχει. ²³ ἢν δὲ ἐν γονίμῳ ἔτει γίνηται, ἀπ' ἀμφοτέρων γονίμους ἀνάγκη γενέσθαι. ²⁴ ἢν δὲ ἀγόνῳ ἔτει καὶ ἀγόνῳ ἡμέρῃ, θνήσκειν ἀνάγκη γονίμῳ ἡμέρῃ. ²⁵ Τοῦ ἀριθμοῦ τρίτη ἰσχυροτάτη. ²⁶ κυνάγχην καὶ ὀφθαλμίην φλεβοτομίη. ²⁷ τρωθέντος ἐντέρου ἡ ἀναπνοὴ ἔρχεται κάτω ἀφανὴς κατὰ τὸ τρῶμα, καὶ κενοῦται τὰ στήθεα. ²⁸ διδόναι οὖν γάλα καὶ οἶνον ἴσον ἴσῳ. ²⁹ ὧν χολώδεα τὰ στήθεα, ψελλοὶ, μανιώδεες, καὶ φαλακροί. ³⁰ τελέων ὅσοι ἐκ γενεῆς καὶ στρεβλοὶ, ἀσινέες, ἢ λιθιῶν-

in die impari. ¹² Si venæ pulsaverint in manibus, & facies sana ac robusta fuerit, & præcordia non fuerint mollia, diuturnus fit morbus, ¹³ qui sine convulsione non solvitur, aut sanguinis multi ex naribus eruptione, aut dolore ad coxas. ¹⁴ In gutturis dolore, aquam calidam super caput fundito, si non frigus fuerit. Sin minus, farinam quam calidissimam dato, & vinum meracum.

¹⁵ In turbatione ventris, fabas coctas dato, si non supernæ partes abunde fuerint biliosæ. ¹⁶ Aut cuminum cum fabis edendum dato. ¹⁷ Nitrum autem ægyptium, & coriandrum, ac cuminum cum oleo terito, & ventri illinito. ¹⁸ At interceptio morbi fieri non poterit, nisi in die impari. ¹⁹ Neque principium fieri poterit, nisi in die pari, itemque mense ac anno pari. ²⁰ Qui moriuntur, eos necesse est die impari, & mense impari, & anno impari mori. ²¹ Bonum autem fuerit prædicere mortem, aut dolores fortes. ²² Quorum oculi robusti non sunt, his mors brevi imminet. ²³ Si vero in impari anno fiat, ab utrisque impares fieri necesse est. ²⁴ Si autem in anno pari & die pari, necessarium est in impari die mori. ²⁵ Ex numero tertia fortissima est. ²⁶ Anginam & lippitudinem solvit venæ sectio. ²⁷ Vulnerato intestino, respiratio prodit inferne inconspicua juxta vulnus, & evacuantur pectora. ²⁸ Dato igitur lac & vinum, pari aquæ mensura ammixta. ²⁹ Quorum pectora bilem generant, balbi, furiosi, & calvi sunt. ³⁰ Quicunque horum ex nativitate etiam strabones, bi

λιθιῶντες, ἢ μαινόμενοι. 31 οἷσι δὲ μὴ, ἑτέρου κακοῦ λύσιες περὶ φύσιος. 32 δύναμιν πλείστην ἔχει τιτθὸς, ὀφθαλμὸς δεξιὸς, ταῦτα τῶν κάτω· καὶ ἔτι ἐμπέφυκε τοῖσι δεξιοῖσι τὰ ἄρσενα. 33 γυναιξὶν ἐπιμήνια ὥστε ἴσχειν, σικύην μεγίστην παρὰ τὸν τιτθὸν προσβάλλειν. 34 τρίμηνον παιδίον πάντα δηλοῖ, καὶ γάλα τότε ἔχει. 35 ἢν πολλὸν ῥέῃ γάλα, ἀνάγκη ἀσθενέειν τὸ ἐν γαστρί. 36 ἢν στερεώτεροι ἔωσιν οἱ τιτθοὶ, ὑγιηρότερον τὸ ἔμβρυον. 37 φλὲψ ἔχει παχείη ἐν ἑκατέρῳ τιτθῷ. 38 ταῦτα μέγιστον ἔχει μόριον ξυνέσιος. 39 στραγγουρίην λύει φλεβοτομίη. 40 ἢν τὰ ἄνω χωρία σπαργᾷ, τὰ περὶ τὴν κεφαλήν. 41 ἑλκέων κάθαρσις, ἔμετος, ἱδρώς.

42 Ἀπὸ γαστρὸς ταραχῆς ἢ ἀπὸ βηχὸς καρκίνου γινομένου, τὸ στόμα πικραίνεται. 43 διδόναι δὲ πίνειν ἐλατήριον δὶς ἢ τρὶς, ἢν μὴ ψελλὸς ᾖ. 44 ἐπιδεῖν δεῖ χαλκοῦ ἄνθος καύσας, ἕως ἂν πυῤῥὸν ᾖ, καὶ σπογγίην, ἢν μὴ ψελλὸς ᾖ. 45 ἀλύκης, φρίκης, χάσμης· οἶνος ἴσος ἴσῳ, ἢ γάλα. 46 ὠτὸς περιωδυνίην· σικύην προσβάλλειν. 47 ὅ, τι ἂν τῶν ἄνω πονέῃ, ὀδύνης τὰ ἰσχία, ἢ ἐς τὰ γούνατα. 48 καὶ ἆσθμα λύει πάντα ὅ, τι τοιούτων γινόμενον. 49 εἰλεοῦ λαπαρῆς ψυχροῦ [ἐπιγινομένου,] οἶνον πολλὸν ἄκρητον κατὰ λόγον διδόναι, ἔστ' ἂν ὕπνος, ἢ σκελέων ὀδύνη γένηται. 50 λύει δὲ καὶ πυρετὸς, καὶ δυσεντερίη ἄνευ ὀδύνης. 51 ἢν ὑποχόνδριον τεταμένον ᾖ, πιέζειν τῇ χειρὶ καὶ λούειν. 52 παρωνυχίης· κηκὶς μέλαινα ἐν

imprudentes sunt, aut calculosi aut insanientes. 31 Quibus autem non, alterius mali solutio fit. 32 Circa naturam plurimam vim habet mamma dextera, oculus dexter, & quæ infra sunt hac parte. Nam & masculi dextris inhærent. 33 Mulieribus menses ut sistas, cucurbitam maximam ad mammam affigas. 34 Trimestris puer omnia præ se fert, & lac tunc habet. 35 Si multum fluat lac, necesse est fœtum debilem esse. 36 Si solidiores fuerint mammæ, sanior est fœtus. 37 Vena crassa est in utraque mamma: 38 quapropter maximam habet prudentiæ partem. 39 Urinæ stillicidium solvit venæ sectio. 40 Si superni loci turgent qui sunt circa caput, 41 ulcerum purgatio, vomitus, sudor.

42 A ventris turbatione, aut à tussi, si cancer fiat, os amarescit. 43 Dato autem elaterium bibendum bis aut ter, si non balbus fuerit. 44 Deligare vero oportet florem æris ustum, donec fulvus evaserit, & spongiam, si non balbus fuerit. 45 In anxietate, horrore, oscitatione, dato vinum pari aquæ mensura ammixta. 46 Ad auris dolorem cucurbitam affigito. 47 Quicquid supernarum partium doluerit, dolor ad coxas, aut ad genua, 48 & anhelatio oboriens, omnia hæc solvit. 49 In volvulo molli, frigidum vinum multum meracum pro ratione dato, donec somnus, aut crurum dolor fiat. 50 Solvit autem & febris, & dysenteria citra dolorem. 51 Si præcordia distenta fuerint, manu comprimito ac lavato. 52 Ad paronychiam unguium abscessum, gal-

ἐν μέλιτι. 53 Ὕδατος ἐψημένε-νε, γάλακτος ὀκτὼ κοτύλας δοῦναι πιεῖν. 54 ἢν δὲ ἐμέῃ, καὶ μὴ πίνῃ, μυττωτὸν δριμεῶν. 55 Ὥστ' ἔχειν γυναῖκα ἐν γαστρὶ, πολυπόδια ὑπὲρ φλογὸς ὀπτῶντα ὡς θερμότατα, καὶ πλεῖστα ἡμίφλεκτα διδόναι τρώγειν, καὶ τρίψαντα λίτρον αἰγύπτιον καὶ κορίανον καὶ κύμινον, κολλίκας ποιῆσαι, προστιθέναι τῷ αἰδοίῳ. 56 Ἢν ἐκ κραιπάλης κεφαλὴν ἀλγέῃ, οἴνου ἀκρήτου κοτύλην πιεῖν. 57 Ἢν δὲ ἄλλως κεφαλὴν ἀλγέῃ, ἄρτον ὡς θερμότατον ξὺν οἴνῳ ἀκρήτῳ ἐσθίειν. 58 Ἢν ἄνθρωπον θέρμη ἔχῃ μὴ ἀπὸ χολῆς, μηδὲ ἀπὸ φλέγματος, ἀλλ' ἢ ἀπὸ κόπου ἢ ἄλλως πυρεταίνῃ, ὕδωρ θερμῆναι πολλὸν, ἔπειτα ἐπεγχέοντα τὴν κεφαλὴν βρέχειν, μέχρις ἂν τοὺς πόδας ἱδρώσῃ· καὶ ἄλητον ἕψειν ὡς παχύτατον. 59 Ἐπὴν δὲ ἱδρώσῃ, τοὺς πόδας περιεγκαλυμμένος ἱματίοις ἀναπαυέσθω εὐκόπως, 60 ἄλητον ὡς πλεῖστον καὶ θερμότατον ἐσθίων, καὶ οἶνον ἄκρητον ἐπιπίνων, ἢ μὴν ναρκίσσου δύο ἢ τρεῖς κεφαλὰς ἐπὶ τοῦ δείπνου ἐσθιέτω. 61 Τῷ μέλλοντι μαίνεσθαι τόδε προσημαίνει τὸ σημεῖον, αἷμα ξυλλέγεται αὐτῷ ἐπὶ τοὺς τιτθούς.

la nigra cum melle. 53 Aqua secedente, lactis heminas octo bibendas dato. 54 Si vero vomat, & non bibat, allij aut ceparum intritum dato. 55 Ut mulier in utero concipiat, polypos parvos super flamma calidissima assatos, & fere semiambustos, edendos dato. Et nitrum ægyptium tritum, coriandrumque ac cuminum, in pastillos efformato, in pudendumque subdito. 56 Si ex crapula caput doleat, vini meraci heminam bibat. 57 Si vero aliter caput doleat, panem quam calidissimum cum vino meraco edat. 58 Si hominem calor corripiat, non à bile, neque à pituita, sed aut à lassitudine, aut alias febriat, aquam multam calefacito: deinde ea superinfusa caput rigato, donec pedes sudarint: & farinam crassissimam coquito. 59 Postquam autem pedes sudarint: 60 farinam plurimam & calidissimam edens, ac vinum meracum insuper bibens, vestimentis contectus facile quiescat. Aut narcissi duo aut tria capita in cœna edat. 61 Qui insania corripietur, ei hoc signum præsagit, sanguis colligitur ipsi ad mammas.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ τὸ τρίτον.

Basil. græc. Foesius sect. VII, 142, 1059. Basil. lat.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

pag. 319

Ἄρρωστος πρῶτος. [2] Πυθίων, ὃς ᾤκει παρὰ γῆς ἱερόν, ἤρξατο τρόμος ἀπὸ χειρῶν. [3] τῇ πρώτῃ πυρετὸς ὀξύς, λῆρος. [4] δευτέρῃ πάντα παρωξύνθη. [5] τρίτῃ τὰ αὐτά. [6] τετάρτῃ ἀπὸ κοιλίης ὀλίγα ἄκρητα χολώδεα διῆλθε. [7] πέμπτῃ πάντα παρωξύνθη, ὕπνοι λεπτοί, κοιλίη ἔστη. [8] ἕκτῃ πτύελα ποικίλα ὑπέρυθρα. [9] ἑβδόμῃ στόμα παρεσπάσθη. [10] ὀγδόῃ πάντα παρωξύνθη, τρόμοι παρέμενον. [11] οὖρα δὲ κατ' ἀρχὰς μὲν καὶ μέχρι τῆς ὀγδόης λεπτὰ ἄχροα, ἐναιώρημα εἶχον ἐπινέφελον. [12] δεκάτῃ ἵδρωσε, πτύελα ὑπόπεπτα, ἐκρίθη. [13] καὶ οὖρα ὑπόλευκα περὶ κρίσιν. [14] μετὰ δὲ κρίσιν τεσσαράκοντα ἡμέρῃσιν ὕστερον ἐμπύημα περὶ ἕδρην καὶ στραγγουριώδης ἐγένετο ἀπόστασις. [15] Π. ΟΥ. Π. Μ. Υ.

Ἄρρωστος δεύτερος. [2] Ἑρμοκράτην, ὃς κατέκειτο παρὰ τὸ καινὸν τεῖχος, πῦρ ἔλαβεν. [3] ἤρξατο δὲ ἀλγέειν κεφαλήν, ὀσφύν. [4] ὑποχονδρίου ἔντασις ὑπολάπαρος. [5] γλῶσσα δὲ ἀρχομένῳ ἐπεκαύθη. [6] κώφωσις αὐτίκα. [7] ὕπνοι οὐκ ἐνῆσαν. [8] διψώδης

HIPPOCRATIS POPVLARIVM liber tertius.

SECTIO PRIMA.

pag. 421

Ægrotus primus. [2] Pythion, qui habitabat juxta Telluris templum. Cœpit tremor à manibus [3] prima die, febris acuta, delirium. [4] Secunda, omnia exacerbata sunt [5] Tertia, eadem. [6] Quarta ab alvo pauca, mera, biliosa prodierunt. [7] Quinta omnia exacerbata sunt: tremores perseverabant, somni tenues, alvus restitit. [8] Sexta, sputa varia, subrubra. [9] Septima, os distractum est. [10] Octava, omnia exacerbata sunt. Tremores perseverabant. [11] Urinæ ab initio quidem, & usque ad octavam tenues, decolores, in medio pendens nubilosum quiddam habebant. [12] Decima, sudavit. Sputa aliquantulum matura, judicatus est: [13] & urinæ subtenues circa judicationem. [14] Post judicationem vero, quadraginta diebus postea suppuratio circa sedem, & abscessus factus est cum urinæ stillicidio. P. M. V. Q. S. hoc est, [15] probabile multitudine urinæ quadragesima sanatum.

Ægrotus secundus. [2] Hermocraten qui ad novum murum decumbebat, febris vehemens corripuit. [3] Cœpit autem dolere caput, lumbos. [4] Præcordii distentio molliter. [5] Lingua ab initio adusta est. [6] Surditas statim: [7] somni non aderant, [8] Siticulosus non

ἀλλ' οὐ λίην. 9 οὖρα παχέα ἐρυθρά· κείμενα οὐ καθίστατο. 10 ἀπὸ δὲ κοιλίης οὐκ ὀλίγα ξυγκεκαυμένα διῄει. 11 πέμπτῃ οὔρησε λεπτά· εἶχεν ἐναιώρημα· οὐχ ἵδρυτο. 12 ἐς νύκτα παρέκρουσε. 13 ἕκτῃ ἴκτερος ὅλος. 14 πάντα παρωξύνθη. 15 οὐ κατενόει. 16 ἑβδόμῃ δυσφόρως. 17 οὖρα λεπτά, 18 παρέκρουσεν. 19 ὁμοίως τὰς ἐπιούσας παραπλησίως. 20 περὶ δὲ ἑνδεκάτην ἐοῦσῃ πάντα ἔδοξε κουφισθῆναι. 21 κῶμα ἤρξατο. 22 οὖρα παχύτερα, ὑπέρυθρα, κάτω λεπτά, οὐ καθίστατο. 23 ἡσυχῇ κατενόει. 24 περὶ τεσσαρεσκαιδεκάτην ἄπυρος, οὐχ ἵδρωσεν. 25 ἐκοιμήθη. 26 κατενόει πάντα. 27 οὖρα παραπλήσια. 28 περὶ ἑπτακαιδεκάτην ἐοῦσῃ ὑπέστρεψεν. 29 ἐθερμάνθη. 30 τὰς ἐπιούσας πυρετὸς ὀξύς, 31 οὖρα λεπτά, 32 πάλιν δὲ εἰκοστῇ ἐκρίθη. ἄπυρος, 33 οὐχ ἵδρωσεν. 34 ἀπόσιτος παρὰ πάντα τὸν χρόνον. 35 κατενόει. 36 διαλέγεσθαι οὐκ ἠδύνατο. 37 γλῶσσα ἐπίξηρος. οὐκ ἐδίψη. 38 κατεκοιμᾶτο κωματώδης. 39 περὶ δὲ εἰκοστὴν καὶ τετάρτην ἐπεθερμάνθη. 40 κοιλίη ὑγρή, πολλοῖσι λεπτοῖσι ῥέουσα. 41 καὶ τὰς ἐπιούσας πυρετὸς ὀξύς, γλῶσσα ξυνεκαύθη. 42 ἑβδόμῃ καὶ εἰκοστῇ ἀπέθανεν. 43 ταύτῃ κώφωσις διὰ τέλεος παρέμεινεν. 44 οὖρα παχέα καὶ ἐρυθρά, οὐ καθιστάμενα, ἢ λεπτὰ καὶ ἄχροα, καὶ ἐναιώρημα ἔχοντα. 45 γεύσασθαι δὲ οὐκ ἠδύνατο. 46 Π. Ε. Δ. ΚΖ. Θ.

Ἄρρωστος τρίτος. 1 Ὁ κατακείμενος

non valde. 9 Urinæ crassæ rubræ, depositæ non subsidebant. 10 Ab alvo vero non pauca combusta prodibant. 11 Quinta, minxit urinas tenues, habebant quid in medio pendens, non subsidebant. 12 Ad noctem mente motus est. 13 Sexta, morbo regio correptus est: 14 omnia exacerbata sunt: 15 non resipiscebat. 16 Septima, molesta fuit. 17 Urinæ tenues similes, 19 similiter etiam sequentibus diebus. 20 Circa undecimam omnia visa sunt allevata esse. 21 Sopor cœpit. 22 Urinæ crassæ subrubræ, infra tenues, non subsidebant. 23 Placide resipiscebat. 24 Decimaquarta à febre liber, non sudavit: 25 dormivit, 26 intelligebat omnia. 27 Urinæ consimiles. 28 Circa decimam septimam redit, 29 calefactus est, 30 sequentibus diebus febris acuta. 31 Urinæ tenues. 32 Rursus autem vigesima die judicatus est, à febre liber, 33 non sudavit. 34 Cibum fastidiebat per totum tempus: 35 resipiscebat, 36 loqui non poterat, 37 lingua arida: non sitiebat: 38 dormiebat soporosus. 39 Circa vigesimam quartam calefactus est: 40 alvus lubrica multis tenuibus diebus fluens: 41 & sequentibus diebus febris acuta: lingua combusta est. 42 Septima & vigesima mortuus est. 43 Huic surditas perpetuo perseverabat. 44 Urinæ crassæ & rubræ non subsidentes: aut tenues decolores, & in medio quid pendens habentes: 45 gustare autem non poterat. 46 P. S. S. V. S. M. hoc est, Probabile secessibus suppressis vigesima septima mortuum.

Ægrotus tertius. 1 Qui in

κατέκειτο ἐν τῷ Δεάλκεος κήπῳ, κεφαλῆς βάρος, καὶ κρόταφον δεξιὸν ἐπωδύνως εἶχε χρόνον πουλύν. [3] μετὰ δὲ προφάσιος πῦρ ἔλαβε· κατεκλίθη. [4] δευτέρη ἐξ ἀριστεροῦ ὀλίγον ἄκρητον ἐῤῥύη αἷμα. [5] ἀπὸ δὲ κοιλίης κόπρανα καλῶς διῆλθεν. [6] οὖρα λεπτὰ, ποικίλα, ἐναιωρήματα ἔχοντα σμικρὰ, οἷον κρίμνα, καὶ γονοειδέα. [7] τρίτη πυρετὸς ὀξύς. [8] διαχωρήματα μέλανα, λεπτὰ, ἔπαφρα. [9] ὑπόστασις πελιδνὴ διαχωρήμασιν. [10] ὑπεκαρώθη. [11] ἐδυσφόρει περὶ τὰς ἀναστάσιας. [12] οὔροις ὑπόστασις, πελιδνὴ, ὑπόγλισχρος. [13] τετάρτη ἤμεσε χολώδεα, ξανθὰ, ὀλίγα· διαλιπὼν ὀλίγον, ἰώδεα. [14] ἐξ ἀριστεροῦ ὀλίγον ἄκρητον ἐῤῥύη. [15] διαχωρήματα ὅμοια, οὖρα ὅμοια. [16] ἐφίδρωσε περὶ κεφαλὴν καὶ κληῖδα. [17] σπλὴν ἐπήρθη, μηροῦ ὀδύνη κατ' ἴξιν. [18] ὑποχονδρίου δεξιοῦ ξύντασις ὑπολάπαρος. [19] νυκτὸς οὐκ ἐκοιμήθη, παρέκρουσε σμικρά. [20] πέμπτη διαχωρήματα πλείω, μέλανα, ἔπαφρα. ὑπόστασις μέλαινα διαχωρήμασι. [21] νύκτα οὐχ ὕπνωσε, παρέκρουσε. [22] ἕκτη διαχωρήματα μέλανα, λιπαρὰ, ὑπόγλισχρα, δυσώδεα. [23] ὕπνωσε, κατενόει μᾶλλον. [24] ἑβδόμη γλῶσσα ἐπίξηρος, διψώδης. [25] οὐκ ἐκοιμήθη, παρέκρουσεν. [26] οὖρα λεπτὰ, οὐκ εὔχροα. [27] ὀγδόη διαχωρήματα μέλανα, ὀλίγα, ξυνεστηκότα. [28] ὕπνωσε. κατενόει. διψώδης οὐ λίην. [29] ἐνάτη ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, ἵδρωσε, ψύξις, παρέκρουσε, δεξιῷ ἴλλαινε, γλῶσσα ἐπίξηρος, διψώδης, ἄγρυπνος. [30] δεκάτη περὶ τὰ αὐτά. [31] ἑνδεκάτη κατενόει πάντα. ἀπυ-

Dealcis horto decumbebat, capitis gravitatem, & tempus dextrum dolorosum habebat multo tempore. [3] Cum occasione vero febris corripuit, decubuit. [4] Secunda die ex sinistra nare modicus merus sanguis fluxit. [5] Ab alvo stercora probe prodierunt. [6] Urinæ tenues, variæ, in medio pendens quiddam habentes minutim dispersum, velut farinæ crassiores, & genituræ similes. [7] Tertia febris acuta, [8] secessus nigri, tenues, spumosi, [9] subsidentia secessibus livida: [10] somno graviore aliquantulum premebatur, [11] moleste surgebat. [12] Urinis subsidentia livida, subviscosa. [13] Quarta, vomuit biliosa, flava, pauca, paulo post æruginosa. [14] De sinistra nare modicus merus sanguis fluxit. [15] Secessus similes. Urinæ similes: [16] sudavit circa caput & claviculam: [17] splen elevatus est: femoris dolor è directo. [18] Præcordii dextri distentio submollis: [19] nocte non dormivit: parum mente motus est. [20] Quinta, secessus plures, nigri, spumosi, subsidentia secessibus nigra: [21] nocte non dormivit: mente motus est. [22] Sexta die, secessus nigri, pingues, viscosi, graveolentes: [23] dormivit, intelligebat magis. [24] Septima, lingua sicca, siticulosus, [25] non dormivit, mente motus est. [26] Urinæ tenues, non boni coloris. [27] Octava secessus nigri, pauci, compacti: [28] dormivit: intelligebat: siticulosus non valde. [29] Nona riguit: febris acuta: sudavit: frigiditas: mente motus est: dextro oculo distortus est: lingua arida, siticulosus, insomnis. [30] Decima circa eadem. [31] Undecima intelligebat per totum

ἄπυρος. ³¹ ὕπνωσεν. οὖρα λεπτὰ περὶ κρίσιν. ³² δύο διέλιπεν ἄπυρος. ³³ ὑπέστρεψεν τεσσαρεσκαιδεκάτῃ. ³⁴ αὐτίκα δὲ νύκτα οὐκ ἐκοιμήθη, διενόει πάντα, παρέκρουσε. ³⁵ πεντεκαιδεκάτῃ οὖρον θολερόν, οἷον ἐκ τῶν καθεστηκότων γίνεται, ὅταν ἀναταραχθῇ. ³⁶ πυρετὸς ὀξύς, πάντα παρέκρουσεν, οὐκ ἐκοιμήθη, ³⁷ γούνατα καὶ κνήμας ἐπώδυνα εἶχεν. ³⁸ ἀπὸ δὲ κοιλίης βαλάνου προστεθείσης μέλανα κόπρανα διῆλθεν. ³⁹ ἑκκαιδεκάτῃ οὖρα λεπτά· εἶχε δὲ ἐναιώρημα ἐπινέφελον. ⁴⁰ παρέκρουσεν. ⁴¹ ἑπτακαιδεκάτῃ, περὶ πρωὶ ἄκρεα ψυχρά, περιεστέλλετο. ⁴² πυρετὸς ὀξύς· ἵδρωσε δι' ὅλου. ἐκουφίσθη. κατενόει μᾶλλον. ⁴³ οὐκ ἄπυρος, διψώδης. ⁴⁴ ἤμεσε χολώδεα, ξανθά, ὀλίγα. ⁴⁵ ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθε μετ' ὀλίγον δὲ μέλανα, ὀλίγα, λεπτά. ⁴⁶ οὖρα λεπτά, οὐκ εὔχροα. ⁴⁷ ὀκτωκαιδεκάτῃ οὐ κατενόει, κωματώδης. ⁴⁸ ἐννεακαιδεκάτῃ διὰ τῶν αὐτῶν. οὖρα λεπτά. ⁴⁹ εἰκοστῇ ὕπνωσε, κατενόει πάντα, ἵδρωσεν ἄπυρος, οὐκ ἐδίψη, οὖρα δὲ λεπτά. ⁵⁰ εἰκοστῇ πρώτῃ σμικρὰ παρέκρουσεν, ὑπεδίψη, ὑποχονδρίου πόνος, καὶ περὶ ὀμφαλὸν παλμὸς διὰ τέλεος. ⁵¹ εἰκοστῇ κατενόει πάντα. ⁵² εἰκοστῇ ἑβδόμῃ ἰσχίου δεξιοῦ ὀδύνη, ⁵³ οὖρα λεπτὰ καὶ εἶχεν ὑπόστασιν. ⁵⁴ τὰ δ' ἄλλα εἶχεν ἐπιεικέστατα. ⁵⁵ περὶ δὲ εἰκοστὴν ἐνάτην ὀφθαλμοῦ δεξιοῦ ὀδύνη, οὖρα λεπτά. ⁵⁶ τεσσαρακοστῇ διεχώρησε φλεγματώδεα, λευκά, ὑπόσυχνα. ⁵⁷ ἵδρωσε πολλῷ δι' ὅλου. ⁵⁸ τελέως ἐκρίθη. ⁵⁹ πιθ. N, Δ. I. ΙΔ. M. Y.

tum omnia, à febre liber: sudavit: urinæ tenues circa iudicationem. 32 Duobus à febre liber fuit, 33 decimaquarta rediit. 34 Statim autem nocte non dormivit: penitus mente motus est. 35 Decimaquinta urina turbata, qualis ex his quæ subsiderunt fit, quum fuerint agitata: 36 febris acuta: penitus mente motus est: non dormivit: 37 genua & tibias dolorosa habebat: 38 ab alvo subdita glande, stercora nigra prodierunt. 39 Decimasexta urinæ tenues, habebant quid in medio vehens nubilosum: 40 mente motus est. 41 Decimaseptima mane extremitates frigidæ: contegebatur: 42 febris acuta: sudavit per totum: allevatus est: intelligebat magis: 43 non à febre liber, siticulosus. 44 Vomuit biliosa, flava, pauca. 45 Ab alvo stercora prodierunt paulo post nigra, pauca, tenuia. 46 Urinæ tenues, non boni coloris. 47 Decimaoctava non resipiscebat: soporosus. 48 Decimanona per eadem. 49 Vigesima dormivit, omnia intelligebat: à febre liber: non sitiebat. 50 Vigesimaprima parum mente motus est: paululum sitiebat: præcordii dolor, & circa umbilicum palpitatio perpetuo. 51 Vigesimaquarta urinis subsidentia: intelligebat omnia. 52 Vigesimaseptima coxæ dextræ dolor. 53 Urinæ tenues, & subsidentiam habebant: 54 in reliquis commodissime habebat. 55 Circa vigesimamnonam oculi dextri dolor: urinæ tenues. 56 Quadragesima egessit pituitosa, alba, aliquanto plura: 57 multum sudavit per totum: 58 perfecte iudicatus est.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Ἄῤῥωστος τέταρτος. [2] Ἐν Θάσῳ Φιλίστης κεφαλὴν ἐπόνεε χρόνον πουλύν. [3] καί ποτε καὶ ὑποκαρωθεὶς κατεκλίθη. [4] ἐκ δὲ πότων πυρετῶν ξυνεχέων γενομένων, ὁ πόνος παρωξύνθη. [5] νυκτὸς ἐπεθερμάνθη τὸ πρῶτον. [6] τῇ πρώτῃ ἤμεσε χολώδεα, ὀλίγα, ξανθὰ, τὸ πρῶτον· μετὰ δὲ πλείω ἰώδεα. [7] πλέω δὲ ἀπὸ κοιλίης κόπρανα διῆλθε. [8] νύκτα δυσφόρως. [9] δευτέρῃ κώφωσις, πυρετὸς ὀξύς. [10] ὑποχόνδριον δεξιὸν ξυνετάθη, ἔῤῥεπεν ἐς τὰ ἔσω. [11] οὖρα λεπτὰ, διαφανέα· εἶχεν ἐναιώρημα γονοειδὲς. [12] σμικρὸν ἐξεμάνη περὶ μέσον ἡμέρης. [13] τρίτῃ δυσφόρως. [14] τετάρτῃ σπασμοὶ, παρωξύνθη πάντα. [15] πέμπτῃ πρωῒ ἀπέθανεν.

Ἄῤῥωστος πέμπτος. [2] Χαιρίωνα, ὃς κατέκειτο παρὰ Δημαινέτω, ἐκ πότου πῦρ ἔλαβεν. [3] αὐτίκα δὲ κεφαλῆς βάρος ἐπώδυνον, οὐκ ἐκοιμᾶτο. [4] κοιλίη ταραχώδης, λεπτοῖσιν, ὑποχολώδεσι. [5] τρίτῃ πυρετὸς ὀξύς. [6] κεφαλῆς τρόμος, μάλιστα δὲ χείλεος τοῦ κάτω. [7] μετ' ὀλίγον δὲ ῥῖγος, σπασμοὶ, πάντα παρέκρουσε. [8] νύκτα δυσφόρως. [9] τετάρτῃ δι' ἡσυχίης, μικρὰ ἐκοιμήθη, παρέλεγε. [10] πέμπτῃ ἐπιπόνως πάντα παρωξύνθη, λῆρος. [11] νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη. [12] ἕκτῃ διὰ τῶν αὐτῶν. [13] ἑβδόμῃ ἐπεῤῥίγωσε, πυρετὸς ὀξύς. [14] ἵδρωσε, δι' ὅλου ἐκρίθη. [15] τούτῳ διὰ τέλεος ἀπὸ κοιλίης διαχωρήματα χολώ-

SECTIO SECVNDA.

Ægrotus quartus. [2] In Thaso Philistes caput multo tempore dolebat: [3] & quandoque etiam aliquanto graviore somno pressus decubuit. [4] Quum autem ex potationibus febres continuæ obortæ essent, dolor exacerbatus est: [5] nocte excalefactus est primum. [6] Prima die, vomuit biliosa, pauca, flava primum, postea vero plus æruginosa. [7] Ab alvo autem stercora prodibant: [8] noctem habuit molestam. [9] Secunda die, surditas: febris acuta: [10] præcordium dextrum distentum est, declinavit ad internas partes. [11] Urinæ tenues, pellucidæ, habebant quiddam in medio pendens genituræ simile. [12] Parum insanivit circa meridiem [13] Tertiam diem molestam habuit. [14] Quarta convulsiones: exacerbata sunt omnia. [15] Quinta mane mortuus est.

Ægrotus quintus. [2] Chærionem qui decumbebat apud Dempænetum, ex potu febris corripuit. [3] Statim autem capitis gravitas dolorosa: non dormivit: [4] alvus turbata ex tenuibus biliosis. [5] Tertia die febris acuta: [6] capitis tremor, maxime autem labii inferni: [7] paulo post rigor, convulsiones: penitus mente motus est. [8] Noctem moleste tulit. [9] Quarta, per quietem, parum dormivit: parum deliravit. [10] Quinta, laboriose omnia exacerbata sunt: delirium: [11] noctem moleste tulit, non dormivit. [12] Sexta, per eadem. [13] Septima, superriguit: febris acuta, [14] sudavit per totum: judicatus est. [15] Huic perpetuo ab alvo secessus biliosi, pauci

χολώδεα, ὀλίγα, ἄκρητα. 16 οὖρα λεπτὰ, εὔχροα, ἐναιώρημα ἐπινέφελον ἔχοντα. 17 περὶ δὲ ὀγδόην οὔρησεν εὐχροώτερα, ἔχοντα ὑπόστασιν λευκὴν, ὀλίγην. 18 κατενόει, ἀπύρετος διέλιπεν. 19 ἐνάτη ὑπέστρεψεν. 20 περὶ δὲ τεσσαρεσκαιδεκάτην πυρετὸς ὀξὺς, "ἵδρωσεν. 21 ἑξκαιδεκάτη ἤμεσε χολώδεα, ξανθὰ, ὑπόσυχνα. 22 ἑπτακαιδεκάτη "ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, 23 ἵδρωσεν, ἄπυρος, ἐκρίθη. 24 οὖρα μετὰ ὑποστροφὴν καὶ κρίσιν "εὐχροώτερα, ὑπόστασιν ἔχοντα. 25 οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ. 26 ὀκτωκαιδεκάτη ἐθερμαίνετο σμικρὰ, "ὑπεδίψα. 27 οὖρα λεπτὰ, ἐναιώρημα ἐπινέφελον. 28 'σμικρὰ παρέκρουσε. 29 περὶ ἐννεακαιδεκάτην ἄπυρος, "τράχηλον ἐπωδύνως εἶχεν, οὔροισιν ὑπόστασις. 30 τελέως ἐκρίθη εἰκοστῇ. 31 ☧. Χ. Π. Δ. ΟΥ. Κ. Υ.

1 "Ἄῤῥωστος ἕκτος. 2 "Τὴν Εὐρυάνακτος θυγατέρα παρθένον πῦρ ἔλαβεν. 3 "ἦν δὲ ἄδιψος διὰ τέλεος. 4 "γεύματα 'οὐ προσεδέχετο. 5 "ἀπὸ δὲ κοιλίης σμικρὰ διῄει. 6 οὖρα λεπτὰ, ὀλίγα, οὐκ εὔχροα. 7 ἀρχομένου 'δὲ τοῦ πυρετοῦ "περὶ ἕδρην ἐπόνεε. 8 "ἑκταίη δὲ ἐοῦσα ἄπυρος, οὐχ ἵδρωσεν, ἐκρίθη. 9 τὸ δὲ περὶ τὴν ἕδρην σμικρὰ ἐξεπύησεν, ἐῤῥάγη ἅμα κρίσει. 10 μετὰ δὲ κρίσιν, ἑβδομαίη ἐοῦσα, ἐῤῥίγωσε, "σμικρὰ ἐπεθερμάνθη, ἵδρωσεν. 11 μετὰ δὲ κρίσιν, ὀγδοαίη ἐοῦσα, ἐῤῥίγωσεν οὐ πολλά. 12 ὕστερον δὲ, ἄκρεα ψυχρὰ αἰεί. 13 περὶ δεκάτην μετὰ τὸν ἱδρῶτα τὸν γενόμενον,

pauci, meri. 16 Urinæ tenues, boni coloris, in medio nubilosum quiddam pendens habentes. 17 Circa octavam minxit urinas melioris coloris, habentes subsidentiam albam, paucam: 18 resipiscebat: febris 'intermisit. 19 Nona, rediit. 20 Circa decimamquartam febris acuta: sudavit. 21 Decimasexta vomuit biliosa, flava, satis multa. 22 Decimaseptima superriguit: febris acuta: 23 sudavit: à febre liber, judicatus est. 24 Urinæ post recidivam & judicationem, melioris coloris, subsidentiam habentes. 25 Neque mente motus est in recidiva. 26 Decimaoctava parum calescebat: insuper sitiebat. 27 Urinæ tenues, quod in medio pendebat 'nubilosum erat: 28 parum mente motus est. 29 Circa decimamnonam à febre liber, collum dolorosum habebat. Urinis subsidentia: 30 perfecte judicatus est vigesima. 31 P. M. P. V. V. S. hoc est, Probabile multitudine biliosarum urinarum vigesima sanatum.

Ægrotus sextus. 2 Euryanactis filiam virginem febris corripuit. 3 Erat autem sine siti perpetuo, 4 'nihil ad gustandum admittebat. 5 Ab alvo pauca prodibant. 6 Urinæ tenues, paucæ, non boni coloris. 7 Incipiente autem febre, circa sedem dolebat. 8 Sexta die, à febre libera, non sudavit: judicata est. 9 Quod vero circa sedem erat, parum suppuratum est: erupit una cum judicatione. 10 Post judicationem septima die, riguit, parum incaluit, sudavit: 11 post judicationem octava die, riguit non multum: 12 'postea vero extremitates frigidæ semper. 13 Circa decimam post factum sudorem, mente

μένη, παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόει. [14] ἔλεγον δὲ γευσαμένην βότρυος ταῦτα παθεῖν. [15] Διαλιποῦσα δὲ δυωδεκάτῃ, πάλιν πολλὰ παρελήρει. [16] κοιλίη ἐπεταράχθη, χολώδεσιν, ὀλίγοισι καὶ ἀκρήτοισι, λεπτοῖσιν, δακνώδεσι. [17] πυκνὰ ἀνίστατο. [18] ἀφ' ἧς δὲ παρέκρουσε τὸ ὕστερον, ἀπέθανεν ἑβδόμη. [19] αὕτη, ἀρχομένου τοῦ νοσήματος, ἤλγεε φάρυγγα, καὶ διὰ τέλεος ἔρευθος εἶχε. [20] καὶ γαργαρεὼν ἀνεσπασμένος. [21] ῥεύματα πολλὰ, σμικρὰ, δριμέα. [22] ἔβησσε, πέπονα οὐδὲν ἀνῆγε. [23] ἀπόσιτος πάντων παρὰ πάντα τὸν χρόνον, οὐδ' ἐπεθύμησεν οὐδενός. [24] ἄδιψος, οὐδ' ἔπινεν οὐδὲν ἄξιον λόγου. [25] σιγῶσα οὐδὲν διελέγετο. [26] δυσθυμίη ἀνελπίστως ἑωυτῆς εἶχεν. [27] ἦν δέ τι καὶ ξυγγενικὸν φθινῶδες. [28] ΠΙ. Ε.Α.Π.Α.ΕΕ.Φ.

Ἄῤῥωστος ἕβδομος. [2] Κυναγχικὴ, ἡ παρὰ τοῦ Ἀρίστωνος ἦν, πρῶτον ἀπὸ γλώσσης ἤρξατο. [3] ἀσαφὴς ἡ φωνὴ, γλῶσσα ἐρυθρὴ, ἐπεξηράνθη. [4] τῇ πρώτῃ φρικώδης ἐπεθερμάνθη. [5] τρίτῃ ῥῖγος, πυρετὸς ὀξύς. [6] οἴδημα ὑπέρυθρον, σκληρὸν, τραχήλου καὶ ἐπὶ στῆθος ἐξ ἀμφοτέρων. [7] ἄκρεα ψυχρὰ, πελιδνά. [8] πνεῦμα μετέωρον. [9] ποτὸν διὰ ῥινῶν ἐνεχεῖτο, [10] καταπίνειν οὐκ ἠδύνατο. [11] τὰ διαχωρήματα καὶ οὖρα ἐπέστη. [12] τεταρτῃ πάντα παρωξύνθη. [13] πέμπτῃ ἀπέθανε. κυναγχική. [14] ΠΙ. Δ.Ε.Ε.Θ.

Ἄῤῥωστος ὄγδοος. [2] Τὸ μειράκιον, ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, πῦρ ἔλαβεν ἐκ κόπων καὶ πόνων καὶ δρόμων παρὰ τὸ ἔθος. [3] τῇ πρώτῃ κοιλίη ταραχώδης, χολώδεσι,

mente mota est: & rursus brevi resipiscebat. [14] Dicebant autem ex gustato botro ipsam hæc pati. [15] Die vero una intermissa, rursus duodecima multum delirabat; [16] alvus turbata est ex biliosis, paucis, meris, tenuibus, mordacibus: [17] frequenter surgebat. [18] Die septima ab ea qua mente mota fuit, mortua est. [19] Hæc incipiente morbo fauces dolebat: & perpetuo ruborem habebat: [20] & gurgulio revulsus: [21] fluxiones multæ, parvæ, tenues, acres. [22] Tussiebat, maturum nihil educebat. [23] Omnes cibos per totum tempus fastidiebat, neque ullum aliquem appetivit: [24] sine siti erat; neque quicquam memorabile bibit. [25] Tacens nihil loquebatur. [26] Tristitia desperata rursus corripiebat. [27] Erat autem & innata quædam tabes.

Ægrotus septimus. [2] Anginosa illa quæ apud Aristonem erat, primum à lingua cœpit. [3] Vox non clara, lingua rubra resiccata fuit. [4] Prima die, horrida, incaluit. [5] Tertia, rigor, febris acuta, [6] tumor subruber, durus, colli & pectoris ex utraque parte: [7] extremitates frigidæ, lividæ. [8] Spiritus sublimis: [9] potus per nares fundebatur, [10] deglutire non poterat: [11] alvi secessus & urinæ suppressa erant. [12] Quarta, omnia exacerbata sunt. [13] Mortua est anginosa. [14] P.S S.Q.M. hoc est, Probabile, secessibus suppressis quinta mortuam.

Ægrotus octavus. [2] Adolescentem qui decumbebat in Mendacium foro, febris corripuit, ex lassitudinibus, & laboribus, ac cursibus insolitis. [3] Prima die, alvus turbata ex biliosis, tenuibus,

λώδεσι, λεπτοῖσι, πολλοῖσιν. ⁴ οὖρα λεπτὰ ὑπομέλανα. ⁵ οὐχ ὕπνωσε, διψώδης. ⁶ δευτέρῃ πάντα παρωξύνθη. ⁷ διαχωρήματα πλείω ἀκαιρότερα. ⁸ οὐχ ὕπνωσε, τὰ τῆς γνώμης παρακρουστικά. ⁹ σμικρὰ ὑφίδρωσε. ¹⁰ τρίτῃ δυσφόρως διψώδης, ἀσώδης, πολὺς βληστρισμὸς, ἀπορίη, παρέκρουσεν, ¹¹ ἄκρεα πελιδνὰ καὶ ψυχρά, ¹² ὑποχονδρίου ἔντασις ὑπολάπαρος ἐξ ἀμφοτέρων. ¹³ τετάρτῃ οὐχ ὕπνωσεν, ἐπὶ τὸ χεῖρον. ¹⁴ ἑβδόμῃ ἀπέθανεν. ¹⁵ ἡλικίην περὶ εἴκοσι. ¹⁶ ΠΝ.Ξ.Ζ.Θ.

Ἄρρωστος ἔνατος. ² Ἡ παρὰ Τισαμενοῦ γυνὴ κατέκειτο, ³ ᾗ τὰ εἰλεώδεα δυσφόρως ὥρμησεν. ⁴ ἔμετοι πολλοί. ⁵ τὸ ποτὸν κατέχειν οὐκ ἠδύνατο. ⁶ πόνοι περὶ ὑποχόνδρια. ⁷ καὶ ἐν τοῖσι κάτω κατὰ κοιλίην πόνοι. ⁸ στρόφοι ξυνεχέες, ⁹ οὐ διψώδης. ¹⁰ ἐπεθερμαίνετο. ¹¹ ἄκρεα ψυχρὰ διατέλεος. ¹² ἀσώδης. ¹³ ἄγρυπνος. ¹⁴ οὖρα ὀλίγα, λεπτά. ¹⁵ διαχωρήματα, ὠμὰ, λεπτὰ, ὀλίγα. ¹⁶ ὠφελεῖν οὐκ ἔτι ἠδύνατο. ¹⁷ ἀπέθανεν.

Ἄρρωστος δέκατος. ² Γυναῖκα ἐξ ἀποφθορῆς νηπίου τῶν περὶ Παντιμίδην, τῇ πρώτῃ πῦρ ἔλαβεν. ³ ἡ γλῶσσα ἐπίξηρος, διψώδης, ἄγρυπνος. ⁴ κοιλίη ταραχώδης λεπτοῖσι, πολλοῖσιν, ὠμοῖσι. ⁵ δευτέρῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς. ⁶ ἀπὸ κοιλίης πολλά. οὐχ ὕπνωσε. ⁷ τρίτῃ μείζους οἱ πόνοι. ⁸ τετάρτῃ παρέκρουσεν. ⁹ ἑβδόμῃ ἀπέθανεν. ¹⁰ ἡ κοιλίη διὰ παντὸς ὑγρὴ, διαχωρήμασι πολλοῖσι, λεπτοῖσιν, ὠμοῖσιν. ¹¹ οὖρα ὀλίγα, λεπτά. ¹² πυρετὸς καῦσος.

Ἄρρω-

bus, multis. ⁴ Urinæ tenues subnigræ: ⁵ non dormivit: siticulosus. ⁶ Secunda, omnia exacerbata sunt. ⁷ Secessus plures, intempestiviores: ⁸ non dormivit. Mens turbata: ⁹ parum sudavit. ¹⁰ Tertia, moleste habuit: siticulosus, anxius: multa jactatio: desperatio: mente motus est. ¹¹ Extremitates lividæ ac frigidæ. ¹² præcordii intensio, submollis utrinque. ¹³ Quarta, non dormivit. Malum in pejus procedebat. ¹⁴ Septima, mortuus est. ¹⁵ Ætate circa vigesimum annum erat. ¹⁶ P. N. S. M. hoc est, Probabile, nova̅tionibus septima mortuum.

Ægrotus nonus. ² Quæ apud Tisamenum decumbebat mulier, ³ ei volvulosa moleste procedebant: ⁴ vomitus multi: ⁵ potum continere non poterat. ⁶ Dolores circa præcordia. ⁷ Et in infernis partibus juxta ventrem dolores, ⁸ tormina continua, ⁹ non siticulosa: ¹⁰ incalescebat. ¹¹ Extremitates frigidæ perpetuo: ¹² anxia: ¹³ insomnis. ¹⁴ Urinæ paucæ, tenues: ¹⁵ secessus crudi, tenues, pauci: ¹⁶ prodesse non amplius quicquam poterat. ¹⁷ Mortua est.

Ægrotus decimus. ² Mulierem ex his quæ apud Pantimedem degebant, ex abortu infantis prima die, febris corripuit. ³ Lingua arida: siticulosa, anxia, insomnis. ⁴ Alvus turbata ex tenuibus, multis, crudis. ⁵ Secunda die, supperriguit: febris acuta: ⁶ ab alvo prodiere multa: non dormivit. ⁷ Tertia die, dolores majores. ⁸ Quarta mente mota est. ⁹ Septima, mortua est. ¹⁰ Alvus semper lubrica, ex secessibus multis, tenuibus, crudis. ¹¹ Urinæ paucæ, tenues: ¹² febris ardens.

Ægro-

Ἄῤῥωστος ἑνδέκατος. 2 Ἑτέρην ἐξ ἀποφθορῆς περὶ πεντάμηνον πῦρ ἔλαβεν. 3 ἀρχομένη δὲ κωματώδης ἦν, καὶ ἄγρυπνος πάλιν. 4 ὀσφύος ὀδύνη, κεφαλῆς βάρος. 5 δευτέρη κοιλίη ἐπεταράχθη, ὀλίγοισι, λεπτοῖσιν, ἀκρήτοισι τὸ πρῶτον. 6 τρίτη πλείω, χείρω. 7 νυκτὸς οὐκ ἐκοιμήθη. 8 τετάρτη παρέκρουσε, φόβοι, δυσθυμίαι. 9 δεξιὸν ἴλλαινε. 10 ἵδρωσε περὶ κεφαλὴν ὀλίγῳ ψυχρῷ. 11 ἄκρεα ψυχρά. 12 πέμπτη πάντα παρωξύνθη. 13 πολλὰ παρέλεγε, καὶ πάλιν ταχὺ κατενόει, ἄδιψος, ἄγρυπνος. 14 κοιλίη πολλοῖσιν ἀκαίροισι διὰ τέλεος. 15 οὖρα ὀλίγα, λεπτά, ὑπομέλανα. 16 ἄκρεα ψυχρά, ὑποπέλιδνα. 17 ἕκτη διὰ τῶν αὐτῶν. 18 ἑβδόμη ἀπέθανε. 19 φρενιτικαί.

Ἄῤῥωστος δωδέκατος. 2 Γυναῖκα, ἥτις κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τότε τεκοῦσαν πρῶτον ἐπιπόνως ἄρσεν, πῦρ ἔλαβεν. 3 αὐτίκα ἀρχομένη διψώδης, ἀσώδης, καρδίην ὑπήλγει. 4 γλῶσσα ἐπίξηρος. 5 κοιλίη ἐπεταράχθη, λεπτοῖσιν, ὀλίγοισιν. 6 οὐχ ὕπνωσε. 7 δευτέρη σμικρὰ ἐπεῤῥίγωσε, πυρετὸς ὀξύς. μικρὰ περὶ κεφαλὴν ἵδρωσε ψυχρῷ. 8 τρίτη ἐπιπόνως ἀπὸ κοιλίης ὠμά, λεπτά, πολλὰ διῄει. 9 τετάρτη ἐπεῤῥίγωσε, πάντα παρωξύνθη, ἄγρυπνος. 10 πέμπτη ἐπιπόνως. 11 ἕκτη διὰ τῶν αὐτῶν. ἀπὸ κοιλίης δὲ ἦλθεν ὑγρὰ πολλά. 12 ἑβδόμη ἐπεῤῥίγωσε, πυρετὸς ὀξύς, δίψα πολλή, βληστρισμός. 13 περὶ δείλην ἵδρωσε δι' ὅλου ψυχρῷ. 14 ψύξις, ἄκρεα ψυχρά, οὐκ ἔτι ἀνεθερμαίνετο. 15 καὶ πάλιν ἐς νύκτα ἐπεῤῥίγωσεν, ἄκρεα

Ægrotus undecimus. 2 Alteram ex abortu circa quintum mensem, febris corripuit. 3 Ab initio soporosa erat: & rursus insomnis: 4 lumborum dolor: capitis gravitas. 5 Secunda, alvus turbata est paucis, tenuibus, meracis primum. 6 Tertia, plura, deteriora: 7 nocte non dormivit. 8 Quarta, mente mota est. Timores, tristitiæ: 9 dexter oculus distortus est: 10 sudavit circa caput sudorem modicum, frigidum: 11 extremitates frigidæ. 12 Quinta, omnia exacerbata sunt: 13 multum delirabat: & rursus brevi resipiscebat. Sitis: insomnis. 14 Ab alvo multa, intempestiva, perpetuo prodibant. 15 Urinæ paucæ, tenues, subnigræ. 16 Extremitates frigidæ, sublividæ. 17 Sexta, per eadem. 18 Septima, mortua est 19 phrenitide.

Ægrotus duodecimus. 2 Mulierem quæ decumbebat in Mendacium foro, primum tunc enixam dolorose masculum, febris corripuit. 3 Statim ab initio siticulosa, anxia, cor dolebat: 4 lingua arida: 5 venter turbatus est tenuibus, paucis: 6 non dormivit. 7 Secunda die, parum riguit: febris acuta: parum circa caput sudavit frigidum. 8 Tertia, laboriose ab alvo cruda, tenuia, multa prodierunt. 9 Quarta, riguit. Omnia exacerbata sunt. Insomnis. 10 Quinta, laboriose tulit. 11 Sexta, per eadem. Ab alvo vero prodierunt liquida, multa. 12 Septima, riguit: febris acuta, sitis multa: jactatio. 13 Circa vesperam frigidum sudorem per totum sudavit: 14 frigiditas: extremitates frigidæ, non amplius recalescebant: 15 & rursus ad noctem riguit. Extremæ partes non recalesce-

ἄκρεα οὐκ ἀνεθερμαίνοντο. [16] οὐχ ὕπνωσε, σμικρὰ παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόει. [17] ὀγδόῃ περὶ μέσον ἡμέρης ἀνεθερμάνθη, διψώδης, κωματώδης, ἀσώδης, ἤμεσε χολώδεα, μικρὰ, ὑπόξανθα. [18] νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, οὔρησε πολὺ ἀθρόον οὐκ εἰδυῖα. [19] ἐνάτῃ ξυνέδωκε πάντα, κωματώδης. [20] πρὸς δείλην σμικρὰ ἐπερρίγωσεν, ἤμεσε σμικρὰ, χολώδεα. [21] δεκάτῃ ῥῖγος, πυρετὸς παρωξύνθη, οὐχ ὕπνωσεν οὐδέν. [22] πρωῒ οὔρησε πολὺ, ὑπόστασιν ἔχον, ἄκρεα ἀνεθερμάνθη. [23] ἑνδεκάτῃ ἤμεσεν ἰώδεα, χολώδεα, ἐπερρίγωσεν οὐ μετ' πολὺ, καὶ πάλιν ἄκρεα ψυχρά. [24] ἐς δείλην ἱδρὼς, ῥῖγος, ἤμεσε πολλά. [25] νύκτα ἐπιπόνως. [26] δωδεκάτῃ ἤμεσε πολλὰ μέλανα δυσώδεα, λυγμὸς πολὺς, δίψος ἐπιπόνως. [27] τρισκαιδεκάτῃ μέλανα δυσώδεα πολλὰ ἤμεσε, ῥῖγος. [28] περὶ μέσον ἡμέρης ἄφωνος. [29] τεσσαρεσκαιδεκάτῃ αἷμα διὰ ῥινῶν, ἀπέθανεν. [30] ταύτῃ διὰ τέλεος κοιλίη ὑγρὴ, φρικώδης. [31] ἡλικίη περὶ ἔτεα ἑπτακαίδεκα.

calefcebant, [16] non dormivit, parum mente mota eft, & rurfus brevi refipuit. [17] Octava, circa meridiem recalefacta eft. Siticulofa, foporofa, faftidiofa ac naufeabunda. Vomuit biliofa, pauca, fubflava. [18] Noctem molefte tulit, non dormivit. Urinam minxit multam acervatam infcia. [19] Nona remiferunt omnia: foporofa. [20] Ad vefperam parum riguit. Vomuit pauca, biliofa. [21] Decima, rigor, febris exacerbata eft, nihil dormivit. [22] Mane multam urinam fubfidentiam habentem minxit, extremitates recalefactæ funt. [23] Undecima vomuit virofa, biliofa. Non ita longe poftea fuperriguit, & rurfus extremitates frigidæ. [24] Ad vefperam fudor, rigor. Vomuit multum, [25] noctem laboriofe tranfegit. [26] Duodecima vomuit multa, nigra, graveolentia: fingultus multus, fitis laboriofa. [27] Decimatertia nigra, graveolentia: multa vomuit: rigor. [28] circa meridiem voce deftituta [29] Decimaquarta, fanguis per nares. Mortua eft. [30] Huic perpetuo alvus lubrica, horrida. [31] Ætas circa annum decimumfeptimum.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

[1] Κατάστασις λοιμώδης. [2] Ἔτος νότιον, ἔπομβρον, ἄπνοια διὰ τέλεος. [3] αὐχμῶν δὲ γενομένων, τοῖς ὑποκάτωθεν χρόνοις ἐν τοῖσιν ἐνιαυτοῖς. [4] ἐν νοτίοισι περὶ ἀρκτοῦρον ὕδατα πολλά. [5] φθινόπωρον σκιῶδες, ἐπινέφελον, ὑδάτων πλῆθος. [6] χειμὼν νότιος, ὑγρὸς, μαλακός. [7] μετὰ δὲ ἡλίου τροπὰς ὕστερον πολλῷ, πλησίον ἰσημερίης, ὀπισθοχειμῶνες. [8] καὶ ἤδη περὶ ἰσημερίην βόρεια, χιονώδεα,

SECTIO TERTIA.

[1] Conftitutio temporis peftilens. [2] Annus auftrinus, pluvius. Venti perpetuo quiefcentes. [3] Quum fqualIores fuiffent fuperioribus temporibus ad annum, [4] in auftrinis circa arcturum aquæ multæ. [5] Autumnus, umbrofus, nubilus: aquarum copia. [6] Hyems auftrina, humida, mollis. [7] Poft folftitium longe poftea, prope æquinoctium feræ hyemes. [8] Et jam circa æquinoctium aquilonares venti nivofi

καὶ πουλὺν χρόνον. 9 ἦρ πάλιν νότιον, ἄπνοον, ὕδατα πολλὰ διὰ τέλεος μέχρι κυνός. 10 θέρος αἴθριον, θερμόν, πνίγεα μεγάλα. ἐτησίαι σμικρὰ διεσπασμένως ἔπνευσαν. 11 πάλιν δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισιν ὕδατα πολλά. 12 γενομένου δὲ τοῦ ἔτεος νοτίου καὶ ὑγροῦ καὶ μαλθακοῦ, κατὰ μὲν τὸν χειμῶνα διῆγον ὑγιηρῶς, 13 πλὴν τῶν φθινωδέων, περὶ ὧν γεγράψεται.

14 Πρωῒ δὲ τοῦ ἦρος ἅμα τοῖσι γενομένοισι ψύχεσιν ἐρυσιπέλατα πολλά· τοῖσι μὲν μετὰ προφάσιος, τοῖσι δ' οὔ· κακοήθεα πολλοὺς ἔκτεινε. 15 πολλοὶ φάρυγγας ἐπόνησαν, φωναὶ κεκακωμέναι, 16 καῦσοι, φρενιτικοί, στόματα ἀφθώδεα, 17 αἰδοίοισι φύματα, ὀφθαλμίαι, ἄνθρακες, 18 κοιλίαι ταραχώδεες, ἀπόσιτοι, διψώδεες οἱ μέν, οἱ δ' οὔ. 19 οὖρα ταραχώδεα, πολλά, κακά. 20 κωματώδεες ἐπὶ πουλύ, καὶ πάλιν ἄγρυπνοι. 21 ἀκρισίαι πολλαί, δύσκριτα. 22 ὕδρωπες, φθινώδεες πολλοί. 23 τὰ μὲν ἐπιδημήσαντα νοσήματα ταῦτα. 24 ἑκάστου δὲ τῶν ὑπογεγραμμένων εἰδέων ἦσαν οἱ κάμνοντες, καὶ ἔθνησκον πολλοί. 25 ξυνέπιπτε δ' ἐφ' ἑκάστοισι τουτέων ὧδε. 26 πολλοῖσι μὲν τὸ ἐρυσίπελας μετὰ προφάσιος ἐπὶ τοῖσι τυχοῦσι καὶ πάνυ ἐπὶ σμικροῖσι τρωματίοισιν ἐφ' ὅλῳ τῷ σώματι· 27 μάλιστα δὲ τοῖσι περὶ ἑξήκοντα ἔτεα περὶ κεφαλήν, εἰ καὶ σμικρὸν ἀμεληθείη. 28 πολλοῖσι δὲ καὶ ἐν θεραπείῃ ἐοῦσι μεγάλαι φλεγμοναὶ ἐγίνοντο. 29 καὶ τὸ ἐρυσίπελας πουλὺ ταχὺ πάντοθεν ἐπενέμετο. 30 τοῖσι μὲν οὖν πλείστοισιν αὐτῶν ἀποστάσιες ἐς ἐμπυήματα ξυνέπιπτον, σαρκῶν [τε] καὶ νεύρων καὶ ὀστέων ἀκ-

non multo tempore. 9 Ver rursus austrinum, sine ventis. Aquæ multæ perpetuo usque ad canem. 10 Æstas serena, calida: æstus magni. Etesiæ parum dispersum spirarunt. 11 Rursus circa arcturum in aquilonaribus aquæ multæ. 12 Quum autem esset annus austrimis, humidus, & mollis, per hyemem quidem sani degebant, 13 exceptis tabidis, de quibus scribetur.

14 Ante ver autem simul cum orientibus frigoribus, sacri ignes multi, quibusdam cum occasione, quibusdam non, atque hi maligni multos peremerunt. 15 Multi fauces doluerunt. Voces vitiatæ: 16 febres ardentes, phrenitici: ora ulcere fervido affecta, 17 in pudendis tubercula. Lippitudines: carbunculi: 18 alvi turbatæ: ciborum fastidia. Aliqui siticulosi, aliqui non. 19 Urinæ turbatæ, multæ, malæ. 20 Diu soporosi, & rursus insomnes. 21 Multæ judicationes penitus interceptæ: quædam ægre contingentes. 22 Hydropes: tabidi multi. 23 Atque hi quidem erant populares morbi. 24 In singulis autem relatis speciebus ægroti, & moriebantur multi. 25 Acciderunt autem singulis horum hoc modo. 26 Multis equidem ignis sacer cum occasione, ex vulgaribus & valde parvis ulcusculis, in toto corpore, 27 maxime sexagenariis, circa caput, si vel parum neglecta essent. 28 Multis vero etiam in ipsa curatione, inflammationes magnæ fiebant: 29 & sacer ignis multus: brevi, undique depascebatur. 30 Plurimis igitur ipsorum abscessus ad suppurationes contigerunt: carnium & nervorum ac ossium elapsus

ἐκπλώσιες μεγάλαι. [31] ἦν δὲ καὶ τὸ ῥεῦμα τὸ ξυνιστάμενον οὐ πύῳ ἴκελον, ἀλλὰ σηπεδών τις ἄλλη, καὶ ῥεῦμα πολὺ καὶ ποικίλον. [32] οἷσι μὲν οὖν περὶ κεφαλὴν τούτων τι ξυμπίπτοι γίνεσθαι, μαδησίες τε ὅλης τῆς κεφαλῆς ἐγίνοντο, καὶ τοῦ γενείου καὶ ὀστέων ψιλώματα, καὶ ἐκπλώσιες, καὶ πολλὰ ῥεύματα. [33] ἐν πυρετοῖσί τε ταῦτα, καὶ ἄνευ πυρετῶν. [34] ἦν δὲ ταῦτα φοβερώτερα ἢ κακίω. [35] οἷσι γὰρ ἐς ἐμπύημα ὁ τῶν τοιούτων ἀφίκοιτο πεπασμὸς, οἱ πλεῖστοι τούτων ἐσώζοντο. [36] οἷσι δὲ ἡ μὲν φλεγμονὴ καὶ τὸ ἐρυσίπελας ἀπέλθοι, τοιαύτην δὲ ἀπόστασιν μηδεμίην ποιήσαιτο, τούτων ἀπώλλυντο πολλοί. [37] ὁμοίως δὲ καὶ, εἴ πη ἄλλῃ τοῦ σώματος πλανηθείη, ξυνέπιπτε ταῦτα. [38] πολλοῖσι μὲν γὰρ βραχίων καὶ πῆχυς ὅλος περιεῤῥύη. [39] οἷσι δ' ἐπὶ τὰ πλευρὰ, ταῦτα ἐκακοῦτο, ἢ τῶν ἔμπροσθέν τι, ἢ τῶν ὄπισθεν. [40] οἷσι δὲ ὅλος ὁ μηρὸς, ἢ τὰ περὶ κνήμην ἐψιλοῦτο, καὶ ποὺς ὅλος. [41] ἦν δὲ πάντων χαλεπώτατον τῶν τοιούτων, ὅτε περὶ ἥβην καὶ αἰδοῖα γένοιτο. [42] καὶ τὰ μὲν περὶ ἕλκεα καὶ μετὰ προφάσιος τοιαῦτα. [43] πολλοῖσι δὲ ἐν πυρετοῖσι, καὶ πρὸ πυρετοῦ, καὶ ἐπὶ πυρετοῖσι, ξυνέπιπτεν. [44] ἦν δὲ καὶ τούτων ὅσοι μὲν ἀπόστασιν ποιήσαιντο διὰ τοῦ ἐμπυήματος, ἢ κατὰ κοιλίην ταραχή τις ἐπίκαιρος, ἢ χρηστῶν οὔρων διάδοσις γένοιτο, διὰ τούτων λελύσθαι. [45] οἷσι δὲ μηδὲν τούτων ξυμπίπτοι, ἀσήμως δὲ ἀφανιζομένων, θανατώδεα γίνεσθαι. [46] πολὺ μὲν οὖν πλεῖστα ξυνέπιπτε τὰ περὶ τὸ ἐρυσίπελας τοῦ ἦρος. [47] παρείπετο δὲ καὶ διὰ τοῦ θέρεος, καὶ ὑπὸ φθινόπωρον.

psus magni. [31] Erat autem & fluxio collecta, non puri similis, sed alia quædam putredo, & fluxio multa ac varia. [32] Quibus igitur circa caput horum quid fieri contigit, his glabricies totius capitis ac menti fiebat: & ossium denudationes ac elapsus: & multæ fluxiones, [33] & hæc in febribus, & sine febribus. [34] Erant autem hæc horrenda magis quam mala. [35] Quibus enim ad suppurationem talium maturatio pervenit, horum plerique servabantur. [36] Quibus vero inflammatio quidem & ignis sacer discessit, talem autem nullum abscessum fecit, horum multi perierunt. [37] Similiter autem & si alicubi in alia corporis parte horum quid oberraret, hæc acciderunt. [38] Multis enim brachium, & totus cubitus defluxit. [39] Quibusdam vero hæc affligebant latera, aut anteriorem aut posteriorem aliquam partem. [40] Quibusdam autem totum femur, vel tibiæ denudabantur, & totus pes. [41] Erat autem ex talibus omnium gravissimum, ubi circa pubem & pudenda accidisset: [42] & circa ulcera quidem & cum occasione, hujuscemodi erant. [43] Multis autem in febribus, & ante febrem, & ex febribus ignes sacri inciderunt: [44] & qui quidem horum abscessum fecissent per suppurationem, aut per alvum turbatio quædam tempestiva, aut urinarum bonarum excretio contigisset, per hæc solvebantur. [45] Quibus autem nihil horum accidisset, verum obscure disparuisset, hi lethales erant. [46] Plerunque igitur plurimis accidit sacer ignis vere, [47] consequebantur autem & per æstatem, & sub autumnum.

ρον. 48 πολλὴ δὲ ταραχή τισιν, καὶ τὰ περὶ τὴν φάρυγγα φύματα, καὶ φλεγμοναὶ γλώσσης, καὶ τὰ περὶ ὀδόντας ἀποστήματα, 49 φωναί τε πολλοῖσιν ἐπεσημαίνοντο, κατεχόμεναι καὶ κατειλλόμεναι· 50 πρῶτον μὲν φθινώδεσιν ἀρχομένοισιν, ἀτὰρ καὶ τοῖσι καυσώδεσι, καὶ τοῖσι φρενιτικοῖσιν.

51 Ἤρξαντο μὲν οὖν οἱ καῦσοι καὶ τὰ φρενιτικὰ πρὸ τοῦ ἦρος μετὰ τὰ γενόμενα ψύχεα. 52 καὶ πλεῖστοι τηνικαῦτα ἐνόσησαν, ὀξέα τε τούτοισι καὶ θανατώδεα ξυνέπιπτεν. 53 ἦν δὲ ἡ κατάστασις τῶν γενομένων καύσων ὧδε. 54 ἀρχόμενοι κωματώδεες, ἀσώδεες, φρικώδεες. 55 πυρετὸς ὀξὺς, οὐ διψώδεες λίην, οὐ παράληροι. 56 ἀπὸ ῥινῶν ἔσταξε μικρά. 57 οἱ παροξυσμοὶ τοῖσι πλείστοισιν ἐν ἀρτίῃσι. 58 περὶ δὲ τοὺς παροξυσμοὺς λήθη καὶ ἄφεσις, καὶ ἀφωνίη. 59 ἄκρεά τε τούτοισιν αἰεὶ μὲν ψυχρότερα ποδῶν καὶ χειρῶν, πολὺ δὲ περὶ τοὺς παροξυσμοὺς μάλιστα, πάλιν τε βραδέως καὶ οὐ καλῶς ἀνεθερμαίνοντο· 60 καὶ πάλιν κατενόουν καὶ διελέγοντο. 61 κατεῖχε δὲ ἢ τὸ κῶμα ξυνεχὲς, οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἄγρυπνοι. 62 κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι τούτων διαχωρήμασιν ὠμοῖσι, λεπτοῖσι, πολλοῖσι. 63 οὖρα πολλὰ, λεπτὰ, κρίσιμον οὐδὲ χρηστὸν οὐδὲν ἔχοντα. 64 οὐδὲ ἄλλο κρίσιμον οὐδὲν τοῖσιν οὕτως ἔχουσιν ἐπεφαίνετο. 65 οὔτε γὰρ αἱμοῤῥάγει καλῶς, οὔτε τις ἄλλη τῶν εἰθισμένων ἀπόστασις ἐγένετο κρίσιμος. 66 ἔθνησκόν τε ἕκαστος, ὡς τύχοι, πεπλανημένως τὰ πολλὰ περὶ τὰς κρίσιας. 67 ἐκ πολλοῦ δὲ

num. 48 Multa vero turbatio quibusdam, & circa fauces tubercula, & linguæ inflammationes, & abscessus circa dentes. 49 Vocesque multis significationem de se præbebant, quod essent vitiatæ ac impeditæ & involutæ, 50 primum quidem, tabidis incipientibus, immo etiam ardenti febre correptis, & phreniticis.

51 Cœperunt igitur febres ardentes ante ver, itemque phrenitis, post facta frigora: 52 & plurimi tunc ægrotarunt. Acuta vero & lethalia symptomata his aderant. 53 Erat autem constitutio febrium ardentium hoc modo. 54 Ab initio soporosi, anxii, horridi, 55 febris acuta, non valde siticulosi, non deliri. 56 De naribus parum stillavit. 57 Exacerbationes plerisque diebus paribus. 58 Circa exacerbationes oblivio, exolutio, & vocis privatio. 59 Extremitates manuum ac pedum semper his frigidiores, præsertim circa exacerbationes: & rursus tarde ac non bene recalescebant: 60 rursumque & intelligebant, & loquebantur. 61 Detinebat etiam ipsos sopor continuus, non somniculosus, aut vigiliæ cum doloribus. 62 Plurimis horum alvi turbulentæ, secessibus crudis, tenuibus, multis. 63 Urinæ multæ, tenues, nihil neque judicatorii, neque boni habentes. 64 Nec vero aliud aliquod judicatorium ita habentibus fiebat, 65 neque enim sanguis bene erumpebat, neque alius aliquis consuetus abscessus judicatorius fiebat. 66 Moriebaturque unusquisque prout contigit erroneo modo, plerunque circa judicationes. 67 Quidam vero diu voce pri-

δέ τινες ἄφωνοι· ἱδρῶντες πολλοί. 68 τοῖσι μὲν ὀλεθρίως ἔχουσι ξυνέπιπτε ταῦτα.

69 Παραπλήσια δὲ καὶ τοῖσι φρενιτικοῖσιν. 70 ἄδιψοι δὲ πάνυ οὗτοι ἦσαν. 71 οὐδ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς, ὥσπερ ἐπ' ἄλλοισιν, ἀλλ' ἄλλῃ τινὶ καταφορῇ κακῇ ναρκηρῇ καρηβαρέως ἀπώλλοντο. 72 ἦσαν δὲ καὶ ἄλλοι πυρετοὶ, περὶ ὧν γεγράψεται. 73 στόματα πολλοῖσιν ἀφθώδεα. 74 ἑλκώδεα ῥεύματα. 75 περὶ τὰ αἰδοῖα πολλὰ ἑλκώματα. 76 φύματα, ἔξωθεν, ἔσωθεν. τὰ περὶ βουβῶνας. 77 ὀφθαλμίαι ὑγραὶ, μακροχρόνιαι, μετὰ πόνων. 78 ἐπιφύσιες βλεφάρων, ἔξωθεν, ἔσωθεν, πολλῶν φθείροντες τὰς ὄψιας, ἃ σῦκα ἐπονομάζουσιν. 79 ἐφύετο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἑλκέων, πολλὰ καὶ αἰδοίοισιν. 80 ἄνθρακες πολλοὶ κατὰ θέρος. 81 καὶ ἄλλα, ἃ σὴψ καλέεται. 82 ἐκθύματα μεγάλα. 83 ἕρπητες πολλοῖσι μεγάλοι.

84 Τὰ δὲ κατὰ κοιλίην πολλοῖσι πολλὰ καὶ βλαβερὰ ξυνέβαινε. 85 πρῶτον μὲν τεινεσμοὶ πολλοῖσιν ἐπιπόνως, πλείστοισι δὲ παιδίοισι, καὶ πᾶσιν ὅσοι πρὸ ἥβης. 86 καὶ ἀπώλλυντο τὰ πλεῖστα τούτων. 87 λειεντερικοὶ πολλοί. 88 δυσεντερικοὶ οὐ λίην ἐπιπόνως. 89 τὰ δ' [ἐξιόντα] χολώδεα, καὶ λιπαρὰ, καὶ λεπτὰ, καὶ ὑδατώδεα. 90 πολλοῖσι μὲν αὐτὸ τὸ νόσημα ἐς τοῦτο κατέσκηψεν, καὶ ἄνευ τῶν πυρετῶν, καὶ ἐν πυρετοῖσι. 91 μετὰ πόνων στρόφοι καὶ ἀνειλήσιες κακοήθεες. 92 τῶν πολλῶν ἐνόντων τε καὶ ἐπεχόντων διέξοδοι· τὰ δ' ἐξιόντα πόνους οὐ λύοντα. 93 καὶ πολλὰ μόρια τῶν σωμάτων ἔπαθον· τοῖσι δὲ προσφερομένοισι δυσκόλως ὑπακούοντα. 94 καὶ γὰρ αἱ καθάρσιες τοὺς πλείστους προσ-

privati. Multi sudantes. 68 Et his quidem qui perniciose habebant, hæc acciderant.

69 Consimilia vero etiam phreniticis. 70 Sine siti autem hi erant. 71 Neque quisquam phreniticus insanivit, velut ex aliis, sed alia quadam mala ac lenta in somnum delatione graviter peribant. 72 Erant insuper etiam aliæ febres, de quibus scribetur. 73 Ora multis ulcere fervido affecta, 74 ulcerosæ. Fluxiones 75 circa pudenda multæ, ulcerationes. 76 Tubercula foris, intus, circa inguina. 77 Lippitudines humidæ, longæ, diuturnæ, cum doloribus. 78 Eruptiones palpebrarum foris, intus, multorum oculos corrumpentes, quas ficus vocant. 79 Erumpebant etiam in aliis ulceribus multa, & in pudendis. 80 Carbunculi per æstatem multi, 81 & aliæ quæ seps vocantur, 82 pustulæ magnæ. 83 Herpetes multis magni.

84 At vero circa alvum multis multa & nociva acciderunt. 85 Primum quidem tenesmi multis dolorosi: plurimis autem pueris, & omnibus qui erant ante pubertatem: 86 & plurimi horum peribant. 87 Lienterici multi, 88 dysenterici, neque hi valde dolorosi. 89 Secessus autem biliosi, & pingues, & tenues, & aquosi. 90 Et multis quidem ipse morbus ad hoc decubuit, & sine febribus & in febribus: 91 cum doloribus, tormina, & volvuli maligni: 92 multorum quæ in corpore erant, & suppressa erant, exitus: & exeuntia progressa dolores non solventia, 93 & his quæ offerebantur difficulter cedentia. 94 Nam purgationes plurimos amplius læ-

προσέβαλλε πρῶτον. 95 τῶν δὲ οὕτως ἐχόντων, πολλοὶ μὲν ὀξέως ἀπώλοντο, πολλοῖσι δὲ καὶ μακρότερον διῆγον. 96 ὡς δ᾽ ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντες, καὶ οἱ τὰ μακρὰ νοσέοντες καὶ οἱ τὰ ὀξέα, ἐκ τῶν κατὰ κοιλίην ἀπέθνησκον μάλιστα. 97 πάντας γὰρ κοιλίη ξυναπώλεσκεν.

98 ἀπόσιτοι δὲ πάντες μὲν ἐγένοντο, καὶ ἐπὶ πᾶσι τοῖσι προγεγραμμένοισιν, οἷς ἐγὼ οὐδέπω πω ἐνέτυχον. 99 πολλοὶ δὲ, μάλιστα αὐτοί τε καὶ οἱ ἐκ τοιούτων, καὶ ἐκ τῶν ἄλλων δὲ, οἱ καὶ ὀλεθρίως ἔχοιεν, διψώδεες οἱ μὲν, οἱ δ᾽ οὔ. 100 τῶν ἐν πυρετοῖσι καὶ τοῖσιν ἄλλοισιν οὐδεὶς ἀκαίρως, ἀλλ᾽ ἦν καὶ ποτὸν διαιτῆν, ὡς ἤθελες. 101 οὖρα δὲ πολλὰ μὲν τὰ διεξιόντα ἦν, οὐκ ἐκ τῶν προσφερομένων ποτῶν, ἀλλὰ πολὺ ὑπερβάλλοντα. 102 πολλὴ δέ τις καὶ τῶν οὔρων κακότης ἦν τῶν ἀπιόντων. 103 οὔτε γὰρ πάχος, οὔτε πεπασμοὺς, οὔτε καθάρσιας χρηστὰς εἶχον. 104 ἐπὶ πολλοῖσι γὰρ αἱ κατὰ κύστιν καθάρσιες χρησταὶ γινόμεναι, ἀγαθόν. 105 ἐσήμαινον δὲ τοῖσι πλείστοισι σύντηξιν, καὶ ταραχὴν, καὶ πόνους, καὶ ἀκρισίας. 106 κωματώδεες δὲ μάλιστα οἱ φρενιτικοὶ, καὶ οἱ καυσώδεες ἦσαν· 107 ἀτὰρ καὶ ἐπὶ τοῖσιν ἄλλοισι νοσήμασι πᾶσι τοῖσι μεγίστοισιν, ὅ, τι μετὰ πυρετοῦ γίνοιτο. 108 διὰ παντὸς δὲ τοῖσι πλείστοισιν, ἢ βαρὺ κῶμα παρείπετο, ἢ μικροὺς καὶ λεπτοὺς ὕπνους κοιμᾶσθαι.

109 Πολλὰ δὲ καὶ ἄλλα πυρετῶν ἐπεδήμησεν εἴδεα, τριταίων, τεταρταίων, νυκτερινῶν, ξυνεχέων, μακρῶν, πεπλανημένων, ἀσωδέων, ἀκαταστά-

debant. 95 Ex his autem qui sic habebant, multi quidem cito peribant: multi vero longius vitam degebant. 96 Et in summa; omnes & qui longis morbis ægrotabant, & qui ex acutis, maxime ex his quæ per alvum secedebant, mortui sunt. 97 Omnes enim alvus sustulit.

98 Cibum autem fastidiebant omnes, ob cunctos præscriptos morbos, in quos sane ego incidi. 99 Multi vero, & maxime hi ipsi, & qui tales erant, sed & alii, perniciose habebant: & siticulosi alii erant, alii non. 100 Ex his qui febribus aliisque laborabant, nullus siticulosus intempestive. Sed licebat circa potum victus rationem constituere, prout velles. 101 Urinæ autem prodeuntes multæ quidem erant, non pro potus ingesti ratione, sed multum excedentes. 102 Verum multa quædam malitia urinarum ejectarum erat: 103 neque enim crassitudinem, neque concoctiones, neque purgationes bonas habebant. 104 Nam in multis morbis purgationes per vesicam contingentes, bonæ sunt. 105 Significabant autem plurimis colliquationem, & turbationem, & dolores, & nullam judicationem. 106 Soporosi vero maxime phrenitici, & febre ardente laborantes erant: 107 sed & in aliis morbis omnibus maximis, qui cum febre fiebant. 108 In totum autem plurimos aut gravis sopor comitabatur, aut parvos ac tenues somnos habebant.

109 Multa præterea alia febrium genera populariter grassata sunt, tertianarum, quartanarum, nocturnarum, continuarum, erronearum, anxiarum,

ταραχῆς. [110] ἅπαντες δὲ οὗτοι μετὰ πολλῆς ἐγίνοντο ταραχῆς. [111] κοιλίαι τε γὰρ τοῖσι πλείστοισι ταραχώδεες, φρικώδεες, [καὶ] ἱδρῶτες οὐ κρίσιμοι, καὶ τὰ τῶν οὔρων ὡς ὑπογέγραπται. [112] μακρὰ δὲ τοῖσι πλείστοισι τούτων. οὐδὲ γὰρ αἱ γινόμεναι τούτοισιν ἀποστάσιες ἔκρινον, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι. [113] δύσκριτα μὲν πᾶσι πάντα ἐγίνετο, καὶ ἀκρισίαι, καὶ χρόνια· πολὺ δὲ μάλιστα τούτοισι. [114] ἔκρινε δὲ τουτέων ὀλίγοισι περὶ ὀγδοηκοστήν· τοῖσι δὲ πλείστοισιν, ὡς ἔτυχεν, ἐξέλιπεν. [115] ἔθνησκον δὲ τουτέων ὀλίγοι ὑπὸ ὕδρωπος, ὀρθοστάδην. [116] πολλοῖσι δὲ καὶ ἐπὶ τοῖσιν ἄλλοισι νοσήμασιν οἰδήματα παρέχλε· πολὺ δὲ μάλιστα τοῖσι φθινώδεσι. [117] μέγιστον δὲ καὶ χαλεπώτατον, καὶ πλείστους ἔκτεινε τὸ φθινῶδες. [118] πολλοὶ γάρ τινες ἀρξάμενοι κατὰ χειμῶνα, πολλοὶ μὲν κατεκλίθησαν, οἱ δὲ αὐτέων ὀρθοστάδην ὑπέφερον. [119] πρῲ δὲ περὶ τὸ ἦρ ἔθνησκον οἱ πλεῖστοι τῶν κατακλιθέντων. [120] τῶν δὲ ἄλλων ἐξέλιπον μὲν αἱ βῆχες οὐδενί, ὑφίεσαν δὲ κατὰ θέρος.

[121] Ὑπὸ δὲ τὸ φθινόπωρον κατεκλίθησαν πάντες, καὶ πολλοὶ ἔθνησκον. [122] μακρὰ δὲ τούτων οἱ πλεῖστοι διενόσεον. [123] ἤρξατο μὲν οὖν τοῖσι πλείστοισι τούτων ἐξαίφνης ἐκ τούτων κακοῦσθαι· φρικώδεες δὲ πυκνά. [124] πολλάκις πυρετοὶ ξυνεχέες, ὀξέες. [125] ἱδρῶτες δὲ ἄκαιροι, πολλοί, ψυχροὶ διὰ τέλεος. [126] πολλὴ ψύξις, καὶ μόλις πάλιν ἀναθερμαινόμενοι. [127] κοιλίαι ποικίλως ἐφιστάμεναι, καὶ πάλιν ταχὺ καθυγραινόμεναι. [128] καὶ τῶν περὶ πλεύμονα πάντων διάδοσις κάτω, καὶ πλῆθος οὔρων οὐ χρηστῶν. [129] ξυντήξιες κακαί. [130] αἱ δὲ

rum, inconstantium. [110] Omnes autem hæ cum multa turbatione fiebant. [111] Nam alvi plurimis turbatæ: horrores, sudores non judicatorii, & urinæ velut præscriptum est. [112] Atque hæc plerisque horum longa erant: neque enim abscessus his orientes judicabant, velut in aliis. [113] Et omnia quidem omnibus difficulter judicabantur, & nullæ judicationes fiebant, & diuturnæ, maxime vero his: [114] paucis autem horum judicatio circa octogesimum diem fiebat. Plurimis prout contigit defecerunt. [115] Moriebantur autem horum pauci ex hydrope erecte obambulantes. [116] Multos vero etiam in aliis morbis tumores infestabant, maxime vero tabidos. [117] Maxima autem & gravissima erat tabes: & plures occidit. [118] Nam multi per hyemem incipientes, partim decumbebant, partim erecte obambulabant. [119] Ante ver autem plerique ex decumbentibus moriebantur. [120] Aliorum vero tusses nihil defecerunt: verum æstate remiserunt.

[121] At sub autumnum omnes decubuerunt, & multi mortui sunt, [122] plurimi vero horum diu ægrotaverunt. [123] Cœpit igitur plurimis horum derepente ex his affi & o: frequentes horrores erant, [124] sæpe febres continuæ, acutæ, [125] sudores intempestivi, multi, frigidi perpetuo. [126] Multa frigiditas, & vix rursus recalescebant. [127] Alvi variæ adstrictæ, & rursus brevi humescentes. [128] Et quæ circa pulmonem erant omnia, infra distribuebantur. Multitudo urinarum non bonarum; [129] colliquationes malæ. [130] Tusses

δὲ βῆχες συνεῖσαν μὲν διὰ τέλεος πολλαὶ καὶ πολλὰ ἀνάγουσαι πέπονα καὶ ὑγρά, μετὰ πόνων δὲ οὐ λίην. [131] ἀλλ' εἰ καὶ ὑποπονέοιεν, πάνυ πρηέως πᾶσιν ἡ κάθαρσις τῶν ἀπὸ πλεύμονος ἐγίνετο. [132] φάρυγγες οὐ λίην δακνώδεες, οὐδὲ ἁλμυρίδες οὐδὲν ἠνώχλεον. [133] τὰ μέντοι γλίσχρα, καὶ λευκά, καὶ ὑγρά, καὶ ἀφρώδεα πολλὰ ἀπὸ κεφαλῆς κατῄει. [134] πουλὺ δὲ μέγιστον κακὸν παρείπετο καὶ τούτοισι καὶ τοῖσιν ἄλλοισι τὸ περὶ τὴν ἀποσιτίην, καθότι καὶ ὑπογέγραπται. [135] οὐδὲ γὰρ ποτῶν μετὰ τροφῆς ἡδέως εἶχον, ἀλλὰ πάνυ διῆγον ἀδίψως. [136] βάρος σώματος. [137] κωματώδεες. [138] τοῖσι πλείστοισιν αὐτέων οἰδήματα, καὶ ἐς ὕδρωπα περιΐσταντο. [139] φρικώδεες. [140] παράληροι περὶ θάνατον.

[141] Εἶδος δὲ τῶν φθινωδέων ἦν, τὸ λεῖον, τὸ ὑπόλευκον, τὸ φακῶδες, τὸ ὑπέρυθρον, τὸ χαροπόν, [142] λευκοφλεγματίαι, πτερυγώδεες· [143] καὶ γυναῖκες οὕτω· [144] τὸ μελαγχολικόν τε καὶ ὕφαιμον, [145] οἱ καῦσοι, καὶ τὰ φρενιτικά, καὶ τὰ δυσεντεριώδεα τούτων ἥπτετο. [146] τεινεσμοὶ νέοισι. [147] φλεγματώδεσιν αἱ μακραὶ διάρροιαι, [148] καὶ τὰ δριμέα διαχωρήματα καὶ λιπαρὰ πικροχόλοισιν. [149] ἦν δὲ πᾶσι τοῖσιν ὑπογεγραμμένοισι χαλεπώτατον μὲν τὸ ἔαρ, καὶ πλείστους ἀπέκτεινε· τὸ δὲ θέρος ῥήϊστον, καὶ ὀλίγοι ἀπώλοντο. [150] τοῦ δὲ φθινοπώρου καὶ ὑπὸ πληϊάδα πάλιν ἔθνῃσκον οἱ πολλοὶ τεταρταῖοι.

[151] Δοκέει δέ μοι προσωφελῆσαι κατὰ λόγον τὸ γενόμενον θέρος. [152] τὰς γὰρ θερινὰς νούσους χειμὼν ἐπιγενόμενος λύει, καὶ τὰς χειμερινὰς θέρος ἐπιγενόμενον μεθίστησι. [153] καί...

autem aderant quidem perpetuo multæ, & multa educentes matura ac liquida, non autem valde cum doloribus [131] Sed etiamsi aliquantulum dolerent, valde tamen leniter omnibus purgatio à pulmone fiebat: [132] fauces non valde mordaces, neque salsugines quicquam infestabant. [133] Viscosa tamen, & alba, & liquida ac spumosa multa de capite descendebant. [134] Magnum autem malum & hos, & alios comitabatur ciborum fastidium, velut præscriptum est. [135] Nam neque potum cum cibo libenter sumebant, sed valde sine siti degebant. [136] Gravitas corporis. [137] Soporosi. [138] Plurimis ipsorum tumor, & ad hydropem deveniebant. [139] Horridi, [140] delirі circa mortem. [141] Forma tabidorum erat lævis, subalbida, lentis colorem referens, subrubra, rava. [142] Pituita alba referti: scapulas alarum modo eminentes habentes: [143] & mulieres sic. [144] Atræ bilis item forma, & subsanguinea: [145] febres ardentes, & phrenitides, ac dysenteriæ hos tentabant. [146] Tenesmi juvenibus [147] pituitosis, longa alvi profluvia, [148] acresque secessus & pingues, biliosis. [149] Erat autem omnibus præscriptis gravissimum quidem ver, & multos occidit. Æstas autem facillima, & paucissimi perierunt. [150] Autumno vero & sub pleiada rursus multi moriebantur quartanarii.

[151] Videtur porro mihi æstas illa quæ tunc fuit, juxta rationem commoditatem attulisse. [152] Nam æstivos morbos hyems succedens solvit; & hyemales æstas succedens transmutat. [153] Quan-

153 καίτοι αὐτό γε ἐπὶ ἑωυτοῦ τὸ γενόμενον θέρος, οὐκ εὐσταθὲς ἐγένετο, ἀλλ' ἐξαίφνης θερμὸν, καὶ νότιον, καὶ ἄπνοον. 154 ἀλλ' ὅμως πρὸς τὴν ἄλλην κατάστασιν μεταλλάξαν, ὠφέλησεν. 155 μέγα δὲ μέρος ἡγεῦμαι τῆς τέχνης εἶναι, τὸ δύνασθαι σκοπεῖν καὶ περὶ τῶν γεγραμμένων ὀρθῶς. 156 ὁ γὰρ γνοὺς καὶ χρεόμενος τούτοις, οὐκ ἄν μοι δοκέῃ μέγα σφάλλεσθαι ἐν τῇ τέχνῃ. 157 δεῖ δὲ καταμανθάνειν ἀκριβῶς τὴν κατάστασιν τῶν ὡρέων ἑκάστην, καὶ τὸ νόσημα. 158 ἀγαθὸν, ὅ, τι κοινὸν ἐν τῇ καταστάσει, ἢ ἐν τῇ νούσῳ κακὸν, ὅ, τι κοινὸν ἐν τῇ καταστάσει, ἢ ἐν τῇ νούσῳ. 159 μακρὸν, ὅ, τι νόσημα καὶ θανάσιμον· μακρὸν, ὅ, τι καὶ περιεστικόν. 160 ὀξὺ, ὅ, τι θανάσιμον· ὀξὺ, ὅ, τι περιεστικόν. 161 τάξιν τὴν κρισίμων ἐκ τούτων σκοπεῖσθαι, καὶ προλέγειν ἐκ τούτων εὐπορεῖσθαι εἰδότι. 162 περὶ τούτων ἔστιν εἰδέναι, οἷς καὶ ὅτε, καὶ ὡς δεῖ διαιτᾷν.

1 Ἐκκαίδεκα ἄῤῥωστοι. πρῶτος. 2 Ἐν Θάσῳ τὸν Πάριον, ὃς κατέκειτο ὑπὲρ Ἀρτεμισίου, 3 πυρετὸς ἔλαβεν ὀξὺς, κατ' ἀρχὰς δὲ ξυνεχὴς, καυσώδης, διψώδης. 4 ἀρχόμενος κωματώδης, καὶ αὖθις ἄγρυπνος. 5 κοιλίη ταραχώδης ἐν ἀρχῇσιν, οὖρα λεπτά. 6 ἕκτη οὔρησεν ἐλαιῶδες· παρέκρουσεν. 7 ἑβδόμη παρωξύνθη πάντα, οὐδὲν ἐκοιμήθη, 8 ἀλλ' οὖρα τὰ ὅμοια, καὶ τὰ τῆς γνώμης ταραχώδεα. 9 ἀπὸ δὲ κοιλίης χολώδεα λιπαρὰ διῆλθε. 10 ὀγδόη

153 Quanquam ipsa in seipsa quæ tunc erat æstas, non stabilis erat: sed derepente calida, & austrina, & sine ventis. 154 Attamen ad aliam tempestatem transmutata profuit. 155 Magnam vero artis partem esse arbitror, etiam de his quæ scripta sunt recte posse considerationem facere, ac judicare. 156 Qui enim hoc novit, & his utitur, non videtur mihi in arte multum falli posse. 157 Oportet autem exacte perdiscere unamquamque temporum constitutionem, & ipsum morbum. 158 Et quid boni communis sit in constitutione, aut in morbo: & quid mali communis sit in constitutione, aut in morbo: & quid mali communis sit in statu, aut morbo: 159 & qui morbus longus sit, & lethalis: & qui longus, & non perniciosus ad vitam: 160 & qui acutus, ac lethalis: & qui acutus, & superesse sinens. 161 Ex his enim ordinem dierum judicatoriorum considerandi, ac prædicendi facultas datur. 162 Et harum rerum gnaros scire contingit, quibus & quando, & quomodo victum præscribere oportet.

Ægroti sedecim. primus. 2 In Thaso Parium quendam, qui decumbebat supra Artemisii ædes, 3 febris corripuit acuta, ab initio continua, ardens, siticulosa. 4 Principio soporosus, & rursus insomnis. 5 Alvus turbata in principio. Urinæ albæ. 6 Sexta die minxit urinam oleosam, mente motus est. 7 Septima, exacerbata sunt omnia, nihil dormivit. 8 Sed & urinæ similes, & mens turbata. 9 Ab alvo vero biliosa, pinguia prodierunt: 10 deinde octava

ὀγδόῃ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν· ἤμεσεν ἰώδεα ὀλίγα· σμικρὰ ἐκοιμήθη. 11 ἐνάτῃ διὰ τῶν αὐτῶν. 12 δεκάτῃ πάντα ξυνέδωκεν. 13 ἑνδεκάτῃ ἵδρωσεν, οὐ δι' ὅλου, περιέψυξε μὲν, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. 14 δωδεκάτῃ πυρετὸς ὀξύς· διαχωρήματα χολώδεα, λεπτὰ, πολλά· ἐν οὔροισιν ἐναιώρημα· παρέκρουσεν. 15 ἑπτακαιδεκάτῃ ἐπιπόνως. οὔτε γὰρ ὕπνοι, οὔτε πυρετὸς ἐπέτεινεν. 16 εἰκοστῇ ἵδρωσε δι' ὅλου ἄγρυπνος. διαχωρήματα χολώδεα. ἀπόσιτος, κωματώδης. 17 εἰκοστῇ καὶ τετάρτῃ ὑπέστρεψε. 18 τριακοστῇ καὶ τετάρτῃ ἄπυρος. κοιλίη οὐ ξυνίστατο. καὶ πάλιν ἀνεθερμάνθη. 19 τεσσαρακοστῇ ἄπυρος. κοιλίη ξυνέστη χρόνον οὐ συχνόν. ἀπόσιτος. 20 σμικρὰ πάλιν ἐπύρεξε, καὶ διὰ παντὸς πεπλανημένως. 21 ἄπυρος, τὰ μὲν, τὰ δ' οὔ. 22 εἰ γάρ τι διαλείποι καὶ διακουφίσειε, πάλιν ὑπέστρεφε. 23 σιτίοισι δὲ πολλοῖσι καὶ φαύλοισι προσεχρῆτο. 24 ὕπνοι κακοὶ περὶ τὰς ὑποστροφάς· παρέκρουσεν. 25 οὖρα παχέα μὲν ἔχοντα οὔρει τηνικαῦτα, ταραχώδεα δὲ καὶ πονηρά. 26 τὰ κατὰ κοιλίην ξυνιστάμενα, καὶ πάλιν διαλυόμενα. 27 πυρέτια ξυνεχέα. διαχωρήματα πολλὰ, λεπτά. 28 ἐν δὲ τῇ ἑκατοστῇ καὶ εἰκοστῇ ἡμέρῃ ἀπέθανε. 29 τούτῳ κοιλίη ξυνεχέως ἀπὸ τῆς πρώτης ὑγρὴ χολώδεσιν, ὑγροῖσι, πολλοῖσιν ἦν. 30 ἢ ξυνισταμένη ἐν ζέουσι καὶ ἀπέπτοισιν. 31 οὖρα διὰ τέλεος κακά. 32 κωματώδης τὰ πλεῖστα μετὰ πόνων, ἄγρυπνος, ἀπόσιτος, ξυνεχέως καῦσος.

Ἄῤῥωστος δεύτερος. 2 Ἐν Θάσῳ

parum de naribus stillavit. Vomuit virosa pauca, parum dormivit. 11 Nona, per eadem. 12 Decima, omnia remiserunt. 13 Undecima sudavit, non per totum. Circumfriguit quidem, verum brevi rursus incaluit. 14 Duodecima, febris acuta: secessus biliosi, tenues, multi. In urinis quiddam in medio vehebatur: mente motus est. 15 Decimaseptima laboriose transmissa est. Neque enim somni erant, & febris augescebat. 16 Vigesima sudavit per totum, insomnis: secessus biliosi: cibum fastidiens, sopotosus. 17 Vigesimaquarta, recidiva facta est. 18 Trigesimaquarta à febre liber: alvus non suppressa est. Et rursus incaluit. 19 Quadragesima à febre liber: alvus non multo tempore suppressa fuit. Cibum fastidiens, 20 parum rursus febricitavit, & semper erroneo modo, 21 partim sine febre, partim non. 22 Nam etsi reliquisset & allevata esset, rursus revertebatur. 23 Eduliis quoque multis & vitiosis utebatur. 24 Somni mali circa recidivas: mente motus est. 25 Urinas crassitudinem quidem habentes tunc mingebat, verum turbatas & pravas: 26 & alvus jam adstricta erat, & rursus soluta, 27 febriculæ continuæ, secessus multi, tenues. 28 Centesimavigesima die mortuus est. 29 Huic alvus assidue à prima die lubrica erat, ex biliosis, liquidis, multis: 30 aut adstricta ex fervidis ac crudis. 31 Urinæ vero perpetuo malæ, 32 sopores plerunque cum doloribus insomnis, cibum fastidiens: febris ardens continenter.

Ægrotus secundus. 2 In Thaso decum-

σιν τὴν κατακειμένην παρὰ τὸ ψυχρὸν, [3] ἐκ δὲ τόκου θυγατέρα τεκοῦσαν, καὶ καθάρσιος μὴ γενομένης, [4] πυρετὸς ὀξὺς φρικώδης τριταίην ἔλαβεν. [5] ἐκ χρόνου δὲ πολλοῦ πρὸ δὲ τόκου πυρετώδης ἦν κατακλινὴς ἀπόσιτος. [6] μετὰ δὲ τὸ γενόμενον ῥῖγος ξυνεχέες, ὀξέες, φρικώδεες οἱ πυρετοί. [7] ὀγδόῃ πολλὰ παρέκρουσε, καὶ τῇσιν ἐχομένῃσι, καὶ ταχὺ πάλιν κατενόει. [8] κοιλίη ταραχώδης πολλοῖσι, λεπτοῖσιν, ὑδατοχόλοισιν. ἄδιψος. [9] ἑνδεκάτῃ κατενόει, κωματώδης δὲ ἦν. [10] οὖρα πολλὰ, λεπτὰ καὶ μέλανα. ἄγρυπνος. [11] εἰκοστῇ σμικρὰ περιέψυξε, καὶ ταχὺ πάλιν ἀνεθερμάνθη. [12] σμικρὰ παρέλεγε, ἄγρυπνος. τὰ κάτω κοιλίης ἐπὶ τῶν αὐτῶν. οὖρα ὑδατώδεα, πολλά. [13] ἑβδόμῃ καὶ εἰκοστῇ ἄπυρος. κοιλίη ξυνέστη. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἰσχίου δεξιοῦ ὀδύνη ἰσχυρὴ χρόνον πουλύν. πυρετοὶ πάλιν παρείποντο· καὶ οὖρα ὑδατώδεα. [14] τεσσαρακοστῇ τὰ μὲν περὶ τὸ ἰσχίον ἐπεκούφισε, βῆχες δὲ ξυνεχέες, ὑγραὶ, πολλαί. κοιλίη ξυνέστη. ἀπόσιτος. οὖρα ἐπὶ τῶν αὐτῶν. [15] οἱ δὲ πυρετοὶ, τὸ μὲν ὅλον οὐκ ἐκλείποντες, πεπλανημένως δὲ παροξυνόμενοι, τὰ μὲν, τὰ δ᾽ οὔ. [16] ἑξηκοστῇ αἱ μὲν βῆχες ἀσήμως ἐξέλιπον· οὔτε γάρ τις πτυάλων πεπασμὸς ἐγένετο, οὔτε ἄλλη τῶν εἰωθότων ἀπόστασις. [17] σιαγὼν δὲ ἡ ἐκ τῶν ἐπὶ δεξιὰ κατεσπάσθη, κωματώδης, παρέλεγε πάλιν, καὶ ταχὺ κατενόει. [18] πρὸς δὲ τὰ γεύματα ἀπονενοημένως εἶχεν. [19] ἡ σιαγὼν μὲν ἐπανῆκεν, ἡ κοιλίη δὲ χολώδεα σμικρὰ διέδωκεν. [20] ἐπύρεσεν ὀξυτέρως, φρι-

decumbentem apud frigidam, [3] à partu ubi filiam peperisset, & purgatio facta non esset: [4] febris acuta, horrida, tertia die corripuit. [5] Multo autem tempore ante partum febriculosa erat, decumbens, cibum fastidiens. [6] Postquam autem riguisset, febres continuæ, acutæ, horridæ. [7] Octava, multum mente mota est, & sequentibus diebus: & brevi rursus resipiscebat. [8] Alvus turbata, ex multis tenuibus, aquosis, bile permixtis: sine siti erat. [9] Undecima resipiscebat, verum soporosa erat. [10] Urinæ multæ, tenues, & nigræ: insomnis. [11] Vigesima parum circumfriguit, & brevi rursus incaluit, [12] parum deliravit, insomnis. Alvi secessus iidem. Urinæ aquosæ, multæ. [13] Vigesimaseptima, à febre libera, alvus adstricta est. Non multo tempore postea coxæ dextræ dolor fortis multo tempore. Febres rursus comitabantur, & urinæ aquosæ. [14] Quadragesima dolores circa coxam allevati sunt. Tusses autem assiduæ, humidæ, multæ: alvus substitit. Cibum fastidiens. Urinæ in iisdem, [15] febres autem in totum quidem non deficientes, erroneo vero modo exacerbescentes, partim ita, partim non ita. [16] Sexagesima, tusses quidem ob scure defecerunt. Neque enim aliqua sputorum concoctio fiebat, neque alius consuetus abscessus. [17] Maxilla vero ex dextris divulsa est, soporosa, rursus delirabat, & brevi resipiscebat. [18] Cæterum à cibis aversum animum habebat, [19] & maxilla quidem ad locum suum rediit. Alvus autem biliosa, pauca egessit, [20] febricitavit acutius, hor-

φρικώδης, καὶ τὰς ἐχομένας ἄφωνος, καὶ πάλιν κατενόει καὶ διελέγετο. [21] καὶ ὀγδοηκοστῇ ἀπέθανε. [22] ταύτῃ τὰ τῶν οὔρων διὰ τέλεος ἦν μέλανα καὶ λεπτὰ καὶ ὑδατώδεα. [23] καὶ κῶμα παρείπετο. [24] ἄσιτος, ἄθυμος, ἄγρυπνος, ὀργαὶ, δυσφορίαι. [25] τὰ περὶ τὴν γνώμην μελαγχολικά.

[1] Ἄρρωστος τρίτος. [2] Ἐν Θάσῳ Πυθίωνα, ὃς κατέκειτο ὑπεράνω τοῦ Ἡρακλείου, [3] ἐκ πόνων καὶ κόπων καὶ διαίτης γενομένης ἀμελῶς, [4] ῥῖγος μέγα καὶ πυρετὸς ὀξὺς ἔλαβε. [5] γλῶσσα ἐπίξηρος, διψώδης, χολώδης. [6] οὐχ ὕπνωσεν. [7] οὖρα ὑπομέλανα, ἐναιώρημα μετέωρον, οὐχ ἱδρύετο. [8] δευτέρῃ περὶ μέσον ἡμέρης ψύξις ἀκρέων, τὰ περὶ χεῖρας καὶ κεφαλὴν μᾶλλον. [9] ἄναυδος, ἄφωνος, βραχύπνοος, ἐπὶ χρόνον πουλὺν ἀνεθερμάνθη. δίψα. [10] νύκτα δι' ἡσυχίης· ἵδρωσε περὶ κεφαλὴν σμικρά. [11] τρίτη, ἡμέρην μὲν δι' ἡσυχίης, ὀψὲ δὲ περὶ ἡλίου δυσμὰς ὑπεψύχθη σμικρά. [12] ταραχὴ νυκτὸς ἐπίπονος. οὐδὲν ὕπνωσεν· ἀπὸ δὲ κοιλίης σμικρὰ ξυνεστηκότα κόπρανα διῆλθε. [13] τετάρτη πρωῒ δι' ἡσυχίης, περὶ δὲ μέσον ἡμέρης πάντα παρωξύνθη· [14] ψύξις, ἄναυδος, ἄφωνος, ἐπὶ τὸ χεῖρον, [15] ἀνεθερμάνθη μετὰ χρόνον. [16] οὔρησε μέλανα, ἐναιώρημα ἔχοντα. [17] νύκτα δι' ἡσυχίης, ἐκοιμήθη. [18] πέμπτῃ ἔδοξε κουφισθῆναι, μετὰ δὲ κοιλίην βάρος μετὰ πόνου, διψώδης. [19] νύκτα ἐπιπόνως. [20] ἕκτη πρωῒ μὲν δι' ἡσυχίης, δείλης δὲ οἱ πόνοι μέζους, παρωξύνθη. [21] ἀπὸ δὲ κοιλίης ὀψὲ κλυσματίῳ καλῶς διῆλθε. νυκτὸς ἐκοιμήθη. [22] ἑβδόμη, ἡμέρη ἀσώδης ὑπε-

ἀδὲν

horrida: & sequentibus diebus voce destituta est, & rursus resipiscebat ac loquebatur: [21] octogesima, mortua est. [22] Urinæ huic perpetuo erant nigræ, & tenues, & aquosæ, [23] & sopor comitabatur. [24] Cibum aversans, tristis, insomnis, iræ, [25] molestiæ, mens melancholica.

Ægrotus tertius. [2] In Thaso Pythionem qui supra Herculeum templum decumbebat, [3] ex laboribus, & lassitudinibus, & neglecta victus ratione, [4] rigor magnus, & febris acuta corripuit, [5] lingua arida: siticulosus, biliosus, [6] non dormivit. [7] Urinæ subnigræ: quod in medio ipsarum pendebat, sublime erat. [8] Secunda die, circa meridiem frigiditas extremarum partium, & magis circa manus & caput: [9] loquela, & voce destitutus. Brevispirus ad multum tempus, rursus incaluit. Sitis. [10] Nox quieta. Sudavit parum circa caput. [11] Tertia dies, quieta. Vesperi vero sub solis occasus parum friguit. [12] Turbatio nocte dolorose, nihil dormivit. Ab alvo pauca compacta stercora prodierunt. [13] Quarta, mane quietus. Circa vesperam omnia exacerbata sunt: [14] frigiditas, loquela & voce destitutus, in deterius [15] recalefactus est post tempus. [16] Urinas minxit nigras in medio quid pendens habentes. [17] Nocte quiete dormivit. [18] Quinta visus est allevatus esse. Verum juxta alvum gravitas cum dolore, siticulosus. [19] Noctem laboriose tulit. [20] Sexta, mane quietus. Vesperi dolores majores: exacerbatus est. [21] Vesperi clystere adhibito, ab alvo probe egessit. Nocte dormivit. [22] Septima die, anxius, submoleste

δυσφόρει, οὔρησεν ἐλαιῶδες. 23 Νυκτὸς ταραχὴ πολλὴ, παρέλεγεν, οὐδὲν ἐκοιμᾶτο. 24 Ὀγδόῃ, πρωῒ μὲν ἐκοιμήθη σμικρὰ, ταχὺ δὲ ψύξις, ἀφωνίη, λεπτὸν πνεῦμα καὶ μινυθῶδες. 25 Ὀψὲ δὲ πάλιν ἀνεθερμάνθη, παρέκρουσεν. 26 Ἤδη δὲ πρὸς ἡμέρην σμικρὰ ἐκουφίσθη. Διαχωρήματα ἄκρητα, σμικρὰ, χολώδεα. 27 Ἐνάτῃ κωματώδης, ἀσώδης ὅτε διεγείροιτο, οὐ λίην διψώδης. 28 Περὶ δὲ ἡλίου δυσμὰς ἐδυσφόρει, παρέλεγε. 29 Νύκτα κακήν. 30 Δεκάτῃ, πρωῒ ἄφωνος, πολλὴ ψύξις, πυρετὸς ὀξὺς, πολὺς ἱδρώς. Ἔθανεν. 31 Ἐν ἀρτίῃσιν οἱ πόνοι τούτῳ.

Ἄῤῥωστος τέταρτος. 2 Ὁ φρενιτικὸς τῇ πρώτῃ κατακλιθεὶς 3 ἤμεσεν ἰώδεα, πολλὰ, λεπτά· 4 πυρετὸς φρικώδης, πολὺς ἱδρὼς ξυνεχὴς δι' ὅλου. 5 Κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης. 6 Οὖρα λεπτὰ, ἐναιωρήματα σμικρὰ, διεσπασμένα. 7 Οὐχ ἵδρωσεν. Ἀπὸ δὲ κοιλίης ἐξεκόπρισεν ἀθρόα. 8 Πολλὰ παρέκρουσεν, οὐδὲν ὕπνωσε. 9 Δευτέρῃ, πρωῒ ἄφωνος, πυρετὸς ὀξὺς, ἵδρωσεν, οὐ διέλιπε. 10 Παλμοὶ δι' ὅλου τοῦ σώματος, νυκτὸς σπασμοί. 11 Τρίτῃ παρωξύνθη πάντα. 12 Τετάρτῃ ἀπέθανεν.

Ἄῤῥωστος πέμπτος. 2 Ἐν Λαρίσσῃ φαλακρὸς μηρὸν δεξιὸν ἐπόνησεν ἐξαίφνης. 3 Τῶν δὲ προσφερομένων οὐδὲν ὠφέλει. 4 Τῇ πρώτῃ πυρετὸς ὀξὺς, καυσώδης, ἀτρεμέως εἶχεν· οἱ δὲ πόνοι παρέμενον. 5 Δευτέρῃ, τοῦ μηροῦ μὲν ὑφίεσαν οἱ πόνοι, ὁ δὲ πυρετὸς ἐπετείνετο, ὑπεδυσφόρει, οὐκ ἐκοιμᾶτο, ἄκρεα ψυχρὰ, οὔ-

ste ferebat. Urinam minxit oleosam: 23 noctu turbatio multa, delirabat, nihil dormiebat. 24 Octava, mane parum dormivit. Mox autem frigiditas. Vocis interceptio. Spiritus tenuis imminutus. 25 Vesperi rursus excalefactus est, mente motus est. 26 Jam autem ad diem parum allevatus est. Secessus meri, pauci, biliosi. 27 Nona, soporosus; anxius, quum excitaretur, non valde siticulosus. 28 Circa solis occasus moleste ferebat: delirabat: 29 noctem malam habuit. 30 Decima, mane voce destitutus: frigiditas multa: febris acuta. Sudor multus: mortuus est: 31 dolores huic in diebus paribus.

Ægrotus quartus. 2 Phreniticus primæ die, decumbens 3 vomuit æruginosa, multa, tenuia: 4 febris horrida: sudor multus, continuus per totum. 5 Capitis & colli gravitas cum dolore. 6 Urinæ tenues: in medio ipsarum pendentia, parva, divulsa: 7 non sudavit: ab alvo stercora acervatim egessit: 8 multum mente motus est: nihil dormivit. 9 Secunda, mane voce destitutus: febris acuta: sudavit: non intermisit. 10 Palpitationes per totum corpus. Nocte convulsiones. 11 Tertia, exacerbata sunt omnia. 12 Quarta, mortuus est.

Ægrotus quintus. 2 In Larissa calvus, femur dextrum doluit derepente: 3 ex his quæ offerebantur nihil proderat. 4 Prima die, febris acuta, ardens, quiete tenebat: dolores autem consequebantur. 5 Secunda, femoris quidem remiserunt dolores: febris autem aucta est: submoleste ferebat: non dormiebat: extre-

ρων πλῆθος οὐκ εὐχρήστων. [6] τρίτη, τοῦ μηροῦ μὲν ὁ πόνος ἐπαύσατο, παρεκρούσθη δὲ τῆς γνώμης, καὶ ταραχὴ, καὶ πολὺς βληστρισμός. [7] τετάρτη, περὶ μέσον ἡμέρης ἔθανεν ὀξυτάτως.

Ἄῤῥωστος ἕκτος. [2] Ἐν Ἀβδήροισι Περικλέα νοῦσος ἔλαβεν ὀξὺς, ξυνεχὴς, μετὰ πόνου. [3] δίψα πολλὴ, ἄση. [4] ποτὸν κατέχειν οὐκ ἠδύνατο. [5] ἦν δὲ ὑπόσπληνός τε καὶ καρηβαρικός. [6] τῇ πρώτῃ ἡμοῤῥάγησεν ἐξ ἀριστεροῦ πολύ. [7] ὁ μέντοι πυρετὸς ἐπέτεινεν. [8] οὔρησε πολὺ, θολερὸν, λευκόν· κείμενον οὐ καθίστατο. [9] δευτέρη πάντα παρωξύνθη. [10] τὰ μέντοι οὖρα παχέα μὲν ἦν, ἱδρυμένα δὲ μᾶλλον, [11] καὶ τὰ περὶ τὴν ἄσην ἐκουφίσθη. ἐκοιμήθη. [12] τρίτη πυρετὸς ἐμαλάχθη. [13] οὔρων πλῆθος, πέπονα, πολλὴν ὑπόστασιν ἔχοντα. [14] νύκτα δι' ἡσυχίης. [15] τετάρτη περὶ μέσον ἡμέρης ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου. ἄπυρος. [16] ἐκρίθη· οὐχ ὑπέστρεψεν. [17] ὀξύ.

Ἄῤῥωστος ἕβδομος. [2] Ἐν Ἀβδήροισι τὴν παρθένον, ἣ κατέκειτο ἐπὶ τῆς ἱερῆς ὁδοῦ, πυρετὸς καυσώδης ἔλαβεν. [3] ἦν δὲ διψώδης, καὶ ἄγρυπνος. [4] κατέβη δὲ τὰ γυναικεῖα πρῶτον αὐτῇ. [5] ἕκτη, ἄση πολλὴ, ἔρευθος, φρικώδης, ἀλύουσα. [6] ἑβδόμη διὰ τῶν αὐτῶν. [7] οὖρα λεπτὰ μὲν, εὔχροα δέ. [8] τὰ περὶ τὴν κοιλίην οὐκ ἠνώχλει. [9] ὀγδόη κώφωσις, πυρετὸς ὀξὺς, ἄγρυπνος, ἀσώδης, φρικώδης· κατενόει. οὖρα ὅμοια. [10] ἐνάτη διὰ τῶν αὐτῶν. καὶ τὰς ἑπομένας. [11] οὕτως ἡ κώφωσις παρέμενε. [12] τεσσαρεσκαιδεκάτη τὰ τῆς γνώμης

extremitates frigidæ, urinarum non bonarum copia prodibat. [6] Tertia, femoris dolor quievit. Mentis emotio, & turbatio, & multa jactatio. [7] Quarta, circa meridiem mortuus est celerrime & acutissime.

Ægrotus sextus. [2] In Abderis Periclem morbus corripuit acutus, continuus cum dolore. [3] Sitis multa: anxietas: [4] potum continere non poterat. [5] Erat autem sublienosus, & capite gravatus. [6] Primo die, sanguis e sinistra nare erupit, [7] multa tamen febris augescebat, [8] Urinam minxit multam, turbatam, albam: deposita non subsidebat. [9] Secunda, omnia exacerbata sunt. [10] Urinæ tamen crassæ quidem erant, verum magis subsidebant: [11] & anxietas levata est, dormivit. [12] Tertia, febris emollita est. [13] Urinarum copia: quæ concoctæ multam subsidentiam habebant. [14] Nox quieta. [15] Quarta, circa meridiem, multum calidum sudorem per totum exclusit. A febre liber, [16] judicatus est, non rediit: [17] morbus acutus.

Ægrotus septimus. [2] In Abderis virginem: quæ decumbebat in Sacra via, febris ardens corripuit. [3] Erat autem siticulosa & insomnis. [4] Menses autem primum ipsi descendebant. [5] Sexta, anxietas multa, rubor: horrida, mœsta. [6] Septima, per eadem. [7] Urinæ tenues quidem: verum boni coloris. [8] Venter non vexabat. [9] Octava, surditas, febris acuta, insomnis, anxia, horrida: intelligebat. Urinæ similes. [10] Nona, per eadem, itemque sequentibus [11] sic surditas perseverabat. [12] Decimaquarta, mens turbata: febris

μης [illegible], ὁ πυρετὸς ξυνέδωκε. 13 ἑπτακαιδεκάτῃ διὰ τῶν ῥινῶν ἐῤῥύη πολύ· ἡ κώφωσις σμικρὰ ξυνέδωκε. 14 καὶ τὰς ἑπομένας ἄση, κωφότης ἐνῆν, καὶ παράληρος. 15 εἰκοστῇ ποδῶν ὀδύνη, κωφότης, παράληρος. 16 ἀπέλιπεν, ἡμοῤῥάγησε σμικρὰ διὰ ῥινῶν, ἵδρωσεν, ἄπυρος. 17 εἰκοστῇ καὶ τετάρτῃ ὁ πυρετὸς ὑπέστρεψεν, κώφωσις πάλιν, ποδῶν ὀδύνη, παρέμενε παρακοπή. 18 εἰκοστῇ καὶ ἑβδόμῃ ἵδρωσε πολλά, ἄπυρος. 19 ἡ κώφωσις ἐξέλιπεν· ἡ [δὲ τῶν] ποδῶν ὑπέμεινεν ὀδύνη. 20 τὰ δ' ἄλλα τελέως ἐκρίθη.

1 Ἄῤῥωστος ὄγδοος. 2 Ἐν Ἀβδήροισιν Ἀναξίωνα, ὃς κατέκειτο παρὰ τὰς Θρηικίας πύλας, πυρετὸς ὀξὺς ἔλαβεν. 3 πλευροῦ ὀδύνη δεξιοῦ ξυνεχής. 4 βὴξ ξηρή, οὐδ' ἔπτυε τὰς πρώτας, 5 διψώδης, ἄγρυπνος. 6 οὖρα δὲ εὔχροα, πολλά, λεπτά. 7 ἕκτῃ παράληρος. 8 πρὸς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου. 9 ἑβδόμῃ ἐπιπόνως. ὅ τε γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδοσαν, αἵ τε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. 10 ὀγδόῃ ἀγκῶνα ἔταμον· ἐῤῥύη πολὺ οἷον δεῖ. 11 ξυνέδωκαν μὲν οἱ πόνοι, αἱ μέντοι βῆχες ξηραὶ παρείποντο. 12 ἑνδεκάτῃ ξυνέδωκαν οἱ πυρετοί, σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν. 13 ἔτι βῆχες, καὶ τὰ ἀπὸ πνεύμονος ὑγρότερα. 14 ἑπτακαιδεκάτῃ ἤρξατο σμικρὰ πέπονα πτύειν· ἐκουφίσθη. 15 εἰκοστῇ ἵδρωσεν· ἄπυρος. μετὰ δὲ κρίσιν ἐκουφίσθη. 16 διψώδης δὲ ἦν, καὶ αἱ ἀπὸ πλεύμονος οὐ χρησταὶ καθάρσιες. 17 εἰκοστῇ ἑβδόμῃ ὁ πυρετὸς ὑπέστρεψεν. 18 ἔβηξεν, ἀνήγαγε πέπονα πολλά. 19 οὔροισιν ὑπόστασις

bris remisit. 13 Decimaseptima, sanguis per nares fluxit multus. Surditas parum remisit, 14 & sequentibus anxietas, surditas aderat, & delira erat. 15 Vigesima pedum dolor, surditas, delirium 16 intermisit, sanguis paucus per nares erupit, sudavit: à febre libera. 17 Vigesimaquarta, febris rediit, surditas rursus, pedum dolor permansit, mentis emotio. 18 Vigesimaseptima, sudavit multum à febre libera. 19 Surditas defecit, pedum dolor restabat. 20 De cætero perfecte judicata est.

Ægrotus octavus. 2 In Abderis Anaxionem, qui decumbebat ad Thracias portas, febris acuta corripuit, 3 lateris dextri dolor assiduus. 4 Siccam tussim habebat, neque expuebat primis diebus. 5 Siticulosus, insomnis. 6 Urinæ boni coloris, multæ, tenues. 7 Sexta, delirus. 8 Ad calefactoria nihil remisit. 9 Septima, dolorose agebat. Nam & febris augescebat, & dolores non remittebant, & tusses vexabant, difficulterque spirabat. 10 Octava cubitum secui, effluebat sanguis multus, velut debebat. 11 Remiserunt quidem dolores, tusses tamen siccæ comitabantur. 12 Undecima, remiserunt febres, parum circa caput sudavit. 13 Tusses adhuc, & quæ à pulmone prodibant, liquidiora erant. 14 Decimaseptima incœpit pauca matura spuere, allevatus est. 15 Vigesima, sudavit: à febre liber, post judicationem allevatus est. 16 Erat autem siticulosus, & à pulmone prodeuntium purgationes non bonæ. 17 Vigesimaseptima febris rediit. 18 Tussiit, eduxit matura multa. 19 Urinis subsidentia multa alba.

Sine

στάσις πολλή, λευκή. ἄδιψος, εὔπνοος. ²⁰ τριηκοστῇ τετάρτῃ ἵδρωσε δι' ὅλου, ἄπυρος, ἐκρίθη πάντῃ.

¹ Ἄρρωστος ἔννατος. ² Ἐν Ἀβδήροις Ἡρόπυθος κεφαλὴν ὀρθοστάδην ἐπιπόνως εἶχεν, οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατεκλίθη. ³ ᾤκει πλησίον τῆς ἄνω ἀγωγῆς. ⁴ πυρετὸς ἔλαβε καυσώδης, ὀξύς. ⁵ ἔμετοι τὴν κατ' ἀρχὰς πολλῶν χολωδέων. ⁶ διψώδης. πολλὴ δυσφορίη. ⁷ οὖρα λεπτά, μέλανα· ἐναιώρημα μετέωρον, ὁτὲ μὲν, ὁτὲ δ' οὔ. ⁸ νύκτα ἐπιπόνως. ⁹ πυρετὸς ἄλλοτε ἀλλοίως παροξυνόμενος, τὰ πλεῖστα ἀτάκτως. ¹⁰ περὶ δὲ τεσσαρεσκαιδεκάτην κώφωσις· οἱ πυρετοὶ ἐπέτεινον· οὖρα διὰ τῶν αὐτῶν. ¹¹ εἰκοστῇ πολλὰ παρέκρουσε, καὶ τὰς ἑπομένας. ¹² τεσσαρακοστῇ διὰ ῥινῶν ἡμορράγησε πολὺ, καὶ κατενόει μᾶλλον. ¹³ ἡ κώφωσις ἐνῆν μὲν, ἧσσον δέ· πυρετοὶ ξυνέδωκαν. ¹⁴ ἡμορράγει τὰς ἑπομένας πυκνὰ κατ' ὀλίγον. ¹⁵ περὶ δὲ τὴν ἑξηκοστὴν αἱ μὲν αἱμορραγίαι ἀπεπαύσαντο, ἰσχίου δὲ δεξιοῦ ὀδύνη ἰσχυρὴ, καὶ πυρετοὶ ἐπέτεινον. ¹⁶ οὐ πολλῷ δὲ χρόνῳ ὕστερον πόνοι τῶν κάτω πάντων. ¹⁷ ξυνέπιπτε δὲ ἢ τοὺς πυρετοὺς εἶναι μείζους καὶ τὴν κώφωσιν πολλὴν, ¹⁸ ἢ ταῦτα μὲν ὑφιέναι καὶ κουφίζειν, τῶν δὲ κάτω περὶ ἰσχία μείζους εἶναι τοὺς πόνους. ¹⁹ ἤδη δὲ τὴν ὀγδοηκοστὴν ξυνέδωκε μὲν πάντα, ξυνέλιπε δὲ οὐδέν. ²⁰ οὖρά τε γὰρ εὔχροα καὶ πλείους ὑποστάσιας ἔχοντα κατέβαινεν, οἵ τε παράληροι μείους ἦσαν. ²¹ περὶ δὲ ἑκατοστὴν κοιλίη πολλοῖσι χολώδεσιν ἐπεταράχθη. ²² καὶ

Sine siti erat, bene spirans. ²⁰ Trigesimaquarta sudavit per totum: à febre liber, penitus judicatus est.

Ægrotus nonus. ² In Abderis Heropythus erecte obambulans caput dolebat. Non multo autem tempore postea decubuit, ³ habitabat prope Superiorem viam; ⁴ febris ipsum corripuit ardens, acuta. ⁵ Vomitus ab initio multorum biliosorum, ⁶ siticulosus, multa molestia. ⁷ Urinæ tenues, nigræ: id quod in medio ipsarum pendebat, sublime erat aliquando, quandoque non, ⁸ noctem dolorose transegit. ⁹ Febris alias aliter exacerbescebat, plerunque inordinate. ¹⁰ Circa decimamquartam, surditas: febres augescebant. Urinæ per eadem. ¹¹ Vigesima multum mente motus est, itemque sequentibus. ¹² Quadragesima, multus sanguis ex naribus erupit: & magis intelligebat. ¹³ Surditas aderat quidem, sed minor: febres remiserunt. ¹⁴ Sequentibus diebus sanguis erumpebat frequenter & paulatim. ¹⁵ Circa sexagesimam sanguinis eruptiones cessarunt. Coxæ autem dextræ dolor fortis: & febres augescebant. ¹⁶ Non longo tempore postea dolores omnium infernarum partium. ¹⁷ Contigitque aut febres esse majores, & surditatem multam: ¹⁸ aut hæc quidem remittere & leviora fieri, infernarum autem partium circa coxas, dolores esse majores. ¹⁹ Jam vero circa octogesimam omnia remiserunt. Nihil tamen defecit. ²⁰ Urinæ enim boni coloris, & plures subsidentias habentes prodibant, & deliria minora erant. ²¹ Circa centesimam alvus multis biliosis turbata est, ²² &

[22] καὶ τὸν χρόνον οὐκ ὀλίγον πολλὰ τοιαῦτα, [23] καὶ πάλιν δυσεντεριώδεα μετὰ πόνου· [24] τῶν δὲ ἄλλων ῥᾳστώνη. [25] τὸ δὲ ξύνολον οἵ τε πυρετοὶ ἐξέλιπον, καὶ ἡ καῦσις ἐπαύσατο. [26] ἐν ἑκατοστῇ τελέως ἐκρίθη. [27] καῦσος.

[1] Ἄῤῥωστος δέκατος. [2] Ἐν Ἀβδήροις Νικόδημος ἐξ ἀφροδισίων καὶ πότων πῦρ ἔλαβεν. [3] ἀρχόμενος δὲ ἦν ἀσώδης καὶ καρδιαλγικὸς, διψώδης, γλῶσσα ἐπεκαύθη· οὖρα λεπτὰ, μέλανα. [4] δευτέρῃ ὁ πυρετὸς παρωξύνθη, φρικώδης, ἀσώδης· οὐδὲν ἐκοιμήθη. [5] ἤμεσε χολώδεα ξανθά· οὖρα ὅμοια. [6] νύκτα δὲ ἡσυχίης, ὕπνωσε. [7] τρίτῃ ὑφῆκε πάντα, ῥᾳστώνη τε ἦν. [8] περὶ ἡλίου δυσμὰς πάλιν ὑποδυσφόρει, νύκτα ἐπιπόνως. [9] τετάρτῃ ῥῖγος, πυρετὸς πολὺς, πόνοι πάντων· οὖρα λεπτὰ, ἐναιώρημα. [10] ἕκτῃ παρέκρουσε πολλά. [11] ἑβδόμῃ ῥᾳστώνη. [12] ὀγδόῃ τὰ ἄλλα ξυνέδωκε πάντα. [13] δεκάτῃ καὶ τὰς ἐπομένας ἐνῆσαν μὲν οἱ πόνοι, ἧσσον δὲ πάντες. [14] οἱ δὲ παροξυσμοὶ καὶ οἱ πόνοι τούτῳ διὰ τέλεος ἐν ἀρτίῃσιν ἦσαν μᾶλλον. [15] εἰκοστῇ οὔρησε λευκὸν, πάχος εἶχε, κείμενον οὐ καθίστατο. [16] ἵδρωσε πολλῷ· ἔδοξεν ἄπυρος γενέσθαι. [17] δείλης δὲ πάλιν ἐθερμάνθη, καὶ οἱ αὐτοὶ πόνοι, φρίκη, δίψα· σμικρὰ παρέκρουσε. [18] εἰκοστῇ τετάρτῃ οὔρησε πολὺ, λευκὸν, πολλὴν ὑπόστασιν ἔχον. [19] ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, [20] ἄπυρος, ἐκρίθη.

[22] & tempore non modico multa talia prodibant, [23] & rursus dysenterica cum dolore. [24] Reliquorum vero quies erat. [25] In summa & febres defecerunt, & fuiditas cessavit. [26] In centesima vigesima perfecte judicatus est: [27] febris ardens.

Ægrotus decimus. [2] In Abderis Nicodemum ex venere & potu febris corripuit. [3] Initio autem erat anxius: & cordis dolore vexabatur; siticulosus, lingua combusta fuit. Urinæ tenues: nigræ. [4] Secunda, febris exacerbata est: horridus: anxius: non dormivit, [5] vomuit biliosa, flava. Urinæ similes. [6] Nox quieta: dormivit. [7] Tertia die, remiserunt omnia: & quies erat: [8] circa solis occasus rursum moleste ferebat: noctem laboriose tulit. [9] Quarta, rigor: febris multa: dolores omnium. Urinæ tenues, & quid in medio ipsarum pendens. [10] Sexta, mente multum motus est. [11] Septima, quies. [12] Octava, alia remiserunt omnia. [13] Decima & sequentibus diebus aderant quidem dolores, verum omnes minores. [14] Exacerbationes autem & dolores huic ad finem usque in diebus paribus magis erant. [15] Vigesima, minxit urinam albam, quæ crassitudinem habebat, & deposita non subsidebat. [16] Sudavit multum: visus est sibi à febre liber esse. [17] Vesperi vero rursus incaluit: & dolores iidem: horror: sitis: parum mente motus est. [18] Vigesimaquarta, multam urinam albam, multam subsidentiam habentem minxit. [19] Sudorem multum calidum per totum exudavit: [20] à febre liber: judicatus est.

Ægro-

1 Ἄρρωστος ἑνδέκατος. 2 Ἐν Θάσῳ γυνὴ δυσήνιος ἐκ λύπης μετὰ προφάσιος ὀρθοστάδην ἐγένετο, 3 ἄγρυπνός τε καὶ ἄσιτος καὶ διψώδης ἦν, καὶ ἀσώδης. 4 ᾤκει δὲ πλησίον τῶν Πυλάδου ἐπὶ τοῦ λείου. 5 τῇ πρώτῃ, ἀρχομένης νυκτὸς, φόβοι, λόγοι πολλοὶ, δυσθυμίη, πυρέτιον λεπτόν. 6 πρωῒ σπασμοὶ πολλοί. 7 ὅτε δὲ διαλίποιεν οἱ σπασμοὶ οἱ πολλοὶ, παρέλεγεν, ἠσχρομύθει. 8 πολλοὶ πόνοι, μεγάλοι, ξυνεχέες. 9 δευτέρῃ διὰ τῶν αὐτῶν, οὐδὲν ἐκοιμᾶτο, πυρετὸς ὀξύτερος. 10 τρίτῃ, οἱ μὲν σπασμοὶ ἀπέλιπον, κῶμα δὲ καὶ καταφορὴ, καὶ πάλιν ἔγερσις. 11 ἀνήϊσσε, κατέχειν οὐκ ἠδύνατο, παρέλεγε πολλά· πυρετὸς ὀξύς. 12 ἐς νύκτα δὲ ταύτην ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου· 13 ἄπυρος, ὕπνωσε, πάντα κατενόει, ἐκρίθη. 14 περὶ δὲ τὴν τρίτην ἡμέρην οὖρα μέλανα λεπτὰ, ἐναιώρημα δὲ ἐπὶ πολὺ στρογγύλον· οὐχ ἱδρύετο. 15 περὶ δὲ κρίσιν γυναικεῖα πολλὰ κατέβη.

1 Ἄρρωστος δωδέκατος. 2 Ἐν Λαρίσσῃ παρθένον πυρετὸς ἔλαβε καυσώδης ὀξύς. 3 ἄγρυπνος, διψώδης· γλῶσσα λιγνυώδης ξηρή· οὖρα εὔχροα μὲν, λεπτὰ δέ. 4 δευτέρῃ ἐπιπόνως, οὐχ ὕπνωσε. 5 τρίτῃ πολλὰ διῆλθεν ἀπὸ κοιλίης ὑδατόχλοα. 6 καὶ τὰς ἐπομένας δὲ τοιαῦτα διήει εὐφόρως. 7 τετάρτῃ οὔρησε λεπτὸν ὀλίγον· εἶχεν ἐναιώρημα μετέωρον, οὐχ ἱδρύετο. 8 παρέκρουσεν ἐς

Ægrotus undecimus. 2 In Thaso mulier morosa, ex mœrore cum occasione, erecto obambulans, 3 insomnis facta est, & cibi fastidiens : & erat siticulosa, & anxia : 4 habitabat autem prope Pyladæ ædes in Leio. 5 Prima die, sub initium noctis timores, sermones multi, tristicia : febricula tenuis. 6 Mane convulsiones multæ. 7 Quum autem intermisissent convulsiones illæ multæ, delirabat : turpia loquebatur. 8 Dolores multi, magni, continui. 9 Secunda, per eadem : nihil dormiebat : febris acutior. 10 Tertia convulsiones defecerunt. Sopor autem & in somnum graviorem delatio aderat, & rursus vigiliæ : 11 exiliit : continere se non potuit : multum deliravit : febris acuta. 12 Ad hanc noctem multum sudorem calidum per totum corpus exclusit : 13 à febre libera : dormivit. Penitus resipuit : judicata est. 14 Circa tertiam autem diem urinæ nigræ, tenues : quod in medio ipsarum pendebat aliquandiu rotundum, non subsidebat. 15 Circa judicationem menses multi prodierunt.

Ægrotus duodecimus. 2 In Larissa virginem febris corripuit ardens, acuta : 3 insomnis, siticulosa, lingua fuliginosa, arida. Urinæ boni quidem coloris, sed tenues. 4 Secunda die, laboriose degebat, non dormivit. 5 Tertia, ab alvo multa prodierunt aquosa cum virore pallida, 6 itemque sequentibus diebus prodierunt ejusmodi tolerabiliter. 7 Quarta, urinam egessit tenuem, paucam : habebat in medio pendens illud sublime, non subsidebat : 8 mente mota est

ἐς νύκτα. [9] ἕκτη διὰ ῥινῶν λάβρον ἐῤῥύη πουλύ. [10] φρίξασα ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος, ἐκρίθη. [11] ἐν δὲ τοῖσι πυρετοῖσι, καὶ ἤδη κεκριμένων, γυναικεῖα κατέβη τότε πρῶτον. [12] παρθένος γὰρ ἦν. [13] ἦν δὲ διὰ παντὸς ἀσώδης, φρικώδης, ἔρευθος προσώπου, ὀμμάτων ὀδύνη, καρηβαρική. [14] ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ' ἐκρίθη. [15] οἱ πόνοι ἐν ἀρτίῃσι.

Ἄρρωστος τρισκαιδέκατος. [2] Ἀπολλώνιος ἐν Ἀβδήροισιν ὀρθοστάδην ὑπεφέρετο χρόνον πολλόν. [3] ἦν δὲ μεγαλόσπλαγχνος, [4] καὶ περὶ ἧπαρ ξυνήθης ὀδύνη χρόνον πολλὸν παρείπετο. [5] καὶ δὴ τότε ἰκτερώδης ἐγένετο [καὶ] φυσώδης, χροιῆς τῆς ὑπολεύκου. [6] φαγὼν δὲ καὶ πιὼν ἀκαιροτέρως βόειον, ἐθερμάνθη σμικρὰ τὸ πρῶτον, κατεκλίθη. [7] γάλαξι δὲ χρησάμενος, ἑφθοῖσι καὶ ὠμοῖσι, πολλοῖσιν, αἰγείοισι καὶ μηλείοισι, καὶ διαίτῃ κακῇ, πάντων αἱ βλάβαι μεγάλαι. [8] οἵ τε γὰρ πυρετοὶ παρωξύνθησαν, [9] κοιλίη τε τῶν προσενεχθέντων οὐδὲν διέδωκεν ἄξιον λόγου, [10] οὖρά τε λεπτὰ καὶ ὀλίγα διῄει. [11] ὕπνοι οὐκ ἐνῆσαν. [12] ἐμφύσημα κακόν, πολὺ δίψος, κωματώδης. [13] ὑποχονδρίου δεξιοῦ ἔπαρμα ξὺν ὀδύνῃ. [14] ἄκρεα πάντοθεν ὑπόψυχρα. [15] σμικρὰ παρέλεγε, λήθη πάντων, ὅ,τι λέγοι· παρεφέρετο. [16] περὶ δὲ τεσσαρεσκαιδεκάτην, ἀφ' ἧς ῥιγώσας ἀπεθερμάνθη, κατεκλίθη, [17] καὶ ἐξεμάνη, βοή, ταραχή, λόγοι πολλοί, καὶ πάλιν ἵδρυσις, καὶ τὸ κῶμα τηνικαῦτα προσῆλθε. [18] μετὰ δὲ ταῦτα κοιλίη ταραχώδης, πολλοῖσι, χολώδεσιν ἀκρήτοισιν, ὠμοῖσιν. [19] οὖρα μέλανα, σμικρά,

est ad noctem. [9] Sexta, per nares sanguis multus large fluxit, [10] quumque inhorruisset, sudorem multum calidum per totum effudit: a febre libera, judicata est. [11] In febribus autem & jam judicatæ, menses tunc primum prodierunt. [12] Erat enim virgo. [13] Perpetuo vero anxia erat, horrida, faciei rubor, oculorum dolor, capitis gravitas. [14] Huic non rediit, sed judicata est. [15] Dolores diebus paribus.

Ægrotus decimus tertius. [2] Apollonius in Abderis erecte titubans obambulabat multo tempore. [3] Erat autem magnis visceribus præditus, [4] & circa hepar dolor multo tempore familiaris ipsum comitabatur, [5] & sane tunc etiam morbo regio tenebatur, flatuosus, coloris subalbi. [6] Quum autem edisset ac bibisset intempestivius carnem bubulam, incaluit parum primum: decubuit. [7] Lacte vero usus cocto & crudo, multo, caprino ac ovillo, & victu malo, omnium læsiones magnæ sequutæ sunt. [8] Nam & febres exacerbatæ sunt, [9] & alvus nihil memorabile de ingestis egessit. [10] Urinæ tenues & paucæ prodibant. [11] Somni non aderant, [12] inflatio mala, sitis multa, soporosa, [13] præcordii dextri elevatio cum dolore, [14] extremitates undique subfrigidæ, [15] parum delirabat. Oblivio omnium quæ loquebatur: mente movebatur. [16] Circa decimamquartam, ex qua quum riguisset incaluit, decubuit, [17] & insanit: clamor, turbatio, sermones multi, & rursus quies, & tunc sopor accessit, [18] postea vero alvus turbata, multis, biliosis, meris, crudis. [19] Urinæ nigræ,

 pau-

κρὰ, λεπτά. [20] πολλὴ δυσφορίη. [21] τὰ τῶν διαχωρημάτων ποικίλα. ἢ γὰρ μέλανα καὶ σμικρὰ καὶ ἰώδεα, ἢ λιπαρὰ καὶ ὠμὰ, καὶ δακνώδεα. [22] κατὰ δὲ χρόνους ἐδόκει καὶ γαλακτώδεα διδόναι. [23] περὶ δὲ εἰκοστὴν τετάρτην διαπαρηγορίης· τὰ μὲν ἄλλα ἐπὶ τῶν αὐτῶν, σμικρὰ δὲ κατενόησεν. [24] ἐξ οὗ δὲ κατεκλίθη, οὐδενὸς ἐμνήσθη· πάλιν δὲ ταχὺ παρενόει. [25] ὥρμητο πάντα ἐπὶ τὸ χεῖρον. [26] περὶ δὲ τριηκοστὴν πυρετὸς ὀξύς. διαχωρήματα πολλὰ λεπτὰ, παράληρος, ἄκρεα ψυχρὰ, ἄφωνος. [27] τριηκοστῇ τετάρτῃ ἀπέθανε. [28] τούτῳ διὰ τέλεος, ἐξ οὗ καὶ ἐγὼ οἶδα, κοιλίη ταραχώδης, οὖρα λεπτὰ μέλανα, κωματώδης, ἄγρυπνος, ἄκρεα ψυχρὰ, [29] παράληρος διὰ τέλεος. [30] φρενιτικός.

[Ἄρρωστος] τεσσαρεσκαιδέκατος. [2] Ἐν Κυζίκῳ γυναικὶ, θυγατέρας τεκούσῃ διδύμους, καὶ δυστοκησάσῃ, καὶ οὐ πάνυ καθαρθείσῃ, [3] τὸ μὲν πρῶτον ἐπῆλθε πυρετὸς φρικώδης ὀξὺς, [4] κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης. [5] ἄγρυπνος ἐξ ἀρχῆς, σιγῶσα δὲ καὶ σκυθρωπὴ, καὶ οὐ πειθομένη. [6] οὖρα λεπτὰ καὶ ἄχροα. [7] διψώδης, ἀσώδης τὰ πολλά. [8] κοιλίη πεπλανημένως ταραχώδης, καὶ πάλιν ξυνισταμένη. [9] ἕκτῃ ἐς νύκτα πολλὰ παρέλεγε, οὐδὲν ἐκοιμήθη. [10] περὶ δὲ ἑνδεκάτην ἐοῦσα, ἐξεμάνη, καὶ πάλιν κατενόει. [11] οὖρα μέλανα λεπτὰ, καὶ πάλιν διαλείποντα, ἐλαιώδεα. [12] καὶ κοιλίη πολλοῖσι, λεπτοῖσι, ταραχώδεσι. [13] τεσσαρεσκαιδεκάτῃ σπασμοὶ πολλοὶ, ἄκρεα ψυχρὰ, οὐδὲν ἔτι κατενόει, οὖρα ἐπέστη. [14] ἑκκαιδεκάτῃ ἄφωνος. [15] ἑπτακαιδεκάτῃ ἀπέθανε. [16] φρενῖτις. [Ἀρ-

paucæ, tenues. [20] Multa molestia. [21] Secessus varie habebant. Aut enim nigri, & pauci, ac æruginosi erant: aut pingues, crudi, & mordaces. [22] Per tempora vero videbatur etiam lactosa egerere. [23] Circa vigesimam quartam lenitas erat: & reliqua quidem iisdem perseverabant, parum autem resipiscebat: [24] ex quo vero decubuit, nullius meminit: rursus autem brevi desipiebat. [25] Omnia in pejus procedebant. [26] Circa trigesimam febris acuta. Secessus multi, tenues: delirus, extremitates frigidæ, voce destitutus. [27] Trigesimaquarta mortuus est. [28] Huic perpetuo ex quo ego novi, alvus turbata. Urinæ tenues, nigræ: sopoiosus, insomnis, extremitates frigidæ, [29] delirus perpetuo, [30] phreniticus.

Ægrotus decimusquartus. [2] In Cyzico mulierem, quæ gemellas filias magna difficultate peperit, & non valde purgata est, [3] primum invasit febris horrida, acuta. [4] Capitis & colli gravitas cum dolore. [5] Insomnis ab initio, taciturna ac tetrica, & non obsecundans. [6] Urinæ tenues & decolores: [7] siticulosa, anxia plerunque, [8] alvus erroneo modo turbata, & rursus adstricta. [9] Sexta, ad noctem multum delirabat, nihil dormivit. [10] Circa undecimam insaniit, & rursus resipuit. [11] Urinæ nigræ, tenues: & rursus tempore interposito oleosæ. [12] Et alvus multis tenuibus turbata. [13] Decima quarta convulsiones multæ, extremæ partes frigidæ, nihil amplius intelligebat. Urinæ suppressæ sunt. [14] Decimasexta, voce destituta est. [15] Decimaseptima mortua est: [16] phrenitis.

Ægro-

" [Ἄρρωστος] πεντεκαιδέκατος. ² Ἐν Θάσῳ " Δεάλκους γυναῖκα, ἣ κατέκειτο ἐπὶ τοῦ λείου, ³ πυρετὸς φρικώδης ὀξὺς " ἐκ λύπης ἔλαβεν. ⁴ ἐξ ἀρχῆς δὲ " περιεστέλλετο, ⁵ καὶ διὰ τέλεος, αἰεὶ σιγῶσα, " ἐψηλάφα, ἔτιλλεν, ἔγλυφεν, ἐπεχολόγει. ⁶ δάκρυα, " καὶ πάλιν γέλως. ⁷ οὐκ ἐκοιμᾶτο. ⁸ ἀπὸ κοιλίης ἐρεθιζομένη οὐδὲν διῄει. ⁹ " μικρὰ ὑπομιμνησκόντων ἔπινεν. ¹⁰ " οὖρα λεπτὰ σμικρά. ¹¹ " πυρετοὶ πρὸς χεῖρα λεπτοί· ἀκρέων ψύξις. ¹² ἐνάτῃ πολλὰ παρέλεγε, " καὶ πάλιν ἱδρύθη σιγῶσα. ¹³ τεσσαρεσκαιδεκάτῃ " πνεῦμα ἀραιὸν μέγα, " διὰ χρόνου, " καὶ πάλιν βραχύπνοος. ¹⁴ ἑπτακαιδεκάτῃ ἀπὸ κοιλίης " ἐρεθισμὸς ταραχώδης. ¹⁵ ἔπειτα " αὐτὰ τὰ ποτὰ διῄει, οὐδὲν ξυνίστατο. ¹⁶ " ἀναισθήτως εἶχε πάντων. ¹⁷ " δέρματος περίτασις καρφαλέου. ¹⁸ εἰκοστῇ λόγοι πολλοί, " καὶ πάλιν ἱδρύθη, ἄφωνος, βραχύπνοος. ¹⁹ " εἰκοστῇ πρώτῃ ἀπέθανεν. ²⁰ ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιὸν μέγα, ²¹ ἀναισθήτως πάντων εἶχεν ²² αἰεὶ περιεστέλλετο. ²³ ἢ λόγοι πολλοί, ἢ σιγῶσα διὰ τέλεος. ²⁴ φρενῖτις.

" [Ἄρρωστος] ἑκκαιδέκατος. ² " Ἐν Μελιβοίῃ νεηνίσκος, ἐκ ποτῶν καὶ ἀφροδισίων πολλῶν πουλὺν χρόνον θερμανθεὶς, κατεκλίθη. ³ φρικώδης δὲ καὶ ἀσώδης ἦν, ⁴ ἄγρυπνός [τε] καὶ ἄδιψος. ⁵ ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ πολλὰ κόπρανα διῆλθε " ξὺν περιρρόῳ πολλῷ, ⁶ καὶ τὰς ἑπομένας " ὑδατόχολα πολλὰ διῄει. ⁷ οὖρα λεπτὰ, ὀλίγα, ἄχροα. ⁸ " πνεῦμα ἀραιὸν, μέγα, διὰ χρόνου. ⁹ ὑποχονδρίου ἔντασις ὑπολάπαρος, ' παραμήκης

Ægrotus decimusquintus. ² In Thaso Dealcis uxorem, quæ decumbebat in Leio, ³ febris horrida, acuta, ex mœrore corripuit. ⁴ Ab initio contegebatur, ⁵ & ad finem perpetuo, semper ' tacita manibus palpabat, vellebat, scalpebat, pilos legebat. ⁶ Lachrymæ, & rursum risus: ⁷ non dormiebat: ⁸ ab alvo irritationes, nihil prodibat, ⁹ parum commonita bibebat. ¹⁰ Urinæ paucæ, tenues. ¹¹ Febres ad manum tenues: extremarum partium frigiditas. ¹² Nona, multum delirabat. Et rursus sedata est: tacita. ¹³ Decimaquarta, spiritus rarus, magnus, per tempus. Et rursus brevispira. ¹⁴ Decimaseptima ab alvo ' irritatio turbulenta: ¹⁵ postea vero ipsi potus percurrebant, neque consistebant: ¹⁶ omnino nihil sentiebat. ¹⁷ Cutis aridæ circumtensio. ¹⁸ Vigesima sermones multi, & rursus sedata est: voce destituta: brevispira. ¹⁹ Vigesimaprima mortua. ²⁰ Huic perpetuo ad finem usque erat spiritus rarus magnus. ²¹ Omnino nihil sentiebat: ²² semper contegebat: ²³ aut sermones multi, aut tacita perpetuo: ²⁴ phrenitis.

Ægrotus decimussextus. ² ' Adolescens in Melibœa, ex potationibus & venere multo tempore calefactus decubuit. ³ Horridus autem & anxius erat: ⁴ insomnis: & non siticulosus. ⁵ Ab alvo prima die, stercora multa prodibant, cum multa defluxione: ⁶ & sequentibus multa aquosa cum virore pallida prodibant. ⁷ Urinæ tenues, paucæ, decolores. ⁸ Spiritus rarus, magnus, per tempus. ⁹ Præcordii intentio submollis, ' oblonga,

κης ἐξ ἀμφοτέρων. [10] καρδίης παλμὸς διὰ τέλεος ξυνεχής. [11] οὔρησεν ἐλαιῶδες. [12] δεκάτη παρεκρούσεν ἀτρεμέως, κόσμιός τε καὶ ἥσυχος. [13] δέρμα καρφαλέον καὶ περιτεταμένον. [14] διαχωρήματα πολλὰ καὶ λεπτὰ, ἢ χολώδεα λιπαρά. [15] τεσσαρεσκαιδεκάτη πάντα παρωξύνθη, παρεκρούσθη, πολλὰ παρελέγετο. [16] εἰκοστῇ ἐξεμάνη· βληστρισμός. οὐδὲν οὔρει, μικρὰ ποτὰ κατεῖχε. [17] τῇ εἰκοστῇ τετάρτῃ ἀπέθανε. [18] φρενῖτις.

ga, ex utrisque. [10] Cordis palpitatio perpetuo continua. [11] Urinam minxit oleosam. [12] Decima, sensim mente motus est: moderatusque erat ac quietus. [13] Cutis arida & circumdistenta. [14] Secessus multi & tenues, aut biliosi & pingues. [15] Decimaquarta, omnia exacerbata sunt: mente motus est: multum deliravit. [16] Vigesima insanit; iactatio: nihil mingebat: paucos potus continebat. [17] Vigesimaquarta mortuus est: [18] phrenitis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ

τὸ τέταρτον.

HIPPOCRATIS POPULARIUM

liber quartus.

Basil. græc. Foesius sect. VII. 208. 1120. Basil. lat.

Pag. 328

Μετ' ἰσημερίην καὶ μετὰ πληϊάδα, [2] οἷα τὰ ἀναβιβρωσκόμενα καὶ βλεννώδεα, ἃ τὴν κεφαλὴν ἔξω, ἐπῆλθεν ὑπὲρ τοῦ ὠτός· [3] τῷ παρὰ Λεωκύδεος ἐν ποδί· [4] Φανοδίκῳ οἱ δάκτυλοι οἱ ἐν τῷ ποδὶ, ἐπὶ τοῦ στήθεος. [5] Ὁ τμηθεὶς τὴν κνήμην ταύτῃ μὲν καὶ ἐμελάνθη [καὶ] μέγα δὲ τὸ ἕλκος ἐν τῷ ἔξω τῆς κνήμης, καὶ ἐκ τοὔπισθεν ἦε. [6] ἐπεὶ καθαρὸν ἐγίνετο, πλευροῦ ὀδύνη καὶ στήθεος κατ' ἴξιν ἀριστεροῦ, καὶ πυρετοί. [7] ἀπέθανεν ἀπὸ τοῦ πυρετοῦ. [8] Τὸ χολῶδες τοῦ χοινοπλόκου κατακορές. [9] καὶ τὰ καυστικὰ καταφερομένῳ περὶ ἰσημερίην, κάτω αἷμα πολὺ διῆλθε. [10] Γέροντι πάνυ σφόδρα ἀπεχώρει, οὐκ ἔξω τεσσαρεσκαιδεκαημερέων.

[11] Τῷ δὲ τμηθέντι παρ' Ἀντιφίλου καυστικῷ, ἐκρίθη ἑβδόμῃ

Post æquinoctium & post pleiada, [2] qualia sunt erodentia & mucosa, quæ caput aperuerunt, supra aurem prodierunt: [3] ei qui apud Leocydes ædes habitabat, in pede, [4] Phanodico digiti in pede, in pectore. [5] Qui tibiam sectus est, hac parte etiam nigrefactus est. Erat ulcus magnum in externa tibiæ parte, & retro prodibat. [6] Quum purum factum esset, lateris dolor & pectoris sinistri è directo, & febres. [7] Mortuus est à febre. [8] Biliosum restiario abunde coloratum, [9] & ustoria adhibenti circa æquinoctium, sanguis multus deorsum prodiit. [10] Seni valde vehementer abscessit, non ultra quatuordecim dies.

[11] Vulnerato ab Antiphilo, usto, judicatio facta est die septima,

δόμῃ χολώδεϊ, τυφώδει. [12] τρίτῃ μετὰ κρίσιν, ἢ ἔπτυσεν, αἷμα ἔπτυσεν. [13] περιεγένετο, καὶ ὑποστροφὴ ὕστερον ἐγένετο. [14] ἐκρίθη, ὡς εἰκὸς, περὶ πληϊάδων δύσιν τὸ πρῶτον. [15] μετὰ δὲ πληϊάδων δύσιν χολώδης ἐς μανίην. [16] κρίσις περιεγένετο περὶ ἐνάτην ἄνευ ἱδρῶτος.

[17] Περὶ ἰσημερίην ὁ Χαλκηδόνιος, ἀπὸ πυλέων μεταχθεὶς παρ᾽ ἀγορήν· [18] [ἐκ] ῥήξιος περὶ μαζὸν δεξιὸν ὀδυνώμενος, ἔπτυεν ἄλλοτε καὶ ἄλλοτε ὑπόχλωρον. [19] γαστήρ. [20] ἱδρὼς, ἀρξάμενος ἑβδόμῃ, εἶχε τὰ πολλὰ ἄχρις ὀγδόης. [21] ἐκρίθη τεσσαρεσκαιδεκάτῃ. [22] περὶ δὲ τεσσαρακοστὴν ἤρθη περὶ τὰ ὦτα οἱ ἀμφότερα. [23] οὐκ ἀπεοικὼς ἐδόκει ἔμπυος ἔσεσθαι· οὐκ ἐγένετο. [24] στῆθος Ἀριστοδήμῳ ἐκαύθη.

11. [1] Τῷ Φιλίδος, ὡς ἀπόστημα ἐκ πτώματος, καὶ τούτῳ ἐκαύθη· [2] προϋπῆρχε δὲ ὀδύνη τις ἀναλέρως. [3] μετ᾽ ἰσημερίας φθινοπωρινὰς ὑποστροφαί. [4] καὶ ἄλλως μέχρι τροπέων χειμερινῶν.

[5] Μεθ᾽ ἡλίου τοῦ θερινοῦ ἡ Ἀχελώου ἑκταίη ἀπέφθειρεν, [6] αἱματώδης ἐοῦσα καὶ φρικώδης, καὶ ἱδρῶτες. [7] κρίσις τεσσαρεσκαιδεκάτῃ. [8] ὁπόσου μηνὸς οὐκ οἶδα, ἄρσεν δὲ καὶ ἄλλο περὶ τὰς εἴκοσιν ἔφη. [9] εἰ ἀληθέα, οὐκ οἶδα.

[10] Περὶ ἡλίου τροπὰς χειμερινὰς βορέα ἦν. [11] ἰκτεριώδεες, ἰσχυρῶς κεχρωσμένοι, [12] καὶ οἱ μὲν φρικώδεες, οἱ δὲ οὔ. [13] γλῶσσαι ξυγκεκαυμέναι τρίτῃ. [14] καὶ ὄχλοι περὶ ἕκτην

prima, bilioso, stupido. [12] Tertia, post judicationem sanguinem spuit: [13] superstes manebat, & recidiva facta est postea. [14] Judicatus est velut par erat, circa pleiadum occasum primum. [15] Post pleiadum autem occasum, biliosus ad insaniam usque: [16] judicatio facta est, supervixit, circa nonam diem, absque sudore.

[17] Circa æquinoctium Chalcidonius à portis delatus ad forum, [18] ex ruptione circa mammam dextram dolens, spuebat alias atque alias pallens subviride. [19] Venter egerebat. [20] Sudor auspicatus septima, tenuit plerunque usque ad octavam: [21] judicatus est decimaquarta. [22] Circa quadragesimam tubercula exorta ipsi circa utrasque aures, [23] haud immerito putabatur suppuratus fore: non factum est. [24] Pectus Aristodemo ustum est.

11. [1] Philidis filio quum abscessus factus esset ex casu, & ipsi pectus ustum est. [2] Erat autem dolor quidam etiam antea: [3] post æquinoctium autumnale recidivæ: [4] & alias usque ad solstitium hyemale.

[5] Et cum sole æstivo Acheloi uxor sexta die abortivit, [6] quum esset sanguinea, & horrida: & sudores. [7] Judicatio facta est decimaquarta: [8] quot mensium fuerit fœtus, haud scio. Masculum autem etiam alium ad dies viginti se abortivisse dixit, [9] an vera dixerit non scio.

[10] Circa solstitium hybernum aquilonares venti erant. [11] Morbo regio corripiebantur abunde colorati, [12] & partim horridi, partim non. [13] Linguæ combustæ tertia die. [14] Et turbationes

ἕκτην καὶ ἑβδόμην. [15] καὶ οὗτοι μακρῶν ἀπιέντες. [16] τεσσαρεσκαιδεκάτη γαστέρες ἀντεχόμεναι, καὶ ἐν τῇσι φαρμακείῃσιν οὐχ ὑπακούουσαι. [17] κατὰ λόγον τῶν πυρετῶν οὐδ' ἀνίδρωτες.

III. [1] Σπλῆνές τισιν οἷσι σμικροί, πρὸς ὑποχόνδρια δεξιὰ ἐκτεταμένοι, καὶ πρὸς χεῖρα ὑποβορβορύζοντες. [2] αἱμόρροοι, καὶ οὔρησιν ἡ κάθαρσις καὶ ἡ κρίσις. [3] πολλῷ δὲ μᾶλλον εἶχον κάτω. [4] καὶ γὰρ τοῦτο ἐπελαμβάνετο ὑπὸ τὸν χρόνον τοῦτον. [5] οἷσι μὴ οὕτως ἦν, σπλῆνες δὲ ἐπηρμένοι, αἱμορραγίη ἐξ ἀριστεροῦ. ἥλιος ἐτετράπετο. [6] τὰ χειμερινὰ χειμερινῶς ἐν βορείοισι. [7] μετὰ δ' ὀλίγον νότια ἦν ἀφ' ἡμέρας πεντεκαίδεκα. [8] μετὰ δὲ ταῦτα νιφετὸς δεκατέσσαρσιν ἡμέρῃσιν. [9] ἀμφὶ ταῦτα τοῦ ἔτεος ἰκτερώδεες καταστάσιες· οὐ κρινόμενοι εἰλικρινέως, φιλυποστροφώδεα. [10] μετὰ δὲ χιόνας νότια ὑπεγένετο, καὶ ὑετοί. [11] κόρυζαι κατερράγησαν καὶ ξὺν πυρετοῖσι καὶ ἄνευ πυρετῶν. [12] ἐπὶ δέ τινι καὶ ἐς ὀδόντας ἐκ τοῦ ἀπὸ μέσου πεπληγηκότι ἐπὶ δεξιά, καὶ ὀφρύν, καὶ ὄμμα. [13] ἦσαν δὲ καὶ βραγχώδεες, καὶ φάρυγγες φλεγμαίνουσαι. [14] καὶ οἱ σπόγγοι καλεόμενοι ἀνεῖχον. [15] καὶ τὰ παρὰ τὰ ὦτα καὶ γνάθον ἐπάρματα μαλθακά, καὶ ξὺν πυρετῷ καθίστατο. [16] ἀρχομένοισι πυρετῶν ἐγίνετο ἐπάνω καὶ ἐπὶ θάτερα τὰ πολλὰ τουτέων. [17] καὶ οἱ σπόγγοι ἔστιν οἷσιν ὑπὸ τὸ μετόπωρον καὶ τὸν χειμῶνα. [18] ἀτὰρ καὶ τὰ πιτυρώδεα. [19] καὶ ἀπέφθειρον πολλαὶ παντοίως, καὶ ἐδυστόκεον. [20] ἕκτῃ τῇ παρθένῳ κριθέντα ἕκτῃ ὑπεστρόφησεν. [21] ἐκρίθη δὲ δι' ἕκτης

[22] παίδω

circa sextam, & septimam, [15] atque hæ diu durantes, [16] Decimaquarta ventres resistentes, & in medicationibus non obedientes. [17] Pro ratione febrium etiam nulli sudores.

[20] In Cranone antiqui dolores frigidi, recentes autem calidi, ex sanguine vero plurimi: & quæ ex coxa, frigida sunt. [21] Quæ ad rigores fortes progressa sunt, non valde mitigantur, nisi prope vigorem. [22] Ante rigorem urinarum suppressiones, si ex bonis fuerint,20 & alvus egerat, & somni adsint: [23] fortassis autem & febris modus: [24] fortassis etiam quæ ex lassitudinibus. [25] Abscessus non valde, quibus rigores. [26] Crurum effœminationes, veluti si aut ante morbum iter fecissent, aut statim ex morbo: [27] eo quod fortassis ex lassitudinibus in articulos abscessit, [28] ex quo crurum effœminationes. [29] Tubercula ex-25 tra extuberantia, & acuta, & fastigiata, & æqualiter maturescentia, & non obdura, & deorsum vergentia, & non bifida, meliora: contraria vero, mala: & quanto plus contraria, pessima. [30] Ferinum autumno, & oris ventriculi dolores, & horrores, & atra bilis. [31] Circa initia exacerbationes considera, & [32] in omni morbo, quale est ad vesperam exacerbari, & annus [33] ad vesperam, & ascari-30 des. [34] Infantibus tussicula cum ventris turbatione, ac febre continua, significat post iudicationem bimestri, in totum vigesima die, etiam tumores ad articulos. [35] Si quidem infra umbilicum constiterint, in infernis articulis superna, bonum: [36] si vero supra, non similiter morbum solvunt, nisi suppurata fue-

rint.

πυήσῃ. 37 τὰ δὲ ἐν ὤμοισιν ἐκπυεῦντα τοῖσι τηλικούτοισι ' γαλιάγκωνας ποιέει. 38 λύσειε δ' αὖ καὶ ἑλκυδρίων κάτω ἔκθυσις, ἢν μὴ στρογγύλα καὶ βαθέα ᾖ. 39 τὰ δὲ τοιαῦτα ὀλέθρια, καὶ ἄλλως, [καὶ] παιδίοισι [μάλιστα.] 40 καὶ αἷμα λύσειεν αὖ ῥαγέν. 41 μᾶλλον δὲ τοῖσι τελειοτέροισιν ἐπιφαίνεται. 42 Δάκρυον ἐν τοῖσιν ὀξέσι τῶν φλαύρως ἐχόντων, ἑκόντων μὲν, χρηστὸν· ἀκόντων δὲ παραῤῥέον, κακόν. 43 καὶ οἷσι περιτέταται βλέφαρα, κακόν. 44 κακὸν δὲ καὶ τὸ ἐπιξηραινόμενον, οἷον ἄχνη. 45 καὶ τὸ ἀμαυρὸν, καὶ αὐχμηρὸν, κακόν. 46 καὶ οἱ ' ῥυσσούμενοι ἔνδοθεν, καὶ οἱ πεπηγότες, καὶ οἱ μόλις στρεφόμενοι, καὶ οἱ ἐνδεδινημένοι, καὶ τἄλλα ὅσα παρεῖται. 47 Πυρετοὶ, οἱ μὲν δακνώδεες τῇ χειρὶ, οἱ δὲ πρηέες. 48 οἱ δ' οὐ δακνώδεες μὲν, ἐπαναδιδόντες δέ. 49 οἱ δ' ὀξέες μὲν, ἡσσώμενοι δὲ τῆς χειρός. 50 οἱ δὲ περικαέες εὐθέως, οἱ δὲ διὰ παντὸς βληχροί. 51 οἱ δὲ ἁλμυρώδεες, οἱ δὲ πεμφιγώδεες, ἰδεῖν δεινοί. οἱ δὲ ξηροὶ, οἱ δὲ πρὸς τὴν χεῖρα νοτώδεες. 52 οἱ δὲ ἐξέρυθροι, οἱ [δὲ] πελιοὶ, οἱ δὲ ἔξωχροι. 53 καὶ τἄλλα ' τοιουτότροπα. 54 Αἱ ξυντάσιες τοῦ σώματος, καὶ αἱ σκληρυσμαὶ τῶν ἄρθρων, κακόν. 55 καὶ αὐτὸς διαλελυμένος, κακόν. 56 καὶ αἱ κατακλάσιες τῶν ἄρθρων κακαί. 57 Ὄμματος θράσος παρακρουστικόν. 58 καὶ ἔῤῥιψις καὶ παρέγκλασις, κακόν.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

1 ' Εὐρῦναι, στενῶσαι, τὰ μὲν ναὶ, τὰ δὲ μή. 2 Χυμοὺς, τοὺς μὲν ἐξῶσαι, τοὺς δὲ ξηρᾶναι, τοὺς

rint. 37 Quæ vero in humeris ſuppurantur tantillis, muſtellæ cubito præditos, ' parvumque ac macilentum brachium habentes faciunt. 38 Solverit autem & ulcuſculorum inferne eruptio, ſi non rotunda & profunda fuerint. 39 Talia enim pernicioſa etiam alias ſunt pueris. 40 Solverit itidem ſanguis fluens. 41 Magis autem in perfectioribus is apparet. 42 Lachrymæ in acutis male habentibus, ultroneæ quidem bonæ: involuntarie vero defluentes, malæ. 43 Quibus circumtenditur ' palpebra, malum; 44 malus eſt etiam oculus inareſcens, velut ſpuma, & 45 obſcuratio oculorum mala eſt. 46 Et ſqualliditas mala, & qui intrinſecus corrugantur, & rigentes, & qui vix convertuntur, & qui intus converſi ſunt, & quæcunque alia omittuntur. 47 Febres aliæ quidem mordaces ſunt manui, aliæ lenes. 48 Aliæ vero non quidem mordaces, verum augeſcentes. 49 Aliæ autem acutæ quidem, ſed ' quæ à manu vincantur. 50 Aliæ ſtatim adurentes, aliæ ſemper debiles, ſiccæ. 51 Aliæ ſalſuginoſæ. Aliæ inflatæ, horrendi aſpectus. Aliæ ad manum humectæ. 52 Aliæ rubicundæ valde: aliæ valde pallidæ. Aliæ lividæ, & 53 alia id genus. 54 Diſtentiones corporis, & articulorum duriciæ, malum; 55 & ipſe diſſolutus, 56 & confractiones articulorum, malum. 57 Oculi audacia, delirii ſignum eſt: & 58 oculorum ' dejectiones ac perverſiones, malum.

SECTIO SECVNDA.

Dilatare, conſtringere, alia quidem, alia vero non. 2 Humores alios quidem expellere, alios vero

τοὺς δὲ ἐνθεῖναι· καὶ τῇ μὲν, τῇ δὲ μή. [3] Λεπτῦναι, παχῦναι τεῦχος, δέρμα, σάρκας, καὶ τἄλλα· καὶ τὰ μὲν, τὰ δὲ μή. [4] Λεῆναι, τρηχῦναι, σκληρῦναι, μαλθάξαι, τὰ μὲν, τὰ δὲ μή. [5] Ἐπεγεῖραι, ναρκῶσαι, καὶ τἄλλα ὅσα τοιαῦτα. [6] Παρασχίζειν, ὑπείξαντα ἀντισπᾶν αὐτίκα, ἀντιτείνοντα ὑπεῖξαι. [7] Ἄλλον χυμὸν τὸν μὴ ἰόντα ἄγειν, τὸν δὲ ἰόντα ξυνεκχυμοῦν ἐργάσασθαι. [8] Τὸ ὅμοιον· οἷον ὀδύνη ὀδύνην παύει. [9] Τὰ ἀνόμοια, ἢν ῥέπῃ ἄνωθεν ἀρθέντα, κάτωθεν λύειν· καὶ τὰ ἐναντία ταυτά. [10] Οἷον κεφαλῆς κάθαρσις, φλεβοτομίη, ὅτε οὐκ εἰκῇ ἀφαιρέεται. [11] Αἱ ἀποστάσιες οἷον βουβῶνες, σημεῖον μὲν τῶν τὰ βλαστήματα ἐχόντων· ὑπὲρ καὶ ἄλλων. [12] μάλιστα δὲ περὶ τὰ σπλάγχνα. [13] κακοήθεες δὲ οὗτοι. [14] Πνεύματα σμικρὰ, πυκνὰ, μεγάλα, ἀραιά· σμικρὰ, ἀραιά· πυκνὰ, μεγάλα· [15] ἔξω μεγάλα, εἴσω σμικρά· εἴσω μεγάλα, ἔξω σμικρά· [16] τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον· [17] διπλῆ εἴσω ἐπανάκλισις, οἷον ἐπιπνέουσι. [18] θερμὸν, ψυχρόν. [19] Ἰητρεῖον ξυνεχέων χασμέων μακρόπνοες· ἐν τοῖσι δ' ἀποσίτοισι καὶ μόλις, βραχύπνοες. [20] Κατ' ἴξιν καὶ πλευρέων ὀδύνη, καὶ ξυντάσιες ὑποχονδρίων, καὶ σπληνὸς ἐπάρσιες, καὶ ἐκ ῥινῶν ῥήξιες· καὶ ὦτα κατ' ἴξιν. [21] τούτων τὰ πλεῖστα ταυτὰ καὶ ἐν ὀφθαλμοῖσι. [22] πότερον ἢ ἄρα; [23] πάντα, ἢ τὰ μὲν κάτωθεν ἄνω, κατ' ἴξιν, οἷα τὰ παρὰ γνάθους, ἢ παρ' ὀφθαλμὸν καὶ οὖς· τὰ δὲ ἄνωθεν κάτω, οὐ κατ' ἴξιν. [24] καί

vero ficcare, alios autem indere, & alia quidem parte, alia vero non. [3] Attenuare, crassefacere, corpus, cutem, carnes, & alia: & aliqua quidem, aliqua vero non. [4] Levigare, exasperare, indurare, mollire, alia quidem, alia non. [5] Excitare, torpefacere: & quæcunque alia hujuscemodi. [6] Derivare, subcedentia statim revellere, renitentibus concedere. [7] Alium humorem non prodeuntem ducere: prodeuntem vero simul effundere: [8] operari simile, velut dolor dolorem sedat. [9] Dissimilia, si vergant sursum elevata, inferne solvere, & contraria per eadem: [10] velut est capitis purgatio, venæ sectio, quando non temere detrahitur. [11] Abscessus velut glandularum tumores, signum quidem sunt earum partium quæ germina habent, sed & aliarum: [12] maxime vero circa viscera. [13] Maligni autem hi sunt. [14] Spiritus parvi densi, magni rari, parvi rari, magni densi: [15] extra magni, intus parvi: intus magni, extra parvi: [16] alius extendens, alius urgens: [17] dupla intro revocatio, velut superinspirantibus, [18] calidus, frigidus. [19] Medela assiduarum oscitationum, spiratio longa. In non potantibus, & vix, spiratio brevis. [20] E directo & laterum, & præcordiorum intentiones, & splenis elevationes: & è naribus eruptiones, & aures è directo. [21] Horum plurima etiam ad oculos. [22] Utrum igitur [23] omnia? aut quæ quidem ex infernis sursum, è directo; qualia sunt quæ juxta maxillas, aut circa oculum aut aurem? quæ vero ex supernis deorsum, non è directo? [24] Atqui

τοι καὶ τὰ συναγχικὰ ἐρυθήματα καὶ πλευρέων ἀλγήματα κατ' ἴξιν. 25 ἢ καὶ τὰ κάτω τοῦ ἥπατος ἄνωθεν διαδιδόντα, οἷον τὰ ἐς ὄρχιας καὶ κιρσούς. 26 σκεπτέα ταῦτα, ὅπῃ, καὶ ὅθεν, καὶ διότι. 27 Φλέβες κροτάφων οὐχ ἱδρυμέναι, οὐδὲ χλώρασμα λαμπρὸν, ἢν πνεῦμα ἐγκαταλείπηται, ἢ βὴξ ξηρὴ καὶ μὴ πεπαίνουσα [ἢ,] ἐς ἄρθρα στήριξιν προσδέχεσθαι δεῖ κατ' ἴξιν τῶν ἐντάσιων τῶν κατὰ κοιλίην ὡς ἐπιτοπουλύ. 28 ἔχουσι δὲ τοῦτο οἱ πλεῖστοι, καὶ ἐξέρυθροι, καὶ τῇ φύσει τοῦ λευκοχροωτέρου τρόπου, καὶ οὐχ αἱμορραγέουσι ῥῖνες ἢ σμικρὰ αἱμορραγέουσι. 29 καὶ, ἢν μὲν ῥυέντων ἐγκαταλείπηται, ἑτοίμη. 30 δίψα ἐγκαταλειφθεῖσα, καὶ στόματος ἐπιξηρασίη, καὶ ἀηδίη, καὶ ἀποσιτίη τοῦτον τὸν τρόπον. 31 πυρετοὶ δὲ οὐκ ὀξέες οἱ τοιοίδε, ὑποστροφώδεες δέ. 32 Τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν, ὑποστροφώδεα. 33 τὸ γοῦν πρῶτον σπληνῶν ἐπάρσιες, ἢν μὴ ἐς ἄρθρα τελευτήσῃ· 34 ἢ αἱμορραγίη γένηται, ἢ δεξιοῦ ὑποχονδρίου ἔντασις, ἢν μὴ διεξοδεύσῃ οὖρα. 35 αὕτη γὰρ ἡ ἐγκατάληψις ἀμφοτέρων καὶ ὑποστροφαὶ τουτέων εἰκότως. 36 ἀποστάσιας οὖν ποιέεσθαι αὐτῶν, μὴ γινομένας· τὰς δὲ ἐκκλίνειν γινομένας. τὰς δὲ ἀποδέχεσθαι, ἢν ἴωσιν, οἵας δεῖ, καὶ ᾗ δεῖ. 37 ὁκόσαι δὲ μὴ σφόδρα, ξυνδρᾷν. 38 τὰς δὲ ἀποτρέπειν, ἢν πάντη ἀξύμφοροι ἔωσι. 39 μάλιστα δὲ ταύτας μελλούσας· εἰ δὲ μὴ, ἀρχομένας ἄρτι. 40 Αἱ τεταρταῖαι αἱμορραγίαι δύσκριτοι.

& anginosi rubores, & laterum dolores è directo. 25 Aut etiam quæ infra hepar sunt ex supernis distributa, velut in testes ac varices. 26 Consideranda sunt hæc quo, & unde, & propter quid. 27 Venæ temporum non considentes, neque viriditas splendida, si spiritus intus relinquatur, aut tussis sicca, non ferina: ut in articulos decumbat expectare oportet, è directo distentionum secundum ventrem ut plurimum. 28 Habent autem horum plurimi, & facies rubicundas, & ex natura sunt modi albidioris, & de naribus sanguis non erumpit, aut parum erumpit: 29 & si quidem ex affusis intus relinquatur, paratus est abscessus. 30 Sitis intus relicta, & oris resiccatio, & injucunditas, & cibi fastidium, eodem modo. 31 Febres autem non acutæ, ejusmodi sunt, verum reverrentes. 32 Quæ relinquuntur post judicationem, recidivas facere solent. 33 Primum itaque splenis elevationes, si non ad articulos finierint, 34 aut sanguinis è naribus eruptio fit, aur dextra præcordii intensio: si non penetraverint urinæ. 35 Hæc enim est interceptio utrorumque, recidivæ horum merito fiunt. 36 Abscessus igitur horum facere oportet, si non fiant: eos vero qui jam fiunt, declinare: eos autem excipere, si prodierint jam, & qualia oportet & qua parte oportet. 37 Qui vero non valde, eos coadjuvare. 38 Eos vero avertere, si omnino incommodi fuerint, 39 maxime si hi affuturi sunt: sin minus, si jam incipiunt. 40 Quartanæ sanguinis è naribus eruptiones ægre judi-

κρίνει. 41 Οἱ διαλείποντες μίαν τῇ ἑτέρῃ ἐπιῤῥιγέουσιν ἅμα ' κρίσει, ἐκ τῶν πέντε ἐς τὰς ἑπτά. 42 Ὅσοι τριταιοφυέες, τούτοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ· ἡ δὲ ἐπιοῦσα, εὐφορωτέρη ὡς ἐπὶ τὸ πολύ. 43 Βῆχες ξηραὶ, βραχὺ ἐρεθίζουσαι ἀπὸ πυρετοῦ καυσώδεος, οὐ κατὰ λόγον διψώδεες, οὐδὲ γλῶσσαι καταπεφρυγμέναι, οὐ τῷ θηριώδει, ἀλλὰ τῷ πνεύματι. δῆλον δέ. 44 ὅταν γὰρ διαλέγωνται, ἢ χασμῶσι, τότε βήσσουσιν· ὅταν δὲ μὴ, οὔ. 45 τοῦτο ἐν τοῖσι κοπιώδεσι μάλιστα πυρετοῖσι γίνεται. 46 Μηδὲν ' εἰκῇ, μηδὲν ὑπερορᾷν. 47 Ἐκ προσαγωγῆς τἀναντία, ἃ προσάγειν, καὶ διαναπαύειν. 48 Τὰ ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα ὠφελέει. 49 Αἱ διαδέξιες τῶν ὑποχονδρίων, ἐξ οἵων [ἐς] οἷα ἀλλοιοῦσι· καὶ τῶν σπλάγχνων τῶν φλεγμονῶν οἷα δύναται, εἴτ' ἐξ ἥπατος σπλῆνα, καὶ τἀναντία, καὶ ὅσα τοιαῦτα. 50 Ἀντισπᾷν, ἢν μὴ, ᾗ δεῖ, ῥέπῃ· 51 ἢν δὲ, ὅπη δεῖ, τουτέοισι δεῖ στομοῦν, οἷας ἕκαστα ῥέπει. 52 Τὰ πλατέα ' ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα· οἷα Σίμων εἶχε χειμῶνος. 53 ὃς, ὅτε πρὸς πῦρ ἀλείψαιτο, ἢ θερμῷ λούσαιτο, ὠνίνατο. 54 ἔμετοι οὐκ ὠφέλεον. 55 οἴομαι, εἴ τις ἐξεπυρίασε, ὤνησεν ἄν. 56 Ὅσα πεπαίνεσθαι δεῖ, κατακεκλεῖσθαι δεῖ. 57 τἀναντία δὲ, ξηραίνειν καὶ ἀνοῖχθαι. 58 Ἐπὶ ὀμμάτων ῥοωδέων, ἢν ἄλλως φαίνηται ξυμφέρειν, ἀντισπᾷν ἐς φάρυγγα. 59 καὶ ὅπη ἐρεύξις λυζ-

judicant. 41 Febres quæ una die intermittentes, altera superrigent una cum judicatione, ex quinque ad septem ' circuitus durant. 42 Quæcunque tertianæ naturam habent, his nox molesta ante exacerbationem: quæ vero sequitur, tolerabilior plerunque est. 43 Tusses siccæ parum irritantes à febre adurente, non pro ratione siticulosæ, neque linguæ torrefactæ, non feritate, sed spiritu. Constat id inde. 44 Quum enim loquuntur, aut hiant, tunc tussiunt: quum vero non, minime. 45 Hoc autem in febribus ex ' lassitudinibus obortis maxime contingit. 46 Nihil temere affirmandum, nihil contemnendum. 47 Contraria paulatim facta accessione adhibenda sunt, & interquiescendum. 48 Dolenti capitis partem posteriorem, recta vena in fronte secta profuit. 49 Successiones præcordiorum ex qualibus qualia alterant, & viscerum inflammationum qualia possunt, sive ex hepate spleni, & vice versa: & ' quæcunque hujusmodi. 50 Revellere oportet, si non qua oportet repant: 51 si vero qua oportet, bis oscula aperire oportet, qualiter singula repunt. 52 Latæ pustulæ non valde pruriginosæ sunt: quales Simon habebat hyeme, 53 qui ubi ad ignem inungeretur, aut calida lavaretur: opem sentiebat. 54 Vomitus non proderant. 55 Arbitror si quis calida fomenta adhibuisset, opem ferre potuisse. 56 Quæcunque ' concoqui oportet, conclusa esse convenit: 57 contraria vero siccare, & aperta esse. 58 Oculorum fluxiones, si alias conducere videtur, revellere ad fauces convenit. 59 Et ubi cru-

λυσιτελέει, καὶ ἄλλα τοιαῦτα. [60] Τὰς ἐφόδους ἀνεστομῶσθαι, οἷον ῥῖνας, καὶ 345 τὰς ἄλλας, ὧν δεῖ, καὶ ὡς δεῖ, καὶ οἷα, καὶ ὅπη, καὶ ὅτε, καὶ ὅσον δεῖ· οἷον ἱδρῶτας, καὶ τἄλλα δὴ πάντα. [61] Ἐπὶ τοῖσι μεγάλοισι κακοῖσι πρόσωπον ἢν ᾖ χρηστὸν, σημεῖον χρηστόν. [62] ἐπὶ δὲ τοῖσι σμικροῖσι τἀναντία σημαῖνον τῇ εὐσημείῃ, κακόν. [63] Παρὰ τὸ μέγα θέατρον ἡ γυνὴ ὄπισθεν τοῦ ἡρώου ἰκτερώδεος ἐπιγενομένου, παρέμεινεν αὐτῇ. [64] ὁ τοῦ 5 Τεμβρέω ἀδελφιδῆς, ἔτος μελάγχρους. [65] Ἐν Περίνθῳ τὸ γονοειδὲς τὸ τοιοῦτον ὅτι κρίσιμον καὶ τῶν ἤτρων. [66] τὰ τοιαῦτα ὅτε αἱ κρίσιες ῥύονται, ὅτε οὔτε φύσης πολλῆς, οὔτε κόπρου πολλῆς, γλίσχρης δὲ, διελθούσης ἐλαπαύσατο. [67] οὐ γὰρ δὴ μέγα ἦν τὸ ὑποχόνδριον. [68] [Ὅς] κράμβην ἑβδομαῖος ἔφαγεν, ἔτι δύσπνοος ἐὼν, ἐπεὶ τὸ ἦτρον ἐλαπάσθη, [καὶ] εὔπνοος ἐγένετο. [69] ἡ [δὲ] κοιλίη αὐτῷ ἐξετίναξε. [70] Περὶ δὲ τοῦ ἰχωροειδέος, ὅτι ἐν τοῖσι πτώδεσι τὸ τοιοῦτον καὶ τοῖσιν ἠγρυπνηκόσι, 10 καὶ εἴτε φλαῦρον, εἴτε χρηστόν. [71] Οἷσιν ὁ σπλὴν ἐπικαταῤῥέπων, πόδες καὶ γούνατα καὶ χεῖρες θερμαὶ, ῥὶς καὶ ὦτα αἰεὶ ψυχρά. [72] ἢ ἄρα διὰ τοῦτο λεπτὸν τὸ αἷμα; [73] ἢ ἄρα καὶ φύσει τοιοῦτον οὗτοι ἔχουσιν; [74] Ἐν τοῖσιν ἐμπυήμασιν ὀμφαλὸς ὅρος. [75] οἷσι μέλλουσιν ἐμπυεῖν, αἱ κοιλίαι ἐκταράσσονται. [76] Σπλὴν σκληρὸς, οὐ τὰ ἄνω [ἀλλὰ] κάτω, στρογγύλος, πλατὺς, παχὺς, λεπτὸς, μακρός. [77] ἧσσον τοῖσιν ἀπὸ κεφαλῆς κορυζώδεσιν. [78] Ἡ περὶ τὸν νοσέοντα οἰκονομίη, [79] καὶ ἐς 15 τὴν νοῦσον ἐρωτήσιες, [80] ἃ διηγεῖται οἷα, [81] ὡς ἀποδεκτέον οἱ λόγοι,

eructatio conducit, & quæcunque alia hujusmodi. [60] Transitus apertos esse oportet, velut nares, & alia quibus opus est, & velut opus est, & qualia, & qua parte, & quando, & quantum opus est: velut sudores, & alia sane omnia. [61] In magnis malis facies si fuerit bona, bonum signum est. [62] In parvis autem, contraria significans bonæ significationi, malum. [63] Apud magnum Theatrum ubi mulier retro heroum, morbo regio superveniente, permansit ipsi. [64] Apud Temenæ neptim ille nigricantis erat coloris. [65] In Perintho geniture similis urina talis, quæ esset judicatoria, etiam pectinis affectionum. [66] Nam hujusmodi urinæ talia sanant: quoniam neque flatu multo, neque stercore multo egresso evacuabantur. [67] Non enim profecto magnum erat præcordium. [68] Brassicam septima die quis comedit, quum adhuc difficulter spiraret: postquam pecten emollitus est, recte spirans factus est, [69] alvus ipsi expulit. [70] De sanguine seroso, quoniam in pavidis talis, aut in his qui vigilarunt: & sive malus, sive bonus. [71] Quibus splen deorsum vergit, pedes & manus, & genua calida sunt: nasus & aures semper frigida. [72] Num propter hoc quod tenuis sanguis? [73] Num & natura talem hi habent? [74] Suppurationibus umbilicus, terminus: [75] quibus suppuraturis ventres turbantur. [76] Splen durus non superne, inferne, rotundus, latus crassus, longus, tenuis longus, [77] minus capitis gravedine laborantibus. [78] Circa ægrotantem administratio, & [79] de morbo interrogatio: [80] quæ narrat qualia, [81] quomodo accipiendi sermones:

γῃ, τὰ πρὸς τὴν νοσέουσαν, τὰ πρὸς τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν. [82] Ὅτι ἐν θερμοτέρῳ τε ἐν τοῖσι δεξιοῖσι, στερεώτερον· [83] καὶ μέλανες διὰ τοῦτο, καὶ ἔξω αἱ φλέβες, καὶ χολωδέστεροι. [84] μᾶλλον ξυνεκρίθη, συνέστη ὀξύτερον, κινηθὲν ἐμωλώθη, [85] καὶ βραδύτερον αὔξεται, καὶ ἐπὶ πλείω χρόνον. [86] διὰ τοῦτο ἐστερεώθη, καὶ χολωδέστερόν τε καὶ ἐναιμότερον ἦ, ὅτι θερμότερόν ἐστι τὸ χωρίον τοῦ ζώου.

mones: quæ ad ægrotantem, quæ ad præsentes, quæ ad externos. [82] Quod in calidiore, solidiore, in dextris: [83] & nigri propterea, & venæ extrinsecus, & multo biliosiores. [84] Concretum est, compactum est citius: ubi motum est, desinit, [85] & tardius augescit, & ad amplius tempus. [86] Quod solidum factum est, & biliosius, & sanguinolentius est. Hic calidior est locus animali.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Ἡ δέρματος ἀραιότης, ἡ κοιλίης πυκνότης. [2] ἡ δέρματος ξυνόδεσις, ἡ σαρκῶν αὔξησις. [3] ἡ κοιλίης νάρκωσις, ἡ τῶν ἄλλων ξύγχυσις. [4] ἡ τῶν ἀγγείων ἀκαθαρσίη, ἡ ἐγκεφάλου ἀνάλωσις. [5] διὸ καὶ φαλακρότης. [6] ἡ τῶν ὀργάνων κατάτριψις, ἡ καθαίρεσις. [7] [καθαίρεσις] δρόμοισιν, ἡσυχίῃσι, πάλῃσι, πολλοῖσι περιπάτοισι ταχέσιν. [8] οἴστον ἑφθὴ μᾶζα τὸ πλεῖστον, ἄρτος ὀλίγος. [9] καθαιρέσιος σημεῖον, τὴν αὐτὴν ὥρην τῆς ἡμέρης φυλάσσειν· ἐξαπίνης γὰρ ἐρρίπτετο. [10] ἢ ὑφίεναι τῶν πόνων, ἢ ῥυήσεται. ὁμοίως γὰρ ὅλον ξυμπίπτει. [11] ὅταν δ' ἤδη ξυμπίπτωσιν, προσφαγεῖν ὕεια ὀπτά. [12] ὅταν δὲ πληρῶνται, σημεῖον αὖθις, τὸ σῶμα ἀνθηρὸν γίνεται. [13] ἐν γυμνασίοισι σημεῖον, ὁ ἱδρὼς ὁ ῥέων σταγόσιν, ὃς ἐξέρχεται ὥσπερ ἐξ ὀχετῶν· ἢ σύμπτωσις ἐξ ἐπάρσιος. [14] Ἡ γυνὴ, ἣν πρῶτον ἐθεράπευσα ἐν Κρανῶνι, σπλὴν οἱ φύσει μέγας, πυρετὸς καυσώδης, ἐξέρυθρος πνεῦμα. [15] δεκάτῃ ἱδρὼς, τὰ πολλὰ ἄνω· ἀτὰρ τι καὶ κάτω· τεσσαρεσκαιδεκάτῃ ἧσσον. [16] τοῖσιν ἀπὸ κεφαλῆς κορυζώδεσι καὶ βραγχώδεσιν ἐπιπυρετήνασιν, ὡς οἶμαι, ὑποστρο-

SECTIO TERTIA.

Cutis raritas, ventris densitas: [2] cutis constrictio, carnium incrementum: [3] ventris torpor, universorum confusio: [4] nasorum immundicia, cerebri consumptio [5] Quapropter & calvicies, [6] instrumentorum attritio. [7] Detractio cursibus, luctis, quiete, multis celeribus deambulationibus, carne ovilla, [8] maza cocta plerunque, panis modicus. [9] Detractionis signum, eandem horam diei servare, derepente enim trahitur. [10] Remittito labores, aut defluet. Similiter enim totum concidit. [11] Quum vero jam conciderint, carnes suillas assatas exhibeto. [12] Quum autem implentur, signum est, quod corpus rursus floridum fit. [13] In exercitationibus signum, sudor fluens guttatim, qui exit velut ex canalibus: aut collapsio ex elevatione. [14] Mulier quam primum curavi in Cranone, splen ipsi magnus natura, febris ardens, rubicunda, spiritus, [15] decima sudor plerunque superne. Sed & inferne, decimaquarta. [15] Minus his qui ex capite gravedine ac raucedine laborant, ubi febre correpti fuerint recidivæ (velut puto)

ὑποστροφαί. 17 πᾶν τὸ ἐκπυέον, ἀνυπόστροφον. 18 ὅ τε γὰρ πεπασμὸς, καὶ κρίσις ἅμα καὶ ἀπόστασίς ἐστιν. 19 ἐνίοισιν, ὅταν ἀφροδισιάζωσι, φυσᾶται ἡ γαστὴρ, ὡς Δαμαγόρῃ. 20 οἷσι δὲ ἐν τούτῳ ψόφος, ὡς Ἀρκεσιλάῳ. 21 τὸ φυσῶδες ξυναίτιον τοῖσι πτερυγώδεσι. καὶ γάρ εἰσι φυσώδεες. 22 τὸ ψυχρὸν πάνυ, οἷον χιὼν, κρύσταλλος, φλεβῶν ῥηκτικὸν καὶ βηχῶδες, 23 ξυστρεπτικὸν δέ· οἷον τὰ φήρεα καὶ αἱ γογγρῶναι. 24 ξυναίτιον καὶ αἱ σκληρότητες. 25 τὸ μετ' οὔρησιν συνίσταμα παιδίοισι μᾶλλον. 26 ἢ ῥ' ὅτι θερμότερα; 27 τὰ σχήματα τὰ ῥηΐζοντα μᾶλλον· οἷον ὁ τὰ κλήματα τῇ χειρὶ πλέκων ἢ στρέφων, ὑπὲρ ὀδυνέων κατακείμενος, λαβόμενος πασσάλου ἄκρου ὑπερπεπηγότος εἶχε, καὶ ἐρῄισεν. 28 ὃν ἐξ ὀρειτοπίης κατὰ τὴν γέφυραν εἶδον ἐγὼ ῥιπτεῦντα σκέλεα, ἡ κνήμη ἑτέρη ἥκιστα ἐλεπτύνετο, μηροὶ δὲ κάρτα. οὖρα καὶ γονὴ οὐκ ἔχετο. 29 ὅσαι πτερυγώδεες φύσιες πλευρέων δι' ἀδυναμίην τῆς ἀφορμῆς, ἐπὶ τοῖσι καταῤῥόοισι τοῖσι κακοήθεσιν, κἢν ἔκκρισις εἴη, κἢν μὴ εἴη, κακόν. 30 ῥίγεα ἄρχεται, γυναιξὶ μὲν μᾶλλον ἀπ' ὀσφύος καὶ διὰ νώτου, καὶ τότε ἐς κεφαλήν· ἀτὰρ καὶ ἀνδράσιν ὄπισθεν μᾶλλον ἢ ἔμπροσθεν· 31. φρίσσομεν γὰρ τὰ ἔξωθεν μᾶλλον ἢ τὰ ἔνδοθεν τοῦ σώματος· 32 οἷον πηχέων [ἀπὸ

puto) fiunt. 17 Quicquid ſuppuratur, non revertitur, 18 Ipſa enim maturatio, & judicatio ſimul, & abſceſſus. 19 Quibuſdam ubi Venere utuntur, venter inflatur, velut Damagoræ: 20 quibuſdam vero in hoc ſtrepitus: Arceſilao vero etiam intumeſcebat. 21 Flatuoſitas ſimul cauſa eſt in his qui ſcapulas alarum modo eminentes habent. Sunt enim flatuoſi. 22 Frigidum valde, venas rumpit, & tuſſim movet, velut nix, glacies: & conſtringit, velut ſunt eminentiæ oblongæ, & rotundæ: 23 Pherea & Gongronæ, à ſatyrorum circa aures eminentiis, & arborum quarundam tuberculis appellatæ. 24 Simul cauſa ſunt etiam duricies. 25 Poſt mictionem concretio, pueris magis: 26 num quod calidiores? 27 Figuræ magis allevantes, velut qui ſarmenta manu nectebat & obtorquebat, præ doloribus decumbens, arrepta paxilli ſumma parte ſupra ſeipſum infixa, inhærebat, & melius habuit. 28 Quem ex montano labore circa pontem ego vidi crura jactantem, altera tibia minime extenuabatur, femoribus autem valde. Urinæ & genitura non ſupprimebantur. 29 Quæcunque laterum naturæ, ſcapulas alarum modo eminentes habent, propter cauſæ debilitatem, in deſtillationibus malignis, ſive excretio fiat, ſive non fiat, malum. 30 Rigores incipiunt mulieribus quidem magis à lumbis, & per dorſum, & tunc ad caput. Sed & viris poſteriore corporis parte magis quam anteriore. 31 Horremus enim magis exterioribus quam interioribus corporis partibus, 32 velut cubitis, femo-

[ἀπό τε καὶ] μηρῶν. 33 ἔπειτα καὶ τὸ δέρμα ἀραιότερον. 34 δηλοῖ δὲ ἡ θρίξ. 35 ἀφ' ὧν δὲ ἄλλων ῥιγέουσιν, ἴσως ἑλκέων, ἄρχεται ἀπὸ τῶν ἀγγείων. 36 κεφάλαιον ἐκ τῆς γενέσιος, καὶ ἀφορμῆς, καὶ πλείστων λόγων, καὶ κατὰ σμικρὸν γινωσκομένων ξυνάγοντα καὶ καταμανθάνοντα, εἰ ὅμοιά ἐστιν ἀλλήλοισι, καὶ εἰ μὴ ὅμοια ἀλλήλοις ἐστὶν, ὡς ἐκ τῶν ἀνομοιοτήτων ὁμοιότης γένηται μία. 37 οὕτως αὖ ἡ ὁδός. 38 οὕτω καὶ τῶν ὀρθῶς ἐχόντων δοκιμασίη, καὶ τῶν μὴ, ἔλεγχος. 39 αἱμοῤῥαγίαι ἐκ ῥινῶν, ἢ τοῖσιν ὑποχλωρομέλασιν, ἢ τοῖσιν ἐρυθροχλώροισιν, ἢ τοῖσιν ὑποχλώροισι. 40 βραχέα ὑφέντα παχῦναι ξηρῷ. 41 τοῖσι δὲ ἑτέροισι παχυσμοῖς ἧσσον· ξηρῷ δὲ δεῖ λευκῷ, οἷον κηκὶς, στυπτηρίη. 42 ἐπὴν ἀφροδισιάζειν ἄρχωνται, ἢ τραγίζειν, αἱμοῤῥαγέουσιν. 43 ἐν τοῖσι δὲ προσαφροδισίοισιν ἔστιν οἳ ἀποψοφέουσιν, οἷον Ἀρκεσίλαος. 44 οἱ δὲ μέλλοντες, ῥιγοῦσι ῥικνώδεες. 45 οἱ δ' ἐπὴν προσέλθωσι, φυσῶνται κοιλίην, οἷον Δαμναγόρας. 46 αἱ μεταβολαὶ φυλακτέαι. 47 σιτίοισι μέτριον, ἄκοπον, ἄδιψον πίνοντα. 48 πᾶσα λέπτυνσις χαλᾷ τὸ δέρμα· ἔπειτα περιτείνεται· ἀνάθρεψις τἀναντία. 49 χρωτὸς ῥίκνωσις ξυμπίπτοντος, ἔκτασις ἀνατρεφομένου. 50 ἑκατέρου σημεῖον τὸ ῥικνῶδες, τὸ λεῖον, τὸ ὑπόχολον, τὸ ὑπέρυθρον. 51 οὕτω τὸ κατεσπᾶσθαι μαζοὺς, ἰσχνοὺς δὲ ἀνεσπᾶσθαι καὶ περιτετᾶσθαι. 52 καὶ τοι οὐκ ἄν τις οἴοιτο διὰ τοῦτο, ἀλλὰ σαρκωθέντος τοῦτο γίνεσθαι. 53 ἡ ἄγαν πλήρωσις περιφανής. φλέβες διαφανέες. 54 Ἡρόδικος τοὺς πυρεταίνοντας ἔκτεινε περιόδοισι, πάλῃσι, δρόμοισι, πυ-

ρίη

femoribus. 33 Sed & cutis rarior: 34 indicat autem pilus: 35 à quibus autem alijs rigent, fortassis ulceribus, incipiunt à vasis. 36 Summa, ex nativitate, & causa, & plurimis rationibus, & paulatim in cognitionem venientibus colligentem ac addiscentem, an similia sint inter se, & an non similia sint inter se: quo ex dissimilitudinibus similitudo fiat una. 37 Sic sane fuerit via. 38 Sic etiam eorum quæ recte se habent probatio, & non recte se habentium redargutio. 39 Sanguinis ex naribus eruptio, aut subpallide nigricantibus, aut rubicunde pallentibus, aut subpallidis. 40 Parum dimittentem crassefacere oportet sicco. 41 Alijs vero minus crassificatione opus est. Sicco autem opus est albo, velut galla, alumen. 42 Postquam Venere uti inceperint, aut hircire, sanguis ipsis è naribus erumpit. 43 In accessibus alij quidem strepitum edunt, velut Arcesilaus 44 Alij vero accessuri, horridi fiunt ac rugosi. 45 Alij postquam accesserint, ventre inflantur, velut Damnagoras. 46 Mutationes cavendæ. 47 Cibus modicus, non delassari, non sitire. 48 Omnis attenuatio laxat cutem: deinde circumtenditur. Renutritio vice versa. 49 Cutis considentis corrugatio, renutritæ extensio. 50 Rugosum, læve, utriusque signum, itemque subbiliosum & subrubrum: 51 sic etiam detractas esse mammas, graciles autem sursum tractas esse & circumtensas, 52 etiamsi quis non propterea putaverit id fieri, sed in carnosis. 53 Claviculæ conspicuæ, venæ pellucidæ. 54 Herodicus febricitantes interficiebat circuitibus, luctis, mul-

tis

ῥίῃ· 55 κακόν. τὸ [γὰρ] πυρετῶδες πολέμιον πείνῃ, περιόδοισι, δρόμοισιν, ἀνατρίψει· 56 πόνῳ πόνον. 57 αὐτοῖσι δὲ φλεβῶν ἔρευθος, πελίωσις, χλωρότης, πλευρέων ὀδύνη λαπαραί. 58 "ἄδιψον, ξυνέχειν στόμα, σιγᾶν, ἄνεμον ξὺν τῷ ποτῷ ψυχρὸν ἐσάγειν. 59 "ὁκόθεν ἤρξαντο κάμνειν, εἴτε κεφαλῆς ὀδύνη, εἴτε ὠτὸς, εἴτε πλευρέου, σημεῖον οἱ ὀδόντες· αὐτοὶ γὰρ τὰς ἀφορμὰς παρέχουσι· καὶ ἐνίοισι βουβῶνες. 60 "τὰ γινόμενα ἕλκεα καὶ φύματα, κρίνοντα πυρετούς. 61 οἷσι ταῦτα μὴ ἐγγένηται, ἀκρισίη. 62 οἷσιν ἐγκαταλείπηται, βεβαιόταται καὶ τάχισται ὑποστροφαί. 63 "τὰ στρογγυλευμένα πτύελα παρακρουστικά· οἷον ἐν Πλίνῳ. 64 "οἱ αἱμορροΐδας ἔχοντες, οὔτε πλευρίτιδι, οὔτε περιπλευμονίῃ, οὔτε φαγεδαίνῃ, οὔτε δοθιῆσιν, οὔτε τερμίνθοισιν ἁλίσκονται· ἴσως δὲ οὐδὲ λέπρῃσιν, ἴσως δὲ οὐδὲ ἀλφοῖσιν. 65 ἐπιτεθέντες γε μὴν ἀκαίρως συχνοὶ τῶν τοιούτοισιν οὐ βραδέως ἑάλωσαν. 66 καὶ ὀλέθρια ἦν, καὶ ὅσαι ἄλλαι ἀποστάσιες, οἷον σύριγγες, ἢ ἑτέρων. 67 ἀνάληψις, ἐφ' οἷσι γενομένη ῥύεται, τούτων προγενομένη κωλύει. 68 "ἄλλοι τόποι τὰ ἄλλα δεξάμενοι, ἢ πόνῳ, ἢ βάρει, ἢ ἄλλῳ τινὶ ῥύονται. 69 ἀλλ' οἷσιν αἱ κοινωνίαι. 70 "διὰ τὴν ῥοπὴν οὐκέτι αἷμα ἔρχεται, ἀλλὰ τὰ χυμοῦ τῇ ξυγγενείῃ τοιαῦτ' ἀποπτύουσιν. 71 "ἔστιν οἷσιν αἷμα ἀφαιρέεσθαι ἐν καιρῷ ἐπὶ τοιούτοισιν. 72 ἐπ' ἄλλοισι δὲ,

tis fomentis. 55 Mala est febriculositas, inimica fami, luctis, circuitibus, cursibus, frictioni: 56 laborem labore. 57 Ipsis venarum rubor, livor, pallor, laterum dolores molles. 58 Non sitire faciunt, continere os, tacere, ventum cum potu frigidum inducere. 59 Occasiones unde ægrotare cœperint, considerare oportet, sive capitis fuerit dolor, sive auris, sive lateris. Signum sunt dentes, & in quibusdam inguinum tumores. 60 Ulcera orientia ac tubercula judicantia febres. 61 Quibus hæc non fiunt, judicatio sublata est: 62 Quibus intus relinquuntur, certissimæ recidivæ ac celerrimæ. 63 Sputa rotunda delirium significant, velut in Pleno. 64 Qui hæmorrhoidas habent, neque pleuritide, neque peripneumonia, neque phagedæna, neque furunculis, neque tuberculis terebinthi figuram habentibus corripiuntur, fortassis autem neque lepris, fortassis neque vitiliginibus. 65 Multi tamen intempestive curati, talibus non tarde correpti sunt, 66 & sic perniciosæ fuerunt: & quæcunque alii abscessus, velut fistulæ, aliorum medela sunt. 67 Decubitus humorum ad aliquem locum, in quibus factos affectus liberat; in his prius ipse factus, illos impedit. 68 Alterius loci morbos loca excipientia, aut ob dolorem, aut ob gravitatem, aut propter aliud quiddam liberant, 69 aut quod aliis sunt communicationes. 70 Propter inclinationem non amplius sanguis prodit, sed juxta humoris cognationem talia spuunt. 71 Convenit quibusdam sanguinem detrahere, tempestive in talibus. 72 In aliis autem

δὲ, ὥσπερ ἐπὶ τοιέτοισιν τοῦτο 25 οὐκ εἰκός. 73 "Κώλυσις ἐπὶ τοῖσιν αἱμαλώδεα πτύουσιν, ὥρη, πλευρῖτις, χολή.

ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

1 "Τὰ παρ' οὖς οἷσιν ἀμφὶ κρίσιν γινόμενα μὴ ἐκπυήσῃ, τούτων ἀπολαπασσομένων, ὑποστροφὴ γίνεται. 2 κατὰ λόγον τῶν ὑποστροφέων τῆς ὑποστροφῆς γινομένης, αὖθις αἴρεται καὶ παραμένει, ὥσπερ αἱ τῶν πυρετῶν ὑποστροφαὶ, ἐν ὁμοίῃ περιόδῳ. 3. 30 ἐπὶ τουτέοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι. [κω] 2 "Οὖρον [πολὺ,] παχὺ, λευκόν· οἷον τὸ τοῦ Ἀρχιγένεος. 4 ἐπὶ τοῖσι κοπιώδεσι τεταρταίοισιν ἔστιν ὅτε ἔρχεται καὶ ῥύεται τῆς ἀποστάσιος. 5 ἢν δὲ πρὸς τοῦτο αἱμορραγήσῃ ἀπὸ ῥινῶν, ἱκανῶς καὶ πάνυ. 3 6 "Ὧ τὸ ἔντερον ἐπὶ δεξιὰ, ἀρθριτικὸς ἐγένετο, [καὶ] ἦν ἡσυχώτερος. ἐπεὶ δὲ τούτῳ ἰητρεύθη, ἐπιπονώτερος. 4 7 "Ἡ Ἀγάσιος κόρη μὲν ἐοῦσα, πυκνοπνεύματος ἦν. 8 γυνὴ δὲ γενομένη, ἐκ τόκου ἐπάλαι, ἐπίπονος ἐοῦσα, ἐπιπολαίως ἤρετ' ἄχθος μέγα. 9 35 αὐτίκα μὲν ψοφῆσαί τι ἔδοξεν ἐν τῷ στήθει. 10 τῇ ὑστεραίῃ ἆσθμά τε εἶχε καὶ ἤλγει ἰσχίον τὸ δεξιόν. 11 ὁπότε τοῦτο πονέοι, τότε ἐπόνεε, καὶ τὸ ἆσθμα εἶχε· παυομένου δὲ, ἐπαύσατο. 12 ἔπτυσεν ἀφρώδεα· ἀρχομένη δὲ, ἀνθηρά. 13 καθισταμένου δὲ, ἐμέσματα χολώδεα ἐοικότα λεκίθῳ. 14 οἱ πόνοι μάλιστα μὲν, ὁπότε πονοίη τῇ χειρί. 15 τούτων εἴργεσθαι σκορόδου, χοιρέου, οἴος, βοός· 16 ἐν δὲ τοῖσι πονουμένοισι, βοῆς, ὀξυθυμίης. 5 17 "Ὧ ἐν τῇ

autem velut in his, non con- 70 venit. 73 Impedimentum in spuentibus cruenta, tempus anni, pleuritis, bilis.

SECTIO QVARTA.

1 Tubercula circa aures quibus circa iudicationem exorta, non 172 suppurata fuerint, his disparentibus recidiva fit. 2 pro ratione pag. 450 recidivarum. Recidiva vero contingente, rursus intumescunt, & permanent, velut febrium recidivæ in simili circuitu: 3 his spes est ad articulos abscedere. 2 Urina crassa, alba, qualis Archigenis familiari erat, 4 in lassitudinis febribus quarta die aliquando prodit, & liberat ab abscessu. 5 Si vero ultra hoc, etiam sanguis e naribus large eruperit, etiam valde. 3 6 Cui intestinum in dextra parte dolebat, & articulari morbo correptus est: erat quietior. Postquam autem hic curatus fuit, magis dolebat. 4 7 Agasis filia quum esset puella, densum spiritum habebat. 8 Mulier autem facta, 10 a partu non diu dolore correpta, leviter, magnum onus sustulit: 9 & statim quidem in pectore aliquid crepuisse visum fuit. 10 Postera die & anhelationem habebat, & coxam dextram dolebat: 11 & quum hæc doleret, tunc etiam anhelatio habebat: coxæ vero dolore cessante, etiam anhelatio cessabat. 12 Spuebat spumosa, ab initio vero florida. 13 Ubi vero consedisset sputum, vomitui bilioso tenui simile 15 erat. 14 Dolores maxime erant quum manu laboraret. 15 Hanc ab allio arcere visum fuit, porcoque, ac ovicula, & bove: 16 in rebus autem agendis, à clamore, & excandescentia. 5 17 Cui in capite

τῇ κεφαλῇ ἐνέμετο ἔπαρμα, πρῶτον ἡ στυπτηρίη ἡ κεκαυμένη ἐνήρμοσεν. 18 εἶχεν ἄλλην ἀπόστασιν, ἴσως ὅτι ὀστέον ἔμελλεν ἀποστήσεσθαι. 19 ἀπέστη ἑξηκοστῇ. 20 ὑπὲρ τοῦ ὠτὸς ἄνω πρὸς κορυφὴν τὸ τρῶμα ἦν. 21 τὰ κῶλα ἔχει οἷα κυνὸς, μείζω δέ. 22 ἤρτηται ἐκ τῶν μεσοκώλων. 23 ταῦτα δὲ ἐκ νεύρων ἀπὸ τῆς ῥάχιος ὑπὸ τὴν γαστέρα. 24 αἱ τοῖσι κάμνουσι χάριτες· 25 οἷον τὸ καθαρίως δρᾷν ἢ ποτὰ ἢ βρωτὰ, ἢ ἃ ἂν ὁρῇ, μαλακῶς ὅσα ψαύει. 26 ἄλλαι, ἃ μὴ μεγάλα βλάπτει, ἢ μὴ εὐανάληπτα· οἷον ψυχρὸν, ὅκου τοῦτο δεῖ. 27 ἄλλαι, εἴσοδοι, λόγοι, σχῆμα, ἐσθὴς, κουρὴ, ὄνυχες, ὀδμαί. 28 ὕδωρ ἀφεψηθὲν, τὸ μὲν ὡς δέχηται τὸν ἠέρα, τὸ δὲ μὴ ἔμπλεον εἶναι καὶ ἐπίθημα ἔχειν. 29 ὅτι ἐξ αἱμορραγιῶν ἐξυδρωποῦνται. 30 ἢν, οἷα δεῖ, καθαίρωνται, [ξυμφέρει τὸ] καὶ εὐφόρως φέρουσιν. 31 ἐν Αἴνῳ ἐν λιμῷ ὀσπριοφαγέοντες ξυνεχέως, θήλεα, ἄρσενα, σκελέων ἀκρατέες ἐγένοντο καὶ διετέλεσαν. 32 ἀτὰρ καὶ ὀροβοφαγέοντες γονυαλγέες. 33 ἐμφανέως, ἐγρηγορὼς θερμότερος τὰ ἔξω, τὰ ἔσω δὲ ψυχρότερος· καθεύδων τἀναντία. 34 ἐνθέρμου φύσιος ψῦχος, ποτὸν, ὕδωρ, ἐλινύειν. 35 ὕπνος ἐν ψύχει ἐπιβεβλημένῳ. 36 ὕπνος ἑδραῖος, ὀρθοῦ νυσταγμός. 37 αἱ ἀσθενέες δίαιται, ψυχραί· αἱ δὲ ἰσχυραὶ, θερμαί. 38 ὑδάτων ἀτεχνέων, τὸ μὲν ἀπὸ τοῦ αἰθέρος ἀποκριθὲν βροντέων, ὡραῖον·

capite tumor depascendo proserpebat, ei primum, alumen ustum profuit. 18 Habuit alium abscessum, forte quod os abscessurum esset. 19 Abscessit sexagesima die supra aurem: 20 sursum ad verticem vulnus erat. 21 Intestina crassa habet, qualia sunt canis, verum majora. 22 Dependent autem ex medianis membranis: mesocolis hac parte appellatis. 23 Hæ vero ex nervis, de spina, sub ventrem. 24 Ægrotantibus gratificationes, 25 velut est pure præparare potus ac cibos, & ea quæ videt: molliter ea quæ contingit. 26 Aliæ gratificationes, quæ non magnopere lædunt, aut facile reparari possunt, velut frigida, ubi hac opus est. 27 Aliæ gratificationes sunt, introitus, sermones, habitus, vestitus ægrotanti, tonsura, ungues, odores. 28 Aqua decocta partim ut aerem admittat, partim ut vas non plenum sit, & operculum habeat. 29 Quod ex sanguinis eruptionibus, aqua inter cutem corripiuntur. 30 Si qualia oportet purgari, purgentur, facile ferunt. 31 In Æno legumina comedentes assidue, fœminæ, mares, crurum impotentes facti sunt, & permanserunt. 32 Sed & ervum comedentes, genuum dolores habebant. 33 Palam vigilans, calidior externis partibus: frigidior autem, internis: dormiens, vice versa. 34 Calidæ naturæ frigiditas, potus aqua, quiescere, 35 somnus in frigore, contecto, 36 somnus sedentium, erectorum nictatio. 37 Debilis victus, frigidi: robusti vero, calidi. 38 Aquarum arte non præparatarum, quæ quidem ab æthere excreta est, aut cum tonitruo, æstiva:

ἀρεῖον· τὸ δὲ λαιλαπῶδες, κακόν. 39 ὕδωρ βορόν. καὶ ἀγρυπνίη βορή. 40 εὔθερμον φύσει, καὶ θερμῇ ὥρῃ, κοίτη ἐν ψύχει πυκνοῖ, ἐν δὲ θερμῷ λεπτύνει. 41 ἄσκησις ὑγιείης, ἀκορίη τροφῆς, ἀοκνίη πόνων. 42 ἐν τῷ ἐγρηγορέναι δίψης ἐπιπολαίου ὕπνος ἄκος· τῆς δὲ ἐξ ὕπνου, διέγερσις. 43 οἷσι πλεῖστον τὸ θερμὸν, μεγαλοφωνότατοι. καὶ γὰρ ψυχρὸς ἀὴρ πλεῖστος. 44 δύο δὲ μεγάλων μεγάλα καὶ τὰ ἔκγονα γίνεται. 45 οἱ θερμοκοίλιοι, ψυχρόσαρκοι καὶ λεπτοί. οὗτοι ἐπίφλεβοι, καὶ ὀξυθυμότεροι. 46 αὐχμὸς ἐπὶ γῆς, οἰωνῶν γένος εὐθηνεῖ. 47 τράγος ὁκότερος ἂν φανῇ ἔξω, ὄρχις δεξιὸς, ἄρσεν· εἰ δὲ εὐώνυμος θῆλυ. 48 ὀφθαλμοὶ ὡς ἂν ἰσχύωσιν, οὕτω καὶ γυῖον. 49 καὶ χροιὴ ἐπὶ τὸ κάκιον ἢ ἄμεινον ἐπιδιδοῖ. 50 δίκαιον δὲ, ὡς ἂν ἔχῃ ἡ τροφὴ, οὕτω καὶ τὰ ἔξω ἕπεσθαι. 51 σημεῖα θανατώδη, ἀνὰ δέρμα, ῥῖνας θερμὸς ἀτμός. πρότερον δὲ εἰς ψυχρὸν πνεῦμα ἀφίεσιν, τὰ ζωτικὰ ἐναντία. 52 πρὸς ὑγείαν πόνοι. 53 πόνοι [δὲ] σιτίων ἡγείσθωσαν.

ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

1 Νούσων φύσιες ἰητροί. 2 Ἀνευρίσκει ἡ φύσις αὐτὴ ἑωυτῇ τὰς ἐφόδους, οὐκ ἐκ διανοίης· 3 τὰ μὲν, οἷον τὸ σκαρδαμύσσειν, τὰ δὲ καὶ ἡ γλῶσσα ὑπουργέει, καὶ ὅσα ἄλλα τοιαῦτα. 4 ἀπαίδευτος ἡ φύσις ἐοῦσα καὶ οὐ μαθοῦσα τὰ δέοντα ποιεῖ. 5 Δάκρυα, ῥινῶν ὑγρότης, πταρμοὶ, εἴσοδος, ἔξοδος, χάσμη,

æstiva: procellosa vero, mala. 39 Aqua vorax, vigilia vorax: 40 Percalidam naturam calido tempore, in frigore cubile crassefacit: in calido attenuat. 41 Exercitatio sanitatis, est vesci citra saturitatem, non refugere laborem. 42 Inter vigilandum siti levi somnus medela est: siti vero ex somno, vigilia in quibusdam. 43 Quibus plurimus calor est, maxima voce præditi sunt. Nam & plurimus est frigidus aër. 44 Ex duobus autem magnis, magna etiam quæ generantur existunt. 45 Ventriculo calidi, carne frigidi & tenues, hi eminentes venas habent, & iracundiores sunt. 46 Terra siccitatibus squalida, volucrium genus abundat. 47 Hircire incipiens, uter testis extra apparuerit, si quidem dexter, masculum: si vero sinister, fœmellam portendit. 48 Oculi prout validi fuerint, ita etiam corpus: 49 sed & color in pejus aut melius vergit. 50 Justum est autem, prout se habuerit alimentum, ita & quod forinsecus est sequi. 51 Signa lethalia, per cutem, nares, calidus vapor: ubi prius nares frigidum spiritum emiserunt. Signa vero vitalia, contraria sunt. 53 Labores cibos præcedant.

SECTIO QVINTA.

1 Morborum naturæ medici. 2 Invenit natura ipsa sibi ipsi aggressiones, non ex præmeditato: 3 partim velut est nictare, partim vero & ea quæ lingua subministrat: & quæcunque alia hujuscemodi, 4 non edocta natura, & nullo magistro usa, ea quibus opus est facit. 5 Lachrymæ, narium humiditas, sternutationes,

χρέμψις, βήξ, λύγξ, οὐ τοῦ αὐτέου πάντῃ τρόπου. [6] Οὖρον, ἄφοδος, καὶ φύσης καὶ πόνου τῆς ἑτέρης, τροφῆς καὶ πνοιῆς [7] καὶ τοῖσι θήλεσιν, ἃ τὰ τοῖσι· [8] καὶ κατὰ τὸ ἄλλο σῶμα, ἱδρῶτες, κνησμοί, σκορδινήσμοι, καὶ ὅσα τοιαῦτα. [9] Ἀνθρώπου ψυχὴ αἰεὶ φύεται μέχρι θανάτου. [10] Ἢν δὲ ἐκπυρωθῇ ἅμα τῇ νούσῳ καὶ ἡ ψυχή, τὸ σῶμα φέρβεται. [11] Νοῦσοι ξύντροφοι, ἐν γήρᾳ καὶ διὰ πεπασμὸν λείπουσι, καὶ διὰ λύσιν, καὶ δι' ἀραίωσιν. [12] Ἴησις, ἀντινοεῖν, μὴ ὁμονοεῖν τῷ πάθει. [13] Τὸ ψυχρὸν καὶ ἐπικουρέει καὶ κτείνει ὁκόσα ἐν θερμῷ. [14] Ὀξυθυμίη ἀνασπᾷ τὴν καρδίην καὶ πνεύμονα ἐς ἑωυτήν, καὶ ἐς κεφαλὴν τὰ θερμὰ καὶ τὸ ὑγρόν. [15] Ἡ δ' εὐθυμίη ἀφίησι καρδίην. [16] Πόνος τοῖσιν ἄρθροισι καὶ σαρξὶ σῖτος, ὕπνος [δὲ] σπλάγχνοισι. [17] Ψυχῆς περίπατος φροντὶς ἀνθρώποισιν. [18] Ἐν τοῖσι τρώμασι τὸ αἷμα ξυντρέχει. [19] Βοηθητέον ὡς τὸ κενὸν πληρωθείη. [20] Ἢν οὖς ἀλγέῃ, εἴριον περὶ τὸν δάκτυλον ἑλίξας, ἐγχέειν ἄλειφα θερμόν, [21] ἔπειτα ἐπιθεὶς εἴσω ἐν τῷ θέναρι τὸ εἴριον τῷ οὔατι ἐπιθεῖναι, ὡς δοκέῃ τι οἱ ἐξιέναι· ἔπειτα ἐπὶ πῦρ ἐπιβάλλειν. [22] Ἀπάτη. [23] Γλῶσσα οὔρου σημαντική. [24] Χλωραὶ γλῶσσαι, χολώδεες. [25] Τὸ δὲ χολῶδες ἀπὸ πίονος. [26] Ἐρυθραὶ δέ, ἀφ' αἵματος. [27] Μέλαιναι δέ, ἀπὸ μελαίνης χολῆς. [28] Αὖαι δέ, ἀπὸ ἐκκαύσιος λιγνυώδεος, καὶ μητρῴου μορίου. [29] Λευκαὶ δέ, ἀπὸ φλέγματος. [30] Οὖρον ὁμόχροον βρώμασι καὶ πόμασι, καὶ οἷος ἔσωθεν ἐών, τοῦ ὑγροῦ ξυντήξις. [31] Γλῶσσα ὁμό-

nes, auris sordes, oris salivæ eductio, spiritus introitus, exitus, oscitatio, tussis, singultus, non ejusdem omnino modi. [6] Urinæ secessus, & flatus, & hujus alterius alimenti, & transpirationis, [7] & ea quæ fœminis solis adsunt, [8] & in reliquo corpore sudores, pruritus, corporis distentiones cum oscitatione, & quæcunque hujuscemodi. [9] Hominis anima semper producitur usque ad mortem. [10] Si vero efferbuerit, una cum morbo etiam anima corpus depascitur. [11] Morbi connutriti, in senecta, & per concoctionem, & per solutionem, & per rarefactionem desinunt. [12] Sanatio, contra sentientem non consentire affectioni. [13] Frigidum & auxiliatur, & occidit quæcunque ex calido sunt. [14] Excandescentia retrahit cor & pulmonem in seipsa: & ad caput calida ac humidum. [15] Lætitia vero relaxat cor. [16] Labor articulis & carnibus; cibus, somnus, visceribus. [17] Animæ deambulatio est cura hominibus. [18] In vulneribus sanguis concurrit, [19] opitulandum igitur ut vacuum expleatur. [20] Si auris doleat, lana digito obvoluta oleum calidum instillato: [21] deinde lanam intus in volam manus positam, sub aurem subdito, ut aliquid ipsi exiisse videatur: postea in ignem immittito: [22] dolus. [23] Lingua urinam significat. [24] Linguæ virides cum pallore, biliosæ. [25] Biliosum autem à pingui: [26] Rubicundæ vero à sanguine. [27] Nigræ ab atra bile. [28] Siccæ à fuliginoso ardore, & uterina parte. [29] Albæ vero à pituita. [30] Urina concolor cibo, & potui, & qualis intus est humidi colliquatio. [31] Lingua concolor

ἀπτομένῃσι τῆσι χολῇσι. 32 διὸ [περ] τούτῳ γινώσκομεν τοὺς χυμούς. 33 Ἢν ἁλμυρὴ σάρκες γευομένῳ, περιουσίης σημεῖον. 34 Ἢν τῶν μαζῶν αἱ θηλαὶ καὶ τὸ ἐρυθρὸν χλωρὸν ᾖ, νοσῶδες τὸ ἄγγος. 35 Ἀνθρώποις ὁ ἐν τοῖσιν ὠσὶ ῥύπος, ὁ μὲν γλυκὺς, θανάσιμος, ὁ δὲ πικρὸς, οὔ. 36 Γῆν μεταμείβειν ξύμφορον ἐπὶ τοῖσι μακροῖσι νουσήμασι. 37 Τὰ ἀσθενέστερα σιτία ὀλιγοχρόνιον βίοτον ἔχει. 38 Κεδμάτων τὰς ἐν τοῖσιν ὠσὶν ὄπισθεν φλέβας σχάζειν. 39 Λαγνείη τῶν ἀπὸ φλέγματος νούσων ὠφέλιμον. 40 Θερμοκοιλίοισιν ἰσχυρὰ ποτὰ ἢ βρωτὰ ταρακτικά. 41 Ἀπὸ μελαίνης χολῆς, ὡς ὅμοιον, αἱμορροΐδες. 42 Τὰς ἐπαυξίας νούσους, μίξις. 43 Ψύξις τὰ κατὰ κοιλίην σκληρυνεῖ. 44 μίξις τὰ κατὰ τὴν γαστέρα σκληρυνεῖ. 45 Ἐλλέβορον πίνοντα θᾶσσον καθαίρειν ἢν θέλῃς, λούειν ἢ φαγεῖν. 46 Τὸ αἷμα ἐν ὕπνῳ εἴσω μᾶλλον φεύγει. 47 Ῥῖγος ἀπὸ τῆς ἄνω κοιλίης· πῦρ δὲ ἀπὸ τῆς κάτω μᾶλλον. 48 Ἐπισπασμὸς, πνεύμων ξηρὸς, ἢν ὑγρὸν καῦμα, ὑπέρινον ξηραίνει, καὶ ὕπνος πουλύς. 49 Ψυχρότατον βρῶμα φακοί, κέγχροι, κολοκύνθη. 50 Ἕλκεα ἐκφύουσιν, ἢν ἀκάθαρτος ἐὼν πονήσῃ. 51 Γυνὴ, αἴξ, ἐλατήριον ἢ σικύου ἀγρίου βεβρωκυῖαι, καὶ παιδίοισι κάθαρσις. 52 Ἐνθέρμῳ βρωθὲν, ἔνδοθεν ψύξις, ἔξωθεν πόνος, ἡλίῳ, πυρὶ, ἐσθῆτι ἐν ὥρῃ θερινῇ· τῷ δὲ ἐναντίῳ, ὡς ἐναντίως. 53 Βρώματα τὰ μὲν ταχέως κρατεῖται, τὰ δ' ἐναντίως.

color attingentibus ipsam humoribus: 32 quapropter per hanc humores cognoscimus. 33 Si salsæ carnes gustanti, redundantiæ signum. 34 Si mammarum papillæ, & rubor pallidus fuerit, morbosum uteri vas est. 35 Hominibus sordes in auribus, dulcis quidem lethalis; amara vero non. 36 Terram mutare commodum est in longis morbis. 37 Debiliores cibi brevem vitam habent. 38 In fluxionibus ad coxam, venas retro aures secato. 39 Coitus morbis ex pituita commodus. 40 Calido ventriculo præditos, fortes potus ac cibi perturbant. 41 Atræ bilis velut similis est hæmorrhois. 42 Augescentes morbos coitus. 43 Frigiditas ea quæ in ventre sunt indurat. 44 Coitus ea quæ in ventre sunt indurat. 45 Eum qui veratrum bibit, si citius purgare volueris, lavare oportet aut comedere. 46 Sanguis in somno intro magis fugit. 47 Rigor à superiore ventre, febris ab inferiore magis. 48 Attractio, pulmo, siccus ardor: supervacuatam siccat & somnus multus. 49 Frigidissimus cibus, lentes, milium, cucurbitæ. 50 Ulcera exoriuntur si quis dum impurgatus est laboraverit. 51 Mulier, capra, elaterium aut cucumerem sylvestrem comedentes, pueris purgatio. 52 Calido corpori, id quod comedit, intrinsecus frigiditas est: forinsecus autem dolor à sole, igne, vestitu, in tempore æstivo. Contrario vero contrario modo. 53 Cibi partim celeriter superantur; partim tarde.

348 ΤΜΗΜΑ ΕΚΤΟΝ.

Σάρκες ὁλκοὶ καὶ ἐκ κοιλίης καὶ ἔξω-

SECTIO SEXTA.

Carnes attractrices, & ex ventre

ἔξωθεν. [2] δῆλον ἡ αἴσθησις, ὡς ἔκπνοον καὶ εἴσπνοον ὅλον τὸ σῶμα. [3] Ἐνθερμότερον φλέβιον αἵματος πλήθει ἀνίσχει τὸ καπνῶδες, καὶ εὐθὺς ἀποκρίνει. [4] Καὶ οἷσι τὸ μὲν πῖον, χολὴ ξανθή· τὸ δ' αἷμα, μέλαινα. [5] Γνώμης, μνήμης, ὀδμῆς, τῶν ἄλλων ὀργάνων, καὶ πείνης ἄσκησις. [6] Πόνοι, σιτία, ποτὰ, ὕπνος, ἀφροδίσια, μέτρια. [7] Ὁ ἐμψυχρότερος, ἐν ψυχρῇ ὥρῃ καὶ χώρῃ ἐνθερμότερος ἔσται. [8] Ὀδυνέων τὴν ἐγγύτατα κοιλίην καθαίρειν, αἵματος δὲ κοιλίην διαιρεῖν, καῦσις, τομὴ, θάλψις, ψύξις, πταρμοὶ, φυτῶν χυμοὶ, ἐφ' ὧν τὴν δύναμιν ἔχουσι, καὶ κυκεών. [9] κακούργων, γάλα, σκόροδον, οἶνος ἀπεζεσμένος, ὄξος, ἅλες. [10] Ἄνθρωπος, ἐκ κόπων ἐξ ὁδοῦ ἀδυναμίη καὶ βάρος, ἀνέπλυεν. [11] Ἔβηξε γὰρ ἐκ κορυφῆς. [12] πυρετὸς ὀξὺς, ὑποδακνώδης πρὸς χεῖρας. [13] δευτεραίῳ δὲ καρηβαρίη, γλῶσσα ἐπεκαύθη. [14] ῥὶς ὀνυχοξυσθεῖσα οὐχ ἡμορράγησεν. [15] ἀριστερὸς σπλὴν μέγας καὶ σκληρὸς, ὠδυνᾶτο. [16] Οἱ ὑπὸ τεταρταίου ἁλισκόμενοι, ὑπὸ νόσου μεγάλης οὐχ ἁλίσκονται. [17] ἢν δὲ ἁλίσκωνται πρότερον, ἐπιγένηται δὲ τεταρταῖος, παύονται. [18] Ἀνθ' οἵων αἱ νοῦσοι. [19] Ἡ χολὴ, ὥσπερ εἶπον περὶ τῶν ἑλκέων, ὅτι χολώδεα. [20] ἡ θερμότης δριμύτητος σημεῖον. [21] Οἱ ὄχλοι, αἱ διέξοδοι. [22] ἀπὸ τρόπου παραφρονεῦσι λήγουσιν ὀδύναι πλευρέων. [23] ἔστι δὲ οἷσι πυρετοὶ, ἔστι δ' οἷσιν οὔ· ἀλλ' ἐξ ἱδρώτων. [24] ἔστι δ' οἷσι ξὺν ὄχλῳ. [25] ἔστι δ' οἷσι καρφαλέον καὶ περιτεταμένον τὸ δέρμα καὶ ἁλμυρώδες. [26] Αἱ ναρκώσιες οἷαι

tre; & extrinſecus. [2] Indicio eſt ſenſus ipſe, quod expirabile ac inſpirabile eſt totum corpus. [3] Calidiſſima venula ſanguinis multitudine, id quod fuliginoſum eſt exerit, & ſtatim ſecernit. [4] Et quibus quidem pingue, bilis flava: quibus autem ſanguis, atra. [5] Mentis, memoriæ, olfactus, aliorum etiam famis inſtrumentorum exercitatio. [6] Labores, cibi, potus, ſomnus, res venereæ, omnia mediocria. [7] Frigidior in frigido tempore ac regione calidior erit. [8] In doloribus proximum ventrem purgato, ſanguinis autem ventrem ſecato. Uſtio, ſectio, calefactio, perfrigeratio, ſternutationes, plantarum ſucci: in quibus vim habent, & cyceonis mixtura. [9] Maleficorum autem lac, allium, vinum fervefactum, acetum. [10] Homo ex laſſitudinibus ex itinere, imbecillus, gravatus, expuit. [11] Tuſſivit enim ex vertice: [12] febris acuta, ad manum ſubmordens. [13] Secunda die, capitis gravitas, lingua combuſta fuit. [14] naris unguibus conſcalpta ſanguinem non effudit. [15] Siniſter ſplen magnus & durus dolebat. [16] A quartana correpti, à magno morbo non corripiuntur: [17] ſi vero corripiantur prius, & ſuccedat quartana, liberantur. [18] Pro qualibus qui morbi. [19] Bilis fit, velut de vulneribus dixi, quod ſint bilioſæ. [20] Caliditas acrimoniæ ſignum eſt. [21] Turbationes, tranſitus. [22] Nam mente motis dolores laterum deſinunt: [23] quibuſdam & febres, quibuſdam non. Sed cum ſudoribus, [24] quibuſdam autem cum turbatione, [25] quibuſdam vero cutis arida & circumtenſa ac ſalſuginoſa. [26] Torpefactiones quales

ἐξ οἵων· 27 καὶ οἷαι ᾧ τὸ ἰσχίον. 28 " Δι' ὠτῶν, ἐξ ὠτων, τὰ πολλὰ θνήσκει τριταῖα. 29 " Οἷσι μὲν δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ, ἄνευ ἱδρῶτος· οἷσι δὲ [ἀραιὰ] καὶ χαλαρὰ, ξὺν ἱδρῶτι θνήσκουσιν. 30 " Ἐν τοῖσι παλιμβόλοισιν αἱ μεταβολαὶ ὠφελέουσι. 31 τούτοισι μεταβάλλειν, πρὶν κακῶσθαι, ἐς τὰ πρέποντα· οἷον Χερίωνι. 32 " Τὰ ἐρεθιζόμενα, ἐξ οἵων τὰ κερχνώδεα, ὅριον. 33 " Οἷσι μὲν ὑγιὲς καταλείπεται, κάτω ὑφιεμένης τῆς προφάσιος, ἢ καθαίρων, ἢ ἀποδέων, ἢ ἐκβάλλων, ἢ ἀποτέμνων, ἢ ἀποκαίων ἴσω· οἷσι δὲ μὴ, οὔ. 34 " Οἷσιν αἷμα ῥεῖ πολὺ ἐκ ῥινῶν, οἷσι μὲν αἱ χροιαὶ ἄκρητοι, τούτοισιν ὀλίγα ἀρήγει· 35 οἷσι δὲ ἐξέρυθροι χρῶτες, οὐχ ὁμοίως. 36 καὶ, οἷσι κεφαλαὶ εὔφοροι, ἀρήγει· οἷσι δὲ μὴ, οὔ. 37 " Οἷσι ῥῖνες ὑγρότεραι φύσει, καὶ ἡ γονὴ ὑγροτέρη καὶ πλείων, ὑγιαίνουσιν οὗτοι νοσηλότερον. 38 τοῖσι πλείστοισι δὲ, οἷσιν ὑπὸ νούσου, τὰναντία. 39 " Τὰ στρογγυλούμενα πτύαλα παρακρουστικά· οἷον τῷ ἐν Πλινθίῳ. 40 τούτῳ ἡμοῤῥάγησεν ἐξ ἀριστεροῦ, καὶ ἐλύθη πεμπταίῳ. 41 " Οὖρον, πολλὴν ὑπόστασιν ἔχον, ῥύεται τὰς παρακρούσιας· οἷον καὶ τὸ τοῦ Δεξίππου μετὰ μάδησιν. 42 " Οὐ περαιτέρω ἐνιαυτοῦ τεταρταῖος. 43 " Ὦτα τοῦ θέρεος ῥήξιες πεμπταίοισιν. 44 ἔστι δ' ὅτε καὶ μακρότερα τὰ περὶ τὰ οὖλα καὶ αἱ κατὰ ῥῖνας ἐμπυήσιες. 45 " Οἷσιν ἐπὶ ὀδόντων ὀδύνῃς ἀπὸ ὀφρύος λεπτὰ ἔρχεται, τούτοισιν ἀπὸ πεπέρεως, εὖ ἐντριβέντος, παχύτερα

quales ex qualibus, 27 & quales illi cui coxa. 28 Per aures, ex auribus, plerunque tertio die moriuntur. 29 Quibus cutes circumtenduntur aridæ ac duræ, sine sudore: quibus laxæ sunt ac raræ, cum sudore moriuntur. 30 In recidivis mutationes prosunt. 31 His transmutaro oportet ad ea quæ conveniunt, antea quam male afficiantur, velut Cherioni. 32 Quæ irritantur ex qualibus, stridulæ faucium asperitates terminum præscribunt. 33 Quibus quidem id quod sanum est relinquitur, causa deorsum submissa, eos aut purgato, aut deligato, aut ejicito, aut resecato, aut exurito: quibus vero non, non. 34 Quibus sanguis multus fluit ex naribus, qui quidem decolores mero modo sunt, his parum prodest. 35 Quibus vero colores rubicundi, non similiter. 36 Et quibus capita sunt quæ facile tolerant, prodest. Quibus secus, non. 37 Quibus nares natura humidiores, & genitura humidior ac copiosior, hi morbosius sani sunt. 38 Plurimis autem quibus ex morbo, vice versa. 39 Sputa rotunda, mentem emovent, velut illi in Plinthio. 40 Huic sanguis ex sinistra nare erupit, & solutus est quinto die. 41 Urina multam subsidentiam habens, à mentis emotione liberat, qualis erat Dexippi. Post pilorum defluvium, 42 quartana febris non ultra annum. 43 Aurium eruptiones æstate quinta die fiunt: 44 quandoque vero etiam diutius durant. Ita & circa gingivas, & circa nares suppurationes. 45 Quibus in dentium dolore, de supercilio tenuia descendunt, his à pipere probe affricto postridie crassiora descen-

χότερα τῇ ὑστεραίῃ ἔρχεται), ἢν καὶ τὰ ἄλλα μὴ κρατήσῃ. 46 Ἡγησίππῳ γὰρ τὸ ὑπνωτικὸν ἐντεθὲν οὐκ ἐκράτησεν, ἀλλὰ μᾶλλον καὶ προσεκαλέσατο βιαιότερον. 47 Τὴν ἀπὸ κεφαλῆς ὀστέων φύσιν, ἔπειτα νεύρων, καὶ φλεβῶν, καὶ σαρκῶν, καὶ τῶν ἄλλων χυμῶν, καὶ τῶν ἄνω καὶ τῶν κάτω κοιλιῶν, καὶ γνώμης, καὶ τρόπων. 48 καὶ τῶν κατ' ἐνιαυτὸν γινομένων ὥρῃ τινὶ, τό τ' ἐπὶ πρωϊαίτερον τοῦ ἔτεος, οἷον ἐξανθήματα καὶ τὰ τοιαῦτα, 49 ὅμοιον τοῖσι καθ' ἡμέρην πρωϊαίτερον λαμβανομένοισιν, ἢ ὀψιαίτερον. 50 Ὡσαύτως τὸ ἐπίχολον καὶ ἔναιμον σῶμα, μελαγχολικὸν, μὴ ἔχον ἐξέρρωπας. 51 Λυκίνῳ τὰ ὕστατα σπλὴν μέγας ὀδυνώδης ἐν τῇ τετάρτῃ ἢ τῇ πέμπτῃ.

ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ.

Βῆχες ἤρξαντο περὶ ἡλίου τροπὰς τὰς χειμερινὰς, ἢ πεντεκαιδεκάτῃ ἢ εἰκοστῇ ἡμέρῃ, ἐκ μεταβολῆς πυκνῆς νοτίων καὶ βορείων καὶ χιονωδέων. 2 ἐκ τούτων τὰ μὲν βραχύτερα, τὰ δὲ μακρότερα ἐγίνετο. 3 καὶ περιπλευμονικὰ συχνὰ μετὰ ταῦτα. 4 πρὸ ἰσημερίης αὖθις ὑπέστρεφε τοὺς πλείους ὡς ἐπὶ τὸ πολὺ τεσσαρακοσταίους ἀπὸ τῆς ἀρχῆς. 5 καὶ τοῖσι μὲν βραχέα πάνυ καὶ εὔκριτα ἐγίνετο. 6 τοῖσι δὲ φάρυγγες ἐφλέγμαινον. 7 τοῖσι δὲ κυνάγχαι. 8 τοῖσι δὲ παραπληγικά. 9 τοῖσι δὲ νυκτάλωπες, μᾶλλον δὲ παιδίοισι. 10 περιπλευμονικὰ δὲ πάνυ βραχέα ἐγίνετο. 11 φάρυγγες δὲ βήξασι τὸ ὕστερον, ἢ πάνυ βραχὺ ἐπὶ τῇ βηχὶ ἐγίνοντο. 12 φάρυγγες δὲ βραχέαι. 13 μᾶλλον δὲ νυκτάλωπες. 14 κυνάγχαι δὲ καὶ παραπληγικὰ, ἢ σκληρὰ καὶ ξηρὰ,

descendunt, si etiam alia non obtinuerint. 46 Nam Hegesippo soporiferum inditum non obtinuit, sed magis & violentius insuper provocavit. 47 Ossium naturam ex capite colligere oportet: deinde nervorum, & venarum, & carnium, & aliorum humorum, & supernorum ac infernorum ventriculorum, & mentis, & morum, 48 & eorum quæ per annum fiunt, tempore quodam anni præcociore, veluti pustulæ & hujuscemodi. 49 Simile enim est bis quæ quotidie citius aut serius accipiuntur. 50 Similiter & biliosum & sanguineum corpus atrabiliarium fit, si non habet evacuationes. 51 Lycino postremum splen magnus dolorosus, in quarta, aut quinta.

SECTIO SEPTIMA.

Tusses cœperunt circa solstitia hyberna, decimaquinta aut vigesima die, ex frequenti australium & aquilonarium ac nivosorum transmutatione. 2 Ex his aliæ breviores, aliæ diuturniores fiebant, 3 & post has multæ peripneumonicæ affectiones. 4 Ante æquinoctium rursus plerisque revertebantur, quadragesima ut plurimum ab initio die: 5 & aliquibus sane valde breves ac judicatu faciles erant, 6 aliquibus autem fauces inflammatæ sunt, 7 quibusdam anginæ obortæ: 8 quibusdam leves sydcrationes, 9 aliis nyctalopes, atque hi magis pueris. 10 Verum peripneumonicæ affectiones valde breves erant. 11 Faucium vero inflammationes post tussim, aut omnino parum pro tussi fiebant, 12 atque hæ breves, 13 magis autem nyctalopes. 14 Anginæ vero & leves syderationes, aut duræ

ξηραὶ, ἢ σμικρὰ καὶ ὀλιγάκις ἀνάγουσαι πέπονα· ἔστι δ' οἷσι καὶ κάρτα. [15] οἱ μὲν οὖν ἢ φωνῇσι πλέον ταλαιπωρήσαντες, ἢ ῥιγώσαντες, ἐς κυνάγχας μᾶλλον ἐτελεύτων. [16] οἱ δὲ τῇ χειρὶ πονήσαντες, ἐς χεῖρας μόνον παραπληγικοί. [17] οἱ δ' ἱππεύσαντες ἢ πλέω ὁδοιπορήσαντες, ἢ ἄλλό τι τοῖσι σκέλεσι ταλαιπωρήσαντες, τούτοισι ἐς ὀσφὺν ἢ σκέλεα ἀκρασίαι παραπληγικαὶ, [18] καὶ ἐς μηροὺς καὶ κνήμας κόπος καὶ πόνος. [19] σκληρόταται δὲ καὶ βιαιόταται, αἱ ἐς τὰ παραπληγικὰ ἄγουσαι. [20] πάντα δὲ ταῦτα ἐπὶ τῇσιν ὑποστροφῇσιν ἐγένετο, ἐν ἀρχῇσι δὲ οὐ μάλα. [21] τοῖσι πολλοῖσι δὲ τούτων ἀνῆκαν μὲν αἱ βῆχες ἐν τῷ μέσῳ, ἐξέλιπον δὲ τελέως οὔ, ἀλλὰ ξυνῆσαν τῇ ὑποστροφῇ. [22] οἷσι φωναὶ ἀπερρήγνυντο ἐς τὸ βηχῶδες, τούτων οἱ πλεῖστοι οὐδὲ ἐπυρέταινον, οἱ δέ τινες βραχέα. [23] ἀτὰρ οὐδὲ περιπλευμονικὰ ἐγίνετο τούτων οὐδενὶ, οὐδὲ παραπληγικὰ, οὐδὲ ἄλλο οὐδὲν ἐσημάνθη, ἀλλ' ἐν τῇ φωνῇ μόνῃ ἐκρίνετο. [24] τὰ δὲ νυκταλωπικὰ ἱδρύετο, ὡς καὶ τὰ ἐξ ἄλλων προφασίων γινόμενα. [25] ἐγίνετο δὲ νυκταλωπικὰ τοῖσι παιδίοισι μάλιστα. [26] ὀμμάτων δὲ τὰ μέλανα ὑποποίκιλα, ὅσοι τὰς μὲν κόρας σμικρὰς εἶχον. [27] τὸ δὲ ξύμπαν μέλαν ὡς ἐπὶ τὸ πολύ. [28] μεγαλόφθαλμοι δὲ μᾶλλον, καὶ οὐ σμικρόφθαλμοι, καὶ ἰθύτριχες οἱ πλεῖστοι καὶ μελανότριχες. [29] Γυναῖκες δὲ οὐχ ὁμοίως ἐπόνησαν ἀπὸ τῆς βηχὸς, ἀλλ' ὀλίγαι τε ἐπυρέτηναν. [30] καὶ τούτων πάνυ ὀλίγαι ἐς τὸ περιπλευμονικὸν ἦλθον, καὶ αὗται

duræ & siccæ, aut parvæ & raro matura educentes: quibusdam vero etiam valde. [15] Qui igitur aut vocibus amplius se fatigarunt, aut riguerunt, in anginas magis desierunt. [16] Qui vero manibus laborarunt, manibus tantum syderati ac resoluti sunt. [17] Qui vero equitaverunt, aut amplius iter fecerunt, aut alios labores cruribus perfecerunt, his ad lumbos aut crura impotentiæ resolutoriæ obortæ sunt, [18] & ad femora ac tibias lassitudo ac dolor. [19] Durissimæ autem & violentissimæ tusses erant quæ ad levem syderationem ac resolutionem perducebant. [20] Verum omnia hæc in recidivis fiebant. In principiis vero non ita valde. [21] Plerisque autem horum tusses in medio remiserunt, sed perfecte non defecerunt, verum cum recidiva affuerunt. [22] Quibus voces frangebantur ad tussim, horum plurimi ne febricitarunt quidem: quidam vero parum. [23] Sed neque peripneumonicæ affectiones ulli horum fiebant, neque leves syderationes, neque ullus alius morbus de se significationem præbuit, sed in sola voce judicabantur. [24] At vero nyctalopicæ affectiones firmabantur, ut quæ etiam ex aliis caussis fiebant. [25] Fiebant autem pueris maxime. [26] Oculorum autem nigræ partes aliquantum variegabantur, quæ pupillas parvas habebant. [27] In summa oculus niger ut plurimum erat. [28] Et magnos magis quam parvos oculos habebant, & plurimi rectos capillos ac nigros. [29] Cæterum mulieres non similiter à tussi afflictæ sunt. [30] Verum paucæ febricitarunt, & ex his valde paucæ ad peripneumonicam

αὗται πρεσβύτεραι καὶ πᾶσαι περιεγένοντο. 31 ᾐτιώμην καὶ τοῦτο, καὶ τὸ μὴ ἐξιέναι ὁμοίως ἀνδράσι, καὶ ὅτι οὐδαμῶς ὁμοίως ἀνδράσιν ἁλίσκονται. 32 κυνάγχαι δὲ ἐγένοντο μὲν καὶ ἐλευθέρῃσι διοτῆσι, καὶ αὗται δὲ εὐηθεστάτου τρόπου· 33 περισσοτέρως δὲ δούλῃσι ὅσῃσί τε ἐγένοντο βιαιόταται, καὶ ταχύταται ἀπώλλυντο. 34 ἀνδράσι δὲ πολλοῖσιν ἐγένοντο, καὶ οἱ μὲν διέφυγον, οἱ δὲ ἀπώλλυντο. 35 τὸ δὲ ξύμπαν, οἱ μὲν δυνάμενοι καταπίνειν μοῦνον, πάνυ εὔηθα καὶ εὔφορα. 36 οἱ δὲ καὶ διαλεγόμενοι πρὸς τούτοισιν ἀσαφέως, καὶ ὀχλωδέστεραι καὶ χρονιώτεραι. 37 οἷσι δὲ καὶ φλέβες αἱ περὶ κρόταφον καὶ αὐχένα ἐπαίροντο, ὑποπόνηραι. 38 οἷσι δὲ καὶ πνεῦμα ξυνεμετεωρίζετο, κάκιστον. 39 οὗτοι γὰρ καὶ ἐπεχλιαίνοντο. 40 ὡς γὰρ γέγραπται, οὕτως αἱ ξυγκληρίαι τῶν παθημάτων ἦσαν. 41 τὰ μὲν πρῶτα γεγραμμένα, καὶ ἄνευ τῶν ὕστερον γεγραμμένων ἐγίνετο· τὰ δ' ὕστερον οὐκ ἄνευ τῶν προτέρων. 42 τάχιστα ἔθνησκον, οἷς ἐπερρίγωσαν πυρετώδεα ῥίγεα. 43 τούτους οὔτε ἀνασπαστὴ πιεζομένους οὐδὲν ἄξιον λόγου ὠφέλει, οὔτε γαστρὸς ταραχὴ, οὔτε φλεβοτομίη, ὅσα ἐπειράθην. 44 ἔταμον δὲ καὶ ὑπὸ γλῶσσαν. 45 οὓς δὲ καὶ ἄνω ἐφαρμάκευσα. 46 ταῦτα μὲν οὖν καὶ διὰ παντὸς ἐν τῷ θέρει· 47 ὡς δὲ καὶ τὰ ἐπιρρηγνύμενα πάμπολλα. 48 περὶ τὸν μὲν ἐν τοῖσιν αὐχμοῖσιν ὀφθαλμίαι ἐπεδήμησαν ὀδυνώδεες. 49 Αἱμάτων φλεβῶν στάσιες, λειποθυμίη, σχῆμα, ἄλλη ἀπόληψις,

monicam affectionem devenerunt, atque hæ seniores, & omnes superstites evaserunt. 31 Causabar autem hoc fieri, eo quod non similiter velut viri prodirent, & quod nequaquam similiter viri morbis corripiuntur. 32 At anginæ liberis duabus oboriebantur, atque hæ mansuetissimi moris erant: 33 abundantius autem famulas corripiebant, quibus & violentissimæ fiebant, ipsasque celerrime perimebant. 34 Viris vero multis fiebant, qui partim evaserunt, partim perierunt. 35 In summa, qui solum deglutire non poterant, his valde mites ac toleratu faciles erant. 36 Qui vero etiam insuper obscure loquebantur, his molestiores ac diuturniores. 37 Quibus vero etiam venæ circa tempora & cervicem attollebantur, his aliquantum malæ erant. 38 Pessimæ vero his quibus & spiritus sublimis coelevabatur. 39 Hi enim etiam incalescebant. 40 Nam sicut scriptum est, ita consortia affectionum habebant. 41 Et quæ quidem primum scripta sunt, etiam sine posterioribus fiebant: quæ vero posterius, non sine prioribus. 42 Celerrime autem moriebantur, ubi febrili rigore insuper riguissent. 43 His ita pressis nihil memorabile proderat, non ventris turbatio, non venæ sectio, neque quæcunque alia tentavi. 44 Secui etiam venam sub lingua: 45 quosdam & sursum purgavi. 46 Hæc igitur omnino in æstate fiebant, 47 sicut etiam eruptiones omnino multæ, 48 & potissimum in siccitatibus lippitudines dolorosæ populariter grassabantur. 49 Sanguinis venarum suppressiones faciunt animi deliquium,

figura

30 φις, [49] περιτάμμενος ξυστροφὴ, παράθεσις, ἐπίδεσις. [50] Ἐβουβωνοῦτο τὰ πλεῖστα, διότι ἡπατῖτις. [51] Ἢν δὲ καὶ ἀπὸ ἀρτηρίης κακωθείσης κακὸν σημεῖον· οἷον Ποσιδωνίη. [52] Οἱ αἱμοῤῥαγοῦντες τελευτῶντες οὐκ ἐφίδρωσαν μέτωπον, ἀλλ' εἶεν ξυμπεπτωκότες. [53] καὶ οἱ πουλυμαθέες, καὶ οἱ ὑπὸ ἱδρώτων ὀλλύμενοι, πονηρόν. [54] Τῶν γαστέρων αἱ διαφθοραὶ ταραχὴν φέρουσιν· οἷον Ποσιδωνίη. [55] καὶ τὰ θηρία εἴσω, ἐνεποίει. [56] ἐν τῷ λεπτυσμῷ ἡ περίτασις περὶ τῆς τε-
35 λευτῆς, [57] καὶ ὁ ὀμφαλὸς προσμήκης εἰλκύσθη αὐτῇ, [58] καὶ οὔλων ἐφελκώσιες τῶν ἐπιόντων ἐπὶ ὀδόντα. [59] Οἷα πολλὰ περὶ ἑκάστου ἐστὶν ὀρθῶς ἐπιτελέσασθαι, τὰ μὲν ταῦτα δυνάμενα, τὰ δὲ οὔ. [60] οἷόν ἐστι τὰ τοιάδε διαχυθῆναι, ἐκπλυθῆναι, καὶ ἐξαχθῆναι, καὶ σκληρυνθῆναι, καὶ πεπανθῆναι. [61] καὶ, ὅπου κλίνειν, διώσασθαι τοὺς ἀτολμέοντας δέον μεταβολῇ, [καὶ] ἀνεγείρειν καταναρκωμένους, ἃ ὑστερεῦσιν. [62] Ὑδατώδεας θᾶσσον τέμνειν, [63] φθίνοντας καίειν αὐτίκα, [64] πρίειν κεφαλήν. [65]
40 τὰ τοιαῦτα τῶν ὑδατουμένων μὴ ψαύειν ἤτρου, μηδὲ τῶν ἔσω. [66] ὅμοιον γὰρ τοῖσι πολλοῖσι γένεσι. [67] Τὰ περὶ καρδίην· [οἷον] Ξενάρχῳ· καὶ θερμὸν ἅλες ἐσπνεῖν, καὶ τὸ ἕλκος ἀντὶ τῆς κενώσιος θάλπειν ἀρχῆθεν. [68] Φωνὴ, οἵη γίνεται ὀργιζομένοισιν, ἢν τοιαύτη ἢ μὴ ὀργιζομένῳ, φύσει ἤ. [69] καὶ ὄμματα, οἷα αὖ ἡ φύσει ταραχώδεα, οἷα ὅταν ὀργίζονται εἰ μὴ τοιοῦτοι. [70] καὶ τ' ἄλλα κατὰ λόγον τῶν νόσων· [71] οἷον τὸ φθινῶδες περὶ τὸ εἶδος, ἢν τοιοῦ-

figura alterata, interceptio, [49] li- 50 namentum intortum, appositio, deligatio. [50] Inguinum glandularumque tumores plurimi fiebant, eo quod hepatitis affecta esset. [51] Erat autem & ab arteria male affecta malum signum, veluti Posidoniae. [52] Quibus sanguis erumpebat, morientes fronte non exudarunt, sed velut contracti prae siccitate erant. [53] Et anhelosi, ac cum sudoribus pereuntes, male habebant. [54] Ventrium abundantiae turbationem ferunt, velut Posidoniae: [55] & 55 quae animalcula in alvo inducunt. [56] In attenuatione circumtensio ante obitum, [57] & umbilicus oblongus ipsi protractus est: [58] & gingivarum dentes ambientium exulcerationes. [59] Multa de uno quoque recte praecipi possunt, quae partim eadem possunt, partim non: [60] velut est talia diffundi, exolvi, & educi, & indurari, & maturari, [61] & 60 ubi mutatione opus est, de lecto propellere timidos, & torpentes excitare ad ea quae relinquunt. [62] Hydropicos citius secare oportet, [63] tabescentes statim urere, [64] caput secare, [65] & hujusmodi. Hydropicorum pectinem ne contingito, neque interna partes. [66] Simile est enim multis generibus. [67] Affectiones circa cor sive ventriculi osculum Xenarcho, & calidum acervatim exspirare, & ulcus per evacua- 65 tionem ab initio fovere. [68] Vox qualis est irascentibus, si talis fuerit non irato, ex natura fuerit: [69] & oculi tales fuerint ex natura turbulenti, quales sunt ubi irascuntur hi qui tales non sunt. [70] Et alia juxta morborum rationem, velut verbi caussa. [71] Morbus tabidam speciem indu-

45 τοιοῦτος φύσει ὑπάρξῃ, ὡς τοιοῦτον νόσημα περιέσται. καὶ τ' ἄλλα οὕτως. 72 Αἱ βῆχες κοπιώδεες καὶ ἅπτονται τῶν σιναρῶν, ὑπὲρ καὶ μάλιστα ἄρθρων. 73 ὑπὲρ δὲ ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι βῆχες ξηραὶ γίνονται. 74 αἱ [δὲ] ξηραὶ βῆχες [ἐς] ἄρθρα στηρίζουσι ξὺν πυρετῷ, ἢν ἐγκαταλείπωνται. 75 Τὰ πνεύματα τὰ αὐχμηρὰ τοῖσι φθινώδεσι κακὸν καὶ τῇσιν ἀτόκοισι. 76 καὶ ὅσα ἄλλα τοιαῦτα ἀπὸ τῆς αὐτῆς καταστάσιος. 77 Τοῖσι φθίνουσι τὸ φθινόπωρον κακόν. 78
350 κακὸν δὲ τὸ ἔαρ, ὅταν τὰ τῆς συκῆς φύλλα κορώνης ποσὶν ἴκελα ᾖ. 79 Ἐν Περίνθῳ ἦρος οἱ πλεῖστοι [ἔφθινον.] 80 ξυναίτιον βὴξ χειμερινὴ ἐπιδημήσασα, καὶ τοῖσιν ἄλλοισιν ὅσα χρόνια· καὶ γὰρ τοῖσιν ἐνδοιαστοῖσιν ἐβεβαιώσατο. 81 ἔστι δὲ οἷσι τῶν χρονίων οὐκ ἐγένοντο· οἷον τοῖσι τὰς νεφριτικὰς ὀδύνας ἔχουσιν. 82 ἀτὰρ καὶ τοῖσιν ἄλλοισιν· οἷον ὁ ἄνθρωπος ἐκεῖνος, πρὸς ὃν ὁ Κυνίσκος ἤγαγέ με. 83 Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι
5 δὲ στήθει, δὲ τοῖσιν ἄλλοισι, τὰς ὥρας εἰ μέγα διαφέρουσι καταμαθητέον. 84 ὅτι, ὅταν βέλτιον ἴσχωσιν, αὖθις κάκιον ἴσχουσιν οὐχ ἁμαρτάνοντες.

ΤΜΗΜΑ ΟΓΔΟΟΝ.

1 Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν αἱ ἀποσιτίαι, κακόν· ἄλλως τε δὲ ἢν ἐπιπυρεταίνωσιν. 2 Τὰ περιμάδαρα ἕλκεα κακοήθεα. 3 Ὀσφὺν ἀλγέοντι ἀναδρομὴ ἐς τὸ
60 πλευρόν, καὶ ἐκφύματα, ἃ σὴψ καλεῖται. 4 Τὰ νεφριτικὰ οὐκ εἶδον ὑγιασθέντα ὑπὲρ πεντήκοντα ἔτεα. 5 Τὰ ἐν τοῖσιν ὕπνοισι παροξυνόμενα, καὶ ὅσοις ἄκρεα περιψύχεται, καὶ ἡ γνώμη ταράσσεται, καὶ τἄλλα, ὅσα περὶ ὕπνον, τοιαῦτα, καὶ οἷσι τἀναν-

cit, si talis ex natura æger fuerit, ex tali morbo superstes evadet: & alia eodem modo. 72 Tusses laboriosæ contingunt 70 locos læsos, & maxime articulos. 73 Sed & in febribus lassitudinem inducentibus, 74 tusses siccæ ad articulos decumbunt cum febre, si intus relinquantur. 75 Spiritus tabescentibus obscuri mali, & non parientibus, 76 & quicunque alii tales ab eadem constitutione. 77 Tabescentibus autumnus malus. 78 Malum item ver, quum fici folia cornicis pedibus similia fuerint. 79 In Perintho vere plurimi 75 ægrotarunt. 80 Simul causa fuit tussis per hyemem populariter vagata, & aliis quicunque diuturni sunt morbi. Nam & in ambiguis confirmati sunt. 81 Quibusdam vero diuturni non sunt oborti, velut his qui dolores renales habent. 82 Sed & aliis, velut homo ille ad quem Cyniscus me adduxit. 83 Dolorum in lateribus, & pectore, & aliis partibus, tempora an multum dif- 80 ferant considerandum est. 84 Nam quum melius habuerint, rursus deterius habebunt, non delinquentes.

SECTIO OCTAVA.

1 In longis dysenteriis cibi fastidia mala, tum alias, tum si insuper febrierint. 2 Ulcera circumglabra maligna sunt. 3 Lumbos dolenti recursus ad latus, & pustulæ quæ, seps vocantur. 4 Renum affectiones non vidi sanatas supra quinquagesimum annum. 5 Quæ in somnis exacer- 85 bantur, & quibus extremæ partes perfrigerantur, & mens turbatur, & alia quæ circa somnum fiunt ejusmodi: & quibus contraria.

πέναντία. 6 Ὅσῃσι μὲν οὐδὲν εἴσω τῶν τεταγμένων χρόνων ἑκάστῃσι τὰ τικτόμενα ἀπόγονα γίνεται. 7 Τὰ ἐπιφαινόμενα ἐν οἵοισι μησὶ γίνεται. 8 Οἱ πόνοι ἐν περιόδοισιν. 9 ὅ, τι [γὰρ] ἐν ἑπτὰ κινέεται, ἐν τριπλασίῃ τελέεται. 10 Καὶ ὅτι μετὰ γυναικεῖα τὰ δεξιὰ ἢ τὰ ἀριστερὰ χάσκουσιν. 11 ὑγρότης διὰ τῶν ἀπιόντων διαίτης ξηρῆς. 12 Ὅτι δὲ τὸ θᾶσσον διακριθὲν, κινηθὲν αὖθις, αὔξεται βραδύτερον, ἐπὶ πλείονα δὲ χρόνον. 13 Οἱ πόνοι, τρίτῳ, πέμπτῳ, ἑβδόμῳ, ἐνάτῳ μηνί. 14 δευτέρῳ, τετάρτῳ. ἔξω. 15 Τὰ ἐκ σμικροῦ πινακιδίου σκεπτέα. 16 Δίαιτα γίνεται πλησμονῇ, κενώσει, βρωμάτων, πομάτων. 17 μεταβολαὶ τούτων οἷα ἐξ οἵων ὡς ἔχει. 18 Ὀδμαὶ τέρπουσαι, λυπέουσαι, πιμπλῶσαι, πειθόμεναι. 19 μεταβολαὶ ἐξ οἵων οἵως ἔχουσι. 20 Τὰ ἐσπνέοντα, εἰσιόντα ἢ ἐξιόντα πνεύματα, ἢ καὶ σώματα. 21 Ἀκοαὶ κρείσσονες, αἱ δὲ λυπεῦσαι. 22 Καὶ γλώσσης ἐξ οἵων οἷα προσκαλέεται. 23 Πνεῦμα τοσαύτη θερμότης, ψυχρότης, παχύτης, λεπτότης, ξηρότης, ὑγρότης, πεπληρωμένον, μεῖον τε καὶ τὸ πλεῖον. 24 ἀφ' ὧν αἱ μεταβολαὶ εἰσὶν ἐξ οἵων ὡς ἔχουσι. 25 Τὰ ἴσχοντα, ἢ ὁρμῶντα, ἢ συνεχόμενα σώματα. 26 Λόγοις, σιγῇ. 27 εἰπεῖν ἃ βούλεται. 28 λόγοις οἷσι λέγει, ἢ μεγάλοι ἢ πολλοὶ, [ἢ] ἀτρεκέες ἢ πλασοί. 29 Τὰ ἀπιόντα εἰδέναι, ὅθεν ἤρξατο, ἢ ὅπη ἐπαύσατο, ἢ ὅσον διεσπάσθη. 30 χρώματά τε, οἷσιν ἢ θερμότητα, ἢ ἁλμυρότητα, ἢ γλυκύτητα, ἢ λεπτότητα, ἢ παχύτητα; 31 ὁμαλῶς ἢ ἀνωμάλως τὸ σῶμα,

traria. 6 Quibus nihil intra constitutum tempus accidit, singulis partus vitales fiunt. 7 Apparentia in quibus mensibus fiunt. 8 Labores in circuitibus, 9 quicquid in septuaginta movetur, in triplicitate perficitur. 10 Post menses, dextera & sinistra hiant. 11 Humiditas per prodeuntia, diæta sicca opus habet. 12 Quod citius discretum ac motum est, rursus augescit tardius, & ad longius tempus. 13 Labores tertio, quinto, septimo, nono mense: 14 & secundo ac quarto. 15 Hæc ex parva tabula consideranda sunt: 16 victus ratio fit repletione, vacuatione, ciborum, potuum. 17 Mutationes horum qualia ex qualibus, prout se habent. 18 Odores delectantes, offendentes, implentes, placantes. 19 Mutationes ex qualibus, prout se habent. 20 Illabentes, ingressos aut egressos spiritus, aut etiam corpora. 21 Sermones qui audiuntur, alii meliores, alii offendentes. 22 Et à lingua ex qualibus qualia alliciuntur. 23 Spiritus, tanta caliditas, frigiditas, crassicies, tenuitas, siccitas, humiditas: plenus, imminutus & copiosior: 24 à quibus mutationes, quales ex qualibus, prout se habent. 25 Continentia, aut contenta, aut intus permeantia corpora. 26 Sermonibus, silentio, 27 dicere quæ vult, 28 sermonibus quibus dicit, an magni aut multi, veri aut conficti. 29 Prodeuntia & egressa nosse oportet, unde cœperunt, aut ubi desiverunt, aut quantum divulsa sunt: 30 itemque colores, in quibus aut caliditatem, aut salsuginem, aut dulcedinem, aut tenuitatem, aut crassiciem, 31 æqualiter aut inæqualiter:

σῶμα, τὸν χρόνον. 32 αἱ μεταβολαὶ οἷαι ἐξ οἵων ἔχουσιν. 33 Ἤρξατο ἐρύξειν, οὐκ ἐκράτησε. 34 Δάκρυα· ἑκόντι, ἀέκοντι· πολλὰ, ὀλίγα· θερμὰ, ψυχρά· παχέα. 35 Γεῦσις, πτύαλον αὐτόθεν ἀναχρέμπτεται ἢ ἀναβήσσοντι· ἔμετος. 36 Ἡλίου θάλπος, ψῦχος, τέγξις, ξηρότης. 37 μεταβολὴ διὰ οἷα ἐξ οἵων ἐς οἷα ἔχει. 38 Πόνοι, ἀργίαι· ὕπνοι, ἀγρυπνίαι. 39 Τὰ ἐν ὕπνῳ, ἐνύπνια. 40 κοῖται, καὶ ἐν οἷσι, καὶ ὑφ' οἵων. 41 Καὶ τῆς γνώμης ξύνεσις. 42 αὐτὴ καθ' ἑωυτὴν, χωρὶς τῶν ὀργάνων καὶ τῶν πρηγμάτων, ἄχθεται καὶ ἥδεται, καὶ φοβεῖται καὶ θαρσεῖ, καὶ ἐλπίζει καὶ ἀπελπίζει· 42 οἷον ἡ Ἱπποθόου ἡ κούρη τῆς γνώμης αὐτῆς καθ' ἑωυτὴν ἐπιστήμων ἐοῦσα τῶν ἐν τῇ νούσῳ ἐπιγενομένων. 43 Ἡλικίην μὲν ἡλικίης. 44 καὶ ἢ πρότερον ἢ ὕστερον τοῦ δέοντος. 45 οἷον εἰ παρελύθη ἐν χειμῶνι καὶ γέροντι τὴν ἡλικίην, ἢ νηπίῳ καὶ θέρεος. 46 ἢ πρότερον ἢ ὕστερον τοῦ δέοντος ὀδόντων ἐκβολαὶ, τριχῶν φύσιες, γόνος τὸ μᾶλλον καὶ ἧσσον, τριχῶν αὔξησις, παχυσμὸς, κρατυσμὸς, μινύθησις. 47 Τὸ ξυγγενὲς, καὶ τὸ καθ' ἑαυτὸ, ὅσῳ μᾶλλον ἢ ἧσσον. 48 Τοῦ ἔτεος ἡ ὥρη, ἐν ᾗ τε καὶ πρωϊαίτερον ἢ ὀψιαίτερον· 49 ἡ ὥρη ἐν ᾗ ἐγγένηται ἔπομβρος ἢ αὐχμηρὴ, ψυχρὴ ἢ θερμὴ, νήνεμος ἢ ἐπήνεμος, καὶ οἵων ἀνέμων. 50 τῆς ὥρης ἐν ἀρχῇ ἢ μέσῃ, ἢ ἐσχάτῃ, ἢ διὰ παντὸς, παροιχομένης ἢ παρεούσης. 51 ὥρη τῆς νούσου, ὁ χρόνος, τὰ ἐπιγενόμενα, αἱ περίοδοι· 52 καὶ τῶν περιόδων αἱ [διὰ] μείζονος, καὶ αἱ διὰ πλείονος, αἱ ἐπιδόσιες· 53 καὶ ἡ τῆς ἄλλης νούσου ἐπίδοσις, ἡ χύ-

corpus, tempus: 32 mutationes quales ex qualibus habent. 33 Incœpit eructationem, non obtinuit. 34 Lachrymæ volenti, nolenti, multæ, paucæ, calidæ, frigidæ: crassicies, sapor. 35 Sputum an per se exscreet, aut tussiendo rejiciat, itemque vomitum. 36 Solis calor, frigus, humectatio, siccitas: 37 mutatio per qualia, ex qualibus, ad qualia se habet. 38 Labores, ocia, somni, vigiliæ. 39 Quæ in somno fiunt, insomnia, 40 cubilia, & in quibus, & ex quibus. 41 Mentis intelligentia 42 ipsa per seipsam, citra instrumenta ac negotia, tristatur, lætatur, timet, confidit, sperat, desperat: velut Hippothoi domestica famula mentis suæ per seipsam gnara erat, & quæ in morbo acciderant sciebat. 43 Ætatem ab ætate discernere oportet, 44 & an prius aut posterius quam convenit, quid fiat: 45 veluti si resolutus est hyeme, & seni ætate, aut infanti, & æstate 46 aut prius, aut posterius quam convenit. Dentium emissiones, pilorum productiones, genitura magis & minus, pilorum augmentum, crassitudo, robur, imminutio: 47 quod cognatum est, & quod per seipsum, quanto magis & minus. 48 Anni tempus, in quo & citius aut serius. 49 Tempus in quo factum est, pluviosum aut siccum, frigidum aut calidum, sine ventis aut cum ventis, & qualibus ventis. 50 Temporis in principio, aut medio, aut fine, aut semper, præterito aut præsente. 51 Morbi tempus & hora, accidentia, circuitus; 52 & ex circuitibus majores, & per amplius tempus: incrementa; 53 & totius morbi incrementum, re-

χάλασις, ἢ ἀκμή. [54] καὶ τὸ μᾶλλον καὶ τὸ ἧσσον ἀποτελεῦσα, καὶ ὅτε, καὶ ὁποίως, καὶ ἐν οἵῃ ὥρῃ καὶ ἡλικίῃ. [55] 33 Τῶν ἐπιδημησασέων νούσων οἱ τρόποι, καὶ εἴ τις τῶν ἀρχομένων ἄρξαιτο ἀνήμετος. [56] οἷον ἢ πίνοντές τι [ἢ] 45 καθέχοντες, ἢ βραχὺ καθαιρόμενοι. [57] 34 Πυρετώδεες ἴσως οἱ ἔκλευκοι. [58] ὧν καὶ χείλεα, οἷος ὁ τρόπος, οἱ χρόνοι. [59] 35 Τὸ σῶμα [καὶ] ἔργον ἐς τὴν σκέψιν ἄγειν, ὄψις, ἀκοή, ῥὶς, ἁφή, γλῶσσα, λογισμός. [60] 36 Καταμανθάνειν τὰ ἐν τοῖσι βλεφάροισι τοῖσιν ἄνω καταλειπόμενα οἰδήματα. [61] τῶν [δὲ] ἄλλων ἀπισχναινομένων ὑποστροφαί. [62] ἐν δὲ ἄκρῳ ὑπέρυθρα σκληρά, καὶ πάνυ τούτοισι γλίσχρα, καὶ ἀνιστάμενα, καὶ ἐνεχόμενα ἐν τούτοισιν· οἷον [ἐν] Φαρσάλῳ Πολυμήδει. [63] 37 Τὰ κατα- 5 ῤῥηγνύμενα οἰδήματα ἢ πελιώματα, ἢ ἐπ' ὀφθαλμίαις ἢ ἕλκεσιν. [64] ἀλλὰ γὰρ τὰ ἐκ τῶν φυμάτων καὶ ἐμπυημάτων καταφερόμενα. [65] 38 Σημεῖον ἀμφημέρινον, στρόφοι περὶ τὸν ὀμφαλὸν καὶ ὀδύναι. [66] 39 Ἐρυσίπελας ἐστὶν οἷσιν ἀπὸ πράσων· ἀτὰρ καὶ ἀπὸ σκορόδων· τούτοισιν ὕστερον. [67] ἔστιν οἷσιν ἀπὸ τραχήλου. [68] καὶ περὶ ταῦτα ἐν προσώπῳ ἐκρίνετο. [69] τὰ μέλανα καὶ οἷσι τραχήλου 10 κακά. καὶ εἰ φλυκταινοῖ, κακά, καὶ οἷσι ταραχή. [70] 40 Ὁ μελαγχολικὸς ὁ Ἀδαμάντιος ἀπὸ πεπλίων πλειόνων ἤμεσε ποτὲ μέλανα, ἄλλοτε ἀπὸ κρομμύων. [71] 41 Οἱ πυρετοὶ, ἐν οἷσιν ἑλκοῦται χείλεα, ἴσως διαλείποντες, καὶ τριταίοισι ψύξιες. [72] οἱ δὲ περικαέες, αὐτίκα πρὸς τὴν χεῖρα λυόμενοι, αἰεί. [73] 42 Οἷον ἔνεστιν ἐν τοῖσιν ἄρθροισι σκεπτέον, ἢ ἄρα οὐκ ἐμπυοῦται. [74] 43 Ἔθος δὲ, ἐξ οἵων ὑγιαινόμεθα, διαίτῃσι, σκέπῃσι, πόνοισιν,

remissio, vigor: [54] & magis & minus perficiens, & quando, & qualiter, & in quali hora ac ætate. [55] Populariter grassantium morborum modi, & si quis ex incipientibus incœperit sine vomitu, [56] veluti aut ubi biberunt quid continentes, aut parum 35 purgati. [57] Febriculosi fortassis valde candidi, [58] quorum etiam labia, qualis modus, tempora. [59] Corpus, actio, in considerationem ducatur. Visus, auditus, nasus, tactus, lingua, cogitatio [60] consideretur. Tumores in supernis palpebris relicti, [61] dum alia circumcirca gracilescunt, recidivas faciunt: [62] in extremitate vero subrubicundi, duri, & valde viscosi, & insurgentes ac inhærentes in his sunt, velut 40 Pharsalio Polymedi. [63] Erumpentes tumores aut livores, in lippitudinibus aut ulceribus. [64] Sed & quæ deferuntur ex tuberculis ac suppurationibus, [65] quia signa sunt. Circa messem tormina circa umbilicum, & dolores, [66] quandoque à porro: sed & ab allio his postea. Sacri ignes [67] quibusdam à collo, [68] & circa has partes, in facie judicabantur. [69] Nigri etiam quibus à collo, mali erant: & si pustulæ 45 essent, malæ erant: & quibus alvus turbata esset. [70] Adamantus atrabiliarius à pepliis pluribus vomuit aliquando nigra, quandoque à cepis. [71] Febres in quibus ulcerantur labia, fortassis intermittentes: & tertianis perfrigerationes. [72] At amburentes statim ad manum solvuntur semper. [73] Quale inest in articulis considerandum, an non suppurantur. [74] Consuetudo 50 autem, ex qualibus sani degimus, victus modis, tegumentis, labori-

νοισιν, ὕπνοισι, ἀφροδισίοισι, γνώμῃ. 75 Ὅπως τὰς νούσους, ἀπό τινων τινὰ σχήματα, ἐφ' οὓς τόπους ἐτράποντο, ἤρχοντο, παρῆσαν, ἐπαύσαντο. 76 Ἐν οἷσιν ἀκρατὴς φοβερός. 77 Τὰ ἐναντία ἐν τῇ νούσῳ διαιτήματα. 78 Τὸ εὔφορον, τὸ δύσφορον. 79 Αἱ δίαιται ὅσον γνῶναι, μὴ ἐξειδῆσαι. ξυμφορὴ γὰρ πολλή. 80 Ἀγαθοῖσι δὲ ἰητροῖσιν αἱ ὁμοιότητες πλάνας καὶ ἀπορίας. 81 ἀλλὰ τἀναντία ἡ πρόφασις. 82 οἶδ' ὅτι χαλεπόν ἐστιν ἐκλογίσασθαι εἰδότα τὰς ὁδούς. 83 οἷον εἰ φοξὸς, εἰ σιμὸς, εἰ ὑπόξηρος, εἰ χολώδης δυσήμετος, χολώδης μέλας, νέος, εἰκῆ βεβιωκώς. 84 ἅμα ταῦτα πρὸς ἄλληλα ξυνομολογήσασθαι χαλεπόν. 85 Ὧ τὸ συρίγγιον ἐπανερρήγνυτο, βηχία ἐκώλυε διαμεῖναι. 86 Ὧ ὁ λοβὸς τοῦ ἥπατος ἐπετυλίχθη διέστησε. ἐξαίφνης ὁ πόνος ἐπαύσατο. 87 Σάτυρος ἐν Θάσῳ, παρωνόμιον ἐκαλέετο γρυπαλώπηξ, περὶ ἔτεα ἐὼν πέντε καὶ εἴκοσιν, ἐξωνείρωσσε πλεονάκις· προῄει δ' αὐτῷ καὶ δι' ἡμέρης πλεονάκις. 88 γενόμενος δὲ περὶ ἔτεα τριάκοντα φθινώδης ἐγένετο, καὶ ἀπέθανεν. 89 Ἐν δὲ Ἀβδήροις ὁ παλαιστροφύλαξ, ὁ καὶ Σθενεὸς λεγόμενος, παλαίσας πλείω πρὸς ἰσχυρότερον, καὶ πεσὼν ἐπὶ κεφαλὴν, ἀπελθὼν ἔπιε ψυχρὸν ὕδωρ πουλύ. 90 μετὰ δὲ ταύτην ἐκείνης τῆς νυκτὸς ἀγρυπνίη, δυσφορίη, ἄκρεα ψυχρά. 91 τῇ δὲ ὑστεραίῃ εἰσῆλθεν ἐς οἶκον, καὶ τῇ κρε-

boribus, somnis, rebus Venereis, mentis affectionibus. 75 Quomodo morbos ferant, à quibus quæ figuræ, ad quos locos conversi sunt, quando cœperunt, affuerunt, desiverunt. 76 In quibus intemperans horrendus. 77 Contrariæ in morbo victus rationes, 78 qui facile, qui ægre toleratur. 79 Victus rationes quantum fieri potest cognoscendæ. Nam non nosse, multarum calamitatum res est. 80 Bonis autem medicis similitudines pariunt errores ac difficultates. 81 Verum contraria facit causa & occasio. 82 Scio quod difficile est ratiocinari ac cognoscere vias, 83 veluti si sit acuto capite, simus, subaridus, biliosus, ægre vomens, facile vomens, niger, juvenis qui temere vitam degit: 84 Hæc simul inter se consentire difficile est. 85 Cui fistula refringebitur, tussiculæ permanere impediebant. 86 Cui apex hepatis complicatus erat, eum concussi, derepente dolor sedatus est. 87 Satyrus in Thaso cognomento Grypalopex vocabatur, hic quum annorum viginti quinque esset, sæpe per somnum semen effudit: & interdiu quoque frequenter ipsi prodibat. 88 Quum autem ad annum trigesimum pervenisset, tabidus fiebat, & mortuus est. 89 In Abderis palæstræ custos, qui Sthenens dicebatur, multum luctatus adversus fortiorem, & in caput lapsus, digressus multam bibit frigidam aquam. 90 Postea illa nocte vigiliæ obortæ sunt, angustiæ, & extremarum partium frigiditates. 91 Postridie ingressus ad domum, & glandula

κοιλίῃ βαλάνου προστεθείσης οὐχ ὑπῆλθεν· οὔρησε δὲ σμικρὸν, πρότερον οὐδὲν οὐρήκει. 92 ἐς νύκτα ἐλούσατο· οὐδὲν ἧσσον ἀγρυπνίη καὶ δυσφορίη, παρέκρουσεν. 93 ἐόντι δὲ τριταίῳ περίψυξις ἀκρέων· ἐκθερμανθεὶς ἵδρωσε. 94 πιὼν δὲ μελίκρητον ἀπέθανε τριταῖος. 95 54 Οἱ μελαγχολικοὶ καὶ ἐπιληπτικοὶ εἰώθασι γίνεσθαι ὡς ἐπὶ τὸ πολύ· καὶ οἱ ἐπίληπτοι, μελαγχολικοί. 96 τούτων δὲ ἑκάτερον μᾶλλον γίνεται, ἐφ' ὁπότερα ἂν ῥέψῃ τὸ ἀρρώστημα. 97 ἢν μὲν ἐς τὸ σῶμα, ἐπίληπτοι· εἰ δὲ ἐπὶ τὴν διάνοιαν, μελαγχολικοί. 98 55 Ἐν Ἀβδήροις Φαέθουσα ἡ Πυθέω γυνὴ, ἡ κῦρος· ἐπίτοκος ἐοῦσα τῷ ἔμπροσθεν χρόνῳ. 99 τῷ δὲ ἀνδρὸς αὐτῆς φυγαδεύοντος, τὰ γυναικεῖα ἀπελήφθη χρόνον πουλύν. 100 μετὰ δὲ ἐς ἄρθρα πόνοι καὶ ἐρυθήματα. 101 τούτων δὲ ξυμβάντων, τό τε σῶμα ἠνδρώθη καὶ ἐδασύνθη πάντα, καὶ πώγωνα ἔφυσε, καὶ φωνὴ τρηχείη ἐγένετο. 102 καὶ πάντα πραγματευσαμένων ἡμέων, ὅσα ἦν πρὸς τὰ γυναικεῖα κατασπάσαι, οὐκ ἦλθεν. 103 ἀλλ' ἀπέθανεν, οὐ πολλὸν μετέπειτα χρόνον βιώσασα. 104 56 Ξυνέβη δὲ καὶ Ναμυσίῃ τῇ Γοργίππου γυναικὶ ἐν Θάσῳ τὸ αὐτό. 105 ἐδόκει δὲ πᾶσι τοῖσιν ἰητροῖσιν, οἷσι κἀγὼ ἐνέτυχον, μία ἐλπὶς εἶναι ὡς γυναικωθῆναι, εἰ τὰ κατὰ φύσιν ἔλθοι. 106 ἀλλὰ καὶ ταύτῃ οὐκ ἠδυνήθη πάντα ποιεόντων ἐπελθεῖν, ἀλλ' ἐτελεύτησεν οὐ βραδέως.

la alvo ſubdita, non ſubiit, verum parum minxit, prius 'autem nihil minxerat: 92 ad noctem lavit, nihilo minus vigiliæ & anguſtiæ aderant: deliravit. 93 Tertia die, frigiditas extremarum partium, excalefactus ſudavit: 94 pota autem aqua mulſa tertia die mortuus eſt. 95 54 Atrabiliarii, etiam comitiali morbo corripi plerumque ſolent, & viciſſim comitiales fieri ſolent atrabiliarii. 96 Uterque vero morbus magis fit, prout ad alteram partem 'inclinarit. 97 Siquidem enim ad corpus inclinarit, comitiales fiunt: ſi vero 55 ad animum, atrabiliarii melancholici dicti. 98 In Abderis Phaethuſa Pytheæ uxor, priore quidem tempore fœcunda erat: 99 quum autem maritus ipſius in exilium abiiſſet, menſes multo tempore ſuppreſſi ſunt: 100 poſtea dolores & rubores ad articulos oborti ſunt. 101 Hæc autem ubi contigiſſent, & corpus virile factum eſt, & hirſuta penitus evaſit: & barbam 'produxit, & vox aſpera facta eſt. 102 Et quum nos omnia tentaſſemus, quæ ad menſes detrahendos conferre viſa eſſent, non prodierunt, 103 56 ſed mortua eſt, quum non ita multo tempore poſtea vixiſſet. 104 Idem hoc contigit etiam Namyſiæ Gorgippi uxori in Thaſo. 105 Viſum eſt autem omnibus medicis, in quos ſane ego incidi, unam ſpem eſſe, ſi menſes ſecundum naturam prodirent. 106 Verum & huic 'prolici non potuerunt, omnia nobis molientibus: ſed paulo poſtea mortua eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ τὸ ἕβδομον.

Basil. græc. Foesius sect. VII. 302. 1206.

pag 351

ΜΕΤΑ κύνα οἱ πυρετοὶ ἐγένοντο ἱδρώδεες, καὶ οὐ περιεψύχοντο παντάπασι μετὰ τὸν ἱδρῶτα. [2] πάλιν δὲ ἐπεθερμαίνοντο. καὶ μακροὶ ἐπιεικῶς, καὶ δύσκριτοι, καὶ οὐ πάνυ διψώδεες. [3] ὀλίγοισιν ἐν ἑπτὰ καὶ ἐννέα ἐπαύοντο, ἄλλοισιν ἑνδεκάτῃ, καὶ τεσσαρεσκαιδεκάτῃ, καὶ ἑπτακαιδεκάτῃ.

[4] Πολυκράτει πυρετὸς, καὶ τὰ τῶν ἱδρώτων οἷα γέγραπται. [5] ἀπὸ φαρμάκου κάθαρσις κάτω σφόδρα ὀξυῶδες, [6] καὶ τὰ τοῦ πυρετοῦ οὕτως ἤπια, ὡς ἄδηλα καθεστῆναι, πλὴν ἐν κροτάφοισι. [7] καὶ τὰ ἱδρώτια πρὸς δείλην περὶ κεφαλὴν, τράχηλον, στῆθος· εἶτ' αὖθις καὶ ἐς ὅλην κοιλίην, καὶ πάλιν ἐπεθερμαίνετο. [8] περὶ δὲ τὰς δωδεκάτας καὶ τὰς τεσσαρεσκαιδεκάτας ἐπέτεινεν ὁ πυρετὸς. καὶ [αἱ] ὑποχωρήσιες βραχέαι. [9] ῥοφήμασι δὲ μετὰ τὴν κάθαρσιν ἐχρήσατο. [10] περὶ δὲ τὰς πεντεκαιδεκάτας ἀλγήματα γαστρὸς κατὰ σπλῆνα καὶ κενεῶνα ἀριστερόν. [11] θερμῶν προσθέσιες ἧσσον ἢ ψυχρῶν ξυνέφερον. [12] κλύσματι μαλθακῷ χρησαμένῳ ἔληξεν ἡ ὀδύνη. [13] τὸ αὐτὸ δὲ καὶ Κλεοκύδει ξυνήνεγκε πρὸς ὀδύνην ὁμοίως ἔχοντι καὶ πυρετόν. [14] περὶ δὲ ἑκκαιδεκάτην ἠπιώτεραι αἱ θέρμαι ἐδόκεον εἶναι. καὶ ὑποχωρήσιες ἀκρήτου χολῆς, καὶ ἡ διάνοια θρασυτέρη, πνεῦμα δὲ μέτριον. [15] ἔστι δ' ὅτε καὶ ἀλὲς ἑλκύσας πάλιν ἀθρόον ἐξέπνει, ὥσπερ ὑπ' ἀψυχίης, ἢ ὡς αὖ διαπνί-

HIPPOCRATIS POPVLARIVM liber septimus.

Basil. lat.

POST canem febres [1] fiebant sudorificæ, & [183] non perfrigerabantur penitus post sudorem, [pag 407] [2] sed rursus incalescebant: & leniter longæ, & judicatu difficiles, & non valde siticulosæ: [3] paucis in septimo & nono desinebant, aliis undecimo, & decimo quarto, & decimoseptimo. [15]

[4] Polycrati febris, & sudor, qualis descriptus est: [5] à medicamento purgatio deorsum vehementer: [6] & febris adeo lenis facta est, ut obscura consisteret, præterquam in temporibus: [7] & sudores ad vesperam, circa caput, collum, pectus: deinde rursus etiam per totum ventrem, & rursus incalescebat. [8] At circa duodecimum & decimumquartum febris aucta est, & modicæ alvi subegestiones: [9] post purgationem usus est sorbitionibus. [10] Circa decimumquintum dolores ventris juxta splenem, & sinistram lateris mollitudinem. [11] Calidiorum appositio minus profuit quam frigidorum. [12] Quum infuso per clysterem molli usus esset, cessavit dolor. [13] Idem quoque Cleocydi profuit, ad dolorem similiter habentem, itemque febrem. [14] Circa decimamsextam calores leniores esse videbantur, & egestiones bilis meracæ, & animus audacior, spiritus autem moderatus. [15] Quandoque vero acervatim attractum, rursus acervatim expirabat, velut præ animi deliquo, aut

πίγεος προσθεὶς ἐν σκιῇ καθεζόμενος ὅστις ἀναπνεύσειε. [16] τῇ δὲ ἑπτακαιδεκάτῃ ἑσπέρης καθεζόμενος ἐς δίφρον ἠψύχησε, καὶ ἄφωνος πουλὺν χρόνον καὶ ἀναίσθητος ἔκειτο. [17] μελικρήτου μόγις κατεδέξατο, ξυντείνων τὰς ἐν τῷ τραχήλῳ ἶνας, ὡς καταξηραμένης τῆς φάρυγγος, καὶ τῆς πάσης ἀδυναμίης παρεούσης. [18] μόγις γοῦν ἐντὸς ἑωυτοῦ ἐγένετο, καὶ αἱ θέρμαι ἠπιώτεραι. [19] μετὰ ταῦτα ἐπαύσατο δὲ δευτέρῃ καὶ εἰκοστῇ.

II. Πυθοδώρῳ περὶ τὸν αὐτὸν χρόνον πυρετὸς ξυνεχής. [2] ὀγδοαίῳ ἱδρὼς ἐγένετο, καὶ πάλιν ἐπεθερμαίνετο. [3] δεκάτῃ πάλιν ἱδρώς. [4] δωδεκάτῃ ἐρύφησε χυλόν. [5] καὶ μέχρι τεσσαρεσκαιδεκάτης ἄδηλος ἦν· ἐν κροτάφοισι δὲ ἦν· ἄληκτος δέ. [6] καὶ αὐτὸς ἑωυτῷ ὑγιὴς ἐδόκεεν εἶναι. [7] ἱδρῶτες ἐγένοντο ἑκάστης ἡμέρης. [8] ἐν δὲ τῇ πεντεκαιδεκάτῃ ζωμίον νεοσσοῦ ῥυφῶν, ἤμεσε χολήν, καὶ κοιλίη κάτω ἐξεταράχθη, καὶ ὁ πυρετὸς παρωξύνθη. [9] πάλιν ἔληξε, καὶ ἱδρῶτες ἐγένοντο πολλοί [10] καὶ τὸ σῶμα πᾶν περιεψυγμένον, πλὴν κροτάφων σφυγμὸς οὐκ ἔλιπεν. [11] ἐδόκει δὲ κοπιάσαι ὀλίγον χρόνον, ὡς δόξαι ἐπιθερμαίνεσθαι. [12] τετάρτῃ καὶ εἰκοστῇ ἤδη ἀποσιτουμένῳ σιτίων συχνὰς ἡμέρας, καὶ ἀριστήσαντι, πουλὺς ἦν ὁ πυρετὸς, [13] καὶ περὶ τὴν ἑσπέρην παραλήρησις προσετίθη ἅμα καὶ ὕπνῳ. [14] εἶχε γοῦν ἤδη ξυνεχὴς καὶ ἰσχυρός· [15] ὁτὲ μὲν μίαν, ὁτὲ δὲ δύο νύκτας ἀγρυπνέε. [16] τὸν δὲ λοιπὸν ἅπαντα χρόνον κατακορὴς ὕπνος· ἐγείρειν ἔργον. [17] καὶ παραλήρησις ἐν τῷ ὕπνῳ· καὶ, εἴποτε ἐξ ὕπνου ἐγερθείη, μόγις αὐτὸς

aut velut in umbra desidens respirare solet, is qui per æstum iter fecit. [16] Decimaseptima itaque die vesperi desidens in sellam, animi deliquium incidit, & multo tempore sine voce ac sensu jacebat, [17] & vix aquam mulsam suscipiebat, fibras in collo distendens, utpote faucibus resiccatis, ac omni virium exolutione præsente. [18] Vix itaque intra seipsum erat, & calores leniores fiebant. [19] Postea vero desiit morbus vigesima secunda die.

II. Pythodoro eodem tempore febris continua: [2] octava die, sudor obortus est, & rursus incalescebat. [3] Decima rursus sudor, [4] duodecima sorbuit succum, [5] & usque ad decimamquartam obscura erat: in temporibus autem comparebat, & sine fine erat, [6] & ipse sibiipsi sanus esse videbatur. [7] Sudores fiebant omni die. [8] Decimaquinta jusculum pulli sorbens vomuit bilem, & alvus infra exturbata est: & febris exacerbata est: [9] rursus desiit: & sudores fiebant multi: [10] & corpus totum perfrigeratum erat, exceptis temporibus. Pulsus non defecit. [11] Videbatur quievisse modico tempore ut incalescere se putaret. [12] Vigesimaquarta, quum jam gustaret cibos multis diebus, & pransus esset, multa erat febris, [13] & ad vesperam delirium, accedente simul etiam somno. [14] Detinebat itaque jam continua & vehemens, [15] & quandoque duas noctes vigilabat: [16] reliquo vero tempore somnus abunde contingebat, ut operosum esset excitare: [17] & delirium in somno: & si quando ex somno excitatus esset, vix ipse sui-

τὸς ἑωυτοῦ. [18] ἄδιψος. [19] καὶ τὸ πνεῦμα μέτριον· τοιοῦτον δὲ ἐνίοτε, οἷον Πολυκράτει. [20] γλῶσσα οὐκ ἄχρως. [21] μετὰ δὲ ἑβδόμην τῆς ὑποστροφῆς χυλοὶ προσεφέροντο. [22] μετὰ δὲ τεσσαρεσκαιδεκάτην σιτίον. περὶ τὰς πρώτας ἑπτὰ ἐρύγματα καὶ ἀπήμεε· [23] ἔστιν ὅτε μετὰ ποτοῦ ὑπόχολον ἄνευ ἄσης, ἕως κάτω ἐλύθη ἡ κοιλίη. [24] ἱδρῶτες, ἐξ οὗ ὑπέστρεψεν, ἐξέλιπον· εἰ μὴ τοσοῦτον ὡς σημεῖον περὶ μέτωπον. [25] γλῶσσα ἐκ τοῦ ὕπνου, εἰ μὴ διακλύσαιτο, ὑπόλευκος ὑπὸ ξηρότητος. [26] καὶ ἐρρήγματα περὶ αὐτὴν ἑλκέων, καὶ ἐν χείλει τῷ κάτω, καὶ παρ' ὀδόντας. [27] μικραὶ ὑποχωρήσιες· περὶ πεντεκαιδεκάτην ὡς ὑπέστρεψε, πυκνότεραι καὶ ἰλυώδεες. [28] τὸ ἀπὸ τῶν σιδίων ἔπαυσεν αὐτάς. [29] οὖρα οἷα τὰ πολυχρόνια. [30] ὑπὸ δὲ τὸν τελευταῖον χρόνον ἄλγημα στήθεος καταπίνοντι τὸ ποτὸν, καὶ ἡ χεὶρ ἐπὶ τοῦ στήθεος. [31] κύμινον καὶ ὠὸν ῥυφαίνοντι κατέστη. [32] ἡ γλῶσσα δὲ τὸ μανῶδες ξυνήνεγκε. [33] πεντηκοστῇ ἀπὸ τῆς πεντηκοστῆς περὶ ἀρκτοῦρον, ἱδρῶτες κατ' ὀσφὺν καὶ στήθεα βραχέα· [34] καὶ τὸ σῶμα περιεψύχετο, πλὴν κροτάφων, ὀλίγον χρόνον πάνυ. [35] πρώτῃ καὶ πεντηκοστῇ ἐχάλασε, καὶ δεύτερον οὐκ ἔλαβεν.

III. Ὁ Ἐρατολάου περὶ φθινοπωρινὴν ἰσημερίην δυσεντερικὸς ἐγένετο, καὶ πυρετὸς εἶχε. [2] τὰ ὑποχωρήματα ἦν χολώδεα, λεπτὰ, πολλὰ, καὶ ὕφαιμα μετρίως. [3] ἡ δὲ ὀδύνη τῆς γαστρὸς σφοδρή. [4] ὀρροποτέοντι δὲ καὶ γαλακτοποτέοντι ἐν γάλακτι πεπυρωμένῳ μετριώτερα ἐγένετο τὰ ἀλγήματα καὶ ὕφαιμα, τὰ δὲ χολώδεα παρηκολούθει. [5] καὶ ἀναστάσιες πυκναὶ καὶ ἀπονάτε-

ipsius erat. [18] Sitis exors. [19] Spiritus moderatus, talis aliquando, qualis Polycrati. [20] Lingua non decolor. [21] Post septimam recidivæ diem succi exhibebantur: [22] post decimamquartam cibus. Circa primos septem eructabat, ac revomebat: [23] quandoque cum potu subbiliosum, citra anxietatem, donec alvus deorsum soluta est. [24] Sudores post recidivam defecerunt, nisi quis circa frontem esset tantillus ut vix significationem de se præberet: [25] lingua ex somno si non collueretur, subalba præ siccitate: [26] & ruptiones ulcerum circa ipsam, & in labio inferno: & circa dentes: [27] alvi egestiones paucæ: circa decimamquintam ut recidiva facta est, frequentiores & viscosæ. [28] Decoctum malicorii sedavit ipsas. [29] Urinæ quales sunt diuturnæ. [30] Sub ultimum tempus dolor pectoris deglutienti potum: & manus in pectore. [31] Cuminum & ovum absorbenti sedatus est: [32] linguæ raritas profuit. [33] Quinquagesima à prima circa arcturum, sudores breves juxta lumbos & pectus; [34] & corpus perfrigerabatur, exceptis temporibus, valde modico tempore. [35] Prima & quinquagesima remisit: nec iterum apprehendit.

III. Eratolai filius circa æquinoctium autumnale dysentericus fiebat, & febris tenebat. [2] Egestiones alvi erant biliosæ, tenues, multæ, & moderate subcruentæ. [3] Dolor autem ventris vehemens. [4] Ubi serum & lac hibisset, silice candefacta immissa, dolores & subcruentæ egestiones moderatiores fiebant, sed biliosæ comitabantur: [5] & sæpe ad exonerandam alvum surgebat,

νώτερον. [6] τὸ δὲ πυρέτιον ἐδόκει ἀῤῥωστέοντι καὶ τοῖσι πολλοῖσιν ὅλως μὴ ἔχειν διὰ παντὸς τοῦ χρόνου μετὰ τὰς πρώτας πέντε ἢ ἓξ ἡμέρας· οὕτως ἄδηλος ἦν. [7] κατὰ κροτάφους δὲ σφυγμὸς ἦν, καὶ 35 γλῶσσα ὑπὸ ξηρότητος ὑπότραχυλος καὶ διψώδης μετρίως, καὶ ἄγρυπνος. [8] ῥυφήμασι δὲ ἤδη ἐχρῆτο, καὶ οἴνοισι. [9] περὶ τεσσαρεσκαιδεκάτην ἐοῦσαν ἡμέρας, ἤδη ἐπῆρτο τὰ παρ' οὖς ἐν μέρει καὶ παρ' ἑκάτερον σκληρὰ καὶ ἄπεπτα. [10] πάντα ἐμαλάχθη· ὀδυνώδεα δὲ μετρίως. [11] οὐκ ἀπολειπόντων δὲ τῶν ὑποχωρημάτων, καὶ χολωδέων τε διὰ παντὸς ἐόντων, [12] τὴν ἐν τῷ ἀλεύρῳ βολίτου ῥυφέοντι, μετριώτερα τὰ χολώδεα καὶ τὰ ἀλγήματα ἐγένοντο μέχρι τινὸς χρόνου, ὑγρὰ δὲ πολλὰ πολλάκις. [13] 40 καὶ ἀπόσιτος σφόδρα, καὶ μετὰ πάσης ἀνάγκης τὰ σιτία δεχόμενος. [14] τὰ δὲ τῆς θέρμης, καὶ γλώσσης, καὶ δίψης, τοιαῦτα παρηκολούθει, οἷα εἴρηται. [15] καὶ ἱδρῶτες οὐδέν. [16] λήθη δέ τις τοιαύτη, ἐρωτήσας ὅτι πύθοιτο σμικρὸν, καὶ διαλιπὼν, πάλιν ἠρώτα καὶ ἔλεγεν αὖθις, ὡς οὐκ εἴη εἰρηκώς. [17] καθεζόμενός τε ἐπελανθάνετο, εἰ μή τις ὑπομιμνήσκοι αὐτόν. [18] καὶ αὐτὸς ἑαυτῷ ξυνῄδει τὸ πάθος, οὐδ' ἠγνόει. [19] πνεῦμα ὁποῖον ὑγιαίνοντι. [20] ὑπὲρ δὲ τὰς τριάκοντα μέχρι τῶν τεσσαράκοντα ἥ τε ὀδύνη πολὺ ἐπεδίδου τῆς γαστρὸς, ὕπτιός τε κατέκειτο, καὶ ἐπιστρέφεσθαι οὐδ' ἐπὶ τοσὸν ἠδύνατο. [21] τὸ δὲ εἶναι τὸ ἄλγημα ὀξὺ, ψωμίζειν ἄλλων δεῖ. [22] ἡ δὲ ὑποχώρησις πολλὴ

gebat, sed minore dolore. [6] Febricula vero & ægroto, & multis, omnino non adesse videbatur per omne tempus, post 55 primos sex dies, adeo obscura erat. [7] Verum juxta tempora pulsus erat: & lingua præ siccitate subalba: & moderate siticulosus, & sine somno. [8] Sorbitionibus autem jam utebatur & vinis. [9] Quum jam ad decimumquartum diem pervenisset, tubercula circa aurem oborta sunt, tum alteram, tum utranque, dura ac cruda: [10] omnia disparuerunt, moderate autem dolorosa erant. [11] Quum autem 60 non desinerent egestiones, & semper biliosæ essent, [12] absorbenti herbam in farina, biliosæ egestiones & dolores ad tempus aliquod mitiores facti sunt: liquidas vero multas sæpe egerebat, [13] & cibos valde aversabatur, & omni necessitate coactus admittebat. [14] Calor autem, & lingua, & sitis tales sequebantur quales dicti sunt, [15] & sudores nulli. [16] Oblivio vero hujusmodi quædam. Ubi interrogasset 65 de eo quod paulo antea audivisset, modico interposito tempore rursus interrogabat: & rursus repetebat, velut qui non dixisset: [17] & se desidere obliviscebatur, nisi quis ipsum commonefecisset: [18] & ipse sibiipsi conscius erat hujus affectionis, neque ignorabat. [19] Spiritus qualis sano. [20] Ultra trigesimum vero usque ad quadragesimum diem, & dolor ventris multum augescebat, & supinus decumbebat, & se convertere ne tantillum quidem poterat: [21] & 70 quia dolor vehemens erat, alis qui cibum exhiberent opus habebat. [22] Alvi egestio erat multa,

λὴ καὶ διακεκριμένη [καὶ] λεπτὴ, καὶ χρώματα οἰνωπὰ ὅσα περ προσδέχοιτο, καὶ ὕφαιμα. 23 ἔστιν ὅτε καὶ ὁ πόνος τοῦ σώματος, ἔκληξις ἐσχάτη καὶ ἀδυναμίη· 24 οὐδ' ἀνίστασθαι, ἄλλου ἐπαίροντος, ἔτι δυνατὸς ἦν. 25 μέσου δὲ ὀμφαλοῦ καὶ χόνδρου κατὰ τούτην τὴν καταγωγὴν ἁπτομένῳ τῇ χειρὶ τοιοῦτος παλμὸς ἦν, 353 οἷος οὔτε ἀπὸ δρόμου οὔτε ἀπὸ δείματος περὶ καρδίην γίνηται. 26 πίνοντι ὄνειον ἑφθὸν, ὡς ἐννέα ἀττικὰς κοτύλας, ὄνεον ἐπὶ δύο ἡμέρας χολώδης ἐγένετο σφοδρὴ ἡ κάθαρσις, 27 καὶ ἔληξαν αἱ ὀδύναι, καὶ σιτίων ἐπιθυμίη ἐγένετο. 28 μετὰ δὲ ταῦτα βοείου γάλακτος ὡς τέσσαρας κοτύλας ἀττικὰς ὠμοῦ ἔπινεν, κατὰ δύο κυάθους δι' ἡμέρης. 29 πρῶτον ὕδατος τὸ ἕκτον μίσγων, 5 καὶ μέλανος οἴνου καὶ αὐστηροῦ μικρόν. 30 ἐμονοσίτει δέ. 31 ἑσπέρην ἄρτος ὡς ἡμιχοινίκης ἐγκρυφίης, καὶ ἰχθύδιον πετραῖον ἁπλοῦν, ἢ κρεάδιον αἰγὸς ἢ προβάτου. 32 ἡ δὲ πόσις τοῦ γάλακτος ἐπὶ τεσσαράκοντα ἡμέρας, ἄνευ ὕδατος μετὰ τὰς πρώτας δέκα ἡμέρας, οἴνου δὲ ὡς μικρὸν μέλανος μέρος. 33 ἱδρώτιον δὲ ἐγένετο μετὰ τὰς ἑβδομήκοντα ἤδη ἀπὸ τῆς πρώτης μετὰ λουτρὸν ἐς νύκτα. 34 ὀλιγοποσίῃ δὲ ἐχρῆτο, καὶ μετὰ τὸ σιτίον, ἢ τῷ ποτῷ αὐστηροτέρῳ τοῦ ἀλωσίμου.

10 IV. Κτησικράτει δὲ γάλα τὸ ἐν τῷ ἀλεύρῳ μᾶλλον τοῦ αἰγείου ὀῤῥοῦ ξυνήνεγκεν, 2 ὀδύνης ἐούσης περὶ ὅλην τὴν κοιλίην καὶ πόνων, 3 καὶ ἀναστάσιος πολλῆς καὶ ὑφαίμου, 4 καὶ ἐπάρματος περὶ τοὺς πόδας. 5 σχεδὸν ἤδη περὶ πέντε καὶ εἴκοσιν ἡμέρας, ἐόντι καὶ Ἀδριανῷ ταῦτα. 6 τῷ δὲ Καινέως τὸ ὄνειον ἑφθόν.

V. Τῷ

ta, & diſcreta, tenuis, & colores vinoſi, quæcunque tandem ingeſſiſſet, & quandoque ſubcruenti: 23 & corporis dolor, colliquatio extrema, & impotentia: 24 & ne alio quidem ſublevante, ſurgere amplius poterat. 25 In medio vero umbilici ac oſſis pectoris, circa 'hanc ſedem 75 adhibita manu, talis palpitatio erat, qualis neque à curſu, neque à timore circa cor generari poſſit. 26 Bibenti lac aſininum coctum, novem heminarum Atticarum menſura ad duos dies, bilioſa purgatio vehemens oborta eſt, 27 & ceſſaverunt dolores, & ciborum appetentia acceſſit. 28 Poſtea vero bubuli lactis crudi quatuor heminas Atticas bibit, pro vice una cyathos duos, in 80 diem, 29 'primum ſextam aquæ partem ammiſcens, & vini nigri auſteri parum. 30 Semel autem in die cibum capiebat ad veſperam. 31 Panis erat ad menſuram dimidiæ chœnicis ſubcineritius, & piſciculus petroſus ſimplex, aut caruncula capræ aut oviculæ. 32 Potus lactis poſt primos decem dies, ad quadraginta uſque ſine aqua, cum vini nigri modica parte. 33 Poſt ſeptuageſimum jam à primo diem, à balneo 'ad no- 85 ctem, ſudor exiguus obortus eſt. 34 Utebatur autem modico potu, & poſt cibum potu auſteriore.

IV. Cteſierati lac in farina magis quam ſerum caprinum contulit, 2 quum dolor eſſet circa totum ventrem, & dolores 3 cum multa ad egerendum ſurrectione, ac ſubcruenta egeſtione, 4 & tumor circa pedes, 5 fere jam ad dies vigintiquinque eſſet. Et Adriano eadem contulerunt: 6 Verum Cæneæ filio 'lac aſini- 90 num coctum.

V. Cy-

v. Τῷ Κύδιος περὶ χειμερινὰς ἡλίου τροπὰς ῥῖγος καὶ πυρετὸς, καὶ ὠτὸς δεξιοῦ ἄλγημα, καὶ κεφαλῆς ὀδύνη. [2] τὸ δὲ τοιοῦτον ἄλγημα εὐθὺς ἐκ μικροῦ παιδίου περιηκολούθει ῥευματῶδες καὶ συριγγῶδες καὶ δύσοδμον. [3] ἔχων δὲ οὕτω τὰ πολλὰ ἀνώδυνος ἦν. [4] τότε δὲ ἡ ὀδύνη ἦν ὀξείη, καὶ ἡ κεφαλαλγίη. [5] δευτεραίῳ δὲ ἢ τριταίῳ τοῦτο χολῆς ἔμετος, [καὶ] ἀποκαθιζομένῳ ἐξήϊε ὑπόχολον γλίσχρον, ὡς ἐξ ᾠοῦ ὑπωχρόν. [6] τετάρτῃ καὶ πέμπτῃ ἐς νύκτα ὑποπαρελήρει, καὶ ἡ ὀδύνη τῆς κεφαλῆς καὶ τοῦ ὠτὸς ὀξείη, καὶ ὁ πυρετός. [7] ἐκ τῆς ὑποχώρησις ἀπὸ λινοζώστιος, καὶ ἡ θέρμη λῆξαι ἐδόκει καὶ ἡ ὀδύνη. [8] τῇ ἑβδόμῃ ὡς ὑγιής· προσέφερε δὲ ὁ σφυγμὸς οὐκ ἔλειπεν, ἱδρῶτος οὐδὲν ἐξῄει. [9] ὀγδόῃ χυλὸν ἐρύφησεν· ἐς δὲ τὴν ἑσπέρην, σεῦτλα. [10] καὶ τὴν νύκτα ὕπνος, καὶ σφόδρα ἀνώδυνος. [11] καὶ τὴν ἐνάτην ἤσθιε πρὸς ἡλίου δυσμάς· ἐς δὲ νύκτα τῆς κεφαλῆς ὀξείη ὀδύνη καὶ τοῦ ὠτός. [12] ξυνέβαινε δὲ καὶ πυοῤῥοεῖν τὸ οὖς περὶ τοῦτον τὸν καιρὸν, ὁπότε μάλιστα πονοίη εὐθὺς ἀπ' ἀρχῆς. [13] ὅλην δὲ τὴν νύκτα τὴν ἐνάτην καὶ τὴν ἐπιοῦσαν ἡμέρην καὶ τῆς νυκτὸς τὸ πλεῖστον οὐκ ἐπεγίνωσκεν οὐδένα, γένων δὲ διετέλει. [14] ἡμέρην δὲ ἐντὸς ἑωυτοῦ ἐξῄει, καὶ αἱ ὀδύναι ἔληξαν, καὶ τὰ τῆς θέρμης μετριώτερα. [15] ῥυφήσαντι δὲ λινόζωστιν τῇ ἑνδεκάτῃ ὑποχώρησις φλεγματώδεα, μυξώδεα, κάκοδμα. [16] δυοκαιδεκάτῃ καὶ τρισκαιδεκάτῃ μετρίως. [17] τεσσαρεσκαιδεκάτῃ ἀρξάμενος ἀφ' ἑωθινοῦ μέχρις ἐς μέσον ἡμέρης ἵδρου ὅλον τὸ σῶμα. [18] μετὰ ὕπνου καὶ κώματος πολλοῦ, ἐγείρειν

ἔργον

v. Cydis filio circa solstitium hybernum rigor & febris, & auris dextræ dolor, & capitis dolor. [2] Talis autem auris dolor statim à paruo puero ipsum comitabatur, fluidus, fistulosus, & grauis odoris. [3] Quum autem ita se haberet, plerunque doloris exors erat. [4] Tunc autem dolor erat vehemens, & capitis dolor: [5] secunda aut tertia die bilis vomitus: desidenti exonerandi ventris gratia, prodiit excrementum subbiliosum viscosum, velut ex ouo subpallidum. [6] Quarta & quinta ad noctem aliquantum delirabat: & dolor capitis ac auris vehemens, & febris. [7] Sexta alui egestio à mercuriali, & calor, & dolor cessasse videbatur. [8] Septima, velut sanus. In temporibus autem dolor non defecit: sudor nullus obortus est. [9] Octaua, succum sorbuit, ad vesperam autem betæ succum, [10] & in noctem somnus: & valde doloris exors, [11] & nona lætabatur ad solis occasum. Verum ad noctem capitis & auris vehemens dolor. [12] Contigit quoque aurem pure manare circa hoc tempus, quum maxime doleret statim à principio. [13] Totam vero noctem nonam, & sequentem diem, & noctis magnam partem, neminem noscebat. Verum suspirans perseuerabat, [14] in die vero intra seipsum erat: & dolores cessabant, & calor moderatior erat. [15] Quum autem sorbuisset mercurialem, undecima egessit per aluum pituitosa, mucosa, maleolentia: [16] duodecima & decimatertia moderate habebat. [17] Decimaquarta initio mane facto, usque ad meridiem per totum corpus sudabat, [18] cum somno & sopore multo, ut operosum

ἔργον ἦν· 19 πρὸς ἑσπέρην δὲ διηγέρθη, καὶ τὸ μὲν σῶμα μετρίως κατεψύχθη, ἐν κροτάφοισι δὲ σφυγμὸς διέμενε. 20 πεντεκαιδεκάτῃ καὶ ἑκκαιδεκάτῃ χυλοῖσιν ἐχρήσατο. 21 ἐν δὲ τῇ ἑπτακαιδεκάτῃ ἧκε πάλιν ἐς νύκτα ὀδύνη τῶν αὐτῶν, καὶ παράληρησις, καὶ ἐπυόρῥοει. 22 ὀκτωκαιδεκάτῃ καὶ ἐννεακαιδεκάτῃ καὶ εἰκοστῇ μανιώδης ἦν, κεκραγὼς ἐπαίρειν ἑωυτὸν πειρώμενος, οὐ δυνάμενος δὲ κρατεῖν τῆς κεφαλῆς, τῇσι χερσὶν ἐπορεγόμενος, καὶ αἰεί τι διὰ κενῆς θηρεύων. 23 πρώτῃ καὶ εἰκοστῇ καὶ ἱδρώτιον περὶ πλευρὸν δεξιὸν καὶ στῆθος καὶ κεφαλήν. 24 εἰκοστῇ δευτέρῃ ἱδρώτιον περὶ τὸ πρόσωπον πλεῖστον ἦν. 25 τῇ δὲ φωνῇ κατὰ τὸν χρόνον τοῦτον, εἰ μὲν σφόδρα ἀποβιάσαιτο, εἶπεν, ἃ ἐβούλετο, τελέως· εἰ δὲ ἀπροχείρως, ἡμιτελέα. 26 καὶ τὸ στόμα λελυμένον, καὶ αἱ γνάθοι καὶ [τὰ] χείλεα αἰεὶ ἐν κινήσει, ὡς ἐθέλοντος λέγειν. 27 καὶ τῶν ὀφθαλμῶν πυκνὴ κίνησις, καὶ ἔμβλεψις. 28 καὶ χρῶμα ἐπ᾽ ὀφθαλμῷ δεξιῷ, (οἷον εἴρηται), ὕπαιμον. 29 καὶ βλέφαρον τὸ ἐπάνω ἐπῴδησε. 30 καὶ κατὰ γνάθον ἐρυθρὸς ἐπὶ τελευτῆς. 31 καὶ φλέβες πᾶσαι, αἱ ἐν τῷ προσώπῳ φανεραὶ, ἔτι τε ξυνεσταλμέναι. 32 καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐκ ἔτι ξυμμύων ἦν, ἀλλ᾽ ἀτενὲς ἐνεώρα, καὶ διαίρων τὰ βλέφαρα ἐς τὸ ἄνω μέρος, ὡς ἐπὴν τι ἐμπέσῃ ἐς τὸ ὄμμα. 33 καὶ ὁπότε πίοι, κατιόντος ἐς τὰ στήθεα καὶ τὴν κοιλίην ψόφος, οἷος καὶ Χαρτάδῃ. 34 πνεῦμα δὲ ἐπιεικῶς διὰ παντὸς μέτριον. 35 γλῶσσα, οἵη ἐστὶ τοῖσι περιπλευμονικοῖσιν, ὠχρόλευκος. 36 ἀπ᾽ ἀρχῆς καὶ διὰ παντὸς κεφαλαλγίη. 37 τράχηλος διὰ παντὸς ἀκίνητος ξυμμεταξεια-

γεν

rosum esset ipsum excitare: 19 ad vesperam experrectus est, & corpus quidem moderate perfrigeratum est, in temporibus autem pulsus perseverabat: 20 decimaquinta & decimasexta succis usus est. 21 Decimaseptima venit rursus dolor eorundem ad noctem, & delirium: & pus fluebat. 22 Decimaoctava & decimanona ac vigesima, insani modo degebat. Vociferabatur autem attollere seipsum nitens, sed capiti dominari non potens, manibus protentis semper aliquid frustra venabatur. 23 Prima & vigesima sudor exiguus circa latus dexterum, & pectus, & caput. 24 Vigesimasecunda sudor circa faciem plurimus erat. 25 Voce autem hoc tempore, si quidem valde conaretur, quæ volebat perfecte loquebatur: si vero ex tempore citra conatum, semiperfecta: 26 & os exolutum; & maxillæ & labia semper in motu, velut qui loqui vellet: 27 & oculorum frequens motus ac intuitus; 28 & color in dextro oculo (velut dictum est) subcruentus: 29 & palpebra superna intumuit: 30 & juxta maxillam rubor in fine: 31 & venæ omnes in facie manifestæ, adeoque contractæ: 32 & oculis non amplius nictabat, sed intente intuebatur, & palpebras diducebat ad supernam partem, velut fieri solet ubi quid in oculum incidit: 33 & quum biberet, descendentis potus in pectora & ventrem strepitus audiebatur, qualis & Chartadi. 34 Spiritus leniter semper moderatus: 35 lingua qualis est peripneumonicis cum pallore albicans: 36 ab initio & semper capitis dolor. 37 Collum semper immobile, ut una cum capite

cir-

γὴν τῇ κεφαλῇ ἐδίδοτο. 38 καὶ τὸ κατὰ ῥάχιν ἐκ τραχήλου ἰθὺ καὶ ἄκαμπτον. 39 καὶ κλίσιες, ὁποῖαι εἴρηνται, καὶ οὐκ αἰεὶ ὕπτιος. 40 τὸ δὲ πῦον ἤδη ὀῤῥῶδες, λευκὸν, πολὺ, ἔργον ὑποσπογγίσαι, ὀδμὴ ὑπερβεβλημένη. 41 κατὰ τὸν τελευταῖον χρόνον ποδῶν ἅψιος οὐ πάνυ κατεαισθανόμενος.

circumageretur opus habebat: 38 & pars secundum spinam ex collo recta ac inflexibilis: 39 decubitus quales dicti sunt, & non semper supinus decumbebat. 40 Ar pus jam serosum album, multum negocii ad detergendum cum spongiis exhibebat: odor ejus valde excellens: 41 circa postremum tempus pedum contactum non valde percipiebat. 130

VI. Τῇ Ἁρπαλίδεω ἀδελφῇ, περὶ τέταρτον μῆνα ἢ πέμπτον κυούσῃ, 2 οἰδήματα περὶ τοὺς πόδας ὑδατώδεα ἐγένετο, 3 καὶ τὰ κύκλα τῶν ὀφθαλμῶν ἐπῴδεε, 4 καὶ ἅπαν τὸ χρῶμα μετέωρον, οἷον τῇσι φλεγματίῃσι, 5 βὴξ ξηρή. 6 ὀρθοπνοίη δὲ καὶ ἆσθμα τοιοῦτον καὶ πνιγμοὶ ἔσαν, ὅτε ὑπὸ τοῦ πνεύματος, ὥστε καθημένη διετέλει κατὰ κλίνην, κατακεῖσθαι δὲ οὐχ οἵη τε ἦν. 7 ἀλλ' εἴ τις καὶ ὕπνου δόξα γένοιτο, καθημένη ἦν. 8 ἄπυρος δὲ ἐπιεικῶς, καὶ τὸ κύημα ἐπὶ πλεῖστον χρόνον ἀκίνητον ἦν, ὡς διεφθαρμένον, καὶ μετέπιπτε. 9 παρηκολούθησε δὲ τὸ ἆσθμα σχεδὸν δύο μῆνας. 10 κυάμοισι δὲ κεχρημένη μελικρήτοισι, καὶ μετὰ μέλιτος ἐλλείχειν, καὶ τοῦ αἰθιοπικοῦ κυμίνου πιοῦσα ἐν οἴνῳ, ἐῤῥήϊσε. 11 μετὰ ταῦτα δὲ ἀνῆγε βήσσουσα πολλὰ, πέπονα, φλεγματώδεα, λευκά· καὶ τὸ πνεῦμα ἔληξεν. 12 ἔτεκε δὲ γόνυ θῆλυ.

VI. Harpalidæ sorori prægnanti circa quartum aut quintum mensem, 2 tumores circa pedes aquosi fiebant: 3 & oculorum cavæ partes intumescebant: 4 & totum corpus in tumorem elevatum erat, velut in pituita albo affectis: 5 tussis sicca: 6 rectæ cervicis spirario, & ejusmodi anhelatio: & quandoque strangulationes à spiritu, 135 ut sedens in lecto perseveraret: decumbere autem non poterat, 7 sed etiam si qua somni expectatio esset, desidebat. 8 Sine febre erat leniter: & fœtus ad plurimum tempus immobilis erat, veluti corruptus, & translabebatur. 9 Comitabatur autem anhelatio fere ad duos menses. 10 At quum fabis melle ammixto, & eclegmate mellis usa esset, & Æthiopicum cuminum in vino 140 bibisset, melius habuit. 11 Postea tussiendo eduxit multa, matura, pituitosa, alba, & spiratio illa cessavit: 12 peperit autem fœmellam.

VII. Τῇ Πολυκράτεος, θέρεος περὶ τὸ ἄστρον, πυρετός. 2 πνεῦμα, τὸ ἑωθινὸν ἧσσον, ἀπὸ μέσου ἡμέρης μᾶλλον, καὶ πυκνότερον μικρῷ. 3 βὴξ καὶ ἀπόχρεμψις αὐτίκα ἀπ' ἀρχῆς ὁμοίη πυώδεσιν, ἔσω [δὲ] περὶ ἀρτηρίην καὶ φάρυγγα ὑποσυρίζει κεγχρῶδες. 4 πρόσωπον εὔχροον, ἐπὶ

VII. Polycratis uxori æstate circa caniculæ sydus febris. 2 Spiritus matutinus minor, à meridie magis, & paulo densior spiritus. 3 Tussis & exscreatio statim ab initio, similis purulentis. Intus circa arteriam & fauces subsibilabat stridula aspiritate: 4 facies boni coloris: 145 in

ἐπὶ γνάθοισιν ἐρύθημα οὐ κατακορὲς, ἀλλ' ἐπιεικῶς ἀνθηρόν. [5] προϊόντος δὲ τοῦ χρόνου, καὶ ἡ φωνὴ βραγχώδης, καὶ τοῦ σώματος ξύντηξις, καὶ περὶ ὀσφὺν ἐκβλήματα, καὶ ἡ κοιλίη κατὰ τὸν τελευταῖον χρόνον ὑγροτέρη. [6] ἑβδομηκοστῇ ὁ πυρετὸς ἔξωθεν σφόδρα ἔψυχεν, ἐν δὲ τοῖσι κροτάφοισιν ἡσυχίη, τὸ δὲ πνεῦμα πυκνότερον ἐγίνετο. [7] μετὰ δὲ τὴν παῦσιν ταύτην τὸ πνεῦμα πυκνότερον οὕτως, ὥστε καθημένη διετέλεσεν, ὥστε ἀπέθανεν. [8] ἐν δὲ τῇ ἀρτηρίῃ ψόφος πολὺς ἐνῆν, [9] καὶ ἱδρῶτες πονηροὶ, [10] καὶ ἐμβλέψιες ἐμφρονώδεες σφόδρα, μέχρι τοῦ ἐσχάτου χρόνου. [11] ἡμέραι δ' ἐπεγένοντο αὐτῇ καταψυχομένῃ πλείους ἢ πέντε. [12] μετὰ δὲ τὰς πρώτας διετέλει πυῶδες ἀποχρεμπτομένη.

[13] Τῇ ἄνω τῶν πυλέων οἰκεούσῃ, ἤδη οὔσῃ πρεσβυτέρῃ, πυρέτιον ἐγένετο· [14] καὶ, ἤδη ἀπολήγοντος τούτου, τραχήλου ἄλγημα μέχρις ἐς ῥάχιν καὶ ὀσφὺν, καὶ οὐ πάνυ ἐγκρατὴς τούτων. [15] γνάθοι δὲ ξυνηγμέναι, καὶ ἐς αὐτοὺς ὀδόντες πλέον ἢ μήλην παρεῖναι. [16] ἥ τε φωνὴ ψελλὴ, διὰ τὸ παραλελυμένον καὶ ἀκίνητον καὶ ἀσθενὲς εἶναι τὸ σῶμα. [17] ἔμφρων δὲ. χλιάσμασι καὶ μελικρήτῳ χλιερῷ ἐχάλασε τρίτῃ σχεδόν. [18] καὶ μετὰ ταῦτα χυλοῖσι καὶ ζωμοῖσιν ὑγιὴς ἐγένετο. [19] ξυνέβη δὲ τελευτῶντος τοῦ μετοπωρινοῦ καιροῦ.

VIII. Ὁ παρὰ Ἁρπαλίδι ἀλείπτης, [2] ἀκρατέστερος σκελέων καὶ χειρῶν περὶ φθινόπωρον γενόμενος, ἔπιεν εἰκῆ φάρμακον ἄνω καὶ κάτω. [4] ἐκ δὲ τῆς καθάρσιος πυρετὸς, [5] καὶ ἐς τὴν ἀρτηρίην κατερρύη τὸ τοιοῦτον, οἷον ἐπισχεῖν διαλεγόμενον, καὶ ἀσθμαίνειν ἐν τῷ διαλέγεσθαι ὁμοίως κυνάγ-

in maxillis rubor, non abunde coloratus, sed leniter floridus. [5] Progressu vero temporis & vox raucosa, & corporis colliquatio: & circa lumbos eruptiones: & alvus circa postremum tempus liquidior. [6] Septuagesima die febris extrinsecus valde friguit; in temporibus autem quies. Spiritus vero frequentior fiebat. [7] Verum post hanc quietem spiritus densior, adeo ut sedens perseveraret, donec mortua est. [8] In arteria strepitus multus inerat: [9] & sudores pravi; [10] & intuitus valde modesti, usque ad extremum tempus. [11] Dies accesserunt ipsi perfrigeratæ plures quam quinque; [12] Post primos autem purulentum exscreare perseverabat.

[13] Mulieri supra portas habitanti jam seniori febricula oborta est; [14] quæ quum jam desineret, colli dolor usque ad spinam & lumbos; & harum partium non valde potens erat. [15] Maxillæ erant compactæ, & dentes in seipsos, plus quam ut specillum admitterent; [16] & vox balbutiens, eo quod resolutum, & immobile ac debile esset corpus. [17] Prudens tamen erat. Calefactoriis & aqua mulsa tepida, tertia fere die hæc laxavit; [18] & postea succis & jusculis sana evasit; [19] id quod ad finem autumnalis temporis contigit.

VIII. Apud Harpalidem unctor, [2] crurum ac manuum impotentior circa autumnum factus, [3] bibit temere medicamentum sursum ac deorsum purgans: [4] ex purgatione febris; [5] & ad arteriam defluebat fluor, qui loquentem impediret, & faceret ut inter loquendum anhelaret, similiter ut anginosus rau-

κυναγχικῶν βραγχώδης. ⁶ πνιγμὸς καταπίνοντι, καὶ ἄλλα κυναγχικά· οἴδημα δὲ οὐκ ἦν. ⁷ ὁ δὲ πυρετὸς ἐπέτεινε, καὶ ἡ βὴξ, καὶ ἀπόχρεμψις ὑγροῦ καὶ πολλοῦ φλέγματος. ⁸ προϊόντος δὲ, καὶ ὀδύνη κατὰ στῆθος καὶ μαζὸν ἀριστερόν. ⁹ ὁπότε δὲ ἐξαναστείη ἢ μετακινηθείη, ἆσθμα πολὺ, καὶ ἱδρὼς ἀπὸ μετώπου καὶ κεφαλῆς. ¹⁰ καὶ τὰ περὶ τὴν φάρυγγα κατεῖχε, μαλακώτερον δὲ, ἐς τὸ στῆθος τῆς ὀδύνης ἀπελθούσης. ¹¹ ἀπ' ἀρχῆς μὲν οὖν κυάμοισι μελιχροῖσιν ἐχρῆτο. ¹² ἐπεὶ δὲ οἱ πυρετοὶ ἐπεῖχον, μᾶλλον ὀξυμέλιτι θερμῷ, καὶ μέλιτος ἐκλεικτῷ πολλῷ. ¹³ παρελθουσέων τεσσάρων καὶ δέκα ἡμερέων ἅπαντα ἔληξε, ¹⁴ καὶ τῶν περὶ χεῖρας καὶ σκέλεα οὐ πολὺ ὕστερον ἐγκρατὴς ἐγένετο.

IX. Χαρτάδῃ πυρετὸς καῦσος· ² ἔμετος χολῆς πολὺς, καὶ κάτω ὑποχώρησις. ³ ἄγρυπνος, καὶ κατὰ σπλῆνα ἔπαρμα στρογγύλον. ⁴ τῇ τρίτῃ πρωῒ ἐξανέστη, ψόφου περὶ τὴν κοιλίην ἄνευ ὀδύνης γενομένου. ⁵ ὡς ἀφοδεύων δὲ ἦν, ὑπῆλθεν αἵματος πλέον ἢ χοῦς προσφάτου, καὶ μικρὸν ἐπισχόντι, καὶ τρίτον, πεπηγότες θρόμβοι. ⁶ ἄση δὲ περὶ τὴν καρδίαν, καὶ ἱδρώπιον χλιδὸν καθ' ὅλον τὸ σῶμα, καὶ τὸ πυρέτιον καταψύχειν ἐδόκει. ⁷ καὶ ἔμφρων τὸ πρῶτον· προϊούσης δὲ τῆς ἡμέρης ἥ τε ἄση πλείων καὶ ἀλυσμὸς, καὶ πνεῦμα σμικρῷ πυκνότερον· ⁸ καὶ θρασύτερον καὶ φιλοφρονώτερον τοῦ καιροῦ προσηγόρευε καὶ ἐδεξιοῦτο, ⁹ καί τινες λειποψυχίαι ἐδόκεον ἐπιγίνεσθαι. ¹⁰ προσφερόντων δέ τινων χυλὸς καὶ τὸ ἀπὸ κριμνῶν ὕδωρ, οὐκ ἔληγεν, ἀλλὰ τὸ πνεῦμα πρὸς τὴν ἑσπέρην ὑπέρπολυ ἦν. ¹¹ ὁ ῥιπτασμὸς

raucosus. ⁶ Strangulatio deglutienti, & alia quæ in angina. Verum tumor non erat. ⁷ Febris autem & tussis augescebat, & exscreatio liquidæ ac multæ pituitæ. ⁸ Progressu temporis & dolor circa pectus ac mammam sinistram. ⁹ Quum autem exurgeret, aut commoveretur, anhelatio multa, & sudor à fronte & capite: ¹⁰ & faucium affectio mollior erat, dolore ad pectus descendente. ¹¹ Ab initio igitur fabis melle ammixto utebatur: ¹² Postquam autem febres detinebant, magis aceto mulso calido, & mellis delinctu multo. ¹³ Ubi præteriissent dies quatuordecim, omnia desiverunt: ¹⁴ & manuum ac crurum non longe postea potens factus est.

IX. Chartadi febris ardens, ² vomitus bilis multus, & infra alvi egestio, ³ vigiliæ, & juxta splenem tumor rotundus. ⁴ Tertia die mane surrexit, strepitu circa ventrem citra dolorem percepto. ⁵ Ubi vero alvum exoneraret, sanguinis recentis plus quam congii mensura subiit: & ubi iterum atque iterum cohibuisset, grumi concreti: ⁶ anxietas circa cor & os ventriculi, & sudor per totum fere corpus, & febricula frigescere videbatur: ⁷ & primum prudens erat, progrediente vero die, & inquietudo major, & anxietas, & spiritus paulo densior: ⁸ & confidentius ac benignius quam pro tempore homines compellabat, ac excipiebat: ⁹ & quædam animi deliquia accedere videbantur. ¹⁰ Quum autem exhiberent aliqui succos, & aquam de farina crassa in ipsa macerata, non cessavit: sed spiritus ad vesperam valde multus erat, ¹¹ & jactatio mul-

σμὸς πουλὺς, καὶ ἐπὶ τὰ δεξιὰ καὶ ἐπὶ τὰ ἀριστερὰ μεταρρίπτων ἑωυτὸν οὐδένα χρόνον ἀτρεμίζειν δυνατὸς ἦν. 12 πόδες ψυχροὶ, ἐν κροτάφοισι δὲ κεφαλῇ θέρμη μᾶλλον, 13 ὑπογύου τῆς τελευτῆς καὶ ἱδρῶτες πολλοὶ, 14 καὶ πίνοντι τοῦ ψόφου περί τε στῆθος καὶ κοιλίην κατιόντος τοῦ πόματος· οἷον δὲ κάκιστον. 15 Φάμενος δὲ θέλειν τι ἑωυτῷ ὑπελθεῖν, καὶ ἀτενίσας τοῖς ὄμμασιν, οὐ πουλὺ ἐπισχὼν, ἐτελεύτησεν.

x. Τῇ Ἑρμοπτολέμου χειμῶνος ὥρῃ πυρετὸς, καὶ κεφαλῆς ἀλγήματα· 2 καὶ, ὁπότε πίοι, ὡς χαλεπῶς καταπίνουσα, ἐξανέστη, καὶ τὴν καρδίην ὑγιέα ἔφη. 3 γλῶσσα πελιδνὴ ἀπ' ἀρχῆς· 4 ἡ δὲ πρόφασις ἐδόκει ἐκ φρίκης μετὰ λουτρὸν γενέσθαι. 5 ἄγρυπνος καὶ νύκτα καὶ ἡμέρην. 6 μετὰ τὰς πρώτας ἡμέρας ἐρωτωμένη, οὐκ ἔτι μόνην κεφαλὴν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα πονέειν ἔφη. 7 δίψα, ὁτὲ μὲν κατακορὴς, ὁτὲ δὲ μετρίη. 8 πέμπτη καὶ ἕκτη καὶ μέχρι τῆς ἐνάτης σχεδὸν παραλήρησις, καὶ αὖθις πρὸς ἑωυτὴν ἐλάλει μετὰ κώματος ἡμιτελέα. 9 καὶ τῇ χειρὶ ἔστιν ὅτε ἐπορέγετο πρὸς τὸ κονίαμα, καὶ προσκεφάλαιόν τι ψυχρὸν, ἐνεὸν τῇ κεφαλῇ, καὶ τοῖσι στήθεσι προσεῖχε, 10 καὶ τὸ ἱμάτιον ἔστιν ὅτε ἀπερρίπτει, 11 καὶ ἐπ' ὀφθαλμοῦ τοῦ δεξιοῦ τὸ ὕφαιμον ἦν, καὶ ἐδάκρυεν. 12 ἦν δὲ [τὸ] οὖρον, ὃ τοῖσι παισὶ πονηρόν ἐστιν αἰεί. 13 ὑπεχώρει δὲ ἀπ' ἀρχῆς μὲν ὑπόπυρρα, ὕστερον δὲ ὑδατώδεα σφόδρα, καὶ τοιαῦτα χροιά. 14 ἑνδεκάτη ἐδόκει μετριωτέρη θέρμη εἶναι, καὶ ἄδιψος. 15 ἔστιν ὅτε ἐγένετο οὕτως, ὡς, εἰ μή τις διδοίη, οὐκ ᾔτει. 16 ὕπνοι μετὰ τὸν πρῶτον χρόνον ἐγένοντο ἐπιεί-

ta: & ad dextera, & ad sinistra transmovens seipsum nullo tempore quiescere poterat, 12 pedes frigidi. In temporibus & capite calor magis 13 propinqua jam morte: & sudores multi. 14 Et bibenti strepitus audiebatur, circa pectus & ventrem descendentis potus. 15 Quod vero pessimum erat, ubi dixisset sibi aliquid infra subire velle, & oculis intente intuitus esset, non diu se cohibens mortuus est.

x. Hermoptolemi uxori hyemis tempore febris: & capitis dolores: 2 & quum bibisset, ut quæ difficulter deglutiret, surrexit, & cor se sanasse dixit: 3 lingua livida ab initio. 4 Occasio videbatur ex horrore post balneum facta esse. 5 Vigilabat & nocte & die. 6 Post primos dies interrogata, non adhuc solum caput, sed & totum corpus se dolere dixit. 7 Sitis quandoque vehemens, quandoque moderata. 8 Quinta & sexta & usque ad nonam ferme delirium: & rursus ad seipsam loquebatur semiperfecta cum sopore: 9 & aliquando manum ad dealbatum parietem protendebat, & pulvinum quendam frigidum ad caput situm, etiam pectoribus adhibebat: 10 & stragula quandoque rejiciebat: 11 & in oculo dextro subcruentum quid erat: & lachrymabatur. 12 Urina autem erat quæ in pueris semper pessima est. 13 Ex alvo egerebat ab initio quidem subfulva: postea vero aquosa valde, & hujuscemodi coloris. 14 Undecima moderatius calida esse videbatur: 15 & quandoque sitis exors fiebat, adeo ut nisi quis dedisset, non peteret. 16 Somni post primum tempus contingebant moderate inter-

ἐπιεικῶς ἡμέρης, ἐς δὲ νύκτα ἄϋπνος· καὶ ἐπόνει μᾶλλον ἐς νύκτα.
10 17 ἐνάτῃ ἡ γαστὴρ ἐξεταράχθη, ὑδατώδεα διαχωρήσασα. 18 ὡσαύτως δὲ καὶ ἑνδεκάτῃ. 19 τοὺς δὲ ἐπιόντας ἐπιεικῶς πολλὴ ἡ διανάστασις, καὶ τοιαύτη. 20 ἦσαν δὲ ἐν τῇσι πρόσθεν ἡμέρῃσιν ἀκρηχολίαι, καὶ κλαυθμοὶ οἷον παιδαρίῳ, καὶ βοὴ, καὶ δείματα, καὶ περιβλέψιες, ὁπότε δὴ ἐκ τοῦ κώματος ἐγείροιτο. 21 τῇ δὲ τεσσαρεσκαιδεκάτῃ ἔργον κατέχειν ἦν ἀναπηδῶντα καὶ βοῶντα ἐξαίφνης καὶ συντόνως, ὥσπερ αὖ ἐκ πληγῆς καὶ ὀξείης ὀδύνης καὶ φόβου· ὡς καταλαβών τις
15 αὐτὸν κατέχοι χρόνον ὀλίγον. 22 εἶτα πάλιν ἡσυχίην τε εἶχε, καὶ κοιμηθεὶς, ὕπνωσε διετέλει, οὐχ ὁρῶντι ὅλως· ἔστι δ' ὅτε οὐδὲ ἀκούοντι. 23 μετέβαλλε δὲ ἐς ἀμφότερα θόρυβόν τε καὶ ἡσυχίην πυκνὰ, σχεδὸν ὅλην τὴν ἡμέρην ταύτην. 24 ἐς νύκτα δὲ τὴν ἐπιοῦσαν ὑπῆλθέ τι καὶ ὕφαιμον, οἷον μυξῶδες, καὶ πάλιν οἷον ἰλυῶδες, μετὰ δὲ τὰς κονιώδεα σφόδρα καὶ μέλανα. 25 τῇ δὲ πεντεκαιδεκάτῃ ἐξαίφνης ῥιπτασμοὶ, καὶ οἱ φόβοι, καὶ ἡ βοὴ ἐγίνετο ἥπιος. 26 παρηκολού-
20 θεε δὲ τὸ ἀγριοῦσθαι, καὶ τὸ θυμοῦσθαι, καὶ κλαίειν, εἰ μὴ οἱ ταχέως, ὅ, τι βούλοιτο, ὀρεχθείη. 27 καὶ ἐπεγίνωσκεν μὲν πάντας καὶ πάντα, ἤδη μετὰ πρώτας εὐθὺς ἡμέρας. 28 καὶ τὸ τῶν ὀφθαλμῶν κατέστη ἡ δὲ μανίη παρὰ καιρόν. 29 καὶ ἡ βοὴ καὶ ἡ μεταβολὴ ἡ εἰρημένη παρηκολούθει ἐς τὸ κῶμα. 30 ἤκουεν ἀνωμάλως, τὰ μὲν σφόδρα καὶ εἰ σμικρόν τις λέγοι, ἐπ' ἐνίων δὲ μεῖζον ἐδόκει [δεῖν] διαλέγεσθαι. 31 πόδες αἰεὶ ὁμαλῶς τῷ ἄλλῳ σώματι θερμοὶ, ἔς τε τὰς τελευταίας

interdiu: ad noctem vigil erat: & ad noctem magis dolebat. [17] Nona, venter exturbatus est aquosis excrementis. [18] Similiter etiam undecima. [19] Sequentibus vero moderate: multum ad egerendum surgebat, & talis egestio erat. [20] Erant autem in prioribus diebus indignationes & ejulationes, velut pueri, & vociferatio, & timores, & circumspectiones, ubi sopore excitata esset. [21] Verum decimaquarta operosum erat ipsam con- 205 tinere exilientem ac clamantem derepente & pertinaciter, velut ex plaga, & vehementi dolore ac timore, velut si quis ipsam apprehensam modico tempore detineret: [22] deinde rursus quietem habebat, & sopore pressa dormiens perseverabat omnino non videns, quandoque neque audiens: [23] & totam hanc diem ad utrunque modo ad tumultum, modo ad quietem trans- 210 mutabat. [24] Sequenti nocte per alvum subiit quid cruenti, velut mucosum: & rursus velut limosum; postea prasina valde ac nigra. [25] Decimaquinta repentinæ jactationes, & timores, & vociferatio lenis fiebat. [26] Sequebatur autem efferatio, & indignatio, & ejulatio, nisi ipsi cito quod vellet porrectum esset: [27] & cognoscebat quidem omnes & omnia statim jam post primos dies: [28] & oculi subcruentum illud sedatum est. Verum insa- 215 nia juxta temporis occasionem, [29] & vociferatio, & mutatio prædicta sequebatur ad soporem: [30] audiebat inæqualiter, aliqua valde, etsi submisse quis loqueretur: aliqua vero clarius eloqui oportebat. [31] Pedes semper æqualiter cum reliquo corpore ca-

 lidi,

λοιπαῖς ἡμέραις, τῇ δὲ ἑκκαιδεκάτῃ ἧσσον. 32 ἑπτακαιδεκάτῃ μετριώτερον τῶν ἄλλων ἡμερῶν ἔχουσα, ἐς νύκτα, ὡς φρίκης αὐτῇ γενομένης, ξυνάγουσα ἐπυρέτιζεν μᾶλλον. 33 καὶ ἡ δίψα πολλὴ ἦν, τὰ δ' ἄλλα ὅμοια παρηκολούθει. 34 τρόμοι δὲ περὶ τὰς χεῖρας ἐγένοντο, καὶ κεφαλὴν ὑπέσειεν, καὶ αἱ ἐμβλέψιες τῶν ὀφθαλμῶν πονηραί. 35 καὶ ἡ δίψα ἰσχυρή· πιοῦσα πάλιν ᾔτει, καὶ ἥρπαζε καὶ λάβρως ἔπιεν, ἀποσπᾶσαι δὲ οὐκ ἠδύναντο. 36 γλῶσσα ξηρή, ἐρυθρὴ σφόδρα, καὶ τὸ στόμα ὅλον καὶ χείλεα καθηλκωμένα καὶ ξηρά. 37 καὶ τὰς χεῖρας ἀμφοτέρας ἐπὶ τὸ στόμα φέρουσα ἐμασᾶτο, τρομώδης ἐοῦσα. 38 καὶ, εἴ τι προσενέγκαι τις μασσήσασθαι ἢ ῥυφῆσαι, λάβρως καὶ μανικῶς κατέπινε καὶ ἐρρύφανε. 39 καὶ τὰ περὶ τὴν ὄψιν πονηρά. 40 ἡμέρῃσι δὲ τρισὶν ἢ τέσσαρσι πρὸ τῆς τελευτῆς φρίκη τε αὐτῇ ἔστιν ὅτε ἐνέπιπτεν, ὥστε ξυνάγεσθαι τὸ σῶμα, καὶ ξυγκαλύπτεσθαι τε καὶ πνευστιᾶν· τετανοῖ τε τὰ σκέλεα, καὶ ψύξις ποδῶν. 41 ἡ δίψα δὲ ὁμοίη, καὶ τὰ περὶ διάνοιαν ὅμοια. 42 καὶ ἐξαναστάσιες ἢ διακενῆς, ἢ σμικρὰ καὶ λεπτὰ, μετά τινος βραχέος τόνου. 43 τῇ δὲ τελευταίῃ, τῇ τρίτῃ καὶ εἰκοστῇ, τὸ ὄμμα μέγα τὸ πρωῒ ἦν, καὶ ὑπόβλεψις βραχέη. 44 καὶ ἡσυχίην ἔχεν· ἔστιν ὅτε καὶ ἄνευ τοῦ ξυγκεκαλύφθαι τε καὶ κωμαίνειν. 45 πρὸς δὲ τὴν ἑσπέρην τοῦ δεξιοῦ ὀμματος κίνησις, οἷον ὁρεούσης ἢ τινος βουλομένης, ἐκ τοῦ ἔξω κανθοῦ πρὸς ῥῖνα. 46 ἐπεγίνωσκέ τε καὶ πρὸς τὸ ἐρωτώμενον ἀπεκρίνετο. 47 φωνὴ μετὰ πολλὰ ὑπότραυλος, καὶ ὑπὸ τῆς βοῆς ἀπερρωγυῖα καὶ βραγχώδης.

XI. Τοῦ

lidi, usque ad extremos dies. Verum decimasexta minus. 32 Decimaseptima moderatius quam aliis diebus habens: ad noctem horrore ipsi oborto, se contrahens magis febricitabat: 33 & sitis multa erat: reliqua similia sequebantur. 34 Tremores autem circa manus fiebant: & aliquantum concutiebat caput: & oculorum intuitus pravi: 35 & sitis vehemens, ubi bibisset rursus postulabat, & rapiebat ac large bibebat: neque avellere ipsi poterant: 36 lingua sicca, valde rubicunda: & os totum ac labia ulcerata erant ac sicca: 37 & ambas manus ad os admovens manducabat quum tremula esset: 38 & si quis aliquid ad manducandum aut sorbendum obtulisset, large ac furiose deglutiebat ac sorbebat: 39 & signa circa oculos mala. 40 Diebus autem tribus aut quatuor ante obitum, horrores quandoque incidebant ipsi, adeo ut contraheret corpus, & contegeretur, & anhelaret: crura distendebantur, & pedes frigidi erant. 41 Sitis similis: & mentis affectiones similes: 42 & surrectiones ad egerendum aut inanes, aut paucis & tenuibus prodeuntibus, cum modica quadam tensione. 43 Postrema tertia & vigesima, oculus magnus mane erat, & circumspectio brevis: 44 & quietem agebat, quandoque etiam absque contectione ac sopore. 45 Ad vesperam vero dextri oculi motus, qualis videntis, aut aliquid volentis, ab externo angulo, ad nasum, 46 cognoscebatque & interroganti respondebat. 47 Vox post multa subblæsa, & præ vociferatione fracta ac raucosa.

XI. Am-

40 XI. [1] Τῷ Ἀμφιφράδεος θέρεος πλευροῦ ἀριστεροῦ ὀδύνη καὶ βήξ. [2] καὶ ὑποχωρήματα πολλὰ, ὑδατώδεα, καὶ ὑπόχολα. [3] καὶ ὁ πυρετὸς ἐδόκει λῆξαι περὶ ἑβδόμην. [4] ἡ βὴξ ἐνῆν. [5] χρῶμα ὑπόλευκον καὶ ὕπωχρον. [6] περὶ δὲ τὰς δυοκαίδεκα ὑπόχλωρον ἔπτυεν. [7] τὸ πνεῦμα, προϊόντος τοῦ νοσήματος, αἰεὶ πυκνότερον, καὶ ἆσθμα, καὶ ὑποκερχαλέον περὶ στῆθος καὶ ἀρτηρίας. [8] ῥυφήμασιν ἐχρῆτο. [9] ἔμφρων ἅπαντα τὸν χρόνον. [10] περὶ δὲ ὀγδόην καὶ εἰκοστὴν ἐτελεύτησεν. [11] ἱδρῶτες ἔστιν ὅτε ἐγένοντο ἔξω.

45 [12] Κάπηλος, ὁ περιπνευμονικὸς· κοιλίη εὐθὺς ὑπῄει. [13] περὶ τετάρτην ἱδρὼς πολύς· ἐδόκει λῆξαι τὸ πυρέτιον, τὸ βηχίον οὐδὲν ὡς εἰπεῖν. [14] πέμπτη καὶ ἕκτη καὶ ἑβδόμη ἐπεῖχεν ὁ πυρετός. [15] ἱδρὼς ὀγδόῃ. [16] ἐνάτῃ ἀπεχρέμψατο ὠχρόν. [17] δεκάτῃ ἤει ἁλὲς οὐ πολλάκις. [18] περὶ ἑνδεκάτην ἠπιώτερος. [19] ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ὑγιής.

[20] Ἑρμοπτολέμῳ μετὰ πληϊάδος δύσιν πυρετὸς ἐπῆλθε. [21] βὴξ οὐ πάνυ. [22] γλῶσσα δὲ περιπνευμονική. [23] ἐνάτῃ ἐξίδρωσεν. [24] ὅλος κατεψύχθη, ὡς ἐδόκει. [25] προσήνεγκαν αὐτῷ χυλόν. [26] περὶ μέσον ἡμέρης ἐθερμαίνετο. [27] ἑνδεκάτῃ 356' ἱδρὼς, καὶ κοιλίη ἐρρήγνυτο κατὰ χολώδεα ὑποχωρήματα. [28] καὶ βηχίον ἐπεγένετο. [29] τεσσαρεσκαιδεκάτῃ ὠχρὸν ἀπεχρέμψατο, καὶ ῥεγχώδης ἦν. [30] καὶ τῇ πεντεκαιδεκάτῃ. [31] ἔμφρων δὲ πάντα τὸν χρόνον ἐὼν ἐτελεύτησεν.

XII. [1] Ἕτερός τις, ἐπὶ τῆς ὑπερώης ῥεγχώδης, γλῶσσα ξηρὴ περιπνευμονική, ἔμφρων ἐτελεύτησεν.

[2] Καὶ Ποσειδώνιος, ἔτι τοῦ θέρεος

XI. Amphiphradis filio æstate lateris sinistri dolor, & tussis: [2] & alvi egestiones multæ, aquosæ, & subbiliosæ: [3] & febris cessasse videbatur circa septimam. [4] Tussis aderat. [5] Color subalbidus ac subpallidus. [6] Circa duodecimam cum virore subpallidum spuebat. [7] Spiritus progressu ' morbi semper densior, 240 & anhelatio, & stridula asperitas circa pectus & arteriam. [8] Sorbitionibus utebatur: [9] prudens per omne tempus: [10] circa vigesimamoctavam mortuus est. [11] Sudores quandoque fiebant foras.

[12] Caupo peripneumonicus: alvus statim subibat. [13] Circa quartam sudor multus: febricula cessasse videbatur: tussicula nulla, ut ita dicam. [14] Quinta, sexta & septima detinebat ' fe- 245 bris, [15] sudor octiva. [16] Nona exscreavit pallidum: [17] decima subibat alvus acervatim non sæpe: [18] circa undecimam mitius habebat. [19] Decimaquarta, sanus.

[20] Hermoptolemo post pleiadis occasum febris accessit. [21] Tussis non valde: [22] lingua peripneumonica: [23] nona exudavit: [24] totus frigefactus est, velut videbatur: [25] obtulerunt ipsi succum: [26] circa meridiem calescebat: [27] undecima sudor: & alvus erupit ' biliosis egestioni- 250 bus. [28] Tussicula accessit: [29] decimaquarta pallidum exscreavit, & stertebat. [30] Decimaquinta [31] quum per totum tempus prudens mansisset, mortuus est.

XII. Alius quidam in palato stertens: lingua sicca, peripneumonica: prudens mortuus est.

[2] Et Posidonius adhuc æstate in-

ρε© ἐνισαμθέν κατὰ σῆθος καὶ ὑποχόνδρια καὶ πλευρὸν ἐπόνε
5 'χρόνον πολλὸν, ἄνευ πυρετῶν. ³ πολλοῖσι δὲ ἔτεσιν ἔμπροσθεν ἔμπυ© ἐγένετο. ⁴ τῷ δὲ χειμῶν© φρίξαντι ἐπέτεινεν ἡ ὀδύνη, καὶ τὸ πυρέτιον λεπτόν. ⁵ καὶ ἀπόχρεμψις πυώδης, ⁶ βὴξ καρχαλέη περὶ φάρυγγα καὶ ῥεγχώδης. ⁷ ἔμφρων ἐὼν ἐτελεύτησεν.

⁸ Ὁ δὲ Βάλεως ἐκ τοῦ ὄρε© πάντη ἡμαρτηκώς. ⁹ ἔκη γλῶσσα πονηρὴ, ὑπέρυθρ©, καὶ τὴν φωνὴν ἐν τῇ ῥέμβῃ. ¹⁰ ὀφθαλμοὶ κεχρωσμένοι, πλέοντες ὥσπερ τῶν νυσταζόντων. ¹¹ χρῶμα καὶ τοῦ ἄλ-
10 λου 'σώματ© οὐκ ἰκτερῶδες σφόδρα, ἀλλ' ὕπωχρον, πελιδνόν. ¹² φωνὴ πονηρὴ, ἀσαφής. ¹³ γλῶσσα περιπλευμονική. ¹⁴ οὐκ ἔμφρων. ¹⁵ πνεῦμα πρὸς χεῖρα πονηρὸν, οὐ πυκνὸν, οὐδὲ μέγα. ¹⁶ πόδες ψυχροὶ, λιθώδεες. ¹⁷ περὶ ἐνάτην ἐτελεύτησε.

XIII. Κυναγχική, ἡ παρὰ Μέτρωνι, χεῖρα δεξιὴν [τε καὶ] σκέλ© ἤλγησε. ² πυρέτιον ἐπεῖχε, βηχίον, πνῖγμα. ³ τρίτη ἐχάλασεν. ⁴ τετάρτη σπασμώδης, ἄφων©, ῥέγχ©, ὀδόντων ξυνέρεισις, γνάθων ἔρευθος. ⁵ αὕτη
15 πολὺ διαζήσασα τῇ πέμπτῃ 'ἢ ἕκτῃ ἐτελεύτησε. ⁶ σημεῖον, περὶ χεῖρα τὸ ὑποπέλιον.

⁷ Βίων ἐξ ὑδρωπικοῦ πολυχρονίου ἀπόσιτ© ἐγένετο πολλὰς ἡμέρας, καὶ στραγγουριώδης. ⁸ ἐπεγένετο δὲ ἀριστεροῦ ἀπόστημα ἐγένετο, ἐξεπύησεν, ἐτελεύτησεν.

⁹ Κτησιφῶν ὑδρωπικὸς ἐκ καύσου πολλοῦ, ¹⁰ καὶ πρότερον ὑδρωπικὸς καὶ σπληνώδης, ¹¹ σφόδρα ξυνεπλήσθη καὶ ὄσχεον καὶ σκέλεα καὶ περι-

instante, iuxta pectus, & præcordia, & latus, multo tempore dolebat, citra febres. ³ Multis autem annis 'antea suppuratus fuerat: ⁴ hyeme vero quum inhorruisset, dolor augescebat: & febricula tenuis: ⁵ & exscreatio purulenta: ⁶ tussis cum stridula asperitate circa fauces: & stertens, ⁷ quum prudens esset mortuus est.

⁸ Balis filius quum ex monte penitus aberrasset, ⁹ sexta lingua prava, subrubra: & vocem læserat inter aberrandum: ¹⁰ oculi colorati, natantes velut dormitantium: ¹¹ color reliqui corporis 'non valde velut in morbo regio, sed subpallidus, lividus: ¹² vox prava: ¹³ lingua obscura, peripneumonica: ¹⁴ non prudens. ¹⁵ Spiritus ad manum malus, non densus, neque magnus: ¹⁶ frigidi pedes lapidosi. ¹⁷ Circa nonam mortuus est.

XIII. Quædam apud Metronem anginosa, dexteram manum ac crus doluit. ² Febricula tenebat debilis: ³ suffocatio die tertia remisit. ⁴ Septima convulsa: vox 'intercepta: stertor: dentium collisio ac consertio, maxillarum rubor. ⁵ Hæc non longe vitam protraxit, quinta aut sexta mortua est. ⁶ Signum circa manum sublividum.

⁷ Bion ex hydropico diuturno cibum aversabatur ad multos dies: ⁸ & urinæ stillicidio vexabatur. ⁸ In sinistro genu abscessus fiebat: suppuratus est: mortuus est.

⁹ Ctesiphon hydropicus ex febre ardente multa: ¹⁰ & prius hydropicus 'ac splenicus, ¹¹ valde repletus est & scrotum, & crura, & peritonæum membranam

περιέχουσαν. 12 ἐπὶ τῇ τελευτῇ βὴξ καὶ πνιγμοὶ ἐγίνοντο ἐς νύκτα μᾶλλον ἀπὸ τοῦ πλεύμονος ὥσπερ τοῖς πλευμονώδεσι. 13 πρὸ δὲ ἡμέρης τῆς τελευτῆς τριῶν ἢ τεσσάρων, ῥῖγος, πυρετός. 14 κατὰ μηρὸν δεξιὸν, ἔσω κατὰ φλέβα μέσην τὴν ἀπὸ τοῦ βουβῶνος, ὡς πυρὸς ἀγρίη ξύστρεμμα ὑπόπελιον, ἔχον ἔρευθος. 15 ἐς νύκτα καρδίης ἄλγος, καὶ οὐ πολὺ ὕστερον ἀφωνίη καὶ πνιγμὸς μετὰ ῥέγχους. 16 ἐτελεύτησεν.

17 Καὶ ἐν Ὀλύνθῳ ὑδρωπικὸς, ἐξαίφνης ἄφωνος, ἔκφρων νύκτα καὶ ἡμέρην, ἐτελεύτησεν.

18 Ὁ δὲ Προδρόμου, θέρεος ὑπότραυλος, καυσώδης. 19 ἡ γλῶσσά οἱ ὑπόξηρος, ἀσαφής. 20 κάτω πολλὴ ἄφοδος περιεγένετο.

XIV. Λεωφορβίδῃ πυρετὸς ὀξὺς μετὰ χειμερινὰς τροπὰς, ὑποχονδρίων [τε] καὶ κατὰ κοιλίην ἄλγημα. 2 ὑποχωρήματα ὑγρὰ, χολώδεα, πολλά. 3 καὶ μεθ' ἡμέρην κωματώδης. 4 γλῶσσα περιπλευμονική. 5 βὴξ οὐκ ἐνῆν. 6 δυωδεκάτῃ μέλανα σμικρὰ, καὶ πρασοειδέα ὑπεχώρησε. 7 τεσσαρεσκαιδεκάτῃ λῆξαι πυρετὸς ἐδόκει. 8 μετὰ δὲ ῥοφήμασιν ἐχρήσατο. 9 ἑκκαιδεκάτῃ στόμα σφόδρα ἁλμυρῶδες [καὶ] ξηρὸν ἐγένετο. 10 ἀκρέσπερον δὲ φρίκη, πυρετός. 11 μιῇ καὶ εἰκοστῇ περὶ μέσον ἡμέρης, ῥῖγος καὶ ἱδρώς. 12 ὁ πυρετὸς ἔληξε, θέρμη δὲ ὑπῆν λεπτή. 13 ἐς νύκτα πάλιν ἱδρώς. 14 τῇ δευτέρῃ καὶ εἰκοστῇ ἐς νύκτα ἱδρὼς, καὶ ἡ θέρμη ἐχάλασε. 15 τῇσι δὲ ἔμπροσθεν πάσῃσιν ἀνίδρωτος ἦν, ἡ δὲ κοιλίη ὑγράνθη, 16 καὶ ἐν τῇ ὕστερον δοκεούσῃ ὑποστροφῇ.

17 Ἡ ἄνω οἰκοῦσα ἡ τοῦ Θεο-

nam alvum ac inteſtina ambientem. 12 Ad finem tuſſis & ſuffocationes fiebant ad noctem, magis à pulmone, velut pulmonicis ac tabeſcentibus. 13 Tribus aut quatuor diebus ante diem obitus, rigor: febris: 14 circa femur dextrum intus ad venam mediam ab inguine collectio velut ignis fieri, ſublividum habens ruborem: 15 ad noctem cordis ac oris ventriculi dolor: & non longe poſtea vocis interceptio: ſtrangulatio cum ſtertore: 16 & mortuus eſt.

17 Et in Olyntho hydropicus, derepente voce privatus, noctem & diem deſipiens, mortuus eſt.

18 Prodromi filius, æſtate ſubblæſus, æſtuoſus: 19 lingua ipſi ſubarida, obſcura: 20 egeſtio alvi deorſum multa. Superſtes evaſit.

XIV. Leophorbidæ febris acuta poſt ſolſtitium hybernum: præcordiorum & ventris dolor: 2 alvi egeſtiones liquidæ, bilioſæ, multæ: 3 & interdiu ſoporoſus: 4 lingua peripneumonica: 5 tuſſis non inerat. 6 Duodecima, nigra pauca & praſina egeſſit. 7 Decimaquarta, febricula ceſſaſſe videbatur. 8 Poſtea vero ſorbitionibus utebatur. 9 Decimaſexta os valde ſalſuginoſum ſiccum fiebat: 10 ad ſummam veſperam horror, febris. 11 Vigeſimaprima circa meridiem rigor: & ſudor: 12 febris deſiit: verum calor adbuc ſuberat tenuis: 13 ad noctem rurſus ſudor: 14 & vigeſimaſecunda ad noctem ſudor: & calor remiſit. 15 At prioribus diebus omnibus ſine ſudore erat. Alvus autem humecta fuit, 16 etiam in putata poſtea recidiva.

17 Quæ ſuperne habitabat Theo-

Θεοκλῆ προσηκούσῃ. ὑπὸ πληιάδα πυρετὸς ὀξύς. 18 ἕκτη ἔδοξε λῆξαι. 19 ἐλούσατο ὡς πεπαυμένη. 20 ἑβδόμη περὶ γνάθος σφόδρα ἐρυθρὴ, ὁποτέρη οὐ μέμνημαι. 21 ἐς τὴν ἑσπέρην ὁ πυρετὸς ἦλθε πολὺς, καὶ λειποψυχίη καὶ ἀφωνίη ἦν. 22 οὐ πολὺ δὲ ὕστερον ἱδρὼς, καὶ παῦσις ἑβδομαίη.

XV. Καὶ ἡ Θεοδώρου σφόδρα ἐν πυρετῷ αἱμοῤῥαγέης γινομένης χειμῶνος. 2 λήξαντος δὲ τοῦ πυρετοῦ περὶ δευτέρην, οὐ πολὺ ὕστερον πλευροῦ δεξιοῦ ὡς ἀπὸ ὑστερέων βάρος. 3 καὶ περὶ τὸν τότε ἐχρῆτο καὶ τοὺς ἑχομένους ἡ ὀδύνη μετὰ πάθος δεινή. 4 καὶ πλευρὸν δεξιὸν πυριωμένη, ἐχάλασε τεταρταίη τοῦ ἀλγήματος. 5 τὸ [δὲ] πνεῦμα πυκνότερον, [καὶ] ἡ ἀρτηρίη μόλις ἀναπνέουσα ὑπεσύριζε, 6 καὶ ὑπτίη ἐπιστρέφεσθαι χαλεπῶς. 7 ἐς νύκτα ὀξύτερος ὁ πυρετὸς, καὶ λῆρος βραχὺς ἐγένετο. 8 πέμπτη περὶ ἔδοξε ἠπιώτερος εἶναι. 9 ἱδρώτιον ἀπὸ μετώπου κατεχύθη ὀλίγον πρῶτον, ἔπειτα πολλοῦ χρόνου ἐς ὅλον τὸ σῶμα καὶ πόδας. 10 μετὰ δὲ ταῦτα ἔδοξε αὐτῇ κεχαλακέναι τὸ πῦρ. 11 ἦν δὲ περὶ χεῖρας ψυχρότερον τὸ σῶμα τῆς ἀρτηρίης. 12 αἱ δὲ ἐν κροτάφοισι καὶ μᾶλλον ἐπήδων, καὶ πνεῦμα πυκνότερον. 13 καὶ ἐπελήρει ἄλλοτε καὶ ἄλλοτε, καὶ πάντα ἐπὶ τὸ χεῖρον. 14 γλῶσσα διὰ τέλεος λευκὴ λίην, 15 ἦν τε βὴξ οὐκ ἐνῆν, ὅτι μὴ τριταίη καὶ πεμπταίη ὀλίγον χρόνον. 16 δίψα οὐκ ἐνῆν, πτυσμὸς δὲ ἦν. 17 ὑποχόνδριον δεξιὸν σφόδρα ἐπῆρτο περὶ τὴν πέμπτην, μετὰ δὲ μαλθακώτερον. 18 ὑποχώρησις τριταίη ἀπὸ βαλάνου κόπρου ὀλίγης. 19 πέμπτη πάλιν ὑγρὸν ὀλίγον, κοιλίη δὲ λαπαρὴ, οὖρα τρυγώδη ὁποσ-

δέα

Theoclis cognata, ſub pleiadas febris acuta: 18 ſexta videbatur ceſſaſſe: 19 lavit velut febre ſedata. 20 ſeptima mane maxilla valde rubicunda, utra non memini. 21 In veſpera febris venit multa: & animi deliquium, & vocis interceptio erat; 22 non longe vero poſtea ſudor, & quies ceſſante morbo ſeptima die.

XV. Theodori uxori in febre vehementi ſanguinis eruptio facta eſt, hyeme: 2 ubi febris deſiiſſet circa nonam, non longe poſtea, lateris dextri velut ab utero gravitas. 3 Sed & primum, & ſequentibus diebus, obortus eſt dolor vehemens juxta pectus: 4 & fomento ad latus dextrum adhibito, remiſerunt dolores quarta die, 5 ſpiritus denſior: arteria vix reſpirans ſubſibilabat: 6 & ſupina difficulter ſe vertere poterat: 7 ad noctem febris acutior, & delirium breve fiebat. 8 Quinta mane mitior eſſe videbatur: 9 ſudor de facie diffundebatur primum modicus; deinde multo tempore per totum corpus ac pedes. 10 Poſtea vero videbatur ipſi febris remiſiſſe. 11 Erat autem ad manum frigidius corpus arteriarum. 12 Quæ vero in temporibus ſunt, etiam magis ſaliebant: & ſpiritus denſior: 13 & alias atque alias delirabat: & omnia ad deterius: 14 lingua perpetuo alba valde: 15 & tuſſis non inerat, niſi tertia ac quinta die ad breve tempus. 16 Sitis non erat. Sputatio erat. 17 Præcordium dexterum valde elevabatur circa quintam: verum poſtea mollius: 18 egeſtio tertia die à balneo ſtercoris modici: 19 quinta rurſus liquidi modici: venter autem mollis: urinæ acerbæ, cineris ſpeciem referentes:

δέα. 20 ὄμματα ὡς κοπιώσης χαλεπῶς ἀνέβλεπε καὶ περιέφερε. 21 πέμπτης ἐς νύκτα χαλεπῶς, καὶ λῆρος εἵπετο. 22 ἕκτη πάλιν, τὴν αὐτὴν ὥρην περὶ πλήθουσαν ἀγορὴν, 317 ἱδρὼς πολὺς κατέχυτο, ἀπὸ μετώπου ἤρξατο ἐς ὅλον τὸ σῶμα. 23 πουλὺν χρόνον ἐμφρόνως διετίθετο τὰ ἑωυτῆς. 24 περὶ μέσον δὲ ἡμέρης σφόδρα ἐλήρει, καὶ τὰ τῆς καταψύξιος ὅμοια, βαρύτερα δὲ τὰ κατὰ τὸ χρῶτα πάντα. 25 περὶ δὲ τὴν ἑσπέρην ἡ κνήμη αὐτῆς ἐκ τῆς κοίτης κατεῤῥύη. 26 καὶ τῷ παιδὶ παραλόγως ἠπείλησέ τε καὶ πάλιν ἐσιώπησε, καὶ ἐς ἡσυχίην μετέβαλλε. 27 περὶ 5 δὲ τὸν πρῶτον ὕπνον δίψα πολλὴ, καὶ μανίη, καὶ ἀνεκάθιζε, καὶ τοῖσι παρεοῦσιν ἐλοιδορεῖτο, καὶ πάλιν ἀπεσιώπησε, καὶ ἐν ἡσυχίῃ ἦν. 28 καὶ ἐδόκει τὴν ἐπίλοιπον νύκτα κεκωματίσθαι, τοὺς δὲ ὀφθαλμοὺς οὐ ξυνῆγεν. 29 ἐπὶ δὲ ἡμέρην ὑπεκρίνετο τὰ πλεῖστα νεύμασιν, ἀτρεμίζουσα τὸ σῶμα, καὶ κατανοοῦσα ἐπιεικῶς. 30 πάλιν δὲ ἱδρὼς τὴν αὐτὴν ὥρην, 31 ὁμοίως οἱ ὀφθαλμοὶ κατηφέες, ἐς τὸ κάτω βλέφαρον μᾶλλον ἐγκείμενοι, ἀτενίζοντες κεκαρωμένοι. 10 32 τὰ λευκὰ τῶν ὀφθαλμῶν ὠχρὰ καὶ νεκρώδεα, καὶ τὸ πᾶν χρῶμα ὤχρον καὶ μέλαν ἐόν. 33 τὴν χεῖρα τὰ πολλὰ πρὸς τοῖχον ἢ πρὸς ἱμάτιον. 34 οἱ ψόφοι δὲ πινούσῃ μεγάλοι ἐγίνοντο, καὶ ἀπέπτυε ἄνω ἐς τὴν ῥῖνα. 35 ἠφύσσε, καὶ ἐκροκιδολόγει, καὶ ξυνεκάλυπτε τὸ πρόσωπον. 36 μετὰ δὲ τὸν ἱδρῶτα χεῖρες ὥσπερ κρυστάλλινα. 37 ὁ ἱδρὼς παρηκολούθει ψυχρός. 38 σῶμα πρὸς χεῖρα ψυχρόν. 39 ἀνεπήδα, ἀνεκεκράγει, ἐμαίνετο. 40 πνεῦμα πουλύ. 41 τρομώδεες αἱ χεῖρες ἐγένοντο, ὑπὸ δὲ τὸν

tes: 20 oculi velut delassatæ, difficulter suspiciebat ac circumferebat oculos. 21 Quinta ad noctem ægre affecta fuit: & delirium sequebatur. 22 Sexta rursus eadem hora, qua plenum solet esse forum, multus sudor diffundebatur, incipiebat à 310 fronte ad totum corpus: 23 ad multum tempus prudenter res suas disponebat: 24 ad meridiem vero valde delirabat: & perfrigeratio similis erat: omnia vero circa corpus graviora. 25 Ad vesperam tibia ipsius ex cubili decidit, 26 & puero præter rationem minabatur, & rursus silebat: & ad quietem convertebatur. 27 Circa primum somnum sitis multa, & insania: & erecta sedebat, & præsentibus conviciabatur: & rursus conti- 315 cuit, ac in quiete erat: 28 & videbatur reliquum noctis sopore pressa esse. Verum oculos non clausit. 29 Ad diem indicabat pleraque nutibus, corpore quiescens, & moderate intelligens. 30 Sudor rursus eadem hora: 31 similiter oculi demissi, ad infernam palpebram magis incumbentes, rigide ac stupide intuentes: 32 albæ oculorum partes pallidæ & mortiferæ: & totum corpus pallidum ac nigrum: 320 33 manum plerunque ad parietem, aut ad stragula habebat: 34 strepitus autem bibenti magni fiebant, respuebat, 35 & sursum ad nasum absorbebat: & floccos legebat: & faciem obvelabat. 36 Post sudorem manus velut in glaciem congelatæ: 37 sudor sequebatur frigidus: 38 corpus ad manum frigidum: 39 exsiliebat, vociferabatur, insaniebat: 40 spiritus multus, 41 manus tremulæ fiebant, sub mortem pro- 325

15 τὸν θάνατον ἐλθοῦσα σπασμώδεες. 42 ἑβδομαίη ἐτελεύτησεν. 43 οὔρησε τῇ ἕκτῃ ἐν νυκτὶ ὀλίγον. 44 τὸ οὐρούμενον τοῦ κάρφεος εἵλκετο, γλίσχρον, γονοειδές. 45 ἄγρυπνος ἁπάσας. μετὰ τὴν ἕκτην οὖρον ὕφαιμον.

XVI. Τῷ Ἀντιφάνεος χειμῶνος ἄλγημα πλευροῦ δεξιοῦ, βὴξ, πυρετός. 2 ἤσθιεν, ἐπορεύετο ὑποπυρεταίνων. 3 ἐδόκει ῥηγματώδης εἶναι. 4 ἐνάτῃ ἀφίετο ὁ πυρετὸς, οὐκ ἔλιπεν. 5 ἡ βὴξ πολλὴ καὶ παχέα ἀφρώδεα. 6 τὸ πλευρὸν ἐπόνει. 7 περὶ τὴν τεσσαρεσκαιδεκάτην καὶ πάλιν τὴν εἰκοστὴν ἐδόκεον 20 ἀπολήγειν οἱ πυρετοὶ, καὶ πάλιν ἐπελάμβανον. 8 ἦν δὲ θέρμη λεπτὴ καὶ βραχύ τι ἐξέλιπεν. 9 ἡ δὲ βὴξ ὁτὲ μὲν ἐξέλιπεν, ὁτὲ δὲ κατακορὴς ἦν, μετὰ πνιγμοῦ πολλοῦ. 10 τότε δὲ ἐχάλα, καὶ ἀπόχρεμψις μετὰ ταύτας τὰς ἡμέρας πολλή, μετὰ πνιγμώδεος βηχός. 11 καὶ πυώδεα ζέοντα ὑπὲρ τοῦ ἀγγείου, καὶ ἀφρέοντα 12 καὶ ἐν τῇ φάρυγγι τὰ πολλὰ κεγχραλέα ὑπεσύριζεν. 13 ἆσθμα αἰεὶ κατεῖχε, καὶ πνεῦμα πυκνότερον· ὀλιγάκις εὔπνοος. 14 ὑπὲρ δὲ τὰς τεσσαράκοντα, ἴσως εἶναι περὶ 25 ἑξήκοντα, ὀφθαλμὸς ἀριστερὸς ἐτυφλώθη μετὰ οἰδήματος ἀνωδύνως, οὐ πολὺ δ᾽ ὕστερον καὶ ὁ δεξιός. 15 καὶ σφόδρα αἱ κόραι λευκαὶ καὶ ξηραὶ ἐγένοντο. 16 ἐτελεύτησε μετὰ τὴν τύφλωσιν οὐ πολὺ ὑπὲρ ἑπτὰ ἡμέρας, μετὰ ῥέγχου καὶ πολλῆς λήρησιος.

17 Ὅμοια δὲ καὶ ἐξ ὁμοίων τὴν ὥρην τὴν αὐτὴν ξυνέβη Θεσσαλίωνι τὰ ζέοντα καὶ ἀφρέοντα καὶ πυώδεα, καὶ βῆχες, καὶ οἱ κεγχραμοί.

XVII. Ἡ Πολεμάρχου χειμῶνος

greſſæ jam etiam convulſæ : 42 ſeptima die mortua eſt. 43 Sexta die, in nocte ſtratum modice perminxit, 44 quod minxerat de feſtucis detrahebatur, viſcoſum, genituræ ſimile. 45 Vigilabat per omnes dies : poſt ſextam urina ſubcruenta.

XVI. Antiphanis filio hyeme, lateris dexteri dolor, tuſſis : febris : 2 edebet, deambulabat etiam febriens. 3 Videbatur ruptio facta eſſe : 4 nona, remiſit : febris non 'reliquit : 5 tuſſis mul 330 ta : & craſſa ac ſpumoſa ſpuebat : 6 latus dolebat. 7 Circa decimamquartam & rurſus vigeſimam febres deſinere videbantur, & rurſus corripiebant : 8 erat autem calor tenuis, & parum quid relinquebat. 9 Tuſſis quandoque deficiebat, quandoque abundabat, cum multa ſuffocatione. 10 Tunc vero remittebat : & exſcreatio poſt hos dies multa, cum ſtrangulatoria tuſſi, 11 & purulenta ſupra vas 'efferven 335 tia ac ſpumantia prodibant, 12 & in faucibus plerunque ſtridula aſperitas ſubſibilabat, 13 anhelatio ſemper detinebat, & ſpiritus denſior : raro bene ſpirabat. 14 Ultra quadrageſimum diem, prope ſexageſimum opinor, oculus ſiniſter excæcatus eſt, cum tumore, ſine dolore : nec longe poſtea etiam dexter, 15 & pupillæ valdæ albæ ac ſiccæ fiebant, 16 & mortuus eſt poſt excæcationem, non progreſſus ultra ſeptem 'dies, cum ſtercore ac 340 multa deliratione.

17 Similia & ex ſimilibus eodem tempore contigerunt etiam Theſſal oni : ferventia, & ſpumantia, & purulenta : & tuſſes, & ſtridulæ aſperitates.

XVII. Polemarchi uxori hyeme

νος κυναγχικὴ, οἴδημα ὑπὸ τὸν 30 βρόγχον, πολὺς πυρετός. ² φλέβα ἐτμήθη. ³ ἔληξεν ὁ πνιγμὸς ἐκ τῆς φάρυγγος, ὁ πυρετὸς παρείπετο. ⁴ περὶ πέμπτην γύναιος ἄλγημα καὶ οἴδημα ἀριστεροῦ, ⁵ ἐκ τῆς καρδίης ἔφη δοκέειν τι ξυναγέσθαι ἑωυτῇ, ⁶ καὶ ἀνέπνεε οἷον ἐκ τοῦ βεβαπτίσθαι ἀναπνεύσας, ⁷ καὶ ἐκ τοῦ στήθεος ὑπεψόφει, ὡς αἱ ἐγγαστρίμυθοι λεγόμεναι, τοιοῦτόν τι ξυνέβαινε. ⁸ περὶ τὴν ὀγδόην ἢ ἐννάτην ἐς νύκτα κοιλίη κατερράγη ὑγρὰ, πολλὰ, ἄλεα, καὶ κάκοδμα. ⁹ ἀφωνίη ἔσχεν, ἐτελεύτησεν.

10. Ἀρίστιππος ἐς τὴν κοι- 35 λίην τοξευθεὶς, ἄνω βίῃ χαλεπῶς. ¹¹ ἄλγος κοιλίης ὀξύν. ¹² ἐπίμπρατο ταχέως. ¹³ κάτω δὲ οὐδὲν διεχώρεεν. ¹⁴ ἀσώδης ἦν. ¹⁵ ἤμεε χολώδεα κατακορέα. ¹⁶ ὁπότε δὲ ἐπήμεσεν, ἐδόκει ῥάων εἶναι. ¹⁷ μετ᾽ ὀλίγον δὲ τὰ ἀλγήματα πάλιν ὀξέα. ¹⁸ καὶ ἡ κοιλίη ὁμοίως ἐπίμπρατο ὡς ἐν εἰλεοῖσι. ¹⁹ θέρμαι καὶ δίψαι. ²⁰ ἐν ἑπτὰ ἡμέρῃσι ἐτελεύτησεν.

²¹ Ὁ δὲ Νεόπολις πληγεὶς ὁμοίως, ταυτὰ ἔπασχε. ²² κλυσθέντι δὲ ἐν δριμεῖ κοιλίη κατερράγη. ²³ χρῶμα κατεχύθη λεπτὸν ὠχρὸν, μέλαν ἐόν. ²⁴ ὄμματα 40 αὐχμηρὰ, καρώδεα, ἐνδεδινημένα, ἀτενίζοντα.

XIIX. Τῷ δὲ κατ᾽ ἧπαρ ἐγγὺς πληγέντι ἀκοντίῳ, ² εὐθὺς τὸ χρῶμα κατεχύθη νεκρῶδες, ³ τὰ ὄμματα κοῖλα, ⁴ ἀλυσμὸς, δυσφορίη. ⁵ ἀπέθανε πρὶν ἀγορὴν λυθῆναι, ἐν ᾗ τῇ ἡμέρῃ ἐπλήγη.

⁶ Ὁ τὴν κεφαλὴν ὑπὸ Μακεδόνος λίθῳ πληγεὶς ὑπὲρ κροτάφου

me anginosæ tumor sub gutture: febris multa, ² vena secta est, ³ cessavit strangulatio ex faucibus: febris comitabatur. ⁴ Circa quintam genu dolor & tumor sinistri, ⁵ & circa cor ¹ dixit sibi videri 345 aliquid colligi, ⁶ & respirabat velut respirant hi qui sub aquam mersi fuerunt, ⁷ & ex pectore substrepebat, velut qui concluso ore loquuntur, engastrimythi, quasi ex ventre loquentes appellati. Tale quid contingebat. ⁸ Circa octauam aut nonam ad noctem alvus prorupit, ac liquida multa, acervata & graveolentia egessit, ⁹ vox intercipiebatur. Mortua est.

¹⁰ Aristippus in supernum ¹ ventrem violenter ac graviter 350 sagittæ ictu petitus est, ¹¹ ventris dolor vehemens, ¹³ & brevi ardebat, ¹³ deorsum vero nihil egerebat, ¹⁴ anxius erat, ¹⁵ biliosa abunde colorata ¹⁶ quum vomuisset, melius habere videbatur. ¹⁷ Paulo post dolores rursus vehementes, ¹⁸ & venter similiter ardebat, velut in volvulis, ¹⁹ calores & sitis, ²⁰ in septem diebus mortuus est.

²¹ Neopolis percussus similiter, eadem passus ¹ est, ²² acri 355 infuso per clysterem immisso, alvus deorsum erupit, ²³ color per corpus diffusus est tenuis, pallidus, niger: ²⁴ oculi squallidi, stupore rigidi, intus conversi, intente intuentes.

XVIII. Ei qui in hepar percussus est jaculo, ² statim color qualis est mortuorum per corpus diffusus est, ³ oculi cavi, ⁴ anxietas, molestia. ⁵ Mortuus est prius quam concio solveretur, in qua die percussus est.

⁶ Qui caput ¹ percussus est 360 lapide à Macedone, supra tempus

πέφυ ἀριστερὰ ὥστε ἀμυχὴν διακόπτη. [7] ἐσκοτώθη πληγεὶς, καὶ ἔπεσε. [8] τριταῖος ἄφωνος ἦν, ἀλυσμὸς, πυρετὸς ὁ πάνυ σφοδρὸς, σφυγμὸς ἐν κροτάφοισιν, ὡς λεπτῆς θέρμης. [9] ἤκουεν οὐδὲν, οὐδὲ ἐφρόνεεν, οὐδ' ἠτρέμιζεν. [10] νοτὶς περὶ μέτωπον καὶ ὑπὸ ῥῖνα ἄχρις ἀνθερεῶνος. [11] πεμπταῖος ἐτελεύτησεν.

[12] Ὁ Αἰνιάτης ἐν Δήλῳ ἀκοντίῳ πληγεὶς ἐς τοὔπισθεν τοῦ πλευροῦ κατὰ τὸ ἀριστερὸν μέρος, [13] τὸ μὲν ἕλκος ἄπονον, τεταρταίῳ δὲ γαστρὸς ὀδύνη σμικρή. [14] οὐχ ὑπεχώρει· κλυσθέντι δὲ ἐς νύκτα, κόπρος ἦν, καὶ ὁ πόνος διέλιπεν. [15] ἕδρη ἔξω ἐς τοὺς ὄρχιας. [16] τεταρταίῳ καὶ ἐς ἥτρον καὶ [ἐς] κοιλίην ὅλην ὀδύνας ὁ πόνος καταιγίζων. [17] ἀτρεμέειν οὐκ ἠδύνατο. [18] χολώδεα ἤμεσεν κατακορέα. [19] χολώδεες ὀφθαλμοὶ, καὶ οἷοι τῶν λειποθυμεόντων. [20] μετὰ πέμπτην ἐτελεύτησεν. [21] ἦν δὲ θέρμη λεπτή τις ἐν αὐτῷ.

[22] Αὐδέλλῳ πληγέντι ἐς τὸ νῶτον, πνεῦμα πολὺ κατὰ τὸ τρῶμα μετὰ ψόφου ἐχώρει, καὶ ἡμορράγει. [23] τῷ ἐναίμῳ δὲ καταδεθεὶς, ὑγιὴς ἐγένετο.

XIX. Ξυνέβη δὲ τῷ δυστυχεστάτῳ Φιλίας παιδίῳ, ψιλώματος ἐν τῷ μετώπῳ γενομένου, [1] ἐνναταίῳ πυρετός. [2] εἶτα ἐπελιάνθη τὸ ὀστέον. ἐτελεύτησεν.

[3] Καὶ τῷ Φανίᾳ καὶ τῷ Εὐέργῃ, πελιδνουμένων τῶν ὀστέων καὶ πυρεταινόντων, [4] ἀφίστατο τὸ δέρμα ἀπὸ τοῦ ὀστέου, καὶ πύον ὑπενέμετο. [5] τούτοισι τετρυπημένοισιν ἐξ αὐτοῦ τοῦ ὀστέου ἀνήρχετο ἰχὼρ λεπτὸς, ὀῤῥώδης, ὕπωχρος, καθο-

pus dextrum, ita ut fissura saltem facta dissectio contigisset, [7] vertigine affectus est & cecidit. [8] Tertia die voce destitutus erat: anxietas: febris non valde vehemens, pulsus in temporibus velut tenuis caloris, [9] nihil audiebat, neque sapiebat, neque quiescebat, [10] humiditas circa frontem, & sub nasum, usque ad mentum. [11] Quinta mortuus est.

[12] Eniates in Delo jaculo percussus est retrorsum in latus, juxta sinistram partem, [13] ulcus quidem sine dolore. Verum tertia die ventris dolor parvus, [14] non egerebat: infuso per clysterem immisso, stercus prodibat: & dolor deficiebat, [15] sedes extra ad scrotum extabat, [16] quarta die etiam ad pubem, & totum ventrem, dolor vehementer irruebat, [17] quiescere non poterat, [18] biliosa vomuit abunde colorata, [19] oculi cum virore pallidi, quales in animi deliquio. [20] Post quintam mortuus est. [21] Erat autem calor quidam tenuis in ipso.

[22] Billo percusso in dorsum, spiritus multus per vulnus cum strepitu prodibat, & sanguinem fundebat. [23] Verum deligatus emplastro cruentis vulneribus commodo, sanus evasit.

XIX. Contigit & infelicissimo Philes filio, denudatione in fronte facta, nona die febris, [2] deinde livefactum est os: mortuus est.

[3] Et Phaniæ & Euergetæ filio, livefactis ossibus, & febricitantibus, [4] cutis ab osse discessit, & pus subter depascebatur. [5] His dum perforarentur, ex ipso osse egressa est sanies tenuis, serosa, subpallida, grave-

οδμος, θανάσιμος. ⁶ Ξυμβαίνει δὲ τοῖσι τοιούτοισι καὶ ἐμέτους ἐπιγίνεσθαι, ⁷ καὶ τὰ σπασμώδεα ἐπὶ τελευτῇ· ⁸ καὶ ἐνίους κλαγγώδεας εἶναι, καὶ ἐνίους ἀκρατέας· ⁹ καὶ, ἢν ἐν τοῖσι δεξιοῖσι ' τὸ τρῶμα ᾖ, τὰ ἀριστερά· ἢν δ' ἐν τοῖσιν ἀριστεροῖσι, τὰ δεξιά.

¹⁰ Τῷ Θεοδώρου ἐνναταίῳ ἡλιωθέντι πυρετὸς ἐπῆλθε δεκαταίῳ ἐκ ψιλώσιος οὐδενὸς ἀξίου εἰπεῖν κατὰ τὸ ὀστέον. ¹¹ ἐν δὲ τῷ πυρετῷ ἐμελάνθη, [καὶ] ἀπέστη τὸ δέρμα. ¹² ἐπὶ πολὺ κλαγγώδης. ¹³ δευτέρῃ καὶ εἰκοστῇ ἡ γαστὴρ ἐπήρθη, μάλιστα δὲ κατὰ τὰ ὑποχόνδρια. ¹⁴ τρίτῃ καὶ εἰκοστῇ ἐτελεύτησεν.

¹⁵ Οἷσι δ' αὖ ὀστέα κατεαγῇ, τούτοισιν ἑβδομαῖοι οἱ πυρετοί. ¹⁶ ἢν δὲ θερμοτέρη ἡ ὥρη, καὶ θᾶσσον. ¹⁷ ἢν δὲ μᾶλλον κλασθῇ, καὶ ' παραχρῆμα.

¹⁸ Καὶ ὁ Ἐξαρμόδου παιδίσκος, παραπλησίως καὶ ἄλγημα ἐς μηρὸν, οὐ κατ' ἴξιν τοῦ τρώματος. ¹⁹ καὶ ἐγένετο κλαγγώδης, καὶ τραχήλου ὀδύνη.

²⁰ Καὶ ὁ Ποσιδοκρέων, τρίτη σπασμός· ²¹ θέρμη οὐκ ἔλιπεν. ²² ἐτελεύτησεν ὀκτωκαιδεκαταῖος.

XX. Ὁ τοῦ Ἰσαγόρου ὄπισθεν ἐπλήγη τῆς κεφαλῆς, ² φλασθέντος τοῦ ὀστέου καὶ μελανθέντος· πεμπταῖος περιεγένετο. ³ ὀστέον δὲ οὐκ ἀπέστη.

⁴ Τῷ ἐκ τοῦ μεγάλου πλοίου Διόπῳ ἡ ἄγκυρα τὸν λιχανὸν δάκτυλον καὶ τὸ ὀστέον ' ξυνέφλασε τῆς δεξιῆς χειρός. ⁵ φλεγμασίη ἐπεγένετο, καὶ σφάκελος, καὶ πυρετός. ⁶ ὑπεκαθάρθη πέμπτῃ, ⁷ μετρίως αἱ θέρμαι ἀνῆκαν καὶ αἱ ὀδύναι, τοῦ δακτύλου τι ἀπέπεσεν. ⁸ μετὰ δὲ τὴν ἑβδόμην ἐξῄει ἰχὼρ ἐπιεικῶς. ⁹ μετὰ ταῦτα, τῇ γλώσσῃ οὐ πάντα, ἔφη, δύνασθαι ἑρμηνεύειν. ¹⁰ ἡ προῤῥησις,

veolens, lethalis. ⁶ Contingit autem talibus etiam vomitus accedere; ⁷ & ad finem convulsiones: ⁸ & ut clangorosam vocem edant, ac impotentes fiant, ⁹ & si in dextris fuerit vulnus, in 'sinistra parte: si vero in sinistris, in dextra.

¹⁰ Theodori filio nona die in sole versato, febris accessit decima die, ex denudatione juxta os nullius momenti. ¹¹ In febre vero denudatum est; discessit cutis, ¹² multum clangorosus erat. ¹³ Vigesima secunda venter elevatus est maxime circa præcordia. ¹⁴ Vigesima tertia mortuus est.

¹⁵ Quibus ossa fracta fuerint, his septima die febres. ¹⁶ Si vero calidius 'fuerit tempus, etiam citius. ¹⁷ At si magis fracta fuerint, etiam evestigio.

¹⁸ Et Exarmodi famulus similiter dolorem habebat ad femur, non è directo vulneris, ¹⁹ & factus est clangorosus, & colli erat dolor.

²⁰ Et Posidocreon, tertia convulsio, ²¹ calor non relinquebat, ²² mortuus est die decimo-octavo.

XX. Isagoræ filius percussus est retro in caput, ² contuso osse ac nigrefacto: ³ quinta die superstes 'evasit, os autem non discessit.

⁴ Magnæ navis gubernatori anchora digitum medium, & os dextræ manus confregit: ⁵ inflammatio successit, & marcor, & febris: ⁶ subpurgatus est, ⁷ quinta calores moderate remiserunt, ⁸ itemque dolores, de digito quid decidit. Post septimum diem sanies exibat leniter. ⁹ Postea per linguam dixit se non omnia posse enunciare. ¹⁰ Prædictio

facta

ρησις, ὀπισθότονος ἐπέλεξε. [11] ξυνέφερον δὲ καὶ γνάθοι ξυνερειδόμεναι, [12] ἔπειτα ἐς τράχηλον τριταῖος ὅλος ἐσπᾶτο ἐς τοὐπίσω ξὺν ἱδρῶτι. [13] ἑβδομαῖος ἀπὸ τῆς προῤῥήσιος ἀπέθανεν.

25 [14] Ὁ δὲ ἐκ τῆς Ἀρπάλου ἀπελευθέρης Τελεφάνης τὸ μέγα κάτωθεν μεγάλου δακτύλου ἔλαβεν· [15] ἐπεφλέγμηνε, καὶ σφόδρα ἐπώδυνος ἦν. [16] καὶ, ἐπεὶ ἀνῆκεν, ᾤχετο ἐς ἀγρόν. [17] ἀναχωρέων ὀσφὺν ἤλγησεν. [18] ἐλούσατο. [19] αἱ γνάθοι ξυνήγοντο ἐς νύκτα, καὶ ὀπισθότονος παρῆν. [20] τὸ σίαλον ἀφρῶδες μόλις ἔξω διὰ τῶν ὀδόντων ᾔει. [21] τριταῖος ἀπέθανεν.

[22] Ζήνων ὁ τοῦ Δάμωνος περὶ κνήμην ἢ σφυρὸν ἕλκος κατὰ νεῦρον ἤδη καθαρόν. [23] τούτῳ δηχθέντι ὑπὸ 30 φαρμάκου ξυνέβη ὀπισθοτόνῳ ἀποθανεῖν.

XXI. Μένωνι ὑπ' Ἀρκτοῦρον, καὶ πρότερον, ἐκ πυρετοῦ θερινοῦ καὶ διαῤῥοίης ἀσθενῶς διατεθέντι, [2] ἐκ πορείης κοπιάσαντι, καὶ πλευροῦ ὀδύνη ἀριστεροῦ [3] καὶ βὴξ, ἔχουσα μὲν ἐκ καταῤῥόου καὶ πρότερον, τότε δὲ ἦν καταντηρής, [4] καὶ ἄγρυπνος, καὶ δυσφόρως φέρων τὸν πυρετὸν εὐθὺς ἀπ' ἀρχῆς, καὶ ἀνακαθίζων. [5] τριταῖος ἔπτυσεν ὠχρόν. [6] ἀρτηρίη ὑποσύριζε ῥεγχῶδες. [7] περὶ τὴν τετάρτην πνεῦμα ἐπιεικῶς πυκνόν. [8] πόδες καὶ κνῆμαι, ἄκρεα τὰ 35 πλεῖστα ψυχρὰ καὶ ἔξω τῶν ἱματίων. [9] ὑποχώρησις ἀπ' ἀρχῆς ἐπεγίνετο χολώδης, οὔτε λίην ὀλίγη, οὔτε πολλή. [10] ἑβδόμη καὶ ὀγδόη καὶ ἐνάτη ῥᾷον ἐδόκει φέρειν, καὶ ὕπνοι τινὲς ἐγίνοντο. καὶ τὰ ἀποχρεμπτόμενα ἀπεπτότερα. [11] δεκάτη καὶ μέχρι τρισκαιδεκάτης σφόδρα λευκὰ

facta est opisthotonum 'advenitare. [11] Ad hoc conferebant maxillæ consertæ, [12] & ad collum rigidæ. Tertia die totus convellebatur in posteriorem partem, cum sudore. [13] Sed à prædictione mortuus est.

[14] Harpali filius ex libera Telephanæ, luxationem infra in pede magni digiti accepit, [15] inflammatus est, & valde dolorosus erat: & ubi repositus est, [16] & dolor remisit, proficiscebatur ad agrum: [17] rediens lumbos 'doluit, [18] lavit, [19] maxillæ ad noctem conferebantur, & opisthotonus aderat, [20] saliva spumosa vix per dentes foras prodibat. [21] Tertia die mortuus est.

[22] Thrinon Damonis filius habebat circa tibiam aut malleolum ulcus, juxta nervum jam purum. [23] Huic à pharmaco corroso contigit, ut episthotono moreretur.

XXI. Menoni sub arctuium & prius, ex febre æstiva, & alvi profluvio ægre 'affecto, [2] & ex itinere delassato, dolor lateris sinistri: [3] & tussis, quæ ex destillatione quidem etiam prius aderat, verum tunc valde intenta erat, [4] & vigilabat: & febrem statim ab initio ægre ferebat, & erectus sedens [5] tertia die spuebat pallidum: [6] arteria ex stertore subsibilabat. [7] Circa quartam spiritus moderate densus, [8] pedes, tibiæ, extremæ partes plerunque frigidæ, & extra stragula: [9] alvi egestio 'ab initio fiebat biliosa, neque valde modica, neque multa: [10] septima, octava, & nona, levius ferre videbatur, & somni aliqui contingebant: & quæ exscreabat crudiora erant: [11] decima, & usque ad decimamtertiam, alba &

λευκὴ καὶ καθαρή. 12 καὶ ὑποχόνδριον λαπαρώτερον ἐγένετο, τὸ δὲ ἀριστερὸν ξυνεστεμμένον καὶ εὐπνούστερον. 13 πρὸς δὲ βάλανον ὑπῆλθε μετρίως. 14 τρισκαιδεκάτῃ πάλιν ἔπτυσεν ὠχρόν. 15 τεσσαρεσκαιδεκάτῃ δὲ μᾶλλον. 16 πεντεκαιδεκάτῃ πρασοειδές· κοιλίη δὲ 40 κακώδεα, χολώδεα, ὑγρά, συχνὰ ὑπῆλθεν. 17 ἀριστερὸν ὑποχόνδριον ἐπήρετο. 18 ἑκκαιδεκάτῃ δὲ καὶ σφόδρα ἐπῴδησεν, καὶ τὸ πνεῦμα ἤδη ῥεγχῶδες· 19 ἱδρὼς περὶ μέτωπον καὶ αὐχένα, ὀλιγάκις ἐπὶ τὸ στῆθος. 20 ἄκρεα καὶ μέτωπον ἐπιεικῶς διετέλει ψυχρά. 21 πηδηθμὸς δὲ φλεβῶν περὶ κροτάφους κατεῖχεν. 22 ὕπνοι κωματώδεες καὶ ἡμέρην καὶ νύκτα τοὺς τελευταίους χρόνους. 23 οὖρον ἀπ' ἀρχῆς ὠμόν, σποδοειδές. 24 περὶ δεκάτην καὶ μέχρι τρισκαιδεκάτην λεπτὰ καὶ οὐκ ἄχροα· ἀπὸ δὲ τῆς τρισκαιδε-45 κάτης οἷά περ ἀπ' ἀρχῆς.

25 Τῷ Κλεόχῳ πλευρῆς ἄλγημα καὶ πυρετός. 26 ἀνῆκεν ὁ πυρετός. 27 ἵδρωσε τὸ σῶμα ὅλον. 28 ἐν τῷ οὔρῳ πολλὰ τὰ ἐκφερόμενα ἦν· ἐθορυβήθη μετὰ ταῦτα.

